




**ΝΙΚΗΦΟΡΟΥ** πᾶς λόγος τὴν
νίκην φέρει,
**ΝΙΚΗΦΟΡΩΣ** γὰρ ῥητρεύει
Θεοῦ ῥῆμα.



Χριστοῦ προβάτων ποιμὴν καλὸς
ἦν, κ᾽ ἀπίστων βέλος.
Σοφίας πλήρης, μουσῶν ἡγέτης,
Κερκύρας κλέος.

# ΚΥΡΙΑΚΟΔΡΟΜΙΟΝ

ΗΤΟΙ

ΕΡΜΗΝΕΙΑ ΚΑΙ ΜΕΤ' ΑΥΤΗΝ ΗΘΙΚΗ ΟΜΙΛΙΑ ΕΙΣ ΤΟ ΚΑΤΑ ΠΑΣΑΝ ΚΥΡΙΑΚΗΝ ΕΝ ΤΑΙΣ ΑΓΙΑΙΣ ΤΩΝ ΟΡΘΟΔΟΞΩΝ ΕΚΚΛΗΣΙΑΙΣ ΑΝΑΓΙΝΩΣΚΟΜΕΝΟΝ ΕΥΑΓΓΕΛΙΟΝ ΣΥΝΤΕΘΕΝ ΥΠΟ ΤΟΥ ΠΑΝΙΕΡΩΤΑΤΟΥ ΠΡΩΗΝ

ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΑΣΤΡΑΧΑΝΙΟΥ ΚΑΙ ΣΤΑΥΡΟΥΠΟΛΕΩΣ

## ΝΙΚΗΦΟΡΟΥ ΤΟΥ ΘΕΟΤΟΚΗ

*Τυπωθὲν πρῶτον ἐν Μόσχᾳ 1796. δαπάνῃ*

ΤΗΣ ΑΔΕΛΦΟΤΗΤΟΣ ΖΩΣΙΜΑΔΩΝ

ΚΑΙ ΑΦΙΕΡΩΘΕΝ

ΤῊ ΠΑΝΣΕΠΤῼ ΤΕΤΡΑΚΤΥΙ

ΤΩΝ ΑΓΙΩΤΑΤΩΝ ΠΑΤΡΙΑΡΧΩΝ

*Νῦν δὲ καὶ δεύτερον παρὰ τῆς αὐτῆς Ἀδελφότητος ἐκδοθέν, τοῦ διανέμεσθαι δωρεὰν ταῖς Ἐκκλησίαις καὶ τοῖς Μοναστηρίοις τῶν ἐν τῇ Ἑλλάδι Ὀρθοδόξων Ἑλλήνων, διὰ τῆς ἀγρύπνου φιλογενείας τοῦ ἐξοχωτάτου Κυβερνήτου*

ΚΟΜΗΤΟΣ Ι. Α. ΚΑΠΟΔΙΣΤΡΙΑ

ΤΟΜΟΣ Α'.


ΕΝ ΒΕΝΕΤΙᾼ

ΤΥΠΟΙΣ ΦΡΑΓΚΙΣΚΟΥ ΑΝΔΡΕΟΛΑ.

1831.

Η ΔΗΛΩΣΙΣ ΤΩΝ ΛΟΓΩΝ ΣΟΥ ΦΩΤΙΕΙ ΚΑΙ ΣΥΝΕΤΙΕΙ ΝΗΠΙΟΥΣ.

ΨΑΛΜῼ ΡΙΗʹ. ΣΤΙΧῼ 129.



(*) Τῌ͂ ΠΑΝΣΕΒΑΣΤῼ͂ ΘΕΙΟΤΑΤῌ͂ ΚΑΙ ΘΕΟΔΩΡΗΤῼ͂

ΤΕΤΡΑΚΤΥΙ

ΤΩΝ ΑΓΙΩΤΑΤΩΝ ΚΑΙ ΘΕΟΔΟΞΑΣΤΩΝ

# ΠΑΤΡΙΑΡΧΩΝ

Τῼ͂ ΤΕ ΠΑΝΑΓΙΩΤΑΤῼ͂ ΑΡΧΙΕΠΙΣΚΟΠῼ͂

ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ ΚΑΙ ΟΙΚΟΥΜΕΝΙΚῼ͂

ΠΑΤΡΙΑΡΧῌ͂

ΚΥΡΙῼ͂ ΚΥΡΙῼ͂

## ΓΕΡΑΣΙΜῼ͂

Τῼ͂ ΜΑΚΑΡΙΩΤΑΤῼ͂

ΠΑΠᾼ͂ ΚΑΙ ΠΑΤΡΙΑΡΧῌ͂ ΑΛΕΞΑΝΔΡΕΙΑΣ

ΚΥΡΙῼ͂ ΚΥΡΙῼ͂

## ΠΑΡΘΕΝΙῼ͂

Τῼ͂ ΜΑΚΑΡΙΩΤΑΤῼ͂

ΤΗΣ ΘΕΟΥΠΟΛΕΩΣ ΑΝΤΙΟΧΕΙΑΣ

ΠΑΤΡΙΑΡΧῌ͂

ΚΥΡΙῼ͂ ΚΥΡΙῼ͂

## ΑΝΘΕΜΙῼ͂

ΚΑΙ Τῼ͂ ΜΑΚΑΡΙΩΤΑΤῼ͂

ΠΑΤΡΙΑΡΧῌ͂

ΤΗΣ ΑΓΙΑΣ ΠΟΛΕΩΣ ΙΕΡΟΥΣΑΛΗΜ

ΚΥΡΙῼ͂ ΚΥΡΙῼ͂

## ΑΝΘΙΜῼ͂

ΠΟΙΜΕΝΑΡΧΑΙΣ ΔΕΣΠΟΤΑΙΣ

ΚΑΙ

ΠΑΤΡΑΣΙ ΠΡΟΣΚΥΝΗΤΟΙΣ.

---

(*) *Ἀφιερωτικὴ τῆς ἐν Μόσχᾳ Ἐκδόσεως.*

Τὸ τῆς ποιμεναρχίας περίβλεπτον ὕψος, εἰς ὃ ἀνύψωσεν ΥΜΑΣ, ΑΡΧΙΠΟΙΜΑΝΤΟΡΕΣ ΠΑΝΣΕΒΑΣΤΟΙ, τοῦ παντάνακτος καὶ τελεταρχικοῦ Πνεύματος ἡ χάρις, πάντας ἐπισυστέλλει, καὶ ἵν' οὕτως εἴπω προσεπαναχαιτίζει τοὺς ἐνώπιον ΥΜΩΝ παῤῥησιασθῆναι, καὶ δῶρον ΥΜΙΝ, κἂν ὁποιονδήποτε τοῦτο ᾖ, προσαγαγεῖν καὶ ἀφοσιώσασθαι ἐθέλοντας· πολλῷ δὲ μᾶλλον τὸν μηδενὸς τῶν ἱερατικῶν λαχόντα Κλήρου, μηδὲ ὑψώμασιν ἀξιωμάτων ἐμπρέποντα, ἀλλ' ἐν τῇ κάτω τῶν κοσμικῶν διατελοῦντα τάξει, καὶ μόνῳ τῷ τῆς ὀρθοδοξίας σεμνυνόμενον ὑπεραγίῳ ὀνόματι· ἐπεὶ δὲ ἡ αὐτὴ χάρις ἡ τοσοῦτον ΥΜΑΣ ὑπεράρασα, καὶ τοῖς χαρακτῆρσι τῆς κοινωνίας καὶ ἐπιεικείας κατεκόσμησε, κοινοὺς καὶ εὐμενεῖς διδασκάλους καὶ ποιμένας καὶ πατέρας καταστήσασα, δῆλον ὅτι καὶ εὐπροσίτους οὐ μόνον τοῖς ὑψηλοῖς, ἀλλὰ δὴ καὶ τοῖς ταπεινοῖς ἐναπέδειξεν. Ἐκ τούτου αὐτὸς πᾶσαν μὲν ἀποθέμενος δειλίαν, πᾶσαν δὲ ἀναλαβὼν χρηστὴν ἐλπίδα, ἐνώπιον τοῦ Θρόνου τῆς ἁγιωσύνης ΥΜΩΝ νοερῶς παριστάμενος, τὴν Βίβλον ταύτην μεθ' ὅσης εὐλαβείας καὶ τῆς ἕως ἐδάφους προσκυνήσεως ΥΜΙΝ προσφέρων ἀνατίθημι· ἤτοι γὰρ οὐδενὶ τῶν ἁπάντων, ἢ ΥΜΙΝ μόνοις προσφυὴς καὶ κατάλληλος πέφυκεν ἡ ταύτης προσαγωγὴ καὶ ἀνάθεσις. ΥΜΕΙΣ γὰρ ΑΡΧΙΕΡΑΡΧΑΙ ΑΓΙΩΤΑΤΟΙ, ἐν τούτοις μάλιστα τοῖς ἐπικινδύνοις καιροῖς, ἐν οἷς ὑπὲρ ἄλλοτέ ποτε τῆς ἀσεβείας, τῆς θυγατρὸς τοῦ παραλογισμοῦ καὶ τῆς φαυλοβιότητος, ὁ βορβορώδης ἐξεχύθη χείμαῤῥος, κατακλύζειν πειρώμενος τῆς ἀληθείας τὰ σπέρματα, ὡς στῦλοι ἀκράδαντοι ἐπὶ τὴν πέτραν τῆς ἀληθοῦς καὶ ἀμώμου πίστεως ἑστηκότες, καὶ ἐξ αὐτῶν τῶν θεοπνεύστων Γραφῶν τῆς εὐσεβείας τὰ δόγματα καὶ τῆς ὀρθῆς τῶν ἠθῶν διδασκαλίας τὸ μάθημα ἀκίβδηλα ἀρύοντες καὶ ἄδολα, καὶ τῇ τοῦ σοφοῦ λόγου ἰσχύϊ ἐκτιθέντες, καὶ τῷ τοῦ ἐνθέου ΥΜΩΝ ὑποδείγματος κράτει ἐπιῤῥωννύντες, καὶ δι' αὐτῶν ὡς καλοὶ Ποιμένες τρέφοντες εὐσεβῶς καὶ ποτίζοντες ἐπιστημόνως τοῦ Υἱοῦ καὶ Λόγου τοῦ Θεοῦ τὰ λογικὰ πρόβατα, ἀνεπηρέαστα διασώζετε καὶ ἀπήμαντα ἀπὸ τῆς πανωλέθρου τῶν ἀσεβῶν βλάβης.

ΥΜΕΙΣ ἐστὲ νῦν αἱ πρώτισται πηγαὶ, δι' ὧν τὸ ἐπουράνιον καὶ ζωηρὸν τῆς πίστεως καὶ τῆς ἀρετῆς πηγάζον νᾶμα, καὶ ποτίζει καὶ εὐφραίνει καὶ δωρεῖται τοῖς δαψιλῶς καὶ εὐλαβῶς αὐτὸ πίνουσι τὴν βασιλείαν τὴν αἰώνιον· ΥΜΕΙΣ νῦν οἱ πρῶτοι Ἱερομύσται καὶ διδάσκαλοι καὶ διανομεῖς τοῦ λόγου τοῦ Θεοῦ, καὶ οἱ ἐπηβολώτατοι τούτου διερμηνευταὶ καὶ ἐκφάντορες διαπρύσιοι· εἰκότως οὖν καὶ πάνυ εὐλογοφανῶς τοῦτον πάντες λόγον εὐσεβείας καὶ ὀρθότητος ἡγήσονται, ὃν ἂν ΥΜΕΙΣ τοιοῦτον ἐπικρίνητε, καὶ ὃν Βίβλος φέρῃ τοῖς ΥΜΕΤΕΡΟΙΣ καθωραϊσμένη καὶ ἐπισεμνωμένη σεβαστοῖς ὀνόμασιν. Ἐπεὶ δὲ τήν δε τὴν βίβλον διανεμηθῆναι δωρεὰν ἐν ταῖς ἁγίαις τοῦ Θεοῦ Ἐκκλησίαις διέταξεν ὁ ταύτης συγγραφεὺς, κἀμοὶ διὰ τοῦτο αὐτὴν ἐδωρήσατο, οὐκ ἄλλῳ τινὶ πάντως, εἰμὴ ΥΜΙΝ τοῖς ἐν αὐταῖς Πρωτοκορυφαίοις καὶ αὐτῶν τῶν προεδρευόντων προέδροις ταύτην με προσενεγκεῖν ἔδει καὶ ἀναθῆναι. Διερμηνευτικὴ τοῦ εὐαγγελικοῦ λόγου, καὶ διδακτικὴ τῆς ἠθῶν εὐκοσμίας ἐστὶν ἡ Βίβλος, ὅπερ ἐστὶ κοινή τις καὶ ἕτοιμος τῶν λογικῶν ΥΜΩΝ προβάτων πνευματικὴ πόα, τὴν ψυχὴν αὐτῶν τρέφουσα, καὶ πρὸς τὰς σωτηρίους καθοδηγοῦσα διεξόδους· ἔνθεν τοι οὐδὲ διστάζειν ἔπεισι περὶ τοῦ ὅτι ΥΜΕΙΣ, ὡς κοινοὶ πάντων τῶν ὀρθοδόξων ποιμένες, καὶ πατέρες φιλότεκνοι, ἐπὶ μὲν τὴν Βίβλον ἀσμένως ἐπιβλέψαντες, φιλοστόργου ἀξιώσετε ὑποδοχῆς τε καὶ προστασίας, κῦρος καὶ ὡραϊσμὸς ἐσομένης αὐτῇ καὶ πάντιμον σέμνωμα· οὐ μὴν ἀλλὰ καὶ δύναμιν χορηγησομένης αὐτῇ τῆς τῶν ἀναγινωσκόντων καὶ ἀκροωμένων προθυμίας τε καὶ εὐλαβείας ἐφελκυστικήν· τὸν δὲ ταύτην φιλοπονήσαντα, κἀμὲ τὸν πρὸς τὴν ἀνακοίνωσιν καὶ διανομὴν αὐτῆς συνεργήσαντα ταῖς θεοπυθέσι καὶ πανευπροσδέκτοις εὐχαῖς ΥΜΩΝ καὶ εὐλογίαις καταστέψετε, παντὸς ἀγαθοῦ παρεκτικαῖς ἡμῖν καὶ τῆς αἰωνίου σωτηρίας.

ΤΗΣ ΥΜΕΤΕΡΑΣ ΠΑΝΥΠΕΡΤΙΜΟΥ ΘΕΟΠΡΟΒΛΗΤΟΥ
ΚΑΙ ΘΕΟΔΟΞΑΣΤΟΥ ΜΑΚΑΡΙΟΤΗΤΟΣ.

*Τέκνον ἐν Χριστῷ εὐπειθέστατον καὶ
ὑποκλινέστατος δοῦλος*

ΑΝΑΣΤΑΣΙΟΣ ΖΩΣΙΜΑ.

# ΠΡΟΛΟΓΟΣ.

Κηρύττεται μὲν καθ' ἑκάστην ἡμέραν ἐν τῇ Ἐκκλησίᾳ ὁ τοῦ Εὐαγγελίου λόγος, συναθροίζεται δὲ ἐν αὐτῇ, ἐξόχως κατὰ πᾶσαν Κυριακὴν, ὁ τοῦ Κυρίου λαὸς, καὶ πάντες μὲν ἀκούουσιν αὐτὸν, πάνυ δὲ ὀλίγοι τὰ τούτου κατανοοῦσι νοήματα· τοῦτο δὲ λύπης καὶ δακρύων ἄξιον· ὁ γὰρ τοῦ Θεοῦ λόγος, ὁ εἰς τὰς ἀκοὰς τῶν μὴ συνιέντων αὐτὸν πίπτων, πάσχει τοῦ ἐπὶ τῶν πετρῶν σπαρέντος σπόρου τὸ πάθημα, μένει δηλονότι ἄπρακτος, καθάπερ καὶ ὁ σπόρος ἄκαρπος· ἱκανὴν δὲ τῷ πάθει τούτῳ τὴν θεραπείαν εὗρεν ἡ τοῦ θεηγόρου Παύλου ἁγιωσύνη καὶ σύνεσις, διερμηνευτὴν τοῦ λόγου ὁρίσασα, καὶ τὴν τούτου σιγὴν, ὅταν οὗτος μὴ παρῇ, ἐπιθεσπίσασα· Ἐὰν δὲ μὴ ᾖ διερμηνευτὴς, σιγάτω ἐν Ἐκκλησίᾳ· ἑαυτῷ δὲ λαλείτω καὶ τῷ Θεῷ. Ταύτῃ δὲ τῇ Ἀποστολικῇ πειθαρχοῦντες θεσμοθεσίᾳ οἱ ἀρχαῖοι ποιμένες καὶ διδάσκαλοι, μετὰ τὴν ἐπ' Ἐκκλησίας τῶν θεοπνεύστων Γραφῶν ἀνάγνωσιν, διηρμήνευον ἐπ' ἀκροάσει παντὸς τοῦ περιεστῶτος λαοῦ τὰ ἀναγνωσθέντα ῥήματα. Τίνας δ' ἂν εὕρῃς, ἢ σοφωτέρους τούτων, ἢ νοητικωτέρους, ἢ ἐπηβολωτέρους τοῦ θείου λόγου διερμηνευτάς; ἔχομεν ἄχρι τῆς σήμερον, κᾂν μὴ πάντων, ἐνίων δ' οὖν ὅμως, τὰς πανσόφους καὶ πλήρεις πάσης χάριτος ἑρμηνείας· ἔπρεπεν οὖν ἵνα αὐτὰς πάντοτε ἐπ' Ἐκκλησίας ἀναγινώσκωμεν· ἀλλ' ἐπεὶ ὁ πανδαμάτωρ καιρὸς καὶ αἱ ἐναντίαι τῶν πραγμάτων περιστάσεις τὴν κοινὴν χρῆσιν, ἑπομένως δὲ καὶ τὴν κοινὴν κατάληψιν διέφθειραν τῆς χρυσῆς διαλέκτου, δι' ἧς ἐκεῖνοι αὐτὰς συνέγραψαν, περιττὴ ἐγένετο ἡ τούτων ἀνάγνωσις ἐν ταῖς ἐκκλησιαστικαῖς συνάξεσι.

Τῷ ἐλεεινῷ τούτῳ συμβάματι ἡμεῖς ὁπωσοῦν ἀπαντῆσαι προθυμηθέντες, τὴν ἑρμηνείαν τοῦ κατὰ πᾶσαν Κυριακὴν ἐν ταῖς τῶν ὀρθοδόξων Ἐκκλησίαις ἀναγινωσκομένου Εὐαγγελίου, μετ' αὐτὴν δὲ καὶ ἠθικὴν ὁμιλίαν συντάξαι ἔγνωμεν, οὐκ ἰδίᾳ θαῤῥήσαντες δυνάμει, ἀλλὰ τοῖς τῶν εἰρημένων ἁγίων ἀνδρῶν ἐγκύψαντες πρότερον ὑπομνήμασι, καὶ ταῖς τούτων ἑρμηνείαις προκατηχηθέντες, καὶ ἀπ' αὐτῶν ὡς ἀπὸ πηγῶν σωτηρίου τὰ πλεῖστα ἀρυσάμενοι, καὶ πρὸς τὸν Θεὸν δὲ τὸν μὴ καταισχύνοντα τὰ πρόσωπα τῶν πρὸς αὐτὸν προσερχομένων καὶ τὸν φωτισμὸν αἰτούντων, πᾶσαν ἐπιῤῥίψαντες τὴν ἐλπίδα. Διάλεκτον δὲ

μετήλθομεν οὐκ αὐτὴν ἐπ' ἀκριβὲς τὴν τῶν προπατόρων ἡμῶν, τὴν νῦν μὴ ὑπὸ πάντων ἐντελῶς κατανοουμένην· ἵνα μὴ ὅπερ θεραπεῦσαι σπεύδομεν, τοῦτο αὐτὸ πάλιν ἐπεισάξωμεν τῆς ἀκαταληψίας τὸ νόσημα· ἀλλ' οὐδὲ αὐτὴν τὴν ἐν τῇ ἀγορᾷ καὶ ἐν ταῖς τριόδοις ὑπὸ τῶν χυδαίων λαλουμένην· αὕτη μὲν γὰρ διὰ τὰ ἀπὸ τῆς φθορᾶς τραύματα, καὶ διὰ τὰς παρεισενεχθείσας ξενικὰς λέξεις, καὶ διὰ τ' ἄλλα αὐτῆς ἐλαττώματα ἀνεπιτήδειός ἐστι πρὸς πᾶσαν μὲν σοφῆς πραγματείας συγγραφὴν, ἐξόχως δὲ πρὸς τὴν τῶν θείων λόγων διασάφησιν, ἅτε δὴ σμικρύνουσα τὴν μεγαλοπρέπειαν, καὶ ταπεινοῦσα τὸ ὕψος, καὶ περικείρουσα τὴν ἀκριβῆ τῶν ἐν αὐτοῖς νοημάτων ἔκφρασιν· ἄλλην δέ τινα ἐπιτηδεύθημεν, καθαρεύουσαν ὅσον οἷόν τε, ὅπερ ἐστὶν ὅσον οὐκ ἀφαιρεῖ τὴν κατάληψιν, τῶν τῆς δυσμορφίας ἐλαττωμάτων, καὶ τῇ Ἑλληνίδι ἐγγίζουσαν, ἁπλουστέραν δὲ, καὶ τοῖς τῶν Ἑλλήνων παισὶ καταληπτὴν καὶ εὐχώρητον.

Οὕτως οὖν τῆς βίβλου συγγραφείσης, ἐν ᾧ σκέψις ἦν περὶ τοῦ ἐκτυπωθῆναι, καὶ ἀμισθὶ αὐτὴν ταῖς ἁγίαις δωρηθῆναι Ἐκκλησίαις, αὐτόκλητος προφθὰς ὁ εὐσεβὴς καὶ τίμιος ἀνὴρ, ὁ χρησιμώτατος Κύριος Ἀναστάσιος Ζωσιμᾶ ἥρπασε τῆς μισθαποδοσίας τὸν στέφανον, ἔργον αὐτοῦ τε καὶ τῶν αὐταδέλφων αὐτοῦ ποιήσας καὶ τὰ περὶ τὴν δαπάνην, καὶ τὰ περὶ τὴν ῥηθεῖσαν διανομὴν, εἰς μνημόσυνον αὐτῶν τε καὶ τῶν γεννητόρων αὐτῶν διηνεκὲς καὶ αἰώνιον.

Εὐμενῶς οὖν ἅπαντες, ἀγαπητοὶ ἐν Χριστῷ ἀδελφοὶ, ταύτην ὑποδέξασθε τὴν βίβλον· καὶ οἱ μὲν Ἐκκλησιαστικοὶ τὴν τοῦ πλησίον ἀναλαβόντες ἀγάπην, ἐν ταῖς Ἐκκλησιαστικαῖς συνάξεσιν ἀναγινώσκειν αὐτὴν μὴ κατοκνῆτε· οἱ δὲ λαϊκῶν τάξιν ἐπέχοντες προθύμῳ ψυχῆς διαθέσει ἤτοι μελετᾶτε, ἢ ἀκούετε τὸν ὑπ' αὐτῆς διερμηνευόμενον θεῖον λόγον· οὕτω γὰρ αὐτὸς οὐ μόνον εἰς τὰ ὦτα ὑμῶν πεσεῖται, ἀλλὰ καὶ εἰς τὴν καρδίαν εἰσελεύσεται· εἰσελθὼν δὲ, κενὸς οὐκ ἐξελεύσεται, ἀλλὰ καρποφορήσει τῆς ἀρετῆς τὸν καρπὸν τὸν σωτήριον. Τοῦτο ἡμεῖς πόθῳ ψυχῆς ζέοντι καὶ κατανύξει καρδίας ἐξαιτούμεθα παρ' αὐτοῦ τοῦ ἐξ οὐρανοῦ ἐξελθόντος σπεῖραι τὸν σπόρον αὐτοῦ, τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, τοῦ πάντων τῶν ἀγαθῶν χορηγοῦ καὶ Σωτῆρος.

Ν. ὁ Α.



# ΕΡΜΗΝΕΙΑ

ΕΙΣ ΤΟ ΚΑΤΑ

# ΙΩΑΝΝΗΝ

## ΕΥΑΓΓΕΛΙΟΝ ΤΗΣ ΚΥΡΙΑΚΗΣ ΤΟΥ ΠΑΣΧΑ.

Πρεπόντως καὶ εὐλογοφανῶς οἱ τὰς ἐν τῇ Ἐκκλησίᾳ ἀναγνώσεις διαταξάμενοι ἅγιοι ἄνδρες ὥρισαν, ἵνα κατὰ πᾶσαν δεσποτικὴν ἑορτὴν ἀναγινώσκωνται τὰ περὶ τῆς ἑορτῆς διαλαμβάνοντα ἱερὰ Εὐαγγέλια. Διατί λοιπὸν σήμερον ἡ Ἐκκλησία ἀντὶ τῆς ἀναγνώσεως τῶν Εὐαγγελίων, τῶν καθιστορούντων τοῦ Χριστοῦ τὴν ἀνάστασιν, ἀναγινώσκει τὴν ἀρχὴν τοῦ κατὰ Ἰωάννην Εὐαγγελίου, ἥτις οὐδὲν περὶ ταύτης τῆς λαμπροφόρου ἑορτῆς διαλαμβάνει; λόγον ἔχει τὸ πρᾶγμα, ἀγαπητοί μου ἀδελφοὶ, πολλὰ ὑψηλὸν καὶ θεοπρεπῆ καὶ ἀξιάκουστον. Ἡ σημερινὴ ἡμέρα ὑπὸ τῶν ἁγίων Γραφῶν, ὡς πρώτη ἡμέρα, καὶ ἀρχὴ τοῦ ἀριθμοῦ τῶν ἡμερῶν, ὠνομάσθη μία· ὑπὸ δὲ τῶν Χριστιανῶν, Κυριακὴ, ἐκ τοῦ ὀνόματος τοῦ Κυρίου, τοῦ ἐν αὐτῇ ἐκ νεκρῶν ἀναστάντος· αὐτή ἐστι πρώτη τῶν ἄλλων ἡμερῶν καὶ κατὰ τὸν λόγον τῆς δημιουργίας, καὶ κατὰ τὸν λόγον τῆς ἀναπλάσεως, διότι ἐν αὐτῇ ὁ Θεὸς διὰ τῆς ἐκ τοῦ μὴ ὄντος παραγωγῆς ἤρξατο τῆς δημιουργίας τοῦ κόσμου· Καὶ ἐγένετο ἑσπέρα, καὶ Γεν. ά. 5.
ἐγένετο πρωΐ, ἡμέρα μία. Ἐν αὐτῇ καὶ ὁ μονογενὴς αὐτοῦ Υἱὸς διὰ τῆς ἐκ νεκρῶν ἀναστάσεως ἐτελείωσε τὴν τῆς



ἀν-

Λουκ. κδ'. ἀνθρωπίνης φύσεως ἀνάπλασιν· Τῇ μιᾷ
1. τῶν σαββάτων, ἢ κατὰ τὸν Εὐαγγε-
Μάρκ. ιϛ'. λιστὴν Μάρκον, Ἀναστὰς πρωῒ πρώ-
9. τῃ σαββάτου, ἐφάνη πρῶτον Μα-
ρίᾳ τῇ Μαγδαληνῇ. Θαυμαστὰ ἀλη-
θῶς τῆς ἀπείρου σοφίας τοῦ παντοδυνά-
μου Θεοῦ τὰ οἰκονομήματα! Κατὰ τὴν
πρώτην ἡμέραν, ἤγουν κατὰ τὴν Κυρια-
κὴν, ἐγένετο καὶ ἡ πλάσις πάσης τῆς
κτίσεως, καὶ ἡ ἀνάπλασις ὅλης τῆς ἀν-
θρωπότητος· ἡ πλάσις ἔργον τοῦ ἀσάρ-
Ψαλ. ριζ'. κου Λόγου· Δεξιὰ Κυρίου ἐποίησε
16. δύναμιν· ἡ ἀνάπλασις, ἔργον τοῦ σε-
σαρκωμένου Λόγου· Δεξιὰ Κυρίου ὕ-
ψωσέ με. Ἐπειδὴ λοιπὸν σήμερον ἐγέ-
νετο ὑπὸ τοῦ Υἱοῦ καὶ Λόγου τοῦ Θεοῦ
καὶ ἡ πλάσις καὶ ἡ ἀνάπλασις, διὰ
τοῦτο σήμερον ἐδιωρίσθη ἡ ἀνάγνωσις
τῆς φωνῆς τοῦ Υἱοῦ τῆς βροντῆς, ἥτις
Ἰωάν. α'. θεολογεῖ τὸ, ἐν ἀρχῇ ἦν ὁ Λόγος,
1. ἤγουν τὴν αἰώνιον ὕπαρξιν τοῦ Λόγου,
Ἀυτ. 14. ἐξ οὗ ἡ δημιουργία· καὶ τὸ, ὁ Λόγος
σὰρξ ἐγένετο, ἤγουν τὴν ἔγχρονον ἐ-
νανθρώπησιν, ἐξ ἧς ἡ ἀνάπλασις. Ἐν
ταύτῃ τῇ ἡμέρᾳ ἐκτίσθη ὁ οὐρανὸς καὶ
ἡ γῆ, καὶ ἠκούσθη ἡ πρώτη δημιουργικὴ
Γεν. α'. 3. φωνὴ τοῦ Θεοῦ· Καὶ εἶπεν ὁ Θεός· Γε-
νηθήτω φῶς, καὶ ἐγένετο φῶς. Ἐν
ταύτῃ τῇ ἡμέρᾳ ἀνήγγειλεν εἰς τὰς μυρο-
φόρους ὁ μονογενὴς Υἱὸς τοῦ Θεοῦ τὸ πρῶ-
τον χαροποιὸν μήνυμα τῆς ἀναπλάσεως·
Ματ. κη'. Καὶ ἰδοὺ ὁ Ἰησοῦς ἀπήντησεν αὐ-
9. ταῖς, λέγων· Χαίρετε. Ἐν αὐτῇ λοι-
πὸν τῇ ἡμέρᾳ ἔπρεπε καὶ ἡ ἀνάγνωσις
τῶν πρώτων δογμάτων τῆς σωτηρίας·
Ψαλ. ριζ'. Αὕτη ἐστὶν ἡ ἡμέρα, ἣν ἐποίησεν
24. ὁ Κύριος· πρώτη κατὰ τὴν τάξιν, πρώ-
τη κατὰ τὴν ἀξίαν, πρώτη κατὰ τὰ χα-
ρίσματα, πρώτη ἡμέρα τῆς ἀναστάσεως
τοῦ ἀνθρώπου, καὶ τῆς ἀποκαταστάσεως
αὐτοῦ εἰς τὴν αἰώνιον δόξαν καὶ Βασι-
λείαν· ἐν αὐτῇ λοιπὸν ἀναγινώσκονται
καὶ τὰ πρώτιστα καὶ ὑψηλότερα καὶ
θεμελιώδη εὐαγγελικὰ ῥήματα τῆς ὀρ-
θοδόξου πίστεως. Καὶ ἀληθῶς ἡ σήμε-
ρον ἀναγνωσθεῖσα εὐαγγελικὴ περικοπὴ
περιέχει ὅλον τὸ μέγα μυστήριον τῆς
ἐκ Πατρὸς ἀχρόνου γεννήσεως τοῦ Υἱοῦ
καὶ Λόγου τοῦ Θεοῦ, καὶ τὴν θεοπρεπῆ
καὶ ἄφατον αὐτοῦ οἰκονομίαν τῆς ἐν χρό-
νῳ γενομένης ἐκ Παρθένου μητρὸς ἐναν-
θρωπήσεως αὐτοῦ· ἑπομένως ὁ μὲν ἑρ-
μηνευτὴς τούτων χρείαν ἔχει νοὸς ὑψη-
λοῦ καὶ ἁγίου, οἱ δὲ ἀκροαταὶ ἀκοῆς κα-
θαρᾶς καὶ προσεκτικῆς· καὶ ἡμεῖς μὲν,
κἂν εὐτελεῖς ἐσμὲν καὶ ἁμαρτωλοὶ, τὸν
ἄναρχον ἐπικαλούμεθα φωτοδότην Θεὸν,
τὸν Πατέρα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χρι-
στοῦ, ἵνα ἄνωθεν τὸν φωτισμὸν αὐτοῦ
ἡμῖν ἐπικαταπέμψῃ πρὸς ἑρμηνείαν τῶν
προκειμένων Εὐαγγελικῶν λόγων· ὑμεῖς
δὲ καθάραντες ἑαυτοὺς πάσης γηΐνης προσ-
παθείας, καὶ διὰ τῆς προσοχῆς καὶ εὐ-
λαβείας ὑψώσαντες τὸν νοῦν, προσηλώ-
σατε αὐτὸν εἰς τὴν ἀκρόασιν τοῦ ὑψηλοῦ
τούτου καὶ ψυχοσωτηρίου τῆς πίστεως
μαθήματος.

## Ἐν ἀρχῇ ἦν ὁ Λόγος· Ἰωάν. α'. 1.

Πρώτη λέξις τῆς παλαιᾶς Διαθή-
κης τὸ, ἐν ἀρχῇ· πρῶτος λόγος τοῦ Γεν. α'. 1.
κατὰ Ἰωάννην Εὐαγγελίου τὸ, ἐν ἀρ-
χῇ. Σύμφωνος τῷ Εὐαγγελίῳ ἡ Πα-
λαιὰ Γραφὴ, ἐπειδὴ καὶ τῶν δύω εἷς καὶ
ὁ αὐτὸς ποιητής ἐστιν, ὁ Θεός· πλὴν ἐ-
πειδὴ ἡ μὲν Παλαιὰ Γραφὴ τὴν δημιουρ-
γίαν τῶν κτισμάτων καθιστορεῖ, τὸ δὲ
Εὐαγγέλιον τὴν ἀΐδιον γέννησιν τοῦ Υἱοῦ
τοῦ Θεοῦ διδάσκει, διὰ τοῦτο ἄλλο ση-
μαίνει τὸ, ἐν ἀρχῇ, τῆς Μωσαϊκῆς βί-
βλου, καὶ ἄλλο τὸ, ἐν ἀρχῇ, τοῦ κατὰ
Ἰωάννην Εὐαγγελίου. Ὁ μὲν Μωϋσῆς
διὰ τοῦ, ἐν ἀρχῇ, ἐφανέρωσε τὸ ἐν
πρώτοις, ἤγουν πρῶτον ἐποίησεν ὁ Θεὸς
τὸν οὐρανὸν καὶ τὴν γῆν, εἶτα τὰ ἄλλα

ποιή-

Ὁρ. τὴν ἑλλ. Συρ. εἰς τὴν Ὀκτ. Κύριλλ. εἰς τὸ κατὰ Ἰωάνν. ὑπόμν.

ποιήματα. Ὁ δὲ Ἰωάννης διὰ τοῦ, ἐν ἀρχῇ, ἐδήλωσε τὴν ἄναρχον καὶ πρωτίστην ἀρχὴν τῶν ἁπάντων, τουτέστι τὸν Θεὸν καὶ Πατέρα. Ἦν δὲ εἶπε, πρῶτον μὲν ἵνα φανερώσῃ, ὅτι οὐδέποτε εὑρέθη καιρὸς, ἐν ᾧ οὐχ ὑπῆρχεν ὁ Υἱὸς τοῦ Θεοῦ, ἀλλ' ἀπ' αἰῶνος ἐγεννήθη ἐκ τοῦ Πατρὸς, καὶ συναϊδίως· διότι καθὼς οὐδέποτε ἐφάνη ἡ ἀκτὶς τοῦ ἡλίου χωρὶς φωτὸς, οὕτως οὐδέποτε ἦν ὁ Πατὴρ ἄνευ τοῦ Υἱοῦ· ἀλλ' ἅμα, ἤγουν κατὰ τὸν αὐτότατον καιρὸν, Πατὴρ, καὶ ἅμα Υἱὸς, καθὼς ἅμα ἀκτὶς, καὶ ἅμα φῶς· ψεῦδός ἐστιν, ἐὰν εἴπωμεν, ὅτι πρῶτον βλέπομεν τὴν ἀκτῖνα, καὶ ἔπειτα τὸ φῶς· βλάσφημόν ἐστιν, ἐὰν πιστεύσωμεν, ὅτι πρῶτον ὑπῆρχεν ὁ Πατὴρ, ἔπειτα μετά τινα καιρὸν ἐγεννήθη ὁ Υἱός· ὅθεν τὸ εὐαγγελικὸν τοῦτο, ἦν, ἐμφράττει τὰ βλάσφημα τῶν Ἀρειανῶν στόματα, τῶν λεγόντων, ὅτι ἐστάθη καιρὸς, ἐν ᾧ οὐκ ἦν ὁ Υἱὸς τοῦ Θεοῦ, καὶ ὅτι οὐκ ἔστι σύγχρονος, οὐδὲ συναΐδιος τῷ Πατρὶ, ἀλλ' ὑστερόχρονος, καὶ μετά τινα καιρὸν γεγεννημένος· ἐπειδὴ, εἰπὼν ὁ Εὐαγγελιστὴς τὸ, ἦν, ἐπῆρε καὶ ἀφεῖλε πάντα ἄλλον προλαβόντα καιρόν· διότι, ὁποῖον καιρὸν καὶ ἂν ἐννοήσῃς, τὸ ἦν, πρότερόν ἐστι τοῦ ὑπὸ σοῦ νοηθέντος. Δεύτερον δὲ, ἦν, εἶπε, καὶ οὐχὶ, ἐποίησεν, ὡς ὁ Μωϋσῆς, ἵνα μὴ κτίσμα, ἢ ποίημα, ἀλλὰ Θεὸν ὁμοούσιον τῷ Πατρὶ τὸν Υἱὸν πιστεύσωμεν· εἶπεν, ἦν, καὶ οὐχὶ ἐγέννησεν, ἵνα μὴ τύχῃ καὶ ἡ λέξις, ἐγέννησε, παρασείρῃ τὸν νοῦν ἡμῶν, καὶ συλλογισθῶμεν πάθη ἀνθρώπινα εἰς τὴν θείαν καὶ ἀπαθῆ τοῦ Υἱοῦ τοῦ Θεοῦ γέννησιν. Εἶπε λοιπὸν, ἐν ἀρχῇ, ὁ Εὐαγγελιστὴς, ἀρχὴν ὀνομάσας τὸν Θεὸν καὶ Πατέρα, ὡς ἀρχὴν καὶ αἴτιον τῶν ἁπάντων, τῶν μὲν κτισμάτων, δημιουργικὸν, τοῦ δὲ Υἱοῦ αὐτοῦ, φυσικόν· εἶπε δὲ, ἦν, ἵνα φανερώσῃ, ὅτι μετ' αὐτῆς τῆς ἀρχῆς, ἤγουν τοῦ Θεοῦ καὶ Πατρὸς πρὸ πάντων τῶν αἰώνων ἦν ὁ Υἱός· καὶ ὅτι μὲν ταύτην τὴν ἔννοιαν ἔχει τὸ, ἐν ἀρχῇ ἦν, ἐπιβεβαιοῖ τοῦτο καὶ τὸ ἑξῆς
ῥητόν· Καὶ ὁ λόγος ἦν πρὸς τὸν Ἰωάν. ά. 1.
Θεόν· καὶ τὸ κατώτερον ὁμοίως· Ὁ Αὐτ. 18.
μονογενὴς Υἱὸς, ὁ ὢν εἰς τὸν κόλπον τοῦ πατρός. Κεῖται δὲ ἀντὶ τοῦ, ἦν, τὸ, ὁ ὤν· καὶ ἀντὶ τοῦ, ἐν ἀρχῇ, τὸ, εἰς τὸν κόλπον τοῦ πατρός·
ὁμοίως δὲ καὶ τὸ ῥητόν· Ἵνα γνῶτε Αὐτ. ί. 38.
καὶ πιστεύσητε, ὅτι ἐν ἐμοὶ ὁ Πατὴρ, κἀγὼ ἐν αὐτῷ. Καὶ ὁ προφήτης Δαβὶδ τὸ αὐτὸ νόημα περὶ τοῦ Υἱοῦ
ψαλμῳδεῖ, λέγων· Μετὰ σοῦ ἡ ἀρχὴ Ψαλ. ρί. 3.
ἐν ἡμέρᾳ τῆς δυνάμεώς σου, ἐν ταῖς λαμπρότησι τῶν ἁγίων σου.

Διατί δὲ Λόγον, καὶ οὐχὶ Υἱὸν ὠνόμασεν ὁ Εὐαγγελιστὴς τὸν Υἱὸν τοῦ Θεοῦ εἰπὼν, ἐν ἀρχῇ ἦν ὁ Λόγος, πολλά εἰσι τὰ αἴτια. Ἓν μὲν ἐκεῖνο, ὃ καὶ διὰ τὸ, ἐγέννησεν, εἴπομεν· ἤγουν εἶπε, Λόγος, καὶ οὐχὶ Υἱὸς, ἵνα μήτις ἀκούσας Υἱὸν, χρόνον νοήσῃ, καὶ πάθος, καὶ ὅσα συμβαίνουσιν εἰς τὴν γέννησιν τῶν υἱῶν τῶν ἀνθρώπων· ἄλλο δὲ, ἡ κατά τινα τρόπον ὁμοιότης, ἣν ἔχει ὁ Υἱὸς τοῦ Θεοῦ, καὶ ὁ τοῦ ἀνθρωπίνου νοὸς λόγος· βλέπε δὲ τὴν ὁμοιότητα. Ἐκ τοῦ νοὸς ἡμῶν χωρὶς πάθους καὶ καιροῦ διάστημα προέρχεται ὁ λόγος· ἐκ τοῦ Θεοῦ καὶ Πατρὸς ἀπαθῶς καὶ ἀχρόνως γεννᾶται ὁ Υἱός. Ὅλην τὴν ἔννοιαν εἰκονίζει καὶ ἐμφαίνει ὁ τοῦ νοὸς ἡμῶν λόγος, τέλειος ὢν καθ' ἑαυτόν· ὅλον τὸν γεννήσαντα Πατέρα ἐν ἑαυτῷ φέρει καὶ δείκνυσιν ὁ Υἱὸς, εἰκὼν τοῦ γεννήσαντος Πατρὸς ὢν, καὶ ὑπερτέλειος καθ' ἑαυτόν. Ὁ λόγος τοῦ νοὸς ἐν τῷ στόματι ἡμῶν προφορικὸς γίνεται· ὁ Υἱὸς τοῦ Θεοῦ ἐν τῇ κοιλίᾳ τῆς Παρθένου Μητρὸς σὰρξ ἐγένετο. Ἀκούεται ὁ προφορικὸς λόγος καὶ γράφεται· ἠκούσθη, καὶ ὡράθη, καὶ



αἰσ-

αἰσθητὸς ἐγένετο ὁ Ὑιὸς τοῦ Θεοῦ, γενόμενος ἄνθρωπος· λόγον λοιπὸν εἶπε τὸν Ὑιὸν ὁ Εὐαγγελιστὴς, ἵνα τὴν ἀληθῆ ἐκ τοῦ Πατρὸς γέννησιν παραστήσῃ, καὶ θεολογήσῃ τοῦ Υἱοῦ τὴν ὕπαρξιν, καὶ δείξῃ τὴν ἄχρονον συνάφειαν τοῦ Ὑιοῦ πρὸς τὸν Πατέρα, καὶ προδιαθέσῃ τῶν ἀκροατῶν τὰς ψυχὰς εἰς τὴν θεοπρεπῆ διδασκαλίαν τῆς τοῦ Υἱοῦ τοῦ Θεοῦ σαρκώσεως. Ἄκουσον δὲ καὶ ἄλλο αἴτιον· Λόγος ὠνομάσθη ὁ Ὑιὸς τοῦ Θεοῦ, ἵνα ἡ Νέα Διαθήκη συμφωνῇ καὶ ἐξηγῇ τὴν
Παλαιάν. Καὶ εἶπεν ὁ Θεὸς, ἀναγι-
Γεν. ά. 3. νώσκομεν εἰς τὴν Κοσμογένεσιν· Γενηθή-
Αὐτ. 6. τω φῶς. Καὶ εἶπεν ὁ Θεός· Γενηθήτω στερέωμα· καὶ ἐφεξῆς ὁμοίως ἐπὶ τῆς δημιουργίας ἑνὸς ἑκάστου τῶν κτισμάτων, τὸ, εἶπεν ὁ Θεὸς, λέγει ὁ Μωϋσῆς· τὸ δὲ, εἶπε, φανερόν ἐστιν, ὅτι λόγον σημαίνει· καθὼς καὶ ὁ Προφητά-
Ψαλ. λβ΄. ναξ Δαβὶδ ἑρμηνεύει, λέγων· Τῷ λόγῳ
6. Κυρίου οἱ οὐρανοὶ ἐστερεώθησαν.
Λόγον λοιπὸν ὀνομάσας ὁ Ἰωάννης τὸν
Ἰωάν. ά. 3. Ὑιὸν τοῦ Θεοῦ, καὶ εἰπών· Πάντα δι' αὐτοῦ ἐγένετο, καὶ τὰ ῥητὰ ταῦτα τῆς Παλαιᾶς Γραφῆς ἐξήγησε, καὶ τὰς δύω Διαθήκας συμφώνους ἐναπέδειξεν. Ἐκ τούτου δὲ φανερόν ἐστι τὸ ὑπὸ τοῦ Ἀποστό-
Β΄. Κορ. γ΄. λου Παύλου λεγόμενον· Ἀλλ' ἕως σή-
ιϛ. 16. μερον ἡνίκα ἀναγινώσκεται Μωσῆς, κάλυμμα ἐπὶ τὴν καρδίαν αὐτῶν κεῖται· ἡνίκα δ' ἂν ἐπιστρέψῃ πρὸς Κύριον, περιαιρεῖται τὸ κάλυμμα· ὅταν ἀναγινώσκωμεν μόνην τὴν Παλαιὰν Γραφὴν, ἀσαφῆ καὶ κεκαλυμμένα εὑρίσκομεν τὰ προειρημένα ῥητὰ, μὴ δυνάμενοι δὲ νοῆσαι, πῶς ὁ Θεὸς ἀσώματος ὢν, στόμα ἔχει καὶ προφορικὸν λόγον, ἀποροῦμεν· ὅταν δὲ ταῦτα τὰ τῆς Παλαιᾶς ῥήματα τοῖς Εὐαγγελικοῖς λόγοις παραβάλλωμεν, καὶ ἐφαρμόζωμεν αὐτὰ ἐπὶ τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, ἀφαιρεῖται εὐθὺς ἐκ τῶν ὀμμάτων τοῦ νοὸς ἡμῶν τὸ κάλυμμα, φεύγει ἡ ἀπορία, καὶ βλέπομεν καθαρῶς, ὅτι καὶ τὸ, εἶπε, τοῦ Μωϋσέως, καὶ τὸ, τῷ λόγῳ Κυρίου, τοῦ Δαβὶδ, τὸν Ὑιὸν τοῦ Θεοῦ φανεροῦσιν, ὃν ὁ Θεολόγος ὠνόμασεν Λόγον. Διὰ τούτων οὖν τῶν συντόμων ῥημάτων, Ἐν ἀρχῇ ἦν ὁ Λόγος, τὰ σωτηριώδη ταῦτα μαθήματα διδάξας ἡμᾶς ὁ θεόσοφος Διδάσκαλος, περαιτέρω προάγει τῆς ὑψηλοτάτης αὐτοῦ θεολογίας τὸ δόγμα, λέγων·

## Καὶ ὁ Λόγος ἦν πρὸς τὸν Θεόν. Ἰωάν. ά. 1.

Τοῦτο ὡς ἐξήγησις τοῦ προλαβόντος ἐστὶ, καθὼς ἀνωτέρω εἴπομεν. Βλέπε δὲ τοῦ θείου Πνεύματος τὴν ἀκρίβειαν· πάλιν, καὶ πολλάκις. τὸ, ἦν, ἐπαναλαμβάνει, ἵνα τῆς συναϊδιότητος τοῦ Ὑιοῦ στηρίξῃ τὸ δόγμα, καὶ ἐμποδίσῃ πάντα νοῦν ἀπὸ τῆς ἐννοίας, τῆς περὶ τοῦ, ὅτι ἐστάθη ποτὲ καιρὸς, ὅτε οὐχ ὑπῆρχεν ὁ τοῦ Θεοῦ Ὑιός· λέγει δὲ, Πρὸς τὸν Θεὸν, καὶ οὐχὶ ἐν τῷ Θεῷ, ἵνα ἐμφαντικώτερον διδάξῃ τὸ ἰδιάζον τοῦ προσώπου τοῦ Ὑιοῦ, καὶ διακρίνῃ ἀπ' αὐτοῦ ἀκριβῶς τὸ πρόσωπον τοῦ Πατρὸς, καὶ δείξῃ, ὅτι ἄλλος ὁ Πατὴρ, καὶ ἄλλος ὁ Ὑιὸς κατὰ τὴν ὑπόστασιν, ἓν δὲ κατὰ τὴν οὐσίαν καὶ φύσιν. Αἰσχυνέσθω λοιπὸν ὁ αἱρετικὸς Σαβέλλιος, ὁ τὰ τρία πρόσωπα τῆς παναγίας Τριάδος ἀρνούμενος, καὶ λέγων, ὅτι ἓν μόνον ἐστὶ τὸ τῆς Θεότητος πρόσωπον, ἄλλοτε μὲν ὡς Πατὴρ φανερωθὲν, ἄλλοτε δὲ ὡς Ὑιὸς, καὶ ἄλλοτε ὡς Πνεῦμα ἅγιον· διότι, εἰπὼν ὁ Εὐαγγελιστὴς τὸ, Ὁ Λόγος ἦν πρὸς τὸν Θεὸν, ἔδειξε φανερὰ τὰ δύω πρόσωπα· τὸ μὲν τοῦ Ὑιοῦ, διὰ τοῦ, Ὁ Λόγος ἦν· τὸ δὲ τοῦ Πατρὸς, διὰ τοῦ, Ἦν πρὸς τὸν Θεόν. Ἐπειδὴ δὲ δὶς εἶ-

πεν,

πεν, Ὁ Λόγος, μὴ φανερώσας τίς ἐστιν οὗτος ὁ Λόγος, προστίθησιν εὐθὺς τό,

Ἰωάν. ά. 1. **Καὶ Θεὸς ἦν ὁ Λόγος.**

Ἀνακηρύττει φανερώτατα, ὅτι ὁ Λόγος, περὶ οὗ αὐτὸς λαλεῖ, ἐστὶ Θεός Διὰ τούτου δὲ τοῦ ῥήματος, Καὶ Θεὸς ἦν ὁ Λόγος, ἔθηκεν ἐν ταῖς καρδίαις τῶν πιστευόντων τὸ πρῶτον τῆς ὀρθοδόξου πίστεως θεμέλιον, καὶ ἀπεστόμισε πᾶν βλάσφημον στόμα, τὸ λέγον, ὅτι ὁ Υἱὸς καὶ Λόγος τοῦ Θεοῦ οὐκ ἔστι Θεός· διότι πολλὰ ἀληθῶς παρὰ τοῖς Ἕλλησι τὰ σημαινόμενα τοῦ λόγου· καὶ ὁ Πλάτων δὲ, καὶ οἱ Στωϊκοὶ φιλόσοφοι, καὶ ὁ Φίλων ὁ Ἑβραῖος, λέγοντες, ὅτι μετὰ λόγου ὁ Θεὸς τὰ πάντα ἐδημιούργησεν, ὡς θεῖον μὲν πρᾶγμα ἐπίστευον τὸν λόγον, ἀλλ' οὐχὶ καὶ ὡς Θεοῦ Υἱὸν, καὶ Θεὸν ὁμοούσιον τῷ Πατρὶ καὶ ἐνυπόστατον. Ἐξόχου δὲ ὁ θεηγόρος Ἰωάννης δι' ἀποκαλύψεως θείας ἐθεολόγησε, καὶ ἐμφανέστατα ἐδογμάτισεν, ὅτι Θεὸς ἦν ὁ Λόγος, τίς τῶν πιστευόντων ἀμφιβάλλει, ὅτι ὁ λόγος, περὶ οὗ αὐτὸς λαλεῖ, ἐστὶν ὁ Υἱὸς τοῦ Θεοῦ καὶ Θεός; Ἵνα δὲ τὸ οὐράνιον τοῦτο μάθημα ἐν ταῖς διανοίαις ἡμῶν ἀκριβῶς ἐντυπώσῃ, καὶ ἐμφυτεύσῃ τὸ θειότατον τοῦτο δόγμα ἐν τῷ βάθει τῶν ψυχῶν ἡμῶν, ἐπαναλαμβάνων πάλιν, λέγει·

Πλάτ. ἐν τῷ Τιμ. Στωϊκ. παρὰ Λαερτ, ἐν β'. 7. Φίλ. περὶ κατασκευ. κόσμ. καὶ Ἀλληγορ. καὶ Ἐνυπν.

Ἰωάν. ά. 2. **Οὗτος ἦν ἐν ἀρχῇ πρὸς τὸν Θεόν.**

Οὗτος· Ποῖος; ὁ Λόγος, ὁ Υἱὸς τοῦ Θεοῦ καὶ Θεός· Αὐτὸς, ἦν ἐν ἀρχῇ πρὸς τὸν Θεόν. Τὸ, Ἐν ἀρχῇ δὲ ἐνταῦθα ἄλλην σημασίαν ἔχει τῆς προειρημένης ἐν τῷ, Ἐν ἀρχῇ ἦν ὁ Λόγος· διότι ὧδε σημαίνει τὸ ἀπ' ἀρχῆς, ἤγουν ἀπ' αἰῶνος καὶ συναϊδίως, καθὼς καὶ τὸ, Ὃ ἦν ἀπ' ἀρχῆς· ἢ τὴν ἀρχὴν σημαίνει καὶ ἐξουσίαν, ἣν εἶχεν ὁ Υἱὸς, ὢν ἐν τῷ κόλπῳ τοῦ Θεοῦ καὶ Πατρός. Ὁ Λόγος οὗτος, λέγει, ἦν πρὸς τὸν Θεόν, οὐχὶ δουλοπρεπῶς, καθὼς καὶ τὰ ἄλλα κτίσματα, ἀλλ' ἀρχικῶς, καὶ ὡς ἐξουσίαν ἔχων κατὰ πάσης τῆς κτίσεως· ἦν πρὸς τὸν Θεὸν, οὐχ ὡς Ἅγιος, ἢ ὡς Ἄγγελος, παρὰ Θεοῦ κατὰ χάριν λαμβάνων τὴν ἐξουσίαν καὶ δύναμιν, ἀλλ' ὡς Θεοῦ Υἱὸς, καὶ Θεὸς κατὰ φύσιν, ἔχων τὴν ἀρχὴν καὶ τὴν παντοδυναμίαν, καθὼς καὶ ὁ Πατὴρ αὐτοῦ. Ἐπιβεβαιοῦσι δὲ τὴν ἔννοιαν ταύτην καὶ τὰ ἑξῆς. (Α'. Ἰωάν. ά. 1.)

**Πάντα δι' αὐτοῦ ἐγένετο· καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἕν, ὃ γέγονεν.** Ἰωάν. ά. 3.

Ἀκούεις πόση ἡ ἐξουσία καὶ δύναμις τοῦ Υἱοῦ τοῦ Θεοῦ; Πάντα, ὁ οὐρανὸς δηλαδὴ, καὶ ἡ γῆ, καὶ ἡ θάλασσα. Πάντα, ὅσα ὑπὲρ τὸν οὐρανὸν ἀγγελικὰ τάγματα, Θρόνοι, Χερουβὶμ, καὶ Σεραφὶμ, Κυριότητες, Δυνάμεις, καὶ Ἐξουσίαι, Ἀρχαὶ, Ἀρχάγγελοι, καὶ Ἄγγελοι. Πάντα, ὅσα ὁρατὰ, καὶ ὅσα ἀόρατα δι' αὐτοῦ τοῦ Υἱοῦ τοῦ Θεοῦ ἐδημιουργήθησαν. Ἀκούων δὲ τὸ, δι' αὐτοῦ, μὴ νομίσῃς, ὅτι ὁ Θεὸς καὶ Πατὴρ μετῆλθε τὸν Υἱὸν αὐτοῦ πρὸς τὴν δημιουργίαν τοῦ κόσμου, καθὼς ὁ δεσπότης τὸν δοῦλον, ἢ ὁ τεχνίτης τὸ ὄργανον· ἄπαγε! ἀρειανικόν ἐστι τὸ νόημα τοῦτο καὶ βλάσφημον. Ἡ διὰ πρόθεσις σημαίνει τὴν συνένωσιν καὶ συνέργειαν· ἤγουν, ὅτι συνεργοῦντος τοῦ Υἱοῦ, καὶ σὺν αὐτῷ τῷ Υἱῷ ὁ Πατὴρ ἐδημιούργησε τὰ πάντα. Ταύτην δὲ τὴν ἔννοιαν ἐφανέρωσεν ὁ Εὐαγγελιστὴς διὰ τῶν ἑξῆς λόγων· διότι εἰπὼν, Πάντα δι' αὐτοῦ ἐγένετο, προσέθηκεν εὐθὺς τὸ,

Καὶ

Καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ
ἕν. Ἐπειδὴ λοιπὸν χωρὶς αὐτοῦ οὐδὲ ἓν
ἐγένετο, μετ' αὐτοῦ λοιπὸν, καὶ διὰ τῆς
συνεργείας αὐτοῦ τὰ πάντα ἐγένετο. Μὴ
σκανδαλιζέτωσε δὲ ἡ διὰ πρόθεσις·
διότι αὐτὴ καὶ ἐπὶ τοῦ Θεοῦ καὶ Πατρὸς
λέγεται, καὶ ὅμως οὐδὲ ὀργανικὴν, οὐδὲ
Α΄. Κορ. α΄. 9. δουλικὴν σημαίνει ὑπηρεσίαν· Πιστὸς
ὁ Θεὸς, λέγει ὁ Παῦλος, δι' οὗ ἐ-
κλήθημεν εἰς κοινωνίαν τοῦ Υἱοῦ
αὐτοῦ· ὁ δὲ Πατριάρχης Ἰωσὴφ εἶπεν·
Γεν. μ΄. 8. Οὐχὶ διὰ τοῦ Θεοῦ ἡ διασάφησις
αὐτῶν ἐστί; Τὸ δὲ, ὃ γέγονε, φαί-
νεται μὲν περιττὸν, ἐπειδὴ εἶπεν, ὅτι
χωρὶς τοῦ Υἱοῦ οὐδὲν ἐγένετο· ἀλλ' εἰς
τὴν θείαν Γραφὴν οὐδέν ἐστι περιττὸν,
οὐδὲ ἀργόν· πάντα τὰ ἐν αὐτῇ λόγια
ἐννοίας ἔχουσι θείας, καὶ σκοπὸν θεο-
πρεπῆ· προσετέθη δὲ τὸ, ὃ γέγονεν,
ἵνα μὴ ἀκούσαντες τὸ, πάντα δι' αὐ-
τοῦ ἐγένετο, πλανηθέντες νοήσωμεν,
ὅτι καὶ τὸ Πνεῦμα τὸ Ἅγιον διὰ τοῦ
Υἱοῦ ἐγένετο, καὶ ἐστὶ γεννητὸν καὶ κτισ-
τὸν, καθὼς καὶ τὰ ἄλλα κτίσματα·
διότι τὸ Πανάγιον Πνεῦμα ἄκτιστόν ἐστι
καὶ ἀγέννητον, καὶ Θεὸς κατὰ φύσιν,
Ἰωάν. ιε΄. 26. παρὰ τοῦ Πατρὸς ἐκπορευόμενον, καὶ
συνδημιουργὸν τῷ Πατρὶ καὶ τῷ Υἱῷ·
Ψαλ. λβ΄. 6. Τῷ λόγῳ γὰρ Κυρίου, λέγει ὁ
Προφήτης, οἱ οὐρανοὶ ἐστερεώθη-
σαν, καὶ τῷ Πνεύματι τοῦ στό-
ματος αὐτοῦ πᾶσα ἡ δύναμις αὐ-
τῶν. Γίνεται δὲ σαφεστέρα ἡ ἔννοια,
ἐὰν τὸ ῥητὸν ἀναγνωσθῇ οὕτω· Καὶ οὐδὲ
ἓν, ὃ γέγονε, χωρὶς αὐτοῦ ἐγένετο· ἤγουν
οὐδὲν πρᾶγμα κτιστὸν καὶ γεγεννημένον
ἐδημιουργήθη χωρὶς τοῦ Υἱοῦ τοῦ Θεοῦ.
Διὰ τούτων οὖν τῶν λόγων παραστήσας
ἡμῖν ὁ θεῖος Εὐαγγελιστὴς τὸν Υἱὸν καὶ
Λόγον τοῦ Θεοῦ παντοδύναμον, καὶ ποιη-
τὴν πάντων τῶν κτισμάτων, τοὺς λοι-
ποὺς τῆς Θεότητος αὐτοῦ χαρακτῆρας
διὰ τῶν ἑξῆς περιγράφει, λέγων·

## Ἐν αὐτῷ ζωὴ ἦν, καὶ ἡ ζωὴ ἦν τὸ φῶς τῶν ἀνθρώπων· Ἰωάν. α΄. 4.

Ἐν αὐτῷ τῷ Υἱῷ καὶ Λόγῳ τοῦ
Θεοῦ ἦν ζωή. Πάλιν δὲ τὸ ἦν, λέγει,
ἵνα διδάξῃ, ὅτι ἀπ' ἀρχῆς ζωοποιὸς κα-
τὰ φύσιν, καὶ πηγὴ τῆς ζωῆς, καὶ αὐτο-
ζωὴ ἦν ὁ Υἱὸς τοῦ Θεοῦ. Ἐν αὐτῷ
ζωὴ, ἐπειδὴ δοτήρ ἐστι τῆς ζωῆς πάν-
των τῶν ζώων. Ἐν αὐτῷ ζωὴ, διό-
τι αὐτὸς διατηρεῖ καὶ σώζει τὴν ζωὴν
πάντων τῶν ζώντων. Τὸ δὲ ἑξῆς τοῦ
λόγου, ἤγουν τὸ, καὶ ἡ ζωὴ ἦν τὸ
φῶς τῶν ἀνθρώπων, εἰς ἄλλα νοήμα-
τα ἐμβάζει τὸν νοῦν, ἐπίσης ὑψηλὰ καὶ
θαυμασιώτατα. Ὁ θεηγόρος Ἰωάννης οὐ-
χὶ μόνον συμφώνως ἐλάλησεν, ἀλλὰ καὶ
σαφῶς ἐξήγησε τοῦ θεόπτου Μωϋσέως
τὴν βίβλον· διὰ τοῦ, ἐν ἀρχῇ, ἤρξα-
το ὁ Μωϋσῆς τὴν Κοσμογένεσιν· διὰ τοῦ,
ἐν ἀρχῇ, καὶ ὁ Ἰωάννης τὸ Εὐαγγέ-
λιον. Εἶπεν ὁ Θεὸς, λέγει ὁ Μωϋσῆς·
Ἦν ὁ λόγος, διδάσκει ὁ Ἰωάννης. Ἐ-
ποίησε τὸν οὐρανὸν καὶ τὴν γῆν,
κηρύττει ὁ Μωϋσῆς· Πάντα δι' αὐτοῦ
ἐγένετο, δογματίζει ὁ Ἰωάννης. Ἡ
αὐτὴ συμφωνία ἀκολουθεῖ καὶ εἰς τὰ
ἑξῆς. Ὁ Μωϋσῆς περιγράψας πρῶτον
τὴν τοῦ ἀνθρωπίνου σώματος πλάσιν,
λέγει ἔπειτα· Καὶ ἐνεφύσησεν ὁ Θεὸς Γεν. β΄. 7.
εἰς τὸ πρόσωπον αὐτοῦ πνοὴν
ζωῆς, καὶ ἐγένετο ὁ ἄνθρωπος
εἰς ψυχὴν ζῶσαν. Ὁ Ἰωάννης φανε-
ρώσας τὸν δημιουργὸν πάντων τῶν κτισ-
μάτων, γράφει· Ἐν αὐτῷ ζωὴ ἦν, καὶ
ἡ ζωὴ ἦν τὸ φῶς τῶν ἀνθρώπων.
Βλέπε τὴν συμφωνίαν. Ἐνεφύσησε
πνοὴν ζωῆς, εἶπεν ὁ Μωϋσῆς· φανερὸν
δέ ἐστιν, ὅτι ὁ ἐμφυσήσας πνοὴν ζωῆς,
εἶχεν ἐν ἑαυτῷ τὴν ζωήν· τοῦτο οὖν λέ-
γει ὁ Ἰωάννης· Ἐν αὐτῷ ζωὴ ἦν.
Πάλιν ὁ Μωϋσῆς λέγει· Καὶ ἐγένετο
ὁ

ὁ ἄνθρωπος εἰς ψυχὴν ζῶσαν·
δηλονότι ζῶν καὶ ἐμψυχωμένος· ὅπερ
ἐστὶ, διὰ τοῦ ἐμφυσήματος τοῦ Θεοῦ ἔ-
λαβεν ὁ ἄνθρωπος ψυχὴν λογικὴν, πα-
ρεκτικὴν καὶ τοῦ λόγου καὶ τῆς ζωῆς·
τοῦτο δὲ ὁ Ἰωάννης διερμηνεύει, λέγων
ὅτι, ἡ ζωὴ ἦν τὸ φῶς τῶν ἀνθρώ-
πων. Ἄκουσον δὲ, πῶς ἡ ζωή ἐστι τὸ
φῶς τῶν ἀνθρώπων. Ἡ ψυχὴ ἔχει λό-
γον· ὁ δὲ λόγος ἐστὶ φῶς, ὅπερ φωτί-
ζει τὸν ἄνθρωπον εἰς τὴν διάκρισιν τοῦ
καλοῦ καὶ κακοῦ. Ἰδοὺ λοιπὸν πῶς ἡ
ζωή ἐστι τὸ φῶς τῶν ἀνθρώπων. Ἀλ-
λὰ καὶ ἄλλην ἑρμηνείαν τὸ ῥητὸν τοῦτο
ἐπιδέχεται, πολλὰ ἁρμοδίαν εἰς τὰ ἑξῆς
τοῦ Εὐαγγελίου λόγια. Ζωή ἐστιν αὐ-
Ἰωάν. ιά. τὸς ὁ Υἱὸς καὶ Λόγος τοῦ Θεοῦ· Ἐγὼ
25. γάρ εἰμι, λέγει, ἡ ἀνάστασις καὶ
ἡ ζωή· ἀνάστασις, καθότι ἀναστὰς ἐκ
νεκρῶν, ἀνέστησε τὴν πεπτωκυῖαν φύσιν
τῶν ἀνθρώπων· ζωὴ, καθότι αὐτὸς ἐδω-
ρήσατο τοῖς ἀνθρώποις τὴν ζωὴν τὴν
αἰώνιον. Ὁ αὐτὸς δὲ Υἱὸς τοῦ Θεοῦ ἐστὶ
καὶ τὸ φῶς τῶν ἀνθρώπων, κατὰ τὸ,
Ἰωάν. ή. Ἐγώ εἰμι τὸ φῶς τοῦ κόσμου, καὶ
12. Αὐτ. ά. 9. τὸ, Ἦν τὸ φῶς τὸ ἀληθινὸν, ὃ φω-
τίζει πάντα ἄνθρωπον ἐρχόμε-
νον εἰς τὸν κόσμον. Φῶς λοιπὸν ἀ-
νακηρύξας ὁ ἐπιστήθειος μαθητὴς τὸν
τοῦ Θεοῦ Υἱὸν, περιγράφει ἔπειτα τί ἐρ-
γάζεται τοῦτο τὸ φῶς.

Ἰωάν. ά. 5. **Καὶ τὸ φῶς ἐν τῇ σκοτίᾳ φαίνει, καὶ ἡ σκοτία αὐτὸ οὐ κατέλαβε.**

Καὶ ὅτι μὲν ἰδίωμα τοῦ φωτός ἐστιν
ἡ φεγγοβολία ἐν τῷ σκοτεινῷ τόπῳ, φα-
νερὸν τοῖς πᾶσι καὶ γνωστόν. Ἀλλὰ τίς
αὕτη ἡ σκοτία; καὶ πῶς αὐτὴ οὐ κατέ-
λαβε τὸ φῶς; σκοτία ἐστὶν ἡ ἁμαρτία.
Ῥωμ. ιγ΄. Ἄκουσον τὸν Παῦλον τοῦτο ἐπιβεβαιοῦν-
12. τα· Ἀποθώμεθα οὖν τὰ ἔργα τοῦ
Ἐφεσ. έ. 11. σκότους. Μὴ συγκοινωνεῖτε τοῖς
ἔργοις τοῖς ἀκάρποις τοῦ σκό-
τους, μᾶλλον δὲ καὶ ἐλέγχετε.
Ἡ ἁμαρτία λέγεται σκοτία, ὡς σκοτί-
ζουσα τὸν νοῦν τοῦ ἀνθρώπου, καὶ ἁρ-
πάζουσα ἀπ' αὐτοῦ τῆς διακρίσεως τὸ
φῶς. Ἐν αὐτῇ τῇ σκοτίᾳ τῆς ἁμαρτίας,
πρὸ τῆς ἐνσάρκου οἰκονομίας τοῦ Υἱοῦ
τοῦ Θεοῦ, ἦσαν καθήμενοι οἱ ἄνθρωποι·
Ἦτε γάρ ποτε, λέγει ὁ αὐτὸς Ἀ- Ἐφεσ.
πόστολος, σκότος, νῦν δὲ φῶς ἐν έ. 8.
Κυρίῳ· ὅτε δὲ εὐδόκησεν ὁ Θεὸς ἀπο-
στεῖλαι τὸν μονογενῆ αὐτοῦ Υἱὸν εἰς τὸν
κόσμον, τότε τοῖς ἐν σκότει καὶ σκιᾷ
θανάτου καθημένοις φῶς ἐπέλαμψεν·
Ὁ λαὸς ὁ πορευόμενος ἐν σκότει, Ἡσ. θ΄. 2.
ἴδετε φῶς μέγα, φῶς ἀληθοῦς θεο-
γνωσίας, φῶς ὀρθῆς πίστεως, φῶς ἀνυ-
ποκρίτου ἀρετῆς. Τοῦτο δὲ τὸ φῶς ἄχρι
τῆς σήμερον διὰ τῶν Εὐαγγελικῶν λό-
γων λάμπει ἐν τῷ σκότει τῶν καρδιῶν
ἡμῶν· Ἰησοῦς γὰρ Χριστὸς χθὲς Ἑβρ. ιγ΄.
καὶ σήμερον ὁ αὐτὸς, καὶ εἰς τοὺς 8.
αἰῶνας. Τοῦτο δέ ἐστι τὸ, Καὶ τὸ
φῶς ἐν τῇ σκοτίᾳ φαίνει· διότι οὐ
μόνον τότε ἔφανεν, ἀλλ' ἄχρι τῆς σήμε-
ρον φαίνει, καὶ ἕως τοῦ αἰῶνος λάμψει.
Πῶς δὲ ἡ σκοτία αὐτὸ οὐ κατέλαβεν, ἄ-
κουσον. Σαρκωθεὶς ὁ τοῦ Θεοῦ Υἱὸς,
ἀνέλαβε μὲν τὰς ἀσθενείας ἡμῶν, καὶ
ἐγένετο κατὰ πάντα ὅμοιος ἡμῖν, ὡς
γράφει ὁ θεσπέσιος Παῦλος· Πεπει- Αὐτ. δ΄.
ρασμένον κατὰ πάντα καθ' ὁμοιό- 15.
τητα χωρὶς ἁμαρτίας· ἀλλ' ἡ ἁ-
μαρτία οὐ κατέλαβεν αὐτὸν, οὐδὲ ἥψα-
το, οὐδὲ ἐπλησίασεν ὅλως πρὸς αὐτὸν,
Πεπειρασμένον κατὰ πάντα καθ'
ὁμοιότητα χωρὶς ἁμαρτίας. Ἡ
σκοτία, ἤγουν ἡ ἁμαρτία, οὐ κατέλαβε,
τουτέστιν οὐκ ἐδυνήθη ἐγγίξαι τὸ φῶς,
δηλαδὴ τὸν Χριστόν· Ἁμαρτίαν γὰρ Ἡσ. νγ΄.
οὐκ ἐποίησεν, οὐδὲ εὑρέθη δόλος 9.
ἐν τῷ στόματι αὐτοῦ. Ταῦτα λοι-
πὸν πρῶτον περὶ τῆς τοῦ Υἱοῦ τοῦ Θεοῦ
Θεό-

Θεότητος διδάξας ὁ Θεολόγος, ἄρχεται ἔπειτα καὶ τῶν περὶ τῆς ἐνσάρκου αὐτοῦ οἰκονομίας προοιμίων οὕτως.

Ἰωάν. ά. 6. Ἐγένετο ἄνθρωπος ἀπεσταλμένος παρὰ Θεοῦ, ὄνομα αὐτῷ Ἰωάννης.

Τοῦτο καὶ ὁ προφήτης Μαλαχίας
Μαλ. γ'. 1. προκατήγγειλε, λέγων· Ἰδοὺ ἐγὼ ἀποστέλλω τὸν Ἄγγελόν μου πρὸ προσώπου σου. Καὶ ὁ μὲν Εὐαγγελιστὴς ἄνθρωπον αὐτὸν ὠνόμασεν ἀπὸ τῆς φύσεως· ὁ δὲ Προφήτης, Ἄγγελον, ἢ ἀπὸ τοῦ ἀγγελικοῦ αὐτοῦ βίου, ἢ ὡς ἀναγγέλλοντα τὰ περὶ τοῦ Κυρίου Ἰησοῦ Χριστοῦ σωτήρια μηνύματα. Ἄνθρωπος ἀπεσταλμένος παρὰ Θεοῦ· μέγα τὸ ἀξίωμα τοῦτο, μεγάλη ἡ τιμὴ καὶ ἡ χάρις! Ἄνθρωπος ἀπεσταλμένος παρὰ Θεοῦ· ἀξιόπιστος λοιπὸν ὁ λόγος αὐτοῦ, ἀληθὴς ἡ τούτου διδασκαλία, καὶ ὁ βίος αὐτοῦ ἅγιος. Ἄνθρωπος ἀπεσταλμένος παρὰ Θεοῦ· καὶ τὸ ὄνομα αὐτοῦ δηλοποιεῖ τὴν χάριν, ἣν παρὰ Θεοῦ ἔλαβε· διότι τὸ, Ἰωάννης, κεχαριτωμένος σημαίνει κατὰ τὴν Ἑβραϊκὴν διάλεκτον. Διατί δὲ ἀπεστάλη ὁ Ἰωάννης;

Ἰωάν. ά. 7. Οὗτος ἦλθεν εἰς μαρτυρίαν, ἵνα μαρτυρήσῃ περὶ τοῦ φωτὸς, ἵνα πάντες πιστεύσωσι δι' αὐτοῦ.

Ἦλθεν ὁ Ἰωάννης ἀπὸ τῆς ἐρήμου
Λουκ. γ'. 2, 3. εἰς τὰς πόλεις καὶ χώρας πρὸς μαρτυρίαν, ἵνα μαρτυρήσῃ περὶ τοῦ φωτὸς, ἤγουν περὶ τοῦ Υἱοῦ τοῦ Θεοῦ. Ἀλλὰ ποίαν ἔχει χρείαν τῆς τοῦ δούλου μαρτυρίας ὁ τῶν ἁπάντων Δεσπότης καὶ
Ἰωάν. ά. 14. Ποιητής; ἐπειδὴ, Ὁ λόγος, σὰρξ ἐγένετο, καὶ ἐσκήνωσεν ἐν ἡμῖν· Θεὸς δὲ καὶ ἄνθρωπος ὁ Ἰησοῦς Χριστὸς, οὐράνιος ἅμα καὶ ἐπίγειος, διὰ τοῦτο, τὸ μέγα καὶ ἀκατανόητον μυστήριον τῆς ἐνανθρωπήσεως αὐτοῦ χρείαν εἶχε μαρτυρίας, οὐ μόνον ἐπουρανίου, ἀλλὰ καὶ ἐπιγείου. Καὶ ἐμαρτύρησαν μὲν τὴν τούτου Θεότητα οὐρανόθεν οἱ Ἄγγελοι, φέροντες εἰς τὴν ἁγίαν Παρθένον τῆς συλλήψεως τὰ Εὐαγγέλια, φανέντες καὶ λαλήσαντες μετὰ τοῦ Ἰωσὴφ, καταβάντες ὡς στρατιὰ πολυάριθμος εἰς τὸ ἐν Βηθλεὲμ σπήλαιον, προστάξαντες τοὺς ποιμένας, ὁδηγήσαντες δι' ἀστέρος τοὺς Μάγους, διακονήσαντες τῷ Ἰησοῦ Χριστῷ, εὐαγγελισάμενοι τὴν ἀνάστασιν αὐτοῦ ταῖς Μυροφόροις. Ἐμαρτύρησεν οὐρανόθεν τὴν τούτου Θεότητα ὁ Πατὴρ καὶ ἐν τῷ
Ἰορδάνῃ, εἰπών· Οὗτός ἐστιν ὁ Υἱός Ματθ. γ'. 17.
μου ὁ ἀγαπητός· καὶ ἐν τῷ ὄρει τῷ
Θαβὼρ, βοήσας λαμπρᾷ τῇ φωνῇ· Οὗ- Λουκ. θ'. 35.
τός ἐστιν ὁ Υἱός μου ὁ ἀγαπητὸς, αὐτοῦ ἀκούετε. Ἐμαρτύρησαν τὸ κράτος τῆς Θεότητος αὐτοῦ τὰ τέσσαρα στοιχεῖα, ἡ γῆ σειομένη καὶ σχιζομένη, ἡ θάλασσα ὡς ξηρὰ περιπατουμένη, ὁ ἀὴρ διὰ τῆς ὑποταγῆς τῶν ἀνέμων, τὸ πῦρ διὰ τοῦ σκότους τοῦ Ἡλίου. Καὶ αὐτοὶ δὲ οἱ Δαίμονες ἐμαρτύρησαν τὴν τοῦ Ἰησοῦ Θεότητα, βοῶντες καὶ λέγον-
τες· Τί ἡμῖν καὶ σοὶ, Υἱὲ τοῦ Θεοῦ Λουκ. ή. 23.
τοῦ ὑψίστου; Χρεία δὲ ἦν καὶ τῆς τῶν ἀνθρώπων μαρτυρίας, ἐπειδὴ οὐ μόνον Θεὸς, ἀλλὰ καὶ ἄνθρωπος ἦν ὁ Ἰησοῦς· ὅθεν ἐμαρτύρησαν περὶ αὐτοῦ πάντες οἱ Προφῆται διὰ τῶν προφητικῶν αὐτῶν λόγων· ἐμαρτύρησαν οἱ ἀσθενεῖς διὰ τῆς ἰατρείας, οἱ δαιμονιζόμενοι διὰ τῆς ἀπαλλαγῆς, οἱ νεκροὶ διὰ τῆς ἐκ νεκρῶν ἀναστάσεως· ἀλλ' ὁ Ἰωάννης, ὁ Πρόδρομος αὐτοῦ, πλέον πάντων τῶν ἀνθρώπων περὶ αὐτοῦ ἐμαρτύρησε. Συλληφθεὶς ἐκ γηραλέας καὶ στείρας μη-

τρὸς

τρός, ἐσκίρτησε καὶ προσεκύνησεν αὐτὸν
ἐν τῇ κοιλίᾳ τῆς μητρὸς αὐτοῦ· ἔδειξεν
Ἰωαν. α'. αὐτὸν δακτυλικῶς, εἰπών· Ἴδε ὁ ἀμνὸς
36. τοῦ Θεοῦ· ἐβάπτισε βάπτισμα με-
Πράξ. ιθ'. 4. τανοίας, καὶ ἑτοιμασίας, καὶ πίστεως
εἰς τὸν ἐρχόμενον μετ' αὐτὸν, τουτέστιν
Ματθ. γ'. εἰς τὸν Χριστὸν Ἰησοῦν· ἐκήρυξεν, ὅτι
16. εἶδε τοὺς οὐρανοὺς ἀνεῳγμένους, καὶ τὸ
Πνεῦμα τὸ Ἅγιον καταβαῖνον ἐπ' αὐτόν·
ἐμαρτύρησε καὶ διὰ λόγου, καὶ διὰ τῶν
ἔργων, καὶ διὰ παντὸς τρόπου περὶ τῆς
τοῦ Ἰησοῦ Χριστοῦ Θεότητος· διὰ τοῦτο
δὲ ἐμαρτύρησεν, ἵνα πάντες διὰ τῆς μαρ-
τυρίας αὐτοῦ πιστεύσωσιν, ὅτι ὁ Χρισ-
τός ἐστιν ὁ τοῦ Θεοῦ Υἱός. Ταῦτα οὖν
διδάξας ἡμᾶς ὁ θεηγόρος Εὐαγγελιστής,
προκαταλαμβάνει τὴν ὑπόληψιν, ἥν τι-
νες εἶχον περὶ τοῦ Ἰωάννου, λέγων·

Ἰωάν. α'. 8. **Οὐκ ἦν ἐκεῖνος τὸ φῶς, ἀλλ' ἵνα μαρτυρήσῃ περὶ τοῦ φωτός.**

Πολλοὶ ἦσαν, οἵτινες καὶ τὰ θαύ-
ματα τῆς συλλήψεως καὶ τῆς γεννήσεως
τοῦ Ἰωάννου γινώσκοντες, καὶ τὸν ἀγ-
γελικὸν αὐτοῦ βίον θαυμάζοντες, ἐνόμι-
ζον, ὅτι αὐτός ἐστιν ὁ προσδοκώμενος Με-
Λουκ. γ'. σίας· Προσδοκῶντος δὲ τοῦ λαοῦ,
15. λέγει ὁ ἱερὸς Λουκᾶς, καὶ διαλο-
γιζομένων πάντων ἐν ταῖς καρ-
δίαις αὐτῶν, μήποτε αὐτὸς εἴη ὁ
Χριστός. Ὅθεν τὴν ὑπόληψιν ταύτην
ὁλόῤῥιζον ἀνασπᾷ ὁ Εὐαγγελιστὴς, δι-
δάσκων μεγαλοφώνως· Οὐκ ἦν ἐκεῖνος,
ἤγουν ὁ Ἰωάννης, τὸ φῶς, τουτέστιν ὁ
προσδοκώμενος Χριστός. Σημείωσαι δὲ,
ὅτι οὐκ εἶπε φῶς χωρὶς ἄρθρου, ἀλλὰ,
τὸ φῶς μετὰ ἄρθρου· διότι φῶς εἶ-
χεν ὁ Ἰωάννης, καθὼς καὶ πάντες οἱ Ἅ-
γιοι, λάμπων καὶ φεγγοβολῶν διὰ τῶν
Ματθ. ε'. καλῶν αὐτοῦ ἔργων, κατὰ τό, Ὑμεῖς
14.



ἐστὲ τὸ φῶς τοῦ κόσμου· ἀλλ' οὐκ
ἦν τὸ φῶς, ἤγουν ὁ τοῦ Θεοῦ Υἱός· εἶ-
χε φῶς ὁ Ἰωάννης, ἀλλ' οὐχὶ κατὰ φύ-
σιν, ὡς Θεός, ἀλλὰ κατὰ χάριν καὶ με-
τοχὴν, καθὼς πάντες οἱ δίκαιοι· οὐκ ἦν
ὁ Ἰωάννης τὸ φῶς, ἤγουν ὁ Χριστὸς,
ἀλλ' ἐπέμφθη, ἵνα μαρτυρήσῃ περὶ αὐ-
τοῦ τοῦ φωτός. Ἐξηγεῖ δὲ ὁ Εὐαγγε-
λιστὴς ποῖον ἦν τοῦτο τὸ φῶς, λέγων·

**Ἦν τὸ φῶς τὸ ἀληθινὸν, ὃ φωτίζει πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον.** Ἰωάν. α'. 9.

Τοῦτο τὸ φῶς, λέγει, ἦν τὸ φῶς
τὸ ἀληθινὸν, ἤγουν τὸ κατὰ φύσιν, τὸ
κατ' ἐξοχὴν, τὸ αἰώνιον, τὸ ἀκένωτον, τὸ
ἀναλλοίωτον, τὸ μὴ παρ' ἄλλου τινὸς λα-
βὸν τὸ εἶναι, τὸ ὑπεράρχιον, τὸ ἀενάως
ἐκχεόμενον, καὶ φωτίζον πάντα ἄνθρω-
πον ἐρχόμενον εἰς τὸν κόσμον. Πῶς δὲ
τὸ φῶς τοῦτο φωτίζει; φυτεῦον εἰς τὴν
ψυχὴν ἑκάστου τὴν δύναμιν τοῦ λόγου,
τὰς ἀρχὰς τῆς φρονήσεως καὶ γνώσεως,
καὶ τῆς θεογνωσίας τὰ σπέρματα. Καὶ
φωτίζουσι μὲν καὶ οἱ Ἄγγελοι τοὺς ἀν-
θρώπους· ἔχομεν παράδειγμα τὸν Μα-
νωὲ, τὸν πατέρα τοῦ Σαμψὼν, τὸν Δανιὴλ
τὸν Προφήτην, τὸν Ζαχαρίαν τὸν τοῦ
Προδρόμου γενέτην, τὸν Ἰωσὴφ τὸν τῆς
Παρθένου μνήστορα, καὶ ἄλλους πολ-
λοὺς ὑπὸ τῶν Ἀγγέλων φωτισθέντας·
φωτίζουσι δὲ καὶ οἱ ἄνθρωποι τοὺς ἀν-
θρώπους, καθὼς ὁ Φίλιππος τὸν Εὐνοῦ-
χον, καὶ ὁ Πέτρος τὸν Κορνήλιον, καὶ
οἱ λοιποὶ Ἀπόστολοι, καὶ οἱ κήρυκες
τοῦ Εὐαγγελίου πάντας τοὺς πιστεύ-
σαντας· ἀλλὰ καὶ οἱ Ἄγγελοι, καὶ
οἱ ἄνθρωποι διδασκαλικῶς φωτίζουσι,
καὶ λαμβάνοντες τοὺς φωτισμοὺς παρὰ
Θεοῦ, μεταδίδουσιν αὐτοὺς εἰς τοὺς ἄλ-
λους. Τὸ δὲ φῶς τὸ ἀληθινὸν, ἤγουν
ὁ

ὁ Υἱὸς καὶ Λόγος τοῦ Θεοῦ, παρ' οὐδενὸς λαμβάνων, ἀλλ' ἀφ' ἑαυτοῦ φυσικῶς ἔχων τὸ φῶς, δημιουργικῶς φωτίζει, σπείρων ἐν ἡμῖν τὰς δυνάμεις, δι' ὧν καὶ λογικοὶ, καὶ φρόνιμοι καὶ θεοσεβεῖς γινόμεθα. Ἀλλ' ἐὰν φωτίζῃ ὁ τοῦ Θεοῦ Υἱὸς πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον, πῶς λοιπὸν τοσοῦτον ἄμετρον πλῆθος ἀνθρώπων ἔμειναν ἀφώτιστοι; Καθὼς ὁ Ἥλιος ἐπὶ πάντας ἐφαπλοῖ τὰς φωτοβόλους αὐτοῦ ἀκτῖνας, οὐ πάντες δὲ φωτίζονται· διότι οἱ τυφλοὶ μένουσιν ἀφώτιστοι, μὴ δυνάμενοι βλέπειν τὸ φῶς· οὕτω καὶ ὁ Θεὸς ἐπὶ πάντας μὲν ἐκχέει τὴν σωτηριώδη αὐτοῦ χάριν, οὐ πάντες δὲ εὐσεβεῖς γίνονται, διότι οἱ πονηροὶ ἀποστρέφονται τὸν φωτισμὸν αὐτῆς. Καὶ καθὼς ὁ γεωργὸς εἰς πάντα μὲν τὰ μέρη τοῦ ἀγροῦ ῥίπτει τὸν σπόρον, ἐκεῖ δὲ μόνον καρποφορεῖ, ὅπου ἡ γῆ ἐστὶ καλή· οὕτω καὶ ὁ Θεὸς εἰς πάντα ἄνθρωπον σπείρει τῆς γνώσεως καὶ ἀληθείας τὰ σπέρματα, ἀλλ' εἰς ἐκείνους μόνον ἀποδίδουσι τὸν καρπὸν αὐτῶν, ὅσοι ἔχουσι προαίρεσιν ἀγαθήν. Ἐπιβεβαιοῖ ταῦτα διὰ τῶν ἑξῆς λόγων ὁ Θεοκήρυξ, λέγων·

Ἰωάν. ά. 10. Ἐν τῷ κόσμῳ ἦν, καὶ ὁ
κόσμος δι' αὐτοῦ ἐγένετο· καὶ
ὁ κόσμος αὐτὸν οὐκ ἔγνω.
11. Εἰς τὰ ἴδια ἦλθε, καὶ οἱ ἴ-
διοι αὐτὸν οὐ παρέλαβον.

Ἀκούεις; Ἐν τῷ κόσμῳ ἦν· καὶ ὁ κόσμος αὐτὸν οὐκ ἔγνω· καθὼς καὶ τοῦ Ἡλίου τὸ φῶς ἡπλωμένον μέν ἐστιν ἐπάνω εἰς ὅλον τὸ πρόσωπον τῆς γῆς, ἀλλ' οἱ τυφλοὶ οὐ βλέπουσιν αὐτό. Ἀνόητος ἐκεῖνος ὁ ἄνθρωπος, ὅστις τυφλὸς ὢν, καὶ μὴ δυνάμενος βλέπειν, κατηγορεῖ τὸ φῶς· διότι τὸ πάθος τῶν ὀφθαλμῶν, καὶ οὐχὶ τὸ φῶς, αἴτιόν ἐστι τῆς ἀβλεψίας αὐτοῦ· ὁμοίως μωρὸς καὶ ἀσύνετός ἐστιν ὁ ἄπιστος ἄνθρωπος, ὅταν κατακρίνῃ τὸν Θεόν· διότι ἡ πονηρὰ αὐτοῦ προαίρεσις, καὶ οὐχὶ ὁ Θεὸς, αἴτιόν ἐστι τῆς ἀμετανοησίας αὐτοῦ καὶ ἀπιστίας· ἡ κακὴ διάθεσις τῆς καρδίας αὐτοῦ ποιεῖ αὐτὸν ἀνεπίδεκτον τοῦ φωτὸς τῆς θείας χάριτος, καθὼς καὶ τὸν τυφλὸν ἀνεπίδεκτον τοῦ φωτὸς ἡ ἀσθένεια τῶν ὀφθαλμῶν αὐτοῦ. Πῶς δὲ συμφωνοῦσι τὰ δύο ταῦτα; Ἐν τῷ κόσμῳ ἦν, καὶ εἰς τὰ ἴδια ἦλθεν; αὐτὰ φαίνονται ἀλλήλοις ἐναντία· διότι εἰ ἦν, οὐκ ἦλθεν· εἰ δὲ ἦλθεν, οὐκ ἦν. Τὸ μὲν, ἦν, λαμβάνεται κατὰ τὴν Θεότητα· τὸ δὲ, ἦλθε, κατὰ τὴν ἀνθρωπότητα. Ἦν μὲν ὁ Ἰησοῦς Χριστὸς ἐν τῷ κόσμῳ ἀπ' αἰῶνος, ὡς Θεὸς δηλαδὴ ἄπειρος, καὶ πανταχοῦ παρὼν, καὶ τὰ πάντα πληρῶν· ἦν ὁ Χριστὸς, ὡς Θεὸς, ἐν τῷ κόσμῳ ἀπ' ἀρχῆς, διότι δι' αὐτοῦ ἐγένετο ὁ κόσμος. Ἦλθε δὲ, ὡς ἄνθρωπος, ὅτε σαρκωθεὶς ἐκ τῆς ἁγίας Παρθένου, ὤφθη ἐν τῷ κόσμῳ, καὶ τοῖς ἀν- Βαρούχ.
θρώποις συνανεστράφη. Σημείωσαι δὲ, γ΄. 37.
ὅτι ἡ λέξις αὕτη, κόσμος, ἐν τῷ δε τῷ ῥητῷ δύω πράγματα σημαίνει, τὴν κτίσιν, καὶ τῶν ἀνθρώπων τὰ πλήθη· ὅταν λέγῃ· Ἐν τῷ κόσμῳ ἦν, καὶ ὁ κόσμος δι' αὐτοῦ ἐγένετο, τὴν σύμπασαν κτίσιν τότε σημαίνει, καθὼς καὶ εἰς ταῦτα τῆς Γραφῆς τὰ λόγια·
Αὐτὸς γάρ μοι ἔδωκε τῶν ὄντων Σοφ. ζ΄.
γνῶσιν ἀψευδῆ, εἰδέναι σύστασιν 17.
κόσμου, καὶ ἐνέργειαν στοιχείων· ὁμοίως καὶ εἰς ταῦτα· Οὐ γὰρ ἠπό- Σοφ. ιά.
ρει ἡ παντοδύναμός σου χεὶρ καὶ 17.
κτίσασα τὸν κόσμον ἐξ ἀμόρφου ὕλης. Ὅταν δὲ λέγῃ· Καὶ ὁ κόσμος αὐτὸν οὐκ ἔγνω, τοὺς ἀνθρώπους ἐμ-
φαίνει, πλὴν οὐχὶ πάντας, ἀλλὰ τινὰς Ἰωάν. ιβ΄.
μόνον, καθὼς καὶ ὅταν εἶπε τό, Ἴδε ὁ 19.
κόσ-

κόσμος ὀπίσω αὐτοῦ ἀπῆλθε·
διότι καὶ πρὶν ἢ σαρκωθῇ ὁ Υἱὸς τοῦ
Θεοῦ, οἱ δίκαιοι καὶ ἅγιοι ἄνδρες ἐγνώ-
ρισαν τῆς ἐνσάρκου αὐτοῦ οἰκονομίας τὸ
μυστήριον· ὅθεν ὁ Κύριος ἡμῶν περὶ
Ἰωάν. ή. 56. μὲν τοῦ Ἀβραὰμ ἔλεγεν· Ἀβραὰμ ὁ
πατὴρ ὑμῶν ἠγαλλιάσατο, ἵνα ἴ-
δῃ τὴν ἡμέραν τὴν ἐμὴν, καὶ εἶ-
δε καὶ ἐχάρη· περὶ δὲ τοῦ Δαβὶδ,
Ματ. κβ΄. 43, 44. Πῶς οὖν Δαβὶδ ἐν πνεύματι Κύ-
ριον αὐτὸν καλεῖ, λέγων· Εἶ-
πεν ὁ Κύριος τῷ Κυρίῳ μου, κά-
θου ἐκ δεξιῶν μου; καὶ ὁ Προφήτης
δὲ Μωϋσῆς τὴν ἐν σαρκὶ αὐτοῦ ἔλευ-
σιν προεγνωκὼς καὶ πιστεύσας, εἶπε·
Δευτ. ιή. 15. Προφήτην ὑμῖν ἀναστήσει Κύ-
ριος ὁ Θεὸς ἡμῶν ἐκ τῶν ἀδελ-
Πράξ. γ΄. 24. φῶν ὑμῶν, ὡς ἐμέ· ὁμοίως καὶ πάν-
τες οἱ Προφῆται, ἀπὸ Σαμουὴλ καὶ τῶν
καθεξῆς, ἐλάλησαν καὶ προκατήγγειλαν
τὴν τοῦ Κυρίου ἐνανθρώπησιν. Καὶ ἴδια
μὲν ὠνόμασεν ὁ Εὐαγγελιστὴς τὴν γῆν,
ὡς ἴδιον τοῦ Θεοῦ κτίσμα· ἰδίους δὲ,
πάντας τοὺς ἀνθρώπους, καθότι πάντες
Θεοῦ πλάσματά εἰσιν, ἐξόχως τοὺς Ἰου-
Ῥωμ. θ΄. 5. δαίους, ἐξ ὧν ὁ Χριστὸς τὸ κατὰ
σάρκα. Ἐπειδὴ δὲ πολλοὶ καὶ ἐκ τῶν
Ἰουδαίων, καὶ ἐκ τῶν ἐθνῶν παρέλαβον
αὐτὸν, ἤγουν ἐπίστευσαν ἐπὶ τῷ ὀνόμα-
τι αὐτοῦ, (εἶπε δὲ, ὅτι οἱ ἴδιοι αὐτὸν οὐ
παρέλαβον) ἵνα μήτις νομίσῃ, ὅτι πάν-
τες οὐκ ἐπίστευσαν, ἐπιφέρει εὐθύς.

Ἰωάν. ά. 12. Ὅσοι δὲ ἔλαβον αὐτὸν, ἔδω-
κεν αὐτοῖς ἐξουσίαν τέκνα Θεοῦ
γενέσθαι, τοῖς πιστεύουσιν εἰς
τὸ ὄνομα αὐτοῦ.

Διὰ τοῦ, Ὅσοι, καταργεῖ τὴν τῶν
Ἰουδαίων ὑψηλοφροσύνην, οἵτινες ἐνόμι-
ζον, ὅτι μόνον τὸ γένος αὐτῶν ἐστὶ τὸ
ἐκλεκτὸν καὶ ἠγαπημένον τοῦ Θεοῦ, προ-
σωπολήπτην ποιοῦντες τὸν Θεόν. Ὅσοι,
λέγει, εἴτε Ἰσραηλῖται, εἴτε ἐθνικοὶ, εἴ-
τε Ἕλληνες, εἴτε βάρβαροι, εἴτε δοῦλοι,
εἴτε ἐλεύθεροι, παντὸς γένους, πάσης ἡ-
λικίας, καὶ ἐπαγγέλματος καὶ καταστά-
σεως ἄνθρωποι, ὅσοι ἔλαβον αὐτὸν,
ἤγουν ἐδέχθησαν αὐτὸν ὡς Θεὸν, καὶ ἐ-
πίστευσαν ἐπὶ τῷ ὀνόματι αὐτοῦ, ἐπί-
στευσαν δηλαδὴ, ὅτι ἐστὶν ὁ Σωτὴρ τοῦ
κόσμου, ἔδωκεν αὐτοῖς ἐξουσίαν τέκνα
Θεοῦ γενέσθαι. Ἀλλὰ καὶ περὶ τῶν ἐν
νόμῳ Ἰσραηλιτῶν ὁ μὲν Ἡσαΐας λέγει·
Υἱοὺς ἐγέννησα καὶ ὕψωσα, αὐ- Ἠσ. ά. 2.
τοὶ δέ με ἠθέτησαν· ὁ δὲ Παῦλος·
Οἵτινες εἰσὶν Ἰσραηλῖται, ὧν ἡ Ῥωμ. θ΄. 5.
υἱοθεσία καὶ ἡ δόξα καὶ αἱ δια-
θῆκαι καὶ ἡ νομοθεσία καὶ ἡ λα-
τρεία καὶ αἱ ἐπαγγελίαι. Ἐὰν
λοιπὸν καὶ ἐκεῖνοι υἱοὶ Θεοῦ ἦσαν, ἔ-
χοντες τῆς υἱοθεσίας τὸ χάρισμα, διατί
ὁ Εὐαγγελιστὴς λέγει, ὅτι ὁ Υἱὸς τοῦ
Θεοῦ ἔδωκεν ἐξουσίαν τοῖς πιστεύουσιν
εἰς τὸ ὄνομα αὐτοῦ, τέκνα Θεοῦ γενέσ-
θαι; Οἱ ἐν νόμῳ, ἐπειδὴ ἐπίστευον εἰς
τὸν ἀληθινὸν Θεὸν, καὶ εἰς τὰς ἐπαγ-
γελίας αὐτοῦ, εἶχον τὸ τυπικὸν καὶ
σκιῶδες τῆς υἱοθεσίας χάρισμα· ἡ πε-
ριτομὴ, καὶ ἡ διάβασις διὰ τῆς ἐρυθρᾶς
θαλάσσης τύπος ἦσαν τοῦ ἁγίου βα-
πτίσματος, δι᾽ οὗ οἱ εἰς Χριστὸν πισ-
τεύοντες γίνονται υἱοὶ Θεοῦ. Ἀλλ᾽ οὐδὲ
ἡ περιτομὴ, οὐδὲ ἡ διὰ τῆς ἐρυθρᾶς θα-
λάσσης διάβασις, οὐδὲ πᾶσαι αἱ λοιπαὶ
διαταγαὶ καὶ τελεταὶ τοῦ νόμου ἠδύναν-
το ποιῆσαι τὸν ἄνθρωπον υἱὸν Θεοῦ.
Σκιὰν γὰρ εἶχεν ὁ νόμος τῶν Ἑβρ. ί.
μελλόντων ἀγαθῶν, οὐκ αὐτὴν 1.
τὴν εἰκόνα τῶν πραγμάτων, οὐ-
δέποτε δὲ ἠδύνατο τοὺς προσερ-
χομένους τελειῶσαι. Πᾶς ἄνθρωπος,
μετὰ τὴν ἁμαρτίαν τοῦ Ἀδὰμ, ἐγένετο
ἁμαρτωλὸς, καὶ τοῦ Θεοῦ ἐχθρός· μό- Ῥωμ. έ.
νος δὲ ὁ θάνατος τοῦ μονογενοῦς Υἱοῦ 10.

αὐτοῦ κατήλλαξε τὸν ἄνθρωπον μετὰ τοῦ Θεοῦ. Τὸ δὲ αἷμα καὶ τὸ ὕδωρ, τὸ ἐκ τῆς λογχευθείσης πλευρᾶς τοῦ Σωτῆρος ἡμῶν ἐξελθὸν, ἡγίασε τὸν ἄνθρωπον, καὶ ἐποίησεν αὐτὸν τέκνον καὶ υἱὸν Θεοῦ. Διατί δὲ οὐκ εἶπεν, ὅτι ἐποίησεν αὐτοὺς τέκνα Θεοῦ, ἀλλ' ὅτι ἔδωκεν αὐτοῖς ἐξουσίαν τέκνα Θεοῦ γενέσθαι; Ὅσοι ἐπίστευσαν μὲν εἰς τὸ ὄνομα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἀλλ' οὐκ ἔλαβον τὸ θεῖον βάπτισμα, ἐκεῖνοι οὐκ εἰσὶ τέκνα Θεοῦ, ἔχουσιν ὅμως, διὰ τὴν εἰς Χριστὸν πίστιν αὐτῶν, δύναμιν καὶ ἐξουσίαν γενέσθαι Θεοῦ τέκνα· τότε δὲ γίνονται, ὅταν διὰ τοῦ θείου βαπτίσματος τὴν προπατορικὴν ἀπονίψαντες ἁμαρτίαν, καταξιωθῶσι συνενωθῆναι μετὰ τοῦ Ἰησοῦ Χριστοῦ, τοῦ μονογενοῦς Υἱοῦ τοῦ Θεοῦ καὶ Πατρός· Γαλ. γ'. 27. Ὅσοι γὰρ εἰς Χριστὸν ἐβαπτίσθητε, διδάσκει ὁ θεηγόρος Παῦλος, Χριστὸν ἐνεδύσασθε· ὥστε ὁ μὲν ἄπιστος ἀπροευτρέπιστός ἐστι, καὶ οὐδεμίαν παῤῥησίαν ἢ ἐξουσίαν ἔχει πρὸς τὸ γενέσθαι υἱὸς Θεοῦ· ὁ δὲ εἰς Χριστὸν πιστεύσας, προευτρεπισμένος ἐστὶ, καὶ ἕτοιμος πρὸς τὴν υἱοθεσίαν, ἔχων τὴν παῤῥησίαν καὶ δύναμιν τῆς πίστεως· ὁ δὲ πιστεύσας καὶ βαπτισθεὶς, ἐκεῖνός ἐστιν ἀληθῶς τέκνον Θεοῦ, καὶ υἱὸς αὐτοῦ, καὶ κληρονόμος τῆς αἰωνίου Βασι-
Μάρκ. ιϛ'. 16. λείας· Πᾶς γὰρ ὁ πιστεύσας καὶ βαπτισθεὶς, σωθήσεται. Ἀλλὰ καὶ ἄλλην ἑρμηνείαν τούτων τῶν λόγων ἀκούσατε. Πότε ὁ υἱὸς λαμβάνει τὸ τῆς υἱότητος δικαίωμα; ὅταν εἰσέλθῃ εἰς τὴν κληρονομίαν τοῦ πατρὸς αὐτοῦ. Ἡμεῖς, ἐπειδὴ ἐσμὲν τέκνα Θεοῦ διὰ τῆς πίστεως καὶ τοῦ βαπτίσματος, καὶ κλη-
Ῥωμ. η'. 17. ρονόμοι αὐτοῦ ἐσμέν· Εἰ δὲ τέκνα, καὶ κληρονόμοι μὲν Θεοῦ, συγκληρονόμοι δὲ Χριστοῦ. Ἐπειδὴ δὲ τὴν κληρονομίαν ταύτην οὐκ ἐν τῷ παρόντι βίῳ, ἀλλ' ἐν τῷ μέλλοντι αἰῶνι ἀπολαμβάνομεν, διὰ τοῦτο εἶπεν· Ἔδωκεν αὐτοῖς ἐξουσίαν τέκνα Θεοῦ γενέσθαι· ἵνα φανερώσῃ, ὅτι εἰς τὴν μέλλουσαν ζωὴν τὸ τελειότατον λαμβάνομεν καὶ ἀσφαλέστατον τῆς υἱοθεσίας δικαίωμα καὶ χάρισμα, εἰσερχόμενοι εἰς τὴν τοῦ Θεοῦ καὶ Πατρὸς ἡμῶν κληρονομίαν. Ὅταν δὲ ἀκούῃς, τέκνα, μὴ νοήσῃς γέννησιν σαρκικὴν καὶ ἐμπαθῆ· διότι λέγει·

Οἳ οὐκ ἐξ αἱμάτων, οὐδὲ ἐκ θελήματος σαρκὸς, οὐδὲ ἐκ θελήματος ἀνδρὸς, ἀλλ' ἐκ Θεοῦ ἐγεννήθησαν. Ἰωάν. α'. 13.

Αὐτὰ, λέγει, τὰ τέκνα οὐκ ἐγεννήθησαν σαρκικῶς, ὡς γεννῶνται οἱ ἄνθρωποι ἐκ τῶν ἀνθρώπων, ἀλλ' ἐκ Θεοῦ διὰ τῆς πίστεως καὶ τῆς χάριτος τοῦ θείου βαπτίσματος· ἡ γέννησις τούτων τῶν τέκνων οὐκ ἔστι σαρκικὴ, καὶ ἀνθρώπινος, ἀλλὰ πνευματικὴ καὶ θεία. Ὅτε δὲ ὁ Πέτρος ἐπίστευσε, τὰ αὐτὰ σχεδὸν ἤκουσε παρὰ τοῦ Κυρίου· Μακάριος Ματθ.
εἶ, Σίμων βὰρ Ἰωνᾶ, ὅτι σὰρξ καὶ ιϛ'. 17.
αἷμα οὐκ ἀπεκάλυψέ σοι, ἀλλ' ὁ Πατήρ μου ὁ ἐν τοῖς οὐρανοῖς. Ἀλλὰ καὶ ἄλλο μυστικώτερον νόημα ἔχουσι ταῦτα τὰ λόγια. Βλέπομεν, ὅτι οἱ μὲν πρὸ νόμου, θυσίας αἱμάτων προσφέροντες τῷ Θεῷ, δι' αὐτῶν ἤλπιζον, ὅτι εὐάρεστοι γίνονται ἐνώπιον αὐτοῦ· οἱ δὲ ἐν νόμῳ ζῶντες περιέτεμον τὴν σάρκα, νομίζοντες, ὅτι διὰ τῆς περιτομῆς γίνονται τέκνα Θεοῦ· ἀκούομεν δὲ καὶ τὸν Ἀπόστολον γράφοντα πρὸς ἐκείνους, οὓς αὐτὸς τέκνα Θεοῦ ἀνέδειξεν, ὅτι, Οὐκ ἐν σοφίᾳ σαρκικῇ, ἀλλ' ἐν χάριτι Β'. Κορ.
Θεοῦ ἀνεστράφημεν ἐν τῷ κόσμῳ· α'. 12.
ταῦτο οὖν σημαίνει τὸ ῥητόν· οὔτε διὰ

τῶν

*τῶν ἐναίμων θυσιῶν, οὔτε διὰ τῆς σαρκικῆς περιτομῆς, οὔτε διὰ τῆς κοσμικῆς φιλοσοφίας, ἀλλὰ διὰ τῆς εἰς Χριστὸν πίστεως γίνονται οἱ ἄνθρωποι τέκνα Θεοῦ· ὅπερ ἐστὶν, ὅτι οὐδὲ αἱ θυσίαι τῶν πρὸ νόμου, οὐδὲ ἡ περιτομὴ τῶν ἐν νόμῳ, οὐδὲ ἡ κοσμικὴ φιλοσοφία τῶν κατὰ διαφόρους καιροὺς φιλοσοφησάντων ἀνδρῶν, ἀλλὰ μόνη ἡ εἰς Χριστὸν τὸν Θεὸν πίστις τέκνον Θεοῦ ἀπεργάζεται τὸν ἄνθρωπον. Ταύτης δὲ τῆς πνευματικῆς υἱοθεσίας τὸ αἴτιον ἐπιφέρει ὁ Ἐυαγγελιστὴς, λέγων·*

Ἰωάν. α'. 14. Καὶ ὁ Λόγος σὰρξ ἐγένετο· καὶ ἐσκήνωσεν ἐν ἡμῖν, (καὶ ἐθεασάμεθα τὴν δόξαν αὐτοῦ, δόξαν ὡς μονογενοῦς παρὰ πατρὸς,) πλήρης χάριτος καὶ ἀληθείας.

*Ἡ σειρὰ τοῦ λόγου ἀναγκάζει, ἵνα νοήσωμεν τὸ, Καὶ, ὡς αἰτιολογικόν· ἐὰν δὲ τοῦτο νοήσῃς, εὐοδοῦται ἡ ἀκολουθία τοῦ νοήματος τοιουτοτρόπως· ἐκ Θεοῦ ἐγεννήθησαν οἱ εἰς τὸν Χριστὸν πιστεύοντες, διότι ὁ λόγος σὰρξ ἐγένετο, τουτέστιν, ἐπειδὴ ὁ μονογενὴς Υἱὸς καὶ Λόγος τοῦ Θεοῦ ἐσαρκώθη, διὰ τοῦτο οἱ εἰς αὐτὸν πιστεύσαντες κατηξιώθησαν γενέσθαι τέκνα Θεοῦ. Διατί δὲ οὐκ εἶπεν, ὁ Λόγος ἐγένετο ἄνθρωπος, ἀλλὰ σὰρξ ἐγένετο; ἵνα μήτις φαντασθῇ, ὅτι ἀνέλαβεν ἕνα τινὰ τῶν ἀνθρώπων, ἢ μόνον τὸν ἔσω ἄνθρωπον, ἤγουν μόνην τὴν ἀνθρωπίνην ψυχήν· καὶ ἵνα φανερώσῃ, ὅτι οὐ μόνον τῇ ἀνθρωπίνῃ ψυχῇ, ἀλλὰ καὶ τῇ σαρκὶ ἡνώθη ὁ τοῦ Θεοῦ Λόγος, καὶ δείξῃ τὴν ἄμετρον αὐτοῦ ταπείνωσιν, καὶ ἀποφράξῃ τὸ στόμα τοῦ αἱρετικοῦ Μάνεντος, ὅστις ἔλεγεν, ὅτι κατὰ φαντασίαν ἐσαρκώθη ὁ τοῦ Θεοῦ Υἱός· καὶ ἀναδράμῃ ἐπὶ τὴν πρώτην καταβολὴν τῆς ἀνθρωπίνης φύσεως· διότι πρῶτον ἔπλασεν ὁ Θεὸς τὸ σῶμα, εἶτα ἐνεφύσησεν εἰς τὸ πρόσωπον αὐτοῦ πνοὴν* Γεν. β'. 7. *ζωῆς, ἤγουν ψυχήν. Σάρξ, εἶπε, διότι ἰδίωμα ἔχει ἡ ἁγία Γραφὴ ἀπὸ τῆς σαρκὸς ὀνομάζειν ὅλον τὸν ἄνθρωπον· Πρὸς* Ψαλ. ξδ'. 2. *σὲ, λέγει, πᾶσα σὰρξ ἥξει· καὶ, Ἐκχεῶ ἀπὸ τοῦ Πνεύματός μου* Ἰωήλ. β'. 28. *ἐπὶ πᾶσαν σάρκα· καὶ, Εὐλογείτω πᾶσα σὰρξ τὸ ὄνομα τὸ ἅγιον* Ψαλ. ρμδ'. 21. *αὐτοῦ· καὶ, Ὄψεται πᾶσα σὰρξ τὸ σωτήριον τοῦ Θεοῦ.* Ἡσ. μ'. 5. *Τὰ ῥητὰ ταῦτα, ὡς φαίνεται, οὐκ ἐσυλλογίσθη ὁ ἄφρων Ἀπολινάριος, καὶ διὰ τοῦτο ἔλεγεν ἄνουν καὶ ἄψυχον τοῦ Κυρίου Ἰησοῦ τὸ σῶμα· διότι ἐξ αὐτῶν φανερόν ἐστιν, ὅτι ἡ σὰρξ σημαίνει ὅλον τὸν ἄνθρωπον, καὶ τὴν ψυχὴν δηλαδὴ καὶ τὸ σῶμα. Ὁ Λόγος λοιπὸν σὰρξ ἐγένετο· οὐ μετετράπη εἰς σάρκα, ἄπαγε! ἀλλὰ μείνας ἄτρεπτος καὶ ἀναλλοίωτος, ἡνώθη τῇ ἀνθρωπίνῃ φύσει· καὶ Θεὸς ὢν τέλειος, ἐγένετο τέλειος ἄνθρωπος, ἐν μιᾷ τῇ ὑποστάσει δύω ἔχων τὰς φύσεις, τὴν τῆς Θεότητος, καὶ τὴν τῆς ἀνθρωπότητος, ἀτρέπτους καὶ ἀναλλοιώτους καὶ ἀσυγχύτους· διότι οὐδὲ ἡ Θεότης μετεβλήθη εἰς τὴν ἀνθρωπότητα, οὐδὲ ἡ ἀνθρωπότης εἰς τὴν Θεότητα· καθαρῶς δὲ παρίστησι τὸ νόημα τοῦτο, λέγων· Καὶ ὁ Λόγος σὰρξ ἐγένετο· καὶ ἐσκήνωσεν ἐν ἡμῖν· ἀκούεις; ἐσκήνωσεν ἐν ἡμῖν· ἄλλος λοιπὸν ὁ σκηνώσας, ὅστις ἐστὶν ἡ Θεότης, καὶ ἄλλο τὸ σκήνωμα, ὅπερ ἐστὶν ἡ ἀνθρώπινος φύσις. Ἐν ἡμῖν δὲ λέγει, διότι πάντες ἐν τῷ Χριστῷ θεωρούμεθα, καὶ αὐτὸς παρίστησι πᾶσαν τὴν ἀνθρωπότητα, καθὼς καὶ ὁ πρῶτος προπάτωρ, ὁ Ἀδάμ· διὰ τοῦτο καὶ δεύτερος ἄνθρωπος ὀνομάζεται·* Α'. Κορ. ιε'. 47. *Ὁ πρῶτος ἄνθρωπος ἐκ γῆς,*

χοϊ-

χοϊκός· ὁ δεύτερος ἄνθρωπος, ὁ Κύριος ἐξ οὐρανοῦ.

Σημείωσαι δὲ, ὅτι τὸ, πλήρης χάριτος καὶ ἀληθείας, τινὲς μὲν ἀποδίδουσιν εἰς τὸ, ὁ Λόγος, ἀναγινώσκοντες οὕτω· Καὶ ὁ Λόγος σὰρξ ἐγένετο· καὶ ἐσκήνωσεν ἐν ἡμῖν, πλήρης χάριτος καὶ ἀληθείας· τὰ δὲ ἐν τῷ μεταξὺ λόγια, ὡς διὰ μέσου ἐκλαμβάνουσι· τινὲς δὲ ἀναφέρουσι τοῦτο εἰς τὸ, Δόξαν, ὀρθοῦντες τὴν σύνταξιν, καὶ λέγοντες· Πλήρης γὰρ ἦν (ἡ δόξα δηλαδὴ) χάριτος καὶ ἀληθείας. Εὐσεβεῖς δὲ καὶ αἱ δύω ἀναγνώσεις αὗται, ἡ πρώτη ὅμως φαίνεται ἁρμοδιωτέρα καὶ σύμφωνος εἰς τὰ ἑξῆς λόγια τοῦ Εὐαγγελιστοῦ. Κατὰ γοῦν τὴν πρώτην, πλήρης λέγεται ὁ Υἱὸς χάριτος, ἐπειδὴ οὐδὲ ὡς οἱ Ἅγιοι, οὐδὲ ὡς οἱ Ἄγγελοι, παρὰ Θεοῦ λαμβάνει τὴν χάριν, ἔχει δὲ αὐτὴν ἀφ' ἑαυτοῦ κατὰ φύσιν ὡς Θεός· πλήρης χάριτος, ἐπειδὴ πᾶσα χάρις ἀεννάως καὶ ἀκενώτως ἐξ αὐτοῦ πηγάζει· ἐξ αὐτοῦ τῶν ἁμαρτιῶν ἡ ἄφεσις· Δεῦτε πρός με πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς. Ἐξ αὐτοῦ ἡ υἱοθεσία· Ἔδωκεν αὐτοῖς ἐξουσίαν τέκνα Θεοῦ γενέσθαι. Ἐξ αὐτοῦ ἡ ζωὴ ἡ αἰώνιος· Ἵνα πᾶς ὁ πιστεύων εἰς αὐτὸν μὴ ἀπόλλυται, ἀλλ' ἔχει ζωὴν αἰώνιον. Ἐξ αὐτοῦ πάντα τὰ χαρίσματα· Καὶ ὅ, τι ἂν αἰτήσητε ἐν τῷ ὀνόματί μου, τοῦτο ποιήσω. Πλήρης δὲ ἀληθείας, ἐπειδή ἐστιν ἡ αὐτοαλήθεια, Θεὸς ἀληθινός· Ἐγώ εἰμι, λέγει, ἡ ἀλήθεια· πλήρης ἀληθείας, ἐπειδὴ ἔπαυσε τὴν σκιὰν τοῦ νόμου καὶ τοὺς τύπους, ἐδίδαξε τὰ ἀληθέστατα τῆς Παναγίας Τριάδος δόγματα, παρέδωκε τὰ ἄπταιστα τῆς ἠθικῆς μαθήματα, ἐπλήρωσε καὶ ἀναπληροῖ ὅσα ὑπόσχεται· Πλήρης χάριτος καὶ ἀληθείας· μαρτυρεῖ τοῦτο αὐτὸς ὁ Εὐαγγελιστής, ὁ θεασάμενος τὴν δόξαν αὐτοῦ, λέγων· Καὶ ἐθεασάμεθα τὴν δόξαν αὐτοῦ, δόξαν ὡς μονογενοῦς παρὰ Πατρός. Ἀλλὰ πότε εἶδεν ὁ Ἰωάννης τὴν δόξαν τοῦ Ἰησοῦ Χριστοῦ, καὶ ἐγνώρισεν, ὅτι ἡ δόξα αὐτοῦ οὐκ ἦν ὥσπερ δόξα τῶν Ἁγίων, ἀλλὰ δόξα ὡς μονογενοῦς, ἤγουν ἀναμφιβόλως τοῦ μονογενοῦς Υἱοῦ, τοῦ ἐκ τοῦ Θεοῦ καὶ Πατρὸς αὐτοῦ γεννηθέντος; Ἄκουσον τί περὶ τούτου λέγει ὁ μακάριος Πέτρος· Οὐ γὰρ σεσοφισμένοις μύθοις ἐξακολουθήσαντες ἐγνωρίσαμεν ὑμῖν τὴν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ δύναμιν καὶ παρουσίαν, ἀλλ' ἐπόπται γεννηθέντες τῆς ἐκείνου μεγαλειότητος. Λαβὼν γὰρ παρὰ Θεοῦ Πατρὸς τιμὴν καὶ δόξαν, φωνῆς ἐνεχθείσης αὐτῷ τοιᾶσδε ὑπὸ τῆς μεγαλοπρεποῦς δόξης· Οὗτός ἐστιν ὁ Υἱός μου ὁ ἀγαπητὸς, εἰς ὃν ἐγὼ εὐδόκησα. Καὶ ταύτην τὴν φωνὴν ἡμεῖς ἠκούσαμεν σὺν αὐτῷ ὄντες ἐν τῷ ὄρει τῷ ἁγίῳ. Τότε λοιπὸν, ὅτε ὁ Κύριος μετεμορφώθη ἐν τῷ ὄρει τῷ Θαβώρ, ὅτε ἔλαμψε τὸ πρόσωπον αὐτοῦ ὡς ὁ Ἥλιος, ὅτε ἐγένοντο τὰ ἱμάτια αὐτοῦ λευκὰ ὡς τὸ φῶς, ὅτε ὁ Μωϋσῆς καὶ ὁ Ἠλίας ὡς δοῦλοι ἐνώπιον αὐτοῦ παρίσταντο, ὅτε ὁ Πατὴρ οὐρανόθεν ἐμαρτύρησεν, Οὗτός ἐστιν ὁ Υἱός μου ὁ ἀγαπητὸς, ἐν ᾧ εὐδόκησα, τότε ὁ Ἰωάννης παρὼν, εἶδε τὴν δόξαν αὐτοῦ. Οὐχὶ δὲ τότε μόνον, ἀλλὰ καὶ ὅτε ἠκολούθει αὐτῷ, εἶδε τὴν δόξαν αὐτοῦ· εἶδε τὰ στοιχεῖα ὑποτασσόμενα, τὰ Δαιμόνια φεύγοντα, τοὺς Ἀγγέλους διακονοῦντας, τοὺς ἀσθενεῖς θεραπευομένους, τοὺς νεκροὺς ἐγειρομένους· καὶ εἰς τὸν καιρὸν δὲ τοῦ πάθους, ὅτε παρὰ τῷ σταυρῷ τοῦ Κυρίου παρίστατο, εἶδε τὴν δόξαν αὐτοῦ, τουτέστι τὴν κτίσιν πᾶσαν συμ-

Ἀμμών. καὶ Ὠριγ. ἐν τῇ εἰς τὸ κατὰ Ἰωάν. Σειρ.

Κύριλλ. Χρυσ. καὶ Θεοφύλ.

Ματ. ιά. 28.

Ἰωαν. ά. 12.

Ἰωάν. γ'. 15.

Ἰωαν. ιδ'. 13.

Ἰωάν. ιδ'. 6.

Χρυσ. τὴν Σειρ.

Β'. Πέτρ. ά. 16-18.

συμπάσχουσαν, τὸν Ἥλιον σκοτισθέν-
τα, τὸ καταπέτασμα τοῦ ναοῦ διαῤῥα-
γὲν, τὴν γῆν σειομένην, τὰ μνημεῖα ἀ-
νοιγόμενα, τοὺς νεκροὺς ἀνισταμένους·
εἶδε τὴν δόξαν αὐτοῦ, ὅτε προδραμὼν
Ἰωάν. κ'. 4. τάχιον τοῦ Πέτρου, ἦλθε πρῶτος
εἰς τὸ μνημεῖον· καὶ ὅτε εἶδεν αὐ-
τὸν ἐκ νεκρῶν ἀναστάντα, καὶ ὑπὸ τοῦ
Θωμᾶ ψηλαφηθέντα, καὶ μετ' αὐτοῦ καὶ
τῶν Μαθητῶν συναριστήσαντα· ἐγνώρισε
δὲ, ὅτι τοιαύτη δόξα οὐκ ἦν δόξα ἀν-
θρώπου, ἀλλὰ δόξα τοῦ μονογενοῦς Υἱοῦ
τοῦ Θεοῦ· ἐπειδὴ οὐδὲ ὁ Μωϋσῆς, οὔτι-
νος ἐδοξάσθη τὸ πρόσωπον, οὐδὲ ὁ Ἠ-
λίας ὁ κλείσας καὶ ἀνοίξας τὸν οὐρα-
νὸν, καὶ οὐρανόθεν πῦρ καταγαγὼν, οὐ-
δὲ ὁ Ἐλισσαῖος, ὁ καὶ ζῶν καὶ θανὼν
ἀναστήσας τοὺς νεκροὺς, οὐδὲ ὁ Δανιὴλ,
ὁ ἐμφράξας τὰ στόματα τῶν λεόντων,
οὐδὲ οἱ τρεῖς παῖδες, οἱ σβέσαντες τὴν
δύναμιν τοῦ πυρὸς, οὐδὲ ἄλλος τις ἄν-
θρωπος τόσα θαυμάσια ἐποίησεν, οὐδὲ
ἐκ νεκρῶν ἀνέστη, οὐδὲ φωνὴ περὶ αὐτοῦ
Ματ. ιζ'. 5. ἀπ' οὐρανοῦ ἠκούσθη, λέγουσα· Οὗτός
ἐστιν ὁ Υἱός μου ὁ ἀγαπητὸς, ἐν
ᾧ εὐδόκησα· αὐτοῦ ἀκούετε· δι-
καίως λοιπὸν καὶ εὐλογοφανῶς ἐμαρτύ-
ρησε, λέγων· Καὶ ἐθεασάμεθα τὴν
δόξαν αὐτοῦ, δόξαν ὡς μονογε-
νοῦς παρὰ Πατρός. Κἂν δὲ ὑπερί-
κανος ἡ μαρτυρία, οὐκ ἀρκεῖται ὅμως
ἐπ' αὐτῇ, ἀλλὰ καὶ ἄλλην ἐπιφέρει, τὴν
τοῦ Ἰωάννου, λέγων·

Ἰωάν. α'. 15. **Ἰωάννης μαρτυρεῖ περὶ αὐτοῦ, καὶ κέκραγε, λέγων· Οὗτος ἦν ὃν εἶπον· Ὁ ὀπίσω μου ἐρχόμενος, ἔμπροσθέν μου γέγονεν, ὅτι πρῶτός μου ἦν.**

Οὐ μόνον δὲ ἐγὼ, λέγει, μαρτυρῶ,
ἀλλὰ καὶ ὁ Πρόδρομος Ἰωάννης μεγαλο-
φώνως καὶ μετὰ πολλῆς παῤῥησίας πε-
ρὶ αὐτοῦ μαρτυρεῖ. Ποία δὲ τοῦ Ἰωάν-
νου ἡ μαρτυρία; Ὁ ὀπίσω μου ἐρχό-
μενος, ἔμπροσθέν μου γέγονεν,
ὅτι πρῶτός μου ἦν. Ἡ μαρτυρία αὕ-
τη φαίνεται, ὅτι περιέχει ἀντιλογίαν. Ὁ
αὐτὸς Χριστὸς καὶ ὀπίσω, καὶ ἔμπροσ-
θεν, καὶ πρῶτος, καὶ ὕστερος τοῦ Ἰωάν-
νου· ναὶ, ἀληθῶς ἀντιλογία φαίνεται·
διότι ὁ Χριστὸς, καθὼς εἶπεν ὁ μακά-
ριος Συμεὼν, ὅτε ἐδέξατο αὐτὸν εἰς τὰς
ἀγκάλας αὐτοῦ, ἐστὶ σημεῖον ἀντι- Λουκ. β'. 34.
λεγόμενον, ἤγουν Θεὸς καὶ ἄνθρωπος·
καὶ καθ' ὃ μὲν Θεὸς, καὶ ἔμπροσθεν,
καὶ πρῶτος τοῦ Ἰωάννου ἐστί· καθὸ δὲ
ἄνθρωπος, ὀπίσω, καὶ ὕστερος αὐτοῦ
ἐστὶν, ἓξ μῆνας μετ' αὐτὸν γεννηθείς·
διότι ἓξ μῆνας μετὰ τὴν σύλληψιν τοῦ
Ἰωάννου ἐλθὼν ὁ Ἄγγελος πρὸς τὴν Ἁ-
γίαν Παρθένον, εὐηγγελίσατο αὐτῇ τὴν
τοῦ Ἰησοῦ Χριστοῦ σύλληψιν· Καὶ ἰ- Λουκ. α'. 36.
δοὺ, εἶπεν ὁ Ἄγγελος πρὸς τὴν Παρ-
θένον, Ἐλισάβετ ἡ συγγενής σου,
καὶ αὐτὴ συνειληφυῖα Υἱὸν ἐν γή-
ρᾳ αὐτῆς· καὶ οὗτος μὴν ἕκτος
ἐστὶν αὐτῇ τῇ καλουμένῃ στεί-
ρᾳ· θαυμαστὴ λοιπὸν τοῦ Προδρόμου ἡ
μαρτυρία, καὶ σύμφωνος τῇ τοῦ Εὐαγ-
γελιστοῦ, ὡς ἐπιβεβαιοῦσα, ὅτι ὁ Χρισ-
τὸς ἐστὶ Θεὸς, καὶ ἄνθρωπος. Καὶ μὴ
θαυμάσῃς ἀκούων, ὅτι οὕτως αἰνιγματω-
δῶς ἐλάλησεν ὁ Ἰωάννης, διότι οὗτός ἐ-
στιν ὁ συνήθης τρόπος, δι' οὗ καὶ οἱ
Προφῆται ἐλάλουν, καὶ οἱ Ἰουδαῖοι ἤ-
κουον. Προτείνας δὲ ὁ Εὐαγγελιστὴς πε-
ρὶ τῶν λεγομένων τὰς δύω μαρτυρίας,
τὴν ἰδίαν δηλαδὴ, καὶ τὴν τοῦ Ἰωάννου,
ἐπαναλαμβάνει πάλιν τὴν σειρὰν τοῦ
λόγου, λέγων·

ΚΑΙ

Ἰωάν. α'. Καὶ ἐκ τοῦ πληρώματος αὐ-
16. τοῦ ἡμεῖς πάντες ἐλάβομεν,
καὶ χάριν ἀντὶ χάριτος.

Βλέπε τοῦ λόγου τὴν ἀκολουθίαν· Ὁ Λόγος σὰρξ ἐγένετο, καὶ ἐσκήνωσεν ἐν ἡμῖν, πλήρης χάριτος καὶ ἀληθείας· καὶ ἐκ τοῦ πληρώματος αὐτοῦ ἡμεῖς πάντες ἐλάβομεν· Αὐτὸς, λέγει, ὁ σαρκωθεὶς καὶ ἐνανθρωπήσας Λόγος, τουτέστιν ὁ Ἰησοῦς Χριστὸς, εἶχε τὸ πλήρωμα τῆς χάριτος καὶ ἀληθείας· ἐξ αὐτοῦ δὲ τοῦ πληρώματος, ἤγουν ἐξ αὐτῆς τῆς ὑπερτελειοτάτης καὶ ἀεννάου τῶν θείων χαρισμάτων πηγῆς, ἐλάβομεν πάντες ἡμεῖς, οἱ εἰς αὐτὸν πιστεύσαντες, τὰ θεῖα χαρίσματα· ἔλαβεν ἐξ αὐτοῦ τοῦ Σωτῆρος τὸ τῶν ἀνθρώπων γένος τὸ χάρισμα τῆς υἱοθεσίας, τῆς ἱερωσύνης, τῆς προφητείας, τῆς θαυματουργίας, τῶν ἰαμάτων, τῶν γλωσσῶν, τῆς γνώσεως
Ματ. ιβ'. τῶν μυστηρίων· Ὑμῖν γὰρ δέδοται,
11. εἶπεν ὁ Κύριος, γνῶναι τὰ μυστή-
ρια τῆς βασιλείας τῶν οὐρανῶν·
τὸ χάρισμα τῆς κατανοήσεως τῶν θείων
Λουκ. κδ'. Γραφῶν· Τότε γὰρ διήνοιξεν αὐ-
45. τοῖς τὸν νοῦν τοῦ συνιέναι τὰς
Γραφάς· τὸ ὑπερφυὲς χάρισμα τῆς με-
ταλήψεως τοῦ σώματος καὶ αἵματος αὐ-
Ματ. κς'. τοῦ τοῦ μονογενοῦς Υἱοῦ τοῦ Θεοῦ· Λά-
27. 28. βετε, φάγετε· τοῦτό ἐστι τὸ σῶ-
μά μου· Πίετε ἐξ αὐτοῦ πάντες·
τοῦτο γάρ ἐστι τὸ αἷμά μου. Προσέτι δὲ καὶ χάριν ἐλάβομεν ἀντὶ χάριτος· νόησον δὲ, ὅτι ἀντὶ τῆς χάριτος, ἣν ἀπωλέσαμεν διὰ τὴν προπατορικὴν ἁμαρτίαν, ἐλάβομεν τὴν χάριν τοῦ Σωτῆρος, τὴν ἡμᾶς υἱοθετήσασαν· τὸ δὲ καθ' αὐτὸ νόημα τούτων τῶν λόγων ἐστὶ τὸ, ὅτι ἐλάβομεν τὴν χάριν τὴν εὐαγγελικὴν, ἀντὶ τῆς χάριτος τῆς νομικῆς· τὴν μεγάλην ἀντὶ τῆς μικρᾶς, καὶ τὴν μείζονα καὶ ὑπερτέραν ἀντὶ τῆς ἐλάττονος καὶ ὑποδεεστέρας. Ἰδοὺ δὲ καὶ τὸν λόγον προστίθησιν ὁ Εὐαγγελιστὴς, δι' ὃν ἡ εὐαγγελικὴ χάρις ὑπερτερεῖ ἀσυγκρίτως τὴν νομικήν.

Ὅτι ὁ νόμος διὰ Μωϋσέως Ἰωάν. α'.
ἐδόθη· ἡ χάρις καὶ ἡ ἀλή- 16.
θεια διὰ Ἰησοῦ Χριστοῦ ἐ-
γένετο.

Χάρις ἐστὶ καὶ ὁ Μωσαϊκὸς νόμος, ἐπειδὴ οὐ κατὰ χρέος, ἀλλὰ διὰ τὴν φιλανθρωπίαν αὐτοῦ ἔδωκεν αὐτὸν ὁ Θεὸς τοῖς ἀνθρώποις, πρὸς ὁδηγίαν ἀρετῆς καὶ προετοιμασίαν τῆς ὑποδοχῆς τοῦ Εὐαγγελίου, ἀλλὰ χάρις τυπικὴ καὶ πρόσκαιρος· χάρις τὸ Εὐαγγέλιον, ἐπειδὴ κατὰ τὸ πολὺ ἔλεος αὐτοῦ ἔδωκεν αὐτὸ ὁ τοῦ κόσμου Σωτὴρ, ἀλλὰ χάρις
ἀληθὴς καὶ αἰώνιος. Χάρις ὁ νόμος, Ἑβρ. ι'.
ἀλλ' ἀτελὴς, καὶ μὴ δυναμένη σῶσαι τοὺς 11.
προσερχομένους· χάρις τὸ Εὐαγγέλιον,
ἀλλ' ὑπερτελεία, καὶ σώζουσα τοὺς πι-
στεύοντας· Πᾶς ὁ πιστεύσας καὶ
βαπτισθεὶς, σωθήσεται. Χάρις Μάρκ. ις'.
ὁ νόμος, ἥτις ἐδόθη διὰ τοῦ δούλου, ἤ- 16.
γουν τοῦ Μωϋσέως· Χάρις τὸ Εὐαγγέλιον, ὅπερ δι' αὐτοῦ τοῦ Δεσπότου τῶν ἁπάντων καὶ Κυρίου Ἰησοῦ Χριστοῦ ἐγένετο. Ὅσον οὖν διαφέρει ὁ δεσπότης τοῦ δούλου, καὶ ὁ Θεὸς τοῦ ἀνθρώπου, τοσοῦτον καὶ ὁ εὐαγγελικὸς νόμος τοῦ μωσαϊκοῦ· ὥστε ἀντὶ τῆς χάριτος τῆς τυπικῆς, τῆς μὴ δυναμένης σῶσαι, τῆς διὰ τοῦ δούλου δοθείσης, ἐλάβομεν χάριν ἀληθινὴν, ὑπερτελείαν, σώζουσαν, καὶ δωρηθεῖσαν ἡμῖν δι' αὐτοῦ τοῦ τῶν ἁπάντων Δεσπότου καὶ Θεοῦ, τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.

# ΟΜΙΛΙΑ

ΜΕΤΑ ΤΟ ΚΑΤΑ

# ΙΩΑΝΝΗΝ

## ΕΥΑΓΓΕΛΙΟΝ ΤΗΣ ΚΥΡΙΑΚΗΣ ΤΟΥ ΠΑΣΧΑ.

Ἡ πρώτη χάρις, καὶ πηγὴ πάντων τῶν ἄλλων χαρισμάτων, ὅσα τὸ ἀνθρώπινον γένος ἔλαβεν ἐκ τοῦ πληρώματος τοῦ σαρκωθέντος Υἱοῦ τοῦ Θεοῦ, ἐστὶ τῆς υἱοθεσίας τὸ χάρισμα. Ἡμεῖς, διὰ τὴν ἁμαρτίαν τοῦ προπάτορος ἡμῶν, ἤμεθα πάντες ἐχθροὶ τοῦ Θεοῦ, καὶ ἐστερημένοι τῆς ἐπουρανίου αὐτοῦ Βασιλείας. Ὁ Υἱὸς τοῦ Θεοῦ, γενόμενος ἄνθρωπος, ἔλυσε διὰ τοῦ θανάτου αὐτοῦ τὴν προπατορικὴν ἁμαρτίαν, καὶ εἰρήνευσε τὴν ἔχθραν, τὴν μεταξὺ Θεοῦ καὶ ἀνθρώπου· καταλλάξας δὲ τὸν ἄνθρωπον τῷ Θεῷ, κατέστησεν αὐτὸν υἱὸν καὶ κληρονόμον τῆς αἰωνίου Βασιλείας αὐτοῦ· Εἰ γὰρ, ἐχθροὶ ὄντες, κατηλλάγημεν τῷ Θεῷ διὰ τοῦ θανάτου τοῦ Υἱοῦ αὐτοῦ, πολλῷ μᾶλλον, καταλλαγέντες, σωθησόμεθα ἐν τῇ ζωῇ αὐτοῦ. (Ῥωμ. ἐ. 10.) Καταδυόμενοι εἰς τὴν κολυμβήθραν τοῦ ἁγίου βαπτίσματος, θάπτομεν ἐκεῖ τὸν παλαιὸν ἄνθρωπον τῆς ἁμαρτίας, καὶ ἀνακαινιζόμενοι ἐνδυόμεθα τὸν νέον, τὸν ἀναμάρτητον Ἰησοῦν Χριστόν· Ὅσοι γὰρ εἰς Χριστὸν ἐβαπτίσθητε, Χριστὸν ἐνεδύσασθε. (Γαλ. γ΄. 27.) Τοῦτο δέ ἐστι χάρις· διότι δίδοται ἡμῖν οὐ διὰ τὰ καλὰ ἡμῶν ἔργα, ἀλλὰ διὰ τὸ ἔλεος αὐτοῦ· Οὐκ ἐξ ἔργων τῶν ἐν δικαιοσύνῃ, ὧν ἐποιήσαμεν ἡμεῖς, ἀλλὰ κατὰ τὸν αὐτοῦ ἔλεον ἔσωσεν ἡμᾶς, διὰ λουτροῦ παλιγγενεσίας καὶ ἀνακαινώσεως Πνεύματος ἁγίου. (Τίτ. γ΄. 5.) Μεγάλη ἀληθῶς αὐτὴ ἡ χάρις! χωρὶς αὐτῆς οὐδὲν θεῖον χάρισμα λαμβάνομεν, μετ' αὐτῆς δὲ δίδονται ἡμῖν πάντα τὰ λοιπὰ τοῦ Θεοῦ χαρίσματα. Ἀλλ' ἐξαρκεῖ ἄρά γε αὐτὴ μόνη ἡ χάρις πρὸς τὴν ἡμῶν σωτηρίαν; ναί· ἐκ τοῦ μέρους τῆς χάριτος ἀρκεῖ· Τῇ γὰρ χάριτι ἐστὲ σεσωσμένοι, (Ἐφεσ. β΄. 8.) διδάσκει ὁ θεσπέσιος Παῦλος· ἀλλ' ἐὰν μὴ συντρέξῃ καὶ τοῦ ἀνθρώπου ἡ θέλησις, οὐδὲν δύναται μόνη ἡ χάρις, διότι ὁ Θεὸς, ὅστις δίδωσι τὴν χάριν, αὐτὸς λέγει· Ἐὰν θέλητε καὶ εἰσακούσητέ μου, τὰ ἀγαθὰ τῆς γῆς φάγεσθε· ἐὰν δὲ μὴ θέλητε, μηδὲ εἰσακούσητέ μου, μάχαιρα ὑμᾶς κατέδεται· τὸ γὰρ στόμα Κυρίου ἐλάλησε ταῦτα. (Ἡσ. ά. 19. 20.) Καὶ ὁ αὐτὸς δὲ Παῦλος, ὁ διδάσκων τὸ, Τῇ γὰρ χάριτι ἐστὲ σεσωσμένοι, λέγει, ὅτι ὁ Θεὸς ἀποδώσει ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ. (Ῥωμ. β΄. 6.) Ἡ χάρις ἐδόθη ἡμῖν· ἐὰν καὶ ἡ θέλησις ἡμῶν συντρέξῃ πρὸς τὴν ἐργασίαν τῶν καλῶν ἔργων, ἡμεῖς ἐσμὲν σεσωσμένοι. Περὶ τῆς χάριτος καὶ τῶν καλῶν ἔργων ὁ αὐτὸς Ἀπόστολος γράφει οὕτως· Ἐπεφάνη ἡ χάρις τοῦ Θεοῦ, ἡ σωτήριος πᾶσιν ἀνθρώποις· Παιδεύουσα ἡμᾶς, ἵνα, ἀρνησάμενοι τὴν ἀσέβειαν καὶ τὰς κοσμικὰς ἐπιθυμίας, σωφρόνως καὶ εὐσεβῶς ζήσωμεν ἐν τῷ νῦν αἰῶνι. (Τίτ. β΄. 11. 12.) Διὰ τούτων μανθάνομεν οὐχὶ μόνον, ὅτι τὰ καλὰ ἔργα ἀναγκαῖά εἰσι πρὸς τὴν ἡμῶν σωτηρίαν, ἀλλ' ὅτι πρέπει καὶ νὰ ἐργαζώμεθα αὐτὰ πάσας τὰς ἡμέρας τῆς ζωῆς ἡμῶν.

Ἡμεῖς, κατά τινας μὲν καιροὺς, πρόθυμοι φαινόμεθα εἰς τὴν ἐργασίαν τῶν τοῦ Θεοῦ θελημάτων, κατά τινας δὲ πάλιν, ὁλοτελῶς ἀμελοῦντες, πίπτομεν εἰς τὰ τῆς ἁμαρτίας βάραθρα. Τὰς παρελθούσας τῆς ἁγίας τεσσαρακοστῆς ἡμέρας, οἱ Χριστιανοὶ, ἐγκρατευσάμενοι ὁπωσοῦν τῶν πονηρῶν ἔργων, νηστείαν, προσευχὴν, ἀγρυπνίαν, καὶ ἄλλα ἐτέλεσαν θεάρεστα κατορθώματα. Ἀπὸ τῆς σήμερον τινὲς σὺν τῇ νηστείᾳ καὶ τὸν χαλινὸν λύουσι τῆς κακίας, ἐκδίδονται εἰς τὴν ἀδδηφαγίαν καὶ μέθην, εἰς τοὺς χοροὺς καὶ τὰ ἄτακτα παιγνίδια, εἰς τὰς αἰσχρολογίας καὶ κατακρίσεις, καὶ εἰς ἄλλα ἄθεσμα καὶ παράνομα ἔργα· ὢ ἀδικία μεγάλη, καὶ ἁμαρτία φρικτή! τὴν ἑορτὴν, ἥτις ἐστὶν ἀφορμὴ ἀρετῆς, ποιοῦσιν ὑπόθεσιν ἁμαρτίας. Ὁ Θεὸς, ἀδελφοί μου, ὥρισε τὰς ἑορτὰς, ἵνα, παραιτοῦντες τὰ ἔργα τῶν χειρῶν, ἐργαζώ-
Ἐξόδ. ιβ'. 16. μεθα τὰ ἔργα τῆς ψυχῆς· Πᾶν ἔργον λατρευτὸν (ἤγουν σωματικὸν) οὐ ποιήσετε ἐν αὐταῖς, πλὴν ὅσα ποιηθήσεται πάσῃ ψυχῇ, τοῦτο μόνον ποιηθήσεται ὑμῖν. Οὗτός ἐστιν ὁ νόμος τοῦ Θεοῦ, ὁ περὶ τῶν ἑορτῶν· παραίτησις παντὸς σωματικοῦ ἔργου, καὶ ἐργασία τῆς ἀρετῆς. Ἡμεῖς δὲ τὰ μὲν ἐργόχειρα παύομεν, ἀμελοῦντες δὲ τῆς ψυχῆς τὰ ἔργα, ποιοῦμεν τῆς σαρκὸς ἡμῶν τὰ θελήματα· ἡμεῖς περιμένομεν τὰς ἑορτὰς, ἵνα παύσωμεν τὰ ἐργόχειρα, καὶ ἀφιερώσωμεν ἑαυτοὺς οὐχὶ εἰς τὰ ἔργα τῆς ψυχῆς, ἀλλ' εἰς τὰ ἔργα τῆς ἀνομίας· Χριστιανοὶ, πλανώμεθα! τοιαύτας ἑορτὰς μισεῖ ὁ Θεὸς καὶ
Ἡσ. α'. 14. ἀποστρέφεται· Τὰς ἑορτὰς ὑμῶν, λέγει διὰ τοῦ Ἡσαΐου, μισεῖ ἡ ψυχή μου· διὰ δὲ τοῦ προφήτου Ἀμμὼς κηρύτ-
Ἀμ. ε'. 21. τει· Μεμίσηκα, ἀπῶσμαι ἑορτὰς ὑμῶν, καὶ οὐ μὴ ὀσφρανθῶ θυσίας ἐν ταῖς πανηγύρεσιν ὑμῶν.

Ὅτε ὁ Θεὸς ὥρισεν εἰς τοὺς Ἑβραίους τὴν τελετὴν τῆς πρώτης καὶ μεγάλης ἑορτῆς τοῦ Πάσχα, ἠθέλησε πρῶτον νὰ φύγωσιν ἀπὸ τῆς Αἰγύπτου· Καὶ Ἐξόδ. γ'. 10.
ἐξάξεις τὸν λαόν μου, τοὺς υἱοὺς Ἰσραὴλ, ἐκ γῆς Αἰγύπτου· εἶτα ἐλθόντες εἰς τὴν ἔρημον, ἐκεῖ νὰ ἑορτάσωσιν· Ἐξαπόστειλον τὸν λαὸν Αὐτ. ε'. 1.
μου, ἵνα ἑορτάσωσί μοι ἐν τῇ ἐρήμῳ. Διατί εἰς τὴν ἔρημον ἡ ἑορτὴ, καὶ οὐχὶ εἰς τὴν Αἴγυπτον; χωρὶς λόγου οὐδὲν προστάζει ὁ Θεός· τί λοιπὸν σημαίνει ἡ φυγὴ τῆς Αἰγύπτου; Εἰς τὴν Αἴγυπτον, ταραχὴ καὶ σύγχυσις· εἰς τὴν Αἴγυπτον, ἡ δουλεία τοῦ Φαραώ· προστάζει λοιπὸν ὁ Θεὸς, ἵνα φύγωσι τὴν Αἴγυπτον ἐν τῇ τελετῇ τῆς ἑορτῆς, ἵνα μάθῃς, ὦ Χριστιανὲ, ὅτι, ὅταν ἑορτάζῃς, πρέπει νὰ φύγῃς τὴν ζάλην τῶν παθῶν σου, νὰ ἀπομακρύνῃς τῶν σαρκικῶν ἐπιθυμιῶν καὶ ἡδονῶν, καὶ νὰ ἀποτινάξῃς τοῦ Σατανᾶ τὴν δουλείαν. Οἱ Ἑβραῖοι, ἐλθόντες διὰ τὴν ἑορτὴν εἰς τὴν ἔρημον, πρῶτον λυτροῦνται τῆς αἰχμαλωσίας, πίνουσι τὸ ὕδωρ τὸ ἐκ πέτρας, τρώγουσι τὸ μάννα τὸ οὐράνιον, περιτέμνονται τὴν σάρκα, καὶ ἔπειτα ἑορτάζουσι τοῦ Πάσχα τὴν ἑορτήν. Χριστιανὲ, ἐλθὲ καὶ σὺ, ὅταν ἑορτάζῃς, εἰς τὴν Ἐκκλησίαν· αὐτὴ ὠνομάσθη ἔρημος ὑπὸ τοῦ Προφήτου, λέγοντος· Πολλὰ τὰ τέκνα τῆς Ἡσ. νδ'. 1.
ἐρήμου· καθότι ἔρημος ἦν πάσης χάριτος, πρὸ τῆς ἐνανθρωπήσεως τοῦ Χριστοῦ· λῦσον τὸν δεσμὸν τῆς ἁμαρτίας σου, πίε, ὡς ἡ Σαμαρεῖτις, τὸ ὕδωρ τὸ ζῶν τὸ ἀλλόμενον, ἤγουν τοῦ λόγου τὴν διδασκαλίαν, τὴν πηγάζουσαν ἐκ Α'. Κορ. ι'. 4.
τῆς πέτρας, ἥτις ἐστὶν ὁ Χριστὸς, περίτεμε πᾶσαν κακὴν ἐπιθυμίαν σου, μετάλαβε τὸ μάννα τὸ ἀληθινὸν, ἤγουν τὸ σῶμα καὶ αἷμα τοῦ Σωτῆρος ἡμῶν Χριστοῦ, καὶ οὕτως ἑορτάζεις ἑορτὴν ἁγίαν, ἀληθινὴν, καὶ θεοπρεπῆ.

Οἱ

Οἱ εἰδωλολάτραι οἱ τυφλοὶ καὶ τρισάθλιοι διὰ τῶν ἁμαρτημάτων ἐτέλουν τὰς ἑορτὰς αὐτῶν· ἀσέλγεια καὶ ἀκολασία ὑπῆρχεν ἡ ἑορτὴ τῆς Ἀφροδίτης· μέθη καὶ κραιπάλη καὶ ἀσωτία, ἡ ἑορτὴ τοῦ Διονύσου· πολυφαγία καὶ φωναὶ καὶ ἀταξία, ἡ ἑορτὴ τοῦ Κρόνου· πονηροὶ οἱ Θεοὶ, πονηραὶ καὶ αἱ ἑορταὶ αὐτῶν. Ἡμεῖς δὲ οἱ Χριστιανοὶ ἑορτάζομεν, οὐκ ἐν ζύμῃ παλαιᾷ, οὐδὲ ἐν ζύμῃ κακίας καὶ πονηρίας, ἀλλ' ἐν ἀζύμοις εἰλικρινείας καὶ ἀληθείας· ἅγιος ὁ Θεὸς ἡμῶν, ἅγιαι καὶ αἱ ἑορταὶ αὐτοῦ. (Α'. Κορ. ε. 8.)

Ἑορτὴ τοῦ ἀληθινοῦ Θεοῦ ἐστὶν οὐχὶ μόνον ἡ ἀργία τῶν ἐργοχείρων, ἀλλὰ καὶ ἡ ἀπραξία πάσης ἁμαρτίας· Πᾶν ἔργον λατρευτὸν οὐ ποιήσετε ἐν αὐταῖς. (Ἐξόδ. ιβ'. 16.) Οὐχὶ μόνον ἡ ἀργία παντὸς ἔργου σωματικοῦ, ἀλλὰ καὶ ἡ ἐργασία τῶν ἔργων τῆς ψυχῆς ποιεῖ τὴν ἑορτήν· Πλὴν ὅσα ποιηθήσεται πάσῃ ψυχῇ, τοῦτο μόνον ποιηθήσεται ὑμῖν. Παύετε τὰ ἐργόχειρα, παύσατε καὶ τὰς κακίας· Ὡς ἐν ἡμέρᾳ, ἑορτῆς, εὐσχημόνως περιπατήσατε, μὴ κώμοις καὶ μέθαις, μὴ κοίταις καὶ ἀσελγείαις, μὴ ἔριδι καὶ ζήλῳ. (Ῥωμ. ιγ'. 13.) Ἀργεῖτε τῶν σωματικῶν ἔργων, ἀλλὰ ποιήσατε τὰ ἔργα τῆς ψυχῆς· ὁποῖα δὲ εἰσι ταῦτα, διδάσκει ἡμᾶς ὁ θεῖος Ἀπόστολος, λέγων· Ὁ δὲ καρπὸς τοῦ πνεύματος ἐστὶν ἀγάπη, χαρὰ, εἰρήνη, μακροθυμία, χρηστότης, ἀγαθωσύνη, πίστις, πρᾳότης, ἐγκράτεια. (Γαλ. ε. 22.) Θέλει, ναὶ, ὁ Θεὸς, ἵνα εὐφραινώμεθα ἐν ταῖς ἑορταῖς· Καὶ εὐφρανθήσῃ, λέγει, ἐν τῇ ἑορτῇ σου, σὺ καὶ ὁ υἱός σου καὶ ἡ θυγάτηρ σου, ὁ παῖς σου καὶ ἡ παιδίσκη σου, καὶ ὁ Λευΐτης, καὶ ὁ προσήλυτος, καὶ ὁ ὀρφανὸς, καὶ ἡ χήρα, ἡ οὖσα ἐν ταῖς πόλεσί σου· (Δευτ. ιϛ'. 14.) ἀλλὰ ποίαν εὐφροσύνην λέγει; τὴν ἀναμάρτητον, τὴν ἀληθινὴν, τὴν πνευματικὴν, τὴν χαρὰν καὶ εὐφροσύνην, ἣν προξενοῦσι τὰ καλὰ ἔργα· αἱ προσευχαὶ, αἱ δοξολογίαι, τὰ ψάλματα, ἡ ἐξήγησις τῶν θείων Γραφῶν, ἡ ἀνάγνωσις τῶν ἐκκλησιαστικῶν βιβλίων, ἡ πνευματικὴ νουθεσία, ἡ περιποίησις τῶν πτωχῶν, καὶ ἡ λοιπὴ τῆς ἀρετῆς ἐργασία, ταῦτά εἰσιν ἡ ἀληθὴς εὐφροσύνη· ταῦτα συνιστῶσι τὴν ἀληθῆ καὶ τῷ Θεῷ εὐπρόσδεκτον ἑορτήν· ταῦτά εἰσιν ἡ ὀσμὴ τῆς εὐωδίας τῶν ἑορτῶν, περὶ ἧς ὁ Θεὸς εἶπεν· Ἐν ταῖς ἑορταῖς ὑμῶν ποιήσαι ὀσμὴν εὐωδίας. (Ἀριθ. ιε'. 3.) Διὰ τούτων λοιπὸν σπουδάσωμεν, ἀδελφοὶ, ἑορτάσαι τὴν λαμπροφόρον ταύτην ἡμέραν, καὶ τὰς λοιπὰς ἁγίας ἑορτὰς, Λαλοῦντες ἑαυτοῖς ψαλμοῖς καὶ ὕμνοις καὶ ᾠδαῖς πνευματικαῖς· ᾄδοντες καὶ ψάλλοντες ἐν τῇ καρδίᾳ ὑμῶν τῷ Κυρίῳ· (Ἐφεσ. ε'. 19.) ἵνα ἐκ τῶν προσκαίρων τούτων ἑορτῶν καταντήσωμεν εἰς τὴν πανευφρόσυνον καὶ αἰώνιον ἑορτὴν τῆς βασιλείας τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

# ΕΡΜΗΝΕΙΑ

ΕΙΣ ΤΟ ΚΑΤΑ

# ΙΩΑΝΝΗΝ

## ΕΥΑΓΓΕΛΙΟΝ ΤΗΣ ΚΥΡΙΑΚΗΣ ΤΟΥ ΑΝΤΙΠΑΣΧΑ.

Ἡ ἐκ νεκρῶν ἀνάστασις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἄνδρες ἀδελφοί, περισσότερον πάσης ἄλλης ἀποδείξεως πληροφορεῖ, ὅτι αὐτός ἐστιν ὁ Υἱὸς τοῦ Θεοῦ, καὶ ὁ λυτρωτὴς παντὸς τοῦ κόσμου. Διαστρέφουσιν οἱ Ἰουδαῖοι, ὡς ἄσπονδοι τοῦ Χριστοῦ ἐχθροί, τὰς περὶ αὐτοῦ προφητείας, τινὰς μὲν ἐπὶ τὸν Ἰησοῦν τοῦ Ναυῆ, τινὰς δὲ ἐπὶ τὸν Σολομῶντα, καὶ ἄλλας ἐπὶ ἄλλους παραλόγως ἐφαρμόζοντες οἱ ἀνόητοι· καὶ τὰ ἐξαίσια δὲ θαύματα, τὰ ἀπὸ συλλήψεως Χριστοῦ ἕως τοῦ θανάτου καὶ τῆς ταφῆς αὐτοῦ, ὅμοια στοχάζονται τοῖς ὑπὸ Μωϋσέως καὶ Ἠλιοῦ καὶ Ἐλισσαίου γεγενημένοις· περὶ δὲ τῆς ἐκ νεκρῶν ἀναστάσεως τοῦ Χριστοῦ μηδὲ λόγον ἐναντίον ἔχοντες, μηδὲ παράδειγμα ὅμοιον εὑρίσκοντες, ἐπὶ τὴν ἄρνησιν καταφεύγουσιν οἱ τῶν λίθων ἀναισθητότεροι· ὅθεν καὶ ἀργύρια ἀρκετὰ ἔδωκαν εἰς τοὺς στρατιώτας, τοὺς τὸν τάφον αὐτοῦ φυλάττοντας, ἵνα καταψευσθῶσι καὶ κηρύξωσιν, ὅτι οἱ μαθηταὶ αὐτοῦ ἔκλεψαν αὐτόν. Διὰ τοῦτο λοιπὸν ὁ τῶν ἁπάντων Δεσπότης καὶ Κύριος, τὴν ἐκ νεκρῶν αὐτοῦ ἀνάστασιν πιστῶσαι θέλων, πολλὰς περὶ αὐτῆς, καὶ θείας καὶ ἀνθρωπίνους, ἔδωκεν ἀποδείξεις· τούτων δὲ τὰς ἐπισημοτέρας περιέχει τὸ σήμερον ἀναγνωσθὲν Εὐαγγέλιον. Αὐτὰς λοιπόν, ἀγαπητοί μου Χριστιανοί, μετὰ προσοχῆς καὶ εὐλαβείας ἀκούσατε, ἵνα καὶ τὴν ἀσφάλειαν ἔχητε τῶν λόγων, ὧν ἐδιδάχθητε, καὶ τοῦ μακαρισμοῦ ἀξιωθῆτε, ὡς μὴ ἰδόντες τοῦ Κυρίου τὴν ἀνάστασιν, ἀλλ᾽ ἀκούσαντες, καὶ πιστεύσαντες.

Οὔσης ὀψίας, τῇ ἡμέρᾳ ἐκεί- Ἰωάν. κ΄. 19.
νῃ τῇ μιᾷ τῶν σαββάτων, καὶ τῶν θυρῶν κεκλεισμένων, ὅπου ἦσαν οἱ μαθηταὶ συνηγμένοι, διὰ τὸν φόβον τῶν Ἰουδαίων, ἦλθεν ὁ Ἰησοῦς, καὶ ἔστη εἰς τὸ μέσον, καὶ λέγει αὐτοῖς· Εἰρήνη ὑμῖν.

Μία μέν ἐστιν ἡ πρώτη, σάββατα δέ, ἢ σάββατον ὀνομάζουσιν οἱ Ἑβραῖοι
τὴν ἑβδομάδα, κατὰ τό, Νηστεύω δὶς Λουκ. ιη΄. 12.
τοῦ σαββάτου, ἤγουν δὶς τῆς ἑβδομάδος· ὥστε μία τῶν σαββάτων ἐστὶν ἡ πρώτη ἡμέρα τῆς ἑβδομάδος, ἤγουν ἡ Κυριακή. Κατ᾽ ἐκείνην λοιπὸν τὴν ἡμέραν, τὴν Κυριακήν, ἐν ᾗ ἐγένετο ἡ ἀνάστασις, οὔσης ὀψίας, ἤγουν τὸ ἑσπέρας πολλὰ ἀργά, ὅπερ ἐστὶν εἰς τὰς ἀρχὰς τῆς νυκτός, ἦλθεν ὁ Κύριος ἡμῶν Ἰησοῦς, καὶ εἰσέβη εἰς τὴν οἰκίαν, ἧς αἱ θύραι ἦσαν κεκλεισμέναι, καὶ ἐν ᾗ συνηθροισμένοι ἦσαν οἱ μαθηταί, φοβούμενοι τοὺς καταδιώκοντας αὐτοὺς Ἰουδαίους. Διατί δὲ οὔσης ὀψίας ἦλθε; καὶ διατί εἰσέβη τῶν θυρῶν κεκλεισμένων; καὶ διατί ἔστη εἰς τὸ μέσον; καὶ διατί εἶπεν· Εἰρήνη ὑμῖν; Ἦλθεν ὀψίας

ψίας οὔσης, ἐπειδὴ, διὰ τὸν φόβον τῶν Ἰουδαίων, τὸ ἑσπέρας ἐξόχως συνηθροίζοντο εἰς τὸ κατάλυμα αὐτῶν οἱ Ἀπόστολοι· διὰ τοῦτο οὖν ἦλθεν ἐκεῖ τὸ ἑσπέρας, ἵνα εὕρῃ πάντας συνηθροισμένους. Ἀλλὰ καὶ δι' ἄλλον μυστικώτερον λόγον τοῦτο ᾠκονόμησεν ὁ Κύριος. Πᾶσα ἡ ἀνθρώπινος φύσις, πρὶν τῆς ἀναστάσεως τοῦ Σωτῆρος, ἐν τῷ σκότει τῆς ἁμαρτίας ἔκειτο, καὶ ἐν τῇ σκιᾷ τοῦ θανάτου ἦν καθημένη· ὅθεν ὁ μὲν
Δαβὶδ, περὶ τοῦ φωτισμοῦ αὐτῆς προφη-
Ψαλ. ριβ΄. τεύων, ἔλεγεν· Ἐξανέτειλεν ἐν σκό-
4. τει φῶς τοῖς εὐθέσιν· ὁ δὲ Ἡσα-
Ἡσ. θ΄. 2. ΐας· Ὁ λαὸς ὁ πορευόμενος ἐν
Αὐτ. νη΄. σκότει ἴδε φῶς μέγα· καὶ, τότε
10. ἀνατελεῖ ἐν τῷ σκότει τὸ φῶς
σου· ὁ δὲ Ζαχαρίας· Ἐν οἷς ἐπεσκέ-
Λουκ. α΄. 78. 79. ψατο ἡμᾶς ἀνατολὴ ἐξ ὕψους· Ἐ-
πιφᾶναι τοῖς ἐν σκότει καὶ σκιᾷ θανάτου καθημένοις. Καὶ ἀνέστη λοιπὸν τὴν νύκτα, καὶ πρὸς τοὺς μαθητὰς αὐτοῦ ἦλθε περὶ τὰς ἀρχὰς τῆς ἑξῆς νυκτὸς, ἵνα, ταύτας τὰς περὶ αὐτοῦ προφητείας καὶ κατὰ τὸ γράμμα πληρώσας, δείξῃ, ὅτι τοῖς ἐν τῷ σκότει τῆς ἁμαρτίας ἐφάνη, καὶ ἐφώτισε τοὺς ἐν τῇ νυκτὶ τῆς ἀγνωσίας καθεύδοντας. Εἰσῆλθε δὲ τῶν θυρῶν κεκλεισμένων πρῶτον μὲν, ἵνα μὴ, τὰς θύρας κτυπήσας, ταράξῃ καὶ φοβήσῃ τοὺς μαθητάς· δεύτερον δὲ, ἵνα, ἰδόντες τὸ θαῦμα, πιστεύσωσι τὴν ἐκ νεκρῶν αὐτοῦ ἀνάστασιν· τρίτον, ἵνα διδάξῃ, ὅτι πρὸς ἐκείνους τοὺς ἀνθρώπους ἔρχεται, οἵτινες κρατῶσι κεκλεισμένας τὰς θύρας τοῦ οἴκου τῆς ψυχῆς αὐτῶν, ἤγουν τοῦ σώματος τὰς αἰσθήσεις, ἵνα μὴ ἐμβαίνῃ ἡ ἁμαρτία. Πῶς δὲ, σῶμα ἀνθρώπινον φορῶν ὁ Κύριος ἡμῶν, διεπέρασε διὰ τῶν κεκλεισμένων θυρῶν; καθὼς διῆλθε τὴν μήτραν τῆς ἁγίας Παρθένου, τὴν παρθενίαν αὐτῆς μὴ λύσας· καθὼς περιπατῶν διέβη τὴν θάλασσαν, μὴ καταποντισθεὶς εἰς τὸ βάθος· καθὼς ἔπραξε τόσα ἄλλα ἀναρίθμητα θαυμάσια, ἤγουν τῇ παντοδυναμίᾳ τῆς αὐτοῦ Θεότητος. Ἔστη δὲ εἰς τὸ μέσον, ἵνα πάντες οἱ παρεστῶτες ἀπαρεμποδίστως βλέπωσιν αὐτόν τε καὶ τὰς χεῖρας καὶ τὴν πλευρὰν αὐτοῦ· ἔστη εἰς τὸ μέσον, ἵνα φανερώσῃ, ὅτι πάντας ἐπίσης ἀγαπᾷ, περὶ πάντων ἐπίσης προνοεῖ, καὶ πάντων ἐπίσης θέλει τὴν σωτηρίαν. Εἶπε δὲ· Εἰρήνη ὑμῖν, διότι τοῦτο κατώρθωσεν ἐλθὼν εἰς τὸν κόσμον· ἔλυσε τοῦ φραγμοῦ τὸ μεσότειχον, ἥνωσε τὰ
διεστῶτα, εἰρήνευσε τὸν Θεὸν καὶ τὸν
ἄνθρωπον· Αὐτὸς γάρ ἐστιν ἡ εἰ- Ἐφ. β΄.
ρήνη ἡμῶν, ὁ ποιήσας τὰ ἀμφότε- 14.
ρα ἓν, καὶ τὸ μεσότειχον τοῦ
φραγμοῦ λύσας. Ὅθεν καθὼς, ὅτε
εἰς τὸν κόσμον ἐγεννήθη, Δόξα ἐν ὑ- Λουκ. β΄.
ψίστοις Θεῷ, ἔψαλλον οἱ Ἄγγελοι, 14.
καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις
εὐδοκία· καὶ πάλιν, ὅτε ἐκ τοῦ κόσ-
μου ἀπεδήμει, Εἰρήνην, ἔλεγεν, ἀφίημι Ἰωάν. ιδ΄.
ὑμῖν· οὕτω καὶ ἐκ νεκρῶν ἀναστὰς, 27.
Εἰρήνη ὑμῖν, εἶπε πρὸς τοὺς ἑαυτοῦ
μαθητάς.

## Καὶ τοῦτο εἰπὼν, ἔδειξεν αὐ- Αὐτ. κ΄. 20.
## τοῖς τὰς χεῖρας καὶ τὴν πλευρὰν αὐτοῦ. Ἐχάρησαν οὖν οἱ μαθηταὶ ἰδόντες τὸν Κύριον.

Ἔδειξεν αὐτοῖς τὰς χεῖρας, ἵνα ἴδωσι τῶν ἥλων τὰ τυπώματα· ἔδειξε τὴν πλευρὰν, ἵνα γνωρίσωσι τῆς λόγχης τὸ κέντημα, καὶ οὕτω πιστωθῶσιν, ὅτι αὐτὸς ὁ ἐν μέσῳ αὐτῶν ἑστὼς, καὶ ὑπ' αὐτῶν βλεπόμενος, αὐτός ἐστιν ὁ παθὼν, καὶ καθηλωθεὶς, καὶ λογχευθείς. Ἀκούσατε δὲ καὶ ἄλλον λόγον πνευματικώτερον. Τὰς μὲν χεῖρας ἔδει-

ξεν,

ξεν, ὡς ὄργανα τῆς πλάσεως· τὴν δὲ πλευρὰν, ὡς πηγὴν τῆς σωτηρίας· ὥστε ἡ δεῖξις τῶν μελῶν τούτων ὡς φωνὴ ἦν, ἥτις ἔλεγε· Βλέπετε, ὦ μαθηταὶ, ταύτας τὰς καθηλωμένας χεῖρας; αὗταί εἰσιν αἱ πλάσασαι τὸν ἄνθρωπον. Βλέπετε ταύτην τὴν τετραυματισμένην πλευράν; ἐξ αὐτῆς ἔῤῥευσε τὸ αἷμα καὶ τὸ ὕδωρ, τὰ σωτηριώδη τῆς ἀνθρωπότητος θεραπευτήρια. Αἱ χεῖρες τοῦ Ἀδὰμ ἐξετάθησαν ἐπὶ τῇ τοῦ ἀπηγορευμένου καρποῦ βρώσει· αἱ χεῖρες αὗται ἡπλώθησαν ἐπάνω εἰς τὸ σταυρικὸν τῆς καταδίκης ξύλον. Ἡ ἐκ τῆς πλευρᾶς τοῦ Ἀδὰμ πλασθεῖσα γυνὴ, ὑπὸ τοῦ ὄφεως ἀπατηθεῖσα, ἥμαρτεν· ἡ πλευρὰ αὕτη, διὰ τῆς λόγχης κεντηθεῖσα, τὴν ἁμαρτίαν ἐθεράπευσεν. Ἐπειδὴ δὲ εἶδον καὶ ἐγνώρισαν οἱ μαθηταὶ τὸν Κύριον, χαρᾶς μεγάλης ἡ καρδία αὐτῶν ἐπληρώθη, καθὼς ἐν τῷ καιρῷ τοῦ σωτηρίου
πάθους προεῖπεν αὐτοῖς ὁ Θεάνθρω-
Ἰωάν. ιϛ΄. πος Ἰησοῦς· Πάλιν δὲ ὄψομαι ὑ-
22. μᾶς, καὶ χαρήσεται ὑμῶν ἡ καρ-
δία, καὶ τὴν χαρὰν ὑμῶν οὐδεὶς
αἴρει ἀφ᾽ ὑμῶν.

Αὐτ. κ΄. Εἶπεν οὖν αὐτοῖς ὁ Ἰησοῦς
21. πάλιν· Εἰρήνη ὑμῖν· καθὼς
ἀπέσταλκέ με ὁ Πατὴρ, κἀ-
γὼ πέμπω ὑμᾶς.

Διατί καὶ πρὸ τοῦ πάθους δὶς ἔ-
Αὐτ. ιδ΄. δωκε τὴν εἰρήνην, λέγων· Εἰρήνην ἀ-
27. φίημι ὑμῖν, εἰρήνην τὴν ἐμὴν δί-
δωμι ὑμῖν, καὶ μετὰ τὴν ἀνάστασιν ὁμοίως, Εἰρήνη ὑμῖν, καὶ πάλιν, εἰρήνη ὑμῖν; διότι διπλοῦς ἐστὶν ὁ ἄνθρωπος, ἐκ ψυχῆς καὶ σώματος συγκείμενος· πάσχει δὲ καὶ ἡ ψυχὴ ταραχὰς καὶ συγχύσεις, καθὼς καὶ τὸ σῶμα· ἔδωκε λοιπὸν ὁ ἄρχων τῆς εἰρήνης τὴν εἰρήνην καὶ τῷ πνεύματι, καὶ τῷ σώματι. Στοχασθῆτε δὲ καὶ ἄλλον λόγον. Ἡμεῖς πολλάκις εἰρήνην ἔχομεν μετὰ τῶν ἄλλων ἀνθρώπων, πόλεμον δὲ μεθ᾽ ἡμῶν, τὸν ἐκ τῶν παθῶν ἡμῶν· ἐδιπλασίασε λοιπὸν τὴν τῆς εἰρήνης μετάδοσιν, ἵνα οὐ μόνον μετὰ τῶν ἄλλων ἀνθρώπων, ἀλλὰ καὶ μετὰ τῆς ἰδίας ψυχῆς, καὶ τῆς σαρκὸς, καὶ τῆς συνειδήσεως εἰρηνεύωσιν πάντες οἱ εἰς αὐτὸν πιστεύοντες. Ὅτε δὲ διὰ τοῦ κραταιοῦ τῆς εἰρήνης ὅπλου ἐναντίον παντὸς πολέμου καθώπλισε τοὺς ἰδίους μαθητὰς, τότε ἐπὶ τὸ παγκόσμιον κήρυγμα αὐτοὺς ἀπέστειλεν, εἰπών· Καθὼς ἀπέσταλκέ με ὁ Πατὴρ, κἀγὼ πέμπω ὑμᾶς. Μέγα ἀληθῶς, ἔνδοξον, θεῖόν τε καὶ οὐράνιον τὸ ἀποστολικὸν ἀξίωμα! Καθὼς ὁ προαιώνιος Πατὴρ τὸν μονογενῆ αὐτοῦ Υἱὸν ἀπέστειλεν εἰς τὸν κόσμον, οὕτω καὶ ὁ μονογενὴς αὐτοῦ Υἱὸς καὶ Θεὸς εἰς τὴν οἰκουμένην ἔπεμψε τοὺς ἑαυτοῦ μαθητάς. Πῶς ἀπέστειλεν ὁ Πατὴρ τὸν Υἱόν; ἐν πάσῃ ἐξουσίᾳ
καὶ δυνάμει, ὡς αὐτὸς ὁ Υἱὸς ἐμαρτύ-
ρησε, λέγων· Πάντα μοι παρεδόθη Ματ. ια΄.
ὑπὸ τοῦ Πατρός μου· ἐν δυνάμει 27.
καὶ ἐξουσίᾳ ἐπέμφθησαν καὶ οἱ θεοφόροι Ἀπόστολοι· ὅθεν ἀσθενεῖς ἐθεράπευον, δαιμόνια ἐδίωκον, νεκροὺς ἐξήγειρον, θαύματα ἐξαίσια εἰργάζοντο, καὶ διὰ τῆς διδασκαλίας αὐτῶν τὸν κόσμον ὅλον ὑπέταξαν· Καθὼς ἀπέσταλκέ με ὁ Πατὴρ, κἀγὼ πέμπω ὑμᾶς· μέγα τὸ χάρισμα, ὑπέρτιμον τὸ δῶρον· θεόπεμπτος ὁ Υἱὸς τοῦ Θεοῦ, ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς, θεόπεμπτοι καὶ
οἱ ἅγιοι Ἀπόστολοι. Διατί δὲ ἀπέστει-
λεν ὁ Πατὴρ τὸν Υἱόν; Εὐαγγελίσασ- Ἡσ. ξα΄.
θαι, λέγει, πτωχοῖς ἀπέσταλκέ με, 1. 2.
ἰάσασθαι τοὺς συντετριμμένους
τὴν καρδίαν, κηρύξαι αἰχμαλώ-
τοις ἄφεσιν, καὶ τυφλοῖς ἀνάβλε-
ψιν,

ψιν, ἀποστεῖλαι τεθραυσμένους
ἐν ἀφέσει· Καλέσαι ἐνιαυτὸν Κυ-
ρίου δεκτὸν, καὶ ἡμέραν ἀνταπο-
δόσεως, παρακαλέσαι πάντας τοὺς
πενθοῦντας· καὶ ἀλλαχοῦ πάλιν·
Ἰωάν. γ'. Οὐ γὰρ ἀπέστειλεν ὁ Θεὸς τὸν
17. Υἱὸν αὐτοῦ εἰς τὸν κόσμον, ἵνα
κρίνῃ τὸν κόσμον, ἀλλ' ἵνα σωθῇ
ὁ κόσμος δι' αὐτοῦ. Διὰ τοῦτο αὐ-
τὸ λοιπὸν ἐπέμφθησαν καὶ οἱ σημειοφό-
ροι Ἀπόστολοι, τουτέστιν, ἵνα κηρύξω-
σι τῆς σωτηρίας τὰ Εὐαγγέλια, καὶ ἐ-
πιστρέψωσιν ἐκ τῆς πλάνης τὸν κόσ-
μον, καὶ συγχωρήσωσι τῶν ἀνθρώπων
τὰς ἁμαρτίας. Ἐπειδὴ δὲ μόνη τοῦ Πα-
ναγίου Πνεύματος ἡ δύναμις λύει τῶν
ἁμαρτημάτων τοὺς δεσμοὺς, διὰ τοῦτο
ἐπάγει ὁ Εὐαγγελιστὴς τὰ ἑξῆς τοῦ
Σωτῆρος λόγια.

Αὐτ. κ'. **Καὶ τοῦτο εἰπὼν, ἐνεφύσησε,**
22, 23. **καὶ λέγει αὐτοῖς· Λάβετε
Πνεῦμα ἅγιον. Ἄν τινων ἀφῆ-
τε τὰς ἁμαρτίας, ἀφίενται
αὐτοῖς· ἄν τινων κρατῆτε, κε-
κράτηνται.**

Τὴν χάριν καὶ δύναμιν τοῦ Πανα-
γίου Πνεύματος λέγει, Πνεῦμα ἅγιον,
Αὐτ. ϛ'. καθὼς καὶ ἀλλαχοῦ· Τὰ ῥήματα, ἃ
63. ἐγὼ λαλῶ, πνεῦμά εἰσιν, ἤγουν ἔ-
χουσι χάριν καὶ δύναμιν πνευματικήν.
Ποίαν δὲ χάριν ἔλαβον οἱ Ἀπόστολοι;
τὴν ἐξουσίαν τοῦ λύειν καὶ δεσμεῖν τὰ
ἁμαρτήματα. Τὴν χάριν ταύτην πρῶτον
μὲν τῷ Πέτρῳ ὑπεσχέθη ὁ Σωτὴρ ἡμῶν,
Ματ. ιϛ'. εἰπὼν πρὸς αὐτόν· Καὶ δώσω σοι
19. τὰς κλεῖς τῆς βασιλείας τῶν οὐ-
ρανῶν, καὶ ὃ ἐὰν δήσῃς ἐπὶ τῆς
γῆς, ἔσται δεδεμένον ἐν τοῖς οὐ-
ρανοῖς· καὶ ὃ ἐὰν λύσῃς ἐπὶ τῆς
γῆς, ἔσται λελυμένον ἐν τοῖς οὐ-
ρανοῖς· ἔπειτα ἐπηγγείλατο αὐτὴν ὁ-
μοίως καὶ πᾶσι τοῖς μαθηταῖς, λέγων·
Ἀμὴν λέγω ὑμῖν· ὅσα ἐὰν δήση- Ματ. ιη'.
τε ἐπὶ τῆς γῆς, ἔσται δεδεμένα 18.
ἐν τῷ οὐρανῷ· καὶ ὅσα ἐὰν λύση-
τε ἐπὶ τῆς γῆς, ἔσται λελυμένα
ἐν τῷ οὐρανῷ. Ταύτην τὴν ἐπαγγελ-
θεῖσαν χάριν ἔδωκεν ὁ Κύριος, μετὰ τὴν
αὐτοῦ ἀνάστασιν, ἐπίσης πᾶσι τοῖς Ἀ-
ποστόλοις, εἰπὼν τὸ, Λάβετε Πνεῦ-
μα ἅγιον, καὶ τὰ ἑξῆς· διὰ δὲ τῶν
Ἀποστόλων, καὶ πᾶσι τοῖς κατὰ καιρὸν
γνησίοις αὐτῶν διαδόχοις, ἤγουν τοῖς ὀρ-
θοδόξοις Ἀρχιερεῦσι, τὴν αὐτὴν χάριν
δίδωσιν ὁ Χριστός. Ἔδειξε δὲ τὴν δι-
πλῆν ταύτην ἐξουσίαν ὁ θεηγόρος Παῦ-
λος, γράψας πρὸς τοὺς Κορινθίους· Ἐν Α'. Κορ.
τῷ ὀνόματι τοῦ Κυρίου ἡμῶν Ἰη- ε'. 5.
σοῦ Χριστοῦ, συναχθέντων ὑμῶν
καὶ τοῦ ἐμοῦ πνεύματος, σὺν τῇ
δυνάμει τοῦ Κυρίου ἡμῶν Ἰησοῦ
Χριστοῦ, παραδοῦναι τὸν τοιοῦ-
τον τῷ Σατανᾷ εἰς ὄλεθρον τῆς
σαρκός· ἰδοὺ ἡ ἐξουσία τοῦ δεσμεῖν·
ἵνα τὸ πνεῦμα σωθῇ ἐν τῇ ἡμέρᾳ
τοῦ Κυρίου Ἰησοῦ· ἰδοὺ ἡ δύναμις
τοῦ λύειν τὰ ἁμαρτήματα· μεγάλη ἡ
χάρις! οὐράνιον καὶ ψυχοσωτήριον δῶ-
ρον ἀληθῶς ἔλαβεν ἡ ἀνθρωπότης! Δια-
τί δὲ πρῶτον ἐνεφύσησεν ὁ δωροδότης, ἔ-
πειτα τὴν χάριν μετέδωκε; Διὰ τοῦ
θείου ἐμφυσήματος ἔλαβεν ὁ ἄνθρωπος
τὴν ψυχήν· Ἐνεφύσησε, λέγει, εἰς Γεν. β'.
τὸ πρόσωπον αὐτοῦ πνοὴν ζωῆς, 7.
καὶ ἐγένετο ὁ ἄνθρωπος εἰς ψυ-
χὴν ζῶσαν. Ἡ ψυχὴ τοῦ ἀνθρώπου
ἐνεκρώθη διὰ τὴν ἁμαρτίαν, κατὰ τὴν
θείαν ἀπόφασιν· Ἧ δ' ἂν ἡμέρᾳ φά- Αὐτ. β'.
γητε ἀπ' αὐτοῦ, θανάτῳ ἀποθα- 17.
νεῖσθε· ἐνεφύσησε λοιπὸν ὁ ζωοδό-
της, ἵνα τὴν νενεκρωμένην τοῦ ἀνθρώπου
ψυχὴν ἀναζωοποιήσῃ, καὶ ἐπιδεκτικὴν
κα-

κατασκευάσῃ τῆς τοῦ Παναγίου Πνεύματος χάριτος, καὶ δείξῃ, ὅτι αὐτός ἐστιν ὁ Δημιουργὸς, ὁ ἐμφυσήσας εἰς τὸ πρόσωπον τοῦ ἀνθρώπου, καὶ δοὺς αὐτῷ πνοὴν ζωῆς, καὶ παραστήσῃ, ὅτι ὁ τότε πλάσας τὸν ἄνθρωπον, ὁ αὐτός ἐστιν ὁ καὶ νῦν ἀναπλάττων τὴν τοῦ ἀνθρώπου ψυχήν.

Ἰωάν. κ'. 24. Θωμᾶς δὲ, εἷς ἐκ τῶν δώδεκα, ὁ λεγόμενος Δίδυμος, οὐκ ἦν μετ' αὐτῶν, ὅτε ἦλθεν ὁ Ἰησοῦς.

Δώδεκα Ἀποστόλους ἐποίησεν ὁ
Μάρκ. γ'. 14. Κύριος· ἀλλ' ὁ Ἰούδας, μετὰ τὴν προδοσίαν, ἐξέπεσε τοῦ ἀποστολικοῦ ἀξιώματος· ὅθεν ἕνδεκα μόνον ἦσαν οἱ Ἀπόστολοι, ὅτε ὁ Χριστὸς ἐκ νεκρῶν ἀνέστη· ἀλλ' ὁ Εὐαγγελιστὴς εἶπεν, εἷς ἐκ τῶν δώδεκα, καὶ οὐχὶ ἐκ τῶν ἕνδεκα, τὸν πρῶτον ἀριθμὸν τῶν Ἀποστόλων μνημονεύσας, ὃν ὕστερον διὰ τοῦ Ματθίου ἀνεπλήρωσαν οἱ Ἀπόστολοι. Τὸ δὲ, ὁ λεγόμενος, ἀντὶ τοῦ, ὁ μεθερμηνευόμενος, εἶπε· διότι τὸ ὄνομα, Θωμᾶς, Χαλδαϊκόν ἐστιν, ἀπὸ τοῦ Ἑβραικοῦ, θεόμ, γενόμενον· εἰς δὲ τὴν Ἑλληνικὴν γλῶσσαν, δίδυμος ἑρμηνεύεται. Εὐλόγως δὲ τὴν λέξιν μεθηρμήνευσεν ὁ θεόπνευστος Διδάσκαλος, ἵνα διδάξῃ, ὅτι καὶ τὸ ὄνομα τοῦ Ἀποστόλου, ἤγουν τὸ, Θωμᾶς, ἐμφαίνει, ὅτι διστακτικὸς ἦν κατὰ τὴν γνώμην, καὶ δυσκολόπιστος. Διατί δὲ οὐχ εὑρέθη ὁ Θωμᾶς, ὅτε πρὸς τοὺς μαθητὰς ἦλθεν ὁ Θεάνθρωπος; οἰκονομικῶς, πρὸς περισσοτέραν πίστωσιν τῆς ἀναστάσεως τοῦ Χριστοῦ. Καὶ σιωπεῖ μὲν ὁ Εὐαγγελιστὴς τὸ, ποῦ τότε διέτριβεν ὁ Θωμᾶς· ἀλλ' ἐπειδὴ, εἰς τὸν καιρὸν τοῦ σωτηρίου πάθους, πάντες οἱ μαθηταὶ ἔφυγον καὶ διεσκορπίσθησαν,

(Ὅρα τὸν Ζιγέρ. ἐν τῷ 6. Τόμ. τῶν καλουμ. Ἱερ. Κριτικ.)

(Ματ. κϛ'. 56.)

πολλὰ πιθανὸν φαίνεται, ὅτι αὐτὸς, χωρισθεὶς τότε τῶν Ἀποστόλων, εὑρίσκετο ἔτι ἐν τῷ τόπῳ, ὅπου ἐκρύβη. Ἄλλη δὲ ἀπορία γεννᾶται ἐκ τῆς τοῦ Θωμᾶ ἀπιστίας· πῶς δηλαδὴ αὐτὸς μετέλαβε τῆς χάριτος τοῦ Παναγίου Πνεύματος, μὴ εὑρεθεὶς μετὰ τῶν ἄλλων μαθητῶν, ὅτε ὁ Κύριος ἐνεφύσησε, καὶ εἶπε, Λάβετε Πνεῦμα ἅγιον; λύει τὴν ἀπορίαν ταύτην ὁ τύπος τοῦ πράγματος. Ἐκλέγει ὁ Μωϋσῆς διὰ προσταγῆς Θεοῦ ἑβδομήκοντα πρεσβυτέρους, καὶ γράφει τὰ ὀνόματα αὐτῶν, ἵνα λάβωσι χάριν παρὰ Θεοῦ. Αὐτοὶ πάντες περιμένουσι τὴν χάριν κύκλῳ τῆς σκηνῆς ἱστάμενοι· δύω μόνοι, ὁ Ἐλδὰδ καὶ ὁ Μωδὰδ, οὐκ ἦλθον ἐν τῇ σκηνῇ, ἀλλ' ἔμειναν ἐν τῇ παρεμβολῇ. Καταβαίνει ὁ Θεὸς ἐν νεφέλῃ εἰς τὴν σκηνὴν, καὶ δίδωσι τὴν χάριν οὐχὶ μόνον εἰς τοὺς παρεστηκότας ἐν τῇ σκηνῇ ἑξηκονταοκτὼ πρεσβυτέρους, ἀλλὰ καὶ εἰς τοὺς δύω ἀπόντας, εἰς τὸν Ἐλδὰδ δηλαδὴ, καὶ τὸν Μωδάδ· λαμβάνουσι τὴν χάριν ἐπίσης καὶ οἱ παρόντες, καὶ οἱ ἀπόντες· ἐπαναπαύεται τὸ Πνεῦμα καὶ εἰς τοὺς ἑξηκονταοκτὼ τοὺς ἐν τῇ σκηνῇ, καὶ εἰς τοὺς δύω τοὺς ἐν τῇ παρεμβολῇ· καὶ οἱ εὑρεθέντες ἐν τῇ σκηνῇ, καὶ οἱ καταλειφθέντες ἐν τῇ παρεμβολῇ ἐπίσης προφητεύουσιν· οἱ μὲν, διότι παρίσταντο· οἱ δὲ, καθότι ἐκλελεγμένοι ἦσαν καὶ καταγεγραμμένοι·
Καὶ κατελείφθησαν δύω ἄνδρες, Ἀριθ. ια'. 26.
λέγει ἡ θεία Γραφὴ, ἐν τῇ παρεμβολῇ, ὄνομα τῷ ἑνὶ Ἐλδὰδ, καὶ ὄνομα τῷ δευτέρῳ Μωδάδ· καὶ ἐπανεπαύσατο ἐπ' αὐτοὺς τὸ Πνεῦμα· καὶ οὗτοι ἦσαν τῶν καταγεγραμμένων, καὶ οὐκ ἦλθον πρὸς τὴν σκηνήν· καὶ ἐπροφήτευσαν ἐν τῇ παρεμβολῇ. Τὰ τῆς παλαιᾶς διαθήκης τύπος εἰσὶ τῶν τῆς νέας· ὅθεν ἡ χάρις, ἡ τότε δοθεῖσα τοῖς πρεσβυτέ-

ροις,

ροις, τὴν πνευματικὴν δωρεὰν ἐσήμαινεν, ἣν ὕστερον ἔλαβον οἱ ἅγιοι Ἀπόστολοι, ὡς αὐτὸς ὁ μέγας Μωϋσῆς μαρτυρεῖ, λέ-
Ἀριθ. ιά. 29. γων· Καὶ τίς δῴη πάντα τὸν λαὸν Κυρίου Προφήτας, ὅταν δῷ Κύριος τὸ Πνεῦμα αὐτοῦ ἐπ᾽ αὐτούς; Καθὼς λοιπὸν ἐκεῖ ὁ Ἐλδὰδ καὶ ὁ Μωδὰδ, ἀπόντες, προφητικοῦ χαρίσματος ἠξιώθησαν· οὕτω καὶ ἐνταῦθα ὁ Θωμᾶς, μὴ παρὼν, ἔλαβε τοῦ λύειν καὶ δεσμεῖν τὴν ἐξουσίαν. Ὁ Ἐλδὰδ καὶ ὁ Μωδὰδ ἔλαβον τὸ χάρισμα, ἐπειδὴ ἐγράφησαν ὑπὸ τοῦ Μωϋσέως εἰς τὸν ἀριθμὸν τῶν ἑβδομήκοντα πρεσβυτέρων· τῷ Θωμᾷ ἐδόθη ἡ χάρις τοῦ Παναγίου Πνεύματος, ἐπειδὴ ἦν συγκαταριθμημένος ὑπὸ Χριστοῦ εἰς τὸν ἀριθμὸν τῶν δώδεκα Ἀποστόλων. Ἐπειδὴ δὲ οὐχ εὑρέθη ὁ Θωμᾶς, ὅτε ἦλθεν ὁ Ἰησοῦς·

Ἰωάν. κ΄. 25. Ἔλεγον οὖν αὐτῷ οἱ ἄλλοι μαθηταί. Ἑωράκαμεν τὸν Κύριον· Ὁ δὲ εἶπεν αὐτοῖς· Ἐὰν μὴ ἴδω ἐν ταῖς χερσὶν αὐτοῦ τὸν τύπον τῶν ἥλων, καὶ βάλω τὸν δάκτυλόν μου εἰς τὸν τύπον τῶν ἥλων, καὶ βάλω τὴν χεῖρά μου εἰς τὴν πλευρὰν αὐτοῦ, οὐ μὴ πιστεύσω.

Πάντα, ὡς φαίνεται, διηγήθησαν αὐτῷ οἱ μαθηταὶ, ἤγουν, ὅτι εἶδον τὸν Κύριον, καὶ τὰς χεῖρας, καὶ τὴν πλευρὰν αὐτοῦ, καὶ τὰ τῶν ἥλων τυπώματα· ἀλλὰ διατί τοσαύτη καὶ τοιαύτη ἀπιστία; μέγα ἀληθῶς καὶ δυσπαράδεκτον πρᾶγμα ἡ ἀνάστασις τῶν νεκρῶν· ἀλλ᾽ ὁ Θωμᾶς καὶ τὴν θυγατέρα τοῦ Ἰαείρου, καὶ τῆς χήρας τὸν υἱὸν, καὶ τὸν τεταρταῖον Λάζαρον εἶδεν ἀναστάντα ἐκ τῶν νεκρῶν· διατί λοιπὸν τοσαύτη ἀπιστία; μήπως ἡ ὑπερβολικὴ λύπη, καθότι οὐκ ἠξιώθη ἰδεῖν τὸν Κύριον, κατετάραξε τὸ πνεῦμα αὐτοῦ, ὅθεν εἰς τοσαύτην ἀπιστίαν περιέπεσε; μήπως ἡ φιλοτιμία ἐγέννα τὴν ἀπιστίαν; ἤθελε, δηλαδὴ, καὶ αὐτὸς ἰδεῖν ὅσα οἱ ἄλλοι μαθηταὶ εἶδον, ἵνα μὴ κατώτερος νομίζηται κατὰ τὴν ἀποστολικὴν χάριν καὶ ἀξίαν; μήπως ὁ ζῆλος τοῦ κηρύγματος προεξένει τὴν ἀπιστίαν; τουτέστιν ἐζήτει ἰδεῖν καὶ ψηλαφῆσαι, ἵνα τὸ κήρυγμα αὐτοῦ ἔχῃ πᾶσαν τὴν ἀξιοπιστίαν, καὶ ἵνα μαρτυρῇ καὶ κηρύττῃ εἰς τὸν κόσμον, οὐ μόνον, ὅτι ἤκουσεν, ἀλλ᾽ ὅτι καὶ εἶδε καὶ ἐψηλάφησε τὸν Χριστὸν ἀναστάντα, καὶ οὕτως ἐπιβεβαιοῖ ὅσα περὶ τοῦ Σωτῆρος ἔμελλε διδάσκειν, καὶ ὡς ἀκροατὴς καὶ ὡς αὐτόπτης καὶ μάρτυς; τοιοῦτον βέβαια σκοπὸν εἶχεν ὁ τοῦ Κυρίου Ἀπόστολος· κακὴ ἡ ἀπιστία, ἀλλὰ καλὸς τῆς ἀπιστίας ὁ σκοπός. Ὅθεν ὁ Φιλάνθρωπος, ὁ τὰς καρδίας ἐτάζων καὶ τοὺς νεφροὺς, γνωρίσας τὸν ἁγιώτατον τοῦ Θωμᾶ σκοπὸν, ἰδιάζουσαν φροντίδα λαμβάνει, ἵνα πληροφορήσῃ αὐτὸν, σὺν αὐτῷ δὲ καὶ ἅπασαν τὴν οἰκουμένην· διότι λέγει ἡ εὐαγγελικὴ ἱστορία·

Καὶ μεθ᾽ ἡμέρας ὀκτὼ πάλιν ἦσαν ἔσω οἱ μαθηταὶ αὐτοῦ, καὶ Θωμᾶς μετ᾽ αὐτῶν. Ἔρχεται ὁ Ἰησοῦς, τῶν θυρῶν κεκλεισμένων, καὶ ἔστη εἰς τὸ μέσον, καὶ εἶπεν· Εἰρήνη ὑμῖν. Ἰωάν. κ΄. 26.

Διατί οὐχὶ εὐθὺς, ἀλλὰ μεθ᾽ ἡμέρας ὀκτὼ πάλιν ἐφάνη ὁ Θεάνθρωπος; ἵνα ἔχῃ ἡ ὀπτασία, ἡ ἐνώπιον τοῦ Θωμᾶ γενομένη, πάντα ὅσα εἶχε καὶ ἡ πρώτη, ὅτε οὐχ εὑρέθη ὁ Θωμᾶς· θύραι

ραι κεκλεισμέναι, μαθηταὶ συνηγμένοι, ἡ αὐτὴ στάσις εἰς τὸ μέσον, ὁ αὐτὸς ἀσπασμὸς, Εἰρήνη ὑμῖν, τὰ αὐτὰ καὶ εἰς τὰς δύω ὀπτασίας. Ἐπειδὴ λοιπὸν ἡ πρώτη ἐγένετο ἐν ἡμέρᾳ Κυριακῇ, ἐν ἡμέρᾳ Κυριακῇ γέγονε καὶ ἡ δευτέρα, ἵνα ἔχῃ τὸ ἀπαράλλακτον μετὰ τῆς πρώτης· καὶ οὕτω βλέπων ὁ Θωμᾶς τῶν δύω ὀπτασιῶν τὴν συμφωνίαν καὶ ὁμοιότητα, μηδεμίαν εἰς τὸ ἑξῆς ἀφορμὴν ἔχει ἀπιστίας. Μήπως δὲ καὶ ἄλλον μυστικώτερον λόγον ἔχει ἡ μεθ' ἡμέρας ὀκτὼ ὀπτασία, καὶ τὸ μὲν ὀκτὼ, τὸν ὄγδοον καὶ ἔσχατον αἰῶνα σημαίνει, ὁ δὲ Θωμᾶς, τὸ μέρος τῶν ἀνθρώπων, οἵτινες οὐχ ὑπετάγησαν τῷ Χριστῷ διὰ
Εβρ. β'. 8. τῆς πίστεως; Νῦν γὰρ, λέγει ὁ θεῖος Ἀπόστολος, οὔπω ὁρῶμεν αὐτῷ τὰ πάντα ὑποτεταγμένα, ἕως τότε δὲ
Ἰωάν. ι. 16. πάντες πιστεύσουσι, καὶ γενήσεται μία ποίμνη, εἷς ποιμήν. Μεθ' ἡμέρας ὀκτὼ λοιπὸν πάλιν φανεὶς ὁ τοῦ κόσμου Σωτὴρ, καὶ εἰπὼν, τὸ, Εἰρήνη ὑμῖν·

Αὐτ. κ'. 27. Εἶτα λέγει τῷ Θωμᾷ· Φέρε τὸν δάκτυλόν σου ὧδε, καὶ ἴδε τὰς χεῖράς μου· καὶ φέρε τὴν χεῖρά σου, καὶ βάλε εἰς τὴν πλευράν μου· καὶ μὴ γίνου ἄπιστος, ἀλλὰ πιστός.

Ὢ τῆς ἀφάτου φιλανθρωπίας τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ! ἀπαντᾷ ὁ Κύριος εἰς ὅσα εἶπεν ὁ Θωμᾶς, δεικνύων, ὅτι τὰ πάντα ὡς καρδιογνώστης Θεὸς γινώσκει· εἶτα προσκαλεῖ αὐτὸν πρὸς τὴν ψηλάφησιν, ἵνα φανερώσῃ, ὅτι καὶ διὰ μιᾶς μόνης ψυχῆς τὴν σωτηρίαν ἕτοιμός ἐστι πάντα ὑπομεῖναι· καὶ τῇ μὲν Μαγδαληνῇ Μαρίᾳ οὐ συνεχώρησε τὴν ψηλάφησιν, εἴτε διατὶ, περιεργείᾳ κινουμένη, τοῦτο ἐζήτησεν, εἴτε διατὶ ἀπερισκέπτως καὶ τολμηρῶς ὥρμησεν, εἴτε διατὶ οὐκ ἦν ἀξία, ὡς μήπω καθαρθεῖσα διὰ τῆς χάριτος τοῦ Ἁγίου Πνεύματος, ἣν ἔλαβον οἱ πιστεύσαντες μετὰ τὴν ἀνάβασιν τοῦ Σωτῆρος πρὸς τὸν Πατέρα αὐτοῦ· ὅθεν καὶ ἔλεγε πρὸς αὐτὴν, Οὔπω γὰρ ἀναβέβηκα πρὸς τὸν Πατέρα μου· Ἰωάν. κ'. 17. τὸν δὲ Θωμᾶν, ἐπειδὴ πληροφορίαν ἐζήτει τῆς ἐκ νεκρῶν ἀναστάσεως, καὶ ἠξιώθη πρότερον τῆς χάριτος τοῦ Ἁγίου Πνεύματος διὰ τῆς δεσποτικῆς φωνῆς, Λάβετε Πνεῦμα ἅγιον, καὶ προσκαλεῖ αὐτὸν, καὶ παρακινεῖ πρὸς τὴν ψηλάφησιν, λέγων· Φέρε τὸν δάκτυλόν σου ὧδε, καὶ ἴδε τὰς χεῖράς μου· καὶ φέρε τὴν χεῖρά σου, καὶ βάλε εἰς τὴν πλευράν μου. Πρῶτον οὖν ἔπεισεν αὐτὸν ὁ Φιλάνθρωπος διὰ τῆς ἀποδείξεως, ἣν ἐζήτησεν, ἔπειτα ἐνουθέτησεν αὐτὸν, λέγων· Μὴ γίνου ἄπιστος, ἀλλὰ πιστός.

Καὶ ἀπεκρίθη ὁ Θωμᾶς, καὶ εἶπεν αὐτῷ· Ὁ Κύριός μου καὶ ὁ Θεός μου. Αὐτ. κ'. 28.

Ταχὺς εἰς ὁμολογίαν ὁ περὶ τὴν πίστιν βραδύς. Βλέπε δὲ πόσην ἀκρίβειαν καὶ τελειότητα ἔχει ἡ ὁμολογία, ἅμα δὲ καὶ ὁμοιότητα τῇ ὁμολογίᾳ τοῦ Πέτρου· Σὺ εἶ ὁ Χριστὸς, εἶπεν ὁ Ματ. ις'. 16.
Πέτρος, ὁ Υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος· Ὁ Κύριός μου, λέγει ὁ Θωμᾶς, καὶ ὁ Θεός μου. Καὶ οἱ δύω ἐπίσης τὴν ἀνθρωπότητα κηρύττουσι, καὶ θεολογοῦσι τοῦ Χριστοῦ τὴν Θεότητα· καὶ οἱ δύω ὁμολογοῦσι τὰς δύω φύσεις καὶ τὴν μίαν ὑπόστασιν τοῦ Θεανθρώπου Σωτῆρος· τὴν μὲν φύσιν τὴν ἀνθρώπινον, ὁ Πέτρος διὰ τοῦ, Σὺ εἶ ὁ Χριστός· ὁ Θωμᾶς διὰ τοῦ, ὁ Κύριός μου·

τὴν

τὴν δὲ φύσιν τῆς Θεότητος, ὁ μὲν Πέτρος διὰ τοῦ, ὁ Υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος· ὁ δὲ Θωμᾶς διὰ τοῦ, ὁ Θεός μου· τὴν δὲ μίαν ὑπόστασιν, ὅ, τε Πέτρος καὶ ὁ Θωμᾶς, συνάψαντες εἰς ἓν τὰ δύω, ὁ μὲν εἰπών· Σὺ εἶ ὁ Χριστὸς, ὁ Υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος· ὁ δὲ, Ὁ Κύριός μου καὶ ὁ Θεός μου· ἵνα καὶ τὸν αὐτὸν Θεὸν καὶ ἄνθρωπον, τὸν Χριστὸν, συμφώνως τῷ Πέτρῳ ὁ Θωμᾶς καὶ ὁμολογεῖ καὶ κηρύττει. Ἐπειδὴ δὲ τόσην πρόνοιαν ὁ Σωτὴρ ἡμῶν ἔδειξεν, ἵνα τὸν Θωμᾶν πιστώσῃ, παρατείνει τῆς θείας αὐτοῦ προνοίας τὴν εὐεργεσίαν καὶ ἐπὶ τοὺς ἄλλους, ὅσοι οὐδὲ εἶδον, οὐδὲ ἐψηλάφησαν, καὶ ὅμως ἐπίστευσαν τὴν ἐκ νεκρῶν αὐτοῦ ἀνάστασιν. Λέγει οὖν πρὸς τὸν Θωμᾶν·

Ἰωάν. κʹ. 29. Λέγει αὐτῷ ὁ Ἰησοῦς· Ὅτι ἑώρακάς με πεπίστευκας· μακάριοι οἱ μὴ ἰδόντες, καὶ πιστεύσαντες.

Σὺ, λέγει, ὦ Θωμᾶ, ἐπίστευσας, διότι ἑώρακάς με· παρέστην ἐγὼ ἐνώπιόν σου, ἔδειξά σοι τὰς χεῖράς μου καὶ τὴν πλευράν μου, ὅθεν εἶδες, ἐψηλάφησας, ἐπίστευσας. Ὅσοι βλέπουσι καὶ ψηλαφῶσιν, ἐκεῖνοι ὑπὸ τῶν αἰσθήσεων ἀναγκάζονται πιστεῦσαι· οἱ δὲ μὴ ἰδόντες, μηδὲ ψηλαφήσαντες, ἀλλ' ἀκούσαντες τὸ κήρυγμα καὶ πιστεύσαντες, ὑπὸ οὐδεμιᾶς ἀνάγκης τὴν πίστιν δέχονται· διὸ μακάριοί εἰσι καὶ τρισευδαίμονες. Τί δέ; ὁ Θωμᾶς καὶ οἱ λοιποὶ θεῖοι Ἀπόστολοι, οἱ ἰδόντες καὶ πιστεύσαντες, οὐκ εἰσὶν ἄρα ἄξιοι τοῦ τοιούτου μακαρισμοῦ; Κεκλεισμένων τῶν θυρῶν, εἶδον τὸν Κύριον εἰσελθόντα εἰς τὴν οἰκίαν, ὅπου ἦσαν συνηγμένοι· ἐκ τοῦ φόβου αὐτῶν οὐκ ἐπίστευσαν, ὅτι ἔβλεπον τὸν ἐκ νεκρῶν ἀναστάντα Κύριον, ἀλλ' ἐνόμιζον, ὅτι βλέπουσι πνεῦμα· Πτοηθέντες δὲ καὶ ἔμφοβοι γενόμενοι, ἐδόκουν πνεῦμα θεωρεῖν· καὶ αὐτοὶ δὲ, προσκαλεσθέντες ὑπὸ τοῦ Κυρίου, εἶδον τὰς χεῖρας καὶ τοὺς πόδας αὐτοῦ· Ἴδετε, εἶπε πρὸς αὐτοὺς, τὰς χεῖράς μου καὶ τοὺς πόδας μου· ὅτι πνεῦμα σάρκα καὶ ὀστέα οὐκ ἔχει, καθὼς ἐμὲ θεωρεῖτε ἔχοντα. Καὶ τοῦτο εἰπὼν, ἐπέδειξεν αὐτοῖς τὰς χεῖρας καὶ τοὺς πόδας. Ἀλλὰ τί διὰ τοῦτο; οὐκ εἰσὶν ἄρά γε αὐτοὶ μακάριοι; μὴ γένοιτο! ὁ Κύριος εἰπὼν, μακάριοι οἱ μὴ ἰδόντες καὶ πιστεύσαντες, οὐκ ἀπέκλεισε τούτου τοῦ μακαρισμοῦ τοὺς ἰδόντας καὶ πιστεύσαντας, οὐδὲ κἂν εἶπεν, ὅτι ἐκεῖνοί εἰσι μακαριώτεροι τούτων. Ἐπειδὴ δὲ, πρὸ τῆς ἐκ νεκρῶν ἀναστάσεως αὐτοῦ, ἐμακάρισε τοὺς Ἀποστόλους, ὡς ἰδόντας αὐτόν τε καὶ τὰ θαυμάσια αὐτοῦ, καὶ εἶπεν· Ὑμῶν δὲ μακάριοι οἱ ὀφθαλμοὶ, ὅτι βλέπουσι, καὶ τὰ ὦτα ὑμῶν, ὅτι ἀκούει. Ἀμὴν γὰρ λέγω ὑμῖν, ὅτι πολλοὶ Προφῆται καὶ δίκαιοι ἐπεθύμησαν ἰδεῖν, ἃ βλέπετε, καὶ οὐκ εἶδον, καὶ ἀκοῦσαι, ἃ ἀκούετε, καὶ οὐκ ἤκουσαν· ἵνα μὴ νομίσωμεν, ὅτι μόνοι οἱ ἰδόντες αὐτὸν, καὶ πιστεύσαντες, ἐκεῖνοί εἰσιν οἱ μακάριοι· καὶ ἵνα πληροφορήσῃ πάντας τοὺς μετὰ ταῦτα μὴ ἰδόντας καὶ πιστεύσαντας, ὅτι καὶ αὐτοί εἰσι τοῦ αὐτοῦ μακαρισμοῦ ἄξιοι, εἶπε τὸ, μακάριοι οἱ μὴ ἰδόντες, καὶ πιστεύσαντες. Πῶς δὲ ἐν τῷ ἀφθάρτῳ τοῦ Κυρίου σώματι ἐφαίνοντο οἱ τύποι τῶν ἥλων καὶ τῆς λόγχης; πῶς τὸ ἄφθαρτον σῶμα ὑπὸ τοῦ Θωμᾶ ἐψηλαφήθη; Ταῦτα Θεοῦ συγκαταβάσει καὶ δυνάμει ἐγένοντο πρὸς πίστωσιν τῆς αὐτοῦ ἐκ νεκρῶν ἀναστάσεως· καὶ καθὼς οἱ Ἄγ-

[Right margin notes: Λουκ. κδʹ. 37. — Αὐτ. κδʹ. 39. 40. — Ματ. ιγʹ. 16, 17.]

γελοι, ὅτε ἐκ γῆς ὁ Κύριος ἀνελήφθη,
εἶδον τὰ ἱμάτια αὐτοῦ αἵματι πεφοινιγ-
Ἡσ. ξγ΄. 2. μένα, καὶ ἐβόων· Διατί σου ἐρυθρὰ
τὰ ἱμάτια, καὶ τὰ ἐνδύματά σου
ὡς ἀπὸ πατητοῦ ληνοῦ; οὕτω καὶ
οἱ Ἀπόστολοι εἶδον τῶν ἥλων καὶ τῆς
λόγχης τὰ ἐκτυπώματα, καὶ ὁ Θωμᾶς
τὴν πλευρὰν ἐψηλάφησε τὴν ἀκήρατον.
Μήπως δὲ τὴν ψηλάφησιν ταύτην προεφή-
Ψαλ. οϛ΄. 2. τευεν ὁ Προφητάναξ, ὅτε ἔλεγε· Τὸν Θεὸν
ἐξεζήτησα ταῖς χερσίμου νυκτὸς
ἐναντίον αὐτοῦ, καὶ οὐκ ἠπατή-
θην; Ἐπειδὴ δὲ παντοδυνάμῳ ἐνεργείᾳ
ταῦτα ἐγένοντο, διὰ τοῦτο θεοπνεύστως
ὁ Εὐαγγελιστὴς συγκαταλέγει αὐτὰ τοῖς
ἄλλοις σημείοις καὶ θαύμασι, λέγων·

Ἰωάν. κ΄. 30. **Πολλὰ μὲν οὖν καὶ ἄλλα
σημεῖα ἐποίησεν ὁ Ἰησοῦς ἐ-
νώπιον τῶν μαθητῶν αὐτοῦ,
ἃ οὐκ ἔστι γεγραμμένα ἐν
τῷ βιβλίῳ τούτῳ.**

Σημεῖα ὀνομάζει. τὰ παράδοξα ἔρ-
γα, τὰ τεράστια, τὰ θαύματα. Ἀλλὰ
περὶ ποίων λαλεῖ σημείων; περὶ τῶν
πρὸ τῆς ἀναστάσεως τοῦ Κυρίου ἡμῶν
Ἰησοῦ Χριστοῦ, ἢ περὶ τῶν μετὰ τὴν
ἀνάστασιν γεγενημένων; πολλὰ πιθα-
νὸν φαίνεται, ὅτι λαλεῖ περὶ τῶν μετὰ
τὴν ἀνάστασιν· διότι τὰ πρὸ τῆς ἀνα-
στάσεως θαύματα οὐ μόνον ἐνώπιον
τῶν μαθητῶν αὐτοῦ, ἀλλὰ καὶ ἔμπροσ-
θεν πολλῶν ἄλλων ἀνθρώπων ἐποίησε.
Ποῖα δέ εἰσι τὰ μὴ γεγραμμένα ἐν τῷ
βιβλίῳ τούτῳ, ἤγουν ἐν τῷ αὐτοῦ Εὐαγ-
γελίῳ; Ἴσως ἕσα ὁ Ἰωάννης παρέλειπε,
καὶ οἱ ἄλλοι Εὐαγγελισταὶ πρὸ αὐτοῦ
Ματ. κη΄. 2. ἔγραψαν· διότι ὁ μὲν Ματθαῖος ἱστό-
ρησε τὸν μέγαν σεισμὸν, καὶ τὸν ἀστρα-
πηφόρον Ἄγγελον, ὅστις ἀπεκύλισε τὸν
λίθον ἀπὸ τῆς θύρας τοῦ μνημείου· ὁ
δὲ Λουκᾶς, τὴν συνοδοιπορίαν καὶ συνο-
μιλίαν τοῦ ἀναστάντος Χριστοῦ μετὰ Λουκ. κδ΄. 13. κτ.
τῶν δύω μαθητῶν, τῶν πορευομένων εἰς
Ἐμμαοὺς, διηγηθεὶς, ὅτι πρῶτον μὲν ἐ-
κράτει τοὺς ὀφθαλμοὺς αὐτῶν, ἵνα μὴ
γνωρίσωσιν αὐτὸν, ἔπειτα δὲ ἄφαντος ἐ-
γένετο ἀπ᾽ αὐτῶν· πρὸς τούτοις δὲ, ὅτι
διήνοιξε τὸν νοῦν τῶν Ἀποστόλων πρὸς
κατανόησιν τῶν θείων Γραφῶν· καὶ ὅτι
ἀνελήφθη εἰς τὸν οὐρανὸν ἐνώπιον τῶν
ὀφθαλμῶν αὐτῶν· ταῦτα δὲ ἐσιώπησεν ὁ
Εὐαγγελιστὴς Ἰωάννης. Ἢ, πολλὰ καὶ
ἄλλα, λέγει, τὰ ὑπὸ οὐδενὸς τῶν Εὐαγ-
γελιστῶν γραφέντα· διότι μυριάριθμά
εἰσι τὰ τοῦ Σωτῆρος Χριστοῦ θαυμάσια,
καθὼς ἀλλαχοῦ ὁ αὐτὸς Ἰωάννης ἐφα-
νέρωσε διὰ τούτων τῶν λόγων· Ἔστι Ἰωάν. κά. 25.
δὲ καὶ ἄλλα πολλὰ, ὅσα ἐποίησεν
ὁ Ἰησοῦς, ἅτινα, ἐὰν γράφηται
καθ᾽ ἓν, οὐδὲ αὐτὸν, οἶμαι, τὸν κό-
σμον χωρῆσαι τὰ γραφόμενα βι-
βλία. Διατί δὲ τὰ σημεῖα ταῦτα ἔγραψε;

**Ταῦτα δὲ γέγραπται, ἵνα πι-** Αὐτ. κ΄. 31.
**στεύσητε, ὅτι ὁ Ἰησοῦς ἐστὶν
ὁ Χριστὸς ὁ Υἱὸς τοῦ Θεοῦ,
καὶ ἵνα πιστεύοντες ζωὴν ἔ-
χητε ἐν τῷ ὀνόματι αὐτοῦ.**

Διὰ τοῦτο λοιπὸν ἐγράφησαν, ἵνα
πιστεύσωμεν· ὅτι ὁ Ἰησοῦς ἐστὶν ὁ
Χριστὸς ὁ Υἱὸς τοῦ Θεοῦ. Βλέπε
δὲ τὴν ἄπειρον τοῦ Θεοῦ ἀγαθότητα.
Ζητεῖ ὁ Θεὸς τὴν πίστιν ἡμῶν, οὐχὶ
ἵνα αὐτὸς ὠφεληθῇ, ἢ κερδήσῃ τί· διότι
οὐδεμίαν ἔχει χρείαν τῶν ἀγαθῶν ἡ- Ψαλ. ιε. 1.
μῶν· ἀλλ᾽ ἵνα ἡμεῖς οἱ πιστεύσαντες κερ-
δήσωμεν τὴν ζωὴν τὴν τρισμακαρίαν καὶ
ἀθάνατον. Τί δὲ σημαίνει τὸ, ἐν τῷ
ὀνόματι αὐτοῦ; τὸ ὄνομα αὐτοῦ ἐ-
στὶν Ἰησοῦς· τὸ δὲ, Ἰησοῦς, σημαίνει,
Σωτὴρ, κατὰ τὴν Ἑβραϊκὴν διάλεκτον,
ὥστε ἐν τῷ ὀνόματι αὐτοῦ, δηλοῖ,
τὸ, σωθέντες δι᾽ αὐτοῦ.

# ΟΜΙΛΙΑ

### ΜΕΤΑ ΤΟ ΚΑΤΑ

# ΙΩΑΝΝΗΝ

## ΕΥΑΓΓΕΛΙΟΝ ΤΗΣ ΚΥΡΙΑΚΗΣ ΤΟΥ ΑΝΤΙΠΑΣΧΑ.

Μεγάλη λοιπὸν τῆς πίστεως ἡ δύνα-
μις! θαυμάσια τὰ αὐτῆς ἀποτελέσματα!
ἄπειρον τὸ ἐξ αὐτῆς κέρδος! ζωὴν χαρί-
ζει ἀθάνατον, βασιλείαν ἡμῖν δωρεῖται
Ἰωάν. κ΄. τὴν αἰώνιον· Ἵνα πιστεύοντες, λέγει,
31. ζωὴν ἔχητε ἐν τῷ ὀνόματι αὐτοῦ·
καὶ ἀλλαχοῦ· Ὁ πιστεύσας καὶ
Μάρκ. ις΄. 16. βαπτισθεὶς σωθήσεται· καὶ ἐν ἑ-
Πράξ. ις΄. τέρῳ τόπῳ πάλιν· Πίστευσον ἐπὶ
31. τὸν Κύριον Ἰησοῦν Χριστὸν, καὶ
σωθήσῃ σὺ καὶ ὁ οἶκός σου· ὥστε
ἡ πίστις σώζει· ἀρκεῖ λοιπὸν τὸ νὰ
πιστεύσῃ μόνον ὁ ἄνθρωπος, ἵνα σω-
θῇ. Ἀλλὰ πῶς ἡ αὐτὴ Θεία Γραφὴ λέ-
Ματ. ις΄. γει· Μέλλει ὁ Υἱὸς τοῦ ἀνθρώπου
27. ἔρχεσθαι ἐν τῇ δόξῃ τοῦ πατρὸς
αὐτοῦ μετὰ τῶν Ἀγγέλων αὐτοῦ·
καὶ τότε ἀποδώσει ἑκάστῳ κα-
Ῥωμ. β΄. 6. τὰ τὴν πρᾶξιν αὐτοῦ; καὶ ἐν ἄλ-
Ἰωάν. ε΄. 29. λοις· Ὃς ἀποδώσει ἑκάστῳ κατὰ
τὰ ἔργα αὐτοῦ· καὶ· Ἐκπορεύσον-
ται οἱ τὰ ἀγαθὰ ποιήσαντες, εἰς
ἀνάστασιν ζωῆς· οἱ δὲ τὰ φαῦλα
πράξαντες, εἰς ἀνάστασιν κρί-
σεως; τί τοῦτο; ἄλλοτε μὲν λέγει ἡ
θεία Γραφὴ, ὅτι ἡ πίστις σώζει τὸν
ἄνθρωπον· ἄλλοτε δὲ διδάσκει, ὅτι τὰ
καλὰ ἔργα προξενοῦσι τὴν σωτηρίαν;
ἐναντία λοιπὸν φαίνονται ἀλλήλοις τῶν
θεοσδότων Γραφῶν τὰ λόγια. Ἀδελφοὶ,
μὴ πλανᾶσθε! σύμφωνά εἰσι τᾶ Θεοῦ
τὰ διδάγματα· οὐδὲ ἡ πίστις μόνη, οὐ-
δὲ τὰ καλὰ ἔργα μόνα, ἀλλ' ἡ πίστις
ὁμοῦ καὶ τὰ καλὰ ἔργα σώζουσι τὸν
ἄνθρωπον.

Διαιρεῖται ἡ πίστις εἰς θεωρητι-
κὴν, καὶ πρακτικήν. Πίστις θεωρητικὴ
λέγεται, ὅταν διὰ μόνου τοῦ νοὸς ἡμῶν
πιστεύωμεν ὅσα διδάσκει ἡ πίστις, οὐ-
δὲν δὲ τῶν καλῶν ἔργων πράττομεν· αὕ-
τη δὲ ἡ πίστις ἐστὶ νεκρὰ καὶ ἀνωφε-
λὴς, καὶ μὴ δυναμένη σῶσαι τὸν ἄνθρω-
πον· Ἡ πίστις, λέγει ὁ θεῖος Ἰάκω- Ἰακ. β΄.
βος, ἐὰν μὴ ἔργα ἔχῃ, νεκρά ἐστι 17. 14.
καθ' ἑαυτήν. Τί τὸ ὄφελος, ἀδελ-
φοί μου, ἐὰν πίστιν λέγῃ τὶς ἔχειν,
ἔργα δὲ μὴ ἔχῃ; μὴ δύναται ἡ πίσ-
τις σῶσαι αὐτόν; Πίστις δὲ πρακτι-
κή ἐστιν, ὅταν καὶ πιστεύωμεν ὅσα ἡ
πίστις διδάσκει, καὶ πράττωμεν ὅσα
αὐτὴ νομοθετεῖ· αὐτὴ δέ ἐστιν ἡ πί-
στις, περὶ ἧς ὁ οὐρανοβάμων Ἀπόστο-
λος λέγει· Πίστις δι' ἀγάπης ἐνερ- Γαλ. ε΄. 6.
γουμένη· ὥστε, ὅταν ἡ θεία Γραφὴ
λέγῃ, Ἵνα πιστεύοντες ζωὴν ἔχη-
τε· καὶ, Πᾶς ὁ πιστεύσας καὶ βαπ- Μάρκ. ις΄.
τισθεὶς, σωθήσεται, καὶ ἄλλα ὅ- 16.
μοια, περὶ τῆς πίστεως λαλεῖ τῆς πρα-
κτικῆς, τῆς δι' ἀγάπης ἐνεργουμένης, τῆς
συνηνωμένης μετὰ τῶν καλῶν ἔργων.
Καὶ πάλιν ὅταν ἡ Γραφὴ διδάσκῃ τὸ,
Ἀποδώσει ἑκάστῳ κατὰ τὰ ἔργα Ῥωμ. β΄. 6.
αὐτοῦ, καὶ τὰ τούτοις ὅμοια, ἑκάστῳ
πιστεύοντι ἐννοεῖ, ἔργα δὲ λέγει τὰ ἐκ
πίστεως γεγεννημένα. Στοχασθῆτε δὲ
πῶς τὴν ἔννοιαν ταύτην μετὰ μεγίστης
ἀκριβείας διὰ τῶν παραδειγμάτων σα-
φηνίζει ὁ θεηγόρος Ἀπόστολος. Ἐπαι-
νεῖ τοῦ Ἄβελ τὴν πίστιν, ἀλλ' ἐγκω-
μιάζει καὶ τὰ ἀγαθὰ αὐτοῦ ἔργα, ἤ-
γουν

γουν τὴν δεκτὴν θυσίαν, ἣν προσέφερε
τῷ Θεῷ· ἐπαινεῖ τοῦ Ἐνὼχ τὴν πίστιν,
ἀλλ' ὑμνολογεῖ καὶ τὰ εὐάρεστα αὐτοῦ
ἔργα· ἐπαινεῖ τοῦ Νῶε τὴν πίστιν, ἀλ-
λὰ συνεπαινεῖ καὶ τὸν ἀγῶνα αὐτοῦ,
διὰ τὴν κατασκευὴν τῆς κιβωτοῦ· ἐπαι-
νεῖ τὴν πίστιν τοῦ Ἀβραὰμ, ἀλλὰ θαυ-
μάζει καὶ τὴν πρὸς τὸν Θεὸν αὐτȣ ὑ-
πακοήν· καὶ ἐφεξῆς πολλῶν ἄλλων ἁγί-
ων ἐπαινεῖ τὴν πίστιν, καὶ μεγαλύνει
τὰ θαύματα, ἀλλὰ καὶ τὰ ἡρωϊκὰ αὐ-
τῶν ἔργα διηγεῖται, καὶ εὐφημεῖ τὰ
Ἑβρ. ιά. 35. 38. θαυμαστὰ αὐτῶν ἆθλα· Ἄλλοι δὲ,
λέγει, ἐτυμπανίσθησαν· Ἕτεροι
δὲ ἐμπαιγμῶν καὶ μαστίγων πεῖ-
ραν ἔλαβον, ἔτι δὲ δεσμῶν καὶ
φυλακῆς· Ἐλιθάσθησαν, ἐπρί-
σθησαν, ἐπειράσθησαν, ἐν φόνῳ
μαχαίρας ἀπέθανον· περιῆλθον
ἐν μηλωταῖς, ἐν αἰγείοις δέρ-
μασιν· ὑστερούμενοι, θλιβόμε-
νοι, κακουχούμενοι· Ἐν ἐρημίαις
πλανώμενοι καὶ ὄρεσι καὶ σπη-
λαίοις καὶ ταῖς ὀπαῖς τῆς γῆς.
Ἐκ τούτων λοιπὸν βλέπετε φανερὰ, ὅτι
ἡ σωτηριώδης πίστις ἐστὶν ἡ συνηνω-
μένη μετὰ τῶν καλῶν ἔργων. Ἡ πίστις
μόνη χωρὶς τῶν ἔργων ἐστὶ νεκρὰ καὶ
Ἰακ. β'. 26. ἀνενέργητος· Ὥσπερ γὰρ τὸ σῶμα,
λέγει ὁ Ἀδελφόθεος, χωρὶς πνεύμα-
τος νεκρόν ἐστιν, οὕτω καὶ ἡ πί-
στις χωρὶς τῶν ἔργων νεκρά ἐ-
στι.

Χριστιανὲ, σὺ καυχᾶσαι, ὅτι πι-
στεύεις· ἀλλὰ τί τὸ ὄφελος, ὅταν πράτ-
τῃς ἔργα παράνομα; καὶ τὰ Δαιμόνια
πιστεύουσι καὶ φρίττουσιν, ἀλλ' οὐδὲν
ὠφελοῦνται. Σὺ πιστεύεις, ὅτι ὁ Θεὸς
ἔδωκε τὰς δέκα ἐντολὰς, καὶ ὅτι ὁ ἀθε-
τήσας μίαν ἐξ αὐτῶν, ἀναμφιβόλως κολά-
ζεται· ἔπειτα πᾶσαν σχεδὸν ἡμέραν ἀφό-
βως καὶ ἀνυποστόλως περιφρονεῖς πᾶ-
σαν ἐντολήν· τί σε ὠφελεῖ λοιπὸν ἡ πί-
στις σου; Σὺ πιστεύεις, ὅτι ὁ Θεὸς ἐνο-
μοθέτησεν, ἵνα ἀγαπᾷς αὐτὸν ἐξ ὅλης
καρδίας, καὶ ψυχῆς, καὶ διανοίας, καὶ
τὸν πλησίον σου ὡς σεαυτόν· ἔπειτα τὸν Ματ. κβ'. 37.
μὲν Θεὸν περιφρονεῖς διὰ τῆς παραβά-
σεως τοῦ νόμου, τὸν δὲ πλησίον σου
ἀδικεῖς καὶ βλάπτεις παντὶ τρόπῳ·
ποῖον τὸ ὄφελος λοιπὸν ἐκ τῆς πίστεώς
σου; Σὺ πιστεύεις, ὅτι ἐὰν μὴ συγχω- Αὐτ. ϛ'. 15.
ρήσῃς τὰ παραπτώματα τοῖς ἀνθρώ-
ποις, ἀδύνατόν ἐστι νὰ συγχωρήσῃ ὁ
Θεὸς τὰς ἁμαρτίας σου· ἔπειτα διὰ τὸ
μικρότατον σφάλμα τοῦ ἀδελφοῦ σου ζη-
τεῖς ἀμοιβὴν καὶ ἐκδίκησιν. Πιστεύεις,
ὅτι ὁ Θεὸς σὲ προστάττει, ἵνα ἀγαπᾷς
τοὺς ἐχθρούς σου· ἔπειτα μισεῖς αὐτοὺς Αὐτ. ε'. 44.
καὶ καταδιώκεις ἕως θανάτου· τί σε ὠ-
φελεῖ λοιπὸν ἡ πίστις σου; Σὺ πιστεύ-
εις, ὅτι ὁ Θεὸς προστάσσει, λέγων·
Μάθετε ἀπ' ἐμοῦ, ὅτι πρᾶός εἰ- Αὐτ. ιά. 29.
μι καὶ ταπεινὸς τῇ καρδίᾳ· σὺ
δὲ γίνεσαι θυμώδης καὶ ὑπερήφανος·
τί σε ὠφελεῖ λοιπὸν ἡ πίστις σου; Ὁ
πτωχὸς παρίστησι τοῦ Χριστοῦ τὸ πρό-
σωπον· εἴ τι ἂν ποιήσῃς τῷ πτωχῷ, ποι-
εῖς αὐτῷ τῷ Θεῷ· Ἐφ' ὅσον ἐποιή- Αὐτ. 40.
σατε ἑνὶ τούτων τῶν ἀδελφῶν
μου τῶν ἐλαχίστων, ἐμοὶ ἐποιή-
σατε· πιστεύεις τοῦτο; ναί· καὶ ὅμως
βλέπεις τὸν πτωχὸν, καὶ ἀποστρέφεις
τὸ πρόσωπόν σου ἀπ' αὐτοῦ· βλέπεις
τὸν πτωχὸν, καὶ ἀντὶ ἐλεημοσύνης, φορ-
τίζεις αὐτὸν ὕβρεις· τί σε ὠφελεῖ λοι- Αὐτ. 46.
πὸν ἡ πίστις σου; Πιστεύεις, ὅτι σὲ
περιμένει ἄλλη ζωὴ αἰώνιος· καὶ ὅμως
ζῇς ὡς Ἐπικούριος καὶ θνητόψυχος·
ποῖον λοιπὸν τὸ ὄφελος τῆς πίστεώς
σου; Σὺ πιστεύεις, ὅτι ἔρχεται ἡμέ- Αὐτ. 31.
ρα, ἐν ᾗ Θεὸς καθίσει ἐπὶ θρό-
νου δόξης αὐτοῦ, κρῖναι τὴν γῆν,
κρῖναι τὴν οἰκουμένην· καὶ ὅτι οἱ
ἐργάται τῶν καλῶν ἔργων ἀπελεύσονται
εἰς ζωὴν αἰώνιον, οἱ δὲ τὰς ἁμαρτίας

πρά-

πράξαντες εἰς κόλασιν αἰώνιον· καὶ ὅ-
μως τὴν μὲν ἐργασίαν τῆς ἀρετῆς ὁλο-
τελῶς ἀμελεῖς, πᾶσαν δὲ ἁμαρτίαν προ-
θύμως ἐργάζεσαι· τί σε ὠφελεῖ λοιπὸν
ἡ πίστις σου; Αὐτὴ ἡ πίστις οὐ σώζει
Ἰακώβ. β'. τὸν ἄνθρωπον· Μὴ δύναται ἡ πί-
14. στις, λέγει ὁ Ἰάκωβος, σῶσαι αὐ-
τόν; Ἡ τοιαύτη πίστις ἐστὶ νεκρὰ καὶ
ἀτελής, διότι ἡ πίστις ἐκ τῶν καλῶν ἔρ-
γων λαμβάνει τὴν δύναμιν καὶ τὴν τελειό-
τητα· βλέπεις, λέγει ὁ αὐτὸς Ἀπό-
Αὐτ. β'. στολος περὶ τοῦ Ἀβραάμ, ὅτι ἡ πί-
22. στις συνήργει τοῖς ἔργοις αὐτοῦ,
καὶ ἐκ τῶν ἔργων ἡ πίστις ἐτε-
λειώθη· θεόπνευστον ὄντως καὶ σαφέ-
στατον μάθημα. Ἡ πίστις συμβοηθεῖ
ἡμᾶς εἰς τὴν ἐργασίαν τῶν καλῶν ἔρ-
γων, καὶ τὰ καλὰ ἔργα δίδουσι τὴν τε-
λειότητα εἰς τὴν πίστιν.

Ἀδελφοί, ἡμεῖς οὐδὲ ὡς οἱ Ἀπόστολοι εἴδομεν τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν, οὐδὲ ὡς ὁ Θωμᾶς τὴν πλευρὰν αὐτοῦ ἐψηλαφήσαμεν· ἠκούσαμεν μόνον τὴν Εὐαγγελικὴν διδασκαλίαν, καὶ ἐπιστεύσαμεν, ὅτι αὐτός ἐστιν ὁ Υἱὸς τοῦ Θεοῦ, καὶ ὁ λυτρωτὴς τοῦ κό-
σμου. Ὁ Κύριος μακαρίζει τοὺς μὴ
ἰδόντας καὶ πιστεύσαντας· Μακάριοι, Ἰωάν. κ'.
λέγει, οἱ μὴ ἰδόντες, καὶ πιστεύ- 29.
σαντες. Ἀλλ' ἐσόμεθα ἡμεῖς ἆρά γε
ἄξιοι τοῦ τοιούτου μακαρισμοῦ; ἐσμὲν
ἆρά γε ἡμεῖς μακάριοι, οἱ μὴ ἰδόντες
καὶ πιστεύσαντες; ναί· ἐὰν ἡ πίστις ἡ-
μῶν, πίστις ὑπάρχῃ πρακτική, πίστις
δι' ἀγάπης ἐνεργουμένη, πίστις συμβοη-
θοῦσα τὴν ἐργασίαν τῶν καλῶν ἔργων,
καὶ πίστις διὰ τῶν καλῶν ἔργων τελει-
ουμένη. Πίστιν ἔχετε, χάριτι Θεοῦ καὶ
ἐλέει, ὀρθόδοξον καὶ ἀληθινήν· συνενώ-
σατε αὐτῇ καὶ τὰς θεοφιλεῖς ἀρετάς,
καὶ οὕτως ἔσεσθε μακάριοι. Τὸ λοι- Φιλιπ. δ'.
πόν, ἀγαπητοί μου ἀδελφοί, ὅσα 8, 9.
ἐστὶν ἀληθῆ, παραγγέλλει ὑμῖν ὁ
θεηγόρος Ἀπόστολος, ὅσα σεμνά, ὅσα
δίκαια, ὅσα ἁγνά, ὅσα προσφιλῆ,
ὅσα εὔφημα, εἴ τις ἀρετὴ καὶ εἴ
τις ἔπαινος, ταῦτα λογίζεσθε·
ἃ καὶ ἐμάθετε, καὶ παρελάβετε,
καὶ ἠκούσατε, καὶ εἴδατε ἐν ἐμοί,
ταῦτα πράσσετε· καὶ ὁ Θεὸς τῆς
εἰρήνης ἔσται μεθ' ὑμῶν· Ἀμήν.

# ΕΡΜΗΝΕΙΑ

### ΕΙΣ ΤΟ ΚΑΤΑ

# ΜΑΡΚΟΝ

## ΕΥΑΓΓΕΛΙΟΝ ΤΗΣ ΚΥΡΙΑΚΗΣ ΤΩΝ ΜΥΡΟΦΟΡΩΝ.

Ἡ ὁλόσωμος ταφή, καὶ ἡ ἐκ νεκρῶν ἀνάστασις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δύω ἄρθρα εἰσὶ τῆς ὀρθοδόξου ἡμῶν πίστεως. Αὐτὰ καὶ τὰ δύω οἱ μὲν ἄλλοι Προφῆται διὰ λόγου προκατήγγειλαν, τὸ δὲ σημεῖον τοῦ Ἰωνᾶ πρακτικῶς αὐτὰ προεφανέρωσε. Τὸ μὲν κῆτος τὸ μέγα, ὃ κατέπιε τὸν Ἰωνᾶν, τὸν ἀκόρεστον θάνατον ἐσήμαινεν, ὅστις καὶ τοῦ ἀναμαρτήτου ἐγεύσατο· ἡ δὲ κοιλία τοῦ κήτους, τὸν τάφον, ἐν ᾧ ἐτάφη τὸ ζωηφόρον τοῦ Κυρίου ἡμῶν σῶμα· ὁ δὲ καταποντισμὸς εἰς τὰ βάθη τῆς θαλάσσης, τὴν εἰς τὸν ᾅδην τοῦ Σωτῆρος ἡμῶν κατάβασιν· ἐξῆλθε δὲ ὁ Ἰωνᾶς μετὰ τρεῖς ἡμέρας ἐκ τῆς κοιλίας τοῦ κήτους, ἵνα φανερώσῃ, ὅτι μετὰ τρεῖς ἡμέρας ὁ μονογενὴς τοῦ Θεοῦ Υἱὸς

ἐκ

ἐκ τῶν νεκρῶν ἀναστήσεται· καὶ ὅτε μὲν τὸ σημεῖον τοῦτο διὰ τοῦ Ἰωνᾶ ἐγένετο, ἄδηλον ἦν καὶ ἀνερμήνευτον· ὅτε δὲ ὁ Υἱὸς τοῦ Θεοῦ ἦλθεν εἰς τὸν κόσμον, τότε ἐφανέρωσεν αὐτὸ, καὶ ἐξήγησε, λέγων· Ματ. ιβ'. 40. Ὥσπερ γὰρ ἦν Ἰωνᾶς ἐν τῇ κοιλίᾳ τοῦ κήτους τρεῖς ἡμέρας καὶ τρεῖς νύκτας· οὕτως ἔσται ὁ Υἱὸς τοῦ ἀνθρώπου ἐν τῇ καρδίᾳ τῆς γῆς τρεῖς ἡμέρας καὶ τρεῖς νύκτας. Περὶ τῆς αὐτῆς ταφῆς καὶ ἀναστάσεως ὁ μὲν θεοφάντωρ Ἀπόστολος γράφει ἐν τῇ πρὸς τοὺς Κορινθίους ἐπιστολῇ· Α'. Κορ. ιε'. 3, 4. Παρέδωκα γὰρ ὑμῖν ἐν πρώτοις, ὃ καὶ παρέλαβον, ὅτι Χριστὸς ἀπέθανεν ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν, κατὰ τὰς Γραφάς· καὶ ὅτι ἐτάφη, καὶ ὅτι ἐγήγερται τῇ τρίτῃ ἡμέρᾳ κατὰ τὰς Γραφάς. Ἡ δὲ τοῦ Χριστοῦ Καθολικὴ καὶ Ἀποστολικὴ Ἐκκλησία, ἐν τῷ τετάρτῳ ἄρθρῳ τοῦ συμβόλου τῆς πίστεως, διδάσκει οὕτω· Σταυρωθέντα τε ὑπὲρ ἡμῶν ἐπὶ Ποντίου Πιλάτου, καὶ παθόντα· καὶ ταφέντα· ἔπειτα ἐν τῷ ἑξῆς ἄρθρῳ τῷ πέμπτῳ· Καὶ ἀναστάντα τῇ τρίτῃ ἡμέρᾳ κατὰ τὰς Γραφάς. Αὐτῆς τῆς ταφῆς καὶ ἀναστάσεως τὴν ἱστορίαν μετὰ πασῶν τῶν περιστάσεων περιγράφει τὸ σημερινὸν Εὐαγγέλιον, καθιστοροῦν ἅμα καὶ τὴν ἀρετὴν τοῦ θαυμαστοῦ Ἰωσὴφ, καὶ τῶν ἁγίων μυροφόρων γυναικῶν. Δύω ἄρθρα λοιπὸν τῆς πίστεως, καὶ δύω ἀρετῆς παραδείγματα διαλαμβάνει ἡ σήμερον ἀναγνωσθεῖσα εὐαγγελικὴ ἱστορία. Τὸ μὲν μάθημα τῶν ἄρθρων τῆς πίστεως ἀναγκαῖόν ἐστι πρὸς τὴν αἰώνιον σωτηρίαν· τὸ δὲ τῆς ἀρετῆς παράδειγμα, πολλὰ ὠφέλιμον εἰς τὴν ψυχὴν τοῦ ἀνθρώπου. Τὸ μάθημα, διδάσκον τὸ πότε, καὶ πῶς, καὶ ποῦ, καὶ ὑπὸ τίνος ὁ Κύριος ἡμῶν ἐτάφη· καὶ πῶς καὶ ὑπὸ τίνων ἡ ἀνάστασις αὐτοῦ ἐγνωρίσθη, καὶ ἐμαρτυρήθη, στηρίζει εἰς τὴν ἀλήθειαν τῆς πίστεως· ἡ δὲ ἀκρόασις τῶν ἐναρέτων κατορθωμάτων τῶν εἰρημένων ἁγίων ἀνθρώπων προτρέπει εἰς τῆς ἀρετῆς τὴν κατόρθωσιν.

Τῷ καιρῷ ἐκείνῳ, ἐλθὼν Ἰωσὴφ ὁ ἀπὸ Ἀριμαθαίας, εὐσχήμων βουλευτὴς, ὃς καὶ αὐτὸς ἦν προσδεχόμενος τὴν βασιλείαν τοῦ Θεοῦ, τολμήσας εἰσῆλθε πρὸς Πιλάτον, καὶ ᾐτήσατο τὸ σῶμα τοῦ Ἰησοῦ. Μαρ. ιε'. 43.

Ἐπειδὴ ὁ τρισμακάριος Ἰωσὴφ ἠξιώθη ἐνταφιάσαι τοῦ Κυρίου τὸ σῶμα, περὶ αὐτοῦ δὲ εἰς οὐδένα ἄλλον τόπον ἔγραψαν οἱ Εὐαγγελισταὶ, διὰ τοῦτο ὧδε πάντα τὰ περὶ αὐτοῦ λεπτομερῶς ἡμῖν ἐφανέρωσαν. Πρῶτον μὲν τὸ ὄνομα αὐτοῦ, Ἰωσήφ· εἶτα τὴν πατρίδα, ὁ ἀπὸ Ἀριμαθαίας, ἤγουν ὁ ἀπὸ τῆς Ἀριμαθὲμ, ἥτις ἦν ἡ πατρὶς τοῦ Προ- Εὐσέβ. εἰς τὸ περὶ τοπικ. ὀνομ. φήτου Σαμουήλ· ἔπειτα τὸ ἦθος, εὐσχήμων, ἤγουν σεμνὸς καὶ εὐλαβής· ἀντὶ δὲ τοῦ, εὐσχήμων, ὁ θεηγόρος Λουκᾶς λέγει· Ἀνὴρ ἀγαθὸς καὶ Λουκ. κγ'. 50. δίκαιος· εἶτα τὸ ἀξίωμα, βουλευτὴς, τουτέστι Σύμβουλος, εἷς τῆς Γερουσίας· ὁ δὲ ἔχων τὸ ἀξίωμα τοῦτο παρετήρει καὶ ᾠκονόμει τὰ τῆς ἀγορᾶς πράγματα· Θεοφύλ. Βουλγ. καὶ τὴν τύχην δὲ τοῦ ἀνδρὸς ἐφανέρωσεν ὁ ἱερὸς Ματθαῖος, εἰπών· Ἦλ- Ματ. κζ'. 57. θεν ἄνθρωπος πλούσιος, ἀπὸ Ἀριμαθαίας, τοὔνομα Ἰωσήφ. Μετὰ ταῦτα καὶ ποία ἦν ἡ πίστις αὐτοῦ ἐφανέρωσεν ὁ μὲν Μάρκος, λέγων· Ὃς καὶ αὐτὸς ἦν προσδεχόμενος τὴν βασιλείαν τοῦ Θεοῦ, ἤγουν ἦν ἀληθινὸς καὶ ἄδολος Ἰσραηλίτης, περιμένων

τὴν

τὴν ἔλευσιν τοῦ Μεσσίου· ὁ δὲ Ματθαῖος
Ματ. κζ΄. μαθητὴν αὐτὸν λέγει τοῦ Κυρίου· Ὅς
57. καὶ αὐτὸς ἐμαθήτευσε τῷ Ἰησοῦ·
Ἰωάν. ιθ΄. ὁμοίως καὶ ὁ Ἰωάννης· Ὁ Ἰωσὴφ ὁ
38. ἀπὸ Ἀριμαθαίας, ὢν μαθητὴς
τοῦ Ἰησοῦ, κεκρυμμένος δὲ διὰ τὸν
φόβον τῶν Ἰουδαίων. Ἅπαντα δὲ
τὰ κατὰ τὸν Ἰωσὴφ ἐφανέρωσαν οἱ θεό-
πνευστοι Εὐαγγελισταὶ, πρὸς πίστωσιν
καὶ βεβαίωσιν τῆς ὑπ' αὐτῶν ἱστορουμέ-
νης ἀληθείας. Οὗτος λοιπὸν ὁ Ἰωσὴφ
ἐτόλμησε, καὶ, παρασταθεὶς ἔμπροσθεν
τοῦ Πιλάτου, ἐζήτησε τὸ σῶμα τοῦ Ἰη-
σοῦ Χριστοῦ, ἵνα αὐτὸ ἐνταφιάσῃ. Δια-
τί δὲ λέγει, ὅτι ἐτόλμησε; διότι τόλμη
ἀληθῶς ἦν ἡ ἀναζήτησις τοῦ νεκροῦ σώ-
ματος ἑνὸς ἐσταυρωμένου καταδίκου, ἵνα
θάψῃ αὐτὸ μετὰ πολυτελείας καὶ τι-
μῆς· τόλμη, ἐπειδὴ ἠθέλησεν, ἵνα τιμή-
σῃ ἐκεῖνον, ὃν πάντες οἱ Ἰουδαῖοι ἐνέ-
παιξαν, καὶ περιεφρόνησαν, καὶ κατεδί-
κασαν θανάτῳ σταυρικῷ· ἀλλ' αὐτὸς,
μαθητὴς ὢν τοῦ Χριστοῦ, κεκρυμμένος
διὰ τὸν φόβον τῶν Ἰουδαίων, ἔῤῥιψε τό-
τε ὁ γενναιόφρων τὴν δειλίαν, καὶ ἀπο-
τινάξας πάντα φόβον, ἐπαῤῥησίασεν ἑαυ-
τὸν μαθητὴν τοῦ Ἰησοῦ Χριστοῦ, καὶ
τολμήσας ἐζήτησε παρὰ τοῦ Πιλάτου
τὸ σῶμα τοῦ διδασκάλου αὐτοῦ.

Μάρκ. ιε΄. Ὁ δὲ Πιλάτος ἐθαύμασεν,
44. εἰ ἤδη τέθνηκε· καὶ προσκα-
λεσάμενος τὸν Κεντυρίωνα, ἐ-
πηρώτησεν αὐτὸν, εἰ πάλαι
ἀπέθανε.

Ἐθαύμασεν ὁ Πιλάτος, ἀκούσας παρὰ τοῦ Ἰωσὴφ, ὅτι ὁ Χριστὸς ἀπέθανεν· ἠπίστησεν εἰς τὰ λόγια τοῦ Ἰωσήφ· ὅθεν προσκαλεῖ τὸν Κεντυρίωνα, ἤγουν τὸν Ἑκατόνταρχον, καὶ ἐρωτᾷ αὐτὸν, εἰ πάλαι, τουτέστιν ἐὰν πρὸ πολ-
λοῦ ὁ Χριστὸς ἀπέθανεν. Εὐλογοφανῶς
δὲ ἐθαύμασεν ὁ Πιλάτος καὶ δικαίως,
διότι περὶ τὴν ἕκτην ὥραν ὁ Χριστὸς
ἐσταυρώθη· Ἦν δὲ παρασκευὴ τοῦ Ἰωάν. ιθ΄. 14, 16.
Πάσχα, λέγει ὁ Ἰωάννης, ὥρα δὲ ὡ-
σεὶ ἕκτη. Τότε οὖν παρέδωκεν αὐ- Ματ. κζ΄. 46, 50.
τὸν αὐτοῖς, ἵνα σταυρωθῇ· τῇ δὲ
ὥρᾳ τῇ ἐννάτῃ ἀπέθανεν· ἐκεῖνο δὲ, ὃ Λουκ. κγ΄. 44, 46.
λέγει ὁ Εὐαγγελιστὴς Μάρκος· Ἦν δὲ Μάρκ. ιε΄. 25.
ὥρα τρίτη, καὶ ἐσταύρωσαν αὐ-
τὸν, οὐδόλως ἐναντιοῦται εἰς τὰ λόγια
τοῦ Ἰωάννου· σύμφωνοί εἰσιν οἱ θεό-
πνευστοι Εὐαγγελισταί· ἀλλ' ὁ μὲν Μάρ-
κος τὴν ὥραν ἔγραψε, καθ' ἣν ὁ Πιλά-
τος ἀπεφάσισεν, ἵνα σταυρωθῇ ὁ Χρι-
στός· ὁ δὲ Ἰωάννης τὴν ὥραν, ἐν ᾗ ἐ-
σταυρώθη. Οὕτω μαρτυρεῖ ὁ θεοφόρος
Ἰγνάτιος, λέγων· Τῇ οὖν παρασκευῇ, Ἐν τῇ πρὸς Τραλλησ. ἐπιστ.
τρίτῃ ὥρᾳ, ἀπόφασιν ἐδέξατο πα-
ρὰ τοῦ Πιλάτου, συγχωρήσαντος
τοῦ Πατρός· ἕκτῃ ὥρᾳ ἐσταυρώ-
θη· ἐννάτῃ ἀπέπνευσεν. Ἐθαύμα-
σε λοιπὸν ὁ Πιλάτος, ἀκούσας, ὅτι με-
τὰ τρεῖς ὥρας ὁ Χριστὸς ἀπέθανεν ἐ-
πάνω εἰς τὸν σταυρόν· ἄνθρωπος νέος
καὶ ὑγιὴς ἠδύνατο διαρκέσαι ζῶν ἐπάνω
εἰς τὸ ξύλον τοῦ σταυροῦ πολὺ περισ-
σότερον, καθὼς καὶ οἱ δύω λησταὶ οἱ
συσταυρωθέντες αὐτῷ. Ἐθαύμασεν, ἐ-
πειδὴ οὐκ ἐπίστευεν, ὅτι αὐτὸς, ὡς Θεοῦ
Υἱὸς, ἰδίᾳ δυνάμει καὶ ἐξουσίᾳ, ὅταν
ἠθέλησε, παρέδωκε τῷ Θεῷ καὶ Πα-
τρὶ τὴν θείαν αὐτοῦ ψυχὴν, φωνήσας
φωνῇ μεγάλῃ, καὶ εἰπών· Πάτερ, Λουκ. κγ΄. 46.
εἰς χεῖράς σου παραθήσομαι τὸ
πνεῦμά μου.

Καὶ γνοὺς ἀπὸ τοῦ Κεντυρίω- Μάρκ. ιε΄. 45, 46.
νος, ἐδωρήσατο τὸ σῶμα τῷ
Ἰωσήφ. Καὶ ἀγοράσας σιν-
δόνα, καὶ καθελὼν αὐτὸν, ἐ-
νείλησε τῇ σινδόνι· καὶ κα-
τέ-

**τέθηκεν αὐτὸν ἐν μνημείῳ, ὃ ἦν λελατομημένον ἐκ πέτρας· καὶ προσεκύλισε λίθον ἐπὶ τὴν θύραν τοῦ μνημείου.**

Πληροφορηθεὶς ὁ Πιλάτος ὑπὸ τοῦ Κεντυρίωνος, ὅτι ἀπέθανεν ὁ Ἰησοῦς Χριστὸς, τότε ἐδωρήσατο τὸ νεκρόζωον αὐτοῦ σῶμα τῷ Ἰωσήφ. Ὁ δὲ Ἰωσὴφ ἠγόρασε σινδόνα, κατεβίβασε τὸ σῶμα ἀπὸ τοῦ σταυροῦ, ἐνετύλιξεν αὐτὸ ἐν τῇ σινδόνι, ἔθηκεν αὐτὸ εἰς μνημεῖον πέτρινον, καὶ κυλίσας πέτραν, ἐκάλυψε τὴν θύραν τοῦ μνημείου· καὶ ταῦτα μὲν λέγει ὁ Εὐαγγελιστὴς Μάρκος. Ὁ δὲ Ἰωάννης καὶ ἄλλας ἀξιολόγους περιστάσεις καθιστορεῖ, ὅσας ὁ Μάρκος ἐσιώπησε· πρώτην, ὅτι εἰς τὸν ἐνταφια-
Ἰωάν. ιθ΄. 39. κτ. σμὸν τοῦ Κυρίου ἦλθε καὶ ὁ Νικόδημος, καὶ ἔφερε μίγμα σμύρνης καὶ ἀλόης ὡσεὶ λίτρας ἑκατόν· δευτέραν, ὅτι μετὰ τῶν ἀρωμάτων ἤλειψαν, καὶ μετὰ τῶν ὀθονίων, ἤγουν τῶν λινῶν ὑφασμάτων, ἔδησαν τὸ σῶμα τοῦ Κυρίου, κατὰ τὴν συνήθειαν, ἣν ἔχουσιν οἱ Ἰουδαῖοι ἐνταφιάζειν τοὺς νεκρούς· τρίτην, ὅτι εἰς τὸν τόπον, ὅπου ἐσταυρώθη ὁ Κύριος, ἦν κῆπος, καὶ εἰς τὸν κῆπον μνημεῖον, ἐν ᾧ οὐδεὶς ἄλλος νεκρὸς οὐδέποτε ἐτάφη· καὶ ὅτι ἐν αὐτῷ τῷ μνημείῳ ἔθαψαν τὸ σῶμα τοῦ Ἰησοῦ Χριστοῦ. Ὁ δὲ Ματθαῖος ἐσημείωσε καὶ ἄλλην πολλὰ ἀξιοσημείωτον περίστασιν, ἤγουν, ὅτι οἱ Ἰουδαῖοι, ὑποπτευόμενοι κλοπὴν, ἐσφράγισαν, κατ' ἐπιταγὴν τοῦ Πιλάτου, τὸν τάφον τοῦ Κυρίου, καὶ ἔστησαν τοὺς βασιλικοὺς στρατιώτας, ἵνα φυλάττωσιν αὐτόν. Ταῦτα πάντα κατ' οἰκονομίαν μὲν Θεοῦ ἐγένοντο, πρὸς πίστωσιν δὲ καὶ βεβαιότητα τῆς ἐκ νεκρῶν ἀναστάσεως τοῦ Χριστοῦ ὑπὸ τῶν πνευματοφόρων Εὐαγγελιστῶν λεπτομερῶς περιεγράφησαν· διότι ὁ μὲν λίθος ὁ μέγας, ὁ τεθεὶς ἐπάνω εἰς τὴν θύραν τοῦ μνημείου, δυσκολίαν ἀνίκητον ἔφερεν εἰς τοὺς κλέπτας· ἡ δὲ ἀγρυπνία τῶν βασιλικῶν στρατιωτῶν, φόβον μέγαν καὶ ἀνείκα-
στον· τὸ δὲ, καινὸν μνημεῖον, ἐν ᾧ Ἰωάν. ιθ΄. 41.
οὐδέπω οὐδεὶς ἐτέθη, ἔκλεισε τὰ στόματα τῶν συκοφαντῶν· ἡ δὲ σμύρνα καὶ ἡ ἀλόη, κολλήσασα τὰ ὀθόνια καὶ τὸ σουδάριον ἐν τῷ παναχράντῳ σώματι τοῦ Σωτῆρος, ἀφεῖλε πᾶσαν κλοπῆς ὑποψίαν· διότι τίς δύναται πιστεῦσαι, ὅτι κλέπται ἠπάτησαν μὲν τοὺς ἐπιμελῶς ἀγρυπνοῦντας καὶ φυλάσσοντας στρατιώτας, ἀπεκύλισαν δὲ τὸν μέγαν λίθον ἀπὸ τῆς θύρας τοῦ μνημείου, καὶ εἰσελθόντες ἐν αὐτῷ, ἔλαβον καιρὸν ἐκχωρίσαι ἀπὸ τοῦ σώματος τὰ κεκολλημένα ὀθόνια καὶ τὸ σουδάριον, καθὼς
εὗρεν αὐτὰ ὁ Πέτρος, ὅτε εἰσῆλθεν εἰς Αὐτ. κ΄. 6. 7.
τὸ μνημεῖον; κατὰ θείαν λοιπὸν οἰκονομίαν μετὰ τοσαύτης ἀσφαλείας ἐτάφη τὸ ζωηφόρον σῶμα τοῦ Κυρίου Ἰησοῦ.

**Ἡ δὲ Μαρία ἡ Μαγδαληνὴ, καὶ Μαρία Ἰωσῆ ἐθεώρουν ποῦ τίθεται.** Μάρκ. ιε΄. 47.

Μαρία Μαγδαληνὴ ἐκείνη ἐστὶν, ἀφ' ἧς ὁ Κύριος ἐξέβαλε τὰ ἑπτὰ Δαιμόνια· Αὐτ. ις΄. 9.
Μαγδαληνὴ δὲ ὠνομάζετο ἴσως, καθότι ἐκατάγετο ἐκ τῆς κώμης τῆς καλουμένης Μαγδαλά. Μαρίαν δὲ Ἰωσῆ, τινὲς μὲν νομίζουσι τὴν Ὑπεραγίαν Θεοτόκον, ἣν καὶ Μαρίαν Ἰακώβου ὁ αὐτὸς Εὐαγγελιστὴς Μάρκος κατωτέρω ὀνομάζει· (ὁ Χρυσ. καὶ ὁ Θεοφύλ.) διότι ὁ Ἰωσὴφ ὁ Μνήστωρ μετὰ τῆς προτέρας γυναικὸς αὐτοῦ δύω υἱοὺς εἶχε, τὸν Ἰωσῆ, καὶ τὸν Ἰάκωβον· ὅθεν ἡ Ἁγία Θεοτόκος, καθὼς ἐλέγετο γυνὴ τοῦ Ἰωσὴφ διὰ τὴν μνηστείαν, οὕτω καὶ μήτηρ τῶν τέκνων αὐτοῦ ὠνομά-

ζε-

ζετο. Γνωστοὶ δὲ καὶ ἐπίσημοι, ὡς φαίνεται, ἦσαν ὁ Ἰωσῆς καὶ ὁ Ἰάκωβος τοῖς Ἰουδαίοις, καὶ διὰ τοῦ ὀνόματος τούτου, ἤγουν Μαρία Ἰωσῆ καὶ Ἰακώβου, ἐγνωρίζετο παρ' αὐτοῖς ἡ Ἁγία Θεοτόκος· ὅθεν διὰ τοῦτο οὕτως αὐτὴν ὠνόμασαν ὁ Εὐαγγελιστὴς Μάρκος καὶ ὁ Ματθαῖος. Ἄλλοι δὲ, Μαρίαν Ἰωσῆ νομίζουσι τὴν ἀδελφὴν τῆς Ὑπεραγίας Θεοτόκου, καὶ γυναῖκα τοῦ Κλωπᾶ, λαμβάνοντες ἀφορμὴν ἐκ τῶν λόγων τοῦ ἐπιστηθίου Ἰωάννου, λέγοντος· Εἱστήκεισαν δὲ παρὰ τῷ σταυρῷ τοῦ Ἰησοῦ ἡ μήτηρ αὐτοῦ, καὶ ἡ ἀδελφὴ τῆς μητρὸς αὐτοῦ, Μαρία ἡ τοῦ Κλωπᾶ. Αὐταὶ λοιπὸν αἱ δύω Μαρίαι, μετὰ καὶ ἄλλων γυναικῶν, ὡς λέγει ὁ ἱερὸς Λουκᾶς, αἵτινες ἦσαν συνεληλυθυῖαι αὐτῷ ἐκ τῆς Γαλιλαίας, παρετήρουν τὸν τόπον, ἐν ᾧ ἐτάφη ὁ Κύριος, σκοπὸν ἔχουσαι, ἵνα φέρωσι μύρα, καὶ ἀλείψωσιν αὐτόν.

Ματ. κζ'. 56. Καλμ. εἰς τὸ 27. κεφ. τοῦ κατὰ Ἰωάν. ιθ'. 25. Λουκ. κγ'. 55.

Μάρκ. ιϛ'. 1. **Καὶ διαγενομένου τοῦ σαββάτου, Μαρία ἡ Μαγδαληνὴ, καὶ Μαρία ἡ τοῦ Ἰακώβου, καὶ Σαλώμη ἠγόρασαν ἀρώματα, ἵνα ἐλθοῦσαι ἀλείψωσιν αὐτόν.**

Παρελθούσης τῆς ἡμέρας τοῦ σαββάτου, ἡ Μαγδαληνὴ Μαρία, καὶ ἡ Μαρία τοῦ Ἰακώβου, καὶ ἡ Σαλώμη, ἤγουν ἡ μήτηρ τῶν υἱῶν τοῦ Ζεβεδαίου, ἠγόρασαν ἀρώματα, ἵνα ἔλθωσιν εἰς τὸν τάφον, καὶ ἀλείψωσι τοῦ Κυρίου τὸ σῶμα· ἀλλ' ὁ Λουκᾶς λέγει· Καὶ ἡμέρα ἦν παρασκευὴ, καὶ σάββατον ἐπέφωσκε. Κατακολουθήσασαι δὲ καὶ γυναῖκες, αἵτινες ἦσαν συνεληλυθυῖαι αὐτῷ ἐκ τῆς Γαλιλαίας, ἐθεάσαντο τὸ μνημεῖον, καὶ ὡς ἐτέθη τὸ σῶμα αὐτοῦ· ὑποστρέψασαι δὲ, ἡτοίμασαν ἀρώματα καὶ μύρα· καὶ τὸ μὲν σάββατον ἡσύχασαν κατὰ τὴν ἐντολήν. Τῇ δὲ μιᾷ τῶν σαββάτων, καὶ τὰ ἑξῆς· ὥστε, κατὰ τὸν Λουκᾶν, φαίνεται, ὅτι τὴν παρασκευὴν, καὶ οὐχὶ μετὰ τὴν παρέλευσιν τοῦ σαββάτου, αἱ Μυροφόροι γυναῖκες ἠγόρασαν τὰ ἀρώματα· ἀλλὰ σημείωσον, ὅτι ὁ Λουκᾶς λέγει, σάββατον ἐπέφωσκεν, ἤγουν ἐφάνη τὸ αὐγερινὸν φῶς τοῦ σαββάτου, ὅτε αἱ γυναῖκες ἠκολούθησαν τὸν Ἰωσὴφ, ἵνα ἴδωσι τὸ μνημεῖον, ἐν ᾧ ἐτάφη ὁ Χριστός· ἔπειτα ἐπιστρέψασαι ἐκεῖθεν, ἡτοίμασαν τὰ ἀρώματα καὶ τὰ μύρα· ὅθεν, ἕως ἂν ἔλθωσιν εἰς τὸν κῆπον, ὅπου ἦν τὸ μνημεῖον, καὶ ἕως ἂν θάψωσι τοῦ Κυρίου τὸ σῶμα, καὶ πάλιν ἐπιστρέψωσιν εἰς τὴν Ἱερουσαλὴμ, καὶ φθάσωσιν εἰς τὰ μυροπωλεῖα, παρῆλθε σχεδὸν ὅλη ἡ ἡμέρα τοῦ σαββάτου. Πρὸς τούτοις ὁ μὲν Λουκᾶς λέγει, ἡτοίμασαν· ὁ δὲ Μάρκος, ἠγόρασαν· ὅθεν ἴσως τὴν παρασκευὴν, τὴν νύκτα, πλησιαζούσης τῆς ἡμέρας τοῦ σαββάτου, καὶ φαινομένου τοῦ φωτὸς, καὶ σάββατον ἐπέφωσκεν, ἦλθον αἱ ἅγιαι γυναῖκες πρὸς τοὺς πωλοῦντας, καὶ ἡτοίμασαν, ἤγουν ἐσυμφώνησαν τὴν τιμὴν τῶν μύρων, πλὴν οὐκ ἠγόρασαν αὐτὰ, εἴτε διατὶ οὐκ εἶχον ἕτοιμα τὰ χρήματα, εἴτε διατὶ ἤρξατο ἡ ἡμέρα τοῦ σαββάτου, καθ' ἣν ὁ νόμος ἀπηγόρευε πᾶσαν πρᾶξιν· ὅθεν, παρελθούσης τῆς ἡμέρας τοῦ σαββάτου, ἦλθον ὅπου εἶχον ἕτοιμα τὰ ἀρώματα, καὶ ἠγόρασαν αὐτὰ, ὡς λέγει ὁ ἱερὸς Μάρκος. Ἀγνοοῦσαι δὲ αἱ ἅγιαι γυναῖκες, ὅτι ὁ Χριστὸς ἐκ νεκρῶν ἀναστήσεται, ἐκ τῆς πρὸς αὐτὸν ἀγάπης καὶ εὐλαβείας ἤθελον ἀλεῖψαι τὸ σῶμα αὐτοῦ μετὰ τῶν ἀρω-

Λουκ. κγ'. 55, 56. Λουκ. κδ'. 1.

ἀρωμάτων καὶ τῶν μύρων, ἵνα καὶ τὴν τότε συνήθειαν ἐκπληρώσωσι, καὶ διαφυλάξωσι δὲ τὸ σῶμα τοῦ Κυρίου οὐ μόνον εὐῶδες, ἀλλὰ καὶ ἀδιάφθορον.

Μάρκ. ις΄. 2. **Καὶ λίαν πρωῒ τῆς μιᾶς σαββάτων ἔρχονται ἐπὶ τὸ μνημεῖον, ἀνατείλαντος τοῦ ἡλίου.**

Τὸ, *Λίαν πρωῒ τῆς μιᾶς σαββάτων*, καὶ τὸ τοῦ Εὐαγγελιστοῦ Ματ-
Ματ. κή. 1. θαίου, *Ὀψὲ δὲ σαββάτων, τῇ ἐπιφωσκούσῃ εἰς μίαν σαββάτων*,
Λουκ. κδ΄. 1. καὶ τὸ τοῦ Λουκᾶ, *Τῇ δὲ μιᾷ τῶν σαββάτων, ὄρθρου βαθέος*, ἔτι δὲ
Ἰωάν. κ΄. 1. καὶ τὸ τοῦ Ἰωάννου, *Τῇ δὲ μιᾷ τῶν σαββάτων, σκοτίας ἔτι οὔσης*, σύμφωνά εἰσιν ἅπαντα· διότι σάββατα, ἢ σάββατον, τὴν ἑβδομάδα ὠνόμαζον οἱ Ἑβραῖοι· ὅθεν διδάσκουσιν ἡμᾶς οἱ Εὐαγγελισταὶ συμφώνως, ὅτι, *τῆς μιᾶς σαββάτων*, ἤγουν τὴν πρώτην ἡμέραν τῆς ἑβδομάδος, τουτέστι τὴν Κυριακὴν, πρωῒ, ἦλθον αἱ Μυροφόροι γυναῖκες ἐπὶ τὸ μνῆ-
Εὐσέβ. εἰς τὴν κατὰ Ἰωάν. Σειρ. κεφ. 20. καὶ Θεοφύλ. εἰς τὸ 16. κεφ. τοῦ κατὰ Μάρκον. μα τοῦ Κυρίου. Ἀλλὰ τὸ ἑξῆς, ἤγουν τὸ, *ἀνατείλαντος τοῦ ἡλίου*, ὅπερ σημαίνει μετὰ τὴν ἀνατολὴν τοῦ ἡλίου, φαίνεται ἐναντίον εἰς τὰ λόγια τῶν λοιπῶν Εὐαγγελιστῶν, διότι ὁ μὲν Ματθαῖος λέγει· *Ὀψὲ σαββάτων τῇ ἐ-*
Ματ. κή. 1. *πιφωσκούσῃ*, ἤγουν εἰς τὴν ἀρχὴν τοῦ αὐγερινοῦ φωτὸς τῆς Κυριακῆς ἡμέρας· ὁ
Λουκ. κδ΄. 1. δὲ Λουκᾶς· *Ὄρθρου βαθέος*· ὁ δὲ Ἰω-
Ἰωάν. κ΄. 1. άννης· *Σκοτίας ἔτι οὔσης*· ἐναντίον δὲ καὶ εἰς αὐτὰ τὰ προλαβόντα λόγια τοῦ Μάρκου· διότι αὐτὸς πρῶτον μὲν εἶπε, *λίαν πρωῒ*, ἔπειτα δὲ, *ἀνατείλαντος τοῦ ἡλίου*. Μήπως οὖν οἱ τρεῖς Εὐαγγελισταὶ λαλοῦσι περὶ ἄλλων γυναικῶν, αἵτινες κατὰ ἄλλον καιρὸν ἦλθον εἰς τὸ μνημεῖον; ἢ μήπως οἱ τρεῖς Εὐαγγελισταὶ ἐσημείωσαν μόνον τὸν καιρὸν, καθ' ὃν αἱ γυναῖκες ἤρχισαν τὴν πρὸς τὸν τάφον ὁδοιπορίαν· ὁ δὲ Μάρκος καὶ τοὺς δύω καιροὺς ἐσημείωσε, καὶ τὸν καιρὸν δηλαδὴ, καθ' ὃν ἤρχισαν τὴν ὁδοιπορίαν, διὰ τοῦ, *λίαν πρωῒ*, καὶ τὸν καιρὸν, καθ' ὃν ἔφθασαν εἰς τὸ μνημεῖον, ἤγουν μετὰ τὴν ἀνατολὴν τοῦ Ἡλίου; Ἐὰν προστρέξῃς εἰς τὴν ἀλληγορίαν, ἔχεις στερεωτέραν λύσιν ταύτης τῆς ἀπορίας, ἥτις συμφωνεῖ τὸν Μάρκον μεθ' ἑαυτοῦ, καὶ μετὰ τῶν λοιπῶν Εὐαγγελιστῶν. Ἥλιον μὲν ὀνομάζουσιν αἱ θεῖαι Γραφαὶ τὸν Κύριον Ἰησοῦν Χριστόν· *Μὴ βλέψετέ με*, λέγει τοῦ Ἀσμ. ά. 6.
Ἄσματος ἡ νύμφη, ἤγουν ἡ εὐσεβὴς ψυχὴ, *ὅτι ἐγώ εἰμι μεμελανωμένη, ὅτι παρέβλεψέ με ὁ Ἥλιος. Ἀνατελεῖ*, εἶπεν ὁ προφήτης Μαλαχίας, *ὑ-* Μαλ. δ΄. 2.
*μῖν τοῖς φοβουμένοις τὸ ὄνομά μου Ἥλιος δικαιοσύνης· Καὶ σημεῖον μέγα*, λέγει ὁ ἐπιστήθιος Ἰω- Ἀποκ. ιβ΄. 1.
άννης, *ὤφθη ἐν τῷ οὐρανῷ· γυνὴ*, ἤγουν ἡ Ἐκκλησία, *περιβεβλημένη τὸν Ἥλιον*, ἤγουν τὸν Χριστόν. Αἱ δὲ Μυροφόροι ἦλθον εἰς τὸ μνημεῖον, μετὰ τὴν ἀνάστασιν τοῦ Ἰησοῦ Χριστοῦ· διότι ὁ Ἄγγελος εἶπε πρὸς αὐτάς· *Ἠ-* Ματ. κή. 6.
*γέρθη, οὐκ ἔστιν ὧδε*. Ἰδοὺ οὖν ὅλον τὸ νόημα τῶν προκειμένων Εὐαγγελικῶν λόγων· τὴν Κυριακὴν ἡμέραν πολλὰ πρωῒ, ὅτε ὁ τῆς δικαιοσύνης ἥλιος Ἰησοῦς Χριστὸς, ἐκ νεκρῶν ἀναστὰς, καὶ ἐκ τοῦ μνήματος ἐξελθὼν, ἀνέτειλε τῷ κόσμῳ, τότε ἦλθον αἱ Μυροφόροι γυναῖκες εἰς τὸ μνημεῖον.

**Καὶ ἔλεγον πρὸς ἑαυτάς· Τίς ἀποκυλίσει ἡμῖν τὸν λίθον ἐκ τῆς θύρας τοῦ μνημείου;** Μάρκ. ις΄. 3.

Εἰς τὸ μνημεῖον ἤρχοντο αἱ τίμιαι γυναῖκες, ἵνα ἀλείψωσι τὸ σῶμα τοῦ Κυρίου Ἰησοῦ· ἐπειδὴ δὲ ὁ λίθος, ὁ καλύπ-

λύπτων τὴν θύραν τοῦ μνημείου, ἦν μέγας σφόδρα, ὡς κατωτέρω λέγει ὁ Εὐαγγελιστής, αὐταὶ δέ, γυναῖκες, ἦσαν ἀσθενεῖς καὶ ἀδύνατοι, διὰ τοῦτο πρεπόντως ἐξηπόρουν, καὶ εὐλογοφανῶς ἡ μία πρὸς τὴν ἄλλην ἔλεγεν ἐν τῇ ὁδῷ τό, Τίς ἄρα δύναται ἀποκυλίσαι τὸν λίθον ἀπὸ τῆς θύρας τοῦ μνημείου, ἵνα εἰσελθοῦσαι ἐν αὐτῷ ἀλείψωμεν τοῦ Κυρίου Ἰησοῦ τὸ σῶμα; Τίς ἀποκυλίσει ἡμῖν τὸν λίθον ἐκ τῆς θύρας τοῦ μνημείου;

Μάρκ. ιϛ΄. 4. Καὶ ἀναβλέψασαι θεωροῦσιν ὅτι ἀποκεκύλισται ὁ λίθος· ἦν γὰρ μέγας σφόδρα.

Ὁ μὲν Εὐαγγελιστὴς Μάρκος λέγει, ὅτι ἀποκεκύλισται ὁ λίθος, τὸ δὲ πῶς ἐκυλίσθη, σιωπεῖ, ἐπειδὴ πρὸ αὐτοῦ ἔγραψε τό, πῶς, ὁ θεηγόρος
Ματ. κή. 2. Ματθαῖος, λέγων· Καὶ ἰδοὺ σεισμὸς
ἐγένετο μέγας· Ἄγγελος γὰρ Κυρίου καταβὰς ἐξ οὐρανοῦ, προσελθὼν ἀπεκύλισε τὸν λίθον ἀπὸ τῆς θύρας.

Μάρκ. ιϛ΄. 5. Καὶ εἰσελθοῦσαι εἰς τὸ μνημεῖον, εἶδον νεανίσκον καθήμενον ἐν τοῖς δεξιοῖς, περιβεβλημένον στολὴν λευκήν, καὶ ἐξεθαμβήθησαν.

Καὶ εἰς τοῦτο πάλιν ἀσύμφωνοι φαίνονται οἱ θεῖοι Εὐαγγελισταί· διότι ὁ μὲν Μάρκος λέγει, ὅτι, εἰσελθοῦσαι εἰς τὸ μνημεῖον, εἶδον τὸν νεανίσκον, ἤγουν τὸν Ἄγγελον ἐν μορφῇ νέου, καθήμενον εἰς τὰ δεξιὰ μέρη τοῦ μνήματος· ὁ δὲ Ματθαῖος λέγει, ὅτι ἐκάθητο ἐπάνω τοῦ λίθου· Ἀ-
πεκύλισε, λέγει, τὸν λίθον ἀπὸ Ματ. κή.
τῆς θύρας, καὶ ἐκάθητο ἐπάνω 2.
αὐτοῦ. Ἐκ τούτου τινὲς εἶπον, ὅτι ἄλ- Θεοφύλ.
λαι μὲν ἦσαν αἱ γυναῖκες, περὶ ὧν λα- καὶ Βίκ-
λεῖ ὁ Ματθαῖος, ἄλλαι δὲ ἐκεῖναι, περὶ τωρ Ἀν-
ὧν διαλαμβάνει ὁ Μάρκος· καὶ αἱ ὀπ- τιοχ. ἐν
τασίαι δύω, καὶ κατὰ ἄλλον καιρὸν γε- τῇ εἰς τὸ κατὰ Μάρ-
γενημέναι, καὶ ὅτι ἡ Μαγδαληνὴ Μαρία Σειρ.
καὶ εἰς τὰς δύω ὀπτασίας εὑρέθη· ἀλλ᾽ ἴσως περὶ τῶν αὐτῶν γυναικῶν ὁμιλεῖ ἑκάτερος τῶν Εὐαγγελιστῶν, καὶ περὶ μιᾶς καὶ τῆς αὐτῆς ὀπτασίας· αἱ αὐταὶ δὲ γυναῖκες πρῶτον μὲν εἶδον τὸν Ἄγγελον ἐπάνω τοῦ λίθου καθήμενον, καὶ τοῦτο ἱστορεῖ ὁ Ματθαῖος, ἔπειτα δὲ ὁ αὐτὸς Ἄγγελος, ὡς ὁδηγῶν αὐτάς εἰσῆλθεν εἰς τὸ μνημεῖον, ὅπου καὶ αἱ γυναῖκες εἰσελθοῦσαι, εἶδον αὐτὸν ἐν τοῖς δεξιοῖς τοῦ μνημείου καθήμενον· τοῦτο δὲ διηγεῖται ὁ Μάρκος, ὡς σιωπηθὲν ὑπὸ τοῦ Ματθαίου. Ὁμοίως δὲ
περὶ τῶν αὐτῶν γυναικῶν φαίνεται, ὅτι Λουκ. κδ΄.
διαλαμβάνει καὶ ὁ Λουκᾶς, κἂν λέγῃ, 4, 6.
ὅτι δύω ἄνδρες ἐφάνησαν ταῖς γυναιξί, καὶ ὅτι εἷς ἐξ αὐτῶν εἶπε· Μνήσθητε ὡς ἐλάλησεν ὑμῖν, ἔτι ὢν ἐν τῇ Γαλιλαίᾳ, καὶ τὰ ἑξῆς· διότι δύω μὲν ἐφάνησαν Ἄγγελοι, ἀλλ᾽ ὁ Ματθαῖος καὶ ὁ Μάρκος ἕνα μόνον ἀναφέρουσι, δηλονότι τὸν λαλήσαντα μετὰ τῶν γυναικῶν· ὁ δὲ Λουκᾶς καὶ τὸν ἕτερον, τὸν μὴ λαλήσαντα. Ἐπειδὴ δὲ ὁ Λουκᾶς μετὰ τὸν Ματθαῖον καὶ τὸν Μάρκον ἔγραψε τὸ Εὐαγγέλιον, διὰ τοῦτο ὅσα τοῦ Ἀγγέλου λόγια αὐτοὶ ἐσιώπησαν, αὐτὸς προσέθηκε, καὶ ἀνεπλήρωσεν. Εὐλόγως δὲ ὑπερεθαύμασαν καὶ ἐξέστησαν αἱ τρισμακάριαι ἐκεῖναι γυ-
ναῖκες· εἶδον τὸν μέγαν λίθον ἀποκυ- Ματ. κή.
λισθέντα τοῦ μνήματος· εἶδον τοῦ Ἀγ- 2, 3.
γέλου τὸ πρόσωπον ὡς ἀστραπὴν λάμπον, καὶ τὰ ἐνδύματα αὐτοῦ λευκὰ ὡς χιόνα· εἶδον τὸν τάφον κενόν, χωρὶς

τοῦ

τοῦ σώματος· δηλαδὴ τοῦ Κυρίου· εἶδον πράγματα ἀνέλπιστα, ἤκουσαν εὐαγγέλια θαυμάσια· ὅθεν θάμβος αὐτὰς περιέσχε καὶ ἔκστασις.

Μάρκ. ις΄. 6. Ὁ δὲ λέγει αὐταῖς· Μὴ ἐκθαμβεῖσθε· Ἰησοῦν ζητεῖτε τὸν Ναζαρηνὸν τὸν ἐσταυρωμένον· ἠγέρθη, οὐκ ἔστιν ὧδε· ἴδε ὁ τόπος, ὅπου ἔθηκαν αὐτόν.

Ἡσυχάζει ὁ Ἄγγελος τὸν θόρυβον τῆς ψυχῆς αὐτῶν· Μὴ θορυβεῖσθε, λέγει, μὴ ταράττεσθε, μὴ ἐξίστασθε. Ἐπειδὴ δὲ, εἰς τὸν καιρὸν τοῦ θάμβους καὶ τῆς ἐκστάσεως, καὶ ἡ μνήμη πάσχει, ἀστοχεῖ τὰ μνημονευόμενα, καὶ νεκροῦται, διὰ τοῦτο πρῶτον μὲν ἀναμιμνήσκει αὐταῖς τὸ ζητούμενον· Ὑμεῖς, λέγει, ζητεῖτε τὸν Ἰησοῦν τὸν Ναζαρηνὸν τὸν ἐσταυρωμένον, ἀλλ' αὐτὸς οὐκ ἔστιν ὧδε, ἀνέστη· ἔπειτα, ἵνα μὴ φαντάσματα νομίσωσι τὰ βλεπόμενα, Βλέπε, λέγει, τὸν τόπον, ὅπου ἔθαψαν αὐτόν· ὁ τόπος κενός ἐστιν, ἐν αὐτῷ οὐκ ἔστι τὸ σῶμα τοῦ Ἰησοῦ, διότι αὐτὸς ἀνέστη ἐκ νεκρῶν.

Μάρκ. ις΄. 7. Ἀλλ' ὑπάγετε, εἴπατε τοῖς μαθηταῖς αὐτοῦ καὶ τῷ Πέτρῳ, ὅτι προάγει ὑμᾶς εἰς τὴν Γαλιλαίαν· ἐκεῖ αὐτὸν ὄψεσθε, καθὼς εἶπεν ὑμῖν.

Κήρυκας τῆς ἀναστάσεως στέλλει ὁ Ἄγγελος τὰς ἁγίας γυναῖκας· Ὑπάγετε, λέγει, εἴπατε τοῖς μαθηταῖς καὶ τῷ Πέτρῳ. Διατί δὲ κατ' ὄνομα ἀναφέρει τὸν Πέτρον; ἐπειδὴ ὁ Πέτρος, τρὶς ἀρνηθεὶς τὸν Ἰησοῦν Χριστὸν, ἐξέπεσε τῆς τῶν μαθητῶν χορείας καὶ τάξεως· ἐὰν ὁ μὲν Ἄγγελος οὐκ ἐμνημόνευε κατ' ὄνομα τοῦ Πέτρου, ἀλλ' ἔλεγε μόνον τὸ, εἴπατε τοῖς μαθηταῖς, αἱ δὲ γυναῖκες ἔλεγον πρὸς τοὺς Ἀποστόλους τοῦ Ἀγγέλου τὰ λόγια, ὁ Πέτρος, γινώσκων, ὅτι ἐστερημένος ἦν τῆς ἀποστολικῆς χάριτος, ἐνόμιζεν, ὅτι οὐκ ἔστι περὶ αὐτοῦ ὁ λόγος, ὅθεν οὐδὲ ἤρχετο εἰς τὴν Γαλιλαίαν μετὰ τῶν λοιπῶν Ἀποστόλων· διὰ τοῦτο οὖν ὁ Ἄγγελος ἐμνήσθη ὀνομαστὶ τοῦ Πέτρου, ἵνα, τοῦτο ἀκούσας ἐκεῖνος ἀπὸ τοῦ στόματος τῶν Μυροφόρων, λάβῃ θάῤῥος, καὶ πληροφορηθῇ, ὅτι διὰ τὰ πικρὰ αὐτοῦ δάκρυα προσκαλεῖ αὐτὸν ὁ Κύριος, ἵνα ἀξιώσῃ πάλιν τοῦ ἀποστολικοῦ ἀξιώματος. Τοῦτο δὲ καὶ ἐγένετο, ὅτε διὰ τῆς τριττῆς ἐρωτήσεως ἐδιώρθωσεν ὁ Θεάνθρωπος τὸ τριττὸν τῆς αὐτοῦ ἀρνήσεως. Διατί δὲ ὁ Ἄγγελος διὰ τῶν γυναικῶν πέμπει τοὺς μαθητὰς εἰς τὴν Γαλιλαίαν, καὶ ὑπόσχεται, ὅτι ἐκεῖ ὄψονται τὸν Κύριον; ὁμοίως δὲ καὶ αὐτὸς ὁ ἐκ νεκρῶν ἀναστὰς Χριστὸς παρήγγειλεν αὐταῖς, λέγων· Ὑπάγετε, ἀπαγγείλατε τοῖς Ματ. κη΄. 10.
ἀδελφοῖς μου, ἵνα ἀπέλθωσιν εἰς τὴν Γαλιλαίαν, κἀκεῖ με ὄψονται; ὁ Κύριος ἐφάνη τοῖς μαθηταῖς ἐν Ἱερουσαλὴμ καὶ κατ' αὐτὴν τὴν ἡμέραν, ἐν Ἰωάν. κ΄.
ᾗ ἀνέστη· Οὔσης ὀψίας, τῇ ἡμέρᾳ 19. 26.
ἐκείνῃ τῇ μιᾷ τῶν σαββάτων, καὶ τῶν θυρῶν κεκλεισμένων, ὅπου ἦσαν οἱ μαθηταὶ συνηγμένοι διὰ τὸν φόβον τῶν Ἰουδαίων, ἦλθεν ὁ Ἰησοῦς, καὶ ἔστη εἰς τὸ μέσον, καὶ λέγει αὐτοῖς· Εἰρήνη ὑμῖν· καὶ πάλιν μεθ' ἡμέρας ὀκτὼ, παρόντος

καὶ

καὶ τοῦ Θωμᾶ, ἐφάνη τοῖς μαθηταῖς αὐτοῦ ἐκεῖ· διατί λοιπὸν τὴν ἐν Γαλιλαίᾳ ὀπτασίαν καὶ ὁ Ἄγγελος καὶ ὁ Κύριος προεῖπον; Διότι αὐτὴ ἦν ἐπιφανεστέρα, καὶ ἐπισημοτέρα τῶν ἄλλων ὀπτασιῶν· ἐκεῖ ἐφάνη ὁ ἀναστὰς Χριστὸς, οὐχὶ ἐν τῇ οἰκίᾳ κεκλεισμένων τῶν θυρῶν, ἀλλ᾽ ἐν τῷ ὄρει πεπαῤῥησιασμένως καὶ φανερῶς· ἐκεῖ οἱ Μαθηταὶ ἰδόντες αὐτὸν προσεκύνησαν· ἐκεῖ ὁ Κύριος μετὰ παῤῥησίας μεγάλης ἐφανέρωσεν αὐτοῖς τὴν δοθεῖσαν αὐτῷ πα-
Ματ. κή. 17. ρὰ τοῦ Πατρὸς ἐξουσίαν· Ἐδόθη μοι, λέγων, πᾶσα ἐξουσία ἐν οὐρανῷ
Μάρκ. ις΄. 15. καὶ ἐπὶ γῆς· ἐκεῖθεν ἀπέστειλεν αὐτοὺς εἰς τὸν κόσμον ἅπαντα, ἵνα κηρύξωσι τὸ Εὐαγγέλιον πάσῃ τῇ κτίσει,
Πράξ. ά. 3. 4. καὶ ἀπὸ τότε ἔμεινεν ὀπτανόμενος αὐτοῖς, καὶ λέγων τὰ περὶ τῆς βασιλείας τοῦ Θεοῦ καὶ συναλιζόμενος αὐτοῖς. Σημείωσον δὲ, ὅτι οὐδὲ ὁ Ἄγγελος εἶπεν, ὅτι ἐκεῖ, μόνον, αὐτὸν ὄψονται· οὐδὲ ὁ Κύριος, κἀκεῖ με, μόνον, ὄψονται. Ἐφάνη οὖν ὁ Χριστὸς, πρὸ τῆς ἐν Γαλιλαίᾳ ὀπτασίας, τοῖς μαθηταῖς αὐτοῦ ἐν Ἱερουσαλὴμ, ὅπου ἦσαν συνηθροισμένοι, ἵνα ταχύτερον παρηγορήσῃ τὴν λελυπημένην αὐτῶν καρδίαν, καὶ πιστώσῃ εὐθὺς τὴν ἐκ νεκρῶν αὐτοῦ ἀνάστασιν.

Μάρκ. ις΄. 8. Καὶ ἐξελθοῦσαι ταχὺ, ἔφυγον ἀπὸ τοῦ μνημείου· εἶχε δὲ αὐτὰς τρόμος καὶ ἔκστασις, καὶ οὐδενὶ οὐδὲν εἶπον· ἐφοβοῦντο γάρ.

Τίνας ἐφοβοῦντο αἱ γυναῖκες; τοὺς Ἰουδαίους; ἢ ἡ ὀπτασία τοσοῦτον ἐφόβισε τὴν καρδίαν αὐτῶν, ὥστε ἔμειναν πεφοβισμέναι καὶ ἐξεστηκυῖαι; πῶς δὲ, ὁ μὲν Μάρκος λέγει, ὅτι οὐδενὶ οὐδὲν εἶπον· ὁ δὲ Λουκᾶς, ὅτι, ὑπο- Λουκ. κδ΄. 9.
στρέψασαι ἀπὸ τοῦ μνημείου ἀπήγγειλαν ταῦτα πάντα τοῖς ἕνδεκα καὶ πᾶσι τοῖς λοιποῖς; Τινὲς μὲν λέγουσιν, ὅτι περὶ ἄλλης ὀπτασίας λαλεῖ ὁ Λουκᾶς· πιθανὸν ὅμως Θεοφύλ.
φαίνεται, ὅτι καὶ οἱ δύω τὴν αὐτὴν ὀπτασίαν ἱστοροῦσι· καὶ ὁ μὲν Μάρκος λέγων, οὐδενὶ οὐδὲν εἶπον αἱ γυναῖκες διὰ τὸν φόβον, νοεῖ οὐδενὶ τῶν μὴ ὄντων μαθητῶν τοῦ Χριστοῦ· οὐδενὶ οὐδὲν εἶπον εἰς τὸν δρόμον, ἐν ᾧ περιεπάτουν· Ἔφυγον, λέγει, ἀπὸ τοῦ μνημείου· ὥστε, ὅτε ἔφευγον, καὶ πρὶν ἢ φθάσωσι, τῷ τρόμῳ ἔτι καὶ τῇ ἐκστάσει κρατούμεναι, οὐδενὶ οὐδὲν εἶπον· ὁ δὲ Λουκᾶς λέγων, ὑποστρέψασαι ἀπὸ τοῦ μνημείου, ἐννοεῖ, ὅτι μετὰ τὴν ἐπιστροφὴν αὐτῶν ἀπὸ τοῦ μνημείου, ὅτε ἔφθασαν ὅπου ἦσαν οἱ μαθηταὶ συνηθροισμένοι, τότε ἀπήγγειλαν ὅσα εἶδον καὶ ἤκουσαν τοῖς ἕνδεκα Ἀποστόλοις, καὶ πᾶσι τοῖς λοιποῖς μαθηταῖς τοῦ Κυρίου Ἰησοῦ Χριστοῦ.

# ΟΜΙΛΙΑ

ΜΕΤΑ ΤΟ ΚΑΤΑ

# ΜΑΡΚΟΝ

## ΕΥΑΓΓΕΛΙΟΝ ΤΗΣ ΚΥΡΙΑΚΗΣ ΤΩΝ ΜΥΡΟΦΟΡΩΝ.

Ἠκούσατε, ἀγαπητοί μου Χριστιανοὶ, πάντα τὰ περὶ τῆς ταφῆς, καὶ τῆς ἀναστάσεως τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· ἠκούσατε δὲ καὶ τὸ, ὅτι ὁ μὲν Ἰωσὴφ ἐγένετο ὑπηρέτης τῆς ταφῆς, αἱ δὲ Μυροφόροι, πρῶτοι κήρυκες τῆς ἀναστάσεως αὐτοῦ· καλὸν δὲ καὶ ὠφέλιμον τὸ νὰ ἐξετάσωμεν διὰ ποίαν ἀρετὴν οὗτοι οἱ ἄνθρωποι ἠξιώθησαν τοιαύτης μεγάλης χάριτος. Βλέπω, ὅτι, διὰ τὸ τοιοῦτον κατόρθωμα, ἡ ἀνδρεία ἦν τοσοῦτον ἀναγκαία, ὥστε χωρὶς αὐτῆς τοιοῦτον ἔργον οὐδόλως ἠδύναντο ἐκτελέσαι· ἐὰν ἦταν δειλοὶ, ἡ δειλία ἐνεπόδιζε πάντα, ὅσα ἀναγκαῖα ἦσαν εἰς τελείωσιν τούτου τοῦ ἔργου· ἀληθῶς δὲ ἡ ἀνδρεία μήτηρ ἐστὶ πολλῶν ἀρετῆς κατορθωμάτων. Περὶ τῆς ἀνδρείας λαλῶ οὐχὶ τῆς σωματικῆς, ἀλλὰ τῆς ψυχικῆς, ἥτις καὶ μεγαλοψυχία λέγεται· τὴν σωματικὴν ἀνδρείαν γεννᾷ ἡ φύσις, τὴν δὲ ψυχικὴν, ἡ προαίρεσις· ὅθεν οὐδεὶς δύναται γενέσθαι ἀνδρεῖος κατὰ φύσιν, κἂν θέλῃ, γίνεται δὲ, ὅστις θέλῃ, μεγαλόψυχος. Τῆς μεγαλοψυχίας τὴν ἀρετὴν εἶχεν ὁ εὐσχήμων Ἰωσὴφ, καὶ αἱ ἅγιαι Μυροφόροι. Τὸ τῶν Ἰουδαίων γένος ἐξεμάνη καὶ ἐλύττησε κατὰ τοῦ Ἰησοῦ Χριστοῦ· Γραμματεῖς, Φαρισαῖοι, Νομοδιδάσκαλοι, Πρεσβύτεροι τοῦ λαοῦ, Ἀρχιερεῖς, τὸ Συνέδριον ὅλον, ὡς στασιαστὴν καὶ βλάσφημον, παρέδωκαν αὐτὸν τῷ θανάτῳ, ἅπαντες μεγάλαις φωναῖς κραυγάζοντες·
Ἰωάν. ιθ΄. 15. Ἆρον, ἆρον, σταύρωσον αὐτόν. Οἱ Ἰουδαῖοι, διὰ τὸν ἄμετρον φθόνον καὶ τὴν ὑπερβολικὴν αὐτῶν κακίαν, καὶ τοὺς μαθητὰς τοῦ Χριστοῦ ἐζήτουν ἀποκτεῖναι· ὅθεν, διὰ τὸν φόβον, πάντες ἔφυγον, διεσκορπίσθησαν, καὶ μόνον ἀφῆκαν τὸν Διδάσκαλον· δύω μόνοι, ὁ Ἰωάννης καὶ ὁ Πέτρος, ἠκολούθησαν αὐτῷ· ἀλλὰ τὸν μὲν Ἰωάννην ἐσκέπαζεν ἡ ἀρχιερατικὴ φιλία· ὁ δὲ Πέτρος, κἂν μετὰ προθυμίας πρῶτον ἠκολούθησεν, ἔπειτα ὅμως τοσοῦτον ἐφοβήθη, ὥστε μετὰ ἀναθέματος καὶ ὅρκου τρεῖς αὐτὸν ἠρνήσατο. Ὁ Ἰωσὴφ, ἵνα ἐπιτύχῃ τοῦ σκοποῦ αὐτοῦ, ἔπρεπε νὰ παῤῥησιασθῇ εἰς τὴν ἡγεμονικὴν αὐλὴν, ὅπου πάντοτε συνέτρεχε πλῆθος Ἰουδαίων, καὶ νὰ ζητήσῃ παρὰ τοῦ Πιλάτου τὸ σῶμα τοῦ Κυρίου Ἰησοῦ· τοῦτο δὲ τὸ ἔργον ἐφανέρωνεν αὐτὸν μαθητὴν τοῦ Χριστοῦ, ζηλωτὴν, καὶ ἀγαπῶντα τὸν Διδάσκαλον αὐτοῦ ὑπὲρ πάντας τοὺς ἄλλους μαθητὰς αὐτοῦ· τοῦτο δὲ ἀρκετὸν ἦν, ἵνα διεγείρῃ κατ' αὐτοῦ τὴν καταδρομὴν, καὶ τὰς ἐπιβουλὰς τῶν Ἰουδαίων. Ἡ μετὰ τοσαύτης εὐλαβείας ἀποκαθήλωσις τοῦ σώματος τοῦ Ζωοδότου, ἡ καθαρὰ σινδὼν, τὸ πεπελεκημένον πέτρινον μνημεῖον, ὁ λίθος ὁ μέγας ὁ ἐπὶ τῆς θύρας τοῦ μνημείου, ἦσαν πληγαὶ εἰς τὴν καρδίαν τῶν φθονερῶν Ἰουδαίων· ἐντεῦθεν οὐδὲν ἕτερον περιέμενεν ὁ Ἰωσὴφ, εἰμὴ διωγμοὺς καὶ κίνδυνον τῆς ἰδίας ζωῆς. Αὐτὸς δὲ μεγαλοψυχεῖ, τολμᾷ, ἔρχεται πρὸς τὸν Πιλάτον, παῤῥησιάζεται μαθητὴς τοῦ Χριστοῦ, ζητεῖ καὶ λαμβάνει τὸ σῶμα αὐτοῦ. Ἡ δὲ μεγαλο-

λο-

λοψυχία κατέστησεν αὐτὸν ὑπηρέτην τοῦ μεγάλου μυστηρίου τῆς ταφῆς τοῦ Δεσπότου τῶν ἁπάντων· αὐτὸς ἠλέησε τὸν ἐλεήσαντα τὸ γένος τῶν ἀνθρώπων· ἐνετύλιξε σινδόνι τὸν περιβάλλοντα τὸν οὐρανὸν ἐν νεφέλαις· ἐχάρισε μνημεῖον τῷ ἐγείραντι ἐκ μνημάτων τοὺς νεκρούς· ἔθαψε τὸν θάψαντα τὴν ἁμαρτίαν τοῦ κόσμου. Ἰωσὴφ τρισμακάριε, σεβάσμιαι αἱ χεῖρές σου, αἱ ψηλαφήσασαι τοῦ Κυρίου τὸ σῶμα! σεπτά σου τὰ ὄμματα, τὰ ἰδόντα νεκρὸν, γυμνὸν, ἡπλωμένον τὸν μονογενῆ τοῦ Θεοῦ Υἱόν! ἅγιον τὸ στόμα σου, τὸ ἀσπασάμενον τοῦ Ζωοδότου τοὺς πόδας! Ὢ ἀρετὴ ἔνδοξος, ὢ χάρις ἐξαισία, ἧς ἠξίωται ὁ γενναιόφρων Ἰωσήφ!

Καὶ τῶν Μυροφόρων δὲ ἡ μεγαλοψυχία θαυμαστὴ καὶ μεγάλη. Αἱ γυναῖκες φύσει ἀσθενεῖς εἰσὶ καὶ δειλαί· φοβοῦνται πολλάκις, ὅπου οὐκ ἔστι φόβος. Αἱ Μυροφόροι γυναῖκες, ὑπὲρ τὴν γυναικεῖαν φύσιν μεγαλόψυχοι, καὶ τῶν ἀνδρῶν ἀνδρειότεραι, οὐδὲ διὰ τὸν διωγμὸν τῶν Ἰουδαίων δειλιάζουσιν, οὐδὲ ἡ αὐθάδεια τῶν στρατιωτῶν αὐτὰς φοβίζει, οὐδὲ ἡ Κουστωδία ταράττει τὴν καρδίαν αὐτῶν. Οἱ μαθηταὶ, ἄνδρες ὄντες, φοβοῦνται· αἱ Μυροφόροι, γυναῖκες οὖσαι, τολμῶσιν· οὗτοι φεύγουσιν, ἐκεῖναι ἔρχονται· οὗτοι σκορπίζονται, ἐκεῖναι συνάγονται· οὗτοι κρύπτονται, ἐκεῖναι παῤῥησιάζονται· ἔρχονται εἰς τὸ μυροπωλεῖον, ἀγοράζουσι παρὰ τοῦ μυρεψοῦ ἀρώματα καὶ μύρα, εἶτα, βαστάζουσαι αὐτὰ, τρέχουσιν αἱ τρισμακάριαι προθύμως, ἵνα ἀλείψωσι τὸ ζωηφόρον σῶμα. Ὢ γυναῖκες πανσεβάσμιοι, καὶ πῶς οὐ φοβεῖσθε μόναι νὰ περιπατῆτε τὴν νύκτα; καὶ πῶς τολμᾶτε νὰ πλησιάσετε εἰς τὸν τόπον, ὃν βασιλικοὶ φυλάττουσι στρατιῶται; καὶ πῶς οὐ τρομάζετε, ἀλλὰ ζητεῖτε ἀποκυλίσαι τὸν λίθον, καὶ λύσαι τὰς σφραγῖδας, καὶ ἀνοῖξαι τὸν τάφον, καὶ ἀλεῖψαι τὸ τεθαμμένον τοῦ Κυρίου σῶμα; μεγάλων ἀληθῶς χαρισμάτων ἠξιώθητε, διὰ τὴν ἀνδρείαν τῆς ψυχῆς ὑμῶν! Αὗται, ἀγαπητοί μου ἀδελφοὶ, ἐπειδὴ, ἀποῤῥίψασαι πᾶσαν δειλίαν καὶ φόβον, ἐγένοντο ἀνδρεῖαι καὶ μεγαλόψυχοι, εἶδον τοὺς ἁγίους Ἀγγέλους, καὶ ὡμίλησαν μετ᾽ αὐτῶν· πρῶται ἤκουσαν τῆς Ἀναστάσεως τὰ εὐαγγέλια, πρῶται συνήντησαν τὸν ἐκ νεκρῶν ἀναστάντα Σωτῆρα, πρῶται εὐηγγελίσαντο τοῖς μαθηταῖς τὴν ἀνάστασιν τοῦ Κυρίου.

Ἡ ἀνδρεία τῆς ψυχῆς, Χριστιανοὶ, πολλῶν ἀρετῶν πρόξενος γίνεται, καθὼς ἐκ τοῦ ἐναντίου ἡ μικροψυχία καὶ ὁ φόβος ἐμποδίζει τῆς ἀρετῆς τὴν κατόρθωσιν· διὰ τοῦτο ἀκούομεν τὸν μὲν Μωϋσῆν, παραγγέλλοντα τῷ μαθητῇ αὐτοῦ, τῷ Ἰησοῦ· Ἀνδρίζου καὶ ἴσχυε· (Δευτ. λά. 7.) τὸν δὲ Δαβὶδ, τῷ υἱῷ αὐτοῦ, τῷ Σολομῶντι· Ἴσχυε, καὶ ἀνδρίζου, καὶ ποίει, μὴ φοβοῦ. (Α'. Παραλ. κή. 20.) Καὶ ὁ Κύριος δὲ τῶν ἁπάντων, καὶ Δεσπότης Θεὸς τὸ αὐτὸ παράγγελμα ἔδωκε πρῶτον μὲν εἰς τὸν αὐτὸν Ἰησοῦν τοῦ Ναυὴ, λέγων· Ἴσχυε καὶ ἀνδρίζου. Μὴ φοβηθῇς, μηδὲ δειλιάσῃς· (Ἰησ. ά. 7. Αὐτ. ή. 1) ἔπειτα καὶ ὁ Ἰησοῦς Χριστὸς, εἰς τοὺς μαθητὰς αὐτοῦ, ὅτε ἀπέστειλεν αὐτοὺς ἐπὶ τὸ μέγα καὶ ἐξαίσιον τῆς ἀρετῆς κατόρθωμα, ἤγουν ἐπὶ τὴν ἐπιστροφὴν πάσης τῆς οἰκουμένης· Μὴ οὖν φοβηθῆτε αὐτούς, εἶπε· Μὴ φοβηθῆτε ἀπὸ τῶν ἀποκτεινόντων τὸ σῶμα, τὴν δὲ ψυχὴν μὴ δυναμένων ἀποκτεῖναι· (Ματ. ί. 26, 28.) ὅθεν καὶ ὁ Ἀπόστολος αὐτοῦ ἐδίδασκε τοὺς πιστεύσαντας, γράφων· Ἀνδρίζεσθε, κραταιοῦσθε. (Α'.Κορ. ις'. 13.)

Βλέπετε τὸν Μωϋσῆν; αὐτὸς, ὅτε ἐφοβήθη τὸν Φαραὼ, ἔφυγεν ἀπὸ τῆς Αἰγύπτου, ἦλθεν εἰς τὴν γῆν Μαδιὰμ, ἐ-

κρύβη παρὰ τῷ Ἰωθὼρ, καὶ ἐκεῖ οὐδὲν ἔργον θαυμαστὸν κατώρθωσεν. Ὅτε δὲ ἀνδρείαν ἀνέλαβε, καὶ ἐνεδύθη τὴν μεγαλοψυχίαν, τότε καταβὰς εἰς τὴν Αἴγυπτον, παρέστη τῷ Φαραώ, ἐποίησε τὰ μεγάλα θαύματα, ἐλύτρωσε τῆς δουλείας τὸ γένος τοῦ Ἰσραήλ· ἔσχισε τὴν θάλασσαν, καὶ διεπέρασε τὸν λαόν· ἐπάταξε τὴν πέτραν, καὶ ἐξήγαγεν ὕδωρ· ἠνέῳξε τοῦ οὐρανοῦ τὰς θύρας, καὶ κατέβασε τὸ Μάννα· ἔφερε τὴν ὀρτυγομήτραν, ἐνήστευσε τεσσαράκοντα ἡμερονύκτια, ἔλαβε τοῦ νόμου τὰς πλάκας, ὑπέμεινε τὴν αὐθάδειαν τοῦ λαοῦ, ἐποίμανε τοσοῦτον σκληροτράχηλον πλῆθος, κατώρθωσε τόσας μεγάλας καὶ πολλὰς ἀρετὰς, ἐτέλεσε τόσα φοβερὰ καὶ ἐξαίσια θαύματα.

Ἰδὲ τὸν Ἠλίαν· ὅταν μεγαλοψυχῇ, ἐλέγχει τοῦ Ἀχαὰβ τὴν ἀσέβειαν, καὶ στηλιτεύει τοῦ ψευδωνύμου Θεοῦ τὴν ἀδυναμίαν· ἐκπομπεύει τὴν ἀπάτην τῶν ψευδοϊερέων, καὶ κηρύττει τὴν ἀλήθειαν τῆς πίστεως· ἀποδεικνύει ἐμπράκτως, τίς ὁ ἀληθινὸς Θεὸς, καὶ ἐπιστρέφει τὸν Ἰσραὴλ ἀπὸ τῆς πλάνης τοῦ Βαάλ· ἀκούετε κατορθώματα ἀρετῆς θαυμαστὰ καὶ ἔνδοξα; Ἀλλ' ὅτε ὁ φόβος τῶν ἀπειλῶν τῆς πονηρᾶς Ἰεζάβελ τὴν καρδίαν αὐτοῦ κατεκυρίευσε, τότε ἔφυγεν εἰς τὴν ἔρημον, ἐκρύβη εἰς τὰ σπήλαια, ἐπεκαλέσθη τὸν θάνατον, καὶ ἔπαυσε τῶν μεγάλων ἀρετῶν τὰ κατορθώματα.

Ἐὰν δὲ καὶ τῶν θείων Ἀποστόλων τὰ ὑπὲρ ἄνθρωπον ἀγωνίσματα, καὶ τῶν ἁγίων Μαρτύρων τὰ ὑπὲρ φύσιν ἆθλα, καὶ τῶν ὁσίων Ἀσκητῶν τὰ ἀνεκδιήγητα παλαίσματα, καὶ πάντων τῶν ἁγίων τὰ ἐξαίσια κατορθώματα στοχασθῶμεν, καθαρὰ βλέπομεν, ὅτι ἅπαντα καρπός εἰσι τῆς ἀνδρείας καὶ γενναιότητος. Ὅσοι ἐδειλίασαν, ἢ ἐφοβήθησαν, τούτων ἄλλοι μὲν οὐδὲν ἔργον θεοφιλὲς ἐτελείωσαν, ἄλλοι δὲ ἔπεσον πτῶμα ἐλεεινὸν καὶ ἐξαίσιον.

Βλέπει τοῦτο, ἀγαπητοί μου ἀδελφοὶ, ἐνίοτε πᾶς ἄνθρωπος ἐν ἑαυτῷ, καὶ ψηλαφεῖ. Κατάκεισαι ἐνίοτε εἰς τὴν ἁμαρτίαν· ὁ Θεὸς, διὰ τὸ ἄπειρον αὐτοῦ ἔλεος, ἐξαποστέλλει σοι φωτισμόν· γνωρίζεις τὴν ἁμαρτίαν σου, καὶ τὴν βλάβην τῆς ψυχῆς σου, καὶ ἀποφασίζεις νὰ προσδράμῃς εἰς τὴν μετάνοιαν· ἀλλ' ἰδοὺ ἔρχεται εὐθὺς εἰς τὴν καρδίαν σου ἡ δειλία· Καὶ πῶς δύναμαι, λέγεις, νὰ ἀποστραφῶ ἐκεῖνο τὸ ἠγαπημένον πρόσωπον; καὶ πῶς νὰ ἀντισταθῶ ἐναντίον εἰς τῆς σαρκὸς τὸν πόλεμον; καὶ πῶς νὰ ἀφήσω τὴν πολυχρόνιον συνήθειαν; ἐν τούτοις ἐὰν μεγαλοψυχήσῃς, νικᾷς, φεύγεις τὴν ἁμαρτίαν, κερδαίνεις τὸν παράδεισον· ἐὰν δειλιάσῃς καὶ φοβηθῇς, νικᾶσαι, μένεις ἀμετανόητος, κληρονομεῖς τὴν κόλασιν. Ἀκούεις τὴν φωνὴν τοῦ Εὐαγγελίου· Ἐγὼ δὲ λέγω ὑμῖν, ἀγαπᾶτε τοὺς ἐχθροὺς ὑμῶν· θέλεις, Ματ. ε. 44. ὡς Χριστοῦ μαθητὴς, ἵνα συγχωρήσῃς τὸν ἐχθρόν σου· ἀλλ' ἰδοὺ εὐθὺς ὁ πόλεμος τοῦ κόσμου· Αὐτὸ, λέγεις, ἐστὶν ἀτιμία σου· ἐὰν μὴ ἐκδικηθῇς σήμερον, αὔριον καὶ ἄλλοι ἐπιβουλεύονταί σε, καὶ γίνεσαι παίγνιον τῶν ἀνθρώπων, καὶ ὄνειδος τοῦ κόσμου· ἐὰν εἰς αὐτὸν τὸν πόλεμον μεγαλοψυχήσῃς, συγχωρεῖς τὸν ἐχθρὸν, μένεις εἰρηνικὸς καὶ ἥσυχος, καὶ λαμβάνεις παρὰ Θεοῦ τὴν ἄφεσιν τῶν ἁμαρτιῶν σου· ἐὰν μικροψυχήσῃς, μένει τὸ μῖσος καὶ ἡ ταραχὴ εἰς τὴν καρδίαν σου, κατακρίνεται δὲ ἡ ψυχή σου. Οὗτος, δειλὸς, φοβεῖται μὴ πτωχεύσῃ, ὅθεν οὐκ ἐκτείνει τὴν χεῖρα αὐτοῦ εἰς βοήθειαν τοῦ πτωχοῦ· ἐκεῖνος, μεγαλόψυχος, ἐλεεῖ καὶ δανείζει ὅλην τὴν ἡμέραν. Ἐκεῖνος κρεοφαγεῖ ἐν ταῖς νηστησίμοις ἡμέραις, φοβούμενος, μὴ βλάψῃ

τὴν

τὴν ὑγείαν αὐτοῦ ἡ ἐγκράτεια· οὗτος
ἔξω βάλλει τὸν φόβον, καὶ ἐγκρατεύε-
ται μεγαλοψύχως· τὸ αὐτὸ συμβαίνει
καὶ εἰς τὰς ἄλλας ἀρετάς.

Ὁ θεηγόρος Παῦλος κηρύττει, ὅτι
πάντες οἱ Χριστιανοί εἰσι στρατιῶται
τοῦ Ἰησοῦ Χριστοῦ· διότι πρὸς μὲν τὸν
Β΄. Τιμ. β΄. 3. Τιμόθεον γράφει· Σὺ οὖν κακοπά-
θησον ὡς καλὸς στρατιώτης τοῦ
Ἰησοῦ Χριστοῦ· πρὸς δὲ τοὺς Ἐφε-
Ἐφ. ς΄. 16, 17. σίους παραγγέλλει, ἵνα ἀναλάβωσι θυ-
ρεὸν, καὶ περικεφαλαίαν, καὶ μάχαιραν
κατὰ τῶν ἐχθρῶν τῆς ψυχῆς, οἵτινές
εἰσι τρεῖς, ἡ ἐπιθυμία τῆς σαρκὸς, ἡ
ματαιότης τοῦ κόσμου, οἱ πειρασμοὶ τοῦ
διαβόλου, καὶ πολεμοῦσιν ἡμᾶς πάσας
Ψαλ. λή. 7. τὰς ἡμέρας τῆς ζωῆς ἡμῶν· Ἰδοὺ πα-
λαιστὰς ἔθου τὰς ἡμέρας μου.
Καθὼς οὖν εἰς τοὺς κοσμικοὺς πολέμους,
οὕτω καὶ εἰς τοὺς πνευματικοὺς ἀγῶ-
νας, χωρὶς τῆς ἀνδρείας ἐδὲν κατορ-
θοῦται. Ὁ στρατιώτης ὁ δειλὸς οὐδέ-
ποτε νικᾷ τὸν ἐχθρὸν αὐτοῦ· ὁ Χρι-
στιανὸς ὁ μικρόψυχος ἐδέποτε θριαμ-
βεύει κατὰ τῶν πολεμούντων τὴν ψυ-
χὴν αὐτοῦ. Ὁ στρατιώτης ὁ ἀνδρεῖος
αἴρει τῆς νίκης τὰ τρόπαια· ὁ Χριστια-
νὸς ὁ μεγαλόψυχος ἐκτελεῖ τὰ μεγάλα
τῆς ἀρετῆς κατορθώματα.

Ἀλλὰ διατί ἐσμὲν δειλοὶ εἰς τὴν
ἐργασίαν τῆς ἀρετῆς; τί δειλιάζεις, ἀ-
δελφέ; γίνου δειλὸς, ὅταν βουλεύεσαι,
ἵνα πράξῃς τὴν ἁμαρτίαν· διότι ἡ ἁ-
μαρτία ἐστὶν αἰσχύνη, καὶ ὄνειδος·
Αὐτ. κδ΄. 2. Αἰσχυνθήτωσαν, λέγει ὁ Προφήτης,
οἱ ἀνομοῦντες διακενῆς. Διὰ τὴν
ἁμαρτίαν ἐλέγχει ὁ Θεὸς, καὶ παιδεύει
Αὐτ. λή. 14, 15. αὐστηρότατα· Ἐν ἐλεγμοῖς ὑπὲρ ἀ-
νομίας ἐπαίδευσας ἄνθρωπον,
καὶ ἐξέτηξας ὡς ἀράχνην τὴν ψυ-
χὴν αὐτοῦ· διὰ τὴν ἁμαρτίαν παι-
δεύουσι καὶ οἱ πολιτικοὶ νόμοι. Διατί
ἐντρέπεσαι, ἢ φοβεῖσαι νὰ πράξῃς τοῦ
Θεοῦ τὸ ἔργον; ἡ ἀρετὴ ἐστὶ δόξα, καὶ
τιμὴ, καὶ ἔπαινος. Τίνα φοβεῖσαι, ὅταν
πράττῃς τὰ καλὰ ἔργα; τότε, Κύριος Ψαλ. κς΄.
φωτισμός σου καὶ σωτήρ σου, τίνα 1, 2.
φοβηθήσῃ; Κύριος ὑπερασπιστὴς
τῆς ζωῆς σου, ἀπὸ τίνος δειλιάσεις;
Τί φοβεῖσαι; τὸν κόσμον; ἀλλ' ἡ ἀρετὴ
ἐστι πρᾶγμα καὶ ὑπ' αὐτοῦ τοῦ κόσμου
ἐπαινούμενον, καὶ θαυμαζόμενον· τὴν
ἀρετὴν καὶ οἱ ἐχθροὶ ἐπαινοῦσι, καὶ
εὐλαβοῦνται. Τί φοβεῖσαι; τῆς σαρκὸς
τὸν πόλεμον; ἀλλ' οἱ δοῦλοι τοῦ Ἰησοῦ
Χριστοῦ, λέγει ὁ θεηγόρος Ἀπόστολος,
τόσην ἰσχὺν ἔχουσιν, ὥστε σταυροῦσι
τὴν σάρκα σὺν τοῖς παθήμασι Γαλ. έ.
καὶ ταῖς ἐπιθυμίαις. Φοβεῖσαι ἴ- 24.
σως τῶν Δαιμόνων τὰς παγίδας; μὴ
φοβηθῇς ὁλοτελῶς ἀπὸ προσώπου αὐ-
τῶν· Οὐ φοβηθήσῃ ἀπὸ φόβου Ψαλ. ϙ΄.
νυκτερινοῦ, ἀπὸ βέλους πετομέ- 5. 6.
νου ἡμέρας, ἀπὸ πράγματος ἐν
σκότει διαπορευομένου, ἀπὸ συμ-
πτώματος δαιμονίου μεσημβρι-
νοῦ· κἂν χιλιάδες, κἂν μυριάδες Δαι-
μόνων συνελθῶσιν, ἐκ πλαγίου ἔρχον-
ται, καὶ μὴ δυνάμενοι στῆναι πλησίον
σου, πίπτουσι· Πεσεῖται ἐκ τοῦ Αὐτ. 7.
κλίτους σου χιλιὰς, καὶ μυριὰς
ἐκ δεξιῶν σου, πρὸς σὲ δὲ οὐκ ἐγ-
γιεῖ. Ἐξαποστέλλει ὁ Θεὸς τοὺς Ἀγ-
γέλους αὐτοῦ, ἵνα διαφυλάττωσί σε ἀπὸ
παντὸς κακοῦ συναντήματος, καὶ ἀπὸ
πάσης ἐπηρείας καὶ βλάβης· Ὅτι τοῖς Αὐτ.
Ἀγγέλοις αὐτοῦ ἐντελεῖται πε- 11, 12.
ρὶ σοῦ τοῦ διαφυλάξαι σε ἐν πά-
σαις ταῖς ὁδοῖς σου. Ἐπὶ χειρῶν
ἀροῦσί σε, μή ποτε προσκόψῃς
πρὸς λίθον τὸν πόδα σου. Ὅστις
ἐργάζεται τὰ καλὰ ἔργα, ἐκεῖνός ἐστιν
ἔνδοξος, τίμιος, πανευτυχὴς, εἰρηνικὸς,
καὶ μακάριος· Δόξα γὰρ, λέγει ὁ θεο- Ῥωμ. β΄.
φάντωρ Ἀπόστολος, καὶ τιμὴ καὶ εἰ- 10.
ρήνη παντὶ τῷ ἐργαζομένῳ τὸ
ἀγαθόν.

# ΕΡΜΗΝΕΙΑ

ΕΙΣ ΤΟ ΚΑΤΑ

# ΙΩΑΝΝΗΝ

## ΕΥΑΓΓΕΛΙΟΝ ΤΗΣ ΚΥΡΙΑΚΗΣ ΤΟΥ ΠΑΡΑΛΥΤΟΥ.

Κολυμβήθρα ἦν εἰς τὰ Ἱεροσόλυμα, κύκλῳ δὲ αὐτῆς ἦσαν πέντε στοαί· ἐν αὐταῖς δὲ ἐκοιτάζετο πλῆθος πολὺ ἀσθενῶν ἀνθρώπων· διότι Ἄγγελος Κυρίου, κατά τινα καιρὸν καταβαίνων εἰς τὸ ὕδωρ τῆς κολυμβήθρας, ἐτάραττεν αὐτό· ὅστις δὲ τῶν ἀσθενῶν, μετὰ τὴν ταραχὴν τοῦ ὕδατος, ἔμβαινε πρῶτος εἰς τὸ ὕδωρ, ἐκεῖνος ἰατρεύετο. Ὁ Κύριος ἡμῶν Ἰησοῦς ἀνέβη ἐκ τῆς Γαλιλαίας εἰς τὴν Ἱερουσαλὴμ διὰ τὴν ἑορτήν, εὑρὼν δὲ εἰς τὴν στοὰν ἄνθρωπον, ὅς τις ἦν παράλυτος τριακονταοκτὼ ἔτη, ἠρώτησεν αὐτόν, ἐὰν θέλῃ τὴν ὑγείαν· ὁ δὲ ἀσθενὴς ἀπεκρίθη· Οὐκ ἔχω ἄνθρωπον, ἵνα βάλῃ με εἰς τὸ ὕδωρ· ὅθεν, πρὶν ἢ φθάσω, προφθάνει ἄλλος, καί, ἐμβαίνων πρῶτος εἰς τὸ ὕδωρ, λαμβάνει τὴν ἴασιν. Τότε οὖν ὁ Κύριος Ἰη-
Ἰωάν. ε. 8. σοῦς εἶπε πρὸς αὐτόν· Ἔγειραι, ἆρον τὸν κράββατόν σου, καὶ περιπάτει. Καὶ ὁ μὲν Παράλυτος ἐγείρεται εὐθύς, αἴρει τὸν κράββατον εἰς τοὺς ὤμους αὐτοῦ, καὶ περιπατεῖ. Οἱ δὲ Ἰουδαῖοι, ἐπειδὴ ἡ ἡμέρα ἐκείνη ἦν ἡμέρα σαββάτου, σκανδαλίζονται, ἐλέγχουσι τὸν Παράλυτον· Οὐκ ἔχεις ἐξουσίαν, λέγουσιν, ἆραι σήμερον τὸν κράββατον. Ὁ δὲ πρὸς αὐτοὺς ἀποκρίνεται· Ὅστις ἰάτρευσέ με, ἐκεῖνός μοι εἶπεν, ἵνα ἄρω τὸν κράββατόν μου. Καὶ ζητοῦσι μὲν οἱ Ἰουδαῖοι μαθεῖν, τίς ἐστιν ὁ ἰατρός, ἀλλ' ὁ Παράλυτος τοῦτον οὐκ ἐγνώρισεν, ἐπειδὴ ὁ Ἰησοῦς, μετὰ τὸ θαῦμα, συμμιχθεὶς τῷ ἐκεῖ πλήθει τῶν ἀνθρώπων, εὐθὺς ἀνεχώρησε. Μετὰ δὲ ταῦτα εὑρὼν τὸν πρὸ ὀλίγου παράλυτον ἐν τῷ ἱερῷ, λέγει πρὸς αὐτόν· Βλέπεις, ὅτι γέγονας ὑγιής, εἰς τὸ ἑξῆς λοιπὸν μὴ ἁμαρτήσῃς, ἵνα μὴ βαρυτέραν πάθῃς συμφοράν. Ταῦτά εἰσιν ἐν συντομίᾳ τὰ ὑπὸ τοῦ σημερινοῦ Εὐαγγελίου ἱστορούμενα· κἂν δὲ φαίνωνται ἁπλᾶ καὶ ἀπερίεργα, ἔχουσιν ὅμως νοήματα ὑψηλὰ καὶ ψυχοσωτήρια. Ὅθεν ὅστις μετ' εὐλαβείας ἀκούσῃ ταῦτα, ἐκεῖνος τῇ τοῦ Χριστοῦ χάριτι δύναται λῦσαι τῆς ψυχῆς αὐτοῦ τὴν παράλυσιν.

## Τῷ καιρῷ ἐκείνῳ, ἀνέβη ὁ Ἰησοῦς εἰς Ἱεροσόλυμα. Ἰωάν. ε. 1.

Εἰς τὴν Κανᾶ τῆς Γαλιλαίας εὑρισκόμενος ὁ Κύριος Ἰησοῦς, ὅπου τὸν υἱὸν τοῦ Βασιλικοῦ ἐθεράπευσεν ἀπὸ τῆς θανατηφόρου αὐτοῦ ἀσθενείας· ἐπειδὴ ἐπλησίαζεν ἡ ἑορτὴ τῶν Ἰουδαίων, ἀνέβη εἰς τὰ Ἱεροσόλυμα. Καὶ τινὲς μὲν λέγουσιν, ὅτι αὐτὴ ἡ ἑορτὴ ἦν τῆς Πεντηκοστῆς, τινὲς δέ, ἡ ἑορτὴ τοῦ Πάσχα. Ἤρχετο δὲ εἰς τὰς ἑορτὰς ὁ Ἰησοῦς, ἐπειδὴ τότε συνηθροίζετο τῶν ἀνθρώπων τὸ πλῆθος, μάλιστα ὅσοι ἦσαν εὐλαβεῖς καὶ φιλέορτοι· ὅθεν, διδάσκων καὶ θαυματουργῶν, ἐπέστρεφε πολλοὺς εἰς τὴν πρὸς αὐτὸν πίστιν. Διὰ τὴν ἑορτὴν λοιπὸν ἀνέβη εἰς τὰ Ἱεροσόλυμα.

Χρυσ. Κυριλλ. Ἀλεξ. ἐν τῇ εἰς τὸ κατὰ Ἰωάν. Σειρ. Εἰρην. Λουγδ. β'. 2. κ'. 39.

Ἔστι

Ἰωάν. ἐ. 2. Ἔστι δὲ ἐν τοῖς Ἱεροσολύμοις, ἐπὶ τῇ προβατικῇ, κολυμβήθρα, ἡ ἐπιλεγομένη ἑβραϊστὶ Βηθεσδὰ, πέντε στοὰς ἔχουσα·

Εἰς τὰ Ἱεροσόλυμα, λέγει, κολυμβήθρα ἐστὶν ἐπὶ τῇ προβατικῇ, ἤγουν ἐπὶ τῇ προβατικῇ πύλῃ. Καὶ ἡ μὲν κολυμβήθρα ἐλέγετο προβατικὴ, καθότι ἐκεῖ ἔφερον τὰ θυσιαζόμενα πρόβατα, καὶ ἐν αὐτῇ ἔπλυνον τὰ τούτων ἐντόσθια· ἡ δὲ πύλη ἡ προβατικὴ, περὶ ἧς λαλεῖ ὁ Νεεμίας, ἴσως ἐκ τῆς προβατικῆς κολυμβήθρας ἔλαβε τὴν ὀνομασίαν. Ἡ αὐτὴ δὲ κολυμβήθρα ἐλέγετο, κατὰ τὴν ἑβραϊκὴν διάλεκτον, Βηθεσδά· τοῦτο δὲ σημαίνει οἶκον εὐεργεσίας. Εἶχε δὲ ἡ κολυμβήθρα, ὅπερ ἐστὶ, κύκλῳ τῆς κολυμβήθρας ἦσαν πέντε στοαί· ὀνομάζονται δὲ αἱ στοαὶ καὶ περίστυλα, ἐπειδή εἰσι δύω σειραὶ στύλων παραλλήλων, στέγην βασταζόντων.

Ἀμμών. καὶ Θεόδ. Μοψ. εἰς τὴν Σειρ. Νεεμ. γ'. 1. καὶ ιβ'. 39.

Ἰωάν. ἐ. 3. Ἐν ταύταις κατέκειτο πλῆθος πολὺ τῶν ἀσθενούντων, τυφλῶν, χωλῶν, ξηρῶν, ἐκδεχομένων τὴν τοῦ ὕδατος κίνησιν.

Ἐν αὐταῖς ταῖς περὶ τὴν κολυμβήθραν στοαῖς ἐκοιτάζοντο πολυάριθμα πλήθη ἀῤῥώστων, τυφλῶν, χωλῶν, ξηρῶν, ἤγουν παραλυτικῶν, καὶ ἄλλων παντοίαις νόσοις βασανιζομένων· αὐτοὶ πάντες εἰς τὰς στοὰς κοιτώμενοι, περιέμενον τὴν κίνησιν τοῦ ἐν τῇ κολυμβήθρᾳ ὕδατος, ἵνα τὰς ἀσθενείας αὐτῶν θεραπεύσωσιν.

Ἄγγελος γὰρ κατὰ καιρὸν κατέβαινεν ἐν τῇ κολυμβήθρᾳ, καὶ ἐτάρασσε τὸ ὕδωρ· ὁ οὖν πρῶτος ἐμβὰς μετὰ τὴν ταραχὴν τοῦ ὕδατος, ὑγιὴς ἐγίνετο, ᾧ δήποτε κατείχετο νοσήματι. Ἰωάν. ἐ. 4.

Κατὰ καιρὸν, λέγει, κατέβαινεν ὁ Ἄγγελος εἰς τὴν κολυμβήθραν, καὶ ἐτάραττε τὸ ὕδωρ. Ἀλλὰ τίς οὗτος ὁ καιρός; διωρισμένος ἆρά γε καὶ ἐγνωρισμένος, ἢ ἀπροσδιώριστος καὶ μόνῳ τῷ Θεῷ γνωστός; κατὰ τὸν καιρὸν ἆρά γε τῆς Πεντηκοστῆς, ἢ ἐν τῇ ἑορτῇ τοῦ Πάσχα, ἢ κατὰ πᾶσαν ἑορτήν; Τινὲς μὲν λέγουσιν, ὅτι τὴν ἡμέραν τῆς Πεντηκοστῆς κατέβαινεν ὁ Ἄγγελος, ἀλλ' ἐκ τῶν λόγων τοῦ Παραλύτου πιθανὸν φαίνεται, ὅτι ὁ καιρὸς ἦν ἀδιώριστος· αὐτὸς ἔλεγε· Κύριε, ἄνθρωπον οὐκ ἔχω, ἵνα, ὅταν ταραχθῇ τὸ ὕδωρ, βάλλῃ με εἰς τὴν κολυμβήθραν. Ἐὰν ὁ καιρὸς γνωστὸς ἦν καὶ διωρισμένος, κἂν πτωχὸς καὶ ἄπορος ὁ Παράλυτος, μετὰ τοσοῦτον καιρὸν, ἤγουν μετὰ τριάκοντα καὶ ὀκτὼ ἔτη, εὕρισκεν ἄνθρωπον, ὅστις διὰ ἔλεος ἔβαλλεν αὐτὸν εἰς τὴν κολυμβήθραν· ἀλλὰ τοῦ καιροῦ τὸ ἀδιώριστον τὴν τοσαύτην προεξένησεν ἀπορίαν. Κατέβαινε δὲ ὁ Ἄγγελος ἐν τῇ κολυμβήθρᾳ, ἵνα μὴ νομίσωσιν οἱ Ἰουδαῖοι, ὅτι τὰ ὕδατα ἐκεῖνα ἔχουσι φυσικῶς θεραπευτικὴν δύναμιν, ἀλλὰ πιστεύσωσιν, ὅτι ἡ χάρις τοῦ Θεοῦ ἰάτρευε τὰς ἀσθενείας. Ἐτάραττε δὲ τὸ ὕδωρ, ἵνα γνωρίσωσιν οἱ παρεστῶτες τὴν κατάβασιν αὐτοῦ, καὶ βάλλωσι τοὺς ἀσθενεῖς εἰς τὴν κολυμβήθραν. Διατί δὲ, ὁσάκις κατέβαινεν ὁ Ἄγγελος, ἕνα

Ὁ Ἀλεξ. Κύριλλ. σ. 207. τ. 4. καὶ ὁ Ἀμμών. εἰς τὴν Σειρ.

Ἰωάν. ἐ. 7.

καὶ

καὶ μόνον ἐθεράπευεν; ἡ δύναμις τοῦ Θεοῦ ἄπειρος, ἡ χάρις αὐτοῦ πλουσιωτάτη, τὸ ἔλεος αὐτοῦ ἀνεξάντλητον, διατί λοιπὸν οὐχὶ πάντες, ἀλλ' εἷς καὶ μόνος ἰατρεύετο, ὅτε ὁ Ἄγγελος κατέβαινε; τοῦτο ἀληθῶς ἀνερμήνευτον, ἐὰν μὴ ἀναβιβάσωμεν τὸν νοῦν ἡμῶν εἰς τὰ μυστικώτερα τοῦ πράγματος νοήματα. Ἡ μὲν ἐν τῇ προβατικῇ πύλῃ κολυμβήθρα, τὴν ἐν τῇ Ἐκκλησίᾳ μυστηριώδη τοῦ ἁγίου βαπτίσματος κολυμβήθραν ἐσήμαινε· τὰ δὲ ἐν αὐτῇ πλυνόμενα καὶ καθαριζόμενα πρόβατα, τοὺς ἐν τῇ μυστηριώδει κολυμβήθρᾳ βαπτιζομένους, καὶ τὰς ἁμαρτίας αὐτῶν καθαίροντας· ἡ δὲ τοῦ Ἀγγέλου κατάβασις ἐν τῇ κολυμβήθρᾳ, τὴν ἐπιφοίτησιν τῆς χάριτος τοῦ ἁγίου Πνεύματος ἐν τῷ ὕδατι τοῦ βαπτίσματος· ἡ δὲ ταραχὴ τοῦ ἐν αὐτῇ ὕδατος, τὴν συντριβὴν τῶν ἀοράτων δρακόντων, τὴν γινομένην ὑπὸ τῆς τοῦ ἁγίου Πνεύματος δυνάμεως. Οὐχὶ τῆς προβατικῆς κολυμβήθρας τὸ ὕδωρ, ἀλλ' ἡ θεία δύναμις ἐθεράπευε τῆς σαρκὸς τὰ ἀῤῥωστήματα· οὐχὶ τὸ ὕδωρ ἁπλῶς, ἀλλ' ἡ χάρις τοῦ Θεοῦ, ἡ ἐν τῷ ὕδατι τοῦ βαπτίσματος, θεραπεύει τῆς ψυχῆς τὰ πταίσματα. Διὰ τῆς παρουσίας τοῦ Ἀγγέλου, τὸ ὕδωρ τῆς κολυμβήθρας ἐλάμβανε τὴν θεραπευτικὴν δύναμιν· διὰ τῆς ἐπελεύσεως τοῦ ἁγίου Πνεύματος, τὸ ὕδωρ τοῦ βαπτίσματος λαμβάνει τὴν καθαρτικὴν χάριν. Ἐν τῇ προβατικῇ κολυμβήθρᾳ ὁ Ἄγγελος ἦν ὑπηρέτης τῆς σωματικῆς ἰατρείας· ἐν τῇ πνευματικῇ κολυμβήθρᾳ ὁ Δεσπότης τῶν ἁπάντων χαρίζει τὴν πνευματικὴν υἱοθεσίαν. Ἕνα δὲ μόνον ἐθεράπευεν ἡ προβατικὴ κολυμβήθρα, ἐπειδὴ εἰς ἓν μόνον τὸ Ἰουδαϊκὸν γένος ὁ νόμος ἐδόθη· ἄπειρα πλήθη σώζει τοῦ βαπτίσματος ἡ κολυμβήθρα, ἐπειδὴ εἰς πάντα τὰ ἔθνη ἐπέμφθη τὸ Εὐαγγέλιον· Πορευθέντες εἰς τὸν κόσμον ἅπαντα, κηρύξατε τὸ Εὐαγγέλιον πάσῃ τῇ κτίσει.— Ὁ πιστεύσας καὶ βαπτισθεὶς, σωθήσεται· ὁ δὲ ἀπιστήσας, κατακριθήσεται. Ἀλλ' ἐπανέλθωμεν ἐπὶ τὴν σειρὰν τῆς ἱστορίας. Μάρκ. ιϛ'. 15. 16.

Ἦν δέ τις ἄνθρωπος ἐκεῖ τριάκοντα ὀκτὼ ἔτη ἔχων ἐν τῇ ἀσθενείᾳ. Ἰωάν. ε'. 5.

Τίς μὲν ἦν ὁ ἄνθρωπος οὗτος, τουτέστι ποίας πατρίδος, καταστάσεως, καὶ τύχης, ἐσιώπησεν ὁ Εὐαγγελιστής· φανερὸν δὲ, ὅτι πτωχὸς ἦν καὶ ἄπορος, ἴσως δὲ καὶ ξένος, ἐπειδὴ οὐδὲ ὑπηρέτην εἶχεν, οὐδὲ συγγενῆ, οὐδὲ φίλον, ἵνα ἐμβάλλῃ αὐτὸν ἐν τῇ κολυμβήθρᾳ· τὸν καιρὸν δὲ ἀκριβῶς ἐσημείωσεν, εἰπὼν, ὅτι τριάκοντα καὶ ὀκτὼ ἔτη ὑπὸ τῆς ἀσθενείας ἐβασανίζετο, ἵνα καὶ τὸ βάρος τῆς ἀῤῥωστίας τοῦ ἀσθενοῦς, καὶ τὸ μεγαλεῖον τῆς δυνάμεως τοῦ Ἰατροῦ κατανοήσωμεν.

Τοῦτον ἰδὼν ὁ Ἰησοῦς κατακείμενον, καὶ γνοὺς, ὅτι πολὺν ἤδη χρόνον ἔχει, λέγει αὐτῷ· Θέλεις ὑγιὴς γενέσθαι; Αὐτ. ϛ'. 6.

Τοῦτο ἀληθῶς εὐσπλαγχνία, τοῦτο ἔλεος θεοπρεπὲς, τοῦτο φιλανθρωπία ἄμετρος· οὐδὲ δέεται ὁ Παράλυτος ὑπὲρ τῆς ὑγείας αὐτοῦ, οὐδὲ κἂν ψιλὸν λόγον παρακαλεστικὸν λέγῃ πρὸς τὸν Ἰησοῦν· αὐτὸς δὲ, ἰδὼν αὐτὸν ἐπὶ τὸν κράββατον κατακείμενον, καὶ γνωρίσας,

ὡς Θεὸς, τὴν πολυχρόνιον αὐτοῦ ἀσθέ-
νειαν, εὐθὺς χαρίζεται αὐτῷ τὴν ὑ-
γείαν. Τίνα δὲ ἄρά γε σκοπὸν ἔχει τοῦ
Κυρίου τὸ ἐρώτημα· Θέλεις ὑγιὴς γε-
νέσθαι; τίς ποτε ἐρωτᾷ τὸν ἀσθενῆ,
ἐὰν θέλῃ τὴν ὑγείαν αὐτοῦ; πρὸς τού-
τοις ὁ Ἰησοῦς Χριστὸς, ὡς Θεὸς καρδιο-
γνώστης, ἐγνώριζεν ἀκριβέστατα τοῦ Πα-
ραλύτου τὴν θέλησιν· διατί λοιπὸν ἐρω-
τᾷ; Παρ' ἄλλων μὲν ἀσθενῶν πίστιν ἐ-
Ματ. θ. ζήτει ὁ Θεάνθρωπος· Πιστεύετε, ἔ-
28. λεγεν, ὅτι δύναμαι τοῦτο ποιῆσαι;
παρὰ δὲ τοῦ Παραλύτου ζητεῖ θέλησιν·
Θέλεις ὑγιὴς γενέσθαι; Ἐκεῖνοι
Ἰωάν. θ. οὐκ ἐξ ἁμαρτιῶν ἔπασχον· Οὔτε οὗτος
3. ἥμαρτεν, οὔτε οἱ γονεῖς αὐτοῦ·
ὅθεν ἡ εἰς Χριστὸν πίστις ἀρκετὴ ἦν
πρὸς τὴν θεραπείαν αὐτῶν· οὗτος, διὰ
Αὐτ. ε. τὰς ἁμαρτίας αὐτοῦ, ἐβασανίζετο· Μη-
14. κέτι ἁμάρτανε· ὅθεν, πρὸς τὴν ἰα-
τρείαν αὐτοῦ, ἀναγκαία ἦν ἡ συνδρομὴ
τῆς αὐτοῦ θελήσεως. Διὰ τούτου λοι-
πὸν τοῦ ἐρωτήματος ἐφανέρωσεν ἡμῖν ὁ
Κύριος, ὅτι, διὰ τὴν συγχώρησιν τῶν ἁ-
μαρτιῶν, ἀναγκαία ἐστὶν ἡ συνδρομὴ
τῆς θελήσεως τοῦ ἁμαρτωλοῦ. Σημείω-
σαι δὲ, ὅτι ἡ μὲν ἐρώτησις τοῦ Κυρίου
ἔφερε τὴν ἀπόκρισιν τοῦ Παραλύτου· ἡ
δὲ ἀπόκρισις ἐφανέρωσε καὶ τὴν ἀπο-
ρίαν, καὶ τὴν ὑπομονὴν τοῦ Παραλύτου,
ἔτι δὲ καὶ τὴν ἀπάνθρωπον προαίρεσιν
ἐκείνου τοῦ Ἰουδαϊκοῦ λαοῦ.

Αὐτ. ε. Ἀπεκρίθη αὐτῷ ὁ ἀσθενῶν·
7. Κύριε, ἄνθρωπον οὐκ ἔχω,
ἵνα, ὅταν ταραχθῇ τὸ ὕδωρ,
βάλλῃ με εἰς τὴν κολυμβή-
θραν· ἐν ᾧ δὲ ἔρχομαι ἐγὼ,
ἄλλος πρὸ ἐμοῦ καταβαίνει.

Οὐδὲ προσκαλεῖται διὰ τὴν συμφορὰν αὐτοῦ, οὐδὲ ἀδημονεῖ διὰ τὰς ἐκ τῆς ἀσθενείας ὀδύνας, ὡς ποιοῦσιν οἱ μικρόψυχοι ἄνθρωποι ἐν τῷ καιρῷ τῆς ἀσθενείας αὐτῶν, ἀλλὰ μετὰ πραότητος καὶ ἡσυχίας ψυχῆς ἀποκρίνεται πρὸς τὸν Δεσπότην Χριστόν· Κύριε, λέγει, οὐκ ἔχω ἄνθρωπον, ἵνα βάλλῃ με εἰς τὴν κολυμβήθραν, ὅταν ταραχθῇ τὸ ὕδωρ· κατὰ τὸν καιρὸν δὲ, ἐν ᾧ ἐγὼ ἔρχομαι εἰς τὴν κολυμβήθραν, ἄλλος προφθάνει πρὸ ἐμοῦ, καὶ καταβαίνει πρῶτος. Ἐκ τούτου φαίνεται, ὅτι ὁ Παράλυτος οὗτος οὐκ ἦν παντελῶς ἀκίνητος, διότι λέγει· Ἐν ᾧ δὲ ἔρχομαι ἐγώ· περιεπάτει ἴσως, ἀλλὰ μετὰ βίας μεγάλης καὶ ἀργοπορίας, ὥστε πάντοτε ταχύτερον ἔφθανον οἱ ἄλλοι ἀσθενεῖς, ἢ περιπατοῦντες, ἢ ὑπὸ ἄλλων φερόμενοι. Παράδοξον δὲ πρᾶγμα ἀληθῶς τὸ, ὅτι εἰς ἕνα τόπον, εἰς ὃν τόσον πλῆθος ἀνθρώπων συνηθροίζετο, μετὰ τριάκοντα καὶ ὀκτὼ ἔτη, οὐδέποτε εὑρέθη ἄνθρωπος βοηθὸς τούτου τοῦ Παραλύτου· τοῦτο παρίστησι μὲν ἀληθῶς σκληροὺς τοὺς ἐκεῖ Ἰουδαίους καὶ ἀπανθρώπους, δείκνυσι δὲ ὅμως καὶ τὴν πρὸς τοὺς ἁμαρτωλοὺς φοβερὰν τοῦ Θεοῦ παίδευσιν, διότι τριάκοντα καὶ ὀκτὼ ἔτη ἐβασανίσθη ὁ Παράλυτος διὰ τὰς ἁμαρτίας αὐτοῦ· ὅτε δὲ ἐπληρώθη τῆς ποινῆς αὐτοῦ ἡ διορία, τότε

Λέγει αὐτῷ ὁ Ἰησοῦς· Ἔ- Ἰωάν. ε.
γειραι, ἆρον τὸν κράββατόν 8.
σου, καὶ περιπάτει. Καὶ εὐ- Αὐτ. 9.
θέως ἐγένετο ὑγιὴς ὁ ἄνθρω-
πος· καὶ ἦρε τὸν κράββατον
αὐτοῦ· καὶ περιεπάτει· ἦν
δὲ σάββατον ἐν ἐκείνῃ τῇ ἡ-
μέρᾳ.

Θεοπρεπὲς τὸ πρόσταγμα, παραστατικὸν τῆς ὑπὲρ ἄνθρωπον ἐξουσίας,

καὶ ἀποδεικτικὸν τῆς τοῦ Θεανθρώπου Ἰησοῦ ἀπείρου δυνάμεως! οὐδὲ παρακαλεῖ, οὐδὲ προσεύχεται πρὸς τὸν Θεὸν καὶ Πατέρα αὐτοῦ, ὡς ἐποίησεν, ὅτε ἀνέστησε τὸν Λάζαρον, ἵνα μὴ νομίσωσιν οἱ περιεστῶτες, ὅτι ἄνθρωπος ἁπλοῦς ἐστὶν, ὡς εἷς τῶν θαυματουργησάντων Προφητῶν· ἀλλὰ προστάσσει ὡς Δεσπότης τῶν ἁπάντων καὶ Θεός· Ἔγειραι· εὐθὺς δὲ τὰ μὲν νεῦρα ἀνέλαβον τὴν φυσικὴν αὐτῶν ἐλαστικὴν δύναμιν, τὸ δὲ ζωτικὸν πνεῦμα, κατὰ τοὺς ὅρους τῆς φύσεως, διακριθὲν ἀπὸ τοῦ αἵματος, συνέῤῥευσεν ἀπαρεμποδίστως εἰς πάντα τὰ μέλη, καὶ πᾶσα δὲ ἡ ἀταξία τῆς οἰκονομίας τοῦ σώματος ἀντικατέστη εἰς τὴν κατὰ φύσιν κατάστασιν αὐτῆς καὶ τάξιν. Ἐκεῖνος ὁ Θεὸς, ὅστις εἶπε· Γε-
Γεν. ά. 3, 6, 9. νηθήτω φῶς· Γεννηθήτω στερέωμα· Συναχθήτω τὸ ὕδωρ· καὶ ἐγένετο οὕτως· ὁ αὐτὸς εἶπε τὸ, ἔγειραι· καὶ τότε μὲν τὸ, γεννηθήτω, ἐξήγαγεν εὐθὺς ἐκ τοῦ μὴ ὄντος τὰ σύμπαντα· νῦν δὲ τὸ ἔγειραι, ἐπανώρθωσεν εὐθὺς πᾶσαν τὴν ἀταξίαν καὶ ἀνωμαλίαν τοῦ παραλυτικοῦ σώματος. Πρὸς περισσοτέραν δὲ τοῦ θαύματος βεβαιότητα, αἴρει ὁ Παράλυτος ἐπὶ τῶν ὤμων αὐτοῦ τὸν κράββατον, καὶ περιπατεῖ. Τῇ δὲ ἡμέρᾳ τοῦ σαββάτου ἐποίησε τὸ θαῦμα, ἵνα φανερώσῃ, ὅτι αὐτός ἐστιν ὁ Κύριος τοῦ σαββάτου, θεραπεύσῃ δὲ ἅμα καὶ τὰς τῶν Ἰουδαίων δεισιδαιμονίας, καὶ παραλόγους περὶ τοῦ σαββάτου παρατηρήσεις. Βλέπε δὲ τὴν Ἰουδαϊκὴν κακίαν· τὸ μὲν θαῦμα κατακρῖναι μὴ δυνάμενοι, σιωπῶσι· τὸν δὲ Παράλυτον ἐλέγχουσι, λέγοντες·

Ἰωάν. ί. 10. Ἔλεγον οὖν οἱ Ἰουδαῖοι τῷ τεθεραπευμένῳ· Σάββατόν ἐστιν, οὐκ ἔξεστί σοι ἆραι τὸν κράββατον.

Ἀληθῶς ὁ μὲν νόμος ἔλεγε· Τῇ Ἐξοδ. κ΄. 10.
δὲ ἡμέρᾳ τῇ ἑβδόμῃ, σάββατα Κυρίῳ τῷ Θεῷ σου· οὐ ποιήσεις ἐν αὐτῇ πᾶν ἔργον· ὁ δὲ προφήτης Ἱερεμ. ιζ΄. 21.
Ἱερεμίας· Μὴ αἴρετε βαστάγματα ἐν τῇ ἡμέρᾳ τῶν σαββάτων. Ἀλλ' ἐὰν ὁ φθόνος οὐ κατεσκότιζε τὸν νοῦν αὐτῶν, ἐσυλλογίζοντο τοῦ θαύματος τὸ μέγεθος· τοῦτο δὲ συλλογιζόμενοι, ἐπείθοντο, ὅτι δι' ἑνὸς μόνου λόγου, τοῦ, ἔγειραι, οὐδεὶς ἄλλος, εἰμὴ εἷς μόνος, ὁ Θεὸς, ἠδύνατο συσφίγξαι τὰ τριάκοντα καὶ ὀκτὼ ἔτη παραλελυμένα μέλη· ἐπείθοντο, λέγω, ὅτι ἐκεῖνος, ὅστις ὑπέταξε τὰς σωματικὰς δυνάμεις τοῦ Παραλύτου εἰς τοὺς φυσικοὺς νόμους, ἵνα θεραπεύσῃ τὴν παραλυσίαν αὐτοῦ, αὐτὸς εἶχεν ἐξουσίαν, ἵνα λύσῃ καὶ τὴν τοῦ σαββάτου παρατήρησιν, κατὰ τὸ θέλημα αὐτοῦ, πρὸς θεραπείαν τοῦ ἀνθρώπου, ὑπὲρ οὗ γέγονε τὸ σάββατον. Τοιουτοτρόπως οὖν οἱ Ἰουδαῖοι, τυφλώττοντες, ἔλεγον τῷ παραλυτικῷ· Οὐκ ἔστι σοι συγκεχωρημένον ἆραι τὸν κράββατον. Σημείωσον δὲ, ὅτι καὶ ἡμεῖς, πολλάκις ὅμοιοι τοῖς Ἰουδαίοις γινόμενοι, κατακρίνομεν ὅσα φαίνονται εἰς τὸν φθόνον τῆς καρδίας ἡμῶν ἐλαττώματα καὶ ἁμαρτήματα· τὰς δὲ ἀρετὰς καὶ τὰ καλὰ ἔργα, ὡς τυφλοὶ, οὐδόλως βλέπομεν, καὶ, ὡς ἄλαλοι, οὐδόλως περὶ αὐτῶν λαλοῦμεν· ὁ Παράλυτος ὅμως, μετὰ παῤῥησίας μεγάλης ἀποκριθεὶς πρὸς τοὺς Ἰουδαίους, εἶπεν·

Ἀπεκρίθη αὐτοῖς· Ὁ ποιή- Ἰωάν. ί. 11.
σας με ὑγιῆ, ἐκεῖνός μοι εἶπεν· Ἆρον τὸν κράββατόν σου, καὶ περιπάτει.

Οὐχὶ ἀπ' ἐμαυτοῦ, λέγει, τοῦτο ἐτόλμησα, ἀλλ' ὁ ἰατρός μου, ἐκεῖνός μοι εἶπεν· Ἆρον τὸν κράββατόν σου,

καὶ

καὶ περιπάτει. Ταῦτα δὲ ἦσαν σφοδρὸς ἔλεγχος τῶν Ἰουδαίων, ἐπειδὴ διὰ τούτων ἔλεγε πρὸς αὐτούς· Αὐτὸς, ὅστις ἔχει τόσην ἐξουσίαν, ὥστε δι' ἑνὸς μόνου λόγου ἐθεράπευσε τὸ πολυχρόνιον καὶ ἀνίατόν μου πάθος, ἔχει βέβαια ἐξουσίαν, ἵνα λύσῃ καὶ τοῦ σαββάτου τὰ παρατηρήματα· αὐτὸς ὁ θεῖος καὶ παντεξούσιος ἄνθρωπος οὐδέποτε προσέταττέ μοι, ἵνα ἄρω τὸν κράββατόν μου, ἐὰν ἐγνώριζεν, ὅτι τὸ ἔργον τοῦτό ἐστιν ἁμαρτία.

Ἰωάν. ε. 12. Ἠρώτησαν οὖν αὐτόν· Τίς ἐστιν ὁ ἄνθρωπος, ὁ εἰπών σοι· Ἆρον τὸν κράββατόν σου, καὶ περιπάτει;

Βλέπε πανουργίαν ἰουδαϊκήν. Ὁ Παράλυτος ἀπεκρίθη, ὅτι ὁ ἰατρός μου, ἐκεῖνος προσέταξέ μοι τοῦτο· αὐτοὶ δὲ παρασιωπῶσι τὴν ἰατρείαν, καὶ πάλιν ἐπαναλαμβάνουσι τὴν ὑπόθεσιν τοῦ κραββάτου· οὐ λέγουσι· Τίς ἐστιν ὁ ποιήσας σε ὑγιῆ, τίς ἐστιν ὁ ἰατρός σου· ἀλλὰ τίς ἐστιν ὁ ἄνθρωπος, ὁ εἰπών σοι· Ἆρον τὸν κράββατόν σου, καὶ περιπάτει. Τὸ μέγα καὶ ἐξαίσιον θαῦμα ἀποσιωπῶσι, τὴν νομιζομένην τοῦ νόμου παράβασιν κωδωνίζουσι· θέλουσιν, ἵνα κρυφθῇ τὸ θαῦμα, καὶ κηρυχθῇ ἡ φαινομένη τοῦ νόμου ἀθέτησις.

Αὐτ. ε. 13. Ὁ δὲ ἰαθεὶς οὐκ ᾔδει τίς ἐστιν· ὁ γὰρ Ἰησοῦς ἐξένευσεν, ὄχλου ὄντος ἐν τῷ τόπῳ.

Οὐκ ἐγνώρισεν ὁ θεραπευθεὶς Παράλυτος, τίς ἦν ὁ ἰατρὸς αὐτοῦ· ἐπειδὴ ὁ Ἰησοῦς Χριστὸς, εὐθὺς μετὰ τὸ θαῦμα, ἐξένευσεν, ἤγουν ἀνεχώρησε, καὶ ἀπηλλάγη ἀπὸ τοῦ ἐκεῖ εὑρισκομένου πλήθους τῶν ἀνθρώπων. Τοῦτο δὲ ἐποίησεν ὁ Πανάγαθος, πρῶτον μὲν φεύγων τῶν ἀνθρώπων τὸν ἔπαινον· δεύτερον δὲ, ἵνα, μὴ παρόντος αὐτοῦ, ἡ μαρτυρία τοῦ Παραλύτου ἔχῃ τὸ ἀνύποπτον καὶ ἀξιόπιστον· τρίτον, ἵνα μὴ ἡ παρουσία αὐτοῦ ἀνάψῃ περισσότερον τὸν φθόνον τῶν Ἰουδαίων· διότι ἡ ὄψις τῶν φθονουμένων φλογίζει τὰς καρδίας τῶν φθονούντων· τέταρτον, ἵνα φανερώσῃ εἰς ἡμᾶς τὸ παράδειγμα τῆς ἀληθινῆς καὶ τελείας εὐεργεσίας. Διὰ τούτου τοῦ παραδείγματος διδάσκει ἡμᾶς ὁ Σωτὴρ ἡμῶν, λέγων· Ἄνθρωποι, μὴ περιμένετε δέησιν καὶ παράκλησιν, ὅταν βλέπητε τοὺς χρείαν ἔχοντας τῆς ὑμῶν βοηθείας, ἀλλ' αὐτόκλητοι εὐεργετεῖτε αὐτοπροαιρέτως ὅσους εὐεργετῆσαι δύνασθε, ὡς ἐγὼ ἠλέησα τὸν Παράλυτον· μὴ ζητεῖτε δὲ παρὰ τῶν εὐεργετηθέντων ἀμοιβὰς καὶ εὐχαριστίας, ἀλλὰ φεύγετε τὴν κενοδοξίαν, καὶ τὴν ὑποδοχὴν τῆς εὐχαριστίας καὶ τῆς ἀνταποδόσεως, ὡς ἐγὼ ἐξένευσα, ὅτε τὸν Παράλυτον ἐθεράπευσα, καὶ ἔμεινα ἀγνώριστος· τότε δὲ τὴν εὐεργεσίαν ὑμῶν ἀνταμείβει ὁ δίκαιος τῶν καλῶν ἔργων μισθαποδότης Θεός. Ἀκούσατε δὲ καὶ ἄλλην ὁμοίαν εὐεργεσίαν τοῦ Ἰησοῦ Χριστοῦ.

Μετὰ ταῦτα εὑρίσκει αὐτὸν ὁ Ἰησοῦς ἐν τῷ Ἱερῷ, καὶ εἶπεν αὐτῷ· Ἴδε, ὑγιὴς γέγονας· μηκέτι ἁμάρτανε, ἵνα μὴ χεῖρόν τι σοί γένηται. Ἰωάν. ε. 14.

Μετὰ ταῦτα, ἤγουν μετὰ τὴν ἰατρείαν, μετὰ τὸ βάσταγμα τοῦ κραββάτου, μετὰ τὴν ἐρώτησιν τῶν Ἰουδαίων, μετὰ τὴν ἀπόκρισιν τοῦ Παραλύτου, τότε

τε εὑρίσκει αὐτὸν ὁ Ἰησοῦς ἐν τῷ Ἱερῷ, καί, διὰ τῆς θεοπρεποῦς αὐτοῦ νουθεσίας, πάλιν εὐεργετεῖ αὐτόν, λέγων· Μηκέτι ἁμάρτανε, εἰς τὸ ἑξῆς μὴ ἁμαρτήσῃς. Ζητεῖ ὁ Θεὸς παρ' ἡμῶν τὴν τῆς ἁμαρτίας ἀποχήν, ἥτις ἐστὶν ἡ σωτηρία τῆς ψυχῆς ἡμῶν, καὶ τοῦτο λογίζεται ἀντάμειψιν τῶν εὐεργεσιῶν αὐτοῦ· μεγάλη ἀληθῶς τοῦ Θεοῦ ἡ φιλανθρωπία! Οἱ μὲν ἄνθρωποι ζητοῦσιν ἀμοιβὰς διὰ τὴν εὐεργεσίαν, ὁ δὲ Θεὸς ἀντὶ ἀμοιβῆς ζητεῖ τῆς ψυχῆς ἡμῶν τὴν σωτηρίαν· Μηκέτι ἁμάρτανε, λέγει, εἶτα προστίθησι καὶ τὴν ἀπειλήν, ἵνα μὴ χεῖρόν τι σοὶ γένηται· βλέπε, λέγει, ἰατρεύθης ἀπὸ τῆς παραλύσεώς σου, μὴ ἁμαρτήσῃς πάλιν, ἵνα μὴ παιδευθῇς δυστηρότερα. Ἐκ τούτου μανθάνομεν, ὅτι ἡ ἁμαρτία γεννᾷ τὴν ἀσθένειαν· ἐὰν δὲ ὁ Θεός, διὰ τὴν εὐσπλαγχνίαν αὐτοῦ, ἰατρεύσῃ ἡμᾶς ἀπὸ τῆς ἀσθενείας, ἡμεῖς δὲ πάλιν, καὶ μετὰ τὴν ἰατρείαν, ἁμαρτάνομεν, τότε αὐτὸς παιδεύει ἡμᾶς βαρύτερα.

Ἀπῆλθεν ὁ ἄνθρωπος, καὶ ἀπήγγειλε τοῖς Ἰουδαίοις, ὅτι Ἰησοῦς ἐστὶν ὁ ποιήσας αὐτὸν ὑγιῆ. Ἰωάν. ί. 15.

Βλέπε τοῦ Παραλύτου τὴν φρόνησιν. Αὐτός, ἐλθὼν πρὸς τοὺς Ἰουδαίους, περὶ μὲν τῆς ὑποθέσεως τοῦ κραββάτου, ἥτις αὐτοὺς ἐσκανδάλισεν, οὐδὲν ὁλοτελῶς εἶπεν· ἐφανέρωσε δὲ μόνον κατ' ὄνομα τίς ἐστὶν ὁ ἰατρεύσας αὐτόν· Ὁ Ἰησοῦς, εἶπεν, ἐστὶν ὁ ἰατρός μου, ὁ Ἰησοῦς ἐθεράπευσε τὸ ἀνίατον πάθος μου, ἔλυσε τὴν πολυχρόνιόν μου παράλυσιν, καὶ κατέστησέ με εὔρωστον καὶ ὑγιῆ·

# ΟΜΙΛΙΑ

ΜΕΤΑ ΤΟ ΚΑΤΑ

# ΙΩΑΝΝΗΝ

## ΕΥΑΓΓΕΛΙΟΝ ΤΗΣ ΚΥΡΙΑΚΗΣ ΤΟΥ ΠΑΡΑΛΥΤΟΥ.

Μία ἄραγε μόνη ἦν ἡ ἁμαρτία τοῦ Παραλύτου, ἢ πολλαί; καὶ ἐὰν μία, ποία ἄραγε ἡ τοιαύτη ἁμαρτία; Περιττὴ καὶ ἀνωφελής ἐστιν ἡ ἐξέτασις περὶ ἐκείνων τῶν πραγμάτων, ὅσα ἡ θεία Γραφὴ παντελῶς ἐσιώπησε. Τό, Ἴδε ὑγιὴς γέγονας· μηκέτι ἁμάρτανε, ἵνα μὴ χεῖρόν τι σοὶ γένηται, οὐδὲν ἄλλο σημαίνει, εἰμὴ ὅτι, διὰ τὰς ἁμαρτίας αὐτοῦ, ὁ Παράλυτος τριάκοντα καὶ ὀκτὼ ἔτη ἐβασανίζετο. Τὸ δέ, ποία ἦν ἡ ἁμαρτία αὐτοῦ, ἐπίτηδες ἐσιώπησεν ὁ Εὐαγγελιστής, ἵνα κατανοήσωμεν, ὅτι οὐχὶ μόνον δι' ἐκείνην τὴν ἁμαρτίαν, ἣν ἔπραξεν ὁ Παράλυτος, ἀλλὰ καὶ διὰ πᾶσαν ἄλλην παιδεύει ὁ Θεὸς τὸν ἀμετανόητον ἁμαρτωλόν.

Ὅταν ἡμεῖς στοχασθῶμεν, ὅτι οὐδὲ Ἄγγελος, οὐδὲ ἄνθρωπος ἐδυνήθη νὰ θεραπεύσῃ τὴν πληγὴν τῆς πρώτης ἁμαρτίας τῶν δύω Προπατόρων· ὅταν στοχασθῶμεν, ὅτι, διὰ τῆς ἁμαρτίας τὴν συγχώρησιν, ἀναγκαία ἦν συγκατάβασις ἄνωθεν θεϊκή, καὶ σάρκωσις τοῦ Υἱοῦ τοῦ Θεοῦ, καὶ πάθος, καὶ σταυρός, καὶ αἷμα, καὶ θάνατος, τότε γνωρίζομεν

μεν καθαρά, πόσον ἐστὶ τῆς ἁμαρτίας τὸ βάρος. Τοῦτο μόνον τοῦ Υἱοῦ τοῦ Θεοῦ τὸ αἷμα ἐδυνήθη νὰ συνενώσῃ πάλιν τὸν Θεὸν μετὰ τοῦ ἀνθρώπου. Ἡ δύναμις δὲ καὶ ἡ χάρις τούτου τοῦ ἀτιμήτου αἵματος, τοῦ ἄχρι τῆς σήμερον ἐκχυνομένου εἰς τὰ τῶν ὀρθοδόξων θυσιαστήρια, καθαρίζει ἡμᾶς ἀπὸ πάσης
Α΄. Ἰωάν. α. 7. ἁμαρτίας· Καὶ τὸ αἷμα, λέγει ὁ ἐπιστήθιος Ἰωάννης, Ἰησοῦ Χριστοῦ τοῦ Υἱοῦ αὐτοῦ καθαρίζει ἡμᾶς ἀπὸ πάσης ἁμαρτίας.

Ἡ ἁμαρτία ἐστὶ παράβασις νόμου. Τρία δὲ πράγματα βλέπομεν εἰς τὴν παράβασιν τοῦ νόμου, νομοδότην, νόμον, καὶ νόμου παραβάτην. Ὅσον ἐξετάζεις τὸ καθ' ἓν τούτων, τόσον περισσότερον διακρίνεις, πόσον κακόν ἐστιν ἡ ἁμαρτία.

Ὁ νομοδότης ἐστὶν ἐκεῖνος, ὅστις ἐκ τοῦ μὴ ὄντος ἐποίησε τὸν οὐρανὸν, καὶ τὴν γῆν, καὶ τὴν θάλασσαν, καὶ πάντα τὰ ἐν αὐτοῖς. Αὐτὸς, χοῦν λαβὼν ἀπὸ τῆς γῆς, ἔπλασε τὸν ἄνθρωπον, ἐνεφύσησεν εἰς τὸ πρόσωπον αὐτοῦ πνοὴν ζωῆς, ἐποίησεν αὐτὸν κατ' εἰκόνα αὐτοῦ, ἔβαλεν αὐτὸν εἰς τὸν παράδεισον τῆς τρυφῆς, κατέστησεν αὐτὸν κύριον καὶ βασιλέα πάσης τῆς γῆς, καὶ ὑπέταξε πάν-
Ψαλ. η. 6. τα ὑποκάτω τῶν ποδῶν αὐτοῦ. Αὐτὸς, διὰ τὴν ἀπάτην τοῦ ἁμαρτήσαντος ἀνθρώπου, καὶ τὴν σωτηρίαν τῆς ψυχῆς αὐτοῦ, κατῆλθεν εἰς τὴν γῆν, ἐσαρκώθη ἐκ Πνεύματος ἁγίου καὶ Μαρίας τῆς παρθένου, γέγονεν ἄνθρωπος, ἔπαθεν ὡς κατάδικος, ἀπέθανεν ἐπάνω εἰς τὸ ξύλον τοῦ σταυροῦ. Ὁ νομοδότης, λέγω, ἐστὶν ἐκεῖνος, ᾧ λατρεύουσιν Ἄγγελοι, ὑπακούει ἡ κτίσις, φρίττουσι τὰ στοιχεῖα, τρέμουσιν οἱ Δαίμονες. Ἐκεῖνός ἐστιν ὁ νομοδότης, ὅστις διὰ νεύματος μόνου μεταβάλλει τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ τὰ καταχθόνια, καὶ πάντα τὰ ὁρατὰ καὶ τὰ ἀόρατα. Ὁ νομοδότης ἐστὶν ὁ δικαιότατος κριτὴς ἅμα καὶ συμπαθέστατος Θεὸς, ὅστις βασιλείαν αἰώνιον ὑπόσχεται εἰς τοὺς φυλάττοντας τὸν νόμον αὐτοῦ, κόλασιν δὲ ἀτελεύτητον εἰς τοὺς παραβαίνοντας αὐτόν. Τοῦ νομοδότου λοιπὸν τὸ πρόσωπον πανυπέρτιμον, ἡ δύναμις ἄπειρος, ἡ δόξα ἀνέκφραστος, τὸ ἀξίωμα ὑπερσέβαστον, ἡ ἐξουσία ἀπεριόριστος, ἡ ἀγαθότης ἄμετρος, ἡ δικαιοσύνη ἀσύγκριτος, ἡ εὐεργεσία ἀτελεύτητος, ἡ κρίσις ἀδυσώπητος.

Ὁ δὲ νόμος, ὃν ὁ Θεὸς, ὁ νομοδότης, ἔδωκε τοῖς ἀνθρώποις, ὅλος ἀποβλέπει πρὸς τὴν τῶν ἀνθρώπων ὠφέλειαν. Αὐτός ἐστι λύχνος καὶ φῶς· Λύχνος τοῖς Ψαλ. ριη΄. 104.
ποσί μου ὁ νόμος σου, καὶ φῶς ταῖς τρίβοις μου· ὡς λύχνος, φωτίζει τὸν νοῦν σου, ἵνα πολιτεύεσαι καλῶς, ὡς δὲ φῶς, ὁδηγεῖ σε πρὸς τὸν δρόμον τῆς σωτηρίας. Βλέπε δὲ τί κερδαίνουσιν εἰς τοῦτον τὸν πρόσκαιρον κόσμον, ὅσοι φυλάττουσι τὸν νόμον τοῦ Θεοῦ, καὶ πόσον ζημιοῦνται, ὅσοι αὐτὸν καταφρονοῦσι. Ποίους εὐλαβεῖται ὁ κόσμος; τοὺς κλέπτας καὶ ἅρπαγας, ἢ τοὺς δικαιοπραγοῦντας καὶ μὴ ἀγαπῶντας τὰ ξένα πράγματα; Τίνας σέβεται ὁ κόσμος; τοὺς μοιχοὺς καὶ ἀσελγεῖς, ἢ τοὺς ἐγκρατεῖς καὶ σώφρονας; Εἰς ποῖον ἐμπιστεύεσαι τὸ ἀργύριόν σου; εἰς τοὺς λῃστὰς, εἰς τοὺς φονεῖς, εἰς τοὺς ψευδομάρτυρας, ἢ εἰς τοὺς μηδένα βλάπτοντας, καὶ εἰς τοὺς εὐεργετοῦντας τὸν πλησίον αὐτῶν, καὶ μισοῦντας τὸ ψεῦδος; Τίνα ἐπαινοῦμεν; τὸν ἄνθρωπον, ὅστις τιμᾷ τὸν πατέρα, καὶ τὴν μητέρα αὐτοῦ, ἢ ἐκεῖνον, ὅστις καταφρονεῖ καὶ ὑβρίζει τοὺς γονεῖς αὐτοῦ; Ὅλος ὁ κόσμος, ἀδελφοὶ, τοὺς μὲν φύλακας τῶν ἐντολῶν τοῦ Θεοῦ τιμᾷ, καὶ ἐπαινεῖ, αὐτοὺς ἐμπιστεύεται, αὐτοῖς δανείζει, καὶ παντὶ



τρά-

τρόπῳ βοηθεῖ· τοὺς δὲ παραβάτας τοῦ νόμου κατηγορεῖ, καὶ ὑποπτεύεται, καὶ φεύγει. Ἔχουσι λοιπὸν οἱ ἐνάρετοι ἄνθρωποι, ὡς ἀῤῥαβῶνα τῆς μελλούσης ἀνταποδόσεως, τὰς ἐν τῷ κόσμῳ τούτῳ τιμὰς καὶ περιποιήσεις τῶν ἀνθρώπων· μετὰ δὲ ταύτην τὴν πρόσκαιρον ζωὴν, περιμένει αὐτοὺς χαρὰ ἀνεκλάλητος, καὶ φῶς ἀνέσπερον, καὶ βασιλεία οὐρανῶν,
Ματ. ιθ'. 17. καὶ ζωὴ αἰώνιος· Εἰ δὲ θέλεις εἰσελθεῖν εἰς τὴν ζωὴν, τήρησον τὰς ἐντολάς.

Παρατήρησον δὲ τὴν ἄπειρον τοῦ Θεοῦ φιλανθρωπίαν. Περιέκλεισε πάσας τὰς ἐντολὰς αὐτοῦ εἰς μίαν ἀρετὴν, τὴν
Ῥωμ. ιγ'. 10. ἀγάπην· Πλήρωμα γὰρ νόμου ἡ ἀγάπη· καὶ οὕτω κατέστησε τὸν νόμον αὐτοῦ οὐ μόνον ὠφελιμώτατον, ἀλλὰ καὶ
Ματ. ια'. 30. ἐλαφρὸν, καὶ εὔκολον· διὸ καὶ εἶπεν· Ὁ γὰρ ζυγός μου χρηστὸς, καὶ τὸ φορτίον μου ἐλαφρόν ἐστιν. Ἀληθῶς δὲ ποίαν δυσκολίαν, ἢ ποῖον βάρος ἔχει ἡ γλυκυτάτη ἀρετὴ τῆς ἀγάπης; δι' αὐτὴν οὐδὲ κόποι ζητοῦνται, οὐδὲ ἱδρῶτες ἐκχέονται· ἠθέλησας μόνον, καὶ εὐθὺς ἠγάπησας· ὅταν δὲ τὸ θεόσδοτον τοῦτο φυτὸν τῆς ἀγάπης φυτευθῇ, καὶ ῥιζώσῃ εἰς τὴν καρδίαν σου, καρποφορεῖ εἰς τὴν ψυχήν σου τὴν χαρὰν, τὴν εἰρήνην, τὴν μακροθυμίαν, τὴν χρηστότητα, καὶ πᾶσαν ἄλλην ἀρετήν. Λοιπὸν ὁ νόμος τοῦ Θεοῦ ἐστὶν ὠφέλιμος εἰς τὴν παροῦσαν ζωὴν, σωτήριος εἰς τὴν μέλλουσαν, ἐλαφρὸς καὶ εὔκολος εἰς τὴν πρᾶξιν, γλυκὺς καὶ καρποφόρος εἰς τὴν καρδίαν. Τοῦτό ἐστιν ὁ νομοδότης καὶ ὁ νόμος. Ἀκούσατε δὲ καὶ τὸ, τίς ἐστιν ὁ τοῦ νόμου παραβάτης.

Παραβάτης ἐστὶν ὁ περιφρονητὴς τοῦ νόμου, ὅστις καὶ λέγεται ἁμαρτωλός· καὶ, ἐπειδὴ ἡ περιφρόνησις τοῦ νόμου ἀναφέρεται εἰς τοῦ νομοδότου τὸ πρόσωπον, φανερόν ἐστιν, ὅτι ὁ ἁμαρτάνων συγκατατίθεται νὰ περιφρονήσῃ τὸν Θεόν. Ἁμαρτωλὲ λοιπὸν ἄθλιε, σὺ τὸ πλάσμα τολμᾷς κατὰ τοῦ πλάστου σου; σὺ κατὰ τοῦ σωτῆρός σου; σὺ κατὰ τοῦ κριτοῦ σου; Ἐὰν ὁ νόμος δύσκολος, εἶχες πρόφασιν τὴν ἀδυναμίαν σου· ἐὰν ὁ νόμος βλαβερὸς, εἶχες ἀπολογίαν τὸν φόβον σου· ἀλλ' ὁ νόμος εὔκολος, ὁ νόμος ὠφέλιμος καὶ σωτήριος· οὐδεμίαν οὖν ἔχεις πρόφασιν, ἢ ἀπολογίαν. Δικαίως λοιπὸν ὁ Θεὸς τοσοῦτον ἀγανακτεῖ κατὰ τῶν ἁμαρτωλῶν, καὶ τοσοῦτον αὐστηρῶς παιδεύει τοὺς ἁμαρτάνοντας.

Ἀνοίγουσιν οἱ καταράκται τοῦ οὐρανοῦ, καὶ καταποντίζεται ὑπὸ τοῦ ὕδατος πᾶσα ἡ γῆ. Βρέχουσι πῦρ τὰ νέφη, καὶ κατακαίουσι τὴν Πεντάπολιν. Δέκα φοβεραὶ πληγαὶ μαστίζουσι τὴν Αἴγυπτον. Πανστρατιᾷ καταποντίζεται ὁ Φαραὼ εἰς τῆς θαλάσσης τὰ βάθη. Σχίζεται ἡ γῆ, καὶ καταπίνει τὸν Δαθὰν καὶ τὸν Ἀβειρών. Λεπροῦται ἡ Μαρία, καὶ ὁ Ὀζίας, καὶ ὁ Γιεζὴ ἀπὸ κεφαλῆς ἕως ποδῶν. Παραλύεται ἡ χεὶρ τοῦ Ὀζά. Νεκροὶ πίπτουσιν ὁ Ἀνανίας καὶ ἡ Σαπφείρα. Τυφλοῦται τὰ ὄμματα ὁ Ἐλύμας ὁ μάγος, καὶ καθεξῆς δὲ ἄλλα πάμπολλα παραδείγματα τῆς ὀργῆς τοῦ Θεοῦ κατὰ τῶν ἁμαρτωλῶν εὑρίσκομεν εἰς τὰς θείας Γραφάς. Βλέπομεν δὲ καὶ ἄχρι τῆς σήμερον τοὺς παραβάτας τῶν ἐντολῶν τοῦ Θεοῦ παιδευομένους, καὶ τὸν προφητικὸν λόγον πληρούμενον· Ὑπὲρ ἀνομίας ἐπαίδευσας ἄνθρωπον, καὶ ἐξέτηξας ὡς ἀράχνην τὴν ψυχὴν αὐτοῦ. Ψαλ. λη'. 14, 15.
Τούτου ἡ γῆ, κἂν γεωργῆται, οὐκ ἀποδίδωσι τὸν καρπὸν αὐτῆς· ἐκείνου τὸ ἔργον, καὶ μετὰ τοὺς πολλοὺς κόπους, μένει ἄπρακτον· ἐκεῖνος ἀσθενεῖ ἀσθένειαν ὀδυνηρὰν καὶ πολυχρόνιον· οὗτος ἀποθνήσκει θάνατον ἐξαιφνίδιον καὶ ἄωρον· ὁ ἄλλος πίπ-

πίπτει εἰς δυστυχίας θλιβερὰς καὶ ἀπαραμυθήτους.

Ἀλλὰ διατί, λέγουσι τινὲς, βλέπομεν πολλοὺς ἁμαρτωλοὺς, οἵτινες οὐ μόνον οὐδεμίαν παίδευσιν λαμβάνουσιν, ἀλλὰ καὶ ζῶσιν εὐτυχῶς, καὶ εὐοδοῦνται κατὰ πάντα εἰς τὴν παροῦσαν ζωήν; Περὶ τούτου καὶ ὁ μέγας προφήτης Ἱε-
Ἱερεμ. ιβ'. 1. ρεμίας ἐξηπόρησε· Τί ὅτι, ἔλεγεν, ὁδὸς ἀσεβῶν εὐοδοῦται, εὐθήνησαν πάντες οἱ ἀθετοῦντες ἀθετήματα; Ἀλλ' ὁ αὐτὸς ἔλυσεν εὐθὺς τὴν
Αὐτ. ιβ'. 2. ἀπορίαν αὐτοῦ, λέγων· Ἐγγὺς εἶ τοῦ στόματος αὐτῶν, καὶ πόῤῥω ἀπὸ τῶν νεφρῶν αὐτῶν· διὰ μὲν τοῦ στόματος σημαίνων τὰ ἔξω καὶ πρόσκαιρα ἀγαθὰ, ἅπερ συγχωρεῖ αὐτοῖς ὁ Θεός· διὰ δὲ τῶν νεφρῶν, τὰ ἔσω καὶ αἰώνια, ἀφ' ὧν μακρὰν ἀπέχουσι διὰ τὰς ἁμαρτίας αὐτῶν· ἔπειτα καὶ τὴν παίδευσιν δηλοποιεῖ, εἰς ἣν οἱ δείλαιοι ἑτοιμάζον-
Αὐτ. ιβ'. 3. ται· Ἅγνισον, λέγει, αὐτοὺς εἰς ἡμέραν σφαγῆς. Ὁ δὲ θεηγόρος Ἀπόστολος ἐλέγχει αὐστηρῶς τὸν ἁμαρτωλὸν, τὸν μὴ παρὰ Θεοῦ παιδευόμενον, ὡς καταφρονητὴν τῆς ἀγαθότητος, καὶ τῆς ὑπομονῆς, καὶ τῆς μακροθυμίας τοῦ Θεοῦ, καὶ ὡς μὴ γνωρίζοντα, ὅτι δι' αὐτῆς τῆς χρηστότητος καλεῖ αὐτὸν ὁ Θεὸς εἰς μετάνοιαν· Ἀμετανόητε, λέγει, τί
Ῥωμ. β'. 4. συλλογίζεσαι περὶ τοῦ Θεοῦ; Ἢ τοῦ πλούτου τῆς χρηστότητος αὐτοῦ, καὶ τῆς ἀνοχῆς καὶ τῆς μακροθυμίας καταφρονεῖς, ἀγνοῶν, ὅτι τὸ χρηστὸν τοῦ Θεοῦ εἰς μετάνοιάν σε ἄγει; Ὥστε, ἐάν τινες τῶν ἁμαρτωλῶν μένωσιν ἀτιμώρητοι εἰς τοῦτον τὸν κόσμον, τοῦτό ἐστιν ἀγαθωσύνη τοῦ Θεοῦ, ἥτις αὐτοὺς προσκαλεῖ εἰς τὴν μετάνοιαν. Οὐαὶ δὲ εἰς αὐτοὺς, ἐὰν σκληρυνθῇ ἡ καρδία αὐτῶν, καὶ μὴ μετανοήσωσι· διότι τότε θησαυρίζουσιν οἱ ταλαίπωροι πᾶσαν τὴν θείαν ἀγανάκτησιν ἐν τῇ φοβερᾷ ἡμέρᾳ τῆς κρίσεως·
Κατὰ δὲ τὴν σκληρότητά σου καὶ Ῥωμ. β'. 5.
ἀμετανόητον καρδίαν, θησαυρίζεις σεαυτῷ ὀργὴν ἐν ἡμέρᾳ ὀργῆς καὶ ἀποκαλύψεως δικαιοκρισίας τοῦ Θεοῦ.

Ἐπειδὴ ὁ Θεὸς ἐστι δικαιότατος καὶ ἀπροσωπόληπτος, ἀναμφιβόλως παιδεύει ἐπίσης πάντας τοὺς παραβάτας τῶν ἐντολῶν αὐτοῦ· ἀλλ' ἐπειδὴ οὐκ ἔστι μία ἡ ζωὴ ἡμῶν, ἀλλὰ δύω, ἡ μὲν πρόσκαιρος, ἡ δὲ αἰώνιος, διὰ τοῦτο ἄλλους μὲν, ἐκείνους δηλονότι, τῶν ὁποίων τὰ ἁμαρτήματά εἰσιν ἐλαφρότερα, παιδεύει εἰς τὴν παροῦσαν ζωὴν, ἵνα, βλέποντες τὴν παίδευσιν, καὶ φοβούμενοι τὴν δικαίαν αὐτοῦ ὀργὴν καὶ ἀγανάκτησιν, φεύγωμεν τὴν ἁμαρτίαν· ἄλλους δὲ, ἤγουν τοὺς βαρύτερα ἁμαρτάνοντας, ἐγκαταλείπει ἀτιμωρήτους, ἵνα πληροφορίαν ἔχωμεν, ὅτι ἐστὶ μέλλουσα ζωὴ, καὶ κρίσις, καὶ ἀνταπόδοσις. Ἐὰν πιστεύωμεν, ὅτι ὁ Θεός ἐστι δίκαιος, ἐπειδὴ βλέπομεν ἄλλους μὲν ἁμαρτωλοὺς τιμωρουμένους, ἄλλους δὲ οὐ μόνον ἀτιμωρήτους, ἀλλὰ καὶ εὐτυχεῖς, ἐξ ἀνάγκης πειθόμεθα, ὅτι ἔρχεται ἡμέρα, καθ' ἣν, ὅσοι ἁμαρτωλοὶ ἔμειναν ἀτιμώρητοι, λαμβάνουσι τότε τὴν πρέπουσαν παίδευσιν.

Ὅταν λοιπὸν, ὦ Χριστιανὲ, βλέπῃς εὐτυχοῦντα τὸν πονηρὸν καὶ παράνομον ἄνθρωπον, μὴ ἐπιθυμήσῃς τὴν εὐτυχίαν αὐτοῦ, μηδὲ θελήσῃς μιμητὴς αὐτοῦ
γενέσθαι· Μὴ παραζήλου ἐν πονη- Ψαλ. λς'. 1. 2.
ρευομένοις, μηδὲ ζήλου τοὺς ποιοῦντας τὴν ἀνομίαν· διατί; Ὅτι ὡσεὶ χόρτος ταχὺ ἀποξηρανθήσονται, καὶ ὡσεὶ λάχανα χλόης ταχὺ ἀποπεσοῦνται. Ὅταν βλέπῃς τῶν ἁμαρτωλῶν τὴν δόξαν καὶ τὸ ὕψω-
μα, ὁλοτελῶς μὴ θαυμάζῃς· διότι, Οἱ Αὐτ. 21.
ἁμαρτωλοὶ ἀπολοῦνται, οἱ δὲ ἐχθροὶ τοῦ Κυρίου, ἅμα τῷ δο-

ξασ-

ξασθῆναι αὐτοὺς καὶ ὑψωθῆναι,
ἐκλείποντες ὡσεὶ καπνὸς ἐξέλι-
πον. Μὴ σκανδαλίζεσαι, ὅταν βλέπῃς
τὸν ἀσεβῆ ὑπερυψούμενον ὡς τὰς κέδρους
Ψαλ. λϛ΄. 38. τοῦ Λιβάνου· διότι, Παρῆλθον, λέγει
ὁ Προφήτης, καὶ ἰδοὺ οὐκ ἦν, καὶ ἐ-
ζήτησα αὐτὸν, καὶ οὐχ εὑρέθη ὁ
τόπος αὐτοῦ. Μηδόλως ἀπορήσῃς, ὅ-
ταν βλέπῃς τὸν ἁμαρτωλὸν μὴ παιδευ-
όμενον· διότι αὐτὸς φυλάττεται εἰς τὴν
Παροιμ. ιϛ΄. 4. ἡμέραν τῆς κρίσεως· Φυλάσσεται ὁ
ἀσεβὴς εἰς ἡμέραν κακήν. Ἐὰν δὲ
σὺ αὐτὸς ἁμαρτάνῃς, καὶ οὐδεμίαν παί-
δευσιν λαμβάνῃς παρὰ Θεοῦ, γίνωσκε,
ὅτι τοῦτό ἐστι χρηστότης θεία, καὶ ὑ-
πομονὴ, καὶ μακροθυμία, ἥτις σὲ προ-
σκαλεῖ· Ἐλθὲ, λέγει σοι, μετανόησον.
Ἐὰν δὲ μείνῃ ἡ καρδία σου σκληρὰ καὶ
Ῥωμ. β΄. 5. ἀμετανόητος, οὐαί σοι, ὀργὴν θησαυ-
ρίζεις ἐν ἡμέρᾳ ὀργῆς, καὶ ἀπο-
καλύψεως δικαιοκρισίας τοῦ Θεοῦ·
ἐὰν μένῃς ἐν τῇ ἀνομίᾳ, καὶ ἀντὶ τιμω-
ρίας λαμβάνῃς εὐτυχίαν, οὐαί σοι· διότι
ἑτοιμάζεσαι εἰς ἡμέραν σφαγῆς, φυλάτ-
τεσαι εἰς ἡμέραν κακήν· διὰ τὴν ἀμε-
τανοησίαν σου ὁ Θεὸς σὲ ἐγκαταλείπει,
καὶ οὐδόλως παιδεύει σε παιδείαν πρό-
σκαιρον, ἀλλ᾽ ἑτοιμάζει σοι τὴν αἰώ-
νιον.

Ἀδελφοὶ, ἡ μὲν τιμωρία διὰ τὴν
ἁμαρτίαν ἐστὶν ἄφευκτος· ἀναβάλλε-
ται, ἀλλ᾽ οὐκ ἀποβάλλεται· ἐὰν μὴ παι-
δευθῶμεν νῦν πρόσκαιρα, παιδευόμεθα
ἔπειτα αἰώνια. Ἡ δὲ ἁμαρτία ἐστὶν
εὐπερίστατος· ὅπου ἂν σταθῇς, καὶ ὅ-
που ἂν στρέψῃς τὰ ὄμματα, ἐκεῖ πει-
ρασμοὶ, καὶ παγίδες, καὶ ὁ κίνδυνος
τῆς ἁμαρτίας· καὶ ἡ διάνοια δὲ ἡμῶν Γεν. η΄. 21.
ἔγκειται ἐπιμελῶς ἐπὶ τὰ πο-
νηρὰ ἐκ νεότητος ἡμῶν. Τί λοιπὸν
τὸ ποιητέον; Θαῤῥεῖτε, μὴ ἀπελπίζε-
σθε· ἔχομεν μέγα καταφύγιον, ἔχομεν
στερεὰν καὶ μεγάλην ἐλπίδα, τὴν ἄπει-
ρον τοῦ Θεοῦ εὐσπλαγχνίαν πρὸς τοὺς
μετανοοῦντας· διὰ τῆς μετανοίας καὶ ἐ-
ξομολογήσεως, οὐ μόνον φεύγομεν τὴν
διὰ τὴν ἁμαρτίαν τιμωρίαν, ἀλλὰ καὶ
τὴν τελείαν συγχώρησιν τῆς ἁμαρτίας
λαμβάνομεν· Τὴν ἀνομίαν μου ἐγνώ- Ψαλ. λα΄. 5, 6.
ρισα, λέγει ὁ Προφήτης, καὶ τὴν ἁ-
μαρτίαν μου οὐκ ἐκάλυψα· Εἶπα,
Ἐξαγορεύσω κατ᾽ ἐμοῦ τὴν ἀνομί-
αν μου τῷ Κυρίῳ, καὶ σὺ ἀφῆκας
τὴν ἀσέβειαν τῆς καρδίας μου.

# ΕΡΜΗΝΕΙΑ

## ΕΙΣ ΤΟ ΚΑΤΑ

# ΙΩΑΝΝΗΝ

## ΕΥΑΓΓΕΛ. ΤΗΣ ΚΥΡΙΑΚΗΣ ΤΗΣ ΣΑΜΑΡΕΙΤΙΔΟΣ.

*Πολλὰ καὶ ἀξιάκουστα πράγματα περιέχει ἡ σήμερον ἀναγνωσθεῖσα εὐαγγελικὴ ἱστορία. Αὐτὴ ἀποδεικνύει φανερὰ τὸν Ἰησοῦν Χριστὸν Θεὸν, καὶ ἄνθρωπον· περιγράφει τὴν ὑπερβάλλουσαν τοῦ Ἰησοῦ Χριστοῦ φιλανθρωπίαν καὶ συγκατάβασιν, καὶ τὴν πρόθυμον πίστιν, ἅμα δὲ καὶ τὸν ζῆλον τῆς Σαμαρείτιδος, διὰ τὴν ἐπιστροφὴν τῶν συμπατριωτῶν αὐτῆς· διδάσκει πόσον πλούσιόν ἐστι τὸ νᾶμα τῆς θείας χάριτος, καὶ ποία ἐστὶν ἡ ἀληθινὴ προσκύνησις τοῦ Θεοῦ, καὶ πόσην δύναμιν εἶχεν ὁ τοῦ Κυρίου Ἰησοῦ δεσποτικὸς λόγος. Ἀφιερώσατε λοιπὸν, Χριστιανοὶ, προσεκτικὴν ἀκρόασιν, ἵνα, ἀκούσαντες ταῦτα τὰ ψυχοσωτήρια μαθήματα, ποτισθῆτε καὶ ὑμεῖς, καθὼς καὶ ἡ Σαμαρεῖτις, τὸ ὕδωρ τὸ ζῶν, ἤγουν ὁδηγηθῆτε εἰς τὴν ὁδὸν τῆς σωτηρίας.*

Ἰωάν. δ΄. 5. Τῷ καιρῷ ἐκείνῳ, ἔρχεται ὁ Ἰησοῦς εἰς πόλιν τῆς Σαμαρείας, λεγομένην Σιχὰρ, πλησίον τοῦ χωρίου, ὃ ἔδωκεν Ἰακὼβ Ἰωσὴφ τῷ υἱῷ αὐτοῦ.

*Ἰσραηλῖται ἦσαν οἱ παλαιοὶ τῆς Σαμαρείας κάτοικοι· κατὰ δὲ τὸν καιρὸν τῶν βασιλέων Ἄχαζ καὶ Ὠσηὲ, αἰχμαλωτίσας αὐτοὺς ὁ Σαλμανασσὰρ, ὁ Βασιλεὺς τῶν Ἀσσυρίων, μετῴκισεν ἅπαντας εἰς τὴν Βαβυλῶνα, καὶ τὴν Μήδιαν· συνάξας δὲ ἐκεῖθεν διάφορα ἔθνη, ἀπέστειλεν αὐτὰ εἰς τὴν Σαμάρειαν. Ἐπειδὴ δὲ τὰ ἔθνη ταῦτα ἦσαν εἰδωλολάτραι, ἀπέστειλεν ὁ Θεὸς λέοντας, οἵτινες ἀπέκτεινον πολλοὺς ἐξ αὐτῶν. Τοῦτο μαθὼν ὁ βασιλεὺς τῶν Ἀσσυρίων, ἀπέστειλεν εἰς τὴν Σαμάρειαν ἕνα τῶν αἰχμαλώτων ἱερέων τῶν Ἰσραηλιτῶν, ἵνα διδάσκῃ τὰ ἐκεῖ ζῶντα ἔθνη τὴν Ἰουδαϊκὴν πίστιν. Ὅθεν, ὑπὸ τοῦ ἱερέως ἐκείνου διδαχθέντα, ἐπίστευον μὲν τὸν ἀληθινὸν Θεὸν, ἐλάτρευον ὅμως καὶ τοῖς γλυπτοῖς· Καὶ ἦσαν τὰ ἔθνη ταῦτα, λέγει ἡ θεία Γραφὴ, φοβούμενοι τὸν Κύριον, καὶ τοῖς γλυπτοῖς αὐτῶν ἦσαν δουλεύοντες.* Δ΄. Βασιλ. ιζ΄. 41. *Ὕστερον δὲ, ἐπιστρέψαντες ἐκ τῆς αἰχμαλωσίας οἱ Ἰουδαῖοι, ὠνόμαζον μὲν τὰ ἔθνη ταῦτα Σαμαρείτας, ὡς κατοικοῦντας τὴν Σαμάρειαν, ἥτις ἔλαβε τὸ ὄνομα ἀπὸ τοῦ ὄρους Σομόρ· ἀπεστρέφοντο δὲ αὐτοὺς, ὡς ἐθνικοὺς καὶ ἀλλοφύλους. Οὗτοι οἱ Σαμαρεῖται, μόνην τὴν Πεντάβιβλον τοῦ Μωϋσέως δεχόμενοι, τὰ δὲ λοιπὰ τῆς θείας Γραφῆς βιβλία ἀποστρεφόμενοι, ἐνόμιζον ἑαυτοὺς ἀπογόνους τοῦ Ἀβραὰμ καὶ τοῦ Ἰακώβ.* Ὠριγ. εἰς κ. 4. τῆς εἰς τὸ κατὰ Ἰωάν. Σειρᾶς. *Σημείωσαι δὲ, ὅτι πρὸς τοὺς μαθητὰς αὐτοῦ ὁ Κύριος ἡμῶν παρήγγειλεν, ἵνα μὴ ὑπάγωσιν εἰς τὰς πόλεις τῶν Σαμαρειτῶν· Καὶ εἰς πόλιν Σαμαρειτῶν μὴ εἰσέλθητε·* Ματ. ι΄. 5. *ἀλλ᾽ ἵνα προτιμήσωσι τοὺς Ἰσραηλίτας· Πορεύεσθε δὲ μᾶλλον πρὸς τὰ πρόβατα τὰ ἀπολωλότα οἴκου Ἰσραήλ· οὕτω δὲ κατέστη-*

σεν

σιν αὐτοὺς ἀναπολογήτους, ὡς προτιμηθέντας τῶν ἐθνῶν, καὶ ὅμως καταφρονήσαντας τῆς εὐσεβείας τὸ κήρυγμα. Αὐτὸς δὲ ὁ παγκόσμιος Σωτὴρ, ἵνα δείξῃ, ὅτι ἦλθεν εἰς τὸν κόσμον σῶσαι πάντας ἐπίσης, καὶ Ἰσραηλίτας καὶ Ἐθνικοὺς, ἔρχεται εἰς μίαν πόλιν τῆς Σαμαρείας, ὀνομαζομένην Σιχάρ. Αὐτὴ ἡ πόλις ἔκειτο πλησίον τοῦ τόπου ἐκείνου, ὃν οἱ μὲν υἱοὶ τοῦ Πατριάρχου Ἰακὼβ ἐκληρονόμησαν, φονεύσαντες τοὺς
Γεν. λδ'. 25, 29. Σηκιμήτας, διὰ τὴν παρθενοφθορίαν τῆς ἀδελφῆς αὐτῶν τῆς Δείνας· ὁ δὲ πατριάρχης Ἰακὼβ ἐδωρήσατο αὐτὸν τῷ
Αὐτ. μή. 22. υἱῷ αὐτοῦ, τῷ Ἰωσήφ. Ἔρχεται λοιπὸν ὁ Κύριος ἡμῶν εἰς τὴν πόλιν Σιχάρ.

Ἰωάν. δ'. 6. Ἦν δὲ ἐκεῖ πηγὴ τοῦ Ἰακώβ. Ὁ οὖν Ἰησοῦς, κεκοπιακὼς ἐκ τῆς ὁδοιπορίας, ἐκαθέζετο οὕτως ἐπὶ τῇ πηγῇ· ὥρα ἦν ὡσεὶ ἕκτη.

Πηγὴν ὀνομάζει τὸ φρέαρ, καθὼς
Αὐτ. 11. ἡ Σαμαρεῖτις κατωτέρω λέγει· Κύριε, οὔτε ἄντλημα ἔχεις, καὶ τὸ φρέαρ ἐστὶ βαθύ. Ἐκεῖ, ἤγουν εἰς τὴν Σιχὰρ, ἦν τὸ φρέαρ, τὸ λεγόμενον, πηγὴ τοῦ Ἰακὼβ, ἢ καθότι ὁ Ἰακὼβ ᾠκοδόμησεν αὐτὸ, ἢ καθότι ἔκειτο ἐν τῷ ἀγρῷ, ὃν ἠγόρασεν ἀπὸ τοῦ Ἐμμὼρ, τοῦ
Γεν. λγ'. 19. πατρὸς Συχὲμ, καὶ ἄρχοντος τῶν Σηκιμων. Ἐκεῖ οὖν ὁ Κύριος Ἰησοῦς, κεκοπιασμένος ὢν, ἐκάθισε. Δύω δὲ εἰσὶ τοῦ κόπου τὰ αἴτια, ἡ ὁδοιπορία, καὶ ἡ καῦσις· Κεκοπιακὼς, λέγει, ἐκ τῆς ὁδοιπορίας, εἶτα προστίθησιν, ὥρα ἦν ὡσεὶ ἕκτη, ἤγουν κατὰ τὸ μέσον τῆς ἡμέρας. Ἡ δὲ ὁδοιπορία, καὶ ὁ κόπος διδάσκουσιν ἡμᾶς πρῶτον, ὅτι ὁ Ἰησοῦς Χριστὸς ἐστὶ τέλειος ἄνθρωπος· διότι πᾶς ἄνθρωπος, μετὰ τὴν ὁδοιπορίαν καὶ καῦσιν, αἰσθάνεται κόπον, καὶ ζητεῖ κάθισμα πρὸς ἀνάπαυσιν· δεύτερον δὲ, ὅτι ὁ Σωτὴρ ἡμῶν πεζὸς ἐν ὥρᾳ μεσημβρίας περιεπάτει, ζητῶν τὴν σωτηρίαν τῶν ἀνθρώπων· ἀλλὰ καὶ τὸ, ἐκαθέζετο οὕτως ἐπὶ τῇ πηγῇ, τὴν ἄκραν αὐτοῦ ταπείνωσιν σημαίνει· διότι ἐκάθισεν οὐχὶ εἰς εὐτρεπισμένον καὶ ἐστρωμμένον, ἀλλ' εἰς ἀπέριττον καὶ τὸν τυχόντα ἐπὶ τῆς πηγῆς τόπον. Ταῦτα δὲ καταισχύνουσι τὴν ὑπερηφάνειαν ἡμῶν· διότι ὁ μὲν Κύριος τοῦ οὐρανοῦ καὶ τῆς γῆς πεζὸς περιεπάτει ἐν αὐτῇ τῇ ὥρᾳ τῆς καύσεως, καὶ ἐκαθέζετο ὅπως ἔτυχεν· ἡμεῖς δὲ ζητοῦμεν ἵππους, καὶ ἁμάξας, καὶ παρατηροῦμεν τὰς ὥρας, καὶ περιβλέπομεν τὸν τόπον τοῦ καθίσματος. Καὶ ὁ μὲν Κύριος καὶ κόπον καὶ ὁδοιπορίαν ὑπέμεινε, διὰ τὴν σωτηρίαν τῶν δούλων αὐτοῦ· ἡμεῖς δὲ οὐδὲ μικρὰν ἐνόχλησιν ὑποφέρομεν, διὰ βοήθειαν καὶ ὠφέλειαν τῶν ἀδελφῶν ἡμῶν. Ἐκεῖ οὖν ἐκάθισεν ὁ τῶν ἁπάντων Δεσπότης, καὶ ἰδοὺ,

Ἔρχεται γυνὴ ἐκ τῆς Σαμαρείας, ἀντλῆσαι ὕδωρ. Λέγει αὐτῇ ὁ Ἰησοῦς· Δός μοι πιεῖν. Ἰωάν. δ'. 7.

Κατὰ τύχην ἄρα ἔρχεται ἡ γυνὴ ἐκείνην τὴν ὥραν, ἵνα ἀντλήσῃ τὸ ὕδωρ; Οὐχί· ἀλλὰ, κατὰ θείαν νεῦσιν καὶ οἰκονομίαν· διότι, ἐκεῖ ἐλθοῦσα, εὗρε τὴν σωτηρίαν· ἡ δὲ σωτηρία τῶν ἀνθρώπων οὐδὲ κατὰ τύχην γίνεται, οὐδὲ κατὰ συμβεβηκὸς, ἀλλὰ κατὰ θείαν πρόνοιαν καὶ ἀντίληψιν. Καθὼς δὲ ὁ μὲν Ζακχαῖος εὗρε τὴν σωτηρίαν, ἀναβὰς κατὰ θείαν οἰκονομίαν εἰς τὴν συκομωρέαν, ὁ δὲ Ματθαῖος, καθήμενος ἐπὶ τὸ τελώνιον, ὁ δὲ Ναθαναὴλ, ἱστάμενος ὑπὸ τὴν συκῆν, ὁ δὲ Ἀνδρέας καὶ

ὁ Πέ-

ὁ Πέτρος, βάλλοντες τὸ ἀμφίβληστρον εἰς τὴν θάλασσαν· οὕτω καὶ ἡ Σαμαρεῖτις, ἐλθοῦσα τότε εἰς τὸ φρέαρ, ἵνα ἀντλήσῃ ὕδωρ, εὗρεν ἐκεῖ τῆς ψυχῆς αὐτῆς τὸν Σωτῆρα. Ἀράγε δὲ σωματικῶς ἐδίψα, καὶ διὰ τοῦτο ἐζήτησεν ὕδωρ ἀπὸ τῆς Σαμαρείτιδος; Ἐδίψα ἴσως, ὡς ἄνθρωπος, μετὰ τὸν ἐν τῇ ὥρᾳ τῆς καύσεως περίπατον, ἐδύνετο ὅμως ὡς Θεὸς, ἐὰν ἤθελε, καὶ ἐκ πέτρας ἐξᾶξαι ὕδωρ, καθὼς ἐξήγαγεν αὐτὸ ἐν Ῥαφιδεὶν, καὶ χορτάσαι τὴν δίψαν αὐτοῦ, καθὼς ἐχόρτασε τότε τοὺς διψῶντας Ἰσραηλίτας· ζητεῖ ὅμως ὕδωρ παρὰ τῆς Σαμαρείτιδος ὁ φιλανθρωπότατος, ἵνα, διὰ τοῦ ζητήματος τοῦ φθαρτοῦ ὕδατος, ποτίσῃ αὐτὴν τὸ ἄφθαρτον τῆς θεογνωσίας νάμα, καὶ διδάξῃ, ὅτι διψᾷ καὶ ζητεῖ, ὡς πολυεύσπλαγχνος, πάντων τῶν ἀνθρώπων τὴν σωτηρίαν. Καὶ ὅτι μὲν ἐζήτησε, φανερόν· ὅτι δὲ ἔπιεν, ἄδηλον, καθότι ἐσιωπήθη ὑπὸ τοῦ θείου Εὐαγγελιστοῦ. Φαίνεται δὲ, ὅτι μετὰ τοσαύτης προθυμίας ἄρχισε τὴν διδασκαλίαν τῆς πίστεως, ὥστε οὐδὲ φαγεῖν ἤθελεν, ὅτε, ἐλθόντες οἱ μαθηταὶ αὐτοῦ, ἔφερον τροφάς.

Ἐξόδ. ιζ΄. 1.

Ἰωάν. δ΄. 8. **Οἱ γὰρ μαθηταὶ αὐτοῦ ἀπεληλύθεισαν εἰς τὴν πόλιν, ἵνα τροφὰς ἀγοράσωσιν.**

Ἐζήτησε, λέγει, ὕδωρ παρὰ τῆς Σαμαρείτιδος ὁ Ἰησοῦς, ἐπειδὴ οἱ μαθηταὶ αὐτοῦ οὐκ ἦσαν παρόντες, ἀλλ' ἐπορεύθησαν εἰς τὴν πόλιν, ἵνα ἀγοράσωσι τροφάς. Τίνα δὲ ἀνάγκην εἶχεν ἀγοράζειν τροφὰς ἐκεῖνος, ὅστις ἄλλοτε μὲν διὰ πέντε ἄρτων πεντακισχιλίους ἐχόρτασεν· ἄλλοτε δὲ δι' ἄρτων ἑπτὰ ἔθρεψε τετρακισχιλίους ἄνδρας χωρὶς γυναικῶν καὶ παιδίων; Θέλων ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς πληροφορῆσαι πάντας, ὅτι ἦν τέλειος Θεὸς, καὶ τέλειος ἄνθρωπος, πότε μὲν ἐδείκνυε τὴν δύναμιν τῆς Θεότητος αὐτοῦ, τελῶν τὰ παράδοξα καὶ ἐξαίσια θαύματα· πότε δὲ πάλιν ἔπραττε πάντα τὰ τῆς ἀνθρωπότητος, ἤγουν τροφὰς ἠγόραζε, καὶ συγκαθήμενος τοῖς ἄλλοις ἔτρωγε, καὶ κεκοπιακὼς ἐπὶ τῇ πηγῇ ἐκαθέζετο, καὶ διψῶν ἐζήτει ὕδωρ ἀπὸ τῆς Σαμαρείτιδος, δός μοι, λέγων, πιεῖν.

Ματ. ιδ΄. 17, 20, 21. Αὐτ. ιε΄. 36, 37, 38.

**Λέγει οὖν αὐτῷ ἡ γυνὴ ἡ Σαμαρεῖτις· Πῶς σὺ, Ἰουδαῖος ὢν, παρ' ἐμοῦ πιεῖν αἰτεῖς, οὔσης γυναικὸς Σαμαρείτιδος; οὐ γὰρ συγχρῶνται Ἰουδαῖοι Σαμαρείταις.** Ἰωάν. δ΄. 9.

Πόθεν ἐγνώρισεν ἡ Σαμαρεῖτις, ὅτι Ἰουδαῖός ἐστιν ὁ Κύριος; Ἐκ τῆς φωνῆς, καὶ προφορᾶς, καθὼς καὶ οἱ ἄνδρες Γαλαὰδ ἐγνώρισαν τοὺς Εὐφραθίτας, καὶ οἱ ἑστῶτες ἐν τῇ αὐλῇ τοῦ Ἀρχιερέως, τὸν Πέτρον. Τοῦτο δὲ γνωρίσασα, ἐθαύμασεν, ὅτε ἤκουσεν, ὅτι ζητεῖ παρ' αὐτῆς ὕδωρ· Πῶς, εἶπε, σὺ Ἰουδαῖος ὢν, ζητεῖς πιεῖν ὕδωρ παρ' ἐμοῦ, ἥτις εἰμὶ Σαμαρεῖτις; καὶ ταῦτα μὲν εἶπεν ἡ γυνή. Ὁ δὲ Εὐαγγελιστὴς προσέθηκε τὴν αἰτίαν τοῦ ἐρωτήματος αὐτῆς, λέγων· Ταῦτα εἶπεν ἡ γυνὴ, διότι οἱ Ἰουδαῖοι οὐδὲ συναναμίγνυνται, οὐδὲ συναναστρέφονται τοῖς Σαμαρείταις. Κατὰ νόμον δ' ἄραγε ἐποίουν τοῦτο οἱ Ἰουδαῖοι, ἢ διὰ συνήθειαν καὶ δεισιδαιμονίαν; Ἀπηγόρευεν ἀληθῶς ὁ νόμος τοῖς Ἰουδαίοις τὴν συναναστροφὴν τῶν ἐθνικῶν, καὶ τοὺς μετ' αὐτῶν γάμους· οἱ οὖν Ἰουδαῖοι, ἐθνικοὺς νομίζοντες τοὺς Σαμαρείτας, ὡς ἐκ τῶν Ἀσσυρίων καταγο-

Κριτ. ιβ΄. 5. Ματ. κς΄. 73.

Λευϊτ. κ΄. 24. Ἰησοῦ κγ΄. 12, 13.

γομένους, καὶ τῶν εἰδώλων προσκυνητάς, ἀπεστρέφοντο αὐτούς, καὶ ἔφευγον τὴν συγκοινωνίαν αὐτῶν, καὶ τὴν τούτων συναναστροφήν. Ἐπειδὴ οὖν ὁ νόμος ἀπηγόρευε τὴν συναναστροφὴν τῶν ἐθνῶν, πῶς ὁ Ἰησοῦς Χριστὸς ὡμίλησε μετὰ τῆς Σαμαρείτιδος, καὶ ἐζήτησε παρ' αὐτῆς ὕδωρ; Ὁ νόμος ἀπηγόρευε τοῦτο τοῖς Ἰουδαίοις, ἵνα μὴ μάθωσι τὰ ἔργα τῶν ἐθνικῶν, καὶ λατρεύσωσι τοῖς Θεοῖς αὐτῶν, καθὼς πολλάκις συ-
Ψαλ. ρέ. 34. νέβη· Ἐμίγησαν γάρ, λέγει ὁ Προφήτης, ἐν τοῖς ἔθνεσι, καὶ ἔμαθον τὰ ἔργα αὐτῶν· καὶ ἐδούλευσαν τοῖς γλυπτοῖς αὐτῶν. Ὁ δὲ Θεάνθρωπος, συναναστρεφόμενος μετὰ τῶν ἐθνικῶν, οὐκ ἐμάνθανε τὰ ἔργα αὐτῶν, ἀλλά, διδάσκων αὐτοὺς τὰ ἔργα τοῦ Θεοῦ, ἐπέστρεφεν αὐτοὺς εἰς τὴν ἀληθινὴν πίστιν· διὸ οὐ παρέβαινε τὸν νόμον, ἀλλ' ἐπλήρου τοῦ νόμου τὸν σκοπόν. Περὶ δὲ τούτου αὐτὸς ὁ Κύριος ἀπεκρίθη πρὸς τὴν γυναῖκα.

Ἰωάν. δ'. 10. Ἀπεκρίθη Ἰησοῦς, καὶ εἶπεν αὐτῇ· Εἰ ᾔδεις τὴν δωρεὰν τοῦ Θεοῦ, καὶ τίς ἐστιν ὁ λέγων σοι, Δός μοι πιεῖν· σὺ ἂν ᾔτησας αὐτόν, καὶ ἔδωκεν ἂν σοι ὕδωρ ζῶν.

Ἐὰν ἐγνώριζες, λέγει, τὴν δωρεὰν τοῦ Θεοῦ, καὶ τίς ἐστιν ἐκεῖνος, ὅστις ζητεῖ σοι ὕδωρ, ἐσιώπας τοῦ νόμου τὰ παρατηρήματα, καὶ παρ' αὐτοῦ ἐζήτεις, καὶ ἐλάμβανες ὕδωρ ζῶν. Ποία δέ ἐστιν ἡ δωρεὰ τοῦ Θεοῦ; καὶ ποῖον τὸ ὕδωρ τὸ ζῶν; Δωρεὰν τοῦ Θεοῦ ὠνόμασεν ὁ θεηγόρος Ἀπόστολος τὴν ἔνσαρκον οἰκονομίαν καὶ ἐνανθρώπησιν, καὶ τὴν ἐν τῷ κόσμῳ παρουσίαν τοῦ μονογενοῦς Υἱοῦ αὐ-
τοῦ· Ἐπεφάνη, λέγει, ἡ χάρις τοῦ Τίτ. β'. 11.
Θεοῦ ἡ σωτήριος πᾶσιν ἀνθρώποις. Τὸ δὲ ὕδωρ τὸ ζῶν ἐστὶν ἐκεῖνο,
περὶ οὗ ὁ Ἡσαΐας ἔλεγεν· Ἀντλήσατε Ἡσ. ιβ'. 3.
ὕδωρ μετ' εὐφροσύνης ἐκ τῶν πηγῶν τοῦ σωτηρίου· τί δέ ἐστι τοῦτο τὸ ὕδωρ, ἐξήγησεν ὁ αὐτὸς Εὐαγγελιστὴς Ἰωάννης· διότι, ὅταν ἔγραψεν, ὅτι
ὁ Κύριος ἡμῶν εἶπεν· Ὁ πιστεύων Ἰωάν. ζ'. 38.
εἰς ἐμέ, καθὼς εἶπεν ἡ Γραφή, ποταμοὶ ἐκ τῆς κοιλίας αὐτοῦ ῥεύσουσιν ὕδατος ζῶντος· τότε
προσέθηκε τὴν ἑρμηνείαν τοῦ ὕδατος τοῦ Αὐτ. 39.
ζῶντος, λέγων· Τοῦτο δὲ εἶπε περὶ τοῦ Πνεύματος, οὗ ἔμελλον λαμβάνειν οἱ πιστεύοντες εἰς αὐτόν.
Ἐπειδὴ δὲ πάντες οἱ Προφῆται, καὶ Ματ. ια'. 13.
ὁ νόμος ἕως Ἰωάννου προεφήτευ-
σαν· Τέλος δὲ νόμου Χριστός· Ὁ Ῥωμ. ι'. 4.
δὲ νόμος παιδαγωγὸς γέγονεν εἰς
Χριστόν· Ἐλθούσης δὲ τῆς πί- Γαλ. γ'. 24. 25.
στεως, οὐκέτι ὑπὸ παιδαγωγόν ἐσμεν· διὰ τοῦτο ἔλεγεν ὁ Κύριος τῇ Σαμαρείτιδι· Ἐὰν ἐγνώριζες, ποία ἡ χάρις τῆς ἐμῆς παρουσίας, ἔβλεπες, ὅτι αὐτὴ ἔπαυσε τοῦ παλαιοῦ νόμου τὰ παρατηρήματα, μεταδίδοται δὲ ἐπίσης καὶ τοῖς Ἰουδαίοις καὶ ταῖς Σαμαρείταις, καὶ εἰς πάντα τῆς γῆς τὰ ἔθνη· ἐὰν ἐγνώριζες, ὅτι ἐγὼ ὁ λέγων σοι, Δός μοι πιεῖν, εἰμὶ ὁ σαρκωθεὶς Υἱὸς τοῦ Θεοῦ, καὶ ὁ Λυτρωτὴς τοῦ κόσμου, σὺ ἐζήτεις παρ' ἐμοῦ τὸ ὕδωρ τὸ ζῶν, ἤγουν τὴν ζωοποιὸν χάριν τοῦ παναγίου Πνεύματος, καὶ ἐλάμβανες αὐτὴν παρ' ἐμοῦ. Ἐλάλησε δὲ ἀλληγορικῶς πρὸς τὴν γυναῖκα ὁ Κύριος, ἵνα μή, εὐθὺς ἐξ ἀρχῆς εἰπών, ὅτι ἐγώ εἰμι ὁ Χριστός, ὁ Μεσσίας, σκανδαλισθῇ, καὶ νομίσῃ αὐτὸν ἄνθρωπον ὑπερήφανον, καὶ καυχηματίαν. Αὐτὴ δὲ ἀκούσασα, καὶ μὴ δυνηθεῖσα κατανοῆσαι τῶν λεγομένων τὸ νόημα, ἀποκρίνεται οὕτω·

Λέ-

Ἰωάν. δ'. Λέγει αὐτῷ ἡ γυνή· Κύριε,
11. οὔτε ἄντλημα ἔχεις, καὶ τὸ
φρέαρ ἐστὶ βαθύ· πόθεν οὖν
12. ἔχεις τὸ ὕδωρ τὸ ζῶν; Μὴ
σὺ μείζων εἶ τοῦ πατρὸς ἡ-
μῶν Ἰακὼβ, ὃς ἔδωκεν ἡμῖν
τὸ φρέαρ, καὶ αὐτὸς ἐξ αὐ-
τοῦ ἔπιε, καὶ οἱ υἱοὶ αὐτοῦ,
καὶ τὰ θρέμματα αὐτοῦ;

Χρυσ. εἰς "Ὕδωρ ζῶν ὠνόμασεν ὁ Μωϋσῆς τὸ
τὸ 26. κ. κάτωθεν ἀναβλύζον, διότι περὶ μὲν τῆς
τῆς Γεν. Ἄγαρ εἶπε· Καὶ εἶδε φρέαρ ὕδατος
Γεν. κά. ζῶντος· περὶ δὲ τῶν παίδων τοῦ Ἰ-
19. σαάκ· Καὶ εὗρον ἐκεῖ φρέαρ ὕδα-
Αὐτ. 26. τος ζῶντος. Ἐκ τούτων δὲ, καὶ ἐξ
19. αὐτῶν τῶν λόγων τῆς Σαμαρείτιδος,
φανερόν ἐστιν, ὅτι αὐτὴ, ζῶν ὕδωρ λέγου-
σα, τὸ ὕδωρ τοῦ φρέατος ἐννόει. Πα-
τέρα δὲ εἶπε τὸν Ἰακὼβ, ἢ ἐπειδὴ οἱ
παλαιοὶ τῆς Σαμαρείας οἰκήτορες ἦσαν
ἀπόγονοι τοῦ Ἰακὼβ, ἢ ἐπειδὴ καὶ αὐ-
τοὶ οἱ Ἀσσύριοι, οἱ μετὰ ταῦτα εἰς
τὴν Σαμάρειαν κατοικήσαντες, τοῦ και-
ροῦ προϊόντος, ἐνόμιζον ἑαυτοὺς, διὰ τὸ
ὁμόπιστον, ἀπογόνους τοῦ Ἰακώβ. Καὶ
τὴν μὲν καθαρότητα τοῦ ὕδατος, τοῦ ἐν
τῷ φρέατι τοῦ Ἰακὼβ, παρέστησεν, εἰ-
ποῦσα, ὅτι ὁ πατριάρχης Ἰακὼβ καὶ οἱ
τούτου υἱοὶ ἔπιον ἐξ αὐτοῦ· τὴν δὲ πλου-
σιότητα, εἰποῦσα, ὅτι καὶ τὰ ζῶα αὐ-
τοῦ ἐκ τοῦ αὐτοῦ ὕδατος ἐπότιζεν ὁ
πατριάρχης. Βλέπε δὲ, ὅτι ἡ Σαμαρεῖ-
τις ἔπαθεν ἐκεῖνο, ὅπερ καὶ ὁ Νικόδη-
μος, ὅτε ἤκουσε τὸν Κύριον λέγοντα·
Ἰωάν. γ'. Ἀμὴν ἀμὴν λέγω σοι, ἐὰν μή τις
3. γεννηθῇ ἄνωθεν, οὐ δύναται ἰ-
δεῖν τὴν βασιλείαν τοῦ Θεοῦ· καὶ
ἐκεῖνο, ὅπερ ἔπαθον οἱ θεῖοι Ἀπόστο-
Αὐτ. ιά. 11. λοι, ὅτε ἤκουσαν τὸ, Λάζαρος ὁ φί-
λος ἡμῶν κεκοίμηται· καὶ τὸ, Ἐ- Ἰωάν. δ' 32.
γὼ βρῶσιν ἔχω φαγεῖν· ἤγουν οὐδό-
λως κατενόησε τὸ τί ἔλεγε πρὸς αὐτὴν
ὁ Κύριος· διότι ὁ μὲν Κύριος Ἰησοῦς ἐ-
λάλει πρὸς αὐτὴν περὶ τῆς χάριτος τοῦ
παναγίου Πνεύματος· ἐκείνη δὲ, νομί-
ζουσα, ὅτι λαλεῖ περὶ ὑλικοῦ καὶ φθαρ-
τοῦ ὕδατος, ἀπεκρίθη πρὸς αὐτὸν, καὶ
εἶπε· Κύριε, σὺ ἄντλημα οὐκ ἔχεις, ἵνα
ἀντλήσῃς ὕδωρ, τὸ δὲ φρέαρ τοῦτο ἐστὶ
βαθύ· πόθεν λοιπὸν ἔχεις τὸ ἀναβλυσ-
τικὸν ὕδωρ; μήπως σὺ ὑπάρχεις ἰσχυ-
ρότερος, καὶ ἐπιτηδειότερος τοῦ πατρὸς
ἡμῶν Ἰακὼβ, ὅστις κατεσκεύασε, καὶ ἔ-
δωκεν ἡμῖν τοῦτο τὸ φρέαρ, ἔπιε δὲ ἐκ
τούτου καὶ αὐτὸς, καὶ οἱ υἱοὶ αὐτοῦ,
καὶ τὰ ζῶα αὐτοῦ; Ἐπειδὴ λοιπὸν αὐ-
τὴ οὐκ ἐδυνήθη κατανοῆσαι τὸ νόημα
τῶν λόγων, ἄρχεται ὁ Κύριος τὴν ἐξήγη-
σιν αὐτῶν οὕτως·

Ἀπεκρίθη ὁ Ἰησοῦς καὶ εἶ- Ἰωάν. δ'. 13.
πεν αὐτῇ· Πᾶς ὁ πίνων ἐκ
τοῦ ὕδατος τούτου, διψήσει
πάλιν· Ὃς δ' ἂν πίῃ ἐκ τοῦ 14.
ὕδατος, οὗ ἐγὼ δώσω αὐτῷ,
οὐ μὴ διψήσει εἰς τὸν αἰῶ-
να· ἀλλὰ τὸ ὕδωρ, ὃ δώσω
αὐτῷ, γενήσεται ἐν αὐτῷ πη-
γὴ ὕδατος ἁλλομένου εἰς ζωὴν
αἰώνιον.

Τὰ λόγια ταῦτα φαίνονται μὲν, ὅτι οὐκ εἰσὶν ἀπόκρισις πρὸς τὸ ζήτημα τῆς γυναικός· διὰ τούτων ὅμως τῶν λόγων ἀπεκρίθη ὁ Θεάνθρωπος θεοπρεπέστατα. Ἐὰν ἔλεγε· Ναὶ, μείζων εἰμὶ τοῦ Ἰακὼβ, αὐτὴ, διὰ τὴν μεγάλην περὶ τοῦ Ἰακὼβ ὑπόληψιν, ἐταράττετο εὐθὺς, καὶ ἀπεστρέφετο αὐτὸν, ὡς ὑπερήφανον· εἰ-



πὼν

πὼν δὲ, ὅτι, Ὅστις πίνει ἀπὸ τούτου τοῦ ὕδατος τοῦ Ἰακὼβ, πάλιν διψᾷ· ἀλλ᾽ ὅστις πίνει ἐκ τοῦ ὕδατος, ὃ ἐγὼ δώσω, οὐ διψήσει εἰς τὸν αἰῶνα τὸν ἅπαντα, ἔδειξεν, ὅτι τὸ ὕδωρ, ὃ δίδωσιν αὐτὸς, πολλῷ τιμιώτερόν ἐστι τοῦ ὕδατος τοῦ Ἰακώβ· εἰπὼν οὖν, ὅτι τὰ ἑαυτοῦ χαρίσματά εἰσι πολλῷ ὑπέρτερα τῶν τοῦ Ἰακὼβ, ἀφῆκε τὴν γυναῖκα, ἵνα συμπεράνῃ, ὅτι αὐτός ἐστι μείζων ἐκείνου. Τὸ ὕδωρ δὲ, περὶ οὗ λαλεῖ ὁ Δεσπότης ἡμῶν, ἡ χάρις τοῦ παναγίου Πνεύματος ἐστὶν, ὡς ἀνωτέρω εἴπομεν. Ὅστις δὲ ἀξιωθῇ ταύτης τῆς χάριτος, οὐδέποτε διψᾷ τὴν γνῶσιν τῶν θείων μαθημάτων, οὐδὲ ἔχει χρείαν, ἵνα ἄλλος αὐτὸν διδάξῃ· ἀλλὰ γίνεται πηγὴ διδασκαλίας, ἥτις, ἀναπηγάζουσα καὶ πηδῶσα ἐκ τοῦ στόματος αὐτοῦ, ποτίζει καὶ ὁδηγεῖ τοὺς ἀκούοντας πρὸς τὴν ζωὴν τὴν αἰώνιον. Τοιοῦτοι ἦσαν οἱ θεηγόροι Ἀπόστολοι, οἵτινες, λαβόντες τὴν χάριν τοῦ παναγίου Πνεύματος, τοσοῦτον ἐφωτίσθησαν, ὥστε εἶχον πᾶσαν τὴν γνῶσιν τῆς ἀληθείας τῶν θείων μυστηρίων, καθὼς ὁ Θεάνθρωπος ὑπεσχέθη αὐτοῖς, λέγων·
Ἰωάν. ιϛ΄. 13. Ὅταν δὲ ἔλθῃ ἐκεῖνος, τὸ Πνεῦμα τῆς ἀληθείας, ὁδηγήσει ὑμᾶς εἰς πᾶσαν τὴν ἀλήθειαν· ἐγένοντο δὲ καὶ πηγαὶ τῶν θείων διδαγμάτων, καὶ ποτίσαντες πᾶσαν τὴν οἰκουμένην τῆς θεογνωσίας τὰ νάματα, ὡδήγησαν τοὺς ἀνθρώπους πρὸς τὴν ὁδὸν τῆς σωτηρίας. Ἀκούσασα δὲ ἡ Σαμαρεῖτις ταύτην τοῦ Σωτῆρος ἡμῶν τὴν ἀπόκρισιν, οὐδὲ ἐθαύμασεν, οὐδὲ ἠπίστησεν, ἀλλ᾽ ἐζήτησεν εὐθὺς τοῦτο τὸ ὕδωρ.

Αὐτ. δ΄. 15. Λέγει πρὸς αὐτὸν ἡ γυνή· Κύριε, δός μοι τοῦτο τὸ ὕδωρ, ἵνα μὴ διψῶ, μηδὲ ἔρχωμαι ἐνθάδε ἀντλεῖν.

Πάλιν ἡ γυνὴ γήϊνα φρονεῖ· νομίζει φθαρτὸν καὶ γήϊνον, οὐχὶ δὲ ἄφθαρτον καὶ οὐράνιον τοῦ Σωτῆρος τὸ ὕδωρ· ὅθεν, Δός μοι, λέγει, Κύριε, τοῦτο τὸ ὕδωρ, ἵνα μὴ διψῶ, καὶ ἔρχωμαι εἰς τοῦτον τὸν τόπον εἰς τὸ ἀντλεῖν ὕδωρ. Ἐπειδὴ λοιπὸν οὐδὲ ταῦτα τὰ λόγια ἴσχυσαν ἀναβιβάσαι τὸν νοῦν αὐτῆς εἰς τὰ ὑψηλότερα νοήματα, δι᾽ ἄλλου τρόπου ὁ Φιλανθρωπότατος ἐφέλκει αὐτὴν πρὸς τὴν πίστιν.

Λέγει αὐτῇ ὁ Ἰησοῦς· Ὕπαγε, φώνησον τὸν ἄνδρα σου, καὶ ἐλθὲ ἐνθάδε. Ἰωάν. δ΄. 16.

Ἰδοὺ ὁ ἄλλος τρόπος· Κάλεσον, λέγει, τὸν ἄνδρα σου, καὶ ἐλθὲ μετ᾽ αὐτοῦ ὧδε. Βλέπει ὡς καρδιογνώστης, ὅτι ἐκείνη, τοῦτο ἀκούσασα, ἀποκριθήσεται, ὅτι οὐκ ἔχει ἄνδρα· αὐτὸς δὲ, ἐκ τούτου ἀφορμὴν λαβὼν, καὶ δηλοποιήσας τὰ ἀπόκρυφα αὐτῆς ἔργα, καὶ δείξας ἑαυτὸν κρυφιογνώστην, διὰ τούτου ἐφελκύσει αὐτὴν εἰς τὴν πρὸς αὐτὸν πίστιν· τοῦτο δὲ καὶ γέγονε, διότι·

Ἀπεκρίθη ἡ γυνὴ, καὶ εἶπεν· Ἰωάν. δ΄.
Οὐκ ἔχω ἄνδρα. Λέγει αὐτῇ 17.
ὁ Ἰησοῦς· Καλῶς εἶπας, ὅτι
ἄνδρα οὐκ ἔχω· Πέντε γὰρ 18.
ἄνδρας ἔσχες· καὶ νῦν ὃν ἔχεις, οὐκ ἔστι σου ἀνήρ· τοῦτο ἀληθὲς εἴρηκας.

Ἄνθρωπον ἁπλοῦν ἐνόμισε τὸν Θεάνθρωπον ἡ Σαμαρεῖτις· ὅθεν ἤλπισεν, ὅτι δύναται κρύψαι ἀπ᾽ αὐτοῦ τὰ ἑαυτῆς παραπτώματα. Ὁ δὲ φιλανθρωπότατος Θεὸς, διὰ γλυκυτάτου τρόπου, ἐλέγχει καὶ

καὶ τὸ ψεῦδος αὐτῆς, καὶ τὴν ἀνομίαν, λέγων· Ὀρθῶς ἀπεκρίθης, ὅτι οὐκ ἔχω ἄνδρα· ἀλήθειαν εἶπας· διότι πέντε ἄνδρας ἔλαβες, καὶ ἐκεῖνον δέ, ὅν ἔχεις κατὰ τὸ παρόν, οὐκ ἔστι σου ἀνήρ. Καὶ ὅτι μὲν ὁ ἔσχατος οὗτος ἀνὴρ τῆς Σαμαρείτιδος ἦν παράνομος, φανερόν ἐστιν, ἐπειδὴ εἶπεν ὁ Κύριος, Καὶ νῦν ὃν ἔχεις, οὐκ ἔστι σου ἀνήρ· περὶ δὲ τῶν πέντε τῶν πρώτων ἀπορία ἐστὶ, νόμιμοι δηλαδὴ ἦσαν, ἢ ἄνομοι. Ἀκούσασα δὲ ἡ Σαμαρεῖτις τὰ ἀπόκρυφα αὐτῆς, Προφήτην ἐνόμισε τὸν Ἰησοῦν Χριστόν.

Ἰωάν. δ'. Λέγει αὐτῷ ἡ γυνή· Κύριε,
19, 20. θεωρῶ, ὅτι Προφήτης εἶ σύ. Οἱ πατέρες ἡμῶν ἐν τούτῳ τῷ ὄρει προσεκύνησαν· καὶ ὑμεῖς λέγετε, ὅτι ἐν Ἱεροσολύμοις ἐστὶν ὁ τόπος, ὅπου δεῖ προσκυνεῖν.

Δύω ὄρη ἦσαν κατὰ τὸ ἀνατολικὸν μέρος τῆς Ἱεριχὼ, τὸ Γαριζὶν, καὶ τὸ Γαιβάλ· καὶ ἐπάνω μὲν τοῦ Γαριζὶν ἀνεγίνωσκον οἱ Ἰουδαῖοι τὰς εὐλογίας, ἐπάνω δὲ τοῦ Γαιβὰλ, τὰς κατάρας·
Διυτ. ιά. Καὶ δώσεις, λέγει ὁ Θεὸς, τὴν εὐλο-
29. γίαν ἐπ' ὄρους Γαριζὶν, καὶ τὴν
Ὅρα τὸ ὑπόμν. κατάραν ἐπ' ὄρους Γαιβάλ. Ἐκ
Προκοπ. τούτου λαβόντες ἀφορμὴν οἱ Σαμαρεῖται,
εἰς τὸ 11. προσεκύνουν εἰς τὸ ὄρος τὸ Γαριζὶν, ἐ-
τοῦ Διυτ. πειδὴ ἦν ὄρος εὐλογίας. Οἱ δὲ Ἰουδαῖοι
κ. τὸ εἰς εὐλόγως ἔλεγον, ὅτι τόπος προσκυνήσεως
τὴν Ἑλλ. Σειράν. εἰσὶ τὰ Ἱεροσόλυμα· διότι ὁ νόμος ἔλε-
Διυτ. ιβ'. γε· Πρόσεχε σεαυτῷ, μὴ ἀνενέ-
13, 14. γκῃς τὰ ὁλοκαυτώματά σου ἐν παντὶ τόπῳ, οὗ ἐὰν ἴδῃς· ἀλλ' ἢ εἰς τὸν τόπον, ὃν ἂν ἐκλέξηται Κύριος ὁ Θεός σου αὐτὸν, ἐν μιᾷ τῶν φυλῶν σου, ἐκεῖ ποιήσεις πάντα ὅσα ἐγὼ ἐντέλλομαί σοι σήμερον. Βλέπε δὲ, πῶς ἡ Σαμαρεῖτις, γνωρίσασα, ὅτι ὁ Ἰησοῦς Χριστὸς Ἰουδαῖός ἐστι καὶ Προφήτης, κἂν μὴ ἐρωτᾷ, ἐρώτημα ὅμως προβάλλει εἰς αὐτὸν περὶ τῆς διαφορᾶς, τῆς μεταξὺ Ἰουδαίων καὶ Σαμαρειτῶν, διὰ τὸν τόπον τῆς προσκυνήσεως· Οἱ πατέρες ἡμῶν, λέγει, (πατέρας ὀνομάζουσα τοὺς προγενεστέρους Σαμαρείτας,) προσεκύνησαν, ἤγουν προσηύχοντο καὶ προσέφερον τὰς θυσίας αὐτῶν εἰς τοῦτο τὸ ὄρος· ὑμεῖς δὲ οἱ Ἰουδαῖοι λέγετε, ὅτι ὁ τόπος τῆς προσκυνήσεως εἰσὶ τὰ Ἱεροσόλυμα. Ταῦτα δὲ εἰποῦσα, περιέμενε τοῦ Κυρίου τὴν ἀπόκρισιν, ἵνα μάθῃ, ποῖος ὁ ἀληθὴς καὶ ἁρμόδιος τόπος τῆς προσκυνήσεως· ὅθεν,

Λέγει αὐτῇ ὁ Ἰησοῦς· Γύ- Ἰωάν. δ'.
ναι, πίστευσόν μοι, ὅτι ἔρχε- 21.
ται ὥρα, ὅτε οὔτε ἐν τῷ ὄρει τούτῳ, οὔτε ἐν Ἱεροσολύμοις προσκυνήσετε τῷ Πατρί.

Ποία ἐστὶν ἡ ἐρχομένη ὥρα; Ὁ καιρός ἐστιν, ἐν ᾧ καὶ ὁ ναὸς τῆς Ἱερουσαλὴμ, καὶ τὰ τῶν Σαμαρειτῶν προσκυνήματα ἔμελλον ἐρημωθῆναι· ἡ ὥρα ἐστὶν ὁ καιρὸς τῆς εἰς τὸν κόσμον παρουσίας αὐτοῦ καὶ θείας ἐπιφανείας, ἥτις κατήργησε τοῦ νόμου τὰ παρατηρήματα, καὶ ἔδειξεν, ὅτι πᾶς τόπος ἁρμόδιός ἐστι πρὸς τὴν τοῦ Θεοῦ προσκύνησιν· διότι
καὶ κατωτέρω λέγει· Ἀλλ' ἔρχεται Ἰωάν. δ'.
ὥρα, καὶ νῦν ἐστίν. Ἀλλὰ διατί εἶ- 23.
πεν, ὅτι εἰς τὸν καιρὸν τῆς παρουσίας αὐτοῦ, οὔτε εἰς τὸ ὄρος τῶν Σαμαρειτῶν, οὔτε εἰς τὰ Ἱεροσόλυμα προσκυνήσουσιν οἱ ἄνθρωποι; πάντες οἱ εἰς αὐτὸν πιστεύοντες, καὶ εἰς τὰ Ἱεροσόλυμα,

καὶ

καὶ εἰς τὴν Σαμάρειαν, καὶ εἰς πάντα τόπον προσκυνοῦσι, καὶ προσεύχονται, καὶ προσφέρουσι τὰς ἀναιμάκτους λατρείας τῷ Θεῷ· τίνα λοιπὸν ἔννοιαν ἔχουσι τοῦ Κυρίου τὰ λόγια; Τὴν γνώμην τῶν Σαμαρειτῶν καὶ Ἰουδαίων καταργεῖ ὁ Σωτὴρ, καὶ καταγγέλλει τὴν παῦσιν τῶν νομικῶν καὶ σκιωδῶν θυσιῶν, καὶ διορίζει τὴν ἀληθινὴν τοῦ Θεοῦ λατρείαν· Οὔτε εἰς τὸ ὄρος τοῦτο, λέγει, οὔτε εἰς τὰ Ἱεροσόλυμα προσκυνήσετε, στοχαζόμενοι, ὅτι μόνοι αὐτοὶ οἱ τόποι εἰσὶν ἁρμόδιοι πρὸς τὴν τοῦ Θεοῦ προσκύνησιν. Ἐπειδὴ δὲ διὰ τῆς ἀποκρίσεως ταύτης περὶ τοῦ τόπου τῆς προσκυνήσεως ἐλάλησεν ὁ Κύριος, ἐφεξῆς καὶ περὶ τοῦ προσκυνουμένου ὁμιλεῖ, λέγων·

Ἰωάν. δ'. 22. Ὑμεῖς προσκυνεῖτε ὃ οὐκ οἴδατε· ἡμεῖς προσκυνοῦμεν ὃ οἴδαμεν· ὅτι ἡ σωτηρία ἐκ τῶν Ἰουδαίων ἐστίν.

Πῶς; οἱ μὲν Σαμαρεῖται προσεκύνουν Θεὸν ἀγνώριστον, οἱ δὲ Ἰουδαῖοι Θεὸν γνωστόν; Οἱ Σαμαρεῖται ἐπίστευον τὸν Θεὸν τοπικὸν καὶ μερικὸν, καθὼς καὶ οἱ Ἀσσύριοι, οἵτινες ἔλεγον τῷ βα-
Δ'. Βασ. ιζ'. 26. σιλεῖ αὐτῶν· Τὰ ἔθνη, ἃ ἀπῴκισας καὶ ἀντεκάθισας ἐν πόλεσι Σαμαρείας, οὐκ ἔγνωσαν τὸ κρίμα τοῦ Θεοῦ τῆς γῆς· πρὸς τούτοις οἱ Σαμαρεῖται, μετὰ τοῦ ἀληθινοῦ Θεοῦ,
Αὐτ. 41. ἐλάτρευον καὶ τοῖς εἰδώλοις· Καὶ ἦσαν, λέγει, τὰ ἔθνη ταῦτα φοβούμενοι τὸν Κύριον, καὶ τοῖς γλυπτοῖς αὐτῶν ἦσαν δουλεύοντες· διὰ τοῦτο λοιπὸν εἶπεν ὁ Κύριος, ὅτι οὐ γνωρίζουσι τί προσκυνοῦσιν. Οἱ δὲ Ἰουδαῖοι ἀπερίγραπτον, καὶ ἀπεριόριστον, καὶ Κύριον πάσης τῆς κτίσεως ἐγνώριζον τὸν Θεὸν, καὶ αὐτῷ μόνῳ τὰς λατρείας προσέφερον· προσέτι δὲ τὰ βιβλία τῶν Προφητῶν δεχόμενοι, οὐ μόνον τὸν Θεὸν καὶ Πατέρα ἐγνώριζον, ἀλλὰ καὶ τὴν ἔνσαρκον οἰκονομίαν τοῦ Υἱοῦ τοῦ Θεοῦ ἐδιδάσκοντο· ταύτης δὲ τῆς γνώσεως ἐστερημένοι ἦσαν οἱ Σαμαρεῖται, ἐπειδὴ ἀπεστρέφοντο τῶν Προφητῶν τὰ βιβλία. Καὶ μὴ θαυμάσῃς, ἐὰν ὁ Χριστὸς, ὁ ὑπὸ πάσης τῆς κτίσεως ὡς Θεὸς ἀληθινὸς προσκυνούμενος καὶ λατρευόμενος, καὶ μηδένα αὐτὸς προσκυνῶν, συγκαταριθμῇ ἑαυτὸν τοῖς Ἰουδαίοις, καὶ λέγει πληθυντικῶς· Ἡμεῖς προσκυνοῦμεν· ἐπειδὴ λαλεῖ ὡς Ἰουδαῖος κατὰ τὴν ὑπόληψιν τῆς Σαμαρείτιδος, ὁμιλεῖ ὡς ἄνθρωπος, καὶ οὐχὶ ὡς Θεός· ὡς ἄνθρωπος δὲ καὶ προσκυνεῖ τῷ Θεῷ καὶ Πατρὶ, καὶ πρεσβεύει δὲ ὑπὲρ ἡ-
μῶν· Χριστὸς, λέγει ὁ θεσπέσιος Παῦ- Ῥωμ. η'. 34.
λος, ὁ ἀποθανὼν, μᾶλλον δὲ καὶ ἐγερθεὶς, ὃς καὶ ἐντυγχάνει ὑπὲρ ἡμῶν. Ἐδίδαξε δὲ, ὅτι ἡ σωτηρία ἐκ τῶν Ἰουδαίων ἐστὶν, ἐπειδὴ αὐτὸς ὁ Σωτὴρ, καὶ Λυτρωτὴς παντὸς τοῦ κόσμου, ἐκ τῆς φυλῆς ἀνέτειλε τοῦ Ἰούδα· διότι ἡ μήτηρ αὐτοῦ, ἡ ἁγία Παρθένος καὶ Θεοτόκος Μαριάμ, ἐξ ἧς σάρκα λαβὼν ἐγεννήθη, ἐκ τῆς φυλῆς τοῦ Δαβὶδ κατήγετο. Λαλήσας οὖν ὁ Κύριος περὶ τοῦ τόπου τῆς προσκυνήσεως, καὶ τοῦ προσκυνουμένου Θεοῦ, διδάσκει καὶ περὶ τοῦ τρόπου, δι' οὗ προσκυνεῖται ὁ Θεὸς, λέγων·

Ἀλλ' ἔρχεται ὥρα, καὶ νῦν ἐστὶν, ὅτε οἱ ἀληθινοὶ προσκυνηταὶ προσκυνήσουσι τῷ Πατρὶ ἐν πνεύματι καὶ ἀληθείᾳ· καὶ γὰρ ὁ Πατὴρ τοιούτους ζητεῖ τοὺς προσκυνοῦντας αὐτόν. Ἰωάν. δ'. 23.

Τὰ

Τὸ μὲν, ἔρχεται ὥρα, σημαίνει καιρὸν μέλλοντα· Ἔρχεται, λέγει, καιρὸς, ὅταν καταργηθῶσι τὰ ἐν Ἱεροσολύμοις καὶ ἐν Σαμαρείᾳ προσκυνήματα, καὶ ἁπλωθῇ τῆς πίστεως τὸ κήρυγμα. Τὸ δὲ, καὶ νῦν ἐστὶ, δηλοῖ χρόνον ἐνεστῶτα· Ἀλλὰ καὶ κατὰ τοῦτον, λέγει, τὸν καιρὸν ἐν ᾧ ἐγὼ λαλῶ καὶ διδάσκω, καιρὸς ἁρμόδιός ἐστιν, ἵνα προσκυνῶσιν οἱ ἀληθινοὶ προσκυνηταὶ τῷ Πατρὶ ἐν πνεύματι καὶ ἀληθείᾳ. Τίνες δὲ οἱ ἀληθινοὶ προσκυνηταί; Οἱ εἰς αὐτὸν πιστεύοντες· διότι τῶν μὲν Σαμαρειτῶν ἡ προσκύνησις ἠπατημένη ἦν καὶ σφαλερὰ, τῶν δὲ Ἰουδαίων τυπικὴ καὶ σκιώδης, τῶν Χριστιανῶν δὲ ἐστὶν ἡ τελεία καὶ ἀληθής. Αὐτοὶ οἱ εἰς Χριστὸν πιστεύοντες εἰσὶν οἱ ἀληθινοὶ προσκυνηταὶ, οἵτινες προσκυνοῦσι τῷ Θεῷ καὶ Πατρὶ ἐν πνεύματι, ἤγουν διὰ τῆς ἀναβάσεως τοῦ νοὸς καὶ τῆς ψυχῆς εἰς τὸν Θεὸν, καὶ ἀληθείᾳ, τουτέστι οὐχὶ διὰ τῶν τύπων καὶ ζωοθυσιῶν, ἀλλὰ διὰ τῶν πραγμάτων, ἤγουν τῆς ἀληθοῦς τῶν θείων ἐντολῶν ἐργασίας, καὶ διὰ τῆς τῶν ἀληθινῶν μυστηρίων τελετῆς καὶ μεταλήψεως. Μήπως δὲ τὸ μὲν ἐν πνεύματι, σημαίνει τὴν ἀφιέρωσιν τοῦ νοὸς ἡμῶν εἰς τὸν Θεόν· τὸ δὲ καὶ ἀληθείᾳ, τὴν ὑπηρεσίαν τοῦ σώματος εἰς τὴν πρακτικὴν ἀρετήν; Σύνθετός ἐστιν ὁ ἄνθρωπος ἐκ ψυχῆς καὶ σώματος· σύνθετος καὶ ἡ προσκύνησις ὑπ' αὐτοῦ γίνεται, ὅταν ὁ μὲν νοῦς ἀναβαίνῃ εἰς τὸν Θεὸν, τὸ δὲ σῶμα ὑπηρετῇ εἰς τὴν ἐργασίαν τῶν ἐντολῶν. Διατί δὲ τοιαύτην προσκύνησιν, καὶ τοιούτους προσκυνητὰς ζητεῖ ὁ Θεός; Διότι,

Ἰωάν. δ'. 24. **Πνεῦμα ὁ Θεός· καὶ τοὺς προσκυνοῦντας αὐτὸν, ἐν πνεύματι καὶ ἀληθείᾳ δεῖ προσκυνεῖν.**

Ὁ Θεός ἐστιν ἄϋλος, ἀσώματος, ἀόρατος, ὁμοίως καὶ ἡ ψυχὴ τοῦ ἀνθρώπου· διὰ τοῦ ὁμοίου λοιπὸν λατρεύεται τὸ ὅμοιον. Ἡ ψυχὴ δέχεται τὰ ὀρθὰ δόγματα τῆς πίστεως, καὶ διὰ τῶν ὀρθῶν φρονημάτων δοξάζει τὸν Θεόν. Ὁ νοῦς συλλογίζεται τοῦ Θεοῦ τὰ ἀόρατα, τὴν παντοδυναμίαν, τὴν ἀγαθότητα, τὴν φιλανθρωπίαν, τὴν ἀγάπην, τὴν δικαιοσύνην, καὶ τὰ λοιπὰ αὐτῷ προσόντα, καὶ ὑμνολογεῖ τὴν ἄπειρον αὐτοῦ μεγαλειότητα. Ὁ νοῦς στοχάζεται, πόσον ἐστὶ τὸ πρὸς τὸν Θεὸν χρέος ἡμῶν, καὶ ποίας ἀμοιβὰς παρ' αὐτοῦ προσμένομεν, καὶ προσφέρει αὐτῷ τὴν λατρείαν καθ' ὁμοιότητα τῶν ἁγίων Ἀγγέλων, οἵτινες νοερῶς αὐτῷ λατρεύουσι, καὶ πνευματικῶς δοξολογοῦσι. Τοῦτο οὖν σημαίνει τὸ, ἐν πνεύματι, ἤγουν τὸ, νοερῶς, ψυχικῶς, καὶ πνευματικῶς· καὶ αὐτή ἐστιν ἡ ἀληθὴς λατρεία, ἥτις καὶ νοερὰ προσευχὴ λέγεται, καὶ μελέτη θεία, καὶ θεωρητικὴ ἀρετὴ, καὶ πνευματικὴ θεωρία. Ἵνα δὲ μή τις νομίσῃ, ὅτι μόνην τὴν νοερὰν λατρείαν ζητεῖ ὁ Θεὸς, προσέθηκεν ὁ Θεάνθρωπος τὸ, καὶ ἀληθείᾳ, ἵνα διδάξῃ, ὅτι ἡ πνευματικὴ λατρεία, μετὰ τῆς πρακτικῆς ἀρετῆς, καθίστησι τοὺς ἀνθρώπους τελείους καὶ ἀληθινοὺς προσκυνητὰς τῆς αὐτοῦ Θεότητος· διότι ἀλήθειά ἐστι πᾶσα ἀρετὴ, κατὰ τὸ, Πᾶσαι αἱ ἐντολαί σου ἀλήθεια· καὶ τὸ, ὁ νόμος σου ἀλήθεια. Οὗτοι λοιπὸν εἰσὶν οἱ ἀληθινοὶ προσκυνηταὶ τοῦ Θεοῦ καὶ λάτραι, οἱ διὰ τῆς θεωρίας τὸν Θεὸν λατρεύοντες, καὶ διὰ τῆς πράξεως αὐτὸν δοξάζοντες· οὗτοί εἰσιν οἱ ἀληθινοὶ προσκυνηταὶ, οἱ διὰ τῆς πρακτικῆς θεωρίας τῷ Θεῷ δουλεύοντες. Ταῦτα ὡς ἤκουσεν ἡ Σαμαρεῖτις, ἐγνώρισεν, ὅτι εἰσὶ λόγια θεῖα, καὶ οὐχὶ ἀνθρώπινα· ὅθεν ἀπεκρίθη οὕτω·

Ψαλ. ριή. 86, 141.

Λέ-

Ἰωάν. δ'. 25. Λέγει αὐτῷ ἡ γυνή· Οἶδα,
ὅτι Μεσσίας ἔρχεται, ὁ λε-
γόμενος Χριστός· ὅταν ἔλ-
θῃ ἐκεῖνος, ἀναγγελεῖ ἡμῖν
πάντα.

Ἐπειδὴ οἱ Σαμαρεῖται ἐδέχοντο τοῦ
Μωϋσέως τὴν Πεντάβιβλον, ὁ δὲ Μωϋ-
Δευτ. ιή. 15. σῆς ἔγραψεν εἰς τὸ Δευτερονόμιον· Προ-
φήτην ἐκ τῶν ἀδελφῶν σου, ὡς ἐ-
μὲ, ἀναστήσει σοι Κύριος ὁ Θεός
σου· αὐτοῦ ἀκούσεσθε· διὰ τοῦτο
περιέμενον καὶ οἱ Σαμαρεῖται τὴν ἔλευ-
σιν τοῦ Μεσσίου, πιστεύοντες, ὅτι αὐ-
τὸς διδάξει αὐτοὺς πάντα τὰ πρὸς τὴν
πίστιν καὶ λατρείαν τοῦ Θεοῦ ἁρμό-
δια. Ἐπειδὴ δὲ περὶ θείων πραγμάτων
ἐλάλει ὁ Θεάνθρωπος, ἡ δὲ Σαμαρεῖτις
οὐκ ἐγνώρισε ποῖός ἐστι, διὰ τοῦτο εἶ-
πεν· Ὅταν ἔλθῃ ἐκεῖνος, ἤγουν ὁ Μεσ-
σίας, ὁ λεγόμενος Χριστὸς, αὐτὸς φανε-
ρώσει εἰς ἡμᾶς πάντα ὅσα τῷ Θεῷ πρέ-
πουσι.

Ἰωάν. δ'. 26. Λέγει αὐτῇ ὁ Ἰησοῦς· Ἐγώ
εἰμι, ὁ λαλῶν σοι.

Μεγάλου χαρίσματος ἠξιώθη ἡ Σα-
μαρεῖτις! πρὸς οὐδένα ἄλλον ἄνθρωπον
ὁ Κύριος ἡμῶν τόσον φανερὰ περὶ ἑαυ-
τοῦ ἐλάλησε· πρὸς οὐδένα ἄλλον εἶπεν,
Ἐγώ εἰμι ὁ Μεσσίας, ὁ λεγόμενος Χρι-
στός· προετιμήθη δὲ τῶν ἄλλων ἡ Σα-
μαρεῖτις, διὰ τὸν ζῆλον, καὶ τὴν προ-
θυμίαν, ἣν ἔβλεπεν ὁ Κύριος ἐν τῇ καρ-
δίᾳ αὐτῆς· μήπως δὲ προετιμήθη, καὶ
καθότι αὐτὴ πρώτη Ἀπόστολος ἐκήρυ-
ξε τοῦ Κυρίου Ἰησοῦ τὸ ὄνομα.

Ἰωάν. δ'. 27. Καὶ ἐπὶ τούτῳ ἦλθον οἱ μα-
θηταὶ αὐτοῦ, καὶ ἐθαύμα-
σαν, ὅτι μετὰ γυναικὸς ἐλά-
λει· οὐδεὶς μέντοι εἶπε· Τί
ζητεῖς; ἢ, τί λαλεῖς μετ'
αὐτῆς;

Καὶ ἐπὶ τούτῳ, ἤγουν εἰς αὐτὸν
τὸν καιρὸν, καθ' ὃν ἐλάλει ὁ Ἰησοῦς, ἦλ-
θον οἱ μαθηταὶ αὐτοῦ. Διατί δὲ ἐ-
θαύμασαν, ὅτι μετὰ γυναικὸς ἐλάλει;
Ἐθαύμασαν οὐχὶ διότι ἐλάλει μετὰ
γυναικὸς, ἀλλὰ μετὰ τοιαύτης γυναι-
κὸς, ἤγουν Σαμαρείτιδος· διότι ἀποτρό-
παιοι καὶ μισητοὶ ἦσαν οἱ Σαμαρεῖται
τοῖς Ἰουδαίοις, ὡς καὶ ἀνωτέρω ὁ Εὐαγ-
γελιστὴς ἐσημείωσε, λέγων· Οὐ γὰρ Ἰωάν. δ'.
συγχρῶνται Ἰουδαῖοι Σαμαρεί- 9.
ταις· ἴσως δὲ ἐθαύμασαν, ἐπειδὴ ὁ
Ἰησοῦς οὐκ εἶχε συνήθειαν λαλεῖν κα-
τὰ μόνας μετὰ γυναικός· φαίνεται δὲ
τὸ νόημα τοῦτο ἁρμοδιώτερον· ἐπειδὴ ὁ
Εὐαγγελιστὴς οὐκ εἶπεν, ἐθαύμασαν,
ὅτι μετὰ Σαμαρείτιδος, ἢ μετὰ τῆς γυ-
ναικὸς, ἐλάλει, ἀλλ' εἶπε, μετὰ γυναι-
κὸς, χωρὶς ἄρθρου, ἵνα νοήσωμεν οὐ-
χὶ τὴν Σαμαρείτιδα, ἀλλ' ἁπλῶς γυναῖ-
κα. Οὐδεὶς δὲ τῶν μαθητῶν ἠρώτησε
τὸν Κύριον, τί ζητεῖς, ἢ τί λαλεῖς μετ'
αὐτῆς, τὴν πρέπουσαν εὐλάβειαν καὶ τὸ
χρεωστούμενον σέβας φυλάττοντες πρὸς
τὸν διδάσκαλον αὐτῶν, ἅμα δὲ καὶ δι-
δάσκοντες ἡμᾶς, ἵνα φεύγωμεν τὴν μα-
ταίαν περιέργειαν.

Ἀφῆκεν οὖν τὴν ὑδρίαν αὐ- Αὐτ. 28.
τῆς ἡ γυνὴ, καὶ ἀπῆλθεν
εἰς τὴν πόλιν, καὶ λέγει τοῖς
ἀνθρώποις· Δεῦτε, ἴδετε ἄν- 29.
θρωπον, ὅς εἶπέ μοι πάντα
ὅσα ἐποίησα· μήτι οὗτός
ἐστιν ὁ Χριστός;

Βλέ-

Βλέπε ζῆλον πίστεως, καὶ προθυμίαν ψυχῆς. Αὐτὴ ἦλθεν εἰς τὸ φρέαρ, ἵνα ἀντλήσῃ ὕδωρ φθαρτὸν, ἐπειδὴ δὲ ἔπιεν ἐκεῖ τὸ ὕδωρ τὸ ζωοποιὸν, ἀφῆκε παρευθὺς τὸ ἀγγεῖον αὐτῆς ἐκεῖ, καθὼς καὶ οἱ θεῖοι Ἀπόστολοι τὰ δίκτυα, καὶ ἔτρεξεν εἰς τὴν πόλιν κηρύττουσα καὶ εὐαγγελιζομένη, καὶ πρὸς τοὺς ἄλλους μεταδίδουσα τῆς σωτηρίας τὸ χάρισμα· Ἔλθετε, (λέγει πρὸς τοὺς συμπολίτας αὐτῆς,) καὶ ἴδετε ἄνθρωπον, ὅστις ἐφανέρωσέ μοι πάντα ὅσα ἔπραξα· ἡ ταπείνωσις ἐνίκησε τὴν φυσικὴν αἰσχύνην· οὐκ εἶπε πρὸς αὐτοὺς, Ἔλθετε, ἵνα ἴδητε Προφήτην, ἢ καρδιογνώστην, ἀλλ' ἔλθετε, λέγει, ἴδετε ἄνθρωπον, ὅστις εἶπέ μοι πάντα ὅσα ἐποίησα, ἤγουν καὶ αὐτὰ τὰ ἀπόκρυφα ἔργα μου. Κἂν δὲ αὐτὴ ἐπίστευσεν, ὅτι αὐτός ἐστιν ὁ Χριστὸς, πρὸς τοὺς Σαμαρείτας ὅμως οὐκ ἐλάλησεν ἀποφασιστικῶς, Οὗτός ἐστιν ὁ Χριστὸς, ἀλλ' ὡς τάχα ἀποροῦσα εἶπε· Μήπως οὗτός ἐστιν ὁ Χριστός; τοῦτο δὲ οὕτως εἶπεν, ἵνα πολλῷ περισσότερον κινήσῃ τὴν περιέργειαν αὐτῶν, ὅπως, ἐλθόντες πρὸς τὸν Ἰησοῦν Χριστὸν, καὶ ἀκούσαντες τὴν διδασκαλίαν αὐτοῦ, πιστεύσωσι, καθὼς καὶ αὐτὴ ἐπίστευσεν.

Ἰωάν. δ'. 30, 31. Ἐξῆλθον οὖν ἐκ τῆς πόλεως, καὶ ἤρχοντο πρὸς αὐτόν. Ἐν δὲ τῷ μεταξὺ ἠρώτων αὐτὸν οἱ μαθηταὶ, λέγοντες· Ῥαββὶ, φάγε.

Ἐνεργητικὸς τῆς Σαμαρείτιδος ὁ λόγος· διότι, ὡς ἤκουσαν οἱ Σαμαρεῖται τὰ ῥήματα αὐτῆς, ἐξῆλθον ἐκ τῆς πόλεως, καὶ ἤρχοντο πρὸς τὸν Ἰησοῦν Χριστόν. Ἐν δὲ τῷ μεταξὺ, ἤγουν ἕως ἂν φθάσωσιν αὐτοὶ ἐκεῖ, ὅπου ὁ Χριστὸς ἐκάθητο, οἱ μαθηταὶ αὐτοῦ, γινώσκοντες, ὅτι ἦν νήστης, παρεκάλουν αὐτὸν, ἵνα φάγῃ ἐκ τῶν τροφῶν, ὧν ἠγόρασαν· Διδάσκαλε, ἔλεγον, φάγε.

Ὁ δὲ εἶπεν αὐτοῖς· Ἐγὼ Ἰωάν. δ'. 32.
βρῶσιν ἔχω φαγεῖν, ἣν ὑμεῖς
οὐκ οἴδατε. Ἔλεγον οὖν οἱ 33.
μαθηταὶ πρὸς ἀλλήλους·
Μήτις ἤνεγκεν αὐτῷ φαγεῖν;

Ἀλληγορικῶς ἀπεκρίθη πρὸς τοὺς μαθητὰς αὐτοῦ ὁ Κύριος· ὅθεν, μὴ νοήσαντες τὸν σκοπὸν τοῦ λόγου αὐτοῦ, καὶ νομίσαντες, ὅτι περὶ τροφῆς λαλεῖ σωματικῆς, ἔλεγεν ὁ εἷς πρὸς τὸν ἄλλον· Μήπως προσέφερέ τις αὐτῷ τροφὴν, ἵνα φάγῃ;

Λέγει αὐτοῖς ὁ Ἰησοῦς· Ἐ- Αὐτ. δ'. 34.
μὸν βρῶμά ἐστιν, ἵνα ποιῶ τὸ θέλημα τοῦ πέμψαντός με, καὶ τελειώσω αὐτοῦ τὸ ἔργον.

Ἐξηγεῖ λοιπὸν ὁ Κύριος τὴν ἀλληγορίαν, λέγων, ὅτι τροφὴ αὐτοῦ ἐστὶ τὸ θέλημα τοῦ πέμψαντος αὐτὸν Θεοῦ καὶ Πατρὸς, καὶ ἡ τελείωσις τοῦ ἔργου αὐτοῦ, ἤγουν ἡ σωτηρία τῶν ἀνθρώπων. Τροφὴν δὲ ὠνόμασε τοῦ Θεοῦ τὸ θέλημα, καθότι τρέφει τὴν ψυχὴν τοῦ φυλάσσοντος αὐτό· προσέτι δὲ, ἵνα παραστήσῃ, ὅτι τόσην ἐπιθυμίαν ἔχει διὰ τὴν τῶν ἀνθρώπων σωτηρίαν, ὅσην οἱ πεινῶντες ὑπὲρ τῆς τροφῆς. Ἀκούων δὲ, ὅτι πέμπεται ὁ Χριστὸς παρὰ τοῦ Πατρὸς, καὶ ὅτι ποιεῖ τὸ θέλημα, καὶ τελειοῖ τὸ ἔργον αὐτοῦ, μὴ προσαρμόσῃς ταῦτα ἐπὶ τὴν Θεότητα τοῦ Ἰησοῦ· διότι αὐτὸς, κα-

καθὸ Θεὸς ἀληθινὸς ὁμοούσιος τῷ Πατρὶ, οὐ πέμπεται παρ' αὐτοῦ, ἐν δὲ καὶ τὸ αὐτὸ θέλημα καὶ ἔργον ἔχει μετὰ τοῦ Θεοῦ καὶ Πατρός· διότι πάντα ὅσα ἔχει ὁ Πατὴρ, ἔχει καὶ ὁ Υἱὸς,
Ἰωάν. ιϛ'. 15. κατὰ τὸ, Πάντα ὅσα ἔχει ὁ Πατὴρ ἐμά ἐστι. Προσάρμοσον δὲ τὰ εἰρημένα λόγια ἐπὶ τὴν ἀνθρωπότητα τοῦ Χριστοῦ καὶ νόησον, ὅτι τὸ, πέμπεται παρὰ τοῦ Πατρὸς, σημαίνει, ὅτι εὐδοκίᾳ τοῦ Θεοῦ καὶ Πατρὸς ἐσαρκώθη, καὶ γέγονεν ἄνθρωπος· ὅθεν, καθὸ ἄνθρωπος, ποιεῖ διαπαντὸς τοῦ Θεοῦ τὸ θέλημα, καὶ τελειοῖ τῆς σωτηρίας ἡμῶν τὸ ἔργον.

Αὐτ. δ'. 35. Οὐχ ὑμεῖς λέγετε, ὅτι ἔτι τετράμηνόν ἐστι, καὶ ὁ θερισμὸς ἔρχεται; Ἰδοὺ, λέγω ὑμῖν, ἐπάρατε τοὺς ὀφθαλμοὺς ὑμῶν, καὶ θεάσασθε τὰς χώρας, ὅτι λευκαί εἰσι πρὸς θερισμὸν ἤδη.

Ποίαν ἀκολουθίαν ἔχουσι τὰ λόγια ταῦτα μετὰ τῶν προειρημένων; Εἶπεν ἀνωτέρω, ὅτι τροφὴ αὐτοῦ ἐστὶ τὸ θέλημα τοῦ πέμψαντος αὐτὸν Πατρὸς, καὶ ἡ τελείωσις τοῦ ἔργου αὐτοῦ· θέλημα δὲ τοῦ Θεοῦ καὶ τελείωσις τοῦ ἔργου αὐτοῦ, ἐστὶν ἡ ἀπὸ τῆς πλάνης ἐπιστροφὴ τῶν ἀνθρώπων. Περὶ ταύτης δὲ τῆς ἐπιστροφῆς λαλεῖ καὶ διὰ τῶν προκειμένων λόγων, ἐκ τῶν ἀνθρωπίνων καὶ αἰσθητῶν πραγμάτων λαμβάνων τὰς ἀφορμάς· Οὐχ ὑμεῖς λέγετε, ὅτι μετὰ τέσσαρας μῆνας ἔρχεται ὁ θερισμὸς τοῦ σίτου; ἰδοὺ, ἐγὼ λέγω ὑμῖν, ὑψώσατε τὰ ὄμματα τῆς ψυχῆς ἀπὸ τοῦ γηΐνου τούτου καὶ ὑλικοῦ θερισμοῦ ἐπὶ τὸν πνευματικὸν θερισμὸν, ἤγουν ἐπὶ τὴν ἐπιστροφὴν τῶν ἀνθρώπων· ὑψώσατε τὰ ὄμματα τοῦ νοὸς, καὶ ἴδετε, ὅτι αἱ χῶραί εἰσι λευκαὶ, ἤγουν ἕτοιμοι πρὸς τὴν σύναξιν τῶν ἐν αὐταῖς ἀνθρώπων εἰς τὴν ἀποθήκην τῆς πίστεως. Λευκὰς δὲ εἶπε τὰς χώρας, ἀντὶ τοῦ ἑτοίμους, καθότι καὶ ὁ σῖτος, ὅταν ὥριμος γίνηται, καὶ πρὸς θερισμὸν ἐπιτήδειος, τότε οἱ στάχυες αὐτοῦ φαίνονται ὡς λευκοί.

Καὶ ὁ θερίζων, μισθὸν λαμβάνει, καὶ συνάγει καρπὸν εἰς ζωὴν αἰώνιον· ἵνα καὶ ὁ σπείρων ὁμοῦ χαίρῃ, καὶ ὁ θερίζων. Ἰωάν. δ'. 36.

Βλέπε διαφορὰν μεταξὺ τοῦ σωματικοῦ καὶ τοῦ πνευματικοῦ θερισμοῦ. Ὅστις θερίζει σῖτον ὑλικὸν, συνάγει καρπὸν φθαρτὸν καὶ πρόσκαιρον· ὅστις θερίζει σῖτον πνευματικὸν, ἤγουν ἐπιστρέφει ἀνθρώπους ἀπὸ τῆς πλάνης αὐτῶν, συνάγει καρπὸν αἰώνιον, τουτέστι εἰσάγει τὸν καρπὸν τοῦ θερισμοῦ αὐτοῦ, οἵτινες εἰσὶν οἱ πιστεύοντες, εἰς τὴν μακαρίαν καὶ ἀτελεύτητον ζωήν. Πάλιν εἰς μὲν τὴν ὑλικὴν γεωργίαν οὐχ ὁ σπορεὺς χαίρει, ἀλλ' ὁ θεριστὴς, ἀπολαμβάνων τοῦ καρποῦ, καὶ τοῦ μισθοῦ τοῦ κόπου αὐτοῦ· εἰς δὲ τὴν πνευματικὴν γεωργίαν ἐπίσης χαίρει καὶ ὁ σπείρων, ἤγουν ὁ διδάσκων, καὶ ὁ θερίζων, τουτέστιν ὁ ἐπιστρέφων, καὶ τοὺς ἀδελφοὺς κερδαίνων. Οἱ Προφῆται ἔσπειραν τὰ πρῶτα τῆς θεογνωσίας σπέρματα· οἱ δὲ Ἀπόστολοι, διὰ τοῦ Εὐαγγελικοῦ κηρύγματος γεωργήσαντες τὸν προφητικὸν σπόρον, ἐθέρισαν τοὺς στάχυας τῆς πίστεως ἐκ τῶν πιστευσάντων εἰς τὸν Ἰησοῦν Χριστόν· ἅμα δὲ καὶ ἐπίσης χαίρουσι τὴν χαρὰν τὴν ἀνεκλάλητον καὶ οἱ Προφῆται

οἱ

οἱ σπείραντες, καὶ οἱ Ἀπόστολοι οἱ θερίσαντες·

Ἰωάν. δ'. 37. Ἐν γὰρ τούτῳ ὁ λόγος ἐστὶν ὁ ἀληθινὸς, ὅτι ἄλλος ἐστὶν ὁ σπείρων, καὶ ἄλλος ὁ θερίζων.

Ποῖός ἐστιν ὁ λόγος ὁ ἀληθινός; Αὐτὸς ὁ λόγος, ὅτι ἄλλος σπείρει, καὶ ἄλλος θερίζει· τοῦτο ἀληθεύει εἰς τὰ ἀνθρώπινα· διότι πολλάκις ἄλλος σπείρει εἰς τὸν ἀγρὸν τὸν σπόρον, καὶ ἄλλος τὸν καρπὸν θερίζει. Λέγει οὖν ὁ Σωτὴρ, Ἐν τούτῳ, ἤγουν ἐν ταύτῃ τῇ ὑποθέσει, περὶ ἧς ἐγὼ λαλῶ, ἁρμόζει οὗτος ὁ ἀληθινὸς λόγος· διότι οἱ Πατριάρχαι καὶ οἱ Προφῆται ἔσπειραν εἰς τὰς καρδίας τῶν ἀνθρώπων τῆς εὐσεβείας τὰ σπέρματα, διδάξαντες τὰ περὶ τοῦ ἀληθινοῦ Θεοῦ, καὶ τὰ περὶ τῆς ἐμῆς ἐνανθρωπήσεως· ὑμεῖς δὲ τὸν καρπὸν τῆς διδασκαλίας αὐτῶν, τέλειον γενόμενον διὰ τῆς γεωργίας τοῦ Εὐαγγελικοῦ κηρύγματος, θερίζετε, εἰσάγοντες τοὺς πιστεύοντας εἰς τὴν τῶν οὐρανῶν βασιλείαν.

Ἰωάν. δ'. 38. Ἐγὼ ἀπέστειλα ὑμᾶς θερίζειν ὃ οὐχ ὑμεῖς κεκοπιάκατε· ἄλλοι κεκοπιάκασι, καὶ ὑμεῖς εἰς τὸν κόπον αὐτῶν εἰσεληλύθατε.

Εἰδὼς ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς, ὅτι τὸ γένος τοῦ Ἰσραὴλ ἦν προητοιμασμένον εἰς τὴν ὑποδοχὴν τοῦ Εὐαγγελικοῦ κηρύγματος ὑπὲρ τὰ ἄλλα ἔθνη, ὅτε ἀπέστειλε τοὺς Ἀποστόλους αὐτοῦ ἐπὶ τὸ κήρυγμα, παρήγγειλεν αὐτοῖς, ἵνα προτιμήσωσι τοὺς Ἰουδαίους· Πορεύεσθε δὲ μᾶλλον, εἶπε, πρὸς τὰ πρόβατα τὰ ἀπολωλότα οἴκου Ἰσραήλ. Ματ. ί. 6. Εἰς ταύτην δὲ τὴν προετοιμασίαν, ἄλλοι, καὶ οὐχὶ οἱ Ἀπόστολοι, προλαβὸν ἐκοπίασαν, ἤγουν ὁ Μωϋσῆς, ὁ Ἰησοῦς τοῦ Ναυὴ, ὁ Ἡσαΐας, ὁ Ἱερεμίας, ὁ Δανιὴλ, πάντες οἱ Προφῆται καὶ οἱ ἐν νόμῳ δίκαιοι, ὑστερούμενοι, θλιβόμενοι, κακουχούμενοι· ἐν ἐρημίαις πλανώμενοι καὶ ὄρεσι, καὶ σπηλαίοις τῆς γῆς. Ἑβρ. ιά. 37, 38. Ἐκοπίασαν δὲ, ἵνα σπείρωσιν εἰς τὰς ψυχὰς τῶν ἀνθρώπων τὴν γνῶσιν τοῦ ἀληθινοῦ Θεοῦ, καὶ τὴν ἐλπίδα τῆς εἰς τὸν κόσμον ἐλεύσεως τοῦ Σωτῆρος Ἰησοῦ Χριστοῦ. Ὁ σπόρος δὲ, ὃν οὗτοι ἔσπειραν, ἦσαν τὰ προφητικὰ αὐτῶν βιβλία, καὶ ἡ προδιάθεσις, ἣν ἐποίησαν εἰς τὰς τῶν Ἰουδαίων καρδίας, εἰς ὑποδοχὴν τῆς εἰς Χριστὸν πίστεως. Βλέπε δὲ, πῶς οἱ Ἀπόστολοι εἰσέβησαν εἰς τὸν κόπον αὐτῶν, καὶ ἐθέρισαν τοὺς στάχυας τῶν σωζομένων. Ποῦ ἐθεμελίωσεν ὁ πρωτομάρτυς Στέφανος τὴν ὑπὲρ Χριστοῦ δημηγορίαν, ἣν ἐξεφώνησεν ἐνώπιον τοῦ Συνεδρίου; Πράξ. ζ'. εἰς τοὺς κόπους τῶν Πατριαρχῶν καὶ Προφητῶν. Πόθεν ἤρξατο ὁ Πέτρος τὴν περὶ τῆς εἰς Χριστὸν πίστεως διδασκαλίαν, δι' ἧς ἐν μιᾷ ἡμέρᾳ ἐπέστρεψεν ὡσεὶ πέντε χιλιάδας; Αὐτ. δ'. 4. ἀπὸ τοῦ κηρύγματος τῶν Προφητῶν. Πόθεν ὁ Παῦλος ἔπειθεν ἐν ταῖς Συναγωγαῖς τοὺς Ἰουδαίους, ὅτι τὸν Χριστὸν ἔδει παθεῖν, καὶ ἀναστῆναι ἐκ νεκρῶν; Αὐτ. ιζ'. 3. καὶ ὅτι ὁ Χριστὸς αὐτός ἐστιν ὁ προσδοκώμενος Μεσσίας καὶ Θεός; ἀπὸ τῶν θείων Γραφῶν. Πόθεν οἱ Εὐαγγελισταὶ, καὶ πάντες οἱ λοιποὶ Ἀπόστολοι εὐηγγελίζοντο τὸν Χριστὸν εἰς τοὺς Ἰουδαίους; ποῦ ἐστήριζον τὸ εὐαγγελικὸν αὐτῶν κήρυγμα; ἐπάνω εἰς τὰ θεμέλια τῶν σπερμάτων τῶν Προφητῶν. Ἀλλὰ

καὶ αὐτὸς ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ἐστήριζε τὴν διδασκαλίαν αὐτοῦ ἐπάνω εἰς τὰ προφητικὰ κηρύγματα· διὸ
Ἰωαν. ι. 46. καὶ ἔλεγεν· Εἰ γὰρ ἐπιστεύετε Μωσῇ, ἐπιστεύετε ἂν ἐμοί.

Αὐτ. δ'. 39. Ἐκ δὲ τῆς πόλεως ἐκείνης πολλοὶ ἐπίστευσαν εἰς αὐτὸν τῶν Σαμαρειτῶν, διὰ τὸν λόγον τῆς γυναικὸς, μαρτυρούσης· Ὅτι εἶπέ μοι πάντα ὅσα ἐποίησα.

Διηγηθεὶς ὁ θεῖος Εὐαγγελιστὴς ὅσα ὁ Θεάνθρωπος ἐδίδαξε τοὺς μαθητὰς αὐτοῦ, ἐπαναλαμβάνει τὴν σειρὰν τοῦ λόγου αὐτοῦ λέγων· Πολλοὶ ἐκ τῆς πόλεως ἐκείνης, ἤγουν ἐκ τῆς Σαμαρείας, ἀκούσαντες τὴν συμπολῖτιν αὐτῶν Σαμαρεῖτιδα μαρτυροῦσαν, ὅτι εὗρεν ἄνθρωπον, ὅστις εἶπεν αὐτῇ πάντα ὅσα ἔπραξεν, ἐπίστευσαν εἰς τὸν Ἰησοῦν Χριστόν.

Αὐτ. δ'. 40. Ὡς οὖν ἦλθον πρὸς αὐτὸν οἱ Σαμαρεῖται, ἠρώτων αὐτὸν μεῖναι παρ' αὐτοῖς· καὶ ἔμεινεν ἐκεῖ δύω ἡμέρας.

Οἱ οὖν Σαμαρεῖται, ἐξελθόντες ἐκ τῆς Σαμαρείας, ἔδραμον εἰς τὴν πόλιν Σιχὰρ, καὶ προσελθόντες πρὸς τὸν Ἰησοῦν Χριστὸν, παρεκάλουν αὐτὸν, ἵνα μείνῃ παρ' αὐτοῖς· ὁ δὲ φιλάνθρωπος Ἰησοῦς ἔμεινεν ἐκεῖ μετ' αὐτῶν δύω ἡμέρας. Ἐνταῦθα δὲ σημείωσον τὴν προθυμίαν, καὶ τὸν ζῆλον τῶν Σαμαρειτῶν, καὶ τὴν ἄκραν φιλανθρωπίαν τοῦ Κυρίου Ἰησοῦ. Ἐκεῖνοι παρακαλοῦσι προθύμως, οὗτος δὲ συγκατανεύει φιλανθρώπως εἰς τὴν ἐκπλήρωσιν τῆς αἰτήσεως αὐτῶν.

Καὶ πολλῷ πλείους ἐπίστευσαν διὰ τὸν λόγον αὐτοῦ. Ἰωάν. δ'. 41, 42.
Τῇ τε γυναικὶ ἔλεγον· Ὅτι οὐκέτι διὰ τὴν σὴν λαλιὰν πιστεύομεν· αὐτοὶ γὰρ ἀκηκόαμεν, καὶ οἴδαμεν, ὅτι αὐτός ἐστιν ἀληθῶς ὁ Σωτὴρ τοῦ κόσμου, ὁ Χριστός.

Ἐκ τούτου τοῦ λόγου, αὐτοὶ γὰρ ἀκηκόαμεν, φανερόν ἐστιν, ὅτι ὁ Κύριος ἡμῶν, ἐν ταῖς δύω ἡμέραις, ἐν αἷς ἔμεινεν ἐκεῖ, ἐδίδασκε πάντας, ὅσοι ἦλθον πρὸς αὐτόν· ὁ δὲ λόγος τῆς διδασκαλίας αὐτοῦ ἐκαρποφόρησε πλείονα καρπὸν τῆς μαρτυρίας, ἣν ἡ Σαμαρεῖτις ἐμαρτύρησε· διότι πολλῷ περισσότεροι ἐπίστευσαν, ἀκούσαντες τὴν διδαχὴν αὐτοῦ, τῶν πιστευσάντων διὰ τῆς μαρτυρίας τῆς γυναικός· ὥστε καὶ ἔλεγον πρὸς αὐτήν· Ἡμεῖς πιστεύομεν τῷ Ἰησοῦ Χριστῷ οὐχ ὡς πρότερον διὰ τὰ λόγιά σου, καὶ τὴν μαρτυρίαν σου, ἀλλὰ διότι ἠκούσαμεν τὴν διδασκαλίαν αὐτοῦ· καὶ γινώσκομεν δὲ, ὅτι αὐτός ἐστιν ἀληθῶς ὁ προσδοκώμενος Χριστὸς, ὁ Σωτὴρ τοῦ κόσμου. Πόθεν δὲ τοῦτο οἱ Σαμαρεῖται ἐγίνωσκον; Ἐκ τῶν βιβλίων βέβαια τοῦ Μωϋσέως, ἅπερ ἀνεγίνωσκον, καὶ εὐλα-
βοῦντο· ἔβλεπον ἐν αὐτοῖς τὸ, Ἀνατε- Ἀριθ. κδ'. 17.
λεῖ ἄστρον ἐξ Ἰακώβ· καὶ τὸ, Προ- Δευτ. ιη'. 15.
φήτην ἐκ τῶν ἀδελφῶν σου ὡς ἐμὲ,
ἀναστήσει σοι Κύριος ὁ Θεός σου·
αὐτοῦ ἀκούσεσθε· καὶ τὸ, Καὶ αὐ- Γεν. μθ'. 10.
τὸς προσδοκία ἐθνῶν· ἐκ τούτων
καὶ ἡ Σαμαρεῖτις ἔλεγεν· Οἶδα, ὅτι Ἰωάν. δ'. 25.
Μεσσίας ἔρχεται, ὁ λεγόμενος Χριστός. Ἡ δὲ οὐράνιος διδαχὴ τοῦ Ἰησοῦ Χριστοῦ, εἰς τὴν καρδίαν αὐτῶν εἰσελθοῦσα, ἔπεισεν αὐτοὺς, ὅτι αὐτός ἐστιν ἐκεῖνος, περὶ οὗ ταῦτα προεφητεύθησαν.

# ΟΜΙΛΙΑ

## ΜΕΤΑ ΤΟ ΚΑΤΑ

# ΙΩΑΝΝΗΝ

## ΕΥΑΓΓΕΛ. ΤΗΣ ΚΥΡΙΑΚΗΣ ΤΗΣ ΣΑΜΑΡΕΙΤΙΔΟΣ.

Τῆς Σαμαρείτιδος ἡ ἱστορία ἀνοίγει τὸ περιβόητον ἅμα καὶ ἀκατανόητον τοῦ προορισμοῦ ζήτημα. Ἡ Σαμαρεῖτις ἦλθεν εἰς τὸ φρέαρ τοῦ Ἰακὼβ, ἵνα ἀντλήσῃ ὕδωρ· οὐδὲ προεῖδεν, οὐδὲ ἐστοχάσθη παντελῶς, ὅτι ἐκεῖ εὑρίσκει τοῦ κόσμου τὸν Σωτῆρα· καὶ ὅμως ἐκεῖ εὗρε τὴν ψυχικὴν αὐτῆς σωτηρίαν· ἄλλο ζητεῖ, καὶ ἄλλο εὑρίσκει· ζητεῖ ὕδωρ φθαρτὸν, καὶ εὑρίσκει οὐράνιον βασιλείαν. Ἰδοὺ ὁ λόγος τοῦ θεσπεσίου Παύλου·
Ῥωμ. θ'. 18. *Ἄρα ὃν θέλει, ἐλεεῖ· ὃν δὲ θέλει, σκληρύνει·* ἠθέλησεν ὁ Θεὸς ἐλεῆσαι τὴν Σαμαρείτιδα, ὅθεν ᾠκονόμησεν, ἵνα, κατ' ἐκείνην τὴν ὥραν, ἐν ᾗ ὁ μονογενὴς αὐτοῦ Υἱὸς ἔφθασεν εἰς τὴν πηγὴν τοῦ Ἰακὼβ, ἔλθῃ καὶ αὐτὴ ἐκεῖ, ἵνα ἀντλήσῃ τὸ ὕδωρ, καὶ οὕτω πιστεύσασα σωθῇ· προώρισεν ὁ Θεὸς ἀπ' αἰῶνος τὴν σωτηρίαν αὐτῆς, ἐκάλεσεν αὐτὴν διὰ τῆς διδασκαλίας τοῦ Υἱοῦ αὐτοῦ, δικαίαν καὶ ἁγίαν κατέστησε διὰ τῆς πίστεως καὶ μετανοίας, ἔπειτα καὶ ἐδόξασεν ἐν τοῖς οὐρανοῖς, μαρτυρικῷ στεφάνῳ στέψας τὴν ψυχὴν αὐτῆς·
Αὐτ. η'. 30. *Οὓς δὲ προώρισε, τούτους καὶ ἐκάλεσε· καὶ οὓς ἐκάλεσε, τούτους καὶ ἐδικαίωσεν· οὓς δὲ ἐδικαίωσε, τούτους καὶ ἐδόξασε.* Ἐὰν λοιπὸν ὁ Θεὸς εἰς ἐκεῖνον, ὃν θέλει, δίδωσι τὸ ἔλεος αὐτοῦ, καὶ ἐκεῖνον, ὃν θέλει, ποιεῖ σκληροκάρδιον· ἐὰν ὁ Θεὸς προορίζῃ, καὶ καλῇ, καὶ δικαιοῖ, καὶ δοξάζῃ· ἐὰν ὁ Θεὸς ἄλλους μὲν κατασκευάζῃ σκεύη ἄξια τοῦ ἐλέους αὐτοῦ, καὶ ἑτοιμάζῃ αὐτοὺς διὰ τὴν αἰώνιον ζωήν· ἄλλους δὲ καθίστησι σκεύη ὀργῆς, κατηρτισμένα εἰς ἀπώλειαν· διατί ἔπειτα μέμφεται καὶ κατακρίνει τοὺς κακοὺς ἀνθρώπους; ἐὰν ὁ Θεὸς ἠθέλησεν, ἵνα σκληρύνῃ τὴν καρδίαν μου, καὶ καταστήσῃ με σκεῦος ὀργῆς, ἄξιον ἀπωλείας, διατί ἔπειτα κατακρίνει με; τίς εἰμι ἐγὼ, ἵνα ἀντισταθῶ τῷ θελήματι αὐτοῦ; *Τῷ βουλήματι αὐτοῦ τίς ἀνθέστηκεν;* Ῥωμ. θ'. 19.

Ὁ θεηγόρος Ἀπόστολος, ὅστις προβάλλει ταύτην τὴν ἀπορίαν, πρῶτον μὲν ἐλέγχει αὐστηρὰ τὸν ἄνθρωπον ἐκεῖνον, ὅστις ἀποτολμᾷ καὶ προφέρει τοιαῦτα αὐθαδέστατα λόγια· Ὦ ἄνθρωπε, λέγει, τίς εἶ σὺ, ὅστις ἀνταποκρίνεσαι εἰς τὸν Θεόν; σὺ τὸ πλάσμα τοῦ Θεοῦ, τολμᾷς καὶ λέγεις πρὸς τὸν Θεὸν τὸν πλάστην σου, Διατί με ἐποίησας τοιοῦτον; μήπως οὐκ ἔχει ἐξουσίαν ὁ κεραμεὺς τοῦ πηλοῦ, ἵνα κατασκευάσῃ ἐκ τῆς αὐτῆς πηλώδους ζύμης ἄλλο μὲν σκεῦος πρὸς χρῆσιν τιμίαν, ἄλλο δὲ πρὸς χρῆσιν εὐτελῆ καὶ ἄτιμον; Τοιουτοτρόπως δὲ ὁ Ἀπόστολος, ἀποῤῥαπίσας, καὶ ἐπιστομίσας τὸν τολμηρὸν καὶ ἀθυρόστομον ἄνθρωπον, λύει διὰ τοῦ παραδείγματος τῶν δύω λαῶν, τοῦ ἐθνικοῦ δηλαδὴ καὶ τοῦ Ἰσραηλιτικοῦ, τὴν ἀπορίαν· Τὰ ἔθνη, λέγει, οὐκ ἐφρόντιζον διὰ τὴν σωτηρίαν αὐτῶν, καὶ ὅμως ἔτυχον τὴν ἐκ πίστεως δικαίωσιν καὶ σωτηρίαν· ὁ Ἰσραὴλ ἐφρόν-

τι-

τιζε, καὶ ὅμως ἐστερήθη καὶ ἀπέτυχε.
Καὶ ταῦτα μὲν τὰ λόγια περιέχουσιν
ὅλην τὴν ἀπορίαν, ἣν ἀνωτέρω ὁ μέγας
Ἀπόστολος ἐπρόβαλεν· ἔπειτα λέγει,
Διατί τοῦτο; καὶ εὐθὺς ἐπιφέρει τὴν λύ-
σιν· Ὁ Ἰσραὴλ, λέγει, ἐστερήθη τῆς δι-
καιώσεως, ἐπειδὴ ἐζήτει αὐτὴν οὐκ ἐκ τῆς
πίστεως, ἀλλ' ἐκ τῶν ἔργων τοῦ νόμου·
Ῥωμ. θ΄. 32. Ἐξ ἔργων δὲ νόμου, ἀλλαχοῦ λέγει,
Αὐτ. γ΄. 20. οὐ δικαιωθήσεται πᾶσα σάρξ.
Αὐτὴ ἡ ἀποστολικὴ ἐξήγησις διδάσκει
ἡμᾶς, ὅτι ἐκεῖνον μὲν, ὃν ὁ Θεὸς θέλει,
ἐλεεῖ· ἀλλὰ θέλει οὐχὶ ἁπλῶς καὶ ὡς
ἔτυχεν, ἀλλὰ μετὰ λόγου, ἤγουν θέλει
νὰ ἐλεήσῃ τὸν ἄξιον ἐλέους· ἐκεῖνον δὲ,
ὃν θέλει, σκληρύνει, τουτέστι παῤῥη-
σιάζει σκληρὸν ἐκεῖνον, ὅστις ἔχει καὶ
γνώμην καὶ καρδίαν σκληροκάρδιον· κα-
τασκευάζει σκεύη τίμια ἐκείνους, ὧν ἡ
διάθεσίς ἐστι τιμία, καὶ σκεύη ἄτιμα
ἐκείνους, οἵτινες ἔχουσι κλίσιν εἰς τὰ
πάθη τῆς ἀτιμίας· προορίζει, ναὶ, καὶ
προσκαλεῖ, καὶ δικαιοῖ, καὶ δοξάζει,
ἀλλ' ἐκείνους, οὓς προεγνώρισεν ἀξίους·
Αὐτ. η΄. 29. Ὅτι οὓς προέγνω, καὶ προώρισεν.
Ἠθέλησε, ναὶ, ὁ Θεὸς νὰ σώσῃ τὴν
Σαμαρείτιδα, ἀλλ' ἠθέλησεν, ἐπειδὴ, διὰ
τὴν ἀγαθὴν αὐτῆς γνώμην καὶ προαίρε-
σιν, ἀξία ἦν τῆς σωτηρίας· βλέπομεν
τοῦτο εἰς αὐτὴν τὴν εὐαγγελικὴν ἱστορίαν.
Ὅταν αὐτὴ ἐγνώρισεν, ὅτι ὁ Κύριος, ὁ
ζητήσας παρ' αὐτῆς ὕδωρ, ἦν Ἰουδαῖος,
ἐὰν εἶχε δεισιδαιμονίαν καὶ προκατάλη-
ψιν, ἠρνεῖτο τὴν δόσιν τοῦ ὕδατος, ἔφευ-
γεν εὐθὺς, καὶ ἀπεστρέφετο τὸν Ἰησοῦν
Χριστόν· (διότι οὐχὶ μόνον οἱ Ἰουδαῖοι
ἔφευγον τοὺς Σαμαρείτας, ἀλλὰ καὶ οἱ
Σαμαρεῖται πολλῷ μᾶλλον ἀπεστρέφον-
το τοὺς Ἰουδαίους·) αὐτὴ ὅμως, ἐλευ-
θέρα τῆς σχισματικῆς ἰσχυρογνωμοσύ-
νης, καὶ συνετὴ καὶ φρόνιμος, οὐδὲν τού-
των ἔπραξεν· ἀλλὰ πρῶτον μὲν ἐθαύ-
μασε, πῶς αὐτὸς, Ἰουδαῖος ὢν, ἐζήτησε
παρ' αὐτῆς ὕδωρ, ἔπειτα ἔμεινε συνομι-
λοῦσα μετ' αὐτοῦ, καὶ ἀκούουσα προσε-
κτικῶς τὰ θεῖα αὐτοῦ λόγια· ὅτε δὲ
ἤκουσεν, ὅτι ὁ Κύριος ἔχει ὕδωρ ζῶν,
καὶ ὁ πίνων αὐτὸ, οὐ διψᾷ εἰς τὸν αἰῶ-
να, οὐδὲ τοῦτο ἐτάραξεν αὐτήν· οὐκ ἐ-
δίστασεν, οὐδὲ ἠπίστησεν, οὐδὲ ἀδύνατα
ἐστοχάσθη τὰ λεγόμενα· ἀλλ' εὐθὺς,
πιστεύσασα καὶ καταπεισθεῖσα, Δός Ἰωάν. δ΄. 15.
μοι, εἶπε, Κύριε, τοῦτο τὸ ὕδωρ,
ἵνα μὴ διψῶ, μηδὲ ἔρχωμαι ἐνθά-
δε ἀντλεῖν· τοῦτο δὲ δηλοῖ τὴν ἁπλό-
τητα τῆς καρδίας αὐτῆς. Ὅτε πάλιν ἤ-
κουσε τὸν Κύριον, ἐλέγχοντα τὰ ἀπό-
κρυφα αὐτῆς ἔργα, οὐκ ᾐσχύνθη, οὐδὲ
ἐταράχθη, ἀλλ' ὡμολόγησε καὶ ἐβεβαίω-
σε τὰ λεγόμενα, λέγουσα· Κύριε, θεω- Αὐτόθι. 19.
ρῶ, ὅτι Προφήτης εἶ σύ· τοῦτο δὲ
ἐμφαίνει τὴν ταπεινοφροσύνην καὶ πραό-
τητα τῆς ἁγίας γυναικός. Αὐτὴ ἐλάλη-
σε περὶ τοῦ Μεσσίου, λέγουσα· Οἶδα, Αὐτόθι. 25.
ὅτι Μεσσίας ἔρχεται, ὁ λεγόμε-
νος Χριστός· τοῦτο δὲ ἐστιν ἀπόδει-
ξις τῆς ἀναγνώσεως καὶ μελέτης τῆς ἁ-
γίας Γραφῆς, καὶ τῆς ἐλπίδος τῆς σω-
τηρίας, ἣν εἶχε πρὸς τὸν προσδοκώμενον
Ἰησοῦν Χριστόν· Ὅταν ἔλθῃ ἐκεῖνος, Αὐτόθι.
ἔλεγεν, ἀναγγελεῖ ἡμῖν πάντα.
Αὐτὴ, ὅτε ἤκουσε τὴν διδασκαλίαν τοῦ
Σωτῆρος, τόσην προθυμίαν, καὶ ζῆλον,
καὶ ἀγάπην ἔδειξεν, ὥστε ἐγκατέλειπε
μὲν τὴν ὑδρίαν αὐτῆς εἰς τὸ φρέαρ, ἔ-
τρεξε δὲ προθύμως εἰς τὴν πόλιν, καὶ
ἐκήρυξε τὸ ὄνομα τοῦ Ἰησοῦ Χριστοῦ εἰς
τοὺς συμπολίτας αὐτῆς. Βλέπετε λοι-
πὸν πόσας ἀρετὰς εἶχεν αὐτὴ ἡ θαυμα-
σία γυνή; εἶχε φρόνησιν, ἁπλότητα, ἀ-
κακίαν, ταπεινοφροσύνην, πρᾳότητα, με-
λέτην τῆς θείας Γραφῆς, ἐλπίδα εἰς τὸν
Χριστὸν, ζῆλον, ἀγάπην εἰς τὸν πλησίον
αὐτῆς· διὰ τὴν ἀρετὴν λοιπὸν, καὶ τὴν
ἀγαθὴν αὐτῆς προαίρεσιν, ἠξίωσεν αὐ-
τὴν ὁ Θεὸς τῶν πλουσίων αὐτοῦ δωρεῶν.

Ἀλλ'

'Αλλ' ὁ αὐτὸς 'Απόστολος λέγει·
Φιλιπ. β΄. 13. 'Ο Θεός ἐστιν ὁ ἐνεργῶν ἐν ὑμῖν καὶ τὸ θέλειν καὶ τὸ ἐνεργεῖν· λοιπὸν ὁ Θεὸς ἔδωκεν αὐτῇ καὶ τὴν ἀγαθὴν θέλησιν, καὶ τὰ καλὰ ἔργα· ἐὰν οὖν ὁ Θεὸς καὶ τὴν θέλησιν τὴν καλὴν, καὶ τὴν κατόρθωσιν τῆς ἀρετῆς ἐνεργῇ, διατί λέγει ἔπειτα τὸ, ἐὰν θέλω ἐγώ;
Ματ. ιθ΄. 17. Εἰ δὲ θέλεις εἰσελθεῖν εἰς τὴν ζωὴν, τήρησον τὰς ἐντολάς· αὐτὸς δίδωσι τὴν θέλησιν, ἔπειτα λέγει, ἐὰν ἐγὼ θέλω; πῶς ταῦτα συμφωνοῦσι; Σύμφωνά εἰσιν, ὅταν νοήσωμεν αὐτὰ καθὼς πρέπει. 'Η θέλησις τοῦ ἀνθρώπου εἰς τὸ ἀγαθὸν οὐδὲν ἄλλο ἐστὶν, εἰμὴ μικρά τις καλὴ διάθεσις, ἥτις μόνη οὐκ ἔστιν ἀρκετὴ πρὸς ἐκπλήρωσιν τοῦ καλοῦ· αὐτὴ ὁμοιάζει τὰ λεπτότατα φυτὰ, ὅταν ἄρχωνται νὰ προκύπτωσιν εἰς τὴν ἐπιφάνειαν τῆς ἀνύδρου γῆς· καθὼς δὲ αὐτὰ, ἐὰν μὴ ἡ βροχὴ ποτίσῃ τὸ πρόσωπον τῆς γῆς, ξηραίνονται· οὕτω καὶ ἡ μικρὰ διάθεσις τῆς θελήσεως τοῦ ἀνθρώπου, ἐὰν μὴ ἡ χάρις τοῦ Θεοῦ ἐνδυναμώσῃ αὐτὴν, φθείρεται. Βλέπει ὁ Θεὸς ἐν ἡμῖν τὴν μικρὰν κλίσιν εἰς τὸ ἀγαθὸν, καὶ, διὰ τὴν ἄπειρον αὐτοῦ φιλανθρωπίαν, λογιζόμενος αὐτὴν ὡς θέλησιν τελείαν, ἐξαποστέλλει εὐθὺς τὴν χάριν αὐτοῦ, ἥτις, συμβοηθοῦσα αὐτῇ, ποιεῖ αὐτὴν θέλησιν ἰσχυρὰν καὶ ἱκανὴν πρὸς τὴν πρᾶξιν τῆς ἀρετῆς· τοιουτοτρόπως λοιπὸν θέλομεν ἡμεῖς, καὶ τοιουτοτρόπως ὁ Θεὸς ἐνεργεῖ ἐν ἡμῖν καὶ τὸ θέλειν, καὶ τὸ ἐνεργεῖν. Ὅταν δὲ ὁ Θεὸς βλέπῃ εἰς τὴν καρδίαν ἡμῶν κακὴν διάθεσιν, τότε ἀφαιρεῖ τὴν βοήθειαν τῆς χάριτος ἀφ' ἡμῶν· ὅθεν ἡ καρδία ἡμῶν, ἐξαγριουμένη, ἀκάνθας βλαστάνει καὶ τριβόλους, ἤγουν ἔργα σκληρὰ καὶ κάκιστα.

Προγνωρίζει ὁ Θεὸς ὅσα μέλλει ὁ ἄνθρωπος νὰ πράξῃ· ἀλλὰ καθὼς ἡ πρόγνωσις τοῦ ἰατροῦ οὐδὲ ἰατρείαν φέρει εἰς τὸν ἀσθενῆ, οὐδὲ θάνατον, οὕτω καὶ ἡ πρόγνωσις τοῦ Θεοῦ οὐδὲ τῆς ἀρετῆς, οὐδὲ τῆς κακίας τοῦ ἀνθρώπου γίνεται πρόξενος. Ἔρχεται ὁ σοφὸς ἰατρὸς ἐπάνω εἰς τὴν κλίνην τοῦ ἀσθενοῦς, περιεργάζεται ἀκριβῶς τὴν ἀσθένειαν, καὶ ἐὰν μὲν ἴδῃ σημεῖα ὑγείας, προγνωρίζει ζωὴν, ἐὰν δὲ σημεῖα θανάτου, θάνατον· ὁμοίως καὶ ὁ Θεὸς ἐπισκέπτεται τοῦ ἀνθρώπου τὴν καρδίαν, καὶ ἐὰν μὲν εὕρῃ διάθεσιν ἀγαθωσύνης, προγνωρίζει ἔργα θεάρεστα, ἐὰν δὲ, διάθεσιν πονηρίας, ἔργα πονηρά. Πάλιν ὅταν ὁ ἰατρὸς προγνωρίσῃ τὴν ἔκβασιν τοῦ πάθους, τότε προορίζει· Οὗτος ὁ ἄνθρωπος, λέγει, μετ' ὀλίγας ἡμέρας ἰατρεύεται, ἢ μετ' ὀλίγας ἡμέρας ἀποθνήσκει· ὁμοίως καὶ ὁ Θεὸς, ὅταν προγνωρίσῃ τοῦ ἀνθρώπου τὴν θέλησιν, προορίζει αὐτὸν ἢ διὰ τὸν παράδεισον, ἢ διὰ τὴν κόλασιν. Καθὼς δὲ ἡ πρόγνωσις καὶ ὁ προορισμὸς τοῦ ἰατροῦ οὐδὲ τὴν ζωὴν, οὐδὲ τὸν θάνατον προξενοῦσιν εἰς τὸν ἀσθενῆ· οὕτω καὶ ἡ πρόγνωσις καὶ ὁ προορισμὸς τοῦ Θεοῦ οὐδὲ τῆς σωτηρίας τοῦ ἀνθρώπου εἰσὶν αἴτια, οὐδὲ τῆς ἀπωλείας αὐτοῦ. Οὐχὶ διατί ὁ ἰατρὸς προεῖδε, καὶ προώρισε, διὰ τοῦτο ὁ ἀσθενὴς ἔζησεν, ἢ ἀπέθανεν· ἀλλ' ἐπειδὴ ὁ ἀσθενὴς ἔπρεπεν ἢ νὰ ζήσῃ, διὰ τὸ ἐλαφρὸν τῆς ἀσθενείας, ἢ νὰ ἀποθάνῃ διὰ τὸ βάρος τοῦ πάθους, διὰ τοῦτο ὁ ἰατρὸς προεῖδε καὶ προώρισε τὴν ζωὴν, ἢ τὸν θάνατον· οὐχὶ ἐπειδὴ ὁ Θεὸς προεγνώρισε, διὰ τοῦτο ὁ ἄνθρωπος ἐσώθη, ἢ ἐκολάσθη· ἀλλ' ἐπειδὴ ἔμελλεν ὁ ἄνθρωπος ἢ νὰ πράξῃ καλὰ, καὶ σωθῇ, διὰ τὴν καλὴν αὐτοῦ προαίρεσιν, ἢ νὰ πράξῃ κακὰ, καὶ κολασθῇ, διὰ τὴν κακὴν αὐτοῦ γνώμην, διὰ τοῦτο ὁ Θεὸς προεγνώρισε, καὶ προώρισε τὴν σωτηρίαν αὐτοῦ, ἢ τὴν κόλασιν.

'Αλλ'

Ἀλλ' ἆρά γε οὐδεμία διαφορά ἐστι μεταξὺ τῆς προγνώσεως τοῦ Θεοῦ, καὶ τῆς τοῦ ἰατροῦ; Ἡ διαφορά ἐστι μεγάλη· διότι ὁ μὲν Θεὸς πάντας καὶ πάντοτε προγνωρίζει, καὶ προορίζει· ὁ δὲ ἰατρὸς τινὰς μόνον, καὶ ἐνίοτε. Πάλιν ἡ μὲν τοῦ Θεοῦ πρόγνωσις, καὶ ὁ προορισμός ἐστιν ἀλάνθαστος· ὁ δὲ τοῦ ἰατροῦ, πολλάκις λελανθασμένος.

Ἔστω, λέγει ὁ δύστροπος ἄνθρωπος· ἐγὼ, καὶ οὐχὶ ὁ προορισμὸς τοῦ Θεοῦ, εἰμὶ τὸ αἴτιον τῶν καλῶν ἢ τῶν κακῶν μου πράξεων· ἀλλ' ἐπειδὴ ὁ προορισμὸς τοῦ Θεοῦ ἐστὶν ἀλάνθαστος, ἐγὼ λοιπὸν εἰμὶ διωρισμένος ἢ διὰ τὸν παράδεισον, ἢ διὰ τὴν κόλασιν· καὶ ἐὰν μὲν διὰ τὸν παράδεισον, περιττή ἐστιν ἡ φροντίς μου διὰ τὰ καλὰ ἔργα· ἐὰν δὲ διὰ τὴν κόλασιν, περιττή ἐστιν ἡ μέριμνά μου διὰ τὴν μετάνοιαν· τοῦτό ἐστι παραλογισμὸς φανερός· διότι ὁ Θεὸς, διὰ τὰ καλὰ ἔργα σου, προορίζει τὴν σωτηρίαν σου, καθὼς καὶ διὰ τὰς πονηρίας σου τὴν κόλασίν σου. Προορίζει, ναὶ, ὁ Θεὸς, ἀλλ' ὁ προορισμὸς αὐτοῦ οὐδεμίαν ἀνάγκην φέρει εἰς τὴν θέλησίν σου· προορίζει μὲν τὴν σωτηρίαν σου, ἢ τὴν κόλασίν σου, ἀλλ' ἅμα βλέπει καὶ τὸ αὐτεξούσιον τῆς θελήσεώς σου, ἅμα γνωρίζει, ὅτι, ἐπειδὴ ἐχάρισέ σοι τὸ αὐτεξούσιον, σήμερον ὑπάρχεις πονηρὸς, αὔριον δὲ, ἐὰν θέλῃς, γίνεσαι ἀγαθός· σήμερον ἵστασαι εἰς τὴν ἀρετὴν, αὔριον, ἐὰν θέλῃς, πίπτεις εἰς τὴν ἁμαρτίαν. Ὅθεν καθὼς ὁ ἰατρὸς, μὴ δυνάμενος νὰ ἐμποδίσῃ τὰς μεταβολὰς τῆς φύσεως, κἂν προορίσῃ τοῦ ἀσθενοῦς τὸν θάνατον, ὅμως οὐ παύει μετερχόμενος τὰ θεραπευτικὰ βότανα, ἕως τῆς ἐσχάτης ἀναπνοῆς τοῦ ἀῤῥώστου· οὕτω καὶ ὁ Θεὸς, μὴ θέλων, διὰ τὴν αὐτοῦ δικαιοσύνην, νὰ ἀναγκάσῃ τὴν προαίρεσιν, κἂν προορίζῃ τοῦ ἁμαρτωλοῦ τὴν κόλασιν, μετέρχεται ὅμως, ἕως τέλους τῆς ζωῆς αὐτοῦ, πάντα τρόπον πρὸς τὴν αὐτοῦ διόρθωσιν.

Προωρισμένος ἦν ὁ Φαραὼ διὰ τὴν ἀπώλειαν· διατί λοιπὸν ὁ Θεὸς ἔπραξε τόσα θαύματα πρὸς ἐπιστροφὴν αὐτοῦ καὶ διόρθωσιν; Διότι εἶχεν ὁ Φαραὼ τὸ αὐτεξούσιον· διότι, ἐὰν ἤθελεν, ἐδύνετο νὰ μεταβάλῃ τὴν σκληρότητα αὐτοῦ εἰς ἁπαλότητα. Προωρισμένος ὁ Ἰούδας διὰ τὴν κόλασιν· διατί λοιπὸν κατέστησεν αὐτὸν ὁ Χριστὸς Ἀπόστολον; διατί ἠξίωσεν αὐτὸν τῆς θείας αὐτοῦ συναναστροφῆς, καὶ τῆς τραπέζης, καὶ τῆς καθημερινῆς διδασκαλίας; διατί ἔδωκεν εἰς τὰς χεῖρας αὐτοῦ τὸ γλωσσόκομον, καὶ τὰ ἀργύρια; διατί ἔνιψε τοὺς πόδας αὐτοῦ, καὶ μετέδωκεν αὐτῷ τῶν θείων μυστηρίων; Διότι εἶχεν ὁ Ἰούδας ἐλευθέραν τὴν θέλησιν· διότι, ἐὰν ἤθελεν, ἔφευγε τὴν φιλαργυρίαν, καὶ ἐκέρδαινε τὴν αἰώνιον σωτηρίαν. Προωρισμένη ἦν τῶν Νινευϊτῶν ἡ καταστροφή· Ἔτι τρεῖς ἡ- Ἰωάν. γ'.
μέραι, καὶ Νινευὴ καταστραφήσε- 4.
ται· ἀλλ' οἱ Νινευῖται μετανοοῦσι καὶ σώζονται. Προωρισμένος ὁ Ἐζεκίας διὰ τὸν θάνατον· Τάξαι περὶ τοῦ οἴ- Ἡσ. λη'.
κου σου, ἀποθνήσκεις γὰρ σὺ, 1.
καὶ οὐ ζήσῃ· ὁ Ἐζεκίας κλαίει, καὶ ἀντὶ θανάτου λαμβάνει ζωήν. Προορίζει ὁ Θεὸς τῆς Πενταπόλεως τὸν ἀφανισμὸν, ἀλλ' ὑπὸ τοῦ Ἀβραὰμ παρακαλούμενος, λέγει· Ἐὰν εὑρεθῶσιν ἐκεῖ δέκα Γεν. ιη'.
δίκαιοι, οὐ μὴ ἀπολέσω, ἕνεκεν 32.
τῶν δέκα. Μετὰ δὲ τὰ παραδείγματα ταῦτα, τίς οὐ βλέπει, ὅτι ἄφρων ἐστὶν ἐκεῖνος ὁ Χριστιανὸς, ὅστις ἀμελεῖ τὴν μέριμναν τῆς ψυχικῆς αὐτοῦ σωτηρίας;

Ἀληθῶς ἀκατανόητόν ἐστι τὸ, πῶς ὁ μὲν τοῦ Θεοῦ προορισμός ἐστιν ἀλάνθαστος, ἡ δὲ τοῦ ἀνθρώπου θέλησις ἐλευθέρως μεταβάλλεται ἐκ τῆς ἀρετῆς εἰς τὴν κακίαν, ἢ ἐκ τῆς κακίας εἰς τὴν ἀρε-

ἀρετήν· τουτέστιν ἓν τῶν ἀνεξιχνιάστων
κριμάτων τοῦ Κυρίου, περὶ ὧν ὁ Παῦλος
Ῥωμ. ια'. 33, 34. βοᾷ· Ὦ βάθος πλούτου καὶ σο-
φίας καὶ γνώσεως Θεοῦ· ὡς ἀνε-
ξερεύνητα τὰ κρίματα αὐτοῦ, καὶ
ἀνεξιχνίαστοι αἱ ὁδοὶ αὐτοῦ.
Τίς γὰρ ἔγνω νοῦν Κυρίου; ἢ τίς
σύμβουλος αὐτοῦ ἐγένετο; Ὁ νοῦς
τοῦ Κυρίου ἀπεριόριστός ἐστι καὶ ἄπει-
ρος, ὁ νοῦς τοῦ ἀνθρώπου στενὸς καὶ
μικρότατος· διὰ τοῦτο ἡμεῖς οὐδόλως
κατανοοῦμεν τοῦ θείου αὐτοῦ προορισμοῦ
τὰ ἰδιώματα· ὅσα δὲ καὶ ἂν συλλογι-
σθῶμεν, καὶ ὅσα καὶ ἂν εἴπωμεν, οὐ-
δέποτε ἀναπαύεται ἐντελῶς ἡ αὐθάδης
τοῦ νοὸς ἡμῶν περιέργεια.

Καθὼς οὖν οὐδέποτε στέργεις ἆραι
εἰς τοὺς ὤμους σου τὸ βάρος, τὸ ὁποῖον
οὐ δύνασαι βαστάζειν· οὕτω μηδέποτε
τολμήσῃς ζητῆσαι τὴν κατανόησιν τῶν
Σειρ. γ'. 21. ὑπὲρ κατάληψιν πραγμάτων· Χαλε-
πώτερά σου μὴ ζήτει· μηδέποτε τολ-
μήσῃς ἐξετάζειν τὰ ὑπὲρ τὴν δύναμίν
σου· Καὶ ἰσχυρότερά σου μὴ ἐξέ-
ταζε. Διατί δὲ τοῦτο; Διότι κινδυ-
Ἐξόδ. ιθ'. 21. νεύεις πεσεῖν εἰς τὴν ἀπιστίαν· Μήπο-
τε ἐγγίσωσι πρὸς τὸν Θεὸν κα-
τανοῆσαι, καὶ πέσωσιν ἐξ αὐτῶν
πλῆθος· τοῦτο εἶπεν αὐτὸς ὁ Θεὸς
πρὸς τὸν Μωϋσῆν. Διατί τοῦτο; Διότι
οὐδεμίαν ἀνάγκην ἔχεις τῆς γνώσεως τῶν
ἀποκρύφων καὶ μυστηριωδῶν πραγμά-
Σειρ. γ'. 22. των· Οὐ γάρ ἐστί σοι χρεία τῶν
κρυπτῶν. Ὁ Θεὸς θέλει, ἵνα πιστεύ-
σωσι καὶ σωθῶσι πάντες οἱ ἄνθρωποι·
Α'. Τιμ. β'. 4. Ὁ Θεὸς θέλει πάντας σωθῆναι,
καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλ-
θεῖν· ὁ ἄνθρωπος ἔχει αὐτεξούσιον καὶ
ἐλευθέραν τὴν θέλησιν, ἵνα ἐκλέξῃ, καὶ
Σειρ. ιε'. 14. πράξῃ ἢ τὴν ἀρετὴν, ἢ τὴν κακίαν· Αὐ-
τὸς ἐξ ἀρχῆς ἐποίησεν ἄνθρω-
πον, καὶ ἀφῆκεν αὐτὸν ἐν χειρὶ
Αὐτ. 16. διαβουλίου αὐτοῦ· Παρέθηκέ σοι
πῦρ καὶ ὕδωρ, οὗ ἐὰν θέλῃς ἐκτε-
νεῖς τὴν χεῖρά σου. Ἡ θέλησις τοῦ
Θεοῦ μόνη οὐκ ἀρκεῖ πρὸς τὴν σωτηρίαν
τοῦ ἀνθρώπου, ἀλλ' ἀναγκαία ἐστὶ καὶ
ἡ συνδρομὴ τῆς τοῦ ἀνθρώπου θελή-
σεως· Ἐὰν θέλητε, λέγει ὁ Θεὸς, καὶ Ἡσ. α'. 19.
εἰσακούσητέ μου, τὰ ἀγαθὰ τῆς
γῆς φάγεσθε. Ὁ Θεὸς ἐν τῇ ἡμέρᾳ
τῆς κρίσεως ἀνταποδίδωσιν ἑκάστῳ κα-
τὰ τὰ ἔργα αὐτοῦ· Ὃς ἀποδώσει, λέ- Ῥωμ. β'. 6.
γει ὁ θεῖος Ἀπόστολος, ἑκάστῳ κα-
τὰ τὰ ἔργα αὐτοῦ· ὁ δὲ τῶν ἁπάν-
των Σωτὴρ καὶ Δεσπότης ἐκήρυξε, λέ-
γων· Ἐκπορεύσονται οἱ τὰ ἀ- Ἰωάν. ε'. 29.
γαθὰ ποιήσαντες εἰς ἀνάστα-
σιν ζωῆς· οἱ δὲ τὰ φαῦλα πρά-
ξαντες, εἰς ἀνάστασιν κρίσεως.
Ταῦτα πάντα εἰσὶν ἀναμφίβολα, ἀλη-
θέστατα, καὶ ὑπερβέβαια· τὰ αὐτὰ δὲ
εἰσὶ καὶ τοσοῦτον καθαρὰ καὶ σαφέστα-
τα, ὥστε πάντες αὐτὰ καταλαμβάνομεν
ἀπὸ μικροῦ ἕως μεγάλου· ταῦτα δὲ εἰ-
σὶν ἐκεῖνα, τὰ ὁποῖα προστάσσει ὁ Θεὸς,
ἵνα διαλογίζῃσαι ἀδιαλείπτως· Ἃ προ- Σειρ. γ'. 22.
σετάγη σοι, ταῦτα διανοοῦ· τὴν δὲ
ἔρευναν τῶν κρυπτῶν ἰδιωμάτων τοῦ προ-
ορισμοῦ ἄφες· διότι ἐστὶν ἀκατάληπτος·
τῆς τοιαύτης δὲ μυστηριώδους καταλήψεως
οὐδεμίαν ἔχεις χρείαν· Οὐ γάρ ἐστί Αὐτόθι.
σοι χρεία τῶν κρυπτῶν. Ταῦτα
λοιπὸν, ὦ Χριστιανὲ, ἃ προσετάγη σοι,
διαπαντὸς συλλογίζου· καὶ ἐὰν μὲν ἐρ-
γάζεσαι τὴν ἀρετὴν, ἀκολούθει τῆς ἀ-
ρετῆς τὸν δρόμον, διότι αὐτός σε φέρει
εἰς τὸν παράδεισον· ἐὰν δὲ πράττῃς τὴν
ἁμαρτίαν, ἐπίστρεψον ἀπὸ τῆς ἁμαρ-
τίας τὸν κρημνὸν, διότι αὐτή σε κατακρη-
μνίζει εἰς τὴν ἀπώλειαν. Ταῦτα ποίει,
χαλεπώτερά σου δὲ μὴ ζήτει· καὶ Αὐτόθι. 21, 22.
ἰσχυρότερά σου μὴ ἐξέταζε· ἃ
προσετάγη σοι, ταῦτα διανοοῦ· οὐ
γάρ ἐστί σοι χρεία τῶν κρυπτῶν.

# ΕΡΜΗΝΕΙΑ

ΕΙΣ ΤΟ ΚΑΤΑ

# ΙΩΑΝΝΗΝ

## ΕΥΑΓΓΕΛΙΟΝ ΤΗΣ ΚΥΡΙΑΚΗΣ ΤΟΥ ΤΥΦΛΟΥ.

Δύω παράδοξα πράγματα διαλαμβάνει τὸ σημερινὸν Εὐαγγέλιον· τὴν ὀμμάτωσιν τοῦ ἀπὸ μήτρας γεννηθέντος τυφλοῦ, καὶ τῶν φθονερῶν Φαρισαίων τὸν μέγαν παραλογισμόν. Τὸ πρῶτον, θαῦμά ἐστι μέγα καὶ ἐξαίσιον, καὶ ὑπερβαῖνον πάσας τὰς δυνάμεις τῆς φύσεως· τὸ δεύτερον, κρίσις ἐστὶ τοῦ νοὸς σφαλερωτάτη, καὶ ἐναντία εἰς τὴν λογικὴν, καὶ διακριτικὴν τοῦ ἀνθρώπου δύναμιν. Τὸ μὲν θαῦμα κατώρθωσεν ἡ δύναμις τοῦ Θεανθρώπου, τὸν δὲ παραλογισμὸν, τὸ πάθος τοῦ φθόνου. Ὁ Θεάνθρωπος ἐφώτισε τὸν τυφλὸν, ὁ φθόνος ἐτύφλωσε τοὺς βλέποντας. Ὁ Θεάνθρωπος ἀνέῳξε τοὺς ὀφθαλμοὺς τοῦ τυφλοῦ, ὁ φθόνος ἔκλεισε τὰ ὄμματα τῶν βλεπόντων. Εὐλογημένοι Χριστιανοὶ, προσηλώσατε τὸν νοῦν εἰς τὴν ἀκρόασιν τῆς ἑρμηνείας τοῦ σημερινοῦ Εὐαγγελίου, ἵνα ἰδῆτε, ὅτι ὅσον ὁ Θεὸς φωτίζει, τοσοῦτον τὰ πάθη σκοτίζουσι τὸν ἄνθρωπον· καὶ μάθητε, ὅτι τινὲς εἰς τὸν κόσμον τοῦτον πάσχουσιν, ἵνα δοξασθῇ ὁ Θεός.

Ἰωάν. θ΄. 1. **Τῷ καιρῷ ἐκείνῳ, παράγων ὁ Ἰησοῦς, εἶδεν ἄνθρωπον τυφλὸν ἐκ γενετῆς.**

Ἔφευγεν ὁ Ἰησοῦς Χριστὸς ἀπὸ τοῦ Ἱεροῦ, ἐπειδὴ ἐζήτουν λιθοβολῆσαι αὐτὸν οἱ Ἰουδαῖοι· διερχόμενος δὲ διὰ τῆς ὁδοῦ, εἶδεν ἄνθρωπον, ὅστις ἐκ κοιλίας μητρὸς αὐτοῦ ἐγεννήθη τυφλός. Ποίαν δὲ ἄραγε τύφλωσιν εἶχεν ὁ τυφλὸς οὗτος; ἀνεῳγμένα ἄραγε ἦσαν τὰ βλέφαρα αὐτοῦ, καὶ βεβλαμμένοι οἱ τῶν ὀμμάτων βολβοί; ἢ κεκλεισμένα παντελῶς τὰ βλέφαρα, καὶ ὑγιεῖς οἱ βολβοί; ἢ καὶ τὰ βλέφαρα κεκλεισμένα, καὶ οἱ βολβοὶ βεβλαμμένοι; ἢ οὐδὲ βλέφαρα εἶχεν, οὐδὲ βολβοὺς, οὐδὲ σημεῖον ὀφθαλμῶν, καθὼς εἶπεν εἷς παλαιὸς παραφραστής; Λέγει μὲν κατωτέρω ὁ Εὐαγγελιστὴς, Νόννος ὁ Αἰγύπτ. ἐν τῇ ποιητικ. αὐτ. παραφράσ.
Καὶ ἀνέῳξεν αὐτοῦ τοὺς ὀφθαλμούς· ἐξ οὗ φαίνεται, ὅτι εἶχεν ὄμματα ὁ τυφλὸς, ἀλλὰ κεκλεισμένα ἦσαν τὰ βλέφαρα αὐτοῦ· τοῦτο αὐτὸ ἐπιβεβαιοῦσι καὶ τὸ, Πῶς ἀνεῴχθησάν σοι οἱ ὀφθαλμοί; καὶ τὸ, Ἤνοιξέ Ἰωάν. θ΄. 17.
σου τοὺς ὀφθαλμούς. Τὴν περιγραφὴν τῶν τετυφλωμένων ὀμμάτων ἐσιώπησεν ὁ Εὐαγγελιστὴς, καθότι αὐτὸ μόνον τὸ, ἐκ γενετῆς τυφλὸς, παρίστησι τοῦ θαύματος τὸ μεγαλεῖον. Ἰδόντες δὲ οἱ μαθηταὶ τοῦ Κυρίου τοῦτον τὸν τυφλὸν, εὐθὺς ζήτημα προβάλλουσι.

**Καὶ ἠρώτησαν αὐτὸν οἱ μαθηταὶ αὐτοῦ, λέγοντες· Ῥαββὶ, τίς ἥμαρτεν, οὗτος, ἢ οἱ γονεῖς αὐτοῦ, ἵνα τυφλὸς γεννηθῇ;** Αὐτ. θ΄. 2.

Διδάσκαλε, λέγουσι, τίς ἥμαρτεν; οὐ-

οὗτος, ἤγουν ὁ τυφλὸς, ἢ οἱ γονεῖς
αὐτοῦ, ἵνα τυφλὸς γεννηθῇ; Τὸ
ζήτημα τοῦτό ἐστι δυσκατανόητον· διό-
τι, ἐὰν ὁ τυφλὸς ἐκ κοιλίας μητρὸς ἐ-
γεννήθη τυφλὸς, πότε ἥμαρτεν, ὥστε,
διὰ τιμωρίαν τῆς ἁμαρτίας αὐτοῦ, ἐγεν-
νήθη τυφλός; προτοῦ γεννηθῇ, οὐχ ὑ-
πῆρχεν, ὅθεν οὐδὲ ἁμαρτῆσαι ἠδύνατο.
Ἀλλὰ καὶ τὸ, ἢ οἱ γονεῖς αὐτοῦ, ἀ-
κατάλληλον φαίνεται εἰς τὸ στόμα τῶν
Ἀποστόλων· διότι αὐτοὶ ἦσαν δεδιδαγ-
μένοι ὑπὸ τῆς Θείας Γραφῆς, ὅτι ὁ Θεὸς
οὐδένα παιδεύει, διὰ τὰς ἁμαρτίας τῶν
γονέων αὐτοῦ, ἀλλὰ καθένα διὰ τὰς
Ἰεζ. ιη΄. 4. ἰδίας αὐτοῦ ἁμαρτίας· Ἡ ψυχὴ, εἶ-
πεν, ἡ ἁμαρτάνουσα, αὕτη ἀπο-
θανεῖται. Ἀναμφίβολόν ἐστιν, ὅτι οἱ
Ἀπόστολοι ἐξεφώνησαν τοῦτο τὸ ζήτη-
μα, κατὰ τὴν γνώμην τῶν Φαρισαίων,
καὶ κατὰ τὴν περιφερομένην παρὰ τοῖς
Ὀρ. Ἰώσ. β. 2. κ. 12. περὶ πολ. καὶ β. 18. κ. τ. περὶ Ἀρχ. καὶ Φιλ. περὶ Γιγάντ. Συγχ. γλωσ. καὶ Ἐνυπν. καὶ Ὠριγ. κ. 5. εἰς τὸ κατὰ Ἰωάν.
Ἰουδαίοις παραβολήν. Οἱ Φαρισαῖοι ἐ-
δέχοντο τὴν μετεμψύχωσιν, ἤγουν ἐπί-
στευον, ὅτι μετὰ θάνατον ἡ ψυχὴ τοῦ
ἀνθρώπου εἰσέρχεται εἰς ἄλλο σῶμα,
διὰ καθαρισμὸν τῶν ἁμαρτιῶν αὐτῆς·
κατὰ ταύτην οὖν τὴν πεπλανημένην γνώ-
μην ὑπωπτεύοντο, μήπως ὁ τυφλὸς ἔ-
βλεπε μὲν, ὅτε τὸ πρῶτον ἐγεννήθη, ἁ-
μαρτήσας δὲ ἐν τῷ πρώτῳ αὐτοῦ σώ-
ματι, ἐγεννήθη τὸ δεύτερον τυφλὸς, διὰ
τιμωρίαν καὶ κάθαρσιν τῶν προτέρων
αὐτοῦ ἁμαρτιῶν. Ἡ δὲ περιφερομένη πα-
Ἰεζ. ιη΄. 2. ραβολή ἐστὶν αὕτη· Οἱ πατέρες ἔ-
φαγον ὄμφακα, καὶ οἱ ὀδόντες τῶν
τέκνων ἐγομφίασαν. Εἰς ταύτην τὴν
παραβολὴν πολλοὶ τῶν Ἰουδαίων ἐπί-
στευον, κἂν ὁ Θεὸς, διὰ τοῦ προφήτου
Ἰεζεκιὴλ, μεθ᾽ ὅρκου ἐβεβαίωσεν αὐτοὺς,
ὅτι οὐδέποτε ὄψονται τὴν ἔκβασιν αὐ-
Αὐτ. 3. τῆς· Ζῶ ἐγὼ, λέγει Κύριος, ἐὰν γέ-
νηται ἔτι λεγομένη ἡ παραβολὴ
αὕτη ἐν τῷ Ἰσραήλ. Διὰ τούτων κα-
ταλαμβάνομεν, πόθεν οἱ μαθηταὶ τοῦ
Σωτῆρος ἀφορμὴν λαβόντες, προέβαλλον
τοῦτο τὸ ζήτημα, τίς ἥμαρτεν, οὗ-
τος, ἢ οἱ γονεῖς αὐτοῦ; Ἰδοὺ δὲ
πῶς εἰς τοῦτο ἀπαντήσας ἀπεκρίθη ὁ
Θεάνθρωπος.

Ἀπεκρίθη ὁ Ἰησοῦς· Οὔτε Ἰωάν. θ΄. 3.
οὗτος ἥμαρτεν, οὔτε οἱ γο-
νεῖς αὐτοῦ· ἀλλ᾽ ἵνα φανερω-
θῇ τὰ ἔργα τοῦ Θεοῦ ἐν
αὐτῷ.

Συντόμως ὁ Πάνσοφος, διὰ τῆς ἀ-
ποκρίσεως αὐτοῦ, καὶ τὴν ἑλληνικὴν καὶ
φαρισαϊκὴν πλάνην κατήργησε, καὶ τὴν
πεπλανημένην γνώμην τῶν Ἰουδαίων ἀ-
πέρριψεν· Οὔτε οὗτος, λέγει, ἥμαρ-
τεν, οὔτε οἱ γονεῖς αὐτοῦ· ἀλλ᾽ ἵνα
φανερωθῇ τὰ ἔργα τοῦ Θεοῦ ἐν αὐ-
τῷ. Ποῖα δὲ ἔργα τοῦ Θεοῦ ἐφανερώθη-
σαν εἰς τὸν τυφλόν; Ἐφανερώθη ἡ παν-
τοδυναμία τοῦ Θεοῦ, ἥτις μετέβαλεν εἰς
φῶς τὸ σκότος τοῦ τυφλοῦ· ἐφανερώθη ἡ
δημιουργικὴ δύναμις, ἥτις, ἐκ τοῦ πηλοῦ
καὶ τοῦ πτύσματος, ἐποίησε φωτιστι-
κοὺς ὀφθαλμούς. Ἀλλὰ τόση βλάβη εἰς
τὸν τυφλὸν, ἵνα φανερωθῶσι τὰ ἔργα τοῦ
Θεοῦ ἐν αὐτῷ; ἀλλὰ ποία, εἰπέ μοι, ἡ
βλάβη; Ὅστις γεννηθῇ τυφλὸς, καὶ οὐδέ-
ποτε αἰσθανθῇ τῆς ὠφελείας τοῦ φωτὸς,
ἀσυγκρίτως ὀλιγωτέρας στενοχωρίας αἰ-
σθάνεται ἐκείνου, ὅστις πρῶτον ἔβλε-
πεν, ἔπειτα ἐστερήθη τοῦ φωτός· ἐγεν-
νήθη τυφλὸς, ἀλλ᾽ ἔπειτα ἔλαβε τὴν ἀν-
ταπόδοσιν τῆς μικρᾶς καὶ σχεδὸν ἀνε-
παισθήτου στενοχωρίας αὐτοῦ· διότι ἔ-
λαβεν ὄμματα διπλᾶ, τουτέστι σωμα-
τικὰ, δι᾽ ὧν εἶδε τὰ ἐν τῷ κόσμῳ· καὶ
ψυχικὰ, δι᾽ ὧν ἐγνώρισε τοῦ κόσμου τὸν
Πλαστουργόν. Φανερὸν δέ ἐστιν, ὅτι ἡ τυ-
φλότης τῶν ὀμμάτων τῶν σωματικῶν ἐ-

*γένετο αἴτιον τοῦ φωτισμοῦ τῶν ὀφθαλμῶν τῆς ψυχῆς αὐτοῦ. Ἐὰν δὲ καλῶς στοχασθῇς, βλέπεις, ὅτι οἱ ἔχοντες ὄμματα, καὶ μὴ πιστεύσαντες, ἔπαθον περισσοτέραν βλάβην τοῦ τυφλοῦ, τοῦ φωτισθέντος καὶ πιστεύσαντος. Λύσας δὲ ὁ Θεάνθρωπος τῶν Ἀποστόλων τὴν ἀπορίαν διὰ τῆς ἀποκρίσεως αὐτοῦ, ἐπιφέρει τὰ ἑξῆς.*

Ἰωάν. θ'. Ἐμὲ δεῖ ἐργάζεσθαι τὰ ἔρ-
5. γα τοῦ πέμψαντός με, ἕως ἡμέρα ἐστίν· ἔρχεται νὺξ, ὅτε οὐδεὶς δύναται ἐργάζεσθαι.

*Ἵνα κατανοήσῃς τὰ προκείμενα τοῦ Σωτῆρος ἡμῶν λόγια, σημείωσον, ὅτι ἡμέραν μὲν λέγει τὴν περίοδον τῶν ἡμερῶν τῆς ἐν τῷ κόσμῳ ζωῆς αὐτοῦ· κα-*
Αὐτ. η'. *θὼς καὶ ὅταν εἶπεν· Ἀβραὰμ ὁ πα-*
56. *τὴρ ὑμῶν ἠγαλλιάσατο, ἵνα ἴδῃ τὴν ἡμέραν τὴν ἐμήν. Νύκτα δὲ ὀνομάζει τὸν σωματικὸν αὐτοῦ θάνατον, καὶ τὸν ἀπὸ τοῦ κόσμου τούτου ἀνθρώπινον αὐτοῦ χωρισμόν· τὸ αὐτὸ δὲ καὶ διὰ τούτων τῶν λόγων ἐβεβαίωσεν, εἰ-*
Αὐτ. ιβ'. *πών· Ἔτι μικρὸν χρόνον τὸ φῶς*
35. *μεθ' ὑμῶν ἐστί· περιπατεῖτε ἕως τὸ φῶς ἔχετε, ἵνα μὴ σκοτία ὑμᾶς καταλάβῃ. Τοῦτο δὲ, ὅπερ ἔφη ὑπὲρ ἑαυτοῦ, ἁρμόζει καὶ παντὶ ἀνθρώπῳ· ἡμέρα δηλονότι λέγεται ἡ περίοδος τῶν ἡμερῶν τῆς ζωῆς παντὸς ἀνθρώπου, νὺξ δὲ τὸ τέλος τῆς ζωῆς καὶ ὁ θάνατος αὐτοῦ· Ἐγὼ, λέγει ὁ Θεάνθρωπος, ἕως οὗ διαρκοῦσιν αἱ ἡμέραι τῆς ἐν κόσμῳ ζωῆς μου, πρέπον ἐστὶν, ἵνα ἐργάζωμαι τὰ ἔργα τοῦ Θεοῦ καὶ Πατρός μου, τοῦ ἀποστείλαντός με εἰς τὸν κόσμον, ἤγουν τὸ κήρυγμα τῆς πίστεως, καὶ τὰ εὐεργετικὰ θαύματα· ἔρχεται νὺξ, ἤγουν ἔρχεται ὁ θάνατος, καὶ τότε οὐδεὶς δύναται ποιῆσαι ἀρετῆς ἔργα. Σημείωσαι δὲ, ὅτι οὐκ εἶπεν, Ὅτε ἐγὼ οὐ δύναμαι ἐργάζεσθαι, ἀλλ' ὅτε οὐδεὶς δύναται ἐργάζεσθαι· ἐπειδὴ αὐτὸς μὲν, καὶ μετὰ τὸν σωματικὸν αὐτοῦ θάνατον, καὶ τὴν ἐκ νεκρῶν ἀνάστασιν, καὶ ἕως ἄρτι ἐργάζεται τὰς πρὸς τὸν Πατέρα αὐτοῦ ἐντεύξεις καὶ πρεσβείας ὑπὲρ ἡμῶν, τὴν εὐσπλαγχνίαν, τὴν δικαιοσύνην, τὴν βεβαίωσιν τοῦ κηρύγματος τῆς πίστεως, τῶν θαυμάτων τὴν ἐνέργειαν· οὐδεὶς δὲ τῶν ἀνθρώπων μετὰ θάνατον δύναται ἐργάζεσθαι, ἐπειδὴ ἡ πίστις παύει, ἡ μετάνοια ἀργεῖ, οἱ ὑπὲρ τῆς ἀρετῆς κόποι εἰσὶν ἄπρακτοι· ὁποῖοι δὲ εὑρεθῶμεν εἰς τὴν ὥραν τοῦ θανάτου, τοιοῦτοι καὶ διαμένομεν. Ἐπειδὴ δὲ τὸ θεῖον ἔργον, ὅπερ τότε εὐθὺς ἔμελλε πρᾶξαι ὁ Σωτὴρ ἡμῶν, ὁ φωτισμὸς ἦν τοῦ τυφλοῦ, διὰ τοῦτο ἀναφέρει λόγον περὶ φωτὸς, λέγων·*

Ὅταν ἐν τῷ κόσμῳ ὦ, φῶς Ἰωάν. θ'.
εἰμὶ τοῦ κόσμου. 5.

*Οὐ μόνον ὡς Θεὸς διαπαντὸς φῶς ἐστὶ τοῦ κόσμου, τὸν ἥλιον καὶ τὰ ἄστρα ἀνατέλλων εἰς τὸν κόσμον, πλάττων τὰ ὄμματα τῶν ἀνθρώπων καὶ τῶν ζώων τῶν ἐν τῷ κόσμῳ, καὶ φωτίζων ἀοράτως πάντα ἄνθρωπον, ἐρχόμενον εἰς τὸν κόσμον· ἀλλὰ καὶ ὅταν ὡς ἄνθρωπος περιεπάτει εἰς τὸν κόσμον, φῶς ἦν ἀρετῆς ὑπέρλαμπρον, φῶς θαυμάτων ἐξαίσιον, φῶς φωτίζον τῶν τυφλῶν τὰ ὄμματα, φῶς πίστεως ἅγιον, ὃ πολλοὺς ἐφώτισε καὶ ἡγίασε. Διδάξας δὲ διὰ λόγου, ὅτι αὐτός ἐστι τὸ φῶς τοῦ κόσμου, δείκνυσιν εὐθὺς καὶ διὰ τοῦ ἔργου, ὅτι αὐτός ἐστιν ὁ φωτεργάτης καὶ ὁ φωτο-*

δότης, καὶ ὁ διδοὺς τὸ φῶς τοῖς ἀνθρώποις.

Ἰωάν. Ϛʹ. 6. Ταῦτα εἰπὼν, ἔπτυσε χαμαὶ, καὶ ἐποίησε πηλὸν ἐκ τοῦ πτύσματος, καὶ ἐπέχρισε τὸν πηλὸν ἐπὶ τοὺς ὀφθαλμοὺς τοῦ τυφλοῦ.

Οὐκ ἠδύνατο ἄραγε ὁ Θεάνθρωπος διὰ μόνου λόγου φωτίσαι καὶ τοῦτον τὸν τυφλὸν, καθὼς καὶ τὸν Βαρτίμαιον,
Μάρκ. ιʹ. 52. εἰπὼν πρὸς αὐτόν· Ἡ πίστις σου σέσωκέ σε; Ἠδύνατο, παντοδύναμος ὤν· οὐδεὶς τῶν πιστῶν περὶ τούτου ἀμφιβάλλει· διατί λοιπὸν κατασκευάζει πηλὸν ἐκ τοῦ πτύσματος αὐτοῦ, καὶ τοῦ χοὸς, καὶ χρίει τοὺς ὀφθαλμοὺς τοῦ τυφλοῦ; Ἵνα δείξῃ, ὅτι αὐτός ἐστιν ὁ τοῦ ἀνθρώπου Πλάστης καὶ Δημιουργός. Καθὼς δὲ, εἰς τὸν καιρὸν τῆς δημιουργίας, χοῦν λαβὼν ἀπὸ τῆς γῆς, ἔπλασε τοῦ ἀνθρώπου τὸ σῶμα· οὕτως εἰς τὸν καιρὸν τῆς φωτοδοσίας, πηλὸν λαβὼν, ἔπλασε τοῦ τυφλοῦ τὰ ὄμματα. Τότε, ἐμφυσήσας εἰς τὸν χοῦν, ἔδωκε τῷ ἀνθρώπῳ ψυχὴν καὶ ζωήν· νῦν, πτύσας ἐπὶ τὸ χῶμα, ἔδωκε τῷ τυφλῷ χάριν καὶ δύναμιν φωτιστικήν. Ἐκεῖ χοῦς, ὧδε πηλός· ἐκεῖ ἐμφύσημα, ὧδε πτύσμα· ἐκεῖ πλάσις τοῦ ἀνθρώπου, ὧδε φωτισμὸς τοῦ τυφλοῦ· διὰ τοῦτο λοιπὸν ἔπτυσε, καὶ τὸν πηλὸν κατεσκεύασεν, ἵνα δείξῃ, διὰ τῆς ὁμοιότητος τῶν πραγμάτων, ὅτι αὐτός ἐστιν ὁ Δημιουργὸς καὶ τοῦ ἀνθρώπου, καὶ τοῦ φωτός. Μήπως δὲ οὗτος ὁ ἐκ γενετῆς τυφλὸς οὐδεποσῶς εἶχε βολβούς; ὅθεν, ἵνα μὴ ἐκ τοῦ μὴ ὄντος αὐτοὺς πλάσῃ, ἔθηκε τὸν πηλὸν, καὶ διὰ τῆς δυνάμεως τοῦ πτύσματος αὐτοῦ μετέβαλεν αὐτὸν εἰς βολβούς. Πρὸς τούτοις δὲ ἔπτυσεν, ἵνα δείξῃ ὅτι καὶ ὁ σίελος αὐτοῦ εἶχε θεραπευτικὴν δύναμιν, καθὼς καὶ αἱ χεῖρες, καὶ τὰ κράσπεδα τῶν ἱματίων αὐτοῦ. Ἔχρισε λοιπὸν τοὺς ὀφθαλμοὺς τοῦ τυφλοῦ,

Καὶ εἶπεν αὐτῷ· Ὕπαγε, νίψαι εἰς τὴν κολυμβήθραν τοῦ Σιλωὰμ, (ὃ ἑρμηνεύεται ἀπεσταλμένος). Ἀπῆλθεν οὖν καὶ ἐνίψατο, καὶ ἦλθε βλέπων. Ἰωάν. Ϛʹ. 7.

Περιεχεῖτο ἡ πηγὴ τοῦ Σιλωὰμ εἰς τὰ πρὸς ἀνατολὰς τείχη τῆς Ἱερουσαλήμ· τῆς πηγῆς ταύτης τὰ ὕδατα ὑπεδέχετο μεγαλωτάτη κολυμβήθρα, πρὸς χρῆσιν τῶν ἐγκατοίκων, ἥτις ὠνομάζετο κολυμβήθρα τοῦ Σιλωάμ· εἰς αὐτὴν τὴν κολυμβήθραν ἀπέστειλεν ὁ Κύριος τὸν τυφλὸν, ἵνα νιφθῇ. Ἀλλὰ τίς ἡ χρεία ταύτης τῆς νίψεως; τῆς κολυμβήθρας τὸ ὕδωρ οὐκ ἠδύνατο ἀνοῖξαι τοὺς ὀφθαλμοὺς τοῦ τυφλοῦ· διατί λοιπὸν ἀπέστειλεν αὐτὸν εἰς τὴν κολυμβήθραν; Ἵνα κατασταθῇ τὸ θαῦμα ἐπισημότερον, γνωστὸν εἰς πάντας, καὶ ἀναμφίβολον· διότι ὅσοι εὑρέθησαν εἰς τὸν δρόμον, εἶδον τὸν τυφλὸν ἀπερχόμενον καὶ κεχρισμένον τοὺς ὀφθαλμοὺς, ὁμοίως καὶ οἱ εὑρεθέντες εἰς τὴν κολυμβήθραν· ἔπειτα εἶδον αὐτὸν ἐπιστρέφοντα καὶ τεθεραπευμένον. Ἀπέστειλε δὲ αὐτὸν εἰς τὴν κολυμβήθραν, ἵνα καὶ τὴν πίστιν καὶ τὴν ὑπακοὴν αὐτοῦ δοκιμάσῃ. Καὶ ὁ μὲν Νεεμὰν ὁ Σύρος ἠπίστησε, καὶ ἀπείθησεν, ὅτε προσετάγη ὑπὸ τοῦ Ἐλισσαίου λουσθῆναι εἰς τὸν Ἰορδάνην· μόλις δὲ μετὰ πολλῆς παρακλήσεως τῶν δούλων αὐτοῦ κατεπείσθη· ὁ δὲ τυφλὸς οὗτος καὶ ὑπήκουσεν εὐθὺς τοῦ Κυρίου

τὸ

τὸ πρόσταγμα, καὶ ἐπίστευσεν, ὅτι λαμβάνει τὸ φῶς διὰ τῆς νίψεως. Ἔχει δὲ καὶ ἄλλον λόγον ἡ τοιαύτη ἀποστολὴ πνευματικὸν καὶ μυστικώτερον. Ἡ μὲν κολυμβήθρα τοῦ Σιλωάμ, ἡ ἑρμηνευομένη, ἀπεσταλμένος, ἐσήμαινε τὸν Ἰησοῦν Χριστόν· διότι αὐτός ἐστιν ὁ ἀπεσταλμέ-
Ἰωάν. κ'. 21. νος παρὰ τοῦ Θεοῦ καὶ Πατρός· διὸ καὶ ἔλεγε· Καθὼς ἀπέσταλκέ με ὁ Πατήρ, κἀγὼ πέμπω ὑμᾶς· ὅθεν καὶ
Ἑβρ. γ'. 1. Ἀπόστολος λέγεται, κατὰ τό, Κατανοήσατε τὸν Ἀπόστολον καὶ Ἀρχιερέα τῆς ὁμολογίας ἡμῶν, Χριστὸν Ἰησοῦν. Ὁ δὲ τυφλὸς ἐσήμαινε πᾶσαν τὴν ἀνθρωπίνην φύσιν, ἥτις, διὰ τὴν ἁμαρτίαν, στερηθεῖσα τοῦ πνευματικοῦ φωτός, καὶ ὡς τυφλὴ τῇ κτίσει λατρεύουσα παρὰ τὸν κτίσαντα, ἐφωτίσθη ὑπὸ τῆς Χριστοῦ χάριτος· διὸ καὶ ὁ Προφήτης, ὡς ἐκ προσώπου αὐτοῦ, ἔ-
Ἡσ. ξά. 1. λεγεν· Εὐαγγελίσασθαι πτωχοῖς ἀπέσταλκέ με, ἰάσασθαι τοὺς συντετριμμένους τὴν καρδίαν, κηρύξαι αἰχμαλώτοις ἄφεσιν, καὶ τυφλοῖς ἀνάβλεψιν. Τὰ δὲ ὕδατα τῆς κολυμβήθρας τοῦ Σιλωάμ προετύπουν τὸ ὕδωρ τοῦ ἁγίου Βαπτίσματος· διότι καθὼς ὁ τυφλός, νιψάμενος ἐν αὐτοῖς, ἀπέβαλε μὲν τὴν τυφλότητα, ἐκτήσατο δὲ τὴν ὅρασιν· οὕτως οἱ ἐν τῷ ὕδατι τοῦ Βαπτίσματος βαπτιζόμενοι, ἀπεκδύονται μὲν τὴν ἁμαρτίαν, ἐνδύονται δὲ τὸν φωτισμὸν τῆς θείας χάριτος· διὸ καὶ φώτισμα ὀνομάζεται τὸ ἅγιον Βάπτισμα. Ἐρρίφθη οὖν ὁ τυφλὸς εἰς τὴν κολυμβήθραν, καὶ ἐπέστρεψεν οὐχὶ τυφλός, ἀλλ' ὑγιὴς καὶ βλέπων.

Ἰωάν. θ'. 8. Οἱ οὖν γείτονες, καὶ οἱ θεωροῦντες αὐτὸν τὸ πρότερον, ὅτι
Αὐτ. 9. τυφλὸς ἦν, ἔλεγον· Οὐχ οὗτός ἐστιν ὁ καθήμενος καὶ προσαιτῶν; Ἄλλοι ἔλεγον· Ὅτι οὗτός ἐστιν. Ἄλλοι δέ· Ὅτι ὅμοιος αὐτῷ ἐστίν. Ἐκεῖνος ἔλεγεν· Ὅτι ἐγώ εἰμι.

Καὶ οἱ γείτονες τοῦ τυφλοῦ, καὶ ὅσοι ἔβλεπον καὶ ἐγνώριζον αὐτὸν ὄντα τυφλόν, ὁρῶντες αὐτὸν ὀμματωμένον καὶ βλέποντα, καὶ θαυμάζοντες, ἠρώτων ὁ εἷς τὸν ἄλλον, λέγοντες· Οὗτός ἐστιν ὁ τυφλός, ὅστις ἐκάθητο καὶ ἐζήτει ἐλεημοσύνην; καὶ ἄλλοι μὲν ἔλεγον, ὅτι αὐτός ἐστιν, ἄλλοι δέ, ὅτι ἄλλος ἐστίν, ὅμοιος αὐτῷ· ἐκεῖνος δὲ μαρτυρῶν ἐκραύγαζεν, Ἐγώ εἰμι ὁ πρότερον τυφλός. Βλέπε δέ, πῶς ὁ θεῖος Εὐαγγελιστὴς ἐσημείωσε τό, καθήμενος καὶ προσαιτῶν, ἤγουν τό, ὅτι ὁ τυφλὸς τοσοῦτον πένης ἦν καὶ ἄπορος, ὥστε, καθήμενος εἰς τὸν δρόμον, ἐζήτει ἐλεημοσύνην· ἵνα δείξῃ τὴν ἄρρητον φιλανθρωπίαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὅστις οὐδὲ τοὺς εὐτελεστάτους ἀνθρώπους παρέβλεπεν, ἀλλὰ καὶ αὐτοὺς εὐσπλαγχνικῶς ἠλέει, καὶ εὐηργέτει πατρικῶς· καὶ ἵνα διδάξῃ ἡμᾶς τὴν πρὸς τοὺς πτωχοὺς καὶ ἀπηλπισμένους εὐσπλαγχνίαν καὶ τὸ ἔλεος. Πληροφορηθέντες δὲ οἱ γείτονες τοῦ τυφλοῦ, καὶ οἱ αὐτὸν γνωρίζοντες, ὅτι αὐτὸς ἀληθῶς ἐστὶν ὁ πρότερον τυφλός, ἠρώτων αὐτόν, πῶς ἐθεραπεύθη.

Ἔλεγον οὖν αὐτῷ· Πῶς ἀ- Ἰωάν. θ'. 10.
νεῴχθησάν σοι οἱ ὀφθαλμοί;

Κεκλεισμένα ἦσαν, ὡς φαίνεται, πρότερον τῶν ὀμμάτων τοῦ τυφλοῦ τὰ βλέφαρα· διὰ τοῦτο ἔλεγον πρὸς αὐτόν· Πῶς ἀνεῴχθησάν σοι οἱ ὀφθαλμοί; ἢ τοῦτο σημαίνει τό, Πῶς ἀνέβλεψας; πῶς ἐθεραπεύθη τὸ πάθος τῶν

τῶν ὀφθαλμῶν σου; πῶς βλέπεις, πρότερον τυφλὸς ὤν;

Ἰωάν. θ΄. 11. Ἀπεκρίθη ἐκεῖνος, καὶ εἶπεν· Ἄνθρωπος, λεγόμενος Ἰησοῦς, πηλὸν ἐποίησε, καὶ ἐπέχρισέ μου τοὺς ὀφθαλμούς, καὶ εἶπέ μοι· Ὕπαγε εἰς τὴν κολυμβήθραν τοῦ Σιλωάμ, καὶ νίψαι· ἀπελθὼν δὲ καὶ νιψάμενος, ἀνέβλεψα.

Μετὰ παῤῥησίας μεγάλης, καὶ συντομίας, καὶ καθαρότητος, καὶ τὸν ἰατρὸν ἐφανέρωσε, καὶ τῆς ἰατρείας αὐτοῦ τὸν τρόπον ἐξήγησεν.

Αὐτ. 12. Εἶπον οὖν αὐτῷ· Ποῦ ἐστιν ἐκεῖνος; λέγει· Οὐκ οἶδα.

Καταφρονητικὸν τὸ ἐρώτημα· οὐ λέγουσι· Ποῦ ἐστιν ἐκεῖνος ὁ θαυματουργὸς ἄνθρωπος; ἤ, ποῦ ἐστιν ἐκεῖνος, ὅστις ἤνοιξε τοὺς ὀφθαλμούς σου; ἢ κἄν, ποῦ ἐστιν ὁ Ἰησοῦς; ἀλλὰ μόνον, ποῦ ἐστιν ἐκεῖνος; ὅθεν φαίνεται, ὅτι οὐκ ἐξ εὐλαβείας, ἀλλ᾽ ἐκ κακίας ἠρώτων, ἵνα, μαθόντες τίς ἐστιν ὁ ἰατρός, παραδώσωσιν αὐτὸν ὡς καταφρονητὴν τοῦ σαββάτου· αὐξάνει δὲ ἡ πιθανότης, ἐπειδὴ βλέπομεν, ὅτι ἔφερον τὸν τυφλὸν πρὸς τοὺς Φαρισαίους.

Αὐτ. 13. Ἄγουσιν αὐτὸν πρὸς τοὺς Φαρισαίους, τόν ποτε τυφλόν.

Ἔφερον τὸν πρώην τυφλόν, καὶ ἔστησαν αὐτὸν ἐνώπιον τῶν Φαρισαίων, ἵνα αὐτοὶ ἀνακρίνωσιν αὐτόν, καὶ κατηγορήσωσι τὸ θαῦμα, καὶ τὸν θαυματουργόν, ἐπειδὴ τὸ θαῦμα γέγονε τῇ ἡμέρᾳ τοῦ σαββάτου.

Ἦν δὲ σάββατον, ὅτε τὸν πηλὸν ἐποίησεν ὁ Ἰησοῦς, καὶ ἀνέῳξεν αὐτοῦ τοὺς ὀφθαλμούς. Ἰωάν. θ΄. 14.

Ἐσημείωσεν ὁ Εὐαγγελιστὴς καὶ τὴν ἡμέραν, ἐν ᾗ τὸν πηλὸν ἐποίησεν ὁ Ἰησοῦς, ἵνα παραστήσῃ, ὅτι οἱ Ἰουδαῖοι ἐλύττησαν καὶ ἐξεμάνησαν, ἐπειδὴ ἐν τῇ ἡμέρᾳ τοῦ σαββάτου καὶ πηλὸν κατεσκεύασεν ὁ Κύριος, καὶ τοὺς ὀφθαλμοὺς τοῦ τυφλοῦ ἐπέχρισε, καὶ ἀπέστειλεν αὐτόν, ἵνα νιφθῇ εἰς τοῦ Σιλωὰμ τὴν κολυμβήθραν. Ἀλλὰ διατί ὁ Θεάνθρωπος, ἐν τῇ ἡμέρᾳ τοῦ σαββάτου, οὐ μόνον τοῦτον τὸν ἐκ γενετῆς τυφλὸν ἐθεράπευσεν, ἀλλὰ καὶ τὸν ἄνδρα, ὅστις Ματ. ιβ΄. 10.
εἶχε ξηρὰν τὴν χεῖρα, καὶ τὴν γυναῖκα Λουκ. ιγ΄. 11.
τὴν συγκύπτουσαν, καὶ τὸν ὑδρωπικὸν
ἐν τῇ οἰκίᾳ τοῦ Φαρισαίου, καὶ τὸν πα- Αὐτ. ιδ΄. 2.
ράλυτον ἐν τῇ προβατικῇ κολυμβήθρᾳ; Ἰωάν. ε΄. 9.
Ἵνα τὰς περὶ τοῦ σαββάτου δεισιδαιμονίας τῶν Ἰουδαίων διορθώσῃ, καὶ δείξῃ, ὅτι αὐτός ἐστιν ὁ Κύριος καὶ Δεσπότης καὶ τοῦ νόμου καὶ τοῦ σαββάτου· διὸ καί, ὅτε οἱ Ἰουδαῖοι ἐσκανδαλίζοντο, βλέποντες τοὺς μαθητὰς τίλλοντας τοὺς στάχυας ἐν τῇ ἡμέρᾳ τοῦ
σαββάτου, ἤλεγχεν αὐτούς, λέγων· Τὸ Μάρκ. β΄. 27.
σάββατον διὰ τὸν ἄνθρωπον ἐγένετο, καὶ οὐχ ὁ ἄνθρωπος διὰ τὸ
σάββατον· ὁμοίως καὶ ἄλλοτε· Κύ- Ματ. ιβ΄. 8.
ριος γάρ ἐστι τοῦ σαββάτου ὁ Υἱὸς τοῦ ἀνθρώπου. Οἱ οὖν Φαρισαῖοι, ὅτε παρέστησαν τὸν τυφλὸν ἐνώπιον αὐτῶν, ἠρώτησαν αὐτόν.

Πάλιν οὖν ἠρώτων αὐτὸν καὶ Ἰωάν. θ΄. 15.
οἱ Φαρισαῖοι, πῶς ἀνέβλεψεν.

Ὁ

Ὁ δὲ εἶπεν αὐτοῖς· Πηλὸν ἐπέθηκεν ἐπὶ τοὺς ὀφθαλμούς μου, καὶ ἐνιψάμην, καὶ βλέπω.

Πρῶτον μὲν οἱ γείτονες καὶ οἱ παρευρεθέντες ἠρώτησαν τὸν τυφλὸν περὶ τοῦ, πῶς ἰατρεύθη· ἔπειτα δὲ πάλιν ἠρώτησαν αὐτὸν καὶ οἱ Φαρισαῖοι. Ὁ δὲ τυφλὸς οὐδὲ ἐφοβήθη, οὐδὲ ἐδειλίασεν, ἀλλ' ἐκεῖνα, ἃ καὶ πρότερον εἶπε, τὰ αὐτὰ πάλιν λέγει συντομώτερον. Παρεσιώπησε τὸ ὄνομα τοῦ Ἰησοῦ, καὶ τὸ, ἐποίησε πηλὸν, καὶ τὸ, εἶπέ μοι, ὕπαγε εἰς τὴν κολυμβήθραν τοῦ Σιλωάμ, καὶ νίψαι, ἴσως ἵνα μὴ περισσοτέραν ἀφορμὴν λάβωσιν οἱ Φαρισαῖοι πρὸς κατηγορίαν τοῦ Ἰησοῦ Χριστοῦ, ὡς ποιήσαντος καὶ προστάξαντος ἐργασίαν ἐν τῇ ἡμέρᾳ τοῦ σαββάτου. Μήπως δὲ ὁ τυφλὸς, ἐπειδὴ καὶ ἤκουσε τοὺς ἀγαγόντας αὐτὸν πρὸς τοὺς Φαρισαίους διηγησαμένους αὐτοῖς, ὅσα αὐτὸς πρότερον ἐμαρτύρησε, διὰ τοῦτο συντομώτερον ἀπεκρίθη· ἢ μήπως, ἐπειδὴ ὁ Εὐαγγελιστὴς ἐσημείωσε τὴν πλέον περιεσταλμένην τοῦ τυφλοῦ πρὸς τοὺς γείτονας αὐτοῦ ἀπόκρισιν, περιληπτικῶς ἔγραψε τὴν πρὸς τοὺς Φαρισαίους. Ἀκούσατε δὲ τί πρὸς ταῦτα ἀποκρίνονται οἱ Φαρισαῖοι.

Ἰωάν. θ'. 16. Ἔλεγον οὖν τῶν Φαρισαίων τινές· Οὗτος ὁ ἄνθρωπος οὐκ ἔστι παρὰ τοῦ Θεοῦ, ὅτι τὸ σάββατον οὐ τηρεῖ. Ἄλλοι ἔλεγον· Πῶς δύναται ἄνθρωπος ἁμαρτωλὸς τοιαῦτα σημεῖα ποιεῖν; Καὶ σχίσμα ἦν ἐν αὐτοῖς.

Τινὲς τῶν Φαρισαίων, ἤγουν οἱ κακότροποι καὶ οἱ φθονεροὶ καὶ δεισιδαίμονες, ἔλεγον, ὅτι ὁ Ἰησοῦς Χριστὸς, ἐπειδὴ οὐ φυλάττει τὸ σάββατον, οὐκ ἔστιν ἄνθρωπος ἀπεσταλμένος παρὰ τοῦ Θεοῦ. Ἄλλοι δὲ, χρηστοηθέστεροι καὶ φρονιμώτεροι, ἔλεγον· Πῶς δύναται ἄνθρωπος, παραβάτης τοῦ νόμου καὶ ἁμαρτωλὸς, ποιεῖν τοιαῦτα ἐξαίσια θαύματα; ὅθεν σχίσμα καὶ διαίρεσις γέγονε μεταξὺ αὐτῶν. Εἰς τοιαύτην δὲ κατάστασιν ἔφερεν αὐτοὺς ἡ πρόληψις καὶ ὁ φθόνος, ὥστε, καὶ διδάσκαλοι ὄντες, καὶ τὸν νόμον ἐν ταῖς χερσὶ κρατοῦντες, οὐκ ᾐσχύνθησαν ἐρωτῆσαι τὸν τυφλὸν, τὸν ἀμαθῆ, καὶ προσαίτην, τί λέγει περὶ τοῦ Ἰησοῦ Χριστοῦ, καὶ τίνα αὐτὸν νομίζει.

Λέγουσι τῷ τυφλῷ πάλιν· Σὺ τί λέγεις περὶ αὐτοῦ, ὅτι ἤνοιξέ σου τοὺς ὀφθαλμούς; Ὁ δὲ εἶπεν· Ὅτι Προφήτης ἐστίν. Ἰωάν. θ'. 17.

Ἠρώτησαν τὸν τυφλὸν, οὐχ ὅτι ἐπεθύμουν, ἵνα μάθωσι παρ' αὐτοῦ, τίς ἐστιν ὁ Χριστός· ἀλλ' ἐπειδὴ προλαβὸν εἶπον, ὁ ἄνθρωπος οὗτος οὐκ ἔστι παρὰ τοῦ Θεοῦ, ὅτι τὸ σάββατον οὐ τηρεῖ, ἤκουσε δὲ ταῦτα ὁ τυφλὸς, ἠρώτησαν σπουδάζοντες, ὅπως καὶ αὐτὸς κατακρίνῃ τὸν Ἰησοῦν Χριστὸν, ὡς παραβάτην τοῦ νόμου, καὶ ἑπομένως σκεπασθῇ καὶ ἐξουδενωθῇ τὸ μέγα θαῦμα. Ἀλλ' ὁ τυφλὸς ἔμεινεν ἀμετάβλητος, καὶ μηδὲν φοβηθεὶς, ἀνυποστόλως εἶπεν· Ἐγὼ λέγω, ὅτι ἐκεῖνος, ὅστις ἐχάρισέ μοι τὸ φῶς τῶν ὀφθαλμῶν μου, Προφήτης ἐστί. Γνωστὸν ἦν ἐνδεχομένως εἰς τὸν τυφλὸν, ὅτι οἱ Προφῆται εἶχον τῆς θαυματουργίας τὸ χάρισμα.

Οὐκ

Ἰωάν. θ΄. 18. Οὐκ ἐπίστευσαν οὖν οἱ Ἰου-
δαῖοι περὶ αὐτοῦ, ὅτι τυφλὸς
ἦν καὶ ἀνέβλεψεν, ἕως ὅτου
ἐφώνησαν τοὺς γονεῖς αὐτοῦ
τοῦ ἀναβλέψαντος.

Οὐκ ἐπίστευσαν, λέγει, οἱ Ἰουδαῖοι, ἕως ὅτου ἐφώνησαν τοὺς γονεῖς αὐτοῦ. Τί δέ; ἐπίστευσαν ἄρά γε μετὰ ταῦτα, ἤγουν μετὰ τὴν πρόσκλησιν καὶ βεβαίωσιν τῶν γονέων τοῦ τυφλοῦ; Οὐχί· διότι καὶ μετὰ ταῦτα πάλιν ἄπιστοι ἔμειναν, καθὼς φανερόν ἐστιν ἐκ τῶν ἑξῆς λόγων τοῦ Εὐαγγελίου. Τὸ δὲ ἕως ὅτου, καὶ τὸ ἕως ἂν, καὶ τὸ ἕως οὗ, παρὰ τῇ Θεία Γραφῇ οὐ σημαίνουσι πάντοτε καιρὸν ὡρισμένον, καὶ τέλος ἔχοντα, ἀλλ᾽ ἀόριστον, καὶ ἀτελεύτητον· μαρτυρεῖ τοῦτο τὸ περὶ τοῦ
Γεν. ή. 7. κόρακος εἰρημένον· Καὶ ἐξελθὼν, οὐκ
ἀνέστρεψεν, ἕως τοῦ ξηρανθῆναι
Ψαλ. ρθ΄. 2. τὸ ὕδωρ ἀπὸ τῆς γῆς· καὶ τό· Κά-
θου ἐκ δεξιῶν μου, ἕως ἂν θῶ
τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν
Ματ. ά. 25. ποδῶν σου· καὶ τό· Οὐκ ἐγίνωσ-
κεν αὐτὴν, ἕως οὗ ἔτεκε τὸν υἱὸν
Αυτ. κή. 20. αὐτῆς τὸν πρωτότοκον· καὶ τό· Ἰ-
δοὺ, ἐγὼ μεθ᾽ ὑμῶν εἰμὶ πάσας
τὰς ἡμέρας, ἕως τῆς συντελείας
τοῦ αἰῶνος· διότι ὁ κόραξ οὐδέποτε ἐπέστρεψεν εἰς τὴν κιβωτόν· καὶ ὁ Υἱὸς τοῦ Θεοῦ διαπαντὸς κάθηται ἐκ δεξιῶν τοῦ θρόνου τῆς μεγαλωσύνης ἐν τοῖς ὑψηλοῖς· καὶ ἡ ἁγία Θεοτόκος πάντοτε καὶ ἀεὶ παρθένος ἐστί· καὶ ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς, οὐ μόνον ἕως τῆς συντελείας τοῦ κόσμου εὑρίσκεται μετὰ τῶν Ἀποστόλων, καὶ τῶν δικαίων, ἀλλὰ καὶ μετὰ ταῦτα, εἰς τοὺς αἰῶνας τῶν ἀτελευτήτων αἰώνων. Ἐκάλεσαν δὲ τοὺς γονεῖς τοῦ τυφλοῦ οἱ Φαρισαῖοι, ἐλπίζοντες, ὅτι αὐτοὶ, φοβηθέντες τὴν ἐξουσίαν αὐτῶν, σιωπήσουσι τὸ θαῦμα.

Καὶ ἠρώτησαν αὐτοὺς, λέ- Ἰωάν. θ΄. 19.
γοντες· Οὗτός ἐστιν ὁ υἱὸς
ὑμῶν, ὃν ὑμεῖς λέγετε, ὅτι
τυφλὸς ἐγεννήθη; πῶς οὖν
ἄρτι βλέπει;

Μετὰ πανουργίας ἐρωτῶσι, σκοπὸν ἔχοντες φοβίσαι τοὺς γονεῖς τοῦ τυφλοῦ, καὶ οὕτως αὐτοὶ ἀρνηθῶσι τὴν ἀλήθειαν· Ὃν ὑμεῖς λέγετε, ὑμεῖς δηλαδὴ οἱ γονεῖς αὐτοῦ λέγετε, ὅτι τυφλὸς ἐγεννήθη, πλὴν οὐδὲ ἡμεῖς, οὐδὲ ἄλλος τις εἰς τοῦτο πείθεται. Ἀλλ᾽ ἐπλανῶντο οἱ τρισάθλιοι· διότι ἡ ἀλήθεια ὅσον ἐξετάζεται, τοσοῦτον λάμπει. Αὐτοὶ ἤλπιζον, ὅτι διὰ τῆς ἐξετάσεως εὑρίσκουσι τρόπον κρύψαι τὸ θαῦμα, ὅσον δὲ περισσότερον ἐξέταζον, τοσοῦτον βεβαιότερον καὶ θαυμασιώτερον αὐτὸ ἀπεδείκνυον.

Ἀπεκρίθησαν αὐτοῖς οἱ γο- Αὐτόθι. 20.
νεῖς αὐτοῦ, καὶ εἶπον· Οἴδα-
μεν, ὅτι οὗτός ἐστιν ὁ υἱὸς
ἡμῶν, καὶ ὅτι τυφλὸς ἐγεννή-
θη· πῶς δὲ νῦν βλέπει, οὐκ
οἴδαμεν· ἢ τίς ἤνοιξεν αὐτοῦ
τοὺς ὀφθαλμοὺς, ἡμεῖς οὐκ
οἴδαμεν· αὐτὸς ἡλικίαν ἔχει, 21.
αὐτὸν ἐρωτήσατε· αὐτὸς πε-
ρὶ αὐτοῦ λαλήσει.

Ὁμολογοῦσιν οἱ γονεῖς τοῦ τυφλοῦ, ὅτι ἐκεῖνός ἐστιν ὁ υἱὸς αὐτῶν, καὶ ὅτι τυφλὸς ἐγεννήθη· περὶ δὲ τοῦ πῶς, καὶ

*τίς ἰάτρευσεν αὐτὸν, ἀπεκρίθησαν· Οὐκ οἴδαμεν· αὐτὸς ὁ υἱὸς ἡμῶν, ὁ πρότερον τυφλὸς, ἔχει ἔτη ἡλικίας ἀρκετὰ, αὐτὸν λοιπὸν περὶ τούτου ἐρωτήσατε. Ἀλλ' ἄρά γε ἀληθῶς οὐκ ἐγίνωσκον, πῶς, καὶ τίς ἰάτρευσε τὸν υἱὸν αὐτῶν; Ἐγίνωσκον ἀναμφιβόλως, ἀλλ' εἶπον, τὸ, οὐκ οἴδαμεν, ἐπειδὴ ἐφοβοῦντο τοὺς Ἰουδαίους.*

Ἰωάν. θ'. 22. Ταῦτα εἶπον οἱ γονεῖς αὐτοῦ,
ὅτι ἐφοβοῦντο τοὺς Ἰουδαίους·
ἤδη γὰρ συνετέθειντο οἱ Ἰου-
δαῖοι, ἵνα, ἐάν τις αὐτὸν ὁ-
μολογήσῃ Χριστὸν, ἀποσυνά-
Αὐτ. 23. γωγος γένηται. Διὰ τοῦτο οἱ
γονεῖς αὐτοῦ εἶπον· Ὅτι ἡ-
λικίαν ἔχει, αὐτὸν ἐρωτήσατε.

*Βλέπε, πῶς ὁ φόβος διώκει ἐκ τοῦ στόματος τοῦ ἀνθρώπου τὴν ἀλήθειαν, καὶ φέρει τὸ ψεῦδος. Ἐφοβοῦντο δὲ οἱ γονεῖς τοῦ τυφλοῦ τοὺς Ἰουδαίους, καθότι αὐτοὶ προλαβὸν συνεφώνησαν, ἵνα, ὅστις ὁμολογήσῃ, ὅτι ὁ Ἰησοῦς ἐστὶν ὁ Χριστὸς, ὁ προσδοκώμενος Μεσσίας, ἐκεῖνος διωχθῇ εὐθὺς ἀπὸ τῆς Συναγωγῆς αὐτῶν. Ἰδόντες δὲ οἱ Φαρισαῖοι, ὅτι οὐδὲ διὰ τοῦ τυφλοῦ, οὐδὲ διὰ τῶν γονέων αὐτοῦ ἐδυνήθησαν κατορθῶσαι ἐκεῖνο, ὅπερ ἤθελον, πάλιν προσκαλοῦσι τὸν ποτὲ τυφλόν.*

Ἰωάν. θ'. 24. Ἐφώνησαν οὖν ἐκ δευτέρου τὸν
ἄνθρωπον, ὃς ἦν τυφλὸς, καὶ
εἶπον αὐτῷ· Δὸς δόξαν τῷ
Θεῷ· ἡμεῖς οἴδαμεν, ὅτι ὁ
ἄνθρωπος οὗτος ἁμαρτωλός ἐ-
στιν.

*Ἐπειδὴ εἶδον, ὅτι οὐκ ἐδυνήθησαν κρύψαι τὸ θαῦμα, ἄλλον τρόπον μετέρχονται ὑποκριτικὸν καὶ δόλιον· οὐ λέγουσι πρὸς τὸν τυφλὸν φανερὰ καὶ ἀναίσχυντα· Ἀρνήθητι, ὅτι ὁ Χριστὸς σὲ ἰάτρευσεν· ἀλλ' ὑποκριτικῶς, διὰ τοῦ σχήματος τῆς εὐλαβείας, σπουδάζουσι πεῖσαι αὐτὸν, ὅτι ὁ Ἰησοῦς Χριστὸς, ὡς παραβάτης τοῦ νόμου, ἐστὶν ἄνθρωπος ἁμαρτωλός· Δόξασαι, λέγουσι, τὸν Θεόν· διότι αὐτὸς ἔδωκέ σοι τὸ φῶς· ὁ Χριστὸς οὐδὲν ἐποίησεν, αὐτὸς οὐκ ἐθεράπευσέ σε· ἡμεῖς γνωρίζομεν, ὅτι αὐτὸς ἐστιν ἄνθρωπος ἁμαρτωλὸς, ἐπειδὴ καταφρονεῖ τὸ σάββατον. Ἀκούεις ἀφροσύνην καὶ μωρίαν; προστάττουσι τὸν τυφλὸν, ἵνα τὸν μὲν Θεὸν δοξάσῃ διὰ τὸ γεγονὸς θαυμάσιον, τὸν δὲ Ἰησοῦν Χριστὸν, τὸν ἐργάτην τοῦ θαύματος, κατακρίνῃ ὡς παράνομον καὶ ἁμαρτωλόν.*

Ἀπεκρίθη οὖν ἐκεῖνος, καὶ Ἰωάν. θ'. 25.
εἶπεν· Εἰ ἁμαρτωλός ἐστιν,
οὐκ οἶδα· ἓν οἶδα, ὅτι τυφλὸς
ὢν, ἄρτι βλέπω.

*Ἐδίστασεν ἄρά γε ὁ τυφλὸς, ἢ ἐφοβήθη, καὶ διὰ τοῦτο εἶπεν· Εἰ ἁμαρτωλός ἐστιν, οὐκ οἶδα; Οὐδαμῶς· διότι αὐτὸς καὶ ἐνώπιον τῶν Φαρισαίων
ὡμολόγησεν, ὅτι ὁ Χριστός ἐστι Προφήτης, καὶ ἐνώπιον τοῦ Ἰησοῦ Χριστοῦ εἶ-
πε· Πιστεύω Κύριε, καὶ προσεκύ- Αὐτόθι. 58.
νησεν αὐτῷ. Ἀλλ' ἐπειδὴ ἐκεῖνοι ἦσαν νομοδιδάσκαλοι, αὐτὸς δὲ ἀμαθὴς, ὁμολογήσας, ὅτι οὐκ οἶδεν, ἁμαρτωλός ἐστιν ὁ Ἰησοῦς, ἢ δίκαιος, ἔπαυσε μὲν τὴν διὰ λόγου φιλονεικίαν, ἐβεβαίωσε δὲ, διὰ τῆς ἐπικυρώσεως τοῦ ἐν αὐτῷ γενομένου ἐξαισίου θαύματος, ὅτι ὁ Χριστὸς ἐστὶ παντοδύναμος· Ἁμαρτωλὸς, λέγει, ἐστὶν ὁ Χριστὸς, ἢ δίκαιος, οὐκ οἶδα· τοῦτο*

οἶ-

οἶδα, ὅτι αὐτὸς ἐχάρισέ μοι τὸ φῶς. Τοσοῦτον δὲ κατήσχυνε τοὺς Φαρισαίους ἡ τοιαύτη ἀπόκρισις, ὥστε πάλιν ἤρξαντο ἐρωτᾷν αὐτὸν, τί ἐποίησεν ὁ Ἰησοῦς, καὶ πῶς ἤνοιξε τοὺς ὀφθαλμοὺς αὐτοῦ.

Ἰωάν. θ΄. 26. Εἶπον δὲ αὐτῷ πάλιν· Τί ἐποίησέ σοι; πῶς ἤνοιξέ σου τοὺς ὀφθαλμούς;

Καλὴ ἡ ἀκριβὴς, καὶ ἐπαναδιπλασιαζομένη ἔρευνα, ὅταν ὁ σκοπὸς καλὸς, ἐπειδὴ ἐπιβεβαιοῖ τὴν ἐξεταζομένην ὑπόθεσιν· ἀλλ' οἱ Φαρισαῖοι δολερῶς ἐπανελάμβανον τὰ αὐτὰ ἐρωτήματα, ἐλπίζοντες, ὅτι ὁ τυφλὸς, ἢ ἀμνημονεῖ κἂν μίαν τῶν περιστάσεων, ὧν πρότερον εἶπε, καὶ οὕτως ἀκυροῦται ἡ μαρτυρία αὐτοῦ· ἢ πάλιν ἀναφέρει τὴν πλάσιν τοῦ πηλοῦ, καὶ τὸ χρίσμα, καὶ τὴν νίψιν, καὶ οὕτως αὐτοὶ, κατακωδωνίσαντες τὴν τοῦ σαββάτου παράβασιν, καταδικάσουσι τὸν Ἰησοῦν, ὡς τοῦ σαββάτου παραβάτην. Ἄκουσον ὅμως μετὰ πόσης φρονήσεως ἀποκρίνεται ὁ τυφλὸς, ἐπὶ καλοῦ ἐξηγήσας τὴν δευτέραν αὐτῶν ἐρώτησιν.

Αὐτόθι. 27. Ἀπεκρίθη αὐτοῖς· Εἶπον ὑμῖν ἤδη, καὶ οὐκ ἠκούσατε· τί πάλιν θέλετε ἀκούειν; μὴ καὶ ὑμεῖς θέλετε αὐτοῦ μαθηταὶ γενέσθαι;

Εἶπα, λέγει, προλαβὸν, πῶς ἤνοιξε τοὺς ὀφθαλμούς μου, καὶ οὐκ ἠθελήσατε ἀκοῦσαι· διατί πάλιν ἐρωτᾶτε, καὶ θέλετε ἀκοῦσαι τὰ αὐτά; μήπως ἐρωτᾶτε πάλιν, θέλοντες καὶ ὑμεῖς, καθὼς καὶ ἐγὼ, γενέσθαι μαθηταὶ αὐτοῦ;

Ἐλοιδόρησαν οὖν αὐτὸν, καὶ Ἰωάν. θ΄. 28.
εἶπον· Σὺ εἶ μαθητὴς ἐκείνου· ἡμεῖς δὲ τοῦ Μωσέως ἐσμὲν μαθηταί.

Ἐπὶ τὰς ὕβρεις καταφεύγουσιν ὅσοι οὐδὲ ἀπόκρισιν ἔχουσιν, οὐδὲ λόγον· ὕβρισαν λοιπὸν τὸν τυφλόν· Σὺ, εἶπον, εἶ μαθητὴς ἐκείνου, ἡμεῖς ἐσμὲν μαθηταὶ τοῦ Μωϋσέως. Σημείωσαι δὲ πρῶτον μὲν, ὅτι τόσον μῖσος εἶχον πρὸς τὸν Χριστὸν, ὥστε οὐδέποτε ἀνέφερον τὸ ὄνομα αὐτοῦ· ἀλλὰ πρῶτον μὲν εἶπον·
Οὗτος ὁ ἄνθρωπος· ἔπειτα δέ· Σὺ Ἀυτ. θ΄. 16.
τί λέγεις περὶ αὐτοῦ; μετὰ ταῦ- Ἀυτ. 17.
τα· Σὺ εἶ μαθητὴς ἐκείνου· δεύτερον, ὅτι εἰς μάτην ἐκαυχῶντο, ὅτι εἰσὶ μαθηταὶ τοῦ Μωϋσέως· διότι, ἐὰν ἤκουον καὶ κατελάμβανον τὰ μαθήματα τοῦ Μωϋσέως, ὑπήκουον τῷ Χριστῷ, καὶ ἐγίνοντο μαθηταὶ αὐτοῦ· ἐπειδὴ ὁ Μωϋσῆς καθαρῶς περὶ τοῦ Χριστοῦ ἐλάλησε,
λέγων· Προφήτην ἐκ τῶν ἀδελ- Δευτ. ιή. 15.
φῶν σου, ὡς ἐμὲ, ἀναστήσει σοι Κύριος ὁ Θεός σου· αὐτοῦ ἀκούσεσθε.
Ὁ ἄνθρωπος, ὃς ἐὰν μὴ Ἀυτ. 19.
ἀκούσῃ ὅσα ἂν λαλήσῃ ὁ Προφήτης ἐκεῖνος ἐπὶ τῷ ὀνόματί μου, ἐγὼ ἐκδικήσω ἐξ αὐτοῦ. Ὅθεν καὶ ὁ Κύριος ἡμῶν πρὸς τοὺς Ἰουδαίους ἔλεγεν·
Ἔστιν ὁ κατηγορῶν ὑμῶν Ἰωάν. έ. 45.
Μωσῆς, εἰς ὃν ὑμεῖς ἠλπίκατε. Εἰ Ἀυτ. 46.
γὰρ ἐπιστεύετε Μωσῇ, ἐπιστεύετε ἂν ἐμοί· περὶ γὰρ ἐμοῦ ἐκεῖνος ἔγραψεν. Ἄκουσον δὲ καὶ τὴν ἑξῆς ἀλαζονείαν τῶν Φαρισαίων.

Ἡμεῖς οἴδαμεν, ὅτι Μωσῇ Ἀυτ. θ΄. 29.
λελάληκεν ὁ Θεός· τοῦτον δὲ οὐκ οἴδαμεν πόθεν ἐστίν.

Ὅπως καὶ ἂν ἐκλάβῃς τὸ πόθεν, βλέπεις, ὅτι οἱ Ἰουδαῖοι ψεύδονται, λέγοντες, οὐκ οἴδαμεν πόθεν ἐστί· διότι, ἐὰν τὸ, πόθεν, σημαίνῃ τοὺς γονεῖς, καὶ συγγενεῖς, αὐτοὶ ἐγνώριζον αὐ-
Ματ. ιγ'. 55, 56. τούς· διὸ ἔλεγον· Οὐχ οὗτός ἐστιν ὁ τοῦ τέκτονος υἱός; οὐχὶ ἡ μήτηρ αὐτοῦ λέγεται Μαριὰμ, καὶ οἱ ἀδελφοὶ αὐτοῦ Ἰάκωβος, καὶ Ἰωσῆς, καὶ Σίμων, καὶ Ἰούδας; καὶ αἱ ἀδελφαὶ αὐτοῦ οὐχὶ πᾶσαι πρὸς ἡμᾶς εἰσί; Ἐὰν δὲ σημαίνῃ τὴν πατρίδα, καὶ ἡ πατρὶς τοῦ Ἰησοῦ γνωστὴ ἦν αὐτοῖς· ἐξ οὗ ἔλεγον·
Αυτ. κϛ'. 69. Καὶ σὺ ἦσθα μετὰ Ἰησοῦ τοῦ Γαλιλαίου. Ἐὰν δὲ τὸ, πόθεν, σημαίνῃ τὸ πόθεν ἔρχεται, ἢ τὸ πόθεν πέμπεται, πάλιν ψεύδονται· διότι πόθεν αὐτοὶ ἐγίνωσκον, ὅτι ὁ Θεὸς ἐλάλησε τῷ Μωϋσῇ; φανερὸν, ὅτι ἐκ τῶν Γραφῶν· ἀλλ' αἱ Γραφαὶ διδάσκουσι καὶ περὶ τοῦ πόθεν ἔρχεται ὁ Χριστός· πρὸς τούτοις καὶ ὁ πρόδρομος Ἰωάννης, καὶ αὐτὸς ὁ Ἰησοῦς ἐκήρυξεν, ὅτι ἀπ' οὐρανοῦ ἦλθε, καὶ παρὰ τοῦ Θεοῦ καὶ Πατρὸς ἐπέμφθη εἰς τὸν κόσμον· ἔβλεπον δὲ καὶ τὰ ἐξαίσια θαύματα τοῦτο μαρτυροῦντα. Ἄκουε δὲ πῶς ἀπαντᾷ εἰς τὰ τῶν Φαρισαίων ψευδολογήματα ὁ τυφλός.

Ἰωάν. θ'. 30. **Ἀπεκρίθη ὁ ἄνθρωπος, καὶ εἶπεν αὐτοῖς· Ἐν γὰρ τούτῳ θαυμαστόν ἐστιν, ὅτι ὑμεῖς οὐκ οἴδατε πόθεν ἐστὶ, καὶ ἀνέῳξέ μου τοὺς ὀφθαλμούς.**

Βλέπε, πῶς ὁ Θεὸς σοφίζει καὶ τοὺς ἀμαθεῖς· βλέπε τὸν λόγον τοῦ
Ψαλ. ρμέ. 6. προφήτου Δαβὶδ ἐνεργούμενον· Κύριος σοφοῖ τυφλούς. Ἐλέγχει ὁ ἀμαθὴς τυφλὸς τοὺς δοκοῦντας σοφοὺς Φαρισαίους, καὶ σὺν τῷ ἐλέγχῳ ἀποδεικνύει τὴν ἁγιότητα καὶ δύναμιν τοῦ Ἰησοῦ Χριστοῦ· Θαυμαστὸν, λέγει, παράδοξον πρᾶγμα, ὅτι ὑμεῖς οἱ διδάσκαλοι, οἱ μελετῶντες τὸν τοῦ Θεοῦ νόμον, καὶ ἐπαγγελλόμενοι ἁγιωσύνην, ἀγνοεῖτε πόθεν κατάγεται τοιοῦτος θαυματουργὸς ἄνθρωπος· καὶ ὅμως οὗτος ὁ παρ' ἡμῶν ἀγνοούμενος ἤνοιξε τοὺς ὀφθαλμούς μου. Ταῦτα δὲ εἰπὼν, προστίθησι τὰς ἀποδείξεις τῆς ἐξουσίας καὶ χάριτος τοῦ Ἰησοῦ Χριστοῦ, λέγων·

**Οἴδαμεν δὲ, ὅτι ἁμαρτωλῶν** Ἰωάν. θ'. 31.
**ὁ Θεὸς οὐκ ἀκούει· ἀλλ' ἐάν τις θεοσεβὴς ᾖ, καὶ τὸ θέλημα αὐτοῦ ποιῇ, τούτου ἀκούει.**

Καὶ αὐτὴ ἡ θεία Γραφὴ διδάσκει τὸ, ἁμαρτωλῶν ὁ Θεὸς οὐκ ἀκούει· Ἀδικίαν εἰ ἐθεώρουν ἐν καρ-
δίᾳ μου, μὴ εἰσακουσάτω μου Κύ- Ψαλ. ξέ. 17.
ριος. Ὅταν ἐκτείνητε τὰς χεῖρας, Ἡσ. ά. 15.
ἀποστρέψω τοὺς ὀφθαλμούς μου ἀφ' ὑμῶν· καὶ ἐὰν πληθύνητε τὴν δέησιν, οὐκ εἰσακούσομαι ὑμῶν· αἱ γὰρ χεῖρες ὑμῶν αἵματος πλήρεις· καὶ ἄλλα δὲ πολλὰ παρόμοια εὑρίσκεις ἐν τῇ θείᾳ Γραφῇ. Σημείωσαι δὲ, ὅτι ταῦτα λέγει ὁ Θεὸς περὶ τῶν ἀμετανοήτων, περὶ ἐκείνων δηλαδὴ, οἵτινες ἐπιμένουσιν εἰς τὴν ἁμαρτίαν, καὶ οὐδέποτε λαμβάνουσιν ἔννοιαν μετανοίας καὶ διορθώσεως. Ὅσοι δὲ προστρέχουσιν εἰς τὴν μετάνοιαν, ἐκείνων τὴν δέησιν ὁ Θεὸς εὐθὺς εἰσακούει· εἰσήκουσε
τὸ, Μνήσθητί μου Κύριε, τοῦ λῃστοῦ, Λουκ. κγ'. 42.
τὸ, Ὁ Θεὸς ἱλάσθητί μοι, τοῦ Τε- Αυτ. ιή. 13.
λώνου, τὴν μετὰ δακρύων προσευχὴν τῆς πόρνης· ἐνομοθέτησεν, ἵνα ζητῶμεν τὴν

ἀφε-

ἄφεσιν τῶν ἁμαρτημάτων ἡμῶν, λέγον-
Ματ. ϛ'. 12. τες· Ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡ-
μῶν. Ἀλλὰ καὶ τὸ ἔτι παραδοξότερον
τοῦτό ἐστι· καὶ αὐτὴν τὴν χάριν τῶν
θαυμάτων ἐνίοτε δίδωσιν ὁ Θεὸς τοῖς
ἁμαρτωλοῖς, πρὸς διόρθωσιν αὐτῶν, καὶ
Αὐτ. ζ'. 22. ὠφέλειαν τῶν ἄλλων· Πολλοί, λέγει,
ἐροῦσίμοι ἐν ἐκείνῃ τῇ ἡμέρᾳ·
Κύριε, Κύριε, οὐ τῷ σῷ ὀνόματι
προεφητεύσαμεν, καὶ τῷ σῷ ὀνό-
ματι Δαιμόνια ἐξεβάλομεν, καὶ
τῷ σῷ ὀνόματι δυνάμεις πολλὰς
Αὐτ. 23. ἐποιήσαμεν; Καὶ τότε ὁμολογή-
σω αὐτοῖς, Ὅτι οὐδέποτε ἔγνων
ὑμᾶς· ἀπόστητε ἀπ' ἐμοῦ οἱ ἐργα-
ζόμενοι τὴν ἀνομίαν. Μὴ νοήσῃς
λοιπὸν τό, ἁμαρτωλῶν ὁ Θεὸς οὐκ
ἀκούει, γενικὸν καὶ καθολικὸν εἰς πᾶ-
σαν περίστασιν καὶ ὑπόθεσιν. Τὸ δὲ
ἑξῆς, ἤγουν τό, ἐάν τις θεοσεβὴς ᾖ,
καὶ τὸ θέλημα αὐτοῦ ποιῇ, τού-
του ἀκούει, γενικώτατόν ἐστι καὶ κα-
θολικώτατον· διότι εἰσακούει ὁ Θεὸς
τὰς ἐπὶ σωτηρίᾳ δεήσεις πάντων τῶν σε-
βομένων αὐτόν, καὶ φυλαττόντων τὰς
ἐντολὰς αὐτοῦ, καθὼς τὸ Πνεῦμα τὸ ἅ-
γιον διδάσκει διὰ στόματος τοῦ Προφή-
Ψαλ. ρμδ'. 19, 20. του, λέγον· Ἐγγὺς Κύριος πᾶσι
τοῖς ἐπικαλουμένοις αὐτὸν ἐν
ἀληθείᾳ. Θέλημα τῶν φοβουμέ-
νων αὐτὸν ποιήσει, καὶ τῆς δεή-
σεως αὐτῶν εἰσακούσεται. Μετὰ
δὲ ταῦτα μεγαλύνει ὁ τυφλὸς τοῦ θαύ-
ματος τὸ μέγεθος, λέγων·

Ἰωάν. θ'. 32. Ἐκ τοῦ αἰῶνος οὐκ ἠκούσθη,
ὅτι ἤνοιξέ τις ὀφθαλμοὺς τυ-
Αὐτ. 33. φλοῦ γεγεννημένου. Εἰ μὴ ἦν
οὗτος παρὰ Θεοῦ, οὐκ ἠδύνα-
το ποιεῖν οὐδέν.

Ἀπὸ κτίσεως κόσμου, λέγει, οὐκ
ἠκούσθη, ὅτι ἄνθρωπος ἤνοιξε τοὺς ὀφ-
θαλμοὺς ἀνθρώπου, ὅστις ἐκ κοιλίας
μητρὸς ἐγεννήθη τυφλός. Καὶ ἀληθῶς
οὐδείς, οὐδὲ τῶν πρὸ νόμου δικαίων, οὐ-
δὲ τῶν ἐν νόμῳ ἁγίων Προφητῶν, οὐδὲ
τῶν μετὰ τὴν χάριν Ἀποστόλων καὶ
μαθητῶν τοῦ Χριστοῦ ἐτέλεσε τοιοῦτον
παράδοξον θαῦμα. Ἐὰν ὁ Χριστός, λέ-
γει ὁ τυφλός, οὐκ ἦν ἄνθρωπος παρὰ
Θεοῦ ἀπεσταλμένος, οὐδέν, ἤγουν οὐδὲν
ἔργον τοσοῦτον παράδοξον ἐδύνατο πρᾶ-
ξαι· ἰσχυρὸν τοῦ τυφλοῦ τὸ ἐπιχείρη-
μα! Ἄκουε δέ, τί πρὸς τοῦτο ἀποκρί-
νονται οἱ Φαρισαῖοι·

Ἀπεκρίθησαν καὶ εἶπον αὐ- Ἰωάν. θ'. 34.
τῷ· Ἐν ἁμαρτίαις σὺ ἐγεν-
νήθης ὅλος, καὶ σὺ διδάσκεις
ἡμᾶς; Καὶ ἐξέβαλον αὐτὸν
ἔξω.

Ἰδοὺ γάρ, εἶπεν ὁ Προφήτης Δα- Ψαλ. ν'. 6.
βίδ, ἐν ἀνομίαις συνελήφθην, καὶ
ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μή-
τηρ μου, σημαίνων τὴν τοῦ Ἀδὰμ ἁ-
μαρτίαν, μεθ' ἧς πάντες γεννώμεθα· κα-
τὰ τοῦτον δὲ τὸν λόγον, ἀληθῶς ἐν ἁ-
μαρτίαις ὅλος ἐγεννήθη ὁ τυφλός. Οἱ
Φαρισαῖοι ὅμως οὐ κατὰ τοῦτο εἶπον
ταῦτα τὰ λόγια· διότι τοῦτό ἐστι κα-
τηγορία κοινὴ παντὸς ἀνθρώπου· κατὰ
τοῦτο πᾶς ἄνθρωπος ἐγεννήθη ὅλος ἐν
ἁμαρτίαις· ἀλλ' ἐννόουν ἐκεῖνο, περὶ οὗ
ἐζήτησαν οἱ θεῖοι Ἀπόστολοι, λέγον-
τες· Ῥαββί, τίς ἥμαρτεν, οὗτος Ἰωάν. θ'. 2.
ἢ οἱ γονεῖς αὐτοῦ, ἵνα τυφλὸς γεν-
νηθῇ; ἤγουν, ἔλεγον οἱ Φαρισαῖοι, ὅτι
καὶ ἡ ψυχὴ τοῦ τυφλοῦ δι' ἄλλου προ-
τέρου σώματος αὐτῆς ἥμαρτε, πρὶν ἢ
μεταβῇ ἐν τῷ τότε σώματι αὐτοῦ, ἔτι
δὲ καὶ οἱ γονεῖς αὐτοῦ ἦσαν τοιοῦτοι
ἁμαρτωλοί· Σὺ λοιπόν, λέγουσι, τοιοῦ-

τος

τος ὢν ἁμαρτωλὸς, διδάσκεις ἡμᾶς τοὺς καθαροὺς καὶ ἁγίους; Ταῦτα δὲ εἰπόντες, ἐξέβαλον αὐτὸν ἔξω τοῦ Ἱεροῦ.

Ἰωαν. θ'. 35. Ἤκουσεν ὁ Ἰησοῦς, ὅτι ἐξέβαλον αὐτὸν ἔξω· καὶ εὑρὼν αὐτὸν, εἶπεν αὐτῷ· Σὺ πιστεύεις εἰς τὸν Υἱὸν τοῦ Θεοῦ;

Ἀτιμάζεται ὁ τυφλὸς ὑπὸ τῶν ἀνθρώπων, ἀλλὰ τιμᾶται ὑπὸ τοῦ Θεοῦ· ἐστερήθη τοῦ Ἱεροῦ, καὶ εὗρε τοῦ Ἱεροῦ τὸν Δεσπότην· ἐχωρίσθη ἀπὸ τῶν ἀνθρώπων, καὶ ἡνώθη μετὰ τοῦ Θεοῦ. Σὺ δὲ σημείωσον τὸ, ἤκουσεν ὁ Ἰησοῦς· διότι αὐτὸ σημαίνει, ὅτι, ὁπόταν δι' ἀγάπην αὐτοῦ ὑβριζώμεθα, καὶ διωκώμεθα, αὐτὸς ἀκούει τὰς περιφρονήσεις, καὶ βλέπει τοὺς διωγμούς· ὅθεν ἔρχεται πρὸς παραμυθίαν καὶ ἀντίληψιν ἡμῶν. Ἠρώτησε δὲ ὁ Θεάνθρωπος τὸν τυφλὸν, ἐὰν πιστεύῃ, οὐχ ὡς ἀγνοῶν, ἀλλὰ θέλων διδάξαι αὐτὸν, ὅτι αὐτός ἐστιν ὁ Υἱὸς τοῦ Θεοῦ, καὶ ἀκοῦσαι παρὰ τοῦ στόματος αὐτοῦ τῆς πίστεως αὐτοῦ τὴν ὁμολογίαν.

Αὐτ. θ'. 36. Ἀπεκρίθη ἐκεῖνος, καὶ εἶπε· Τίς ἐστι, Κύριε, ἵνα πιστεύσω εἰς αὐτόν;

Φανερὸν λοιπὸν, ὅτι ἠγνόει ὁ τυφλὸς, ὅτι ὁ Ἰησοῦς Χριστός ἐστιν ὁ Υἱὸς τοῦ Θεοῦ, Προφήτην δὲ μόνον ἐνόμιζεν αὐτὸν καὶ ἅγιον ἄνδρα· ὅθεν ἠρώτα αὐτὸν, τίς ἐστιν ὁ Υἱὸς τοῦ Θεοῦ, ἵνα πιστεύσῃ εἰς αὐτόν.

Εἶπε δὲ αὐτῷ ὁ Ἰησοῦς· Καὶ ἑώρακας αὐτὸν, καὶ ὁ λαλῶν μετὰ σοῦ, ἐκεῖνός ἐστιν. Ἰωάν. θ'. 37.

Διατί οὐκ ἀπεκρίθη ὁ Κύριος κατ' εὐθεῖαν, Ἐγώ εἰμι, ἀλλὰ πλαγίως, Καὶ ἑώρακας αὐτὸν, καὶ ὁ λαλῶν μετὰ σοῦ, ἐκεῖνός ἐστιν; Ἵνα ἀναμνήσῃ τὸ θαῦμα· καὶ ἑώρακας αὐτὸν, ἤγουν εἶδες πρὸ ὀλίγου, ὅταν ἔλαβες τὸ φῶς, τὴν δύναμιν αὐτοῦ καὶ τὰ θαυμάσια· καὶ ἵνα διδάξῃ, ὅτι ὁ Υἱὸς τοῦ Θεοῦ οὐκ ἔστι λόγος ἄσαρκος, ἀλλ' αὐτὸς ὁ σεσαρκωμένος Χριστός· Αὐτὸν, λέγει, τὸν ἄνθρωπον, ὃν βλέπεις, καὶ ὃν ἀκούεις λαλοῦντα μετὰ σοῦ, αὐτός ἐστιν ὁ Υἱὸς τοῦ Θεοῦ.

Ὁ δὲ ἔφη· Πιστεύω Κύριε· καὶ προσεκύνησεν αὐτῷ. Αὐτ. 38.

Οὐ μόνον ὡμολόγησεν εὐθὺς, ὅτι πιστεύει εἰς τὸν Ἰησοῦν Χριστὸν τὸν Υἱὸν τοῦ Θεοῦ, ἀλλὰ καὶ τὴν προσκυνητικὴν λατρείαν αὐτῷ προσέφερεν.

# ΟΜΙΛΙΑ

### ΜΕΤΑ ΤΟ ΚΑΤΑ

# ΙΩΑΝΝΗΝ

## ΕΥΑΓΓΕΛΙΟΝ ΤΗΣ ΚΥΡΙΑΚΗΣ ΤΟΥ ΤΥΦΛΟΥ.

Τὴν ἀπορίαν διὰ τὴν ἐκ γενετῆς τύφλωσιν τοῦ τυφλοῦ ἔλυσεν ὁ Θεάνθρωπος Ἰησοῦς, εἰπὼν, ὅτι αὐτὸς ἐγεννήθη τυφλὸς, ἵνα δοξασθῇ ἐπ' αὐτῷ ὁ Θεός. Ἀλλ' αἱ τιμωρίαι, διὰ τῶν ὁποίων ἄχρι τῆς σήμερον βλέπομεν παιδευομένους πολλοὺς ἀνθρώπους, εἰς τοιοῦτον βυθὸν ἀπορίας καταχρημνίζουσι τοὺς ἀνευλαβεῖς καὶ αὐθάδεις, ὥστε καὶ γλῶσσαν κινοῦσι κατὰ τῆς πανσόφου Προνοίας τοῦ ἀπειροδυνάμου Θεοῦ. Καὶ δικαίους βλέπομεν παιδευομένους, καὶ ἁμαρτωλούς· καὶ δικαίους βλέπομεν ἀποθνήσκοντας ἐν ἀνέσει καὶ εὐτυχίᾳ, καὶ ἁμαρτωλοὺς
Ψαλ. λί. 6. ὁμοίως. Ἀληθῶς, Τὰ κρίματα τοῦ
Κυρίου ἄβυσσος πολλή. Ἀνεξε-
Ῥωμ. ιά. 33. ρεύνητά εἰσι τὰ κρίματα αὐτοῦ, καὶ ἀνεξιχνίαστοι αἱ ὁδοὶ αὐτοῦ· διότι τίς ποτε ἐδυνήθη νὰ γνωρίσῃ τοῦ Κυρίου τὰ διανοήματα; ἢ τίς ἐγένετο αὐτοῦ σύμβουλος; τὸ διανοητικὸν ὅμως, ὅπερ ὁ Θεὸς ἐχάρισεν εἰς πάντα ἄνθρωπον, ὁδηγούμενον ὑπὸ τοῦ φωτὸς τῶν ἁγίων Γραφῶν, δύναται ὁπωσοῦν νὰ εὕρῃ τὸν λόγον τῶν τιμωριῶν, δι' ὧν ὁ Θεὸς εἰς τὸν κόσμον τοῦτον παιδεύει τινὰς ἀνθρώπους.

Ἡμεῖς ἀναγινώσκομεν εἰς τὰς θείας Γραφὰς, καὶ ἔτι ἄχρι τῆς σήμερον βλέπομεν ἄλλους μὲν ἁμαρτωλοὺς παιδευομένους ὑπὸ τοῦ Θεοῦ, ἄλλους δὲ διαμένοντας χωρὶς τιμωρίας, καὶ εὐτυχοῦντας. Παιδεύει ὁ Θεὸς τὸν Κάϊν, τὸν Φαραὼ, τὸν Ναδὰβ, τὸν Ἀβιοὺδ, τὸν Σαοὺλ, τὸν Ἀβεσσαλὼμ, τὸν Ἀχαὰβ, τὸν Ναβουχοδονόσορ, καὶ ἄλλους ἀναριθμήτους ἁμαρτωλούς. Ὁ Ῥοβοάμ, ὁ Ἀβιοὺ, ὁ Ἀμβρὶ, ὁ Ἰηοὺ, ἄνθρωποι πονηρότατοι καὶ τῆς εὐσεβείας ἀποστάται, κοιμῶνται ἐν εἰρήνῃ, καὶ θάπτονται μετὰ τῶν πατέρων αὐτῶν. Τὰ αὐτὰ γίνονται ἄχρι τῆς σήμερον ἡμέρας· ἄλλοι μὲν τῶν ἁμαρτανόντων παιδεύονται, ἄλλοι δὲ ἀποθνήσκουσιν ἐν εἰρήνῃ. Διατί ἄραγε τοῦτο; Διότι, ἐὰν ὁ Θεὸς ἐπαίδευεν εἰς τὸν κόσμον τοῦτον πάντας τοὺς ἁμαρτάνοντας, ἡ ἀρετὴ ἐγίνετο ἀναγκαστικῶς, καὶ οὐχὶ θεληματικῶς· τότε ἔπραττε καθεὶς τὴν ἀρετὴν, οὐχὶ ἐξ ἰδίας ἐκλογῆς, καθότι ἐστὶ καλὴ καὶ ὠφέλιμος, ἀλλ' ἐξ ἀνάγκης, φοβούμενος τὴν ταχυνὴν καὶ ἄφευκτον τιμωρίαν· ὅθεν ἡ μὲν ἀρετὴ ὑστερεῖτο τοῦ χαρακτῆρος αὐτῆς, ἤγουν τοῦ, ἐπιθυμητὴ αὐτὴ καθ' ἑαυτήν· ὁ δὲ Θεὸς, διὰ τοὺς νόμους τῆς δικαιοσύνης αὐτοῦ, οὐκ ἠδύνατο στεφανῶσαι τοὺς ἐναρέτους· ἐπειδὴ οὐδὲ διὰ τὴν ἀγάπην αὐτοῦ, οὐδὲ διὰ τὸν ἔρωτα τοῦ καλοῦ, οὐδὲ διὰ τὴν ἀπόλαυσιν τῆς αἰωνίου βασιλείας, οὐδὲ διὰ τὴν ἀπαλλαγὴν τῆς ἀτελευτήτου κολάσεως, μόνον δὲ, διὰ τὸν φόβον τῆς αἰσθητῆς καὶ προσκαίρου τιμωρίας, κατώρθωσαν τὴν ἀρετήν· οὐδεὶς, λέγω, τότε ὁ τῆς ἀρετῆς μισθὸς, διότι τότε ὑπετάσσετο ὁ ἄνθρωπος εἰς τοὺς νόμους, καθὼς ὁ ἵππος εἰς τὸν χαλινὸν, καὶ ὁ βοῦς ὑποκάτω εἰς τὸν ζυγὸν, φοβούμενοι, ὁ μὲν τὴν μάστιγα,

ὁ

ὁ δὲ τὴν βούκεντραν. Ἐὰν ὁ Θεὸς ἐπαίδευε πάντας τοὺς ἁμαρτωλοὺς εἰς τὴν παροῦσαν ζωὴν, τὸ μὲν κριτήριον τὸ μέλλον ἐγίνετο περιττὸν, οἱ δὲ ἄνθρωποι, βλέποντες τὰς ἀνταποδόσεις τῶν ἔργων εἰς τὸν πρόσκαιρον βίον, ἐνόμιζον, ὅτι εἰσὶ φθαρτοὶ καὶ θνητόψυχοι. Ἐπειδὴ δὲ πιστεύομεν, ὅτι ὁ Θεός ἐστι δικαιότατος, βλέποντες τινὰς τῶν ἁμαρτωλῶν, μὴ παιδευομένους εἰς τὴν παροῦσαν ζωὴν, πληροφορούμεθα, ὅτι ἐστὶ καὶ ἑτέρα ζωὴ μέλλουσα, καὶ ὅτι ἔρχεται ἡμέρα, ἐν ᾗ ὁ Θεὸς θέλει παιδεύσει ἐκείνους τοὺς ἁμαρτωλοὺς, ὅσοι ἔμειναν ἀτιμώρητοι. Παιδεύει δὲ τινὰς τῶν τὰς θείας αὐτοῦ ἐντολὰς καταφρονούντων, ἵνα συστείλῃ καὶ φοβήσῃ τοὺς πονηροὺς καὶ διεστραμμένους, καὶ δείξῃ, ὅτι προνοεῖ καὶ βλέπει τὰ ἔργα τῶν ἀνθρώπων· διότι, ἐὰν πάντες οἱ ἐργάται τῆς ἀνομίας ἔμενον ἀτιμώρητοι, ὑπερεπερίσσευεν ἡ ἁμαρτία, ἀνυποστόλως ἐξεδίδοντο οἱ ἄνθρωποι εἰς τὰ πονηρὰ ἔργα, καὶ ἠρνοῦντο τοῦ παντοδυνάμου Θεοῦ τὴν πρόνοιαν.

Ἀλλὰ τίνας ἄραγε τῶν ἁμαρτωλῶν παιδεύει ὁ Θεὸς εἰς τὴν παροῦσαν ζωὴν, τίνας δὲ ἐγκαταλείπει ἀτιμωρήτους; Τινὲς νομίζουσιν, ὅτι ἐκείνους παιδεύει ὁ Θεὸς εἰς τὴν πρόσκαιρον ζωὴν, ὅσους, διὰ τὸ πολὺ πλῆθος τῶν ἀνομιῶν αὐτῶν, πολλὰ ἐμίσησε, καὶ ὑπερβολικὰ κατ' αὐτῶν ὠργίσθη· ἐκείνους δὲ ἀφίνσιν ἀτιμωρήτους, ὅσοι ὀλίγα τινὰ καὶ μέτρια ἁμαρτήματα ἔπραξαν. Ἡμεῖς ὅμως βλέπομεν τὸ ἐναντίον εἰς τὰς ἁγίας Γραφάς· διότι περὶ μὲν τῶν τιμωρουμένων ἁμαρτωλῶν λέγει τὸ Πνεῦμα
Παροιμ. γ'. 12. τὸ ἅγιον· Ὃν γὰρ ἀγαπᾷ Κύριος, παιδεύει· μαστιγοῖ δὲ πάντα υἱὸν, ὃν παραδέχεται· περὶ δὲ τῶν ἁμαρτανόντων, καὶ μὴ παιδευομένων·
Ὡσ. δ'. 14. Οὐ μὴ ἐπισκέψομαι ἐπὶ τὰς θυγατέρας ὑμῶν, ὅταν πορνεύσωσι, καὶ ἐπὶ τὰς νύμφας ὑμῶν, ὅταν μοιχεύσωσιν· ὅτι αὐτοὶ μετὰ τῶν πορνῶν συνεφύροντο, καὶ μετὰ τῶν τετελεσμένων ἔθυον. Ἐκ τούτων τίς οὐ καταλαμβάνει, ὅτι ὅσοι μὲν ἁμαρτωλοὶ παιδεύονται εἰς τὴν παροῦσαν ζωὴν, ἐκείνους, ἐπειδὴ ὀλίγα ἥμαρτον, ἔτι ἀγαπᾷ ὁ Θεὸς, καὶ διὰ τῆς παιδείας προσκαλεῖ αὐτοὺς εἰς μετάνοιαν, καὶ δέχεται αὐτοὺς ὡς υἱοὺς αὐτοῦ, ὅταν μετανοήσωσιν; ὅσοι δὲ πάλιν ἁμαρτάνουσι, καὶ οὐδόλως παιδεύονται, ἐκεῖνοί εἰσιν ἀνεπίσκεπτοι, διὰ τὸ βάρος τῶν ἀνομιῶν αὐτῶν, καὶ ὑπὸ Θεοῦ ἐγκαταλελειμμένοι; Καὶ ἀληθῶς οἱ μὲν παιδευόμενοι, ἢ μετανοοῦσι, καὶ, λαμβάνοντες τὴν τελείαν τῶν ἁμαρτημάτων συγγνώμην, ἀπαλλάττονται τῆς αἰωνίου κολάσεως· ἢ, καὶ ἐὰν μείνωσιν ἀδιόρθωτοι, ἐλαττοῦται, διὰ τὰς βασάνους, ἃς ὑπέμειναν, ἡ προσδεχομένη αὐτοὺς μέλλουσα κόλασις· τοῦτο αὐτὸς ὁ Θεὸς ἐπιβεβαιοῖ· Ῥαβδίζω, λέγει, ἐγὼ τοὺς ἁμαρτωλοὺς, διὰ τὰς ἀνομίας αὐτῶν, καὶ μαστίζω αὐτοὺς διὰ τὰς ἀδικίας αὐτῶν, ὅμως αὐτὴ ἡ τιμωρία ἐστὶν ἐπίσκεψις, ἐπειδὴ δι' αὐτὴν ἐκχέω τὸ ἔλεός μου ἐπ' αὐτούς· Ἐπισκέψομαι Ψαλ. πή.
ἐν ῥάβδῳ τὰς ἀνομίας αὐτῶν, καὶ 32, 33.
ἐν μάστιξι τὰς ἀδικίας αὐτῶν· τὸ δὲ ἔλεός μου οὐ μὴ διασκεδάσω ἀπ' αὐτῶν. Οἱ δὲ ἁμαρτωλοὶ, οἱ παντελῶς ἐν τῇ παρούσῃ ζωῇ μὴ τιμωρούμενοι, οὐδέποτε ἔρχονται εἰς μετάνοιαν, ἀποθησαυρίζεται δὲ αὐτοῖς ἐν τῷ
μέλλοντι αἰῶνι πᾶσα ἡ παίδευσις· Φυ- Παροιμ. ις'.
λάσσεται ὁ ἀσεβὴς ἐν ἡμέρᾳ κα- 13.
κῇ. Ἐκ τούτου εἷς τῶν ἀρχαίων σοφῶν ἔλεγε· Πᾶς ἄνθρωπος, ὅστις γνωρίζει,
ὅτι ἥμαρτε, παρακαλείτω τὸν Θεὸν, ἵνα Ὠριγ. σ.
παιδεύσῃ αὐτόν· διότι καλὸν μέν ἐστι 776. Τ. 1.
τὸ νὰ μὴ πράξωμεν ἔργα ἄξια τιμω- τῆς εἰς τὴν ὀκτάτ.
ρίας· ἐὰν δὲ καὶ ἐπράξαμεν ἔργον ἄξιον Ἑλλ. Σειρᾶς.

τῆς

τῆς κολάσεως, ἵνα τοιουτοτρόπως παιδευθῶμεν, ὥστε, λαβόντες εἰς τὸν κόσμον τοῦτον τὴν πρέπουσαν ἡμῖν παίδευσιν, νὰ ἀναπαυθῶμεν μετὰ ταῦτα εἰς τοῦ Ἀβραὰμ τοὺς κόλπους· Ἕκαστος οὖν συνειδὼς ἑαυτῷ ἁμαρτίαν, εὐχέσθω κολασθῆναι· καλὸν γὰρ τὸ μηδὲν ἄξιον κολάσεως πεποιηκέναι· εἰ δέτι ἄξιον κολάσεως πεποιήκαμεν, οὕτω κολασθῶμεν, ὥστε ἐνθάδε μὲν ἀπολαβεῖν, μετὰ δὲ ταῦτα εἰς τοὺς κόλπους Ἀβραὰμ ἀναπαύσασθαι.

Ἀλλὰ βλέπομεν, ὅτι καὶ εἰς τοὺς δικαίους τὰ αὐτὰ συμβαίνουσιν· ἄλλοι δηλονότι δίκαιοι εὐτυχεῖς εἰσὶν εἰς τὴν παροῦσαν ζωὴν καὶ δεδοξασμένοι, ἄλλοι δὲ πάσχουσι καὶ διώκονται. Ὁ μὲν Ἰωσὴφ ἐφ' ἅρματος βασιλικοῦ κάθηται, ὁ δὲ Ἰὼβ ἐπὶ κοπρίας τετραυματισμένος κοιτάζεται. Ὁ Δαβὶδ ἐν τῷ τῆς βασιλείας θρόνῳ ὑψοῦται, ὁ Ἱερεμίας ἐν λάκκῳ βορβόρου κατατίθεται. Ὁ Δανιὴλ ὑπὸ τοῦ Ναβουχοδονόσορ τιμώμενος, ὁ Μιχαίας ὑπὸ τοῦ Σεδεκίου ῥαπιζόμενος. Περὶ τούτου, ἀδελφοὶ, μηδόλως σκανδαλίζεσθε· διότι τινὲς μὲν τῶν δικαίων δοξάζονται παρὰ Θεοῦ εἰς τὸν κόσμον, ἵνα, βλέποντες αὐτοὺς οἱ ἄνθρωποι, τιμῶσι τὴν ἀρετὴν, καὶ προθυμοποιοῦνται καὶ στηρίζωνται εἰς τὴν κατόρθωσιν τῶν καλῶν ἔργων· τινὲς δὲ τῶν ἁγίων πάσχουσιν, ἵνα δοκιμασθῇ ἡ ἀνδρεία τῆς ψυχῆς αὐτῶν, καὶ λάμψῃ ἐν τῷ κόσμῳ τῆς ἀρετῆς αὐτῶν τὸ φῶς, καὶ ἀπολαύσωσι πολλαπλασίων μισθῶν καὶ στεφάνων, καὶ διὰ τῆς ὑπομονῆς αὐτῶν δοξασθῇ ὁ Θεός, ὅστις ἐκείνους τοὺς δικαίους διὰ τῶν παθημάτων δοκιμάζει, ὅσους γνωρίζει ἀνδρείους εἰς τὰ παθήματα, καὶ στερεοὺς εἰς τὴν εὐσέβειαν, καὶ ὑπερέχοντας τοὺς ἄλλους εἰς τῆς ἀρετῆς τὰ κατορθώματα· τὸν Ἰὼβ διὰ πολλῶν θλίψεων ἐδοκίμασεν· ἀκούσατε δὲ, τί περὶ αὐτοῦ ἐμαρτύρησε· Προσέσχες τῇ διανοίᾳ σου κατὰ τοῦ παιδός μου Ἰώβ; ὅτι οὐκ (Ἰώβ. ά. 8.) ἔστι κατ' αὐτὸν ἐπὶ τῆς γῆς ἄνθρωπος ἄμεμπτος, ἀληθινὸς, θεοσεβὴς, ἀπεχόμενος ἀπὸ παντὸς πονηροῦ πράγματος;

Ἀλλὰ διατί τὸ πάλαι καὶ διὰ μίαν μόνην ἁμαρτίαν εὐθὺς ἐπαιδεύετο ὁ ἁμαρτωλὸς, τὴν σήμερον δὲ διὰ τὴν αὐτὴν παρανομίαν, καὶ ἔτι πολλῷ μείζονα, οὐδεμίαν παίδευσιν λαμβάνει; Ἄνθρωπός τις πτωχὸς συλλέγει ὀλίγα ξύλα τῇ ἡμέρᾳ τοῦ σαββάτου· ὁ δὲ Θεὸς, διὰ τὴν ἀνομίαν αὐτοῦ, προστάσσει, ἵνα λιθοβολήσωσιν αὐτόν· Θανάτῳ θανατούσθω ὁ ἄνθρωπος· λιθοβολήσατε (Ἀριθ. ιέ. 35.) αὐτὸν λίθοις πᾶσα ἡ συναγωγή. Πόσοι καὶ πόσοι τὴν σήμερον ἡμέραν, πράττοντες τὴν αὐτὴν ἀνομίαν, τὰς ἑορτὰς τοῦ Θεοῦ καταφρονοῦσι; Πόσοι, λέγω, καὶ πόσοι οὐ μόνον συνάγουσι, καὶ σχίζουσι, καὶ μεταφέρουσι ξύλα ἐν ταῖς ἡμέραις τῶν ἁγίων ἑορτῶν, ἀλλὰ καὶ σπείρουσι, καὶ θερίζουσι, καὶ ἀγοράζουσι, καὶ πωλοῦσι, καὶ ποιοῦσι πᾶν ἐργόχειρον; Πόσοι καταναλίσκουσι τὰς ἡμέρας τῶν ἑορτῶν οὐχὶ εἰς τὴν προσευχὴν, ἀλλ' εἰς τὴν μέθην, οὐχὶ εἰς τὴν δοξολογίαν τοῦ Θεοῦ, ἀλλ' εἰς τὴν ἀργολογίαν, οὐχὶ εἰς τὴν Ἐκκλησίαν, ἀλλ' εἰς τὰ θέατρα, εἰς τὰ καπηλεῖα, εἰς τὰς σκανδαλώδεις συναναστροφάς; Πόσοι περιμένουσι τὰς ἑορτὰς, οὐχ ἵνα διορθώσωσι τὴν ψυχὴν αὐτῶν, ἀλλ' ἵνα λύσωσι τὸν χαλινὸν τῆς σωφροσύνης, καὶ πράξωσι πᾶσαν ἄθεσμον καὶ παράνομον πρᾶξιν; καὶ ὅμως οὐδὲ λιθοβολοῦνται, οὐδὲ ἀποθνήσκουσι. Ἡ Μαριὰμ μετὰ τοῦ Ἀαρὼν κατακρίνουσι τὸν ἀδελφὸν αὐτῶν τὸν Μωϋσῆν, ἐπειδὴ ἔλαβε γυναῖκα Αἰθιόπισσαν· δύω λόγια μό-

νον κατηγορητικὰ λέγουσι κατ' αὐτοῦ·
'Αριθ. ιβ'. 2. Μωϋσῇ μόνῳ λελάληκε Κύριος; οὐχὶ καὶ ἡμῖν ἐλάλησε; καὶ ἰδοὺ εὐθὺς ἡ τιμωρία, ἤγουν λέπρα εἰς ὅλον τὸ σῶμα τῆς Μαριὰμ λευκὴ ὡσεὶ χιών. Πόσοι, τὴν σήμερον ἡμέραν, ἐνώπιον πολλῶν καθήμενοι, οὐ μόνον κατα-
Ψαλ. μθ'. 21. λαλοῦσι κατὰ τοῦ ἀδελφοῦ αὐτῶν, ἀλλὰ καὶ συκοφαντοῦσι, καὶ τίθενται σκάνδαλον κατὰ τοῦ υἱοῦ τῆς μητρὸς αὐτῶν; Πόσοι καὶ κατ' αὐτῶν τῶν ἱερωμένων ἀνδρῶν ὡς ῥομφαίαν ἐκτείνουσι τὰς γλώσσας αὐτῶν; καὶ ὅμως οὐδὲ ἴχνος λέπρας ἐπ' αὐτούς. Ὁ Ὀζᾶ, ἐπειδὴ αὐθαδιάσας ἅπλωσε τὴν χεῖρα ἐπάνω εἰς
Β'. Βασιλ. 5, 6, 7. τὴν Κιβωτὸν, ἐπλήγη καὶ ἀπέθανεν ἐκεῖ παρὰ τὴν Κιβωτὸν τοῦ Κυρίου ἐνώπιον τοῦ Θεοῦ. Πόσοι τὴν σήμερον αὐθαδῶς ἐκτείνουσι τὰς χεῖρας αὐτῶν οὐκ ἐπὶ τῆς Κιβωτοῦ, ἀλλ' εἰς αὐτὰ τὰ πανάγια τῆς θείας εὐχαριστίας μυστήρια, καὶ ὅμως οὐδὲ θάνατος ἀκολουθεῖ εἰς αὐτοὺς, οὐδὲ πληγή. Ἄλλοι μὲν ὡς ὁ Ἄχαρ ἁρπάζουσι καὶ κλέπτουσι τὰ ἐκκλησιαστικὰ καὶ τῷ Θεῷ ἀφιερωμένα πράγματα· ἄλλοι δὲ φθονοῦσι καὶ ἐπιβουλεύονται τοὺς ἀδελφοὺς αὐτῶν περισσότερον, ἢ ὁ Σαοὺλ τὸν Δαβίδ· ἄλλοι φιλαργυροῦσι καὶ ψεύδονται περισσότερον τοῦ Γιεζῆ· οὗτοι ἁμαρτάνουσιν, ὡς οἱ ἐπὶ Νῶε· ἐκεῖνοι ἀσελγοῦσιν, ὡς οἱ ἐνοικοῦντες τὰ Σόδομα καὶ τὰ Γόμορρα· ἄλλοι ἱεροσυλοῦσιν, ὡς ὁ Ἀνανίας καὶ ἡ Σαπφείρα· ἄλλοι περιφρονοῦσι τοὺς ἱερωμένους, ὡς τὸν Παῦλον ὁ Ἀρχιερεὺς ὁ Ἀνανίας· καὶ ὅμως οὗτοι οὐ παιδεύονται, καθὼς ἐπαιδεύθησαν ἐκεῖνοι.

Ὁ Θεὸς, Χριστιανοὶ, πάνσοφος ὢν καὶ δικαιότατος, ἔδωκε διάφορα παραδείγματα τιμωρίας, ὅτε οἱ ἄνθρωποι ἐπολιτεύοντο κατὰ τὸν φυσικὸν νόμον, ὁμοίως καὶ ὅτε ἐδέχθησαν τὴν γραπτὴν νομοθεσίαν, καὶ ὅτε ἐπίστευσαν τὸ εὐαγγελικὸν κήρυγμα, ἵνα δείξῃ, ὅτι ἐκδικεῖ τὴν ἁμαρτίαν, καὶ παιδεύει τοὺς ἁμαρτωλοὺς, καὶ ἵνα στηρίξῃ τῶν νόμων τὴν ἀλήθειαν, καὶ φοβήσῃ τοὺς παραβάτας, καὶ ἀποστήσῃ αὐτοὺς τῆς ἁμαρτίας. Ἐπειδὴ οὖν ἔδωκεν ἀρκετὰ παραδείγματα τιμωρίας εἰς πᾶσαν παράβασιν νόμου· Πᾶσα δὲ παράβασις καὶ Ἑβρ. β'. 2.
παρακοὴ ἔλαβεν ἔνδικον τὴν μισθαποδοσίαν· διὰ τοῦτο τὴν σήμερον μακροθυμῶν οὐ παιδεύει πάντας εἰς τὴν παροῦσαν ζωὴν μετὰ τὴν ἁμαρτίαν, ἵνα μὴ βιάζεται τοῦ ἀνθρώπου τὸ αὐτεξούσιον, ἀλλὰ μένῃ ἐλεύθερον πρὸς τὴν ἐκλογὴν τῆς ἀρετῆς. Ἔδωκε νόμους, οἵτινες διορίζουσι παίδευσιν κατὰ τῶν ἁμαρτωλῶν, ἐβεβαίωσε τὴν νομοθεσίαν διὰ τῶν τιμωρητικῶν παραδειγμάτων, ἐδίδαξεν, ὅτι ὁ παρὼν καιρὸς οὐκ ἔστιν ὁ καιρὸς τῆς ἀνταποδόσεως, ἀλλ' ἔρχεται ἡμέρα, ἐν ᾗ ἕκαστος λαμβάνει τὴν τῶν ἔργων αὐτοῦ ἀνταπόδοσιν. Ἔπαυσε λοιπὸν τὰ πυκνὰ καὶ πρόσκαιρα τῆς τιμωρίας παραδείγματα, ἵνα μένῃ ὁ ἄνθρωπος ἀπαραβίαστος, καὶ λάβῃ δικαίως ἢ τὸν αἰώνιον στέφανον τῆς ἀρετῆς, ἢ τὴν αἰώνιον κόλασιν τῆς ἁμαρτίας.

Παιδεύονται καὶ τὴν σήμερον οἱ ἁμαρτωλοὶ, κἂν οὐχὶ πάντες, οὐδὲ τοσοῦτον συχνὰ, οὐδὲ εὐθὺς μετὰ τὴν ἁμαρτίαν, καθὼς τὸ πρότερον· ἀλλ' ἡμεῖς, εἴτε κωφοὶ οὐκ ἀκούομεν, εἴτε τυφλοὶ οὐ βλέπομεν, τὰς αἰσθητὰς τιμωρίας. Ἐψυχράνθη τῆς πίστεως ὁ ζῆλος, ὅθεν, καὶ κωφεύοντες καὶ τυφλώττοντες, νομίζομεν τὰς ὁρωμένας, ἢ ἀκουομένας τιμωρίας, οὐχ ὡς ἀπὸ Θεοῦ πεμπομένας διὰ τὴν ἁμαρτίαν, ἀλλ' ὡς συμβάντα τῆς τύχης, ἢ ὡς ἀποτελέσματα τῆς φύσεως· ἐὰν ὅμως ἀνοίξωμεν τὰ ὄμματα τῆς πίστεως, βλέπομεν ἕως τῆς σήμερον καὶ ἁμαρτωλοὺς τιμωρουμένους, καὶ δικαίους πάσχον-

σχον-

σχόντας· παιδεύει ὁ Θεὸς ἄχρι τῆς σήμερον, ὡς πατὴρ φιλόστοργος, τοὺς μὲν ἁμαρτωλούς, ἵνα φέρῃ αὐτοὺς εἰς μετάνοιαν, καὶ ὀλιγοστεύσῃ αὐτοῖς τὴν μέλλουσαν κόλασιν· τοὺς δὲ δικαίους, ἵνα δοκιμάσῃ τὴν ὑπομονὴν αὐτῶν, καὶ πλέξῃ αὐτοῖς περισσοτέρους στεφάνους.

Χριστιανέ, λοιπόν, ὅταν δυστυχῇς, ἢ ἀσθενῇς, ἢ ὁπωσδήποτε πάσχῃς, χαῖρε τότε, καὶ ἀνδρείως ὑπόμενε, καὶ δόξαζε τὸν ἀπειροεύσπλαγχνον καὶ πανοικτίρμονα Θεόν· διότι, ἐὰν ὑπάρχῃς ἁμαρτωλός, ἡ παίδευσις ἐστὶ τὸ βάλσαμον τῶν πληγῶν τῆς ἁμαρτίας σου·
Ψαλ. πή. 32. Ἐπισκέψομαι ἐν ῥάβδῳ τὰς ἀνομίας αὐτῶν· αἱ δυστυχίαι σου εἰσὶ
Παρ. γ'. 12. Θεοῦ ἀγάπη· Ὃν γὰρ ἀγαπᾷ Κύριος παιδεύει· ἡ συμφορά σου ἐστὶ φωνὴ Θεοῦ, καλοῦσά σε πρὸς μετάνοιαν· Μαστιγοῖ δὲ υἱόν, ὃν παραδέχεται· αὐτὰ τὰ παθήματα ἀπαλλάττουσί σε τῆς αἰωνίου κολάσεως· Τὸ δὲ ἔλεός μου
οὐ μὴ διασκεδάσω ἀπ' αὐτῶν. Ἐὰν Ψαλ. πή. 33.
ὑπάρχῃς δίκαιος, τὰ παθήματά σου πλέκουσι τοὺς στεφάνους σου, αἱ θλίψεις σου ἑτοιμάζουσί σοι χαρὰν ἀνεκλάλητον, καὶ ἡ ταλαιπωρία σου δόξαν αἰώνιον· τὰ πρόσκαιρα πάθη οὐδὲν εἰσὶ συγκρινόμενα τῇ ἀνεκλαλήτῳ δόξῃ καὶ χαρᾷ
ἥτις περιμένει σε· Οὐκ ἄξια τὰ πα- Ρωμ. ή. 18.
θήματα τοῦ νῦν καιροῦ πρὸς τὴν μέλλουσαν δόξαν ἀποκαλυφθῆναι εἰς ἡμᾶς. Τότε μόνον λυποῦ, καὶ δάκρυε, ὅταν βλέπῃς, ὅτι καὶ ἁμαρτάνεις καθ' ἑκάστην ἡμέραν, καὶ ζῇς ἐν πλούτῳ καὶ τρυφαῖς, μηδεμίαν δοκιμάζων δυστυχίαν· τότε κλαῖε ἀπαρηγόρητα, τότε χέε ποταμηδὸν τὰ δάκρυα· διότι διὰ τὰς ἀνομίας σου ἐγκατέλειπέ σε ὁ Θεός· φυλάττεται δὲ ἡ τιμωρία σου εἰς
τὴν φοβερὰν ἡμέραν τῆς κρίσεως· Φυλάσ- Παρ. ις'. 4.
σεται ὁ ἀσεβὴς ἐν ἡμέρᾳ κακῇ.

# ΕΡΜΗΝΕΙΑ

ΕΙΣ ΤΟ ΚΑΤΑ

# ΙΩΑΝΝΗΝ

## ΕΥΑΓΓΕΛΙΟΝ ΤΗΣ ΚΥΡΙΑΚΗΣ ΤΩΝ ΑΓΙΩΝ ΠΑΤΕΡΩΝ.

Ἄρειος, ὁ βλάσφημος αἱρεσιάρχης, ὁ ἐκ τῆς Λιβύης καταγόμενος, καὶ τῆς Ἀλεξανδρέων Ἐκκλησίας πρωτοπρεσβύτερος, μετὰ ἔτη τριακόσια εἴκοσι καὶ ἓν ἀπὸ Χριστοῦ τοῦ Σωτῆρος, ἤρξατο σπείρειν εἰς τῶν πιστῶν τὰς καρδίας τῶν αἱρετικῶν καὶ βλασφήμων αὐτοῦ δογμάτων τὰ ὀλέθρια καὶ θανατηφόρα ζιζάνια. Κτίσμα, καὶ οὐχὶ Θεὸν ἀληθινὸν ὁμοούσιον τῷ Πατρί, ἔλεγεν ὁ θεοστυγὴς τὸν μονογενῆ Υἱὸν τοῦ Θεοῦ καὶ Λόγον καὶ Σωτῆρα, καὶ Κύριον. Ἐπειδὴ δὲ ἐφηπλοῦτο καὶ ηὔξανεν ἡ ἀρειανικὴ πλάνη καὶ φθοροποιὸς αἵρεσις, ζήλῳ Θεοῦ κινούμενος ὁ πρῶτος τῶν Χριστιανῶν Βασιλεύς, ὁ μέγας Κωνσταντῖνος ὁ ἰσαπόστολος, ἐκ πάσης τῆς οἰκουμένης ἐκάλεσε τοὺς ποιμένας τῆς Χριστοῦ Ἐκκλησίας καὶ διδασκάλους, πρὸς ὑπεράσπισιν τῶν κινδυνευόντων εὐσεβῶν δογμάτων, καὶ στερέωσιν τῆς ἀληθινῆς καὶ ὀρθοδόξου πίστεως. Συνήχθησαν οὖν ἐν τῇ λαμπρᾷ πόλει τῶν Νικαιέων τριακόσιοι δέκα καὶ ὀκτώ, ἐν οἷς καὶ Ἀρχιερεῖς, καὶ Ἱερεῖς, καὶ Διάκονοι, καὶ Μονασταί· τῶν δὲ Ἀρχιερέων, τινὲς μὲν ἦ-

σαν ὁμολογηταὶ τῆς πίστεως, καὶ ἐβάσταζον τὰ στίγματα τοῦ Κυρίου, ἤγουν τὰς ἀπὸ τῶν τυράννων πληγὰς, ἐν τῷ σώματι αὐτῶν, καθὼς ὁ Ἡρακλείας Ποτάμων, καὶ ὁ Θηβαΐδος Παφνούτιος, καὶ ὁ Νεοκαισαρείας Παῦλος, καὶ ὁ Ἀντιοχείας Εὐστάθιος· τινὲς δὲ θαυματουργοὶ ἦσαν καὶ σημειοφόροι, καθὼς ὁ Σπυρίδων τῆς Τριμυθοῦντος, καὶ ὁ Νισίβης Ἰάκωβος· οἱ δὲ λοιποὶ ἄνδρες ἦσαν θεοφιλεῖς καὶ σεβάσμιοι, τῶν Θείων Γραφῶν διδάσκαλοι, καὶ τῶν ὀρθοδόξων δογμάτων ἐπιστήμονες. Αὐτοὶ, Σύνοδον συγκροτήσαντες, ἅπαντες ἑνὶ στόματι καὶ μιᾷ φωνῇ τὸν μὲν Υἱὸν καὶ Λόγον τοῦ Θεοῦ ὁμοούσιον τῷ Πατρὶ ἀνεκήρυξαν, καὶ Θεὸν ἀληθινὸν ἐκ Θεοῦ ἀληθινοῦ, τὸ ἅγιον τῆς πίστεως Σύμβολον συγγράψαντες· τὸν δὲ δυσσεβῆ καὶ κακόδοξον Ἄρειον καθεῖλον, ἀναθεματίσαντες αὐτόν τε καὶ τὰ βλάσφημα αὐτοῦ φρονήματα. Τούτους τοὺς θείους Πατέρας, κήρυκας τῆς πίστεως, μετὰ τοὺς θεηγόρους Ἀποστόλους, γνωρίζουσα ἡ τοῦ Χριστοῦ ὀρθόδοξος Ἐκκλησία καὶ διδασκάλους τῶν ἀληθινῶν δογμάτων, καὶ εὐεργέτας καὶ σωτῆρας τῶν ψυχῶν ἡμῶν, ὥρισεν, ἵνα, κατὰ πᾶν ἔτος, τὴν μνήμην τῆς αὐτῶν συνάξεως, ἥτις λέγεται πρώτη οἰκουμενικὴ Σύνοδος, εὐλαβῶς ἑορτάζωμεν εἰς δόξαν καὶ εὐχαριστίαν τοῦ Θεοῦ, εἰς ἔπαινον καὶ τιμὴν αὐτῶν, καὶ εἰς στερέωσιν τῆς ἀληθινῆς πίστεως, ἣν αὐτοὶ οἱ θεόπνευστοι, ἐπὶ τῷ θεμελίῳ τῶν ἁγίων Γραφῶν στηριχθέντες, ἀνεκήρυξαν καὶ ἐδίδαξαν. Καὶ τὸ σημερινὸν Εὐαγγέλιον διὰ τοῦτο ἀνεγνώσθη, ἐπειδὴ περιέχει τὴν πρὸς τὸν Θεὸν καὶ Πατέρα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ προσευχὴν καὶ δέησιν. Ἐγνώρισε δὲ ὁ κόσμος, ὅτι ἡ δέησις αὕτη εἰσηκούσθη, βλέπων πρῶτον, μετὰ τῶν Ἀποστόλων τὸ πολίτευμα, τούτων τῶν θείων Πατέρων τὸ παράδειγμα· διότι καὶ αὐτοὶ, μαθηταὶ γενόμενοι τοῦ Ἰησοῦ Χριστοῦ, ἐτήρησαν τὸν λόγον τοῦ Θεοῦ· παρέλαβον καὶ αὐτοὶ τὰ ῥήματα τοῦ Θεοῦ, καὶ ἐγνώρισαν καὶ ἐπίστευσαν, ὅτι παρὰ τοῦ Πατρὸς ἐγεννήθη ὁ Υἱὸς, καὶ ἐστάλθη εἰς τὸν κόσμον· καὶ αὐτοὶ, μετὰ τοὺς Ἀποστόλους, μίαν καρδίαν ἔχοντες καὶ μίαν γνώμην, Υἱὸν Θεοῦ κατὰ φύσιν ἐκήρυξαν τὸν Ἰησοῦν Χριστὸν, καὶ ὁμοφώνως ἐδίδαξαν τῆς εὐσεβείας τὸ μέγα μυστήριον. Ἡ προσευχὴ τοῦ Κυρίου Ἰησοῦ ἐστὶ πλήρης θεολογίας, ἐστὶ κανὼν καὶ τύπος τῆς ἀληθινῆς καὶ εὐπροσδέκτου τῷ Θεῷ προσευχῆς. Ταύτης τὴν ἐξήγησιν ἀκούσατε, ἵνα θησαυρίσητε τὸν ἐπουράνιον τῆς ἀρετῆς θησαυρόν.

Τῷ καιρῷ ἐκείνῳ, ἐπάρας ὁ Ἰησοῦς τοὺς ὀφθαλμοὺς αὐτοῦ εἰς τὸν οὐρανὸν, εἶπε· Πάτερ, ἐλήλυθεν ἡ ὥρα, δόξασόν σου τὸν υἱὸν, ἵνα καὶ ὁ υἱός σου δοξάσῃ σε. Ἰωάν. ιζ. 1.

Οὐχ ὡς Θεὸς, ἀλλ' ὡς ἄνθρωπος, καὶ ὡς Ἀρχιερεὺς καὶ μεσίτης ὑπὲρ ἡμῶν πρὸς τὸν Θεὸν, ταύτην τὴν προσευχὴν ἐποίησεν ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός· διὸ καὶ ὁ Ἀπόστολος Παῦλος εἰπὼν, Ὁ Χριστὸς ὡς ἄνθρωπος Ἀρχιερεὺς ἡμῶν ἐστὶν, ἐπιφέρει εὐθὺς, Ὃς Ἑβρ. ε. 7, 8.
ἐν ταῖς ἡμέραις τῆς σαρκὸς αὐτοῦ, δεήσεις τε καὶ ἱκετηρίας πρὸς τὸν δυνάμενον σώζειν αὐτὸν ἐκ θανάτου, μετὰ κραυγῆς ἰσχυρᾶς καὶ δακρύων, προσενέγκας, καὶ εἰσακουσθεὶς ἀπὸ τῆς εὐλαβείας, καίπερ ὢν Υἱὸς, ἔμαθεν ἀφ' ὧν ἔπαθε τὴν ὑπακοήν. Διατί δὲ ὁ

Κύ-

Κύριος Ἰησοῦς, εἰς ταύτην μὲν αὐτοῦ τὴν προσευχὴν, ὕψωσε τοὺς ὀφθαλμοὺς αὐτοῦ εἰς τὸν οὐρανὸν, ὁμοίως καὶ ὅτε
Λουκ. κβ'. ἀνέστησε τὸν Λάζαρον, ἄλλοτε δὲ, θεὶς
41. τὰ γόνατα, προσηύχετο; Τὰ ἁρμόδια σωματικὰ τῆς προσευχῆς σχήματα διὰ τούτων ἐδίδαξεν ἡμᾶς ὁ θεῖος Λυτρωτὴς ἡμῶν καὶ Διδάσκαλος, θεῖα καὶ πνευματικὰ πράγματα σημαίνοντα. Ὕψωσε μὲν εἰς τὸν οὐρανὸν τὰ ὄμματα, διδάσκων διὰ τούτου, ὅτι πρέπον ἐστὶν, ἵνα καὶ ἡμεῖς, ὅταν προσευχώμεθα, αἴρωμεν τοὺς ὀφθαλμοὺς ἡμῶν εἰς τὸν οὐρανὸν, μηδένα γήϊνον καὶ κοσμικὸν λογισμὸν ἔχοντες, ἀλλὰ καὶ τὸν νοῦν καὶ τὴν καρδίαν ἡμῶν ἀφιεροῦντες εἰς τὴν μελέτην καὶ θεωρίαν τῶν οὐρανίων καὶ ὑπερκοσμίων πραγμάτων· ἔκλινε δὲ τὰ γόνατα, ἵνα καὶ ἡμεῖς γονυκλιτῶμεν εἰς τὴν ὥραν τῆς προσευχῆς, ταπεινούμενοι, καὶ δηλοῦντες διὰ τῆς γονυκλισίας, ὅτι πεπτωκότες ἐσμὲν ἐν τῇ ἁμαρτίᾳ. Ὑψώσας οὖν ὁ Ἰησοῦς τοὺς ὀφθαλμοὺς αὐτοῦ εἰς τὸν οὐρανὸν, εἶπε· Πάτερ, ἐλήλυθεν ἡ ὥρα· ποία ἐστὶν ἡ ὥρα; Ὁ καιρὸς τοῦ πάθους αὐτοῦ. Διατί δὲ ζητεῖ, ἵνα δοξασθῇ ἐν αὐτῇ τῇ ὥρᾳ τοῦ πάθους; Τὸ πάθος τοῦ Ἰησοῦ Χριστοῦ ἐσκανδάλιζε καὶ τοὺς ὁρῶντας αὐτὸ, καὶ
Ματ. κς'. τοὺς ἀκούοντας, ὡς αὐτὸς προεῖπε· Παν-
31. τες ὑμεῖς σκανδαλισθήσεσθε ἐν ἐμοὶ, ἐν τῇ νυκτὶ ταύτῃ. Τίς ἐπίστευεν, ὅτι ὁ Θεός ἐστιν ἐκεῖνος, ὃν ἔβλεπε περιφρονούμενον, βλασφημούμενον, σταυρούμενον, ἐν μέσῳ δύω λῃστῶν κρεμάμενον; ὁ σταυρὸς ἐσκανδάλιζε, καὶ ὁ
Α'. Κορ. ἐσταυρωμένος ἐλογίζετο μωρία· Ἡμεῖς
α'. 23. δὲ κηρύσσομεν Χριστὸν ἐσταυρωμένον, Ἰουδαίοις μὲν σκάνδαλον, Ἕλλησι δὲ μωρίαν. Ἵνα οὖν παύσῃ τὸ σκάνδαλον, καὶ πιστεύσωσι πάντες, ὅτι αὐτὸς ὁ πάσχων, καὶ ἐπὶ σταυροῦ κρεμάμενος, ἐστὶν ὁ Υἱὸς τοῦ Θεοῦ, παρεκάλεσεν ὡς ἄνθρωπος τὸν Θεὸν καὶ Πατέρα αὐτοῦ, ἵνα δοξάσῃ αὐτὸν κατ' ἐκείνην τὴν ὥραν, ἐν ᾗ ἔπασχεν. Ἡ δέησις αὐτοῦ εἰσηκούσθη· διότι τότε, ὅτε ἔπασχε, διεῤῥάγη τοῦ ναοῦ τὸ καταπέτασμα, ἐσκοτίσθη ὁ ἥλιος, ἐσείσθη ἡ γῆ, ἐσχίσθησαν αἱ πέτραι, ἤνοιξαν τὰ μνημεῖα, ἀνεστάθησαν οἱ νεκροί· ταῦτα ἔσβεσαν τοῦ πάθους καὶ τοῦ σταυροῦ τὸ
σκάνδαλον· ὅθεν οἱ βλέποντες αὐτὰ, ὑ- Λουκ. κγ'.
πέστρεφον τύπτοντες ἑαυτῶν τὰ 48.
στήθη, καὶ μεγαλοφώνως κραυγάζον-
τες· Ἀληθῶς Θεοῦ Υἱὸς ἦν οὗτος· Ματ. κζ'.
ὁ δὲ θεηγόρος Παῦλος ἐκήρυττε· Βλέπο- 54.
μεν Ἰησοῦν διὰ τὸ πάθημα τοῦ Ἑβρ. β'.
θανάτου δόξῃ καὶ τιμῇ ἐστεφανω- 9.
μένον. Ταύτην δὲ τὴν δόξαν ἐζήτησεν ὁ Θεάνθρωπος, οὐχ ἵνα δοξασθῇ αὐτὸς μόνον, ἀλλ' ἵνα συνδοξασθῇ μετ' αὐτοῦ ὁ Πατὴρ αὐτοῦ· διὰ τοῦτο, εἰπὼν τὸ, δόξασόν σου τὸν Υἱὸν, προσέθηκεν εὐθὺς καὶ τὸ, ἵνα καὶ ὁ Υἱός σου δοξάσῃ σε. Δοξάζεται δὲ ὁ Πατὴρ, ὅταν δοξάζωμεν τὸν Υἱὸν, ἐπειδὴ μία ἐστὶν ἡ φύσις καὶ ἡ οὐσία Πατρὸς, καὶ Υἱοῦ, καὶ Πνεύματος ἁγίου· ὅθεν καὶ μία ἡ δόξα, καὶ ἡ δύναμις, καὶ ἡ προσκύνησις, καὶ ἡ λατρεία τῆς Θεότητος αὐτῶν. Ὅστις μετὰ ὀρθῆς πίστεως δοξάζει τὸ ἓν πρόσωπον τῆς παναγίας Τριάδος, συνδοξάζει ἅμα καὶ τὰ λοιπὰ δύω πρόσωπα, διὰ τὸ ἑνιαῖον καὶ ἀχώριστον τῆς αὐτῶν Θεότητος. Δόξα τοῦ
Πατρός ἐστιν ὁ Υἱὸς, ἐπειδή ἐστιν Ἀ- Ἑβρ. α'.
παύγασμα τῆς δόξης, καὶ χαρακ- 3.
τὴρ τῆς ὑποστάσεως αὐτοῦ· καθὼς δὲ ἡ ἐκ τοῦ ἡλίου γεννωμένη τοῦ φωτὸς ἀκτὶς, ἐστὶν ἀπαύγασμα τῆς λαμπρότητος τοῦ ἡλίου, καὶ χαρακτὴρ τῆς φωτιστικῆς αὐτοῦ ὑποστάσεως· οὕτω καὶ ὁ ἐκ τοῦ Πατρὸς γεννώμενος Υἱὸς, ἐστὶν ἀπαύγασμα τῆς δόξης τοῦ Πατρὸς, καὶ χαρακτὴρ τῆς πατρικῆς αὐτοῦ ὑποστάσεως.

σεως. Ὅταν πιστεύῃς Υἱὸν Θεοῦ, ἐξ ἀνάγκης πιστεύεις καὶ Πατέρα Θεόν· ἐπειδὴ καθὼς οὐκ ἔστι Πατὴρ χωρὶς Υἱοῦ, οὕτως οὐκ ἔστιν Υἱὸς ἄνευ Πατρός. Τοῦτο δέ ἐστι κατ' ἐξοχὴν δόξα τοῦ Θεοῦ, ὅταν γνωρίζωμεν καὶ πιστεύωμεν, ὅτι αὐτός ἐστι Πατὴρ κατὰ φύσιν τοῦ Υἱοῦ. Ποιητὴν μέν, Δημιουργόν, Παντοδύναμον, Πάνσοφον κηρύττουσιν αὐτὸν πάντα τὰ κτίσματα, Πατέρα δέ, μόνος ὁ Υἱός. Πιστεύοντες ἡμεῖς, ὅτι ὁ Ἰησοῦς Χριστὸς ἐστὶν Υἱὸς Θεοῦ κατὰ φύσιν, καὶ δοξολογοῦντες καὶ λατρεύοντες αὐτὸν ὡς Υἱόν, πιστεύομεν, καὶ συνδοξολογοῦμεν ἅμα καὶ συλλατρεύομεν τὸν γεγεννηκότα αὐτὸν Πατέρα· διὰ τοῦτο λοιπὸν εἶπεν ὁ Χριστός, Δόξασόν σου τὸν Υἱόν, ἤγουν ἀποκάλυψόν με τοῖς μὴ γνωρίζουσί με, φανέρωσον, ὅτι Υἱός σου εἰμὶ μονογενής, ἵνα καὶ ὁ Υἱός σου δοξάσῃ σε· διότι, ὅταν ὁ κόσμος πιστεύσῃ, ὅτι ἔχεις Υἱὸν ὁμοούσιον, δοξάζει σε οὐχὶ μόνον ὡς Δημιουργόν, ἀλλὰ καὶ ὡς Πατέρα κατὰ φύσιν τοῦ Υἱοῦ. Τὸ αὐτὸ δὲ νόημα, ἤγουν τό, ὅτι, δοξαζομένου τοῦ Υἱοῦ, συνδοξάζεται καὶ ὁ Πατήρ, δηλοποιοῦσι καὶ τὰ ἑξῆς λόγια τῆς δεσποτικῆς προσευχῆς.

Ἰωάν. ιζ΄. 2. **Καθὼς ἔδωκας αὐτῷ ἐξουσίαν πάσης σαρκός, ἵνα πᾶν ὃ δέδωκας αὐτῷ, δώσῃ αὐτοῖς ζωὴν αἰώνιον.**

Ποῦ ἀνάγεται τὸ καθώς, ἢ ποῦ ἔχει τὴν ἀπόδοσιν αὐτοῦ; Τὸ καθὼς οὐδεμίαν ἀπόδοσιν ἔχει γραμματικῆς συντάξεως, ἐπειδὴ τὸ οὕτω, τὸ ἀνταποδοτικόν, ἐσιωπήθη· ἀνάγεται δὲ εἰς τὰ προειρημένα λόγια, καὶ ἐννοεῖται τὸ οὕτω, κἂν ἐσιωπήθη. Βλέπε δὲ πῶς· εἰπὼν ἀνωτέρω, δόξασόν σου τὸν Υἱόν, ἵνα καὶ ὁ Υἱός σου δοξάσῃ σε, προσέθηκεν εὐθὺς τὸ καθώς, ἤγουν οὕτω δόξασον, καὶ δοξάσθητι, καθὼς ἐδόξασας αὐτόν, καὶ ἐδοξάσθης ὑπ' αὐτοῦ, ὅτι ἔδωκας αὐτῷ ἐξουσίαν, ἵνα χαρίσηται ἐπὶ πᾶν ὃ δέδωκας αὐτῷ, ἤγουν ἐπὶ πάντας τοὺς εἰς αὐτὸν πιστεύοντας, τὴν ζωὴν τὴν αἰώνιον. Καὶ ὅτι μὲν ὁ Πατὴρ ἐδόξασε τὸν Υἱόν, δοὺς τὰ πάντα ὑπὸ τὴν ἐξουσίαν αὐτοῦ, κατὰ τό, Πάντα μοι παρεδόθη ὑπὸ τοῦ Πατρός μου, φανερόν ἐστι καὶ ὁ- Ματ. ια΄. 27.
μολογούμενον· διότι τί ἄλλο ἐστίν, εἰ μὴ δόξα τοῦ Υἱοῦ τὸ ἐπὶ πάντα πληρεξούσιον; Ὅτι δὲ διὰ τῆς ὑπὸ τοῦ Πατρὸς δοθείσης τῷ Υἱῷ ἐξουσίας ἐδοξάσθη καὶ ὁ Πατήρ, καὶ τοῦτο φανερόν· διότι διὰ τῆς τοιαύτης ἐξουσίας τελέσας ὁ Υἱὸς τὰ μεγάλα καὶ ἐξαίσια θαύματα, ἔδωκεν εἰς τοὺς πιστεύσαντας τὴν ζωὴν τὴν αἰώνιον· ἤγουν ἔπεισεν αὐτοὺς πιστεῦσαι, ὅτι αὐτός ἐστιν ὁ μονογενὴς Υἱὸς τοῦ Θεοῦ, ὁ ἀπεσταλμένος ὑπὸ τοῦ Θεοῦ καὶ Πατρός, καὶ παρ' αὐτοῦ τὴν ἐξουσίαν λαβών. Τοῦτο δὲ δόξα τοῦ Πατρός, ὅτι ἔχει Υἱὸν παντεξούσιον, ὥσπερ ἐστὶ καὶ Αὐτός· τοῦτο δὲ καὶ ἡ ζωὴ ἡ αἰώνιος, ἣν ἔδωκε τοῖς πιστεύουσιν αὐτῷ, ὡς τὰ ἑξῆς λόγια δηλοῦσιν.

**Αὕτη δέ ἐστιν ἡ αἰώνιος ζωή, ἵνα γινώσκωσί σε τὸν μόνον ἀληθινὸν Θεόν, καὶ ὃν ἀπέστειλας Ἰησοῦν Χριστόν.** Ἰωάν. ιζ΄. 3.

Ἡ γνῶσις τοῦ ἀληθινοῦ Θεοῦ, ἤγουν ἡ πίστις, οὐκ ἔστιν ἡ αἰώνιος ζωή, ἀλλ' ἡ αἰτία καὶ ἡ πρόξενος τῆς αἰωνίου ζωῆς· ἀντὶ οὖν τοῦ, ἡ γνῶσις τοῦ ἀληθινοῦ Θεοῦ γίνεται αἴτιον, καὶ πρόξενος τῆς αἰωνίου ζωῆς, εἶπεν ὁ Θεάνθρωπος μετωνυμικῶς, ὅτι ἡ γνῶσις τοῦ Θεοῦ ἐστὶν

στὶν ἡ αἰώνιος ζωή. Καὶ ἄλλοτε δὲ διὰ
τοιούτων μετωνυμιῶν ἐλάλησεν ὁ Κύριος·
Ἰωάν. ϛ'. 63. Τὰ ῥήματα, εἶπεν, ἃ ἐγὼ λαλῶ ὑ-
μῖν, Πνεῦμά ἐστι, καὶ ζωή ἐστιν,
ἀντὶ τοῦ, τὰ ῥήματα, ἃ ἐγὼ λαλῶ, δί-
δουσιν ὑμῖν Πνεῦμα θεῖον καὶ ζωήν·
Ἰωάν. ιά. 25. Ἐγώ εἰμι ἡ ἀνάστασις καὶ ἡ ζωή,
ἀντὶ τοῦ, ἐγὼ δίδωμι τὴν ἀνάστασιν,
Ἰωάν. ιβ'. 50. καὶ τὴν ζωήν· Ἡ ἐντολὴ αὐτοῦ ζωὴ
αἰώνιός ἐστιν, ἀντὶ τοῦ, ἡ ἐντολὴ αὐ-
Ἰωάν. ιδ'. 6. τοῦ προξενεῖ τὴν αἰώνιον ζωήν· Ἐγώ
εἰμι ἡ ὁδός, καὶ ἡ ἀλήθεια, καὶ
ἡ ζωή· ἀντὶ τοῦ, ἐγὼ φέρω εἰς τὴν ὁ-
δὸν τῆς σωτηρίας, καὶ εἰς τὴν ἀλήθειαν
τῆς πίστεως, καὶ εἰς τὴν αἰώνιον ζω-
ήν. Ἐπειδὴ λοιπὸν ἐκεῖνοι κληρονο-
μοῦσι τὴν αἰώνιον ζωήν, ὅσοι γνωρίζου-
σιν ἕνα μόνον ἀληθινὸν Θεόν, καὶ ὃν
αὐτὸς ἀπέστειλεν Ἰησοῦν Χριστόν, φανε-
ρόν ἐστιν, ὅτι διὰ τῆς σωτηρίας τῶν πι-
στευόντων δοξάζεται καὶ ὁ Πατὴρ καὶ
ὁ Υἱός. Πᾶσα λοιπὸν ἡ σειρὰ τοῦ νοή-
ματος τῶν λόγων τοῦ Κυρίου ἐστὶν αὕ-
τη· Δόξασόν σου τὸν Υἱόν, ἵνα καὶ ὁ
Υἱός σου δοξάσῃ σε, καθὼς ἐδόξασας αὐ-
τόν, καὶ ἐδοξάσθης ὑπ' αὐτοῦ, ὅτε σὺ
μὲν ἔδωκας αὐτῷ ἐξουσίαν πάσης σαρ-
κός, αὐτὸς δὲ ἔδωκεν εἰς τοὺς πιστεύ-
σαντας τὴν ζωὴν τὴν αἰώνιον. Βλέπε δὲ
πῶς καὶ τὸ ἑνιαῖον τῆς Θεότητος ἐδίδα-
ξεν, εἰπών· Ἵνα γινώσκωσί σε τὸν
μόνον ἀληθινὸν Θεόν· καὶ τῆς ἐν-
σάρκου οἰκονομίας αὐτοῦ τὸ δόγμα πα-
ρέδωκε, προσθείς· Καὶ ὃν ἀπέστει-
λας Ἰησοῦν Χριστόν. Οὐκ εἶπεν,
ὃν ἀπέστειλας Λόγον, ἵνα μήτις, ἐκ τού-
του ἀφορμὴν λαβών, νοήσῃ, ὅτι διαστέλ-
λει καὶ χωρίζει τὴν Θεότητα αὐτοῦ ἀπὸ
τῆς Θεότητος τοῦ Πατρός· εἶπε δέ, ὃν
ἀπέστειλας Ἰησοῦν Χριστόν, ἵνα
καθεὶς καταλάβῃ, ὅτι περὶ τῆς ἐναν-
θρωπήσεως αὐτοῦ λαλεῖ, ὅθεν καὶ δια-
στέλλει τὴν μίαν μόνην Θεότητα ἀπὸ
τῆς ἀνθρωπότητος αὐτοῦ, τὴν πολυθεΐαν
ῥιζόθεν καταργήσας· ἵνα γνωρίσωσι,
λέγει, καὶ πιστεύσωσιν εἰς ἕνα μόνον
ἀληθινὸν Θεόν, καὶ τὸν σαρκωθέντα Χρι-
στόν· οὐχὶ εἰς δύω Θεούς, ἀλλ' εἰς μίαν
μόνην Θεότητα Πατρός, καὶ Υἱοῦ, καὶ
ἁγίου Πνεύματος, κἂν ὁ Υἱὸς σαρκωθεὶς
ἐγένετο ἄνθρωπος. Ὅσα δὲ προεῖπε προ-
σευχόμενος, τὰ αὐτὰ πάλιν διὰ τῶν ἑξῆς
διερμηνεύει, λέγων·

Ἐγώ σε ἐδόξασα ἐπὶ τῆς γῆς· Ἰωάν. ιζ'. 4.
τὸ ἔργον ἐτελείωσα, ὃ δέδω-
κάς μοι ἵνα ποιήσω.

Πρεπόντως λέγει, ἐπὶ τῆς γῆς·
διότι ἐν τοῖς οὐρανοῖς ὁ Θεὸς καὶ Πα-
τὴρ αὐτοῦ δεδοξασμένος ἦν διαπαντός, σὺν
αὐτῷ τῷ Υἱῷ αὐτοῦ, καὶ τῷ παναγίῳ
αὐτοῦ Πνεύματι, ἄπειρον ἔχων κατὰ φύ-
σιν τὴν δόξαν, καὶ ὑπὸ τῶν ἁγίων Ἀγ-
γέλων ἀκαταπαύστως δοξολογούμενος.
Ἐδόξασε δὲ αὐτὸν ἐπὶ τῆς γῆς ὡς ἄν-
θρωπος διὰ τῆς τελειώσεως τοῦ ἔργου,
ὃ παρέδωκεν αὐτῷ. Ποῖον δέ ἐστι τοῦτο
τὸ ἔργον; Τοῦτο οὐκ ἔστιν ἔργον, ἀλλ'
ἔργα, καθὼς ἀλλαχοῦ αὐτὸς ἐφανέρω-
σεν, εἰπών· Τὰ ἔργα, ἃ ἔδωκέ μοι Ἰωάν. ε'.
ὁ Πατήρ, ἵνα τελειώσω αὐτά. Ἔρ- 36.
γον ἐστί, τῆς σωτηριώδους πίστεως τὸ
κήρυγμα· Εὐαγγελίσασθαί με δεῖ Λουκ. δ'.
τὴν Βασιλείαν τοῦ Θεοῦ· ὅτι εἰς 43.
τοῦτο ἀπέσταλμαι. Ἔργον, ἡ ἐπι-
στροφὴ τῶν ἁμαρτωλῶν· Οὐ γὰρ ἦλ- Ματ. θ'.
θον καλέσαι δικαίους, ἀλλὰ ἁ- 13.
μαρτωλοὺς εἰς μετάνοιαν. Ἔργον,
ἡ καταλλαγὴ καὶ εἰρηνοποίησις τοῦ ἀν-
θρώπου μετὰ τοῦ Θεοῦ, κατὰ τό, Εἰ Ῥωμ. ε'.
γὰρ ἐχθροὶ ὄντες κατηλλάγημεν 10.
τῷ Θεῷ διὰ τοῦ θανάτου τοῦ
Υἱοῦ αὐτοῦ, πολλῷ μᾶλλον κα-
ταλλαγέντες σωθησόμεθα ἐν τῇ
ζωῇ

Ῥωμ. ε'. ζωῇ αὐτοῦ. Οὐ μόνον δὲ, ἀλλὰ
11. καὶ καυχώμενοι ἐν τῷ Θεῷ διὰ
τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ,
δι᾽ οὗ νῦν τὴν καταλλαγὴν ἐλάβο-
Ἐφεσ. β'. μεν· Αὐτὸς γάρ ἐστιν ἡ εἰρήνη
14. ἡμῶν, ὁ ποιήσας τὰ ἀμφότερα ἓν,
καὶ τὸ μεσότειχον τοῦ φραγμοῦ
λύσας. Ἔργον, ἡ ὕψωσις τῆς ἀνθρω-
πίνης φύσεως εἰς τὸ ἀρχαῖον ἀξίωμα,
καὶ ἡ δόξα τῆς ἀνθρωπότητος καὶ ἡ
Ἰωάν. ι'. υἱοθεσία· Ἐγὼ ἦλθον, ἵνα ζωὴν ἔ-
10. χωσι, καὶ περισσὸν ἔχωσι. Ταῦ-
τά εἰσι τὰ ἔργα, ἃ δέδωκεν ὁ Πατὴρ
τῷ Υἱῷ αὐτοῦ· καὶ ἔργον δὲ ταῦτα ὠ-
νόμασεν, ἐπειδὴ εἰς ἓν, εἰς τὴν σωτηρίαν
καὶ δόξαν τοῦ ἀνθρώπου ἐπιβλέπουσιν.
Πῶς δὲ, πρὸ τοῦ πάθους, καὶ τοῦ σταυ-
ροῦ, καὶ τοῦ θανάτου, καὶ τῆς ἀναστά-
σεως, εἶπεν ὁ Κύριος, Τὸ ἔργον ἐτε-
λείωσα; Τοῦ Θεοῦ τὸ ὄμμα βλέπει
τὸ μέλλον γενέσθαι, ὥσπερ ἡμεῖς βλέ-
πομεν τὸ παρόν. Ἡ ἀπόφασις τοῦ σταυ-
ροῦ καὶ τοῦ θανάτου τοῦ Ἰησοῦ διω-
ρισμένη ἦν πρὸ τῶν αἰώνων· εἰς αὐτὴν
συγκατετέθη καὶ ἡ ἀνθρώπινος αὐτοῦ
Ματ. κς'. θέλησις· Πάτερ μου, εἶπεν, εἰ οὐ δυ-
42. νατὸν τοῦτο τὸ ποτήριον παρελ-
θεῖν ἀπ᾽ ἐμοῦ, ἐὰν μὴ αὐτὸ πίω,
γενηθήτω τὸ θέλημά σου. ὅθεν
καὶ τὰ πάθη, καὶ ἡ σταύρωσις, καὶ
ὁ θάνατος, καὶ ἡ ταφὴ, καὶ ἡ ἀνάστα-
σις ὡς τετελεσμένα παρὰ τῷ Θεῷ ἐλο-
γίζοντο. Ἐγώ σε ἐδόξασα ἐπὶ τῆς
γῆς, εἶπεν, ἔπειτα προσέθετο·

Ἰωάν. ιζ'. Καὶ νῦν δόξασόν με, σὺ Πά-
5. τερ, παρὰ σεαυτῷ τῇ δόξῃ,
ᾗ εἶχον, πρὸ τοῦ τὸν κόσμον
εἶναι παρὰ σοί.

Ἀνωτέρω εἶπε, Δόξασόν σου τὸν Υἱὸν, πάλιν δὲ τὸ αὐτὸ λέγει· Δόξασόν με, σὺ Πάτερ, παρὰ σεαυτῷ· ὅμως δηλοποιεῖ ποίαν δόξαν παρὰ τοῦ Πατρὸς αὐτοῦ ζητεῖ, λέγων· Τῇ δόξῃ, ᾗ εἶχον, πρὸ τοῦ τὸν κόσμον εἶναι παρὰ σοί. Ποίαν δὲ δόξαν εἶχεν ὁ Υἱὸς πρὸ κτίσεως κόσμου; Τὴν ἄπειρον φυσικὴν δόξαν τῆς Θεότητος, τὴν δόξαν ὡς μονογενὴς παρὰ Πατρὸς, καὶ ὡς Θεὸς ἀληθινὸς, τὴν δόξαν τῆς Θεότητος ὡς Θεός. Διὰ ταύτης τῆς δόξης, ἐζήτησεν ὁ Ἰησοῦς ὡς ἄνθρωπος, ἵνα δοξασθῇ ἡ ἀνθρώπινος αὐτοῦ φύσις. Βλέπε δὲ, ὅτι ἐζήτησε τὴν δόξαν ταύτην ὡς βραβεῖον τοῦ ἔργου, ὅπερ τελειώσας, ἐδόξασε τὸν Θεόν· Ἐγὼ, λέγει, σὲ ἐδόξασα ἐπὶ τῆς γῆς, δὸς λοιπὸν τὸ βραβεῖόν μου, καὶ νῦν δόξασόν με, σὺ Πάτερ, παρὰ σεαυτῷ. Ζητήσας δὲ, ἔλαβε· διότι, μετὰ τὸ πάθος καὶ τὴν ἀνάστασιν, ἡ ἀνθρώπινος αὐτοῦ φύσις γέγονεν ἄφθαρτος, ἔλαβε τὰ θεῖα προτερήματα, καὶ ὑπερυψωθεῖσα ὑπεράνω πάντων τῶν
κτισμάτων, ἐκάθισεν ἐν δεξιᾷ τοῦ Ἑβρ. η'.
θρόνου τῆς μεγαλωσύνης ἐν τοῖς 1.
οὐρανοῖς· τοσούτῳ κρείττων γε- Ἑβρ. α'.
νομένη τῶν Ἀγγέλων, ὅσῳ διαφο- 4.
ρώτερον παρ᾽ αὐτοὺς κεκληρονόμηκεν ὄνομα. Ἐντεῦθεν οἱ μὲν Ἀρειανοὶ, ἀκούοντες τὸ, τῇ δόξῃ, ᾗ εἶχον, πρὸ τοῦ τὸν κόσμον εἶναι παρὰ σοὶ, κατισχύρονται· διότι ποίαν ἄλλην δόξαν εἶχεν ὁ Υἱὸς, συνημμένος ὢν τῇ Θεότητι πρὸ κτίσεως κόσμου, εἰμὴ τὴν θείαν, δοξαζόμενος ὡς Θεὸς ὁμοούσιος τῷ Πατρί; Ἡμεῖς δὲ, ἀκούοντες τὸ, ἐγώ σε ἐδόξασα, καὶ νῦν δόξασόν με, μανθάνομεν, ὅτι ἐκεῖνοι μόνοι εἰσὶν ἄξιοι τῆς θείας δόξης, ὅσοι διὰ τῶν
καλῶν ἔργων ἐδόξασαν τὸν Θεόν· Μη- Α'. Βασ.
δαμῶς ἐμοὶ, ἀλλ᾽ ἢ τοὺς δοξάζον- β'. 30.
τάς με δοξάσω. Ἐξηγήσας δὲ ὁ Σωτὴρ ἡμῶν ποίαν δόξαν ἐζήτει παρὰ τοῦ Πατρὸς αὐτοῦ, δηλοποιεῖ ἔπειτα καὶ τὸν

τρό-

τρόπον, δι' οὗ αὐτὸς ἐδόξασε τὸν Θεὸν
καὶ Πατέρα αὐτοῦ, λέγων·

Ἰωάν. ιζ'. 6. Ἐφανέρωσά σου τὸ ὄνομα τοῖς
ἀνθρώποις·

Γνωστὸς ἦν ὁ Θεὸς εἰς ὅλον τῶν
Ψαλ. οέ. 1. Ἰουδαίων τὸ γένος· Γνωστὸς ἐν τῇ
Ἰουδαίᾳ ὁ Θεός· διατί λοιπὸν λέγει
ὁ Θεάνθρωπος, ὅτι ἐφανέρωσε τὸ ὄνομα
τοῦ Θεοῦ τοῖς ἀνθρώποις; διὰ τὰ ἔθνη,
τὰ λατρεύοντα τῇ κτίσει παρὰ τὸν κτί-
σαντα, καὶ μὴ γνωρίζοντα τὸν ἀληθινὸν
τῆς κτίσεως Ποιητήν; Ναί, διὰ τὰ ἔ-
θνη· ἀλλὰ καὶ δι' αὐτοὺς τοὺς Ἰσραηλί-
τας· διότι ἐγνώριζον μὲν αὐτοὶ τὸν Θεόν,
ἀλλ' ὡς Δημιουργόν, οὐχὶ δὲ καὶ ὡς Πα-
τέρα τοῦ Υἱοῦ. Διὰ τοῦτο ὁ Σωτὴρ ἡ-
μῶν οὐκ εἶπεν, ἐφανέρωσά σε, ἀλλ' ἐφα-
νέρωσά σου τὸ ὄνομα· ποῖον ὄνο-
μα; τὸ πατρικόν. Ὁ μὲν Μωϋσῆς συ-
νεσκιασμένως ἐδίδαξε τὰς τρεῖς ὑποστά-
Γεν. ά. 26. σεις τῆς Θεότητος, λέγων τό, Ποιήσω-
μεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέ-
ραν καὶ καθ' ὁμοίωσιν, καὶ τό,
Ἐξόδ. γ'. 6. Ἐγώ εἰμι ὁ Θεὸς τοῦ πατρός σου,
ὁ Θεὸς Ἀβραάμ, ὁ Θεὸς Ἰσαάκ,
καὶ ὁ Θεὸς Ἰακώβ. Ὁ δὲ Κύριος ἡ-
μῶν Ἰησοῦς Χριστὸς φανερὰ τὸ ὄνομα
τοῦ Πατρός, καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁ-
Ἰωάν. ί. 30. γίου Πνεύματος ἐκήρυξεν· Ἐγὼ καὶ ὁ
Αὐτ. ιδ'. 9, 10. Πατὴρ ἕν ἐσμεν. Ὁ ἑωρακὼς ἐμέ,
ἑώρακε τὸν Πατέρα· Ἐγὼ ἐν τῷ
Πατρί, καὶ ὁ Πατὴρ ἐν ἐμοί ἐστι.
Αὐτ. ιέ. 26. Τὸ Πνεῦμα τῆς ἀληθείας, ὃ παρὰ
Ματ. κή. 19. τοῦ Πατρὸς ἐκπορεύεται. Βαπτί-
ζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ
Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁ-
γίου Πνεύματος. Ὅθεν οἱ Ἰουδαῖοι
Ἰωάν. έ. 18. ὑπερβαλλόντως ἐσκανδαλίζοντο, καὶ ἐ-
ζήτουν αὐτὸν ἀποκτεῖναι, ὅτι οὐ
μόνον ἔλυε τὸ σάββατον, ἀλλὰ
καὶ Πατέρα ἴδιον ἔλεγε τὸν Θεόν,
ἴσον ἑαυτὸν ποιῶν τῷ Θεῷ. Ἐπει-
δὴ δὲ τὸ ὄνομα, Πατήρ, δόξα τοῦ Θεοῦ
ἐστὶν ὑπερτέρα καὶ αὐτοῦ τοῦ ὀνόματος,
Θεός· καθότι τὸ μέν, Θεός, σημαίνει
τὴν ἀξίαν, τὸ δέ, Πατήρ, τὴν οὐσιώδη
ἰδιότητα· καὶ τὸ μέν, Θεός, δηλοῖ αὐ-
τὸν Δημιουργὸν καὶ Κύριον τῆς πεπερασ-
μένης κτίσεως· τὸ δέ, Πατήρ, γεννήτο-
ρα τῆς ἀπείρου ὑποστάσεως τοῦ Υἱοῦ
αὐτοῦ· διὰ τοῦτο δοξάζεται περισσότε-
ρον ὁ Θεὸς ὀνομαζόμενος καὶ πιστευό-
μενος Πατὴρ τοῦ Υἱοῦ, καὶ Προβολεὺς
τοῦ ἁγίου Πνεύματος, ἢ λεγόμενος μό-
νον Θεός, καὶ πιστευόμενος Δημιουργός.
Ὁ νόμος ὁ γραπτός, ἀτελὴς καὶ παιδα-
γωγός, καὶ σκοπὸν ἔχων, ἵνα ἀποσπά-
σῃ τοὺς ἀνθρώπους ἀπὸ τῆς πολυθείας
τῶν εἰδώλων, ἐδίδασκε φανερὰ μὲν τό,
εἷς Θεός, ἐπικεκαλυμμένως δέ, τό, Πα-
τὴρ καὶ Υἱὸς καὶ Πνεῦμα ἅγιον·
διὸ καὶ ὁ Ἀπόστολος ἔλεγεν· Οὐδὲν Ἑβρ. ζ'. 19.
ἐτελείωσεν ὁ νόμος, ἐπεισαγωγὴ
δὲ κρείττονος ἐλπίδος, δι' ἧς ἐγγί-
ζομεν τῷ Θεῷ. Τὸ εὐαγγελικὸν κή-
ρυγμα τοῦ Χριστοῦ, τέλειον ὄν, καὶ δε-
σποτικόν, καὶ ἀποβλέπον τὴν ἀνάβασιν
τῶν ἀνθρώπων εἰς τὴν τελειότητα τῆς
πίστεως, καὶ τὸ ἑνιαῖον τῆς Θεότητος,
καὶ τὸ τρισσὸν τῶν θείων ὑποστάσεων
ἀνακεκαλυμμένως ἐδίδασκεν. Ὅθεν πρε-
πόντως ἔλεγεν ὁ Θεάνθρωπος, ἐφανέ-
ρωσά σου τὸ ὄνομα τοῖς ἀνθρώ-
ποις, ἤγουν ἐφανέρωσα εἰς τοὺς ἀνθρώ-
πους, ὅτι σὺ ὑπάρχεις κατὰ φύσιν Πα-
τὴρ τοῦ Υἱοῦ, καὶ Προβολεὺς τοῦ ἁγίου
Πνεύματος. Τελέσας δὲ τὴν περὶ ἑαυτοῦ
δέησιν, ἄρχεται καὶ τῆς ὑπὲρ τῶν μα-
θητῶν αὐτοῦ ἱκεσίας, λέγων·

Οὓς δέδωκάς μοι ἐκ τοῦ κόσ- Ἰωάν. ιζ'. 6.
μου, σοὶ ἦσαν, καὶ ἐμοὶ αὐ-
τοὺς

τοὺς δέδωκας, καὶ τὸν λόγον σου τετηρήκασι.

Τοὺς μαθητὰς, λέγει, οὓς δέδωκάς μοι, οὐκ ἦσαν Ἄγγελοι οὐράνιοι, ἀλλ' ἄνθρωποι ἐκ τῶν ἐν κόσμῳ ἀνθρώπων γεγεννημένοι. Δέδωκάς μοι δὲ λέγει, ἐπειδὴ ὁ Πατὴρ αὐτοῦ καὶ Θεὸς ἐφώτισεν αὐτοὺς, ἵνα πιστεύσωσιν αὐτῷ, κατὰ (Ἰωάν. ϛ'. 44.) τὸ, Οὐδεὶς δύναται ἐλθεῖν πρός με, ἐὰν μὴ ὁ Πατὴρ ὁ πέμψας με ἑλκύσῃ αὐτόν. Σοὶ δὲ ἦσαν, εἶπεν, ἢ καθὸ πάντες οἱ ἄνθρωποι τοῦ Θεοῦ εἰσὶν, ὡς πλάσματα αὐτοῦ, ἢ καθὸ αὐτοὶ οἰκειότεροι τῷ Θεῷ διὰ τὴν ἐν αὐτοῖς ἀρετήν. Καὶ ἐμοὶ αὐτοὺς δέδωκας· ἐποίησας ἐμοὺς μαθητὰς, παρέδωκάς μοι αὐτοὺς, ἵνα διδάξω αὐτοὺς τῆς εὐσεβείας τὰ μυστήρια. Καὶ τὸν λόγον σου τετηρήκασιν· αὐτοὶ δὲ, ἀκούσαντες τὴν σὴν διδασκαλίαν παρ' ἐμοῦ, οὐδὲ, ὡς ὁ Ἰούδας, αὐτὴν ἠθέτησαν, οὐδὲ, ὡς οἱ Ἰουδαῖοι, περιεφρόνησαν, ἀλλ' ὑποδεξάμενοι αὐτὴν, πάντα τὰ διδαχθέντα ἀκριβῶς ἐφύλαξαν.

(Ἰωάν. ιζ'. 7, 8.) Νῦν ἔγνωκαν, ὅτι πάντα ὅσα δέδωκάς μοι, παρὰ σοῦ ἐστίν· Ὅτι τὰ ῥήματα, ἃ δέδωκάς μοι, δέδωκα αὐτοῖς· καὶ αὐτοὶ ἔλαβον, καὶ ἔγνωσαν ἀληθῶς, ὅτι παρὰ σοῦ ἐξῆλθον, καὶ ἐπίστευσαν, ὅτι σύ με ἀπέστειλας.

Αὐτοὶ ἐγνώρισαν, ὅτι πάντα, ἤγουν τὴν κυριότητα ἐπάνω εἰς τὰ στοιχεῖα, τὴν δεσποτείαν κατὰ τῶν πνευμάτων τῶν ἀκαθάρτων, τὴν θεραπευτικὴν δύναμιν τῶν ἀσθενούντων, τὴν ἐξουσίαν τοῦ ἐγείρειν τοὺς νεκροὺς, τὰς μαρτυρίας εἰς τὸν Ἰορδάνην ποταμὸν, καὶ εἰς τὸ ὄρος τὸ Θαβὼρ περὶ τοῦ, ὅτι εἰμὶ Υἱός (Ματθ. γ'. 16, 17.) σου ἀγαπητὸς, τὸ Πνεῦμα τὸ ἅγιον, ὅπερ ἦλθε καὶ ἔμεινεν ἐν ἐμοὶ, τὸν λόγον τῆς οὐρανίου διδασκαλίας σου, πάντα ὅσα δέδωκάς μοι, ἐγνώρισαν, ὅτι παρὰ σοῦ τοῦ Θεοῦ καὶ Πατρὸς ταῦτά μοι ἐδόθησαν. Πόθεν δὲ τοῦτο ἐγνώρισαν; Ὅτι τὰ ῥήματα, ἃ δέδωκάς (Ἰωάν. ιζ'. 8.) μοι, δέδωκα αὐτοῖς· ἐγνώρισαν ταῦτα, ἐπειδὴ παρέδωκα αὐτοῖς τὰ λόγια, ἃ παρὰ σοῦ παρέλαβον· ἐδίδαξα αὐτοὺς, ὅτι πάντα μοι παρεδόθη ὑπὸ σοῦ (Ματ. ια'. 27.) τοῦ Θεοῦ καὶ Πατρός· καὶ αὐτοὶ ἐδέχθησαν τὴν σὴν διδασκαλίαν, καὶ ἐγνώρισαν καὶ ἐπίστευσαν οὐχ ὑποκριτικῶς, ἀλλ' ἀληθῶς, ὅτι παρὰ σοῦ ἐξῆλθον, ἤγουν, ὅτι ἐκ σοῦ τοῦ Πατρὸς ἐγεννήθην, καὶ ἐξέλαμψα ἐκ τῆς σῆς οὐσίας, καὶ ἐπληροφορήθησαν, ὅτι σύ με ἀπέστειλας, τουτέστιν, ὅτι τῇ σῇ εὐδοκίᾳ σάρκα λαβὼν καὶ γενόμενος ἄνθρωπος, ἐφανερώθην εἰς τὸν κόσμον.

Ἐγὼ περὶ αὐτῶν ἐρωτῶ· οὐ (Ἰωάν. ιζ'. 9.) περὶ τοῦ κόσμου ἐρωτῶ, ἀλλὰ περὶ ὧν δέδωκάς μοι, ὅτι σοί εἰσι.

Περὶ τῶν ἰδίων μαθητῶν παρακαλεῖ· ἐπαναλαμβάνει δὲ τὸ, δέδωκάς μοι, καὶ τὸ, σοί εἰσι, δεῖξαι θέλων, καὶ ἐπιβεβαιῶσαι, ὅτι οἱ μαθηταὶ αὐτοῦ παρὰ Θεοῦ ἐδόθησαν αὐτῷ, καὶ οἰκεῖοι τῷ Θεῷ ἦσαν διὰ τὴν ἀρετὴν αὐτῶν. Διὰ τούτων δὲ δείκνυσιν ἑαυτὸν σύμφωνον τῷ Πατρὶ, καὶ τοὺς μαθητὰς αὐτοῦ σκεύη ἐκλογῆς. Διατί δὲ ἄρα γε λέγει τὸ, οὐ παρακαλῶ περὶ τοῦ κόσμου; αὐτός ἐστιν ὁ Ἀμνὸς τοῦ Θεοῦ, ὁ (Ἰωάν. α'. 29.) αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου· αὐτὸς ἱλασμός ἐστι περὶ ὅλου τοῦ κόσμου·

μου· αὐτὸς καὶ ὑπὲρ τῶν σταυρωσάν-
Λουκ. κγ'. 34. των αὐτὸν παρεκάλεσε, λέγων· Πάτερ,
ἄφες αὐτοῖς· οὐ γὰρ οἴδασι, τί
ποιοῦσι· τίς ἐστι λοιπὸν οὗτος ὁ κόσ-
μος, περὶ οὗ ὁ Σωτὴρ τοῦ κόσμου οὐ
παρακαλεῖ; Δύω νοήματα ἁρμόδια φαί-
νονται πρὸς λύσιν τῆς ἀπορίας. Πρῶτον,
ἡ δέησις αὕτη ἐπιβλέπει κατ' ἰδίαν τοὺς
μαθητὰς αὐτοῦ, καὶ δι' αὐτοὺς μόνους
παρακαλεῖ, ὡς χρείαν ἔχοντας, περισ-
σοτέραν τῶν ἄλλων, τῆς τοῦ Θεοῦ χάρι-
τος καὶ δυνάμεως, διὰ τὸ μέγα καὶ
παγκόσμιον κατόρθωμα τοῦ εὐαγγελι-
κοῦ κηρύγματος· διὰ τοῦτο οὖν εἶπεν,
Οὐ περὶ τοῦ κόσμου ἐρωτῶ, ὥσπερ
ἂν ἔλεγεν· Ἄλλοτε μὲν περὶ ὅλου τοῦ
κόσμου παρεκάλεσα, καὶ μετὰ ταῦτα
δὲ παρακαλέσω, ἀλλὰ νῦν περὶ τούτων
τῶν μαθητῶν μου μόνων, καὶ οὐχὶ περὶ
τοῦ κόσμου παρακαλῶ. Ὅτι δὲ ἰδικῶς
ὑπὲρ μόνων τῶν Ἀποστόλων προσηύχε-
το, αὐτὰ τοῦ Ἰησοῦ Χριστοῦ τὰ λόγια
τοῦτο ἐπιβεβαιοῦσι· διότι, παρακαλέσας
πρῶτον ὑπὲρ αὐτῶν, προσέθηκεν ἔπειτα
Ἰωάν. ιζ'. 20. καὶ τὸ, Οὐ περὶ τούτων δὲ ἐρωτῶ
μόνον, ἀλλὰ καὶ περὶ τῶν πι-
στευόντων διὰ τοῦ λόγου αὐτῶν
εἰς ἐμέ. Δεύτερον, τὸ ὄνομα κόσμος
σημαίνει πολλάκις τοὺς ἀσεβεῖς ἀνθρώ-
πους, τοὺς μηδέποτε μετανοῆσαι θέλον-
τας, ἀλλὰ τῷ Διαβόλῳ διαπαντὸς δου-
Αὐτ. ιδ'. 30. λεύοντας, κατὰ τὸ, Ἔρχεται γὰρ ὁ
τοῦ κόσμου τούτου ἄρχων, καὶ ἐν
ἐμοὶ οὐκ ἔχει οὐδέν· περὶ τούτου οὖν
τοῦ κόσμου, εἴτουν περὶ τοιούτων ἀπηλ-
πισμένων καὶ ἀμετανοήτων ἀσεβῶν εἶ-
πεν, ὅτι οὐ παρακαλεῖ· διότι οὗτοι, κα-
Ψαλ. νζ'. 3, 4, 5. θὼς λέγει ὁ Προφήτης, ἀπηλλοτριώ-
θησαν ἀπὸ μήτρας, ἐπλανήθησαν
ἀπὸ γαστρὸς, ἐλάλησαν ψευδῆ.
Θυμὸς αὐτοῖς κατὰ τὴν ὁμοίωσιν
τοῦ ὄφεως, ὡσεὶ ἀσπίδος κωφῆς,
καὶ βυούσης τὰ ὦτα αὐτῆς, ἥτις
οὐκ εἰσακούσεται φωνῆς ἐπᾳδόντων. Εἰπὼν δὲ ὁ Σωτὴρ τὸ, περὶ ὧν δέδωκάς μοι, ὅτι σοί εἰσιν, ἐπιφέρει εὐθὺς καὶ τὸν λόγον, λαλῶν οὐχὶ ὡς ἄνθρωπος, ἀλλ' ὡς Θεός.

## Καὶ τὰ ἐμὰ πάντα σά ἐστι, καὶ τὰ σὰ ἐμά· καὶ δεδόξασμαι ἐν αὐτοῖς. Ἰωάν. ιζ'. 10.

Τὸ, καὶ, φαίνεται, ὅτι σημαίνει τὸ, διότι· Κἂν, λέγει, σὺ δέδωκάς μοι τοὺς ἐμοὺς μαθητὰς, ὅμως σοί εἰσι, διότι πάντα τὰ ἐμὰ σά εἰσι, καθὼς καὶ τὰ σὰ ἐμά. Ταῦτα δὲ τὰ λόγια δεικνύουσιν αὐτὸν ὁμοούσιον καὶ ὁμοφυῆ τῷ Πατρί· διότι ὅσα οὐκ ἔχουσι κοινὴν καὶ φύσιν καὶ οὐσίαν, ἐκεῖνα οὐκ ἔχουσι τὰ πάντα κοινά. Ἐπειδὴ δὲ λέγει, πάντα τὰ ἐμὰ ἐστὶ σὰ, καὶ τὰ σὰ ἐμὰ, φανερόν ἐστιν, ὅτι καὶ οὐσία, καὶ φύσις, καὶ θέλημα, καὶ βουλὴ, καὶ ἐξουσία, καὶ βασιλεία, καὶ δύναμις, καὶ σοφία, καὶ ἀγαθότης, καὶ δικαιοσύνη, καὶ πάντα τὰ λοιπὰ θεῖα προσόντα κοινά εἰσι Πατρὶ, Υἱῷ, καὶ ἁγίῳ Πνεύματι, μᾶλλον δὲ τὰ αὐτά· οὐχὶ ὅμως κοιναί εἰσι καὶ αἱ ὑποστατικαὶ καὶ προσωπικαὶ ἰδιότητες· διότι ὁ μὲν Πατὴρ γεννᾷ καὶ ἐκπορεύει, οὐ γεννᾶται δὲ, οὐδὲ ἐκπορεύεται· ὁ δὲ Υἱὸς γεννᾶται ἐκ τοῦ Πατρὸς, οὐ γεννᾷ δὲ, οὐδὲ ἐκπορεύει· ὡσαύτως τὸ Πνεῦμα ἐκπορεύεται ἐκ τοῦ Πατρὸς, οὐ γεννᾷ, οὐδὲ ἐκπορεύει· ὅθεν ὁ Πατήρ ἐστιν αἴτιος καὶ ἀρχὴ τοῦ Υἱοῦ καὶ τοῦ Πνεύματος· ὁ δὲ Υἱὸς καὶ τὸ Πνεῦμά εἰσιν αἰτιατά. Ὅταν οὖν ἀκούσῃς, πάντα τὰ ἐμὰ σά ἐστι, καὶ τὰ σὰ ἐμὰ, νόησον πάντα, πλὴν τῶν προσωπικῶν ἰδιωμάτων· διότι, ἐὰν ἐκλάβῃς τὸ, πάντα, χωρὶς ταύτης τῆς ἐξαιρέσεως, ἤγουν ἐὰν νοήσῃς, ὅτι καὶ αὐταὶ αἱ προ-



σωπι-

σωπικαὶ ἰδιότητες εἰσὶ κοιναὶ, ἐκπίπτεις τῆς ὀρθοδόξου πίστεως, συγχέων τὰ τρία πρόσωπα τῆς παναγίας Τριάδος, καὶ εἰς ἓν αὐτὰ συναλείφων, καθὼς ὁ αἱρετικὸς καὶ βλάσφημος Σαβέλλιος. Ἐπισυνάπτει δὲ ὁ Σωτὴρ καὶ τὸ, δεδόξασμαι ἐν αὐτοῖς, ὡς τέταρτον λόγον, δι' ὃν περὶ τῶν μαθητῶν αὐτοῦ πρεσβεύει· Παρακαλῶ, λέγει, περὶ αὐτῶν, πρῶτον μὲν, ἐπειδὴ τὸν λόγον σου τετηρήκασι· δεύτερον, ἐπειδὴ ἐπίστευσαν, ὅτι παρὰ σοῦ ἐξῆλθον, καὶ ὅτι σύ με ἀπέστειλας· τρίτον, ἐπειδὴ σοί εἰσι· καὶ τέταρτον, ἐπειδὴ καὶ δεδόξασμαι ἐν αὐτοῖς. Πῶς δὲ ἐδοξάσθη ὁ Ἰησοῦς ἐν τοῖς μαθηταῖς; Διὰ τῆς πίστεως αὐτῶν· διότι ἐπίστευσαν, ὅτι αὐτός ἐστιν ὁ Υἱὸς τοῦ Θεοῦ· διὰ τῶν καλῶν αὐτῶν ἔργων, διότι ἀφῆκαν τὰ πάντα, καὶ ἠκολούθησαν αὐτῷ· διὰ τοῦ ἀποστολικοῦ κηρύγματος, δι' οὗ ἔμελλον ἐφαπλῶσαι εἰς πᾶσαν τὴν οἰκουμένην τῆς θεογνωσίας τὸ σωτήριον φῶς. Κἂν δὲ τοῦτο μέλλον ἦν, ὡς τετελεσμένον ὅμως ἔβλεπεν αὐτὸ, τὸ παντέφορον ὄμμα τοῦ Ἰησοῦ, ὅστις καὶ ἄλλον λόγον τῆς δεήσεως αὐτοῦ προστίθησι, λέγων·

Ἰωάν. ιζ'. 11. **Καὶ οὐκ ἔτι εἰμὶ ἐν τῷ κόσμῳ, καὶ οὗτοι ἐν τῷ κόσμῳ εἰσὶ, καὶ ἐγὼ πρὸς σὲ ἔρχομαι. Πάτερ ἅγιε, τήρησον αὐτοὺς ἐν τῷ ὀνόματί σου, οὓς δέδωκάς μοι, ἵνα ὦσιν ἓν καθὼς ἡμεῖς.**

Ἰδοὺ καὶ ὁ πέμπτος λόγος τῆς προσευχῆς αὐτοῦ· Παρακαλῶ, λέγει, περὶ τῶν μαθητῶν μου, ἐπειδὴ οὐκ ἔτι εἰμὶ ἐν τῷ κόσμῳ· ἐγὼ μὲν, ὡς ἄνθρωπος, ἀναχωρῶ ἐκ τοῦ κόσμου τούτου, καὶ ἔρχομαι πρὸς σέ, αὐτοὶ δὲ μένουσιν ἐν τῇ ταραχῇ καὶ ζάλῃ τοῦ κόσμου τούτου, τῆς ἀπ' ἐμοῦ σωματικῆς παρουσίας στερηθέντες· Πάτερ ἅγιε, λοιπὸν, διαφύλαξον αὐτοὺς ἐν τῷ ὀνόματί σου, ἤγουν διὰ τῆς σῆς βοηθείας καὶ δυνάμεως· αὐτοὺς, Πάτερ ἅγιε, οὓς δέδωκάς μοι, ἤγουν τοὺς μαθητάς μου, διαφύλαξον· ἵνα ὦσιν ἓν, καθὼς ἡμεῖς· καθὼς ἐγὼ, ὡς Υἱὸς καὶ Θεὸς, καὶ σὺ, ὡς Πατὴρ καὶ Θεὸς, ἕν ἐσμεν κατὰ τὴν οὐσίαν καὶ φύσιν, οὕτω καὶ αὐτοὶ ἓν ὦσι κατὰ τὴν πίστιν καὶ τὴν καρδίαν· καθὼς ἡμεῖς ἓν, κατὰ τὴν θέλησιν καὶ τὴν βουλὴν, οὕτω καὶ αὐτοὶ ἓν, κατὰ τὴν γνώμην καὶ προαίρεσιν· ἓν ὦσιν, ἓν καὶ τὸ αὐτὸ φρονῶσιν ἐν τῇ ὁμολογίᾳ τῆς πίστεως, ἓν καὶ τὸ αὐτὸ καὶ πιστεύωσι καὶ διδάσκωσι, καὶ ζῶσιν ἐν ὁμονοίᾳ καὶ ἀγάπῃ. Βλέπομεν δὲ τὴν προσευχὴν ταύτην εἰσακουσθεῖσαν, καὶ ἐκπληρωθεῖσαν εἰς τοὺς πρώτους μαθητὰς τοῦ Χριστοῦ· διότι τοῦ πλήθους τῶν πιστευσάντων ἦν ἡ καρδία καὶ ἡ ψυχὴ μία. (Πράξ. δ'. 32.) Ἀκούομεν δὲ καὶ τὸν θεῖον Ἀπόστολον τὰ αὐτὰ διδάσκοντα· Σπουδάζοντες, λέγει, τηρεῖν τὴν ἑνότητα τοῦ Πνεύματος ἐν τῷ συνδέσμῳ τῆς εἰρήνης· (Ἐφεσ. δ'. 3, 4.) Ἓν σῶμα καὶ ἓν Πνεῦμα, καθὼς καὶ ἐκλήθητε ἐν μιᾷ ἐλπίδι τῆς κλήσεως ὑμῶν.

Ἰωάν. ιζ'. 12. **Ὅτε ἤμην μετ' αὐτῶν ἐν τῷ κόσμῳ, ἐγὼ ἐτήρουν αὐτοὺς ἐν τῷ ὀνόματί σου· οὓς δέδωκάς μοι ἐφύλαξα, καὶ οὐδεὶς ἐξ αὐτῶν ἀπώλετο, εἰ μὴ ὁ υἱὸς τῆς ἀπωλείας, ἵνα ἡ Γραφὴ πληρωθῇ.**

Ὅτε

Ὅτε σωματικῶς συνδιέτριβον μετὰ τῶν ἐμῶν μαθητῶν ἐν τῷ κόσμῳ, ἐγὼ διὰ τῆς σῆς βοηθείας ἐφύλαττον αὐτοὺς ἐν τῇ πίστει, καὶ ὁμονοίᾳ· πάντας τοὺς ἐμοὺς μαθητὰς ἐφύλαξα· οὐδεὶς ἐξ αὐτῶν ἠθέτησε τὴν πίστιν, οὐδὲ παρέβη τὰς θείας ἐντολὰς, καὶ ἀπωλέσθη, εἰ μὴ ὁ υἱὸς τῆς ἀπωλείας, ἤγουν ὁ Ἰούδας. (Ματ. κγ'. 15.) Σημαίνει δὲ τὸ, ὁ υἱὸς τῆς ἀπωλείας, τὸ, ἄξιος τῆς ἀπωλείας, καθὼς καὶ, υἱὸς γεέννης, ὁ ἄξιος τῆς κολάσεως, καὶ υἱὸς θανάτου, ὁ ἄξιος (Β'. Βασιλ. ιβ'. 5.) θανατηφόρου τιμωρίας· ἐκεῖνος οὖν ἀπώλετο, ἵνα πληρωθῇ ἡ Γραφή. Ἀλλ' ἄραγε διὰ τοῦτο ὁ Ἰούδας ἐγένετο προδότης τοῦ Χριστοῦ, καὶ ἀπωλέσθη, ἵνα πληρωθῇ ἡ Γραφή; Ἄπαγε· ὁ Ἰούδας, διὰ τὴν κακίαν τῆς αὐτοῦ προαιρέσεως, καὶ διὰ τὴν λύσσαν τῆς φιλαργυρίας αὐτοῦ, ἔμελλε προδοῦναι εἰς θάνατον τοῦ κόσμου τὸν Σωτῆρα· ὁ δὲ Θεὸς, ὅστις γνωρίζει τὰ πάντα καὶ πρὸ τοῦ γενέσθαι, προεφανέρωσε τὴν τούτου ἀπώλειαν διὰ τῆς ἁγίας Γραφῆς, λέγων (Ψαλ. ρή. 7.) περὶ αὐτοῦ· Γενηθήτωσαν αἱ ἡμέραι αὐτοῦ ὀλίγαι, καὶ τὴν ἐπισκοπὴν αὐτοῦ λάβοι ἕτερος, καὶ τὰ λοιπὰ ὅσα ὁ ψαλμὸς περὶ αὐτοῦ διαλαμβάνει. Τρόπος δὲ τοῦ λέγειν ἐστὶν ἴδιος τῆς ἁγίας Γραφῆς, ὡς ἐσημείωσεν ὁ θεῖος Χρυσόστομος, τὸ προφέρειν ὡς αἴτια τὰ μετὰ τὴν ἔκβασιν τῶν (Χρυσ. εἰς τὸ κατὰ Ἰωάν. ὑπόμν.) πραγμάτων συμβαίνοντα· Ἰδιάζων οὗτος τῆς Γραφῆς ἐστὶν ὁ τρόπος, ὡς αἰτιολογίαν τιθέμενος τὰ ἐκ τῆς ἐκβάσεως συμβαίνοντα· εἶπεν, ἵνα πληρωθῇ ἡ Γραφὴ, ἀντὶ τοῦ, ὅτι ἀπωλέσθη ὁ Ἰούδας, ἐπληρώθη ἡ Γραφὴ, ἡ προειποῦσα τὴν αὐτοῦ ἀπώλειαν.

**Νῦν δὲ πρὸς σὲ ἔρχομαι, καὶ ταῦτα λαλῶ ἐν τῷ κόσμῳ, ἵνα ἔχωσι τὴν χαρὰν τὴν ἐμὴν πεπληρωμένην ἐν αὐτοῖς.** (Ἰωάν. ιζ'. 13.)

Τὸ μὲν, νῦν δὲ πρὸς σὲ ἔρχομαι, λέγει, ἐπειδὴ ἐπλησίαζεν ὁ καιρὸς, ἐν ᾧ, καθὸ ἄνθρωπος, ἔμελλεν ἀναχωρῆσαι ἐκ τοῦ κόσμου τούτου, καὶ μεταβῆναι εἰς τὸν οὐρανόν· διὰ δὲ τῶν ἑξῆς λόγων δηλοποιεῖ τὸ τέλος καὶ τὸν σκοπὸν τῆς προσευχῆς αὐτοῦ. Αὐτὸς μὲν ὡς Θεὸς ἀληθινὸς ἠδύνατο, καθὼς καὶ ὁ Πατὴρ αὐτοῦ, διαφυλάττειν διαπαντὸς τοὺς ἰδίους μαθητάς· καὶ οὐδὲ χρείαν εἶχεν, ἵνα ζητήσῃ ταῦτα παρὰ τοῦ Πατρὸς αὐτοῦ· ἀλλ' ἐπειδὴ ἐλυποῦντο οἱ μαθηταὶ, διὰ τὸν σωματικὸν αὐτοῦ χωρισμὸν, διὰ τοῦτο, παρόντων αὐτῶν καὶ ἀκουόντων, ἐζήτησε ταῦτα· Ταῦτα, λέγει, λαλῶ ἐν τῷ κόσμῳ, ἵνα ἔχωσιν οἱ ἐμοὶ μαθηταὶ τὴν χαρὰν τὴν ἐμὴν πεπληρωμένην ἐν αὐτοῖς. Ποία δέ ἐστιν αὕτη ἡ χαρά; Ἐκείνη ἐστὶ, περὶ ἧς ἀλλαχοῦ εἶπεν· Ἵνα ἡ χαρὰ ἡ ἐμὴ ἐν ὑμῖν μείνῃ· (Αὐτ. ιέ. 11.) ἡ χαρὰ δηλαδὴ, ἣν ἔλαβον ἐκ τῆς παρουσίας καὶ διδασκαλίας καὶ τῶν θαυμάτων αὐτοῦ· ἡ χαρὰ, ἣν ἔλαβον, γνωρίσαντες καὶ πιστεύσαντες, ὅτι αὐτός (Ματ. ις'. 16.) ἐστιν ὁ Υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος· Διὰ τοῦτο, λέγει, ταύτην τὴν προσευχὴν ἐποίησα, ἵνα οἱ ἐμοὶ μαθηταὶ ἔχωσι τελείαν τὴν χαρὰν, ἀκούσαντες, ὅτι, καὶ μετὰ τὴν ἐμὴν ἐκ τοῦ κόσμου τούτου ἀναχώρησιν, προστατεύονται ὑπὸ σοῦ τοῦ Θεοῦ καὶ Πατρὸς, καὶ διαφυλάττονται.

# ΟΜΙΛΙΑ

ΜΕΤΑ ΤΟ ΚΑΤΑ

# ΙΩΑΝΝΗΝ

## ΕΥΑΓΓΕΛΙΟΝ ΤΗΣ ΚΥΡΙΑΚΗΣ ΤΩΝ ΑΓΙΩΝ ΠΑΤΕΡΩΝ.

Ἐπειδὴ ὅσα ἔπραξεν ὁ Κύριος ἡμῶν
Ἰησοῦς Χριστὸς, ἔπραξεν αὐτὰ, ἵνα ἡ-
μεῖς, τύπον καὶ ὑπογραμμὸν ἔχοντες
Α΄. Πέτρ. καθ᾽ ἓν τῶν αὐτοῦ ἔργων, ἀκολουθῶμεν
β΄. 25. τοῖς ἴχνεσιν αὐτοῦ· διὰ τοῦτο καὶ ἡ
προσευχὴ αὐτοῦ, ἡ σήμερον ἀναγνωσθεῖ-
σα, τύπος ἐστὶ τῆς προσευχῆς ἡμῶν καὶ
ὑπογραμμὸς καὶ παράδειγμα τέλειον καὶ
ἅγιον. Ἐὰν στοχασθῇς ταύτην τὴν προ-
σευχὴν αὐτοῦ, τὴν ὁποίαν ὡς ἄνθρωπος
προσέφερε πρὸς τὸν Θεὸν καὶ Πατέρα
αὐτοῦ, βλέπεις τρία πράγματα, δοξολο-
γίαν, εὐχαριστίαν, δέησιν. Ἄρχεται μὲν
Ἰωάν. ιζ΄. ἀπὸ τῆς δοξολογίας· Ἵνα, λέγει, καὶ ὁ
1. Υἱός σου δοξάσῃ σε· ἔπειτα, κηρύτ-
των τὰς τοῦ Θεοῦ πρὸς αὐτὸν εὐεργεσίας,
Αὐτ. 2. προσφέρει τὴν εὐχαριστίαν, λέγων· Ἔ-
δωκας αὐτῷ ἐξουσίαν πάσης σαρ-
κός· μετὰ δὲ ταῦτα ἐπιφέρει τὴν δέη-
Αὐτ. 5. σιν, οὐ μόνον ὑπὲρ αὐτοῦ· Καὶ νῦν δό-
ξασόν με, σὺ Πάτερ· ἀλλὰ καὶ ὑ-
Αὐτ. 9. πὲρ τῶν μαθητῶν αὐτοῦ· Ἐγὼ περὶ αὐ-
τῶν ἐρωτῶ· καὶ ὑπὲρ πάντων τῶν πι-
Αὐτ. 20. στευόντων εἰς αὐτόν· Οὐ περὶ τού-
των δὲ μόνον ἐρωτῶ, ἀλλὰ καὶ
περὶ τῶν πιστευόντων διὰ τοῦ
λόγου αὐτῶν εἰς ἐμέ. Τὰ αὐτὰ δὲ
τῆς προσευχῆς εἴδη βλέπομεν καὶ εἰς
τοὺς ψαλμοὺς τοῦ Προφητάνακτος· διότι
καὶ αὐτὸς ἄλλοτε μὲν ψάλλων, δοξολο-
Ψαλ. ρλδ΄. 1. γεῖ· Αἰνεῖτε τὸ ὄνομα Κυρίου·
Αὐτ. κθ΄. 1. ἄλλοτε δὲ εὐχαριστεῖ· Ὑψώσω σε Κύ-
ριε, ὅτι ὑπέλαβές με· καὶ ἄλλοτε
Αὐτ. ν΄. 1. παρακαλεῖ· Ἐλέησόν με ὁ Θεὸς κα-
τὰ τὸ μέγα ἔλεός σου. Κατὰ δὲ τὸ
παράδειγμα τῆς προφητικῆς ψαλμῳδίας,
καὶ τῆς δεσποτικῆς προσευχῆς, συνέγρα-
ψε καὶ ἡ τῶν ὀρθοδόξων Ἐκκλησία πά-
σας τὰς προσευχὰς αὐτῆς.

Καὶ ἡ μὲν πρὸς τὸν Θεὸν δοξολο-
γία καὶ ἡ εὐχαριστία εἰσὶ χρέος ἀπα-
ραίτητον· ἡ δὲ δέησις ἐστὶν ἀναγκαία
καὶ ἄφευκτος. Ὅταν δὲ ἡμεῖς καὶ τὴν
δοξολογίαν, καὶ τὴν εὐχαριστίαν, καὶ
τὰς ἱκεσίας ἡμῶν προσφέρωμεν εἰς τὸν
Θεὸν, ἤγουν ὅταν προσευχώμεθα, τότε
οὐ μόνον τῆς ψυχῆς τὴν σωτηρίαν, ἀλ-
λὰ καὶ πᾶσαν ἄλλην ὠφέλειαν κερδαί-
νομεν.

Τίς ἔστησε τὸν οὐρανὸν ὡς κα- Ἡσ. μ΄. 22.
μάραν ἐπάνω τῆς κεφαλῆς σου, καὶ τὴν
γῆν ὡς βάσιν ὑποκάτω τῶν ποδῶν σου,
καὶ τὴν θάλασσαν ὡς γέφυραν τῆς ἐκ
τόπου εἰς τόπον εὐκολωτέρας μεταβά-
σεώς σου; Τίς ὥρισε τὸν ἥλιον εἰς φαῦ- Γεν. α΄. 14.
σιν τῆς ἡμέρας, καὶ τὴν σελήνην καὶ
τοὺς ἀστέρας εἰς φώτισμα τῆς νυκτὸς,
ὡς λαμπάδας ἀναγκαίας πρὸς τὰ ἔργα
τῶν χειρῶν σου; Τίς ἐξέχεε τὸν ἀέρα
πρὸς ἀναπνοήν σου, τὸ πῦρ πρὸς θερ-
μασίαν σου, τὸ ὕδωρ πρὸς δροσισμόν σου;
Τίς ἐδημιούργησε τόσα ζῶα πρὸς ὑπη-
ρεσίαν σου, τόσους καρποὺς πρὸς τροφήν
σου, τόσα ἄνθη πρὸς εὐφροσύνην σου;
Τίς ἐποίησέ σοι τὸ σῶμα, καὶ ἔπλασε
τὴν ψυχήν σου, καὶ κατέστησέ σε ζῶον
λογικὸν πάντων τῶν ἐπιγείων τιμιώτε-
ρον; Τίς ἔδωκέ σοι ὄμματα καὶ βλέ-
πεις,

πεις, ἀκοὴν καὶ ἀκούεις, στόμα καὶ λα-
λεῖς, χεῖρας καὶ ἐργάζεσαι, πόδας καὶ
περιπατεῖς; Τίς ἔδωκέ σοι νοῦν καὶ συλ-
λογίζεσαι, διακριτικὸν καὶ κρίνεις, φρό-
Ψαλ. η΄. νησιν καὶ διευθύνεσαι; Τίς ὑπέταξεν
6, 7, 8. ὑποκάτω τῶν ποδῶν σου πρόβα-
τα, καὶ βόας ἁπάσας, ἔτι δὲ καὶ
τὰ κτήνη τοῦ πεδίου, τὰ πετεινὰ
τοῦ οὐρανοῦ, καὶ τοὺς ἰχθύας τῆς
θαλάσσης; Πόθεν ἔχεις τὴν τροφὴν,
τὸ ἱμάτιον, τὴν ὑγείαν, τὴν κίνησιν,
τὴν ζωὴν, τὴν ἀναπνοήν; Ποῖος, Θεὸς
ὢν, ἐγένετο ἄνθρωπος, ἵνα καταστήσῃ
σε Θεὸν, ἔπαθεν εἰς τὴν γῆν, ἵνα ἀνα-
βιβάσῃ σε εἰς τὸν οὐρανὸν, ἀπέθανεν ἐ-
πάνω εἰς τὸν σταυρὸν, ἵνα ἀναζωοποιή-
σῃ σε, καὶ χαρίσηταί σοι τὴν βασιλείαν
τὴν αἰώνιον; Οὐδεὶς ἄλλος, εἰμὴ εἷς ὁ
Θεός. Ὅταν ταῦτα συλλογιζώμεθα, ἀ-
δύνατόν ἐστι, κἂν ὀλίγην, κἂν μικρὰν ἔ-
χωμεν αἴσθησιν, τὸ νὰ μὴ γνωρίσωμεν,
Α΄.Θεσσ. ὅτι ἄμετρον ἔχομεν χρέος, ἵνα ἀδια-
ε΄. λείπτως, ὡς λέγει ὁ θεσπέσιος Παῦ-
17, 18. λος, προσευχόμενοι, ψάλλωμεν δοξολο-
γίας, καὶ ἐν παντὶ προσφέρωμεν εὐ-
χαριστηρίους ὕμνους πρὸς τὸν πανυπερά-
γαθον δοτῆρα τῶν τοσούτων ἀγαθῶν.

Ἐγνώρισαν τοῦτο τὸ χρέος πάντες
οἱ ἀπ' αἰῶνος δίκαιοι. Πρῶτον οἱ πρὸ
τοῦ νόμου· ὅθεν πρῶτος ὁ Ἄβελ δοξά-
ζει καὶ εὐχαριστίαν προσφέρει εἰς τὸν
Γεν. δ΄.4. Θεὸν, θυσιάσας ἀπὸ τῶν πρωτοτό-
κων τῶν προβάτων αὐτοῦ, καὶ ἀ-
πὸ τῶν στεάτων αὐτῶν. Μετὰ τὸν
Αὐτ. δ΄. Ἄβελ, ὁ Ἐνὼς πλήρης ἐλπίδος, ἐπικα-
26. λούμενος τοῦ Θεοῦ τὸ ὄνομα, δοξάζει
καὶ εὐχαριστεῖ αὐτῷ. Μετὰ τὸν Ἐνὼς,
ὁ Νῶε δοξολογεῖ καὶ εὐχαριστεῖ τῷ
Αὐτ. η΄. Θεῷ, προσφέρων αὐτῷ θυσίαν ἀπὸ πάν-
20. των τῶν κτηνῶν τῶν καθαρῶν,
καὶ ἀπὸ πάντων τῶν πετεινῶν τῶν
Αὐτ. ιβ΄. καθαρῶν. Καὶ ὁ Ἀβραὰμ δὲ, εἰς δο-
8. ξολογίαν καὶ εὐχαριστίαν Θεοῦ οἰκοδο-
μήσας θυσιαστήριον, προσηύξατο, καὶ
ἐπεκαλέσθη τὸ ὄνομα τοῦ Κυρίου· ὁ- Γεν. κϛ΄.
μοίως δὲ καὶ ὁ Ἰσαὰκ ὁ υἱὸς αὐτοῦ· ὁ 25.
δὲ Πατριάρχης ὁ Ἰακὼβ ἔστησε στή- Αὐτ. κη΄.
λην, καὶ ἐπέχεεν ἔλαιον, καὶ ηὔ- 18, 20.
ξατο εὐχήν.

Ἐπειδὴ δὲ μετὰ ταῦτα ἠμέλησαν
οἱ ἄνθρωποι τοῦτο τὸ θεῖον ἔργον, διὰ
τοῦτο, ὅτε ὁ Θεὸς, εἰς τὸ Σινᾶ ὄρος κα-
ταβὰς, ἔδωκε τοῦ νόμου τὰς πλάκας,
τότε ἐνομοθέτησε τὰς διαφόρους θυσίας,
τὴν ὁλόκαυτον, τὴν τοῦ σωτηρίου, τὴν
περὶ ἁμαρτίας, τὴν τοῦ ἐνδελεχισμοῦ,
τὴν περὶ ἀκουσίων, τὴν περὶ ζηλοτυ-
πίας, τὴν περὶ σαββάτου, τὴν περὶ νου-
μηνίας· ἔτι δὲ διώρισεν, ἵνα προσφέρω-
σιν αὐτῷ δῶρα, δόματα, καρπώματα.
Καὶ ἄλλας μὲν τούτων τῶν θυσιῶν προ-
σέφερον εἰς δοξολογίαν Θεοῦ, ἄλλας δὲ
εἰς ἱκεσίαν καὶ δέησιν ὑπὲρ τῆς ἀφέσεως
τῶν ἁμαρτιῶν αὐτῶν· τὰ δὲ δῶρα, καὶ
τὰ δόματα, καὶ καρπώματα εἰς εὐχαρι-
στίαν τῶν εὐεργεσιῶν αὐτοῦ· διὰ τού-
των δὲ πάντων προέτρεπεν ὁ Θεὸς τοὺς
ἀνθρώπους εἰς τὸ νὰ προσεύχωνται συ-
νεχῶς. Καὶ πρὸ μὲν τοῦ νόμου ἡ αἴ-
σθησις μόνη, παριστῶσα τὰς τοῦ Θεοῦ
πρὸς τὸν ἄνθρωπον εὐεργεσίας, ἔπειθεν
αὐτὸν πρὸς τὸ ἔργον τῆς προσευχῆς· με-
τὰ δὲ τὸν νόμον, οὐ μόνον ἡ αἴσθησις,
ἀλλὰ καὶ ὁ νόμος διήγειρεν αὐτὸν πρὸς
τὴν ἐκπλήρωσιν τούτου τοῦ χρέους. Ὅ-
θεν μετὰ τὸν νόμον ηὔξησε τῆς προσευ-
χῆς τὸ χρέος· διότι, ὅταν ἡ αἴσθησις
ἐκοιμᾶτο, ἐξύπνει αὐτὸν τοῦ νόμου ἡ
φωνή.

Ἀλλὰ παρῆλθεν ἡ σκιὰ τοῦ νόμου,
καὶ ἦλθεν ἡ ἀλήθεια τῆς χάριτος. Ἔ-
παυσαν πᾶσαι αἱ ζωοθυσίαι, μία μόνη
θυσία ἐνομοθετήθη, ἡ ἀναίμακτος, ἡ θυ-
σία τῆς αἰνέσεως, τῆς εὐχαριστίας, τῆς
δεήσεως, ἡ θυσία, λέγω, τοῦ σώματος
καὶ αἵματος τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ

Χρι-

Χριστοῦ. Δι' αὐτῆς ὑμνοῦμεν, εὐλογοῦ-
μεν, προσκυνοῦμεν, δοξολογοῦμεν, εὐχα-
ριστοῦμεν, λατρεύομεν, καὶ δεόμεθα τῷ
Θεῷ ἡμῶν· ἦλθεν ἡ χάρις, ἦλθεν ὁ Σω-
τὴρ τοῦ κόσμου. Αὐτὸς πρῶτον μὲν διὰ
λόγου ἐνομοθέτησε τῆς προσευχῆς τὸ
Ματ. κϛ'. ἔργον· Γρηγορεῖτε, καὶ προσεύχε-
41. σθε, διδάξας ἅμα καὶ τῆς προσευχῆς
Αὐτ. ϛ'. τὸν τρόπον· Σὺ δὲ, ὅταν προσεύχῃ,
6. εἴσελθε εἰς τὸ ταμιεῖόν σου, καὶ
κλείσας τὴν θύραν σου, πρόσευξαι
τῷ πατρί σου τῷ ἐν τῷ κρυπτῷ·
ἔτι δὲ καὶ αὐτὰ τῆς προσευχῆς τὰ λό-
Αὐτόθι. για· Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρα-
9. νοῖς. Ἔπειτα δὲ, ἵνα περισσότερον πεί-
σῃ, καὶ ἐμπράκτως προσευχήθη, κἂν ὡς
Θεὸς χρείαν οὐκ εἶχε προσευχῆς· πότε
Αὐτ. ιδ'. 23. μὲν μόνος ἀναβαίνων εἰς τὸ ὄρος καὶ
Λουκ. ιά. προσευχόμενος, πότε δὲ ἐν τόπῳ τινι·
1. ἄλλοτε δὲ εἰς τὴν Βηθανίαν· ἄλλοτε
Ἰωάν. ιά. προελθὼν μικρὸν, καὶ πίπτων ἐπὶ
41. Ματ. κϛ'. πρόσωπον αὐτοῦ· καὶ ἄλλοτε θεὶς τὰ
39. γόνατα· καὶ εἰς αὐτὸν δὲ τὸν καιρὸν
Λουκ. κβ'. τοῦ πάθους αὐτοῦ, ἐπάρας τοὺς ὀφ-
41. Ἰωάν. ιζ'. θαλμοὺς αὐτοῦ εἰς τὸν οὐρανὸν,
1. προσευχήθη· ὁμοίως καὶ ὅτε ἐκρέματο
Λουκ. κγ'. ἐπάνω εἰς τὸ ξύλον τοῦ σταυροῦ, Πά-
34. τερ, εἶπεν, ἄφες αὐτοῖς· καὶ ἕως ἐ-
σχάτης δὲ ἀναπνοῆς αὐτοῦ προσευχήθη,
καὶ μετὰ τῶν λόγων τῆς προσευχῆς εἰς
Αὐτ. 46. τὸ στόμα, Πάτερ, εἰς χεῖράς σου
παραθήσομαι τὸ πνεῦμά μου, ἐ-
ξέπνευσε. Ταῦτα δὲ πάντα εἰς τοσοῦ-
τον ὕψος ἀνεβίβασαν τῆς προσευχῆς τὸ
χρέος, ὥστε πρεπόντως λέγομεν, ὅτι
αὐτὸ ὑπερέχει πᾶν ἄλλο χριστιανικὸν
χρέος.

Πολλοὶ καταφρονοῦσι τὸ χρέος, ἀλλ' εἰς τὸ χρέος προστίθεται καὶ ἡ ἀνάγκη τῆς προσευχῆς. Εἰς πᾶσαν θλίψιν καὶ συμφορὰν, ποῦ ὑψοῦμεν τὰς χεῖρας ἡμῶν; εἰς τὸν οὐρανόν. Εἰς πᾶσαν ἀσθένειαν καὶ δυστυχίαν, ποῦ αἴρομεν τὰ ὄμματα; εἰς τὸν οὐρανόν. Εἰς καιρὸν κινδύνου, ποῖον ἐπικαλούμεθα; τὸν Θεόν· καὶ τί κραυγάζομεν; Κύριε, σῶσόν με. Ἐὰν ἐργάζεσαι τὴν ἀρετὴν, ἐπειδὴ οὐδὲν ἀγαθὸν ἔργον δύνασαι ποιεῖν χωρὶς τοῦ Θεοῦ, αὐτὸς δέ ἐστιν, ὅστις καὶ τὴν θέλησίν σου ἐνισχύει, καὶ τὴν ἐργασίαν σου κατευοδοῖ, ἀνάγκην ἔχεις, ἵνα παρακαλέσῃς αὐτὸν, ὅπως στήσῃ ἐπὶ τὴν πέτραν τῆς ἀρετῆς τοὺς πόδας σου, καὶ κατευθύνῃ τὰ διαβήματά σου εἰς τὴν ὁδὸν τῆς ἀγαθοεργίας. Ἐὰν δὲ εἰς τὸν βυθὸν τῆς ἁμαρτίας κατάκεισαι, ἐπειδὴ οὐδεὶς ἄλλος, εἰμὴ εἷς ὁ Θεὸς δύναται ἀναστῆσαί σε, πρέπει σοι, ἵνα εἰς αὐτὸν προστρέξῃς, καὶ ζητήσῃς τὸ ἔλεος αὐτοῦ. Χωρὶς προσευχῆς οὐδὲ ἄφεσιν ἁμαρτιῶν λαμβάνομεν, οὐδὲ μυστήρια τελειοῦμεν, οὐδὲ βοηθείας καὶ χαρίσματος Θεοῦ ἀξιούμεθα.

Βλέπε δὲ πόσον διαφέρουσι τὰ περιστατικὰ τῆς πρὸς τὸν Θεὸν δεήσεως ἡμῶν, ἀπὸ τῶν περιστατικῶν τῆς πρὸς τοὺς ἀνθρώπους ἱκεσίας. Εἰς τοὺς Ἄρχοντας οὐ δύναται νὰ πλησιάσῃ ὁ καθείς· ὁ πλούσιος μόνον, ὁ ἔνδοξος, ὁ ἀξιωματικὸς, ὁ σοφὸς, πλησιάζει καὶ παρακαλεῖ τὸν Ἄρχοντα· καὶ τοῦτο, οὐχ ὅταν αὐτὸς ἔχῃ ἀνάγκην καὶ θέλῃ, ἀλλ' ὅταν ὁ Ἄρχων προαιρεθῇ, καὶ εὐδοκήσῃ. Εἰς τὸν Θεὸν πλησιάζει ἐπίσης καὶ ὁ πλούσιος καὶ ὁ πτωχὸς, καὶ ὁ ἔνδοξος καὶ ὁ ἄδοξος, καὶ ὁ ἀξιωματικὸς καὶ ὁ ἰδιώτης, καὶ ὁ σοφὸς καὶ ὁ ἀμαθὴς, καὶ πάσης τάξεως καὶ καταστάσεως ἄνθρωπος· πλησιάζει δὲ ὁ καθεὶς ἐν παντὶ καιρῷ, καὶ πάσῃ ὥρᾳ, πλησιάζει ὅταν θέλῃ, καὶ παριστάμενος ἐνώπιον τοῦ Θεοῦ, ζητεῖ ὅ,τι θέλει. Ὁ Ἄρχων φεύγει ὅσον δύναται, μάλιστα ἐὰν τύχῃ σκληρὸς καὶ βαρύγνωμος, τὸ ζήτημά σου, καὶ μετὰ βίας ἀκούει τὴν δέησίν σου· ὁ Θεὸς προστάττει, ἵνα ζητῶμεν

παρ'

παρ' αὐτοῦ, καὶ ὑπόσχεται νὰ δώσῃ τὰ
Ματ. ζ'. ζητούμενα· Αἰτεῖτε, λέγει, καὶ δο-
7. θήσεται ὑμῖν· ζητεῖτε, καὶ εὑ-
ρήσετε· κρούετε, καὶ ἀνοιγήσεται
ὑμῖν. Παρὰ τοῦ Ἄρχοντος ζητεῖς, καὶ
λαμβάνεις πολλάκις ἐκεῖνο, τὸ ὁποῖον
σὲ βλάπτει, ἐπειδὴ οὐκ οἴδαμεν οἱ τά-
λανες τί ζητοῦμεν· ζητοῦμεν δὲ πολλά-
κις τὰ βλαβερά· παρὰ τοῦ Θεοῦ ζητεῖς
ὅ,τι θέλεις, λαμβάνεις δὲ πάντοτε ἐκεῖ-
νο, ὅπερ συμφέρει σοι.

Μάρκ. ιά. Πάντα, λέγει ὁ Θεός, ὅσα ἂν προ-
24. σευχόμενοι αἰτεῖσθε, πιστεύετε,
ὅτι λαμβάνετε, καὶ ἔσται ὑμῖν.
Ἐὰν ἔχῃς πίστιν, εἴτι ἂν ζητήσῃς παρὰ
Α'. Βασιλ. τοῦ Θεοῦ, λαμβάνεις. Ἡ Ἄννα προ-
ά. 10. σηύξατο πρὸς Κύριον, καὶ κλαίου-
σα ἔκλαυσε, ζητοῦσα παρὰ τοῦ Θεοῦ,
ἵνα λύσῃ τὴν στείρωσιν αὐτῆς· ὁ δὲ
Θεὸς ἔδωκεν εἰς αὐτὴν τέκνον, τὸν προ-
Ἰακώβ. έ. φήτην Σαμουήλ. Ὁ Ἠλίας προσευ-
17, 18. χῇ προσηύξατο τοῦ μὴ βρέξαι,
καὶ οὐκ ἔβρεξεν ἐπὶ τῆς γῆς ἐ-
νιαυτοὺς τρεῖς καὶ μῆνας ἕξ. Καὶ
πάλιν προσηύξατο, καὶ ὁ οὐρανὸς
ὑετὸν ἔδωκε, καὶ ἡ γῆ ἐβλάστη-
σε τὸν καρπὸν αὐτῆς. Ὁ Ἐλισσαῖος
διὰ τῆς προσευχῆς ἀνέστησε τὸν υἱὸν
τῆς Σωμανίτιδος· ὁ Δανιὴλ ἔφραξε τῶν
λεόντων τὰ στόματα· οἱ τρεῖς Παῖδες
ἔσβεσαν τοῦ πυρὸς τὴν δύναμιν.

Ἀλλ' αὐτοί, λέγεις, ἦσαν ἅγιοι, καὶ
διὰ τοῦτο εἰσήκουσεν αὐτοὺς ὁ Θεός.
Ἀλλ' ὁ Θεὸς εἰσακούει καὶ τοὺς ἁμαρ-
τωλούς, ὅταν μετὰ πίστεως καὶ μετα-
Β'. Βασιλ. νοίας παρακαλοῦσιν αὐτόν· Ἡμάρτη-
ιβ'. 13. κα, λέγει ὁ Δαβίδ, τῷ Κυρίῳ· ὁ δὲ
Θεὸς διὰ τοῦ Νάθαν ἀποκρίνεται εὐθὺς
πρὸς αὐτόν· Καὶ Κύριος παρεβί-
βασε τὸ ἁμάρτημά σου, οὐ μὴ ἀ-
ποθάνῃς. Ὁ Μανασσῆς, ὁ ἁμαρτωλὸς
καὶ ἄνομος, προσηύξατο πρὸς τὸν Θεόν·
ὁ δὲ Θεὸς εἰσακούει αὐτόν, καὶ ἐπιστρέ-
φει αὐτὸν εἰς τὴν βασιλείαν αὐτοῦ· Καὶ Β'. Παρ.
ἐπήκουσεν αὐτοῦ, καὶ ἐπήκουσε λγ'. 13.
τῆς βοῆς αὐτοῦ, καὶ ἐπέστρεψεν
αὐτὸν εἰς Ἱερουσαλὴμ ἐπὶ τὴν βα-
σιλείαν αὐτοῦ. Μία σύντομος δέη-
σις· Ὁ Θεὸς ἱλάσθητί μοι τῷ ἁ- Λουκ. ιη'.
μαρτωλῷ, ἐδικαίωσε τὸν Τελώνην. 13.
Μία φωνὴ παρακαλεστική· Μνήσθητί Αὐτ. κγ'.
μου Κύριε, ὅταν ἔλθῃς ἐν τῇ βα- 42.
σιλείᾳ σου, εἰσήγαγε τὸν Λῃστὴν εἰς
τὸν παράδεισον.

Ἀλλ' ἐγώ, λέγεις, πολλάκις μετὰ
πίστεως καὶ κατανύξεως προσευχηθείς,
καὶ ζητήσας παρὰ τοῦ Θεοῦ τὸ ζήτημά
μου, οὐδὲν ἔλαβον· ὅθεν εἰς μάτην προ-
σεύχομαι. Οὐδεὶς οὐδὲ τὴν πίστιν σου
ἐζυγοστάτησεν, οὐδὲ τὰ δάκρυά σου ἐμέ-
τρησεν, οὐδὲ τὴν προσευχήν σου ἐξηρεύ-
νησεν, ἵνα καταλάβῃ, ἐὰν ἦσαν τέλεια,
καὶ εἰς τὸν Θεὸν πρέποντα καὶ εὐπρόσ-
δεκτα· πλὴν ἔστω· νομίζω αὐτὰ τέ-
λεια· ἀλλ' ἐὰν τὸ ζήτημά σου προξέ-
νει σοι βλάβην ἀντὶ ὠφελείας, ἤθελες ἆ-
ρά γε τότε, ἵνα εἰσακούσῃ ὁ Θεὸς τὴν
δέησίν σου; Ἡμεῖς βλέπομεν μόνον τὰ
παρόντα, ἀγνοοῦμεν δὲ τὰ μέλλοντα· ὁ
Θεὸς ἔχει πρὸ τῶν ὀφθαλμῶν αὐτοῦ ἐ-
πίσης καὶ τὰ παρόντα καὶ τὰ μέλλον-
τα. Σὺ μὲν νομίζεις, ὅτι ἐὰν λάβῃς τὸ
ποθούμενον, ὠφελεῖσαι, ἐπειδὴ βλέπεις
μόνον τὸ παρόν· ὁ δὲ Θεός, ὅστις γνωρί-
ζει καὶ τὸ μέλλον, βλέπει, ὅτι ἐκεῖνο, τὸ
ὁποῖον φαίνεταί σοι ὠφέλιμον, ἐστὶ βλα-
βερώτατον· διὰ τοῦτο δὲ οὐκ εἰσακούει
τὸ ζήτημά σου, οὐδὲ ἐκπληροῖ τὴν ἐπι-
θυμίαν σου. Τὸ νήπιον ζητεῖ πολλάκις
τὴν μάχαιραν ἐκ τῆς χειρός σου, ἵνα
χαροποιηθῇ καὶ παίξῃ· κράζει, κλαίει,
ζητεῖ τὴν μάχαιραν· ὅμως οὐδὲ τὰς φω-
νὰς αὐτοῦ ἀκούεις, οὐδὲ τὰ δάκρυα αὐ-
τοῦ βλέπεις, διότι φοβεῖσαι, μήπως
τραυματισθῇ, καὶ φονεύσῃ ἑαυτό. Τοῦ-
το οὖν αὐτὸ ποιεῖ ὁ Θεὸς μετὰ σοῦ,

ὅταν ζητῇς παρ' αὐτοῦ τὰ βλάπτοντά σε· αὐτὸς οὐ φοβεῖται, ἀλλὰ βλέπει καὶ ἐντελῶς γνωρίζει, ὅτι ἐκεῖνο, τὸ ὁποῖον ζητεῖς παρ' αὐτοῦ, βλάπτει ἢ τὴν ψυχήν σου, ἢ τὴν ζωήν σου, ἢ καὶ τὰ δύω ὁμοῦ· ὅθεν διὰ τοῦτο οὐκ εἰσακούει τὴν δέησίν σου, κἂν παρακαλῇς, καὶ κραυγάζῃς, καὶ κλαίῃς. Διὰ τοῦτο οὖν σὺ λέγεις, ὅτι μάτην προσεύχεσαι; διὰ τοῦτο σὺ ἀμελεῖς τὴν προσευχήν; διὰ τοῦτο σὺ ἀμνημονεῖς τὸ ἀπαραίτητον χρέος σου;

Χριστιανοὶ, τὰ κτίσματα, ἡ αἴσθησις, ἡ ἀπ' ἀρχῆς τοῦ κόσμου συνήθεια, ὁ νόμος ὁ γραπτὸς, ὁ νόμος ὁ εὐαγγελικὸς, τὸ παράδειγμα τῶν ἁγίων, αἱ προσευχαὶ τοῦ Ἰησοῦ Χριστοῦ, ὁ λόγος, ἡ ἀνάγκη, ἡ ὠφέλεια, ἀναγκάζουσιν ἡμᾶς εἰς τὸ ἔργον τῆς προσευχῆς.

Προσευχὴν δὲ λέγω, τὴν προσευχὴν οὐχὶ τὴν ὑποκριτικὴν, ἀλλὰ τὴν ἀληθινήν· οὐχὶ ἐκείνην, τὴν ὁποίαν λαλεῖ τὸ στόμα, καὶ οὐκ ἀκούει ἡ ψυχὴ, ἀλλ' ἐκείνην, ἥτις πρῶτον γεννᾶται καὶ περιθάλπεται εἰς τὸν νοῦν, ἔπειτα, ἢ μένει ἐκεῖ, ἢ καταβαίνει εἰς τὸ στόμα, καὶ
Α'. Κορ. ιδ'. 15. προφέρεται διὰ τῆς γλώσσης· Προσεύξομαι τῷ πνεύματι, προσεύξομαι δὲ καὶ τῷ νοΐ· ψαλῶ τῷ πνεύματι, ψαλῶ δὲ καὶ τῷ νοΐ. Πολὺ διαφέρουσιν αἱ προσευχαὶ ἡμῶν ἀπὸ τῆς προσευχῆς τῆς ἀληθινῆς.

Πολλοὶ ἔρχονται εἰς τὴν Ἐκκλησίαν, ἵνα προσευχηθῶσιν, ἀλλὰ τὸ μὲν σῶμα φέρουσιν εἰς τὴν Ἐκκλησίαν, τὸν δὲ νοῦν αὐτῶν ἐγκαταλείπουσιν εἰς τὸν οἶκον, ἢ εἰς τὴν ἀγορὰν, ἢ εἰς τὰς κοσμικὰς αὐτῶν ὑποθέσεις. Ἄλλοι προσεύχονται, καὶ τὰ μὲν χείλη αὐτῶν λέγου-
Ματ. ς'. 12. σιν· Ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν· ὁ δὲ νοῦς μελετᾷ τὸ, πῶς νὰ βιάσῃ τὸν χρεωφειλέτην, καὶ πῶς νὰ ἐκδικηθῇ τὸν ἐχθρὸν αὐτοῦ. Τὸ μὲν στόμα παρακαλεῖ, καὶ λέγει· Ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ· ἡ δὲ ψυχὴ συλλογίζεται, Ματ. ς'. 13.
πῶς νὰ ἐκτελέσῃ τὰ πονηρὰ ἔργα τοῦ Διαβόλου. Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοὶ ὁ Θεὸς, κραυγάζει τὸ Ψαλ. ν'. 11.
στόμα· ἡ δὲ καρδία ἐξερεύγεται τὰς ἀκαθαρσίας τῆς ἁμαρτίας. Τοιαύτη δὲ προσευχὴ, οὐκ ἔστι προσευχὴ, ἀλλὰ καπνὸς δυσώδης καὶ ἀποτρόπαιος· αὕτη ἡ προσευχή ἐστιν ἐκείνη, περὶ ἧς ὁ ἅγιος τοῦ Θεοῦ Προφήτης εἶπε· Καὶ ἡ προσευχὴ αὐτοῦ γενέσθω εἰς ἁμαρτίαν. Ψαλ. ρη'. 6.

Ἀκούσατε, ἀγαπητοί μου ἀδελφοὶ, τῆς φωνῆς Κυρίου τοῦ Θεοῦ ἡμῶν, ἥτις διδάσκει ἡμᾶς τὸν τρόπον τῆς ἀληθινῆς προσευχῆς· Σὺ δὲ, λέγει, ὅταν προσεύχῃ, εἴσελθε εἰς τὸ ταμιεῖόν σου, καὶ κλείσας τὴν θύραν σου, πρόσευξαι τῷ Πατρί σου τῷ ἐν τῷ κρυπτῷ. Ματ. ς'. 6.
Ταῦτα διδάσκουσι τὴν προσευχὴν τὴν ἀπόκρυφον· ἡ δὲ ἀπόκρυφος προσευχὴ γίνεται, οὐχ ὅταν εἰσέβῃς εἰς τὸ ὑλικὸν ταμιεῖον τοῦ οἴκου σου, οὐδὲ ὅταν κλείσῃς τὰς ὑλικὰς αὐτοῦ θύρας, διότι καὶ τότε παρατηροῦσί σε οἱ ἄνθρωποι· ἀλλ' ὅταν, κλείσας τὴν θύραν τῶν σωματικῶν περισπασμῶν καὶ φροντίδων, προσηλώσῃς ὅλον τὸν νοῦν σου εἰς τὸν Θεόν. Ἀλλὰ τίς δύναται, λέγεις, νὰ κατορθώσῃ τοιοῦτον κατόρθωμα; θέλω, καὶ ἀγωνίζομαι, ἵνα εἰς τὸν καιρὸν τῆς προσευχῆς μένῃ ὁ νοῦς μου ἀσάλευτος, καὶ εἰς τὸν Θεὸν προσηλωμένος· ἀλλ' αὐτὸς ἔχει πτερὰ, αὐτὸς διαπαντὸς κινεῖται· μετὰ βίας μίαν στιγμὴν ἵσταται, ἔπειτα εὐθὺς πετᾷ ἔνθεν κἀκεῖθεν, ἀναβαίνει, καταβαίνει, φεύγει, τρέχει, φθάνει εἰς πάντα τόπον, καταντᾷ πολλάκις καὶ εἰς αὐτοὺς τοὺς πονηροὺς διαλογισμούς. Τὸ ἔργον τοῦτο

οὐκ

οὐκ ἔστι τοσοῦτον δύσκολον, ὅσον φαίνεται· συμβουλεύει περὶ τούτου ὁ σοφὸς Σειρὰχ συμβουλὴν, τὴν ὁποίαν ὅστις φυλάξει, ἐκεῖνος προσεύχεται προσευχὴν εὐπρόσδεκτον τῷ Θεῷ, καὶ εὐάρεστον·
Σειρ. ζ'. 14. Μὴ δευτερώσῃς, λέγει, λόγον ἐν προσευχῇ σου. Ἵνα δὲ κατανοήσῃς τί διδάσκει οὗτος ὁ ἅγιος Διδάσκαλος, ἄκουσον. Πᾶς ἄνθρωπος ἔχει δύω λόγους, τὸν ἐνδιάθετον, καὶ τὸν προφορικόν· τὸν ἐνδιάθετον γεννᾷ ὁ νοῦς, τὸν προφορικὸν σχηματίζει τὸ στόμα· ὁ ἐνδιάθετός ἐστι κρυπτὸς καὶ ἀνήκουστος, ὁ προφορικός ἐστι φανερὸς καὶ ἀκουστός· ὅταν ὁ ἐνδιάθετος συμφωνῇ μετὰ τοῦ προφορικοῦ, ἤγουν, ὅταν ἐκεῖνο, ὅπερ συλλογίζεται ὁ νοῦς σου, τοῦτο αὐτὸ λαλῇ καὶ τὸ στόμα σου, τότε εἷς καὶ μόνος ἐστὶν ὁ λόγος σου· ὅταν δὲ ἄλλος ὁ ἐνδιάθετος, καὶ ἄλλος ὁ προφορικὸς, ἤγουν, ὅταν ἄλλο συλλογίζῃσαι, καὶ ἄλλο λαλῇς, τότε δύω ἔχεις λόγους. Ἐὰν λοιπὸν, ὅταν προσεύχεσαι, τὸν λόγον, ὃν πρόφέρει τὸ στόμα σου, τὸν αὐτὸν συλλογίζεται καὶ ὁ νοῦς σου, τότε οὐ δευτεροῖς τὸν λόγον σου, ἐπειδὴ ἕνα λόγον ἔχεις καὶ τὸν αὐτὸν καὶ εἰς τὸν νοῦν καὶ εἰς τὸ στόμα· ἐὰν δὲ, εἰς τὸν καιρὸν τῆς προσευχῆς, ἄλλο λαλῇ τὸ στόμα σου, καὶ ἄλλο συλλογίζηται ὁ νοῦς σου, τότε δευτεροῖς τὸν λόγον σου, ἐπειδὴ ἔχεις δύω λόγους, ἄλλον εἰς τὸ στόμα, καὶ ἄλλον εἰς τὸν νοῦν. Ὅταν λοιπὸν προσεύχεσαι, βάλλε προσοχὴν, καὶ ἄκραν ἐπιμέλειαν, ἵνα ἀκούῃ τὸ ὠτίον σου ὅσα ἐκφωνεῖ τὸ στόμα σου, καὶ αἰσθάνηται ἡ ψυχή σου ὅσα λαλεῖ ἡ γλῶσσά σου, καὶ συλλογίζηται ὁ νοῦς σου ἐκεῖνα, ὅσα λαλεῖ τὸ στόμα σου· τότε οὐδόλως δευτεροῖς τὸν λόγον σου, ἀλλ' εἷς καὶ ὁ αὐτὸς λόγος ἐστὶν εἰς τὸ στόμα σου, καὶ εἰς τὸν νοῦν σου. Τότε δὲ ἀληθῶς εἰσῆλθες εἰς τὸ ταμιεῖόν σου, καὶ ἔκλεισας τὴν θύραν σου· τότε ἀληθῶς ἡ προσευχή σου ἀναβαίνει ὡς θυμίαμα ἐνώπιον Κυρίου, καὶ καταβιβάζει οὐρανόθεν τὴν τῶν ἁμαρτιῶν σου συγχώρησιν, καὶ τὰ μεγάλα τοῦ φιλανθρώπου Θεοῦ χαρίσματα, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

# ΕΡΜΗΝΕΙΑ

ΕΙΣ ΤΟ ΚΑΤΑ

# ΙΩΑΝΝΗΝ

## ΕΥΑΓΓΕΛΙΟΝ ΤΗΣ ΚΥΡΙΑΚΗΣ ΤΗΣ ΑΓΙΑΣ ΠΕΝΤΗΚΟΣΤΗΣ.

Πεντηκοστὴν ἑορτάζομεν σήμερον, ἀδελφοὶ, καὶ ἐπέλευσιν τοῦ παναγίου Πνεύματος, καὶ τελείωσιν τῆς ὑποσχέσεως τοῦ Ἰησοῦ Χριστοῦ, καὶ συμπλήρωσιν τῆς ἐλπίδος, ἣν εἶχον οἱ θεῖοι Ἀπόστολοι. Μέγα ἐστὶ τὸ μυστήριον, σεβάσμιον, καὶ εἰς τὴν ἀνθρωπίνην φύσιν σωτηριωδέστατον. Τὴν ἡμέραν ταύτην προετύπωσεν ὁ Θεὸς, προστάξας τοὺς Ἑβραίους, ἵνα ἑορτάζωσι πεντήκοντα ἡμέρας, μετὰ τὴν ἑορτὴν τοῦ Πάσχα· Καὶ Λευϊτ. κγ'. 15,
ἀριθμήσετε ὑμεῖς ἀπὸ τῆς ἐπαύριον τῶν σαββάτων, ἀπὸ τῆς ἡμέρας, ἧς ἂν προσενέγκητε τὸ δράγ-

Λευϊτ. κγ΄. 16. μα τοῦ ἐπιθέματος, ἑπτὰ ἑβδομάδας ὁλοκλήρους, ἕως τῆς ἐπαύριον τῆς ἐσχάτης ἑβδομάδος ἀριθμήσετε πεντήκοντα ἡμέρας, καὶ προσοίσετε θυσίαν νέαν τῷ Κυρίῳ. Καὶ οἱ μὲν Ἑβραῖοι ἑώρταζον τὴν Πεντηκοστήν, ἀνάμνησιν ποιοῦντες τῆς εἰσόδου εἰς τὴν γῆν τῆς ἐπαγγελίας· ὅθεν κατ' αὐτὴν τὴν ἡμέραν προσέφερον τῷ Θεῷ τὴν θυσίαν τὴν νέαν, ἤγουν ἄρτους ἐκ τοῦ νέου σίτου κατεσκευασμένους· διότι τότε, ὅτε δηλαδὴ εἰσῆλθον εἰς τὴν ἐπηγγελμένην γῆν, ἔφαγον ἄρτους, τραφέντες πρότερον εἰς τὴν ἔρημον ἔτη τεσσαράκοντα διὰ τοῦ μάννα. Ἡμεῖς δὲ οἱ Χριστιανοὶ ἑορτάζομεν τὴν Πεντηκοστήν, ἐπειδή, πεντήκοντα ἡμέρας μετὰ τὴν Χριστοῦ ἀνάστασιν, κατῆλθε τὸ Πνεῦμα τὸ ἅγιον ἐν σχήματι πυρίνων γλωσσῶν ἐπὶ τοὺς μαθητὰς αὐτοῦ· ὅθεν ἅπαντες, τῆς χάριτος αὐτοῦ πληρω-
Πραξ. β΄. 4. θέντες, ἤρξαντο λαλεῖν ἐν διαφόροις γλώσσαις τὰ μεγαλεῖα τοῦ Θεοῦ. Προσφέρομεν δὲ τῷ Θεῷ τὸν οὐράνιον καὶ ζωοποιὸν ἄρτον, τὴν ἀναίμακτον καὶ λογικὴν θυσίαν, ὑμνοῦντες, καὶ δοξολογοῦντες, καὶ εὐχαριστοῦντες αὐτῷ διὰ τὴν τοσαύτην εὐεργεσίαν. Ταύτην τοῦ ἁγίου Πνεύματος τὴν κατάβασιν ὑπεσχέθη ὁ Κύριος ἡμῶν τοῖς ἁγίοις αὐτοῦ μαθη-
Ἰωάν. ιδ΄. 16. ταῖς, λέγων· Καὶ ἐγὼ ἐρωτήσω τὸν Πατέρα, καὶ ἄλλον Παράκλητον δώσει ὑμῖν, ἵνα μένῃ μεθ' ὑμῶν
Αὐτ. 26. εἰς τὸν αἰῶνα. Ὁ δὲ Παράκλητος, τὸ Πνεῦμα τὸ ἅγιον, ὃ πέμψει ὁ Πατὴρ ἐν τῷ ὀνόματί μου, ἐκεῖνος ὑμᾶς διδάξει πάντα, καὶ ὑπομνήσει ὑμᾶς πάντα, ἃ εἶπον ὑμῖν. Ἀληθῶς δέ, ὅτε κατῆλθε τὸ Πνεῦμα τὸ ἅγιον, τότε πανσόφους κατέστησε τοὺς ἁγίους μαθητάς, καὶ ἐπλήρωσεν αὐτοὺς φωτισμοῦ, δυνάμεως, ζήλου, καὶ πάντων τῶν θείων χαρισμάτων· διὸ ἐξῆλθον μετὰ ταῦτα εἰς πᾶσαν τὴν οἰκουμένην, ἐπιτελοῦντες θαύματα ἐξαίσια, ἐπιστρέφοντες ἐκ τῆς πλάνης τῶν εἰδώλων, σπείροντες πανταχοῦ τῆς εὐσεβείας τὰ δόγματα, ὑποτάσσοντες Βασιλεῖς, καὶ σοφούς, καὶ δυνάστας εἰς τὴν ἀληθινὴν τοῦ Χριστοῦ πίστιν. Περὶ ταύτης τῆς μεγάλης ἑορτῆς διαλαμβάνει τὸ σήμερον ἀναγνωσθὲν Εὐαγγέλιον, διηγούμενον τὰ χαρίσματα, ὅσα, διὰ τῆς καταβάσεως τοῦ ἁγίου Πνεύματος, ἔλαβον οἱ εἰς Χριστὸν πιστεύσαντες, ἔτι δὲ καὶ τὸ σχίσμα τῶν ἀκουσάντων τὴν περὶ τῶν χαρισμάτων τοῦ ἁγίου Πνεύματος διδασκαλίαν· διότι τινὲς ἐξ αὐτῶν ἐπίστευον, τινὲς δέ, ἀπιστοῦντες, ἐζήτουν ἀποκτεῖναι τὸν Διδάσκαλον καὶ Σωτῆρα. Ἄρχεται δὲ τὸ ἱερὸν Εὐαγγέλιον οὕτω·

Τῇ ἐσχάτῃ ἡμέρᾳ τῇ μεγάλῃ τῆς ἑορτῆς εἱστήκει ὁ Ἰησοῦς, καὶ ἔκραξε, λέγων· Ἐάν τις διψᾷ, ἐρχέσθω πρός με, καὶ πινέτω. Ἰωάν. ζ΄. 37.

Τῆς Σκηνοπηγίας ἐτελεῖτο τότε ἡ ἑορτή, ὡς ἀνωτέρω μαρτυρεῖ ὁ αὐτὸς Εὐαγγελιστής, λέγων· Ἦν δὲ ἐγγὺς Αὐτ. ζ΄. 2, 10.
ἡ ἑορτὴ τῶν Ἰουδαίων, ἡ Σκηνοπηγία· καὶ μετ' ὀλίγα, Τότε αὐτὸς ἀνέβη εἰς τὴν ἑορτήν. Ἡ δὲ ἐσχάτη τῆς ἑορτῆς ἡμέρα, ἦν ἡ ὀγδόη· ἐπειδὴ ὀκτὼ ἡμέρας ἑώρταζον ταύτην τὴν ἑορτὴν οἱ Ἰουδαῖοι· Τῇ πεντεκαιδεκάτῃ Λευϊτ. κγ΄. 34, 35, 36.
τοῦ μηνὸς τοῦ ἑβδόμου, ἑορτὴ σκηνῶν ἑπτὰ ἡμέρας τῷ Κυρίῳ. Καὶ ἡ ἡμέρα ἡ πρώτη κλητὴ ἁγία· πᾶν ἔργον λατρευτὸν οὐ ποιήσετε· Ἑπτὰ ἡμέρας προσάξετε ὁλοκαυτώματα τῷ Κυρίῳ, καὶ ἡ ἡμέ-

ἡμέρα ἡ ὀγδόη κλητὴ ἁγία ἔσται ὑμῖν. Μεγάλην δὲ ἐκάλεσεν ὁ Εὐαγγελιστὴς τὴν ἐσχάτην ἡμέραν τῆς ἑορτῆς, καθότι καὶ ὁ νόμος κλητὴν ἁγίαν ὠνόμασε, καὶ οἱ Ἰουδαῖοι τοιαύτην ἐνόμιζον. Ἐν αὐτῇ λοιπὸν τῇ ὀγδόῃ καὶ τελευταίᾳ ἡμέρᾳ τῆς ἑορτῆς τῆς Σκηνοπηγίας, εἱστήκει ὁ Ἰησοῦς· ποῦ δὲ ἐστάθη; Εἰς τὸ Ἱερὸν ἀναμφιβόλως· διότι εἰς τὸ Ἱερὸν συνηθροίζετο ὁ λαός· καὶ ἀνωτέρω δὲ εἶπεν ὁ Εὐαγγελιστής,
Ἰωάν. ζ'. 14. ὅτι ἀνέβη ὁ Ἰησοῦς εἰς τὸ Ἱερόν, καὶ ἐδίδασκε. Εἶπε δὲ τό, ἔκραξεν, ἵνα φανερώσῃ, ὅτι παῤῥησίᾳ, μεγάλῃ τῇ φωνῇ, ἐνώπιον παντὸς τοῦ λαοῦ ἐκήρυξε, λέγων· Ἐάν τις διψᾷ, ἐρχέσθω πρός με, καὶ πινέτω. Διὰ τούτων δὲ τῶν λόγων ἐδίδαξεν ὁ Θεάνθρωπος, ὅτι καθὼς ὁ διψῶν μετὰ προθυμίας τρέχει ἐπὶ τὴν πηγὴν τοῦ ὕδατος, οὕτω πρέπον ἐστίν, ἵνα καὶ ὁ εἰς τὴν πίστιν προστρέχων, μετὰ σπουδῆς ἔρχεται πρὸς τὸ διδασκαλεῖον αὐτῆς· καὶ καθὼς ὁ διψῶν, ὅταν φθάσῃ εἰς τὴν πηγήν, πίνει ὕδωρ, καὶ δροσίζει τὸ σῶμα αὐτοῦ· οὕτω καὶ ὁ πιστεύσας, ὁπόταν πλησιάσῃ εἰς τὸν Διδάσκαλον τῆς εὐσεβείας, πίνει τῆς πίστεως τὰ νάματα, καὶ ὑπερευφραίνει τὴν ψυχὴν αὐτοῦ. Ταῦτα δὲ εἰπὼν ὁ Σωτήρ, ἐφανέρωσεν εὐθὺς καὶ τὰ χαρίσματα τῶν εἰς αὐτὸν πιστευόντων, λέγων·

Αὐτ. ζ'. 38. Ὁ πιστεύων εἰς ἐμέ, καθὼς εἶπεν ἡ Γραφή, ποταμοὶ ἐκ τῆς κοιλίας αὐτοῦ ῥεύσουσιν ὕδατος ζῶντος.

Πολλοί, βλέποντες τὰ θαύματα, ἐπίστευον, ὅτι ὁ Χριστὸς ἐστι προφήτης
Ματ. ις'. 14. καὶ ἅγιος· Οἱ μὲν ἔλεγον αὐτὸν Ἰωάννην τὸν Βαπτιστήν· ἄλλοι δὲ Ἡλίαν· ἕτεροι δέ, Ἱερεμίαν, ἢ ἕνα τῶν Προφητῶν· οὐκ ἐπίστευον ὅμως, ὅτι αὐτός ἐστιν ὁ τοῦ Θεοῦ Υἱός, ὁ ἐκ παρθένου γεννηθείς, καθὼς περὶ αὐτοῦ ἐδίδαξεν ἡ θεία Γραφή, λέγουσα· Διὰ Ἡσ. ζ'. 14.
τοῦτο δώσει Κύριος αὐτὸς ὑμῖν σημεῖον· ἰδοὺ ἡ Παρθένος ἐν γαστρὶ λήψεται, καὶ τέξεται υἱόν, καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἐμμανουήλ· ὅ ἐστι μεθερμηνευόμενον, μεθ' ἡμῶν ὁ Θεός. Διὰ τοῦτο λοιπὸν ἔλεγεν ὁ Σωτήρ· Ὁ πιστεύων εἰς ἐμέ, καθὼς εἶπεν ἡ Γραφή, ὁ Χρυσ. καὶ Θεοφύλ.
ἤγουν ὁ πιστεύων εἰς ἐμέ, οὐχὶ καθὼς αὐτὸς θέλει καὶ στοχάζεται, ἀλλὰ καθὼς εἶπεν ἡ Γραφή, ἥτις ἐδίδαξεν, ὅτι εἰμὶ Υἱὸς τοῦ Θεοῦ. Τίνες δέ εἰσιν οἱ ποταμοὶ τοῦ ζῶντος ὕδατος, οἱ ῥέοντες ἀπὸ τῆς κοιλίας τοῦ πιστεύοντος εἰς τὸν Χριστόν; Κοιλία μέν ἐστιν ἡ καρδία, καθὼς καὶ ὁ Προφήτης λέγει· Καὶ τὸν Ψαλ. λθ'. 11.
νόμον σου ἐν μέσῳ τῆς κοιλίας μου, ἀντὶ τοῦ, ἐν μέσῳ τῆς καρδίας μου· ὕδωρ δὲ ζῶν, ἡ διδασκαλία τῆς εὐσεβείας, ἡ ζωοποιοῦσα τὰς ὑπὸ τῆς ἀσεβείας νενεκρωμένας ψυχάς, καὶ δροσίζουσα τὰς ὑπὸ τῶν παθῶν καταξηρανθείσας διανοίας. Ποταμοὶ δὲ ὕδατος ζῶντος, εἶπεν, ἵνα φανερώσῃ τὸ πλούσιον καὶ δαψιλὲς καὶ ἀκένωτον τοῦ θείου κηρύγματος. Ἀπέδειξαν δὲ τὴν ἀλήθειαν τούτων τῶν δεσποτικῶν λόγων οἱ πνευματοφόροι Ἀπόστολοι, οἵτινες, ἁλιεῖς ὄντες, καὶ ἀγράμματοι, μετὰ τοσαύτης πνευματικῆς σοφίας ἐλάλουν, ὥστε οὐδὲ οἱ σοφοὶ καὶ πεπαιδευμένοι ἠδύναντο ἀντιστῆναι εἰς τὴν δύναμιν τῶν λόγων αὐ-
τῶν· Καὶ οὐκ ἴσχυον, λέγει ὁ θεηγόρος Λουκᾶς περὶ τοῦ Στεφάνου, ἀντιστῆναι τῇ σοφίᾳ καὶ τῷ πνεύματι, ᾧ ἐλάλει· τοσοῦτον δὲ πολὺ καὶ πλούσιον τοῦ κηρύγματος αὐτῶν τὸ νάμα, ὥστε πᾶσαν τὴν οἰκουμένην ἐπότισε. Πράξ. ς'. 10.

σε. Καὶ ταῦτα μὲν τὰ λόγια ἐδίδαξεν ὁ Σωτὴρ ἡμῶν, ὁ δὲ θεῖος Εὐαγγελιστὴς ἐξηγεῖ αὐτὰ διὰ τῶν ἑξῆς ῥημάτων, λέγων·

Ἰωάν. ζ΄. 32.
Τοῦτο δὲ εἶπε περὶ τοῦ Πνεύματος, οὗ ἔμελλον λαμβάνειν οἱ πιστεύοντες εἰς αὐτόν· οὔπω γὰρ ἦν Πνεῦμα ἅγιον, ὅτι ὁ Ἰησοῦς οὐδέπω ἐδοξάσθη.

Τοῦτο δὲ, ἤγουν τὸ, Ποταμοὶ ἐκ τῆς κοιλίας αὐτοῦ ῥεύσουσιν ὕδατος ζῶντος, εἶπεν ὁ Κύριος, ἐπειδὴ, εἰς τὴν ἡμέραν τῆς Πεντηκοστῆς, ἔμελλον οἱ εἰς αὐτὸν πιστεύοντες λαβεῖν τὸ Πνεῦμα τὸ ἅγιον. Αὐτὸ δὲ κατέστησεν αὐτοὺς πανσόφους, αὐτὸ ἔδωκεν εἰς αὐτοὺς τῆς πνευματικῆς σοφίας τὰ ζωοποιὰ νάματα· ὅθεν γεγόνασι ποταμοὶ τῶν θείων δογμάτων τῆς πίστεως, καὶ πηγαὶ τοῦ οὐρανίου τῆς εὐσεβείας κηρύγματος. Διατί δὲ εἶπεν, Οὔπω γὰρ ἦν Πνεῦμα ἅγιον; τὸ Πνεῦμα τὸ ἅγιον ἦν πάντοτε καὶ ἀεὶ, σύγχρονον καὶ συναΐδιον τῷ Πατρὶ καὶ τῷ Υἱῷ· καὶ καθὼς ὁ ἥλιος οὐδέποτε εὑρέθη χωρὶς ἀκτῖνος καὶ φωτὸς, οὕτως οὐδέποτε ὁ Πατὴρ ἦν χωρὶς Υἱοῦ καὶ Πνεύματος ἁγίου· οὐ μόνον δὲ ἦν διαπαντὸς σὺν τῷ Πατρὶ καὶ τῷ Υἱῷ, ὡς ὁμοφυὲς αὐτοῖς καὶ ὁμοούσιον, ἀλλὰ καὶ εἰς αὐτοὺς τοῦ παλαιοῦ νόμου τοὺς ἄνδρας ἐνήργει·
Α΄. Βασ. ι΄. 6.
Πνεῦμα Κυρίου ἐδόθη εἰς τὸν Σαοὺλ· ἐν Πνεύματι ἁγίῳ ἐδίδαξεν ὁ Δαβίδ· τὸ
Μάρκ. ιβ΄. 36.
Πνεῦμα τὸ ἅγιον ἐλάλησε διὰ τῶν Προφητῶν· διατί λοιπὸν λέγει ὁ Εὐαγγελιστής, Οὔπω γὰρ ἦν Πνεῦμα ἅγιον; Τοῦτο εἶπεν, ἐπειδὴ οὐδέποτε ἐφάνη τοσοῦτον φανερὰ τὸ Πνεῦμα τὸ ἅγιον, οὐδὲ ἔδωκε τοῖς ἀνθρώποις τοσαῦτα χαρίσματα, ὅσα κατὰ τὴν ἡμέραν τῆς Πεντηκοστῆς. Τότε ἠκούσθη ἦχος ἐκ τοῦ οὐρανοῦ ὥσπερ φερομένης πνοῆς βι- Πράξ. β΄. 2.
αίας, καὶ ἐφάνη τὸ Πνεῦμα τὸ ἅγιον ἐν εἴδει πυρίνων γλωσσῶν, καὶ ἐκάθισεν ἐπάνω εἰς τοὺς ἀνθρώπους· οὐδέποτε ἄλλοτε, εἰμὴ κατὰ τὴν ἡμέραν τῆς Πεντηκοστῆς ἐπληρώθησαν οἱ ἄνθρωποι τῆς χάριτος αὐτοῦ· Καὶ ἐπλήσθησαν, λέγει ὁ Αὐτ. 4.
ἱερὸς Λουκᾶς, ἅπαντες Πνεύματος ἁγίου. Ἀληθῶς δὲ τότε οἱ θεῖοι Ἀπόστολοι ἔλαβον τῶν γλωσσῶν τὸ χάρισμα, ἐγένοντο πάνσοφοι, κατεστάθησαν θαυματουργοὶ, προορατικοὶ, ἰσχυροὶ κατὰ τὴν ψυχὴν, ἔνδοξοι εἰς πᾶσαν τὴν οἰκουμένην· τότε ἔλαβον τὸ πλήρωμα τῆς τοῦ παναγίου Πνεύματος χάριτος. Περὶ τούτου δὲ τοῦ πληρώματος τῆς χάριτος τοῦ ἁγίου Πνεύματος λαλεῖ ὁ Εὐαγγελιστὴς, λέγων, Οὔπω γὰρ ἦν Πνεῦμα ἅγιον, οὔπω δηλαδὴ ἦν δεδομένον τοῖς ἀνθρώποις τὸ πλήρωμα τῆς χάριτος τοῦ ἁγίου Πνεύματος. Τοῦτο δὲ γέγονεν, ἐπειδὴ, λέγει, ὁ Ἰησοῦς οὐδέπω ἐδοξάσθη, ἤγουν ἐπειδὴ τότε οὔπω ἔλαβεν ἡ σὰρξ αὐτοῦ ἐκείνην τὴν δόξαν, περὶ ἧς παρεκάλεσε μὲν ἐν τῷ καιρῷ τοῦ πάθους αὐτοῦ, εἰπών· Καὶ Ἰωάν. ιζ΄. 5.
νῦν δόξασόν με, σὺ Πάτερ, παρὰ σεαυτῷ τῇ δόξῃ, ᾗ εἶχον πρὸ τοῦ τὸν κόσμον εἶναι παρὰ σοί· ἔλαβε δὲ αὐτὴν μετὰ τὸ πάθος καὶ τὴν ἀνάστασιν. Πρὸ τοῦ πάθους καὶ τῆς ἀναστάσεως ἡ σὰρξ αὐτοῦ οὐκ ἦν ἄφθαρτος, οὐδὲ παθημάτων, οὐδὲ θανάτου ἀνεπίδεκτος· μετὰ δὲ τὸ πάθος καὶ τὴν ἀνάστασιν ἀφθαρτίσθη, ἀθανατίσθη, ἐκάθισεν ἐν δεξιᾷ τοῦ θρόνου Ἑβρ. ἠ. 1.
τῆς μεγαλωσύνης ἐν τοῖς οὐρανοῖς. Πρέπον δὲ ἦν καὶ δίκαιον, ἵνα πρῶτον αὐτὸς, ὡς ἄνθρωπος, ἀνέβη εἰς τὸ ἐξαίσιον ὕψος τῆς ὑπεραρχίου δόξης

τῆς

τῆς Θεότητος, ἔπειτα ἀποστείλῃ εἰς τοὺς
μαθητὰς αὐτοῦ τὸ πανάγιον αὐτοῦ Πνεῦ-
Ἰωάν. ιϛ'. μα, καθὼς προεῖπεν εἰς αὐτούς· Συμ-
31. φέρει ὑμῖν ἵνα ἐγὼ ἀπέλθω· ἐὰν
γὰρ μὴ ἀπέλθω, ὁ Παράκλητος
οὐκ ἐλεύσεται πρὸς ὑμᾶς· ἐὰν δὲ
πορευθῶ, πέμψω αὐτὸν πρὸς ὑ-
μᾶς. Διὰ τοῦτο οὖν εἶπεν ὁ Εὐαγγελι-
στὴς, Οὔπω γὰρ ἦν Πνεῦμα ἅγιον,
ὅτι ὁ Ἰησοῦς οὐδέπω ἐδοξάσθη.
Τί δὲ ἔλεγον οἱ ἀκροαταὶ ταύτης τῆς
οὐρανίου διδασκαλίας τοῦ Σωτῆρος;

Ἀυτ. ζ'. Πολλοὶ οὖν ἐκ τοῦ ὄχλου,
40. ἀκούσαντες τὸν λόγον, ἔλε-
γον· Οὗτός ἐστιν ἀληθῶς ὁ
41. Προφήτης. Ἄλλοι ἔλεγον·
Οὗτός ἐστιν ὁ Χριστός· ἄλ-
λοι δὲ ἔλεγον· Μὴ γὰρ ἐκ
τῆς Γαλιλαίας ὁ Χριστὸς ἔρ-
χεται; οὐχὶ ἡ Γραφὴ εἶπεν,
ὅτι ἐκ τοῦ σπέρματος Δαβὶδ,
καὶ ἀπὸ Βηθλεὲμ τῆς κώμης,
ὅπου ἦν Δαβὶδ, ὁ Χριστὸς
ἔρχεται;

Πολλοὶ ἐκ τοῦ κοινοῦ λαοῦ, ἀκού-
σαντες τὴν ἔμφασιν τῶν λόγων τοῦ Κυ-
ρίου, καὶ τὴν παῤῥησίαν μεθ' ἧς ἐλάλει,
Αὐτόθι. καὶ τὰ δεσποτικὰ αὐτοῦ λόγια, Ἐάν τις
37. διψᾷ, ἐρχέσθω πρός με, καὶ πινέ-
τω, ἐπίστευσαν, ὅτι αὐτός ἐστιν ὁ Προ-
φήτης, ἀκολουθοῦντες τὴν προφητείαν τοῦ
Δευτ. ιη'. Μωϋσέως, ὅστις προεῖπε· Προφήτην
15. ἐκ τῶν ἀδελφῶν σου, ὡς ἐμὲ, ἀνα-
στήσει σοι Κύριος ὁ Θεός σου· ὅ-
θεν ἔλεγον πρὸς ἀλλήλους· Οὗτός ἐ-
στιν ἀληθῶς ὁ Προφήτης. Ἄλλοι
πάλιν, ἐξ ἀμαθίας νομίζοντες, ὅτι ἄλ-
λος ἐστὶν ὁ Προφήτης, περὶ οὗ ὁ Μωϋσῆς
ἐλάλησε, καὶ ἄλλος ὁ Χριστὸς, ἔλεγον·
Οὗτός ἐστιν ὁ Χριστός. Καὶ μὴ
θαυμάσῃς ἀκούων, ὅτι τοιαύτας ὑπολή-
ψεις περὶ τοῦ Χριστοῦ εἶχεν ὁ κοινὸς καὶ
ἀμαθὴς λαός· διότι καὶ οἱ Φαρισαῖοι οἱ
νομοδιδάσκαλοι οὕτως ἐπίστευον, ὡς φαί-
νεται ἐκ τῶν λόγων, ὧν ἔλεγον πρὸς τὸν
Ἰωάννην τὸν Βαπτιστήν· Τί οὖν βα- Ἰωάν. α'.
πτίζεις, ἔλεγον πρὸς αὐτὸν, εἰ σὺ οὐκ 25.
εἶ ὁ Χριστὸς, οὔτε Ἠλίας, οὔτε ὁ
Προφήτης; Ἄλλοι δὲ τῶν ἀκροατῶν,
νομίζοντες, ὅτι ὁ Ἰησοῦς Χριστὸς Γαλι-
λαῖός ἐστιν, οὐκ ἐπίστευον, ὅτι αὐτός
ἐστιν ὁ προσδοκώμενος Χριστός· διὰ τοῦ-
το ἔλεγον· Μήπως ἐκ τῆς Γαλιλαίας
ἔρχεται ὁ Χριστός; ἡ ἁγία Γραφὴ εἶ-
πεν, ὅτι ἐκ τοῦ σπέρματος Δαβὶδ, καὶ
ἀπὸ τῆς πόλεως Βηθλεὲμ ὁ Χριστὸς
ἔρχεται· Ὤμασε Κύριος τῷ Δαβὶδ Ψαλ. ρλα'.
ἀλήθειαν, καὶ οὐμὴ ἀθετήσει αὐ- 11.
τήν· Ἐκ καρποῦ τῆς κοιλίας σου
θήσομαι ἐπὶ τοῦ θρόνου σου. Καὶ Μιχ. ε'.
σὺ Βηθλεὲμ οἶκος Ἐφραθὰ, μὴ 2.
ὀλιγοστὸς εἶ τοῦ εἶναι ἐν χιλιά-
σιν Ἰούδα· ἐκ σοῦ μοι ἐξελεύσε-
ται ἡγούμενος τοῦ εἶναι εἰς ἄρχον-
τα τοῦ Ἰσραήλ. Ταῦτά εἰσι τὰ περὶ
τοῦ γένους καὶ τῆς πατρίδος τοῦ Ἰησοῦ
Χριστοῦ προφητευθέντα, καὶ τὴν ἔκβα-
σιν λαβόντα· διότι ἀληθῶς ἐκ τῆς φυ-
λῆς τοῦ Ἰούδα, καὶ τοῦ σπέρματος Δα-
βὶδ ὁ Ἰησοῦς Χριστὸς ἐκατάγετο, γεννη-
θεὶς ἐκ τῆς ἀειπαρθένου Μαριὰμ, τῆς
ἐκ τῆς φυλῆς τοῦ Ἰούδα, ἐν τῇ πόλει
Βηθλεὲμ, ὡς ὁ εὐαγγελιστὴς Ματθαῖος
ἐβεβαίωσε, γράψας· Τοῦ Ἰησοῦ γεν- Ματ. β'.
νηθέντος ἐν Βηθλεὲμ τῆς Ἰουδαί- 1.
ας. Ἐπειδὴ δὲ ὁ Χριστὸς ἀνετράφη
εἰς μίαν τῶν πόλεων τῆς Γαλιλαίας,
ἤγουν εἰς τὴν Ναζαρὲτ, ὡς μαρτυρεῖ ὁ
θεηγόρος Λουκᾶς, λέγων· Καὶ ἦλθεν Λουκ. δ'.
εἰς τὴν Ναζαρὲτ οὗ ἦν τεθραμ- 16.
μέ-

μένος· ἐκ τούτου πλανώμενοι οἱ ἄθλιοι, ἐνόμιζον αὐτὸν Γαλιλαῖον. Τί δὲ ἠκολούθησεν ἐκ ταύτης τῆς διαφόρου τῶν πολλῶν γνώμης καὶ ὑπολήψεως περὶ τοῦ Ἰησοῦ Χριστοῦ;

Ἰωάν. ζ. 43. **Σχίσμα οὖν ἐγένετο ἐν τῷ ὄχλῳ δι' αὐτόν.**

Διαίρεσις, καὶ διχόνοια μεταξὺ αὐτῶν ἐγένετο, περὶ τοῦ, τίς ἐστιν ὁ Χριστός. Ἀλλ' ἐὰν τὰς θείας Γραφὰς ἐμελέτων καθὼς ἔπρεπε, καὶ μετὰ ἀκριβείας ἐξέταζον τὰ πράγματα, οὐδόλως συνέβαινε σχίσμα· διότι ἐγνώριζον, ὅτι ὁ Προφήτης καὶ ὁ Χριστὸς, ὁ ὑπὸ τῶν ἁγίων Γραφῶν καταγγελλόμενος, εἷς καὶ ὁ αὐτός ἐστι, καὶ ἔβλεπον, ὅτι ὁ Ἰησοῦς Χριστὸς ἐκ τῆς φυλῆς τοῦ Δαβὶδ, καὶ εἰς τὴν πόλιν Βηθλεὲμ ἐγεννήθη· ὅθεν πάντες συμφώνως ἐπίστευον, ὅτι αὐτός ἐστιν ἀληθῶς ὁ Μεσσίας, ὁ Υἱὸς τοῦ Θεοῦ, καὶ Θεὸς καὶ ἄνθρωπος. Τί δὲ γίνεται μετὰ τὸ σχίσμα τοῦτο;

Αὐτόθι. 44. **Τινὲς δὲ ἤθελον ἐξ αὐτῶν πιάσαι αὐτόν· ἀλλ' οὐδεὶς ἐπέβαλεν ἐπ' αὐτὸν τὰς χεῖρας.**

Οἱ Ἀρχιερεῖς καὶ Φαρισαῖοι, βλέποντες, ὅτι πολλοὶ ἐπίστευον ἐπὶ τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, φθόνῳ νικώμενοι, ἔστειλαν, ὡς ἐκ τῶν ἑξῆς εὐαγγελικῶν λόγων φανερόν ἐστι, τοὺς ἑαυτῶν δούλους, ἵνα πιάσωσιν αὐτὸν, καὶ φέρωσι πρὸς αὐτοὺς, ὅπως θανατώσωσιν αὐτόν· οὗτοι λοιπὸν εἰσὶ, περὶ ὧν λέγει ὁ Εὐαγγελιστής· Τινὲς δὲ ἐξ αὐτῶν, τῶν ἀκουσάντων τὴν διδασκαλίαν αὐτοῦ, ἤγουν οἱ ὑπηρέται τῶν Ἀρχιερέων καὶ Φαρισαίων, ἤθελον πιάσαι τὸν Ἰησοῦν Χριστόν· οὐδεὶς ὅμως ἔβαλε τὰς χεῖρας αὐτοῦ ἐπάνω εἰς αὐτόν. Ἀλλὰ διατί; Διότι ἐξέστησαν, καὶ ἐξεπλάγησαν, ἀκούσαντες τὴν οὐράνιον αὐτοῦ διδασκαλίαν· διὸ καὶ ἔλεγον πρὸς τοὺς Φα-
ρισαίους· Οὐδέ ποτε οὕτως ἐλάλη- Ἰωάν. ζ'. 46.
σεν ἄνθρωπος, ὡς οὗτος ὁ ἄνθρωπος. Ὅμοιον δὲ πρᾶγμα συνέβη καὶ ὅταν ἡ Σπεῖρα καὶ οἱ ὑπηρέται τῶν Ἀρχιερέων καὶ Φαρισαίων, φανοὺς καὶ λαμπάδας κρατοῦντες εἰς τὰς χεῖρας, ἦλθον, ἵνα πιάσωσι τὸν Χριστόν· διότι καὶ αὐ-
τοὶ, ὅτε ἤκουσαν παρ' αὐτοῦ· Ἐγώ εἰ- Αὐτ. ιή. 6.
μι, ἀπῆλθον εἰς τὰ ὀπίσω, καὶ ἔπεσον χαμαί. Ταῦτα δὲ οὕτως ἐγίνοντο, ἐπειδὴ τότε οὐκ ἦν πεπληρωμένη ἡ διορία τοῦ καιροῦ, ἐν ᾧ ἔμελλε πα-
θεῖν ὁ Θεάνθρωπος· Ἐζήτουν οὖν, Αὐτ. ζ'. 30.
λέγει ὁ αὐτὸς Εὐαγγελιστὴς ἀνωτέρω, αὐτὸν πιάσαι· καὶ οὐδεὶς ἐπέβαλεν ἐπ' αὐτὸν τὴν χεῖρα, ὅτι οὔπω ἐληλύθει ἡ ὥρα αὐτοῦ.

**Ἦλθον οὖν οἱ ὑπηρέται πρὸς τοὺς Ἀρχιερεῖς καὶ Φαρισαίους· καὶ εἶπον αὐτοῖς ἐκεῖνοι· Διατὶ οὐκ ἠγάγετε αὐτόν;** Αὐτόθι. 45.

Ἰδόντες οἱ Ἀρχιερεῖς καὶ οἱ Φαρισαῖοι, ὅτι οἱ ὑπηρέται αὐτῶν ὑπέστρεψαν ἄπρακτοι, καὶ οὐκ ἔφερον μεθ' ἑαυτῶν τὸν Ἰησοῦν Χριστὸν, ἐξηπόρησαν, καὶ ἠρώτων αὐτοὺς λέγοντες· Διατί οὐκ ἐφέρετε αὐτὸν, καθὼς παρηγγείλαμεν ὑμῖν;

**Ἀπεκρίθησαν οἱ ὑπηρέται· Οὐδέποτε οὕτως ἐλάλησεν ἄνθρωπος, ὡς οὗτος ὁ ἄνθρωπος.** Αὐτόθι. 46,

Βλέ-

Βλέπε τὴν δύναμιν τοῦ δεσποτικοῦ κηρύγματος. Ἦλθον οἱ ὑπηρέται τῶν Ἀρχιερέων καὶ Φαρισαίων ἀπεσταλμένοι παρ' αὐτῶν, ἵνα δεδεμένον φέρωσι πρὸς αὐτοὺς τὸν δεσπότην Χριστὸν, καὶ ἐδέθησαν αὐτοὶ ὑπὸ τοῦ θάμβους καὶ τῆς ἐκπλήξεως τῆς οὐρανίου αὐτοῦ διδασκαλίας. Ἄκουε δὲ πῶς ὑπερυψοῦσι τοῦ Σωτῆρος τὰ λόγια· Οὐδέποτε οὕτως, ἤγουν οὐδέποτε μετὰ τοσαύτης σοφίας, καὶ δυνάμεως, καὶ χάριτος ἐλάλησεν ἄλλος ἄνθρωπος, καθὼς οὗτος ὁ ἄνθρωπος, ἤγουν ὁ Χριστός. Σημείωσαι δὲ καὶ τὸν καρπὸν τῆς ἁπλότητος καὶ τῆς καθαρᾶς καρδίας· τὴν διδαχὴν τοῦ Σωτῆρος πολλάκις ἤκουσαν καὶ οἱ Ἀρχιερεῖς, καὶ οἱ Γραμματεῖς, καὶ οἱ Φαρισαῖοι, ἀλλ' οὐδέποτε ὠφελήθησαν, ἐπειδὴ πεπληρωμένην εἶχον τὴν καρδίαν αὐτῶν φθόνου καὶ πάσης πανουργίας· οἱ δὲ ὑπηρέται αὐτῶν, καθαρὰν ἔχοντες τὴν ψυχὴν τοῦ φθόνου καὶ τῆς πονηρίας, ἦλθον μὲν οὐχ' ἵνα ἀκούσωσι τοῦ Χριστοῦ τὴν διδασκαλίαν, ἀλλ' ἵνα πιάσωσιν αὐτὸν, ὑπακούσαντες ὡς δοῦλοι τοῖς δεσπόταις· καὶ ὅμως ἡ τοῦ Θεοῦ χάρις ἐφώτισεν αὐτοὺς, καὶ γεγόνασι κήρυκες τῆς ἀληθείας. Ἀξιοσημείωτος δὲ καὶ ἡ παῤῥησία μεθ' ἧς ἐλάλουν· διότι δοῦλοι ἦσαν, καὶ πταῖσται, ἐπειδὴ οὐκ ἐτελείωσαν τῶν κυρίων αὐτῶν τὸ πρόσταγμα, καὶ ὅμως, ῥίψαντες τὸν δουλικὸν φόβον, μετὰ ἐλευθεροστομίας μεγάλης λαλοῦσι, καὶ κηρύττουσι τὴν ἀλήθειαν· Οὐδέποτε οὕτως ἐλάλησεν ἄνθρωπος, ὡς οὗτος ὁ ἄνθρωπος.

Ἰωάν. ζ'. 47. **Ἀπεκρίθησαν οὖν οἱ Φαρισαῖοι· Μὴ καὶ ὑμεῖς πεπλάνησθε;**

Βλέπε κακίαν φαρισαϊκήν. Γινώσκοντες οἱ Φαρισαῖοι, ὅτι ἡ διδασκαλία τοῦ Κυρίου Ἰησοῦ ἦν ἀληθῶς μέλι ἐπουράνιον, καταγλυκαῖνον καὶ ἐφέλκον τὰς τῶν ἀκουόντων καρδίας, οὐχ ὑποφέρουσιν ἐρωτῆσαι τοὺς δούλους αὐτῶν, τί εἶπε, καὶ τί ἐδίδαξεν ὁ Ἰησοῦς Χριστὸς, ὥστε ἐκίνησεν αὐτοὺς εἰς τοσοῦτον θάμβος καὶ ἔπαινον, ἀλλ' ἀποκρινόμενοι, ἐξονειδίζουσιν αὐτοὺς, λέγοντες· Μήπως καὶ ὑμεῖς, οἱ καθ' ἑκάστην ἀκούοντες τὴν διδασκαλίαν ἡμῶν, ἐπλανήθητε, καθὼς καὶ ἄλλοι εὐτελεῖς καὶ ἀδίδακτοι; Ταῦτα δὲ εἰπόντες, ἐπιχειροῦσι καταπεῖσαι αὐτοὺς, ἵνα μὴ πιστεύσωσιν εἰς αὐτόν.

**Μήτις ἐκ τῶν Ἀρχόντων ἐπίστευσεν εἰς αὐτὸν, ἢ ἐκ τῶν Φαρισαίων; ἀλλ' ὁ ὄχλος οὗτος, ὁ μὴ γινώσκων τὸν νόμον, ἐπικατάρατοί εἰσι.** Ἰωάν. ζ'. 48.

Οἱ Ἄρχοντες τῶν Ἰουδαίων ἦσαν οἱ προεστῶτες αὐτῶν, καὶ οἱ τοῦ Συνεδρίου καὶ τῆς Γερουσίας αὐτῶν πρόεδροι· οἱ δὲ Φαρισαῖοι ἐνομίζοντο νομοδιδάσκαλοι, καὶ νομοφύλακες, καὶ ἄνθρωποι φιλόθεοι καὶ ἐνάρετοι. Ἐπειδὴ δὲ εἰς τὰς καρδίας τῶν ἀνθρώπων πολλὰ δύναται τῶν ἀξιωματικῶν, καὶ τῶν σοφῶν, καὶ ἐναρέτων τὸ παράδειγμα, τοῦτο προβάλλουσιν οἱ Φαρισαῖοι πρὸς τοὺς δούλους αὐτῶν, θέλοντες πεῖσαι αὐτοὺς, ἵνα μὴ πιστεύσωσιν, ἀλλὰ καταφρονήσωσι τὸν Ἰησοῦν Χριστόν· διὸ λέγουσι· Τίς, ἢ ἐκ τῶν Ἀρχόντων, ἢ ἐκ τῶν Φαρισαίων, ἐπίστευσεν εἰς αὐτόν; μόνοι οἱ χυδαῖοι καὶ ἀμαθεῖς ἄνθρωποι, οἱ τὸν νόμον τοῦ Θεοῦ ἀγνοοῦντες, ἐκεῖνοι ἐπίστευσαν εἰς αὐτὸν, οἵτινες εἰσὶν ἐπικατάρατοι· καὶ ταῦτα μὲν εἶπον οἱ Φαρι-

ρισαῖοι πρὸς τοὺς δούλους αὐτῶν. Σὺ δὲ σημείωσον πρῶτον μὲν, ὅτι ἡ κατάρα ἀνέστρεψεν ἐπάνω εἰς τὴν κεφαλὴν αὐτῶν τῶν καταρωμένων Φαρισαίων· διότι ὁ νόμος ἐκαταρᾶτο ἐκείνους, οἵτινες οὐδὲ ἔμενον στερεοὶ εἰς τοὺς λόγους αὐτοῦ, οὐδὲ ἔπραττον ὅσα αὐτὸς ἐκέλευεν·
Δευτ. κζ'. 26. Ἐπικατάρατος πᾶς ἄνθρωπος, ὃς οὐκ ἐμμένει ἐν πᾶσι τοῖς λόγοις τοῦ νόμου τούτου, ποιῆσαι αὐτούς. Αὐτοὶ δὲ, γινώσκοντες ὅσα ὁ νόμος διαλαμβάνει περὶ τοῦ Μεσσίου, καὶ βλέποντες αὐτὰ ἐκπεπληρωμένα εἰς τὸν Ἰησοῦν Χριστὸν, φθόνῳ δουλεύοντες, οὐδὲ ἔμενον εἰς τοῦ νόμου τὰ λόγια, οὐδὲ ἐπίστευον εἰς τὸν Ἰησοῦν Χριστόν. Δεύτερον δὲ σημείωσον, ὅτι ψεύδονται, λέγοντες, ὅτι οὐδεὶς οὐδὲ τῶν Ἀρχόντων, οὐδὲ τῶν Φαρισαίων ἐπίστευσεν εἰς τὸν Χριστόν· διότι καὶ πολλοὶ Ἄρχοντες ἐπίστευσαν, ὡς μαρτυρεῖ ὁ αὐτόπτης
Ἰωάν. ιβ'. 42. Εὐαγγελιστὴς, λέγων· Ὅμως μέντοι καὶ ἐκ τῶν Ἀρχόντων πολλοὶ ἐπίστευσαν εἰς αὐτόν· τινὲς δὲ καὶ ἐκ τῶν Φαρισαίων ἐπίστευσαν εἰς αὐτόν· διότι, κατὰ τὸν αὐτὸν Εὐαγγελιστὴν, ὁ Νικόδημος εἷς ἐξ αὐτῶν ἦν, ὅστις, καὶ ἀκούσας τὰ ὑπ' αὐτῶν λεγόμενα πρὸς τοὺς δούλους αὐτῶν, ἀπεκρίθη πρὸς αὐτοὺς οὕτω·

Αὐτ. ζ'. 50. **Λέγει Νικόδημος πρὸς αὐτοὺς, ὁ ἐλθὼν νυκτὸς πρὸς αὐτὸν,**
51. **εἷς ὢν ἐξ αὐτῶν· Μὴ ὁ νόμος ἡμῶν κρίνει τὸν ἄνθρωπον, ἐὰν μὴ ἀκούσῃ παρ' αὐτοῦ πρότερον, καὶ γνῷ τί ποιεῖ;**

Ὁ Νικόδημος ἦν οὐ μόνον εἷς ἐξ αὐτῶν, ἤγουν εἷς ἐκ τῶν Φαρισαίων, ἀλλὰ
καὶ Ἄρχων καὶ Διδάσκαλος τῶν Ἰωάν. γ'.
Ἰουδαίων, προσέτι δὲ καὶ πλούσιος, 1, 10.
καθότι ἔφερεν εἰς τὸν ἐνταφιασμὸν τοῦ
Ἰησοῦ Χριστοῦ μίγμα σμύρνης καὶ Αὐτ. ιθ'. 39.
ἀλόης ὡσεὶ λίτρας ἑκατόν. Αὐτὸς, γνωρίσας ἐκ τῶν θαυμάτων, ὅτι ὁ Ἰησοῦς Χριστὸς ἀπεσταλμένος ἐστὶ παρὰ Θεοῦ, ἦλθε πρὸς αὐτὸν τὴν νύκτα διὰ τὸν φόβον τῶν Ἰουδαίων, καὶ συλλαλήσας μετ' αὐτοῦ, ἐπίστευσεν εἰς αὐτόν. Οὗτος οὖν, βλέπων, ὅτι οἱ Φαρισαῖοι ἐσπούδαζον, ἵνα ἀποστήσωσι τοὺς δούλους αὐτῶν ἀπὸ τῆς εἰς Χριστὸν πίστεως, καὶ πιάσαντες τὸν Ἰησοῦν, καταδικάσωσιν αὐτόν· καὶ γινώσκων, ὅτι ὁ
ἐν τῷ Δευτερονομίῳ νόμος ὥριζεν, ἵνα Δευτ. ιζ'. 8, 9.
οἱ κριταὶ, ἀκούσαντες τὸν κρινόμενον, καὶ ἐρευνήσαντες τὰ ἔργα αὐτοῦ, ἐπιφέρωσι τὴν κρίσιν καὶ ἀπόφασιν, λέγει πρὸς αὐτούς· Μήπως ὁ νόμος ἡμῶν διορίζει, ἵνα κρίνωμεν τὸν ἄνθρωπον, πρὶν ἢ ἀκούσωμεν τὰ δικαιολογήματα αὐτοῦ, καὶ πρὶν ἢ ἐρευνήσωμεν, ποῖά εἰσι τὰ ἔργα αὐτοῦ; Τὰ δὲ ἀκόλουθα τοῦ λόγου, ἤγουν· Διατί λοιπὸν ὑμεῖς, ὦ Φαρισαῖοι, παρανομεῖτε, κρίνοντες τὸν Χριστὸν, πρὶν ἢ ἀκούσητε αὐτὸν, καὶ γνωρίσητε τὰ ἔργα αὐτοῦ; ταῦτα ὡς φανερὰ ἐσιώπησεν ὁ Νικόδημος, ἵνα μὴ, ἐλέγχων τοὺς Φαρισαίους, παροργίσῃ αὐτοὺς περισσότερον. Τί δὲ πρὸς ταύτην τὴν ἰσχυρὰν τοῦ Νικοδήμου ἔνστασιν ἀποκρίνονται οἱ Φαρισαῖοι;

**Ἀπεκρίθησαν, καὶ εἶπον αὐτῷ· Μὴ καὶ σὺ ἐκ τῆς Γαλιλαίας εἶ; ἐρεύνησον, καὶ ἴδε, ὅτι Προφήτης ἐκ τῆς Γαλιλαίας οὐκ ἐγήγερται.** Ἰωάν. ζ'. 52.

Σημείωσαι πρῶτον τὴν παραλογίαν τῶν Φαρισαίων. Ἄλλο λέγει ὁ Νικόδη-

μος,

μος, ἄλλο ἀποκρίνονται αὐτοί· ὁ Νικόδημος εἶπεν, ὅτι ὁ νόμος προστάσσει, ἵνα μὴ κρίνωσι τὸν ἄνθρωπον ἀνεξετάστως· αὐτοὶ ἀποκρίνονται· Μήπως καὶ σὺ ἐκ τῆς Γαλιλαίας κατάγεσαι; Ἔπειτα βλέπε καὶ τὴν πονηρίαν αὐτῶν. Αὐτοὶ ἀκριβέστατα ἐγνώριζον τὸν Νικόδημον, ἐπειδὴ ἦν εἷς ἐξ αὐτῶν· ἀλλ' ὑποκρινόμενοι τάχα, ὅτι οὐ γνωρίζουσιν αὐτὸν, ἐρωτῶσι λέγοντες· Μήπως καὶ σὺ ἐκ τῆς Γαλιλαίας εἶ; διὰ τούτου δὲ τοῦ ἐρωτήματος ἐξευτελίζουσι τὸν Νικόδημον, καὶ κηρύττουσιν, ὅτι ὁ Χριστός ἐστι Γαλιλαῖος, ὁ δὲ Νικόδημος οὐδὲ φιλοδίκαιος, οὐδὲ φιλαλήθης, ἀλλὰ φιλοπρόσωπος, ὑπερασπιζόμενος τὸν Χριστὸν ὡς συμπολίτην αὐτοῦ· ἔπειτα καὶ ἐλέγχουσιν αὐτὸν ὡς ἀμαθῆ· Ἐρεύνησον, λέγουσιν αὐτῷ, καὶ ἴδε, ὅτι Προφήτης ἐκ τῆς Γαλιλαίας οὐκ ἐγήγερται, ἤγουν, οὐδεὶς Προφήτης ἐν τῇ Γαλιλαίᾳ ἐγεννήθη· τοῦτο δὲ ψεῦδός ἐστι φανερώτατον· διότι καὶ ὁ Προφήτης Ἰωνᾶς ἐκ τῆς Γαιθεφὲρ ἐκατάγετο, ἥτις
Α΄. Βασ. ιδ΄. 25. ἦν πόλις ἐκ τοῦ κλήρου τοῦ Ζαβουλὼν, ὅστις ἦν ἐν τῇ Γαλιλαίᾳ· καὶ ὁ Προφήτης Ναοὺμ ὁ Ἐλκεσαῖος ἐκ τῆς πόλεως
Ἡσ. ιθ΄. 25. Ἐλκὰθ, ἥτις ἦν πόλις τοῦ κλήρου τοῦ Ἀσὴρ, κειμένου ὁμοίως εἰς τὴν ἐπαρχίαν τῆς Γαλιλαίας· ὥστε, ταῦτα λέγοντες οἱ Φαρισαῖοι, ἐψεύδοντο ἀναισχύντως, εἴτε ὑπὸ τοῦ φθόνου καὶ τῆς κακίας νικώμενοι, εἴτε ὑπὸ τῆς ἀμαθίας πλανώμενοι, κἂν σοφοὶ ἐλογίζοντο, καὶ τῶν Θείων Γραφῶν ἐπιστήμονες. Ἀλλὰ, καὶ ἐὰν συγχωρήσωμεν, ὅτι ἀληθές ἐστι τὸ ὑπ' αὐτῶν λεγόμενον, πάλιν οὐδὲν κατὰ τοῦ Ἰησοῦ Χριστοῦ ἰσχύει· διότι αὐτὸς, ὡς ἀνωτέρω εἴπομεν, ἐν Βηθλεὲμ τῆς Ἰουδαίας ἐγεννήθη, καὶ οὐχὶ εἰς τὴν Γαλιλαίαν.

Ἰωάν. η΄. 12. Πάλιν οὖν ὁ Ἰησοῦς αὐτοῖς ἐλάλησε, λέγων· Ἐγώ εἰμι τὸ φῶς τοῦ κόσμου· ὁ ἀκολουθῶν ἐμοὶ, οὐ μὴ περιπατήσει ἐν τῇ σκοτίᾳ, ἀλλ' ἕξει τὸ φῶς τῆς ζωῆς·

Πάλιν οὖν, ἤγουν τὴν ἑξῆς ἡμέραν, τὸ πρωΐ· διότι τότε ἐπορεύθησαν, λέγει ὁ Εὐαγγελιστὴς, ἕκαστος Ἰωάν. ζ΄. 53.
εἰς τὸν οἶκον αὐτοῦ. Ἰησοῦς δὲ Αὐτ. η΄. 1, 2.
ἐπορεύθη εἰς τὸ ὄρος τῶν ἐλαιῶν· ὄρθρου δὲ πάλιν παρεγένετο εἰς τὸ Ἱερόν. Ἐπειδὴ δὲ κατὰ τὴν προλαβοῦσαν ἡμέραν, ἄλλοι μὲν ἔλεγον, ὅτι Προφήτης ἐστὶν ὁ Θεάνθρωπος, ἄλλοι δὲ, ὅτι ὁ Χριστός ἐστι, καὶ σχίσμα ἐγένετο μεταξὺ αὐτῶν, διὰ τοῦτο τὴν ἑξῆς ἡμέραν ἐδηλοποίησεν αὐτοῖς ὁ Κύριος, τίς ἐστι, λέγων· Ἐγώ εἰμι τὸ φῶς τοῦ κόσμου. Ἀλλὰ διατί οὐκ εἶπεν, ἐγώ εἰμι ὁ Μεσσίας, ἢ ἐγώ εἰμι ὁ Υἱὸς τοῦ Θεοῦ; Πρῶτον μὲν, ἵνα μὴ, τοῦτο ἀκούσαντες οἱ Φαρισαῖοι, λυπτήσωσι καὶ ἐκμανῶσι κατ' αὐτοῦ· δεύτερον δὲ, ἵνα λαλήσῃ διὰ τοῦ αὐτοῦ τρόπου, καὶ τῆς αὐτῆς φράσεως, δι' ἧς περὶ αὐ-
τοῦ ἐλάλησαν οἱ Προφῆται· Φωτίζου, Ἡσ. ξ΄. 1.
Φωτίζου, προεῖπεν ὁ μεγαλοφωνότατος Ἡσαΐας, Ἱερουσαλὴμ, ἥκει γάρ
σου τὸ φῶς· καὶ ἀλλαχοῦ· Ἰδοὺ δέ- Αὐτ. μθ΄. 6.
δωκά σε εἰς διαθήκην γένους, εἰς Αὐτ. θ΄. 2.
φῶς ἐθνῶν· καὶ ἐν ἄλλοις, Ὁ λαὸς ὁ πορευόμενος ἐν σκότει, ἴδε φῶς μέγα· οἱ κατοικοῦντες ἐν χώρᾳ καὶ σκιᾷ θανάτου, φῶς λάμψει ἐφ' ὑμᾶς. Ταῦτα δὲ τοῦ Σωτῆρος τὰ λόγια τοῦτο αὐτὸ δηλοῦσιν, ἤγουν, ὅτι ἐστὶ Θεὸς ἀληθινός· διότι τίς ἄλλος ἐστὶ τὸ φῶς τοῦ κόσμου, εἰ μὴ ὁ Θεός; τίς ἄλλος, εἰ μὴ ὁ Θεὸς, φωτίζει πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον,

νοῦν αὐτῷ διδοὺς, καὶ διακριτικὸν, καὶ λόγον; ἢ τίς ἄλλος ποτὲ τῶν ἀπ' αἰῶνος ἁγίων εἶπεν· Ἐγώ εἰμι τὸ φῶς τοῦ κόσμου; Προσέθηκε δὲ ὁ Κύριος καὶ τὰ ἑξῆς πρὸς ἐξήγησιν τῶν εἰρημένων· Ὁ ἀκολουθῶν ἐμοὶ, οὐ μὴ περιπατήσει ἐν τῇ σκοτίᾳ, ἀλλ' ἕξει τὸ φῶς τῆς ζωῆς, ἤγουν, ὅστις πιστεύει εἰς ἐμὲ καὶ φυλάττει τὰς ἐντολάς μου, ἐκεῖνος φεύγει τὸ σκότος καὶ τὴν καταδίκην τῆς ἁμαρτίας, καὶ καταντᾷ εἰς τὸ ἀνέσπερον φῶς τῆς αἰωνίου ζωῆς καὶ βασιλείας.

# ΟΜΙΛΙΑ

ΜΕΤΑ ΤΟ ΚΑΤΑ

# ΙΩΑΝΝΗΝ

## ΕΥΑΓΓΕΛΙΟΝ ΤΗΣ ΚΥΡΙΑΚΗΣ ΤΗΣ ΑΓΙΑΣ ΠΕΝΤΗΚΟΣΤΗΣ.

Τῶν Φαρισαίων τὰ κινήματα κατὰ τοῦ Σωτῆρος ἡμῶν Χριστοῦ ὑπόθεσιν προβάλλουσιν, ἀξίαν πολυπραγμοσύνης καὶ ἐξετάσεως. Αὐτοὶ, κἂν ὑποκριταὶ ἦσαν καὶ ψεῦσται, ἦσαν ὅμως ὁπωσδήποτε σοφώτεροι τῶν ἄλλων, ἐμελέτων τὰς θείας Γραφὰς καὶ ἐκράτουν εἰς τὰς χεῖρας αὐτῶν τοὺς θεϊκοὺς νόμους· αὐτοὶ λοιπὸν εἶχον τελειοτάτην εἴδησιν, ὅτι καὶ ὁ Μωϋσῆς, καὶ οἱ Προφῆται πάντες προκατήγγειλαν, καὶ εἶπον τὴν ἔλευσιν τοῦ Μεσσίου· αὐτοὶ λοιπὸν μετὰ περισσοτέρας ἀσφαλείας καὶ βεβαιότητος, ἢ ὁ κοινὸς λαὸς, περιέμενον τὸν Μεσσίαν. Πῶς λοιπὸν, ἀκούοντες τὸν Ἰησοῦν Χριστὸν κηρύττοντα, ὅτι αὐτός ἐστιν ὁ ἀπεσταλμένος ὑπὸ τοῦ Θεοῦ, καὶ βλέποντες τὴν μὲν ζωὴν αὐτοῦ ὑπεραγίαν καὶ οὐράνιον, τὰ δὲ θαύματα αὐτοῦ μεγάλα, καὶ πολλὰ, καὶ παντοῖα, καὶ τὰ περὶ αὐτοῦ ὑπὸ τῶν Προφητῶν προῤῥηθέντα ἐνεργούμενα εἰς αὐτὸν, οὐκ ἐπίστευον ὅτι αὐτός ἐστιν ὁ προσδοκώμενος; Ὁ φθόνος κατεσκότιζεν αὐτούς· φθόνος ἐναντίον εἰς ἐκεῖνον, ὃν περιέμενον, ἵνα λυτρώσῃ αὐτοὺς ἀπὸ τῶν ἁμαρτιῶν αὐτῶν, καὶ χαρίσηται αὐτοῖς τὴν αἰώνιον ἐλευθερίαν; ὁ φθόνος εἶχε τόσην δύναμιν, ὥστε ἥρπαζε τὸ διακριτικὸν τῆς ψυχῆς, καὶ κατέφθειρε τοῦ νοὸς τὴν δύναμιν, ὅθεν οὐδόλως ἠδύναντο νὰ γνωρίσωσιν, ὅτι αὐτός ἐστιν ὁ Μεσσίας; ἔστω· ὁ φθόνος ἐσκότιζε τῆς ψυχῆς τὰ ὄμματα· ἀλλὰ τίς ἐνέκρωσε τὰς αἰσθήσεις τοῦ σώματος; τίς ἐποίει αὐτοὺς τυφλοὺς, καὶ κωφούς; ὁ νοῦς, ἐσκοτισμένος ὑπὸ τοῦ φθόνου, οὐκ ἐπίστευεν εἰς τὸν Χριστὸν, ἀλλὰ τὰ ὄμματα πῶς οὐκ ἔβλεπον τὰ ἐξαίσια θαύματα; ἡ ἀκοὴ αὐτῶν πῶς οὐκ ἤκουε τὴν οὐράνιον αὐτοῦ διδασκαλίαν; οὐκ ἐπίστευον, ὅτι ὁ Χριστός ἐστιν ὁ προσδοκώμενος Μεσσίας, ἀλλὰ διατί ἐζήτουν αὐτὸν ἀποκτεῖναι, ἄνθρωπον ἅγιον, θαυματουργὸν, καὶ εὐεργέτην αὐτῶν; Τὰ πάθη, ἀδελφοί μου, ἔχουσι τόσην ἰσχυρὰν δύναμιν ἐπάνω εἰς τὸν ἄνθρωπον, μάλιστα ὅταν κατακυριεύσωσιν αὐτὸν, ὥστε οὐ μόνον τὸ διακριτικὸν τῆς ψυχῆς διαφθείρουσι, καὶ τὴν δύναμιν τοῦ νοὸς ἐκνευρίζουσιν, ἀλλὰ καὶ τὰς αἰσθήσεις τοῦ σώματος ἡμῶν καταινεκροῦσι.

Πᾶν

Πᾶν πάθος σφοδρά τις καὶ ἀσυνήθης κίνησις τοῦ αἵματός ἐστι. Βλέπομεν τοῦτο φανερὰ εἰς ἐκείνους, οἵτινες κυριεύονται ὑπὸ τοῦ θυμοῦ, ἢ ὑπὸ τοῦ φόβου, ἢ ὑπὸ τῆς λύπης, ἢ ὑπὸ τῆς χαρᾶς· κόκκινον γίνεται τοῦ θυμουμένου τὸ πρόσωπον, λευκὸν τοῦ φοβουμένου, ὠχρὸν τοῦ λυπουμένου, ἐρυθρόλευκον τοῦ χαίροντος· αὐτὴ ἡ κίνησις οὐ γίνεται μόνον εἰς τὸ πρόσωπον, ἀλλ' εἰς πάντα τὰ μέλη καὶ τὰ μέρη τοῦ σώματος, καὶ εἰς αὐτὰ δηλαδὴ τὰ ἐνδότατα· ἐκ ταύτης τῆς κινήσεως καταταράσσονται πάντα τὰ ὄργανα τῶν αἰσθήσεων· ὅθεν ὁ ὑπό τινος σφοδροῦ πάθους κατακυριευθεὶς, ἤτοι οὐ βλέπει ὅλως, ἢ βλέπει, ἀλλ' ἀτελῶς: ἢ οὐκ ἀκούει ὅλως, ἢ ἀκούει, ἀλλὰ συγκεχυμένως· τρώγει, ἀλλ' οὐκ αἰσθάνεται τῆς τροφῆς τὴν ποιότητα. Ἀυτὴ ἡ ἄτακτος κίνησις, φθάνουσα καὶ ἕως τοῦ ἐγκεφάλου τὰ μέρη, κλονεῖ καὶ συγχέει ἐκεῖνα τὰ ὄργανα, ὅσα ἡ ψυχὴ ἡμῶν μετέρχεται, ἵνα συστήσῃ τοὺς συλλογισμοὺς αὐτῆς. Ἐκ τούτου συμβαίνει ἡ σκότωσις τοῦ νοὸς, καὶ ἡ ἀδιακρισία, καὶ τὰ παραλογήματα· διότι ἡ ψυχὴ ἡμῶν, ἥτις ἐστὶ πνεῦμα ἄϋλον, αὐτὴ διακρίνει τὸ καλὸν ἀπὸ τοῦ κακοῦ, καὶ τὸ ὠφέλιμον ἀπὸ τοῦ βλαβεροῦ· καὶ ἔχει μὲν αὐτὴ ἀφ' ἑαυτῆς κατὰ φύσιν τὴν διανοητικὴν καὶ διακριτικὴν δύναμιν· ἀλλ' ἐν ὅσῳ συνηνωμένη ἐστὶ μετὰ τοῦ σώματος, μετέρχεται τὰ μέρη τοῦ ἐγκεφάλου, ἵνα κατασκευάσῃ τοὺς συλλογισμοὺς αὐτῆς, καθὼς ὁ τέκτων τὸν πρίονα, καὶ ὁ οἰκοδόμος τὴν σφύραν, διὰ τὴν κατασκευὴν τῆς οἰκίας. Πείθει δὲ τοῦτο ἡ συνεχὴς δοκιμή· βάρος, ἢ ὀδύνην αἰσθανάμεθα εἰς τὴν κεφαλὴν, ὅταν πολλὰς ὥρας προσηλώσωμεν τὸν νοῦν εἰς τὴν θεωρητικὴν τῶν πραγμάτων μελέτην· ὅταν δὲ πυρετὸς, ἢ ἄλλη ἀσθένεια κατακυριεύσῃ τὴν κεφαλὴν, τότε οὐχὶ μόνον οὐ δυνάμεθα νὰ προσηλώσωμεν τὸν νοῦν εἰς μελέτην καὶ κρίσιν πραγμάτων, ἀλλὰ πολλάκις παραφρονοῦμεν, καὶ παραλογοῦμεν προφανέστατα. Διὰ τοῦτο, ὅταν πάθος σφοδρὸν κατακυριεύσῃ τὸν ἄνθρωπον, θέλει μὲν ἡ ψυχὴ καὶ τότε νὰ συλλογισθῇ ὀρθῶς, ἀλλ' οὐ δύναται, ἐπειδὴ τεταραγμένα καὶ ἠλλοιωμένα εἰσὶ τὰ ὄργανα, τὰ πρὸς τὴν τοιαύτην ὑπηρεσίαν ἐπιτήδεια· ὅθεν, καθὼς ὁ τεχνίτης, ὅταν ἀτελῆ εἰσὶ τῆς τέχνης αὐτοῦ τὰ ὄργανα, ἀτελὲς κατασκευάζει καὶ τὸ τεχνητὸν αὐτοῦ ἔργον· οὕτω καὶ ἡ ψυχὴ, ὅταν τεταραγμένα εἰσὶ τῆς κεφαλῆς τὰ μέρη, ἀτελεῖς ποιεῖ τοὺς ἑαυτῆς συλλογισμοὺς, καὶ παραφρονεῖ, καὶ παραλογίζεται.

Τὰ πάθη, τὰ πολεμοῦντα τὸν ἄνθρωπον, εἰσὶ πολλὰ, μᾶλλον δὲ δυσαρίθμητα· ὑπερηφάνεια, φιλοδοξία, φθόνος, φιλαργυρία, μῖσος, ἀσπλαγχνία, κοιλιοδουλεία, θυμὸς, ἀσέλγεια, μέθη, ὀκνηρία, καὶ ἄλλα πάμπολλα. Πᾶς ἄνθρωπος εἰς πάντα τὰ πάθη ὑπόκειται, καὶ πότε μὲν τοῦτο νικᾷ αὐτὸν, πότε δὲ ἐκεῖνο, καὶ ἄλλοτε ἄλλο· ἀλλὰ τοῦτον μὲν τὸν ἄνθρωπον κατ' ἐξοχὴν κατακυριεύει ἡ ἀσέλγεια, καθὼς τὸν Ἡσαῦ, ὅστις διὰ τοῦτο ὠνομάσθη Ἐδώμ· ἐκεῖνον δὲ ἡ ὑπερηφάνεια, καθὼς τὸν Ναβουχοδονόσορ· ἄλλον ἡ σκληρότης, καθὼς τὸν Φαραώ· ἄλλον ἡ φιλαργυρία, καθὼς τὸν Ἰούδαν· καὶ ἄλλον ἄλλο πάθος κατεξουσιάζει. Κλίνει δὲ ὁ ἄνθρωπος εἰς τοῦτο τὸ πάθος μᾶλλον, ἢ εἰς ἐκεῖνο, ἢ διὰ τὴν φυσικὴν αὐτοῦ ἰδιοσυγκρασίαν, ἢ διὰ τὴν παιδιόθεν συνήθειαν, ἢ διὰ τὰς κακὰς συμβουλὰς καὶ τὰ παραδείγματα, ὅσα ἐκ νεαρᾶς αὐτοῦ ἡλικίας ἤκουε, καὶ ἔβλεπε, καὶ ἔμαθεν ἐν ταῖς συναναστροφαῖς τῶν ἐφθαρμένων ἀνθρώπων· πολλάκις δὲ ταῦτα πάντα, συντρέχοντα, δεσμεύουσι τὸν ἄνθρωπον εἰς ἓν τῶν παθῶν

θῶν δεσμῷ δυσδιαλύτῳ. Ὅταν δὲ ὑποδουλωθῇ ὁ ἄνθρωπος εἰς ἓν πάθος, τότε αὐτὸ τόσην δύναμιν καὶ ἐξουσίαν λαμβάνει ἐπάνω εἰς αὐτὸν, καὶ τοσοῦτον φθείρει καὶ τὸ συλλογιστικὸν, καὶ τὸ διακριτικὸν, καὶ αὐτὰς τὰς σωματικὰς αὐτοῦ αἰσθήσεις, ὥστε οὐδὲ συμβουλὴν ἀκούει, οὐδὲ βλάβην βλέπει, οὐδὲ τὸ ἴδιον συμφέρον γνωρίζει· ἀλλ' ὡς τυφλὸς, καὶ κωφὸς, καὶ ἄλογος, πράττει πολλάκις ἐναντίον αὐτοῦ, ὅσα οὐδὲ ὁ ἄσπονδος αὐτοῦ ἐχθρὸς δύναται νὰ πράξῃ.

Α΄. Βασιλ. Πνεῦμα πονηρὸν ἔπνιγε τὸν Σαοὺλ,
ιϛ΄. 14. παρεφέρετο, καὶ ἐστενοχωρεῖτο, καὶ ἔπασχεν ἄχρι λειποψυχίας καὶ θανάτου· οὐδὲ ἰατροὶ ἐδυνήθησαν νὰ θεραπεύσωσιν αὐτὸν, οὐδὲ βότανον εὑρέθη παρηγορητικὸν τῆς τοιαύτης ἀσθενείας· μία μόνη ἡ παρηγορία αὐτοῦ, ὁ ψαλμὸς τοῦ Δαβὶδ, καὶ ἡ κινύρα. Ὅτε τὸ πονηρὸν πνεῦμα ἐσπάραττε, καὶ κατέπνιγε τὸν Σαοὺλ, τότε ὁ μὲν Δαβὶδ ἔκρουε τὴν κινύραν, καὶ ἔψαλλε, τὸ δὲ πονηρὸν πνεῦμα ἔφευγεν, ὁ δὲ Σαοὺλ ἡσύχαζεν· ὁ Δαβὶδ λοιπὸν ἐστὶν ὁ μόνος ἰατρὸς τοῦ Σαοὺλ, ὁ διώκτης καὶ φυγαδευτὴς τοῦ δαιμονικοῦ ἐκείνου πάθους, ὁ δοτὴρ τῆς ὑγείας, καὶ εὐεργέτης καὶ λυτρωτὴς αὐτοῦ. Ὁ Σαοὺλ λοιπὸν ὑπερβαλλόντως ἠγάπα τὸν Δαβὶδ, καὶ ἐπρόσεχεν αὐτὸν ὡς κόρην ὀφθαλμοῦ· οὐχὶ τοῦτο, ἀλλὰ τὸ ἐναντίον· ὁ Σαοὺλ τόσον ἐμίσει τὸν Δαβὶδ, ὥστε παντοιοτρόπως ἐπεβούλευε τὴν ζωὴν αὐτοῦ. Ὁ Δαβὶδ ψάλλων, ἔπαυε τὸ πά-
Αὐτόθι. θος τοῦ Σαοὺλ· ὁ δὲ Σαοὺλ ἐζήτει νὰ
ιθ΄. 10. φονεύσῃ διὰ τοῦ δόρατος τὸν Δαβίδ· Σαοὺλ τρισάθλιε, ἐὰν θανατώσῃς τὸν Δαβὶδ, τίς καταπραΰνει τὸ πάθος σου; τίς διώκει τὸ πνεῦμα τὸ καταπνῖγον καὶ σπαράττον σε; ἐπληροφορήθης, ὅτι ὁ μόνος ψαλμὸς τοῦ Δαβὶδ ἡσυχάζει τὴν φοβερὰν ζάλην σου, καὶ τοὺς θανατηφόρους σπαραγμοὺς τῶν μελῶν σου· πῶς λοιπὸν εὐθύνεις τὸ δόρυ, ἵνα φονεύσῃς τὸν μόνον ἰατρὸν καὶ σωτῆρά σου; πόθεν σοι ἡ τόση ἀναισθησία, καὶ τυφλότης; Τὸ πόθεν, ἐστὶ φανερόν· ὁ φθόνος ἐσκότιζε τὸν νοῦν αὐτοῦ, καὶ ἐξήλειφε τῆς εὐεργεσίας τὴν μνήμην· ὁ φθόνος, ἰσχυρότερος τοῦ πονηροῦ πνεύματος· διότι τὸ μὲν πνεῦμα ἐνικᾶτο ὑπὸ τῆς ψαλμῳδίας τοῦ Δαβὶδ, τὸν δὲ φθόνον οὐδὲ ἡ ἐσχάτη ἀνάγκη τοῦ Σαοὺλ κατεδάμαζε· τοσοῦτον κατεσκότισε τὸν Σαοὺλ τὸ πάθος τοῦ φθόνου, ὥστε οὐδὲ ὠφέλειαν ἔβλεπεν, οὐδὲ συμφέρον, οὐδὲ ἀνάγκην. Πόσοι δὲ ἕως τῆς σήμερον ὑπὸ τοῦ φθόνου κυριευόμενοι, ἀμνημονοῦντες τῶν εὐεργεσιῶν, καὶ παραβλέποντες τὸ ἴδιον συμφέρον, καὶ μηδόλως στοχαζόμενοι τὴν ἰδίαν ἀνάγκην, οὐ μόνον κατατρέχουσι τοὺς ἰδίους εὐεργέτας, ἀλλὰ καὶ βλάπτουσιν ἐκείνους, ἀπὸ τοὺς ὁποίους ἐλπίζουσι προστασίαν καὶ βοήθειαν;

Καὶ μὴ νομίσῃς, ὅτι τὸ πάθος ἐργάζεται ἐλεεινὰ καὶ παράλογα κακὰ, ὅταν κυριεύσῃ τοὺς ἀμαθεῖς καὶ διεστραμμένους ἀνθρώπους· διότι ἡ δύναμις αὐτοῦ τόσον ἰσχύει καὶ εἰς αὐτοὺς τοὺς σοφοὺς, καὶ κεχαριτωμένους, ὥστε κατακρημνίζει αὐτοὺς εἰς ἁμαρτήματα ἐξαίσια. Πάνσοφος ὁ Σολομὼν, καὶ χαρισμάτων πλήρης, ἀλλὰ φιλογύνης· τὸ σαρκικὸν πάθος κατεκυρίευεν αὐτόν· τοῦτο, προϊόντος τοῦ καιροῦ, τόσον ὑπερίσχυσεν, ὥστε ἔσβεσε τὸ φῶς τῆς θεοχύτου σοφίας, καὶ εἰς τοιαύτην ἐλεεινὴν κατάστασιν αὐτὸν κατεκρήμνισεν, ὥστε, ἵνα εὐχαριστήσῃ τὰς ἀλλογε-
νεῖς γυναῖκας, ᾠκοδόμησεν ὑψηλὸν Γ΄. Βασ.
τῷ Χαμὼς εἰδώλῳ Μωάβ, καὶ τῷ ια΄. 7, 5.
βασιλεῖ αὐτῶν εἰδώλῳ Ἀμμὼν, καὶ τῇ Ἀστάρτῃ βδελύγματι Σιδωνίων· τὸ πάθος τῆς σαρκὸς ἐξέκλινε τὴν καρδίαν τοῦ Σολομῶντος ἀπὸ Κυρίου

ρίου τοῦ Θεοῦ, καὶ ἔπεισεν αὐτὸν, ἵνα ὑψώσῃ τὰ εἴδωλα. Πόσα κρυφὰ ἀτοπήματα, ἅπερ αἰσχρόν ἐστι καὶ λέγειν, πόσα φοβερὰ ἁμαρτήματα γίνονται ἕως τῆς σήμερον ὑπ' ἐκείνων, οἵτινες δοῦλοί εἰσι τοῦ αἰσχροῦ τούτου πάθους;

Τοῦ καιροῦ ἡ πρόοδος αὐξάνει παντὸς πάθους τὴν δύναμιν· ὅσον ὁ καιρὸς τῆς ἁμαρτίας παρατείνεται, τόσον τὰ εἰς τὴν ἁμαρτίαν ἐπανακυλίσματα πολυπλασιάζονται. Πληθύνεται δὲ τούτων ὁ ἀριθμὸς κατὰ διπλάσιον καὶ τριπλάσιον λόγον τῆς τοῦ καιροῦ παρατάσεως· διότι κατ' ἀρχὰς μὲν ἡ πτῶσις εἰς τὴν ἁμαρτίαν φέρει μεγάλην λύπην, φέρει ἔλεγχον τῆς συνειδήσεως βαρὺν καὶ ἀφόρητον, φέρει πυκνοὺς τοὺς λογισμοὺς τῆς ἀποχῆς· ὅσον δὲ ὁ καιρὸς προάγεται, καὶ τὰ ἐπανακυλίσματα πολυπλασιάζονται, τόσον ἡ λύπη μακρύνεται, καὶ ἡ συνείδησις ψυχραίνεται, καὶ φεύγει μὲν ὁ λογισμὸς τῆς μετανοίας, ἔρχεται δὲ ὁ ἀπελπισμὸς τῆς διορθώσεως· καὶ τὸ μὲν σῶμα γηράζει καὶ μαραίνεται, τὸ δὲ πάθος νεάζει καὶ ἀνθεῖ· ὁ εὔκολος τῶν ἐπανακυλισμάτων πολυπλασιασμὸς προξενεῖ τῆς ἁμαρτίας τὴν συνήθειαν, ἡ συνήθεια γίνεται ἕξις, ἡ δὲ ἕξις γίνεται δευτέρα φύσις. Ἐκ τούτου βλέπομεν πόσην δυσκολίαν ἔχει τοῦ κατακυριεύσαντος ἡμᾶς πάθους ἡ ἀποχὴ, καὶ ἡ διόρθωσις· ἀπὸ τῆς ἁμαρτίας, τὴν ὁποίαν ἔπραξας ἅπαξ, ἢ δὶς, καὶ τρὶς, εὔκολα φεύγεις, καὶ πολλὰ εὑρίσκεις τὰ αὐτῆς ἀντιφάρμακα· τὴν κατακυριεύσασάν σε ἁμαρτίαν δύσκολα διώκεις, δύσκολα εὑρίσκεις τὸ θεραπευτικὸν αὐτῆς βότανον.

Πολλὰ πιθανὸν φαίνεται, ὅτι ὁ Ἰσκαριώτης Ἰούδας ἦλθε πρὸς τὸν Ἰησοῦν Χριστὸν, καὶ ἐγένετο μαθητὴς αὐτοῦ, σκοπὸν ἔχων, ἵνα διορθώσῃ τὸ ἦθος αὐτοῦ, καὶ λυτρωθῇ ἀπὸ τὴν λύσσαν τῆς φιλαργυρίας, ἥτις καταδεδουλωμένην εἶχε τὴν ψυχὴν αὐτοῦ· διότι τί ἄλλο ἐπέβλεπεν, ἢ τί ἄλλο εἵλκυσε καὶ ἔπεισεν αὐτὸν, ἵνα ἔλθῃ, καὶ συναριθμηθῇ μετὰ τῶν πτωχῶν μαθητῶν τοῦ Ἰησοῦ Χριστοῦ; τί ἄλλο ἐζήτει ἐκεῖ, εἰμὴ τὴν διόρθωσιν τῆς ψυχῆς αὐτοῦ; Εἰς τὸ σχολεῖον τοῦ Ἰησοῦ Χριστοῦ ἐλθὼν, ἀκούει καθ' ἑκάστην ἡμέραν τῆς ἀφιλαργυρίας καὶ τῆς ἀκτημοσύνης τὰ μαθήματα, καὶ τὰς ἑκατονταπλασίους ἀμοιβὰς, καὶ τὴν βασιλείαν τῶν οὐρανῶν, τὴν ὁποίαν κληρονομοῦσιν οἱ καταφρονηταὶ τῶν χρημάτων καὶ τοῦ πλούτου. Βλέπει εἰς αὐτὸ τὸ σχολεῖον τῆς ἀκτημοσύνης τὰ παραδείγματα, ἤγουν τοὺς συμμαθητὰς αὐτοῦ, οἵτινες ἀφῆκαν πάντα ὅσα εἶχον, καὶ ἠκολούθουν προθύμως τῷ Διδασκάλῳ αὐτῶν. Βλέπει καθ' ἑκάστην ἡμέραν θαύματα ἐξαίσια, ἀρετὴν ὑπερτελείαν, ἤθη ἅγια, ἁγιωσύνην οὐράνιον. Ὁ διδάσκαλος αὐτοῦ, κἂν προγνωρίζῃ ὡς καρδιογνώστης τὴν προδοσίαν, θέλων ὅμως τὴν σωτηρίαν αὐτοῦ, οὐδενὸς χαρίσματος αὐτὸν ἐστέρησε· προεβίβασεν αὐτὸν εἰς τὸ ἀποστολικὸν ἀξίωμα, ἔδωκεν αὐτῷ ἐξουσίαν κατὰ πνευμάτων ἀκαθάρτων, ἔνιψε τοὺς πόδας αὐτοῦ, ἠξίωσεν αὐτὸν τῆς μεταλήψεως τῶν θείων μυστηρίων· καὶ αὐτὸ δὲ τὸ γλωσσόκομον ἔδωκεν εἰς τὰς χεῖρας αὐτοῦ, πρὸς παρηγορίαν τοῦ πάθους τῆς φιλοχρηματίας· καὶ ὅμως ταῦτα πάντα οὐδὲ τὴν πληγὴν τῆς φιλαργυρίας ἰάτρευσαν, οὐδὲ τὴν φλόγα αὐτῆς κατεδάμασαν· παρέδωκε τὸν διδάσκαλον, τὸν εὐεργέτην, τὸν σωτῆρα αὐτοῦ, καὶ ἐπώλησεν αὐτὸν διὰ τριάκοντα ἀργύρια, ἤγουν διὰ ἓξ σχεδὸν χρυσᾶ νομίσματα τοῦ παρόντος καιροῦ. Μεγάλη ἀληθῶς τῶν παθῶν ἡ δύναμις! ἐὰν οὐδὲ τὰ ζῶντα καὶ βλεπόμενα τῆς ἀρετῆς καὶ ἁγιότητος παραδείγματα, οὐδὲ τοῦ Θεοῦ τὰ

δω-

δῶρα καὶ ἀξιώματα, οὐδὲ τὰ θαύματα, οὐδὲ ἡ συναναστροφὴ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, οὐδὲ ἡ καθ' ἡμέραν ἀπὸ τοῦ ἰδίου στόματος αὐτοῦ συμβουλὴ καὶ διδασκαλία, καὶ ἡ παραίνεσις, οὐκ ἐδυνήθησαν ἰατρεῦσαι τῆς φιλαργυρίας τὸ πάθος, ἀλλὰ τοσοῦτον ἄναψεν ἡ δύναμις αὐτοῦ, ὥστε ἁμαρτίαν ἐγέννησε, τῆς ὁποίας ἄλλη μείζων οὐδέποτε ἐφάνη εἰς τὸν κόσμον, ποία ἄραγε ἐλπὶς εἰς ἡμᾶς τοὺς ἐμπαθεῖς, εἰς ἡμᾶς τοὺς κατακυριευομένους ὑπὸ τῶν παθῶν; Ποῖόν ἐστι τὸ ὅπλον, διὰ τοῦ ὁποίου δυνάμεθα νὰ ἀντιπολεμήσωμεν τὰ ἄγρια θηρία τοῦ καλάμου, τὰ ζητοῦντα καθεκάστην κατασπαράξαι τὴν ψυχὴν ἡμῶν;

Ἕτοιμον ἐστὶ, Χριστιανοὶ, τὸ ὅπλον, ἰσχυρὸν δὲ καὶ ἀνίκητον· τοῦτο δέ ἐστιν, ἡ προσοχή. Ἐὰν προσέχωμεν, ἡ ἁμαρτία οὐ δύναται νὰ ἐπιβάλῃ τὸν ζυγὸν αὐτῆς ἐπάνω εἰς τὸν τράχηλον ἡμῶν. Ἡ πρώτη ἀρχὴ πάσης ἁμαρτίας, καὶ τὰ νεόβλαστα ἄγρια φυτὰ ἔχουσι μεγάλην ὁμοιότητα· ἡ ἁμαρτία, εἰς τὴν πρώτην αὐτῆς ἀρχὴν, οὐδὲν ἄλλο ἐστὶν, εἰμὴ εἷς ψιλὸς λογισμὸς, μία ἀνίσχυρος προσβολὴ εἰς τὸν νοῦν· τὸ ἄγριον φυτὸν, ὅταν κατ' ἀρχὰς προκύπτῃ, οὐδὲν ἕτερον ἐστὶν, εἰμὴ χόρτος τρυφερώτατος, βλαστὸς ἀσθενὴς, καὶ εἰς τὴν γῆν οὐδόλως ἐστερεωμένος. Καθὼς οὖν ὁ γεωργὸς, ὅταν προσέχῃ, καὶ ἐκβάλλῃ τὰ ἄγρια φυτὰ, πρὶν ἢ αὐξηνθῶσι, καὶ ἁπλώσωσι τὰς ῥίζας αὐτῶν, καὶ σκεπάσωσι τὴν γῆν, αὐτὰ μὲν ἐκβάλλει μετὰ μεγάλης εὐκολίας, ἡ δὲ γῆ αὐτοῦ μένει τότε καθαρὰ τῆς βλάβης τῶν ἀγρίων φυτῶν· οὕτω καὶ ὁ Χριστιανὸς, ὅταν προσέχῃ, καὶ διώκῃ τοὺς πονηροὺς λογισμοὺς, πρὶν ἢ μεγαλυνθῶσι, καὶ προχωρήσωσιν εἰς τὸ βάθος τοῦ νοὸς, καὶ κατακυριεύσωσι τῆς καρδίας αὐτοῦ, τούτους μὲν πολλὰ εὔκολα ἐκδιώκει, ἡ δὲ ψυχὴ αὐτοῦ τότε μένει ἄμωμος καὶ ἀμόλυντος, καὶ καθαρὰ ἀπὸ ἁμαρτίας μεγάλης. Ἐν τούτῳ λοιπὸν ἵσταται ὅλος ὁ κόπος μου, κόπος ἐλαφρὸς καὶ εὔκολος, εἰς τὸ νὰ προσέχω, ἵνα μή μου κατακυριεύσωσιν οἱ λογισμοὶ τῆς ἁμαρτίας· Ἐὰν μή μου κατακυριεύσωσι, Ψαλ. ιη'. 9. λέγει ὁ Προφήτης, τότε ἄμωμος ἔσομαι, καὶ καθαρισθήσομαι ἀπὸ ἁμαρτίας μεγάλης. Πρόσεχε Δευτ. δ'. 9. λοιπὸν σεαυτῷ, καὶ φύλαξον τὴν ψυχήν σου.

Ἀλλ' ἐὰν διὰ τῆς πολυκαιρίας, καὶ τῶν ἐπανακυλισμάτων ῥιζωθῇ τὸ πάθος εἰς τὴν καρδίαν τοῦ ἀνθρώπου, καὶ κατασταθῇ ὁ ἄνθρωπος δοῦλος τῆς ἁμαρτίας, τότε πολλὰ δύσκολος φαίνεται ἡ ἰατρεία. Δύσκολος ἡ ἀποχὴ τῆς σαρκικῆς ἡδονῆς, καὶ ἡ σωφροσύνη εἰς ἐκεῖνον, ὅστις ἐκ νεαρᾶς ἡλικίας ἐσυνείθισε τὴν ἀσέλγειαν. Δύσκολος ἡ ἐλεημοσύνη, καὶ ἡ διανομὴ τοῦ πλούτου εἰς τοὺς πένητας, εἰς τὸν γηράσαντα ἐν τῇ δουλείᾳ τῆς φιλαργυρίας. Δύσκολος ἡ νηστεία εἰς τὸν συνεθίσαντα παιδιόθεν τὴν πολυφαγίαν καὶ πολυποσίαν· δυσκολοθεράπευτον πᾶν παλαιὸν ἁμάρτημα. Ἐὰν δὲ νουθετήσῃς τοὺς ἐμπαθεῖς, καὶ συμβουλεύσῃς αὐτοὺς τὴν ἀποχὴν τῆς ἁμαρτίας, ἀποκρίνονταί σοι· Θέλω, ἀλλ' οὐ δύναμαι· τοῦτο ὅμως πρόφασίς ἐστι γυμνή· ἄλλο ἀδυναμία, καὶ ἄλλο δυσκολία· δύσκολος ἡ ἐκρίζωσις τοῦ δένδρου, ὅταν ἁπλώσῃ εἰς τὸ βάθος τῆς γῆς τὰς ῥίζας, καὶ τῇ προόδῳ τοῦ καιροῦ στερεωθῇ, οὐκ ἔστιν ὅμως ἀδύνατος· ἡ ἀξίνη, ἡ σκαπάνη, ὁ κόπος ἐκβάλλουσιν αὐτὸ ῥιζόθεν, ὥστε οὐδὲ ἴχνος αὐτοῦ ἔτι φαίνεται. Ἐὰν συνειθίσῃς τὴν ἁμαρτίαν, καὶ ἔτη πολλὰ δουλεύσῃς αὐτῇ, ἀληθῶς δύσκολος ἡ ἰατρεία, πλὴν οὐκ ἔστιν ἀδύνατος· ἡ στερεὰ ἀπόφασις, τῆς ψυχῆς ἡ ἀνδρεία, τοῦ Θεοῦ ἡ χάρις

ρις

ρις καταργεῖ παντελῶς τὴν ἐξουσίαν αὐτῆς.

Ὁ ἄνθρωπος ἐπλάσθη παρὰ Κυρίου τοῦ Θεοῦ ἐλεύθερος καὶ αὐτεξούσιος· ὅθεν κἂν ἡ ἁμαρτία ἐδούλωσεν αὐτόν, ἔχει ὅμως πάντοτε ἡ θέλησις αὐτοῦ τὴν δύναμιν τῆς ἐλευθερίας καὶ αὐτεξουσιότητος· ἔχει δὲ καὶ τὴν χάριν τοῦ Θεοῦ πλουσιοπαρόχως καὶ ὑπερπερισσῶς συνεργοῦσαν πρὸς τὴν ἐλευθε-
Ῥωμ. ε. ρίαν αὐτοῦ καὶ διόρθωσιν· Οὗ γὰρ ἐ-
20. πλεόνασεν ἡ ἁμαρτία, λέγει ὁ θεηγόρος Ἀπόστολος, ὑπερεπερίσσευσεν ἡ χάρις. Δοῦλος ἦν ὁ Ζακχαῖος τῆς πλεονεξίας καὶ συκοφαντίας, ἀλλά, μετ' ὀλίγην ὥραν μεταβαλὼν τὴν γνώ-
Λουκ. ιθ'. μην αὐτοῦ, ἔδωκε τὰ ἡμίση τῶν ὑ-
8. παρχόντων αὐτοῦ τοῖς πτωχοῖς, καὶ εἴ τινός τι ἐσυκοφάντησε, τε-
Ματ. θ'. τραπλοῦν. Ὑποδεδουλωμένος ὁ Μα-
9. τθαῖος εἰς τὴν ἀδικίαν καὶ φιλοχρηματίαν τοῦ τελωνίου, ἀλλ' εἰς μίαν στιγμὴν ἀπέρριψε τοῦ τελωνίου τὸν ζυγόν, ἀφῆκε πάντα, καὶ ἠκολούθησε τὸν Κύριον. Πολλὰ ἔτη ἐδούλευεν ἡ Σαμαρεῖτις τὰς ἡδονὰς τῆς σαρκὸς αὐτῆς, ἀλλ' εὐκολώτατα καὶ ταχύτατα καταλιποῦσα τὰ πάντα, ἐγένετο μαθήτρια τοῦ Ἰησοῦ Χριστοῦ. Ἐὰν δὲ ἐξετάσωμεν τὰ παραδείγματα, ὅσα αἱ θεῖαι Γραφαὶ καθιστοροῦσι, καὶ τὰ ἱστορικὰ βιβλία περιέχουσιν, εὑρίσκομεν τοιαύτας μεταβολὰς πολλὰς καὶ ἀναριθμήτους· ὥστε δύσκολος ἡ ἰατρεία τοῦ πάθους, ὅταν ὁ ἄνθρωπος οὐ θέλῃ, εὔκολος δέ, ὅταν ὁ ἄνθρωπος τῇ ἀληθείᾳ θελήσῃ. Ὁ Θεὸς τὴν θέλησιν ζητεῖ· Θέλεις ὑγιὴς γενέ- Ἰωάν. ε. 6.
σθαι; οὕτως ἔλεγεν ὁ Θεάνθρωπος εἰς τὸν ἁμαρτωλὸν τὸν παράλυτον. Ἐὰν θέλῃς, ὁ Θεὸς οὐ μόνον θέλει, ἀλλὰ καὶ ἐνεργεῖ καὶ συμβοηθεῖ, διδούς σοι δύναμιν, ἵνα τελειώσῃς τοῦ ὀρθοῦ σου σκοποῦ τὸ ἔργον· μάλιστα καὶ αὐτὴν τὴν θέλησίν σου ὁ Θεός, ὅταν ἴδῃ αὐτὴν κλίνουσαν εἰς μετάνοιαν, καὶ ἐνδυναμεῖ καὶ συμβοηθεῖ· Ὁ Θεὸς γάρ ἐστιν ὁ Φιλιπ. β'.
ἐνεργῶν ἐν ὑμῖν καὶ τὸ θέλειν 13.
καὶ τὸ ἐνεργεῖν.

---

# ΕΡΜΗΝΕΙΑ

ΕΙΣ ΤΟ ΚΑΤΑ

# ΜΑΤΘΑΙΟΝ

## ΕΥΑΓ. ΤΗΣ Α΄. ΚΥΡ. ΕΝ Ἧ ΚΑΙ Η ΕΟΡΤΗ ΤΩΝ ΑΓ. ΠΑΝΤΩΝ.

Μετὰ πολλῆς εὐλαβείας τιμᾷ τοὺς φί-
λους τοῦ Θεοῦ ὁ ἅγιος Βασιλεὺς καὶ
Ψαλ. ρλή. Προφήτης· Ἐμοὶ δὲ, λέγει, λίαν ἐτι-
16. μήθησαν οἱ φίλοι σου, ὁ Θεός.
Ἀνακηρύττει δὲ τὴν ἐξουσίαν αὐτῶν κατὰ
τῶν Δαιμόνων, καὶ τῆς σαρκὸς, καὶ τοῦ
Αὐτόθι. κόσμου, καὶ τῶν στοιχείων· Λίαν ἐ-
κραταιώθησαν αἱ ἀρχαὶ αὐτῶν.
Ἐπαριθμῶν δὲ αὐτοὺς, εὑρίσκει τὸν ἀ-
ριθμὸν αὐτῶν ὑπὲρ τὴν ἄμμον τῆς θα-
Αὐτ. 17. λάσσης· Ἐξαριθμήσομαι αὐτοὺς,
καὶ ὑπὲρ ἄμμον πληθυνθήσον-
ται. Καὶ αὐτὸς μὲν διὰ τούτων τῶν
λόγων προτρέπει ἡμᾶς εἰς τὴν πρὸς τοὺς
Ἁγίους τιμὴν καὶ εὐλάβειαν· ὁ δὲ θεη-
γόρος Ἀπόστολος τὴν τιμὴν καὶ μνήμην
τῶν Ἁγίων, ὡς παράδειγμα, δυνάμενον
ἐνισχῦσαι ἡμᾶς πρὸς τὴν ἀποστροφὴν
τῶν γηΐνων πραγμάτων, καὶ τῆς εὐκό-
λως περικυκλούσης ἡμᾶς ἁμαρτίας, καὶ
ὡς προτροπὴν τῆς πρὸς τοὺς πνευματι-
κοὺς ἀγῶνας ὑπομονῆς, καὶ ἀνδρείας,
Ἑβρ. ιβ΄. προβάλλει ἡμῖν, λέγων· Τοιγαροῦν
1. καὶ ἡμεῖς, τοσοῦτον ἔχοντες περι-
κείμενον ἡμῖν νέφος Μαρτύρων,
ὄγκον ἀποθέμενοι πάντα, καὶ τὴν
εὐπερίστατον ἁμαρτίαν, δι᾽ ὑπο-
μονῆς τρέχομεν τὸν προκείμενον
ἡμῖν ἀγῶνα. Ἐκ τῆς διδασκαλίας λοι-
πὸν τῶν θείων Γραφῶν, καὶ τῆς ἀπο-
στολικῆς παραδόσεως ὁδηγηθέντες ἡμεῖς
οἱ εὐσεβεῖς, τιμῶμεν ἅπαντας τοὺς φί-
λους τοῦ Θεοῦ, τοὺς Ἁγίους, ὡς φύλα-
κας τῶν ἐντολῶν τοῦ Θεοῦ, ὡς ἀρετῆς
λαμπρὰ παραδείγματα, ὡς τῆς ἀνθρωπίνης φύσεως εὐεργέτας. Καὶ ἕκαστον μὲν τῶν γνωρίμων Ἁγίων κατ᾽ ἰδίαν τιμῶμεν, μνήμην ἰδικὴν ἐπιτελοῦντες· ἐπειδὴ δὲ πολλοὶ ἀγνώριστοι ἡμῖν, καὶ ὁ ἀριθμὸς αὐτῶν κατὰ καιροὺς ἐπολλαπλασιάσθη, καὶ ἔτι πολλαπλασιάζεται, καὶ ἕως τῆς συντελείας πληθυνθήσεται· Ἐξαριθμήσομαι γὰρ αὐτοὺς, λέγει ὁ Προφήτης, καὶ ὑπὲρ ἄμμον πληθυνθήσονται· διὰ τοῦτο ἅπαξ τοῦ ἐνιαυτοῦ πάντων τῶν Ἁγίων τὴν μνήμην ἑορτάζοντες, πάντας καὶ τοὺς γνωστοὺς, καὶ τοὺς ἀγνώστους, καὶ τοὺς προστεθέντας, καὶ τοὺς προστιθεμένους μετ᾽ εὐλαβείας τιμῶμεν· τοὺς πρὸ νόμου Δικαίους, τοὺς ἐν νόμῳ Προφήτας, τοὺς μετὰ Χριστὸν Ἀποστόλους, Μάρτυρας, Ὁμολογητὰς, Ποιμένας, Διδασκάλους, Ὁσίους, πάντας, λέγω, τοὺς ἀπὸ Ἀδὰμ ἕως τῆς σήμερον ἐν εὐσεβείᾳ τελειωθέντας, καὶ διὰ τῶν καλῶν ἔργων τὸν Θεὸν δοξάσαντας, ἐπαινοῦμεν καὶ μακαρίζομεν, παράδειγμα ἀρετῆς τὸν βίον αὐτῶν προτιθέμενοι, καὶ παρακαλοῦντες αὐτοὺς, ἵνα ὑπὲρ ἡμῶν πρὸς τὸν Θεὸν πρεσβεύωσιν. Ὅθεν καὶ τὸ σημερινὸν Εὐαγγέλιον ἀνεγνώσθη, ὡς περιέχον τὰ λόγια, τὰ προτρέψαντα αὐτοὺς εἰς τὰ μεγάλα τῆς ἀρετῆς κατορθώματα, εἰς τὴν πρὸς Θεὸν ἔνθερμον πίστιν, εἰς τὴν πρὸς αὐτὸν τελείαν ἀγάπην, εἰς τὴν παντὸς τοῦ κόσμου περιφρόνησιν· ἔτι δὲ ὡς περιέχον καὶ τὰ λόγια τὰ δηλοποιοῦντα

τὴν

τὴν παρὰ Θεοῦ πρὸς τοὺς Ἁγίους ἀνταπόδοσιν· ἵνα, καθὼς ἐκεῖνοι, ἀκούσαντες αὐτὰ καὶ φυλάξαντες, φίλοι Θεοῦ γεγόνασι, καὶ κληρονόμοι τῆς βασιλείας αὐτοῦ· οὕτω καὶ ἡμεῖς, μετὰ τῆς αὐτῆς προθυμίας ἀκούσαντες αὐτὰ, καὶ φυλάξαντες, τῶν ἴσων ἀξιωθῶμεν βραβείων καὶ δωρεῶν. Μετὰ πάσης λοιπὸν εὐλαβείας καὶ προσοχῆς ἀκούσατε τὰ τοῦ Κυρίου ἡμῶν θεῖα εὐαγγελικὰ λόγια.

Ματ. ί. 32. Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς· Πᾶς, ὅς τις ὁμολογήσει ἐν ἐμοὶ ἔμπροσθεν τῶν ἀνθρώπων, ὁμολογήσω κἀγὼ ἐν αὐτῷ ἔμπροσθεν τοῦ Πατρός μου τοῦ ἐν οὐρανοῖς.

Ὅστις, λέγει, ὁμολογήσει ἔμπροσθεν τῶν ἀνθρώπων, ὅτι ἐγώ εἰμι ὁ Χριστὸς, ὁ Υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος, καὶ ἐγὼ ὁμολογήσω ἔμπροσθεν τοῦ ἐπουρανίου Πατρός μου, ὅτι ὁ ἄνθρωπος ἐκεῖνος ἐστὶ πιστὸς καὶ ἀληθινὸς μαθητής μου. Διατί δὲ ζητεῖ ὁ Θεὸς τὴν ὁμολογίαν τῆς πίστεως ἔμπροσθεν τῶν ἀνθρώπων; ὅταν ἡ καρδία ἡμῶν πιστεύσῃ, ὅτι ὁ Χριστός ἐστιν ὁ Υἱὸς τοῦ Θεοῦ, τίς ἡ ἀνάγκη, ἵνα ὁμολογῶμεν τοῦτο καὶ ἔμπροσθεν τῶν ἀνθρώπων, μάλιστα ὅταν ἡ τοιαύτη ὁμολογία φέρῃ θανάτου κίνδυνον; Ἐπειδὴ ὁ ἄνθρωπος σύνθετός ἐστιν ἐκ ψυχῆς καὶ σώματος, δοξάζεται δὲ ὑπὸ Θεοῦ, μετὰ τὴν ἐκ νεκρῶν ἀνάστασιν καὶ τὴν παγκόσμιον κρίσιν, οὐ μόνον ἡ ψυχὴ, ἀλλὰ καὶ τὸ σῶμα· διὰ τοῦτο, εἰς πᾶσαν ἀρετὴν, πρέπον ἐστὶν, ἵνα συνεργήσῃ οὐ μόνον ἡ ψυχὴ, ἀλλὰ καὶ τὸ σῶμα. Ἡ ψυχὴ δέχεται καὶ στέργει τὰ πιστευόμενα, ἵνα φανῇ δικαία ἐνώπιον τοῦ Θεοῦ, ὡς ἀποῤῥίψασα πᾶν ψεῦδος, καὶ ἐναγκαλισαμένη τὴν ἀλήθειαν· Καρδίᾳ γὰρ, λέγει ὁ θεῖος Ἀπόστολος, πιστεύεται εἰς δικαιοσύνην. Τὸ δὲ σῶμα, ἤγουν τὸ στόμα, τὰ χείλη, ἡ γλῶσσα, κηρύττει ἐκεῖνο, ὅπερ ἡ ψυχὴ πιστεύει, ἵνα ἀπολαύσῃ ὁ ἄνθρωπος τῆς αἰωνίου σωτηρίας· Στόματι δὲ ὁμολογεῖται εἰς σωτηρίαν. Τοιουτοτρόπως δὲ συγκροτεῖται ἡ τελεία ἀρετὴ τῆς πίστεως, καὶ γίνεται σωτηρίας πρόξενος· Ὅτι, ἐὰν ὁμολογήσῃς ἐν τῷ στόματί σου Κύριον Ἰησοῦν, καὶ πιστεύσῃς ἐν τῇ καρδίᾳ σου, ὅτι ὁ Θεὸς ἤγειρεν αὐτὸν ἐκ νεκρῶν, σωθήσῃ. Ἡ πίστις χωρὶς τῆς ὁμολογίας ἐστὶ πίστις κρυπτὴ, ἀτελὴς, καὶ ὑποκριτική· ὅταν ἄλλο μὲν πιστεύωμεν τῇ καρδίᾳ, ἄλλο δὲ ὁμολογῶμεν τῷ στόματι, τότε ἐσμὲν ὑποκριταὶ, καὶ ψεῦσται· ἐὰν πιστεύωμεν τῇ καρδίᾳ καὶ διὰ τὸν φόβον, ἢ δι' ἄλλο κοσμικὸν τέλος, οὐχ ὁμολογῶμεν τὰ πιστευόμενα ἐνώπιον τῶν ἀνθρώπων, ἐσμὲν μικρόψυχοι καὶ φιλόζωοι· ὁ φόβος τῶν ἀνθρώπων ἐστὶ μείζων τῆς πίστεως ἡμῶν, καὶ ἡ φιλοζωΐα μείζων τῆς πρὸς Θεὸν ἀγάπης. Ἡ πίστις δὲ ἡ ὁμολογουμένη ἐστὶ πίστις φανερὰ, τελεία, ἀνυπόκριτος· ὅστις πιστεύει τῇ καρδίᾳ, καὶ ὁμολογεῖ τῷ στόματι, ἐκεῖνος ἔχει πίστιν τελείαν, στερεὰν, ἀληθινὴν, ἐκεῖνος ἔχει πίστιν μείζονα τοῦ φόβου τῶν ἀνθρώπων, καὶ ἀγάπην εἰς τὸν Θεὸν, μείζονα τῆς ἰδίας ζωῆς. Ἀλλ' ἆρά γε τόσον ἀναγκαία ἐστὶν ἡ τοιαύτη ὁμολογία, ὥστε ἐὰν λείψῃ αὐτὴ, λείπῃ καὶ ἡ σωτηρία; Ναί.

Ῥωμ. ί. 10. — Αὐτόθι. — Αὐτ. 9.

Ματ. ί. 33. Ὅς τις δ' ἂν ἀρνήσηταί με ἔμπροσθεν τῶν ἀνθρώπων, ἀρνήσομαι αὐτὸν κἀγὼ ἔμπροσθεν τοῦ Πατρός μου τοῦ ἐν οὐρανοῖς.

Ἀπόφασις δεσποτική, φοβερά, καὶ δικαία! Ἠρνήθης, λέγει, ἔμπροσθεν τῶν ἀνθρώπων, ὅτι ἐγώ εἰμι Θεός; ἀρνηθήσομαι καὶ ἐγὼ ἔμπροσθεν τοῦ Πατρός μου τοῦ ἐν οὐρανοῖς, ὅτι σὺ εἶ πιστός μου μαθητής. Διὰ τοῦτο οἱ πανεύφημοι Μάρτυρες, ἵνα μηδὲ τὰ χείλη αὐτῶν κινήσωσι πρὸς ἄρνησιν Χριστοῦ, πᾶσαν δριμυτάτην βάσανον, καὶ πολυποίκιλα ὀξύτατα παιδευτήρια ὑπέμειναν, καὶ τὸ αἷμα αὐτῶν ἐξέχεαν, καὶ τὸν θάνατον μετὰ χαρᾶς ἐδέχθησαν, ἕως ἐσχάτης αὐτῶν ἀναπνοῆς, παῤῥησίᾳ ἐνώπιον Βασιλέων καὶ τυράννων κηρύττοντες καὶ ὁμολογοῦντες, ὅτι ὁ Ἰησοῦς Χριστός ἐστιν ὁ Υἱὸς τοῦ Θεοῦ, καὶ ὁ Λυτρωτὴς τοῦ κόσμου. Οὐαὶ λοιπὸν εἰς τὸν τρισάθλιον ἐκεῖνον ἄνθρωπον, ὅστις, ἢ διὰ ἀπόλαυσιν πλούτου καὶ δόξης, ἢ διὰ ἐκτέλεσιν σωματικῆς ἐπιθυμίας, ἢ διὰ ἀπαλλαγὴν παθημάτων, ἢ διὰ φόβον θανάτου ἀρνηθῇ τοῦ Ἰησοῦ Χριστοῦ τὸ σωτήριον ὄνομα· αὐτὸς ἐχωρίσθη ἀπὸ τοῦ Θεοῦ, αὐτὸς ἀπηλλοτριώθη τῆς οὐρανῶν βασιλείας. Ἀλλὰ πῶς ὁ Πέτρος, ἀρνηθεὶς μεθ' ὅρκου καὶ ἀναθέματος τὸν Χριστὸν, πάλιν Ἀπόστολος ἔμεινε, καὶ
Ἰωάν. ϛ'. 37. φίλος Χριστοῦ, καὶ ἅγιος; Ὁ Θεὸς τὸν ἐπιστρέφοντα καὶ ἐρχόμενον πρὸς αὐτὸν,
Ματ. κϛ'. 75. οὐκ ἐκβάλλει ἔξω· ὁ Πέτρος μετὰ τὴν ἄρνησιν ἔκλαυσεν εὐθὺς πικρῶς, μετὰ τὴν ἀνάστασιν τρὶς ὡμολόγησεν, ὅτι ἀγαπᾷ τὸν Χριστόν· ὃν δὲ ἠρνήσατο ἐν μιᾷ αὐλῇ ἑνὸς Ἀρχιερέως, ἐκήρυξε Θεὸν εἰς πᾶσαν πόλιν καὶ χώραν, καὶ ὑπὲρ τοῦ ὀνόματος αὐτοῦ τὸ αἷμα αὐτοῦ ἐξέχεε, καὶ σταυρικὸν ὑπέμεινε θάνατον· ὅθεν τὰ μὲν δάκρυα καὶ ἡ τριττὴ ὁμολογία ἐξήλειψαν τῆς ἀρνήσεως τὴν ἁμαρτίαν, καὶ ἐπέστρεψαν τὸ ἀποστολικὸν χάρισμα· τὸ δὲ κήρυγμα τῆς πίστεως, καὶ ὁ ὑπὲρ Χριστοῦ θάνατος ἔδωκαν αὐτῷ τῆς ἁγιωσύνης τὴν τελειότητα. Ταῦτα δὲ νομοθετήσας ὁ Κύριος ἡμῶν περὶ τῆς εἰς αὐτὸν πίστεως, καὶ περὶ τῆς πρὸς αὐτὸν ἀγάπης, ἔπειτα προσέταξε, λέγων·

Ὁ φιλῶν πατέρα ἢ μητέρα ὑπὲρ ἐμὲ, οὐκ ἔστι μου ἄξιος· καὶ ὁ φιλῶν υἱὸν ἢ θυγατέρα ὑπὲρ ἐμὲ, οὐκ ἔστι μου ἄξιος. Ματ. ι'. 37.

Σημείωσαι, ὅτι οὐκ εἶπεν ἁπλῶς, ὁ φιλῶν πατέρα ἢ μητέρα· ἀλλὰ προσέθηκε τὸ, ὑπὲρ ἐμέ· διότι τὸν πατέρα ἡμῶν καὶ τὴν μητέρα, τοὺς υἱοὺς καὶ τὰς θυγατέρας οὐχὶ μόνον ὁ νόμος τῆς φύσεως ἀναγκάζει, ἀλλὰ καὶ ἡ ἐντολὴ τοῦ Θεοῦ προστάσσει, ἵνα καὶ ἀγαπῶμεν, καὶ παντὶ τρόπῳ περιθάλπωμεν. Πρέπον ὅμως ἐστὶν, ἵνα τὸ μέτρον αὐτῆς τῆς ἀγάπης ὑπάρχῃ πολλὰ μικρότερον τῆς πρὸς τὸν Θεόν· ἀνάγκη ἐστὶν, ἵνα ἡ πρὸς τὸν Θεὸν ἀγάπη ὑπερβαίνῃ κατὰ πάντα καὶ διὰ πάντα τὴν συγγενικήν· διότι, καθὼς θέλει ὁ Θεὸς παρ' ἡμῶν τελείαν πίστιν, οὕτω ζητεῖ καὶ τελείαν ἀγάπην· θέλει, ἵνα ἀγαπῶμεν αὐτὸν περισσότερον καὶ αὐτῶν τῶν συγγενῶν ἡμῶν, ὧν ἡ φύσις οὐδὲν ἔχει πλέον ἀγαπητόν. Τίμα, ναὶ, καὶ ἀγάπα τὸν πατέρα σου καὶ τὴν μητέρα σου, καὶ μετὰ πάσης εὐλαβείας ὑποτάσσου εἰς τὸ θέλημα αὐτῶν· ἀλλ' ἐὰν ὁ πατήρ σου ἢ ἡ μήτηρ σου συμβουλεύῃ σε, ἵνα ἀρνηθῇς τὴν πίστιν σου, τότε μὴ εὐλαβηθῇς τὸ πρόσωπον αὐτῶν, τότε μὴ ὑπακούσῃς τῷ αὐτῶν προστάγματι. Ἀγάπα τὸν πατέρα σου καὶ τὴν μητέρα σου, καὶ περιποιοῦ αὐτοὺς μετὰ πάσης ἐπιμελείας· ἀλλ' ἐὰν ὁ πατήρ σου, ἢ ἡ μήτηρ σου προτρέπῃ σε, ἵνα κλέψῃς, ἢ ψευδομαρτυρή-

ρήσῃς, ἢ ἀθετήσῃς μίαν τῶν ἐντολῶν τοῦ
Θεοῦ, τότε μὴν ἀκούσῃς αὐτῶν, μὴ προ-
τιμήσῃς τοὺς γονεῖς σου τοῦ Θεοῦ, μὴ
καταπατήσῃς τὴν θείαν ἐντολὴν, διὰ τὴν
ἀγάπην τῶν γονέων σου. Ἀγάπα ὅσον
θέλεις τὸν υἱόν σου καὶ τὴν θυγατέρα
σου· ἀλλ' ἐὰν αὐτοὶ γίνωνταί σοι πρό-
σκομμα εἰς τὴν πίστιν, καὶ παρακίνη-
μα ἀθετήσεως τῶν προσταγμάτων τοῦ
Θεοῦ, μὴ ἀγαπήσῃς ὑπὲρ τὸν Θεὸν τὸν
Δευτ. ιγ'. υἱόν σου καὶ τὴν θυγατέρα σου· Ἐὰν
6. δὲ, λέγει ὁ Θεὸς, παρακαλέσῃ σε ὁ
ἀδελφός σου ἐκ πατρός σου ἢ ἐκ
μητρός σου, ἢ ὁ υἱός σου, ἢ θυγά-
τηρ, ἢ ἡ γυνή σου ἡ ἐν τῷ κόλπῳ
σου, ἢ φίλος ἴσος τῇ ψυχῇ σου λά-
θρα, λέγων· Βαδίσωμεν καὶ λα-
τρεύσωμεν θεοὺς ἑτέρους, οὓς
οὐκ ᾔδεις σὺ καὶ οἱ πατέρες σου.
Αὐτ. 8. Οὐ συνθελήσεις αὐτῷ, καὶ οὐκ
εἰσακούσῃ αὐτοῦ, καὶ οὐ φείσε-
ται ὁ ὀφθαλμός σου ἐπ' αὐτῷ, οὐκ
ἐπιποθήσεις ἐπ' αὐτῷ, οὐδ' οὐ μὴ
σκεπάσῃς αὐτόν. Ὅστις ἀγαπᾷ τοὺς
γονεῖς ἢ τὰ τέκνα αὐτοῦ περισσότερον
τοῦ Θεοῦ, οὐκ ἔστιν ἄξιος μαθητὴς τοῦ
Χριστοῦ, οὐκ ἔστιν ἄξιος τοῦ κληρονο-
μῆσαι τὴν τῶν οὐρανῶν βασιλείαν. Ἀλ-
λ' ἐὰν ἀγαπῶ τὸν Θεὸν ὑπὲρ τοὺς συγ-
γενεῖς, γίνομαι ἆράγε διὰ τούτου μόνου
ἄξιος τῆς βασιλείας τοῦ Θεοῦ; Οὐχί·
τοῦτο μόνον οὐκ ἀρκεῖ· διότι τοῦτο οὐκ
ἔστιν ἡ τελεία ἀγάπη· πρέπον ἐστὶν,
ἵνα ἀγαπῶ τὸν Θεὸν, οὐ μόνον περισσό-
τερον τῶν συγγενῶν μου, ἀλλὰ καὶ πε-
ρισσότερον τοῦ ἑαυτοῦ μου. Διὰ τοῦτο
οὖν προσέθηκεν ὁ Κύριος ἡμῶν τὰ ἑξῆς·

Ματ. ι'. **Καὶ ὃς οὐ λαμβάνει τὸν σταυ-**
38. **ρὸν αὐτοῦ, καὶ ἀκολουθεῖ ὀ-**
**πίσω μου, οὐκ ἔστι μου ἄξιος.**

Τί ἐστιν ὁ σταυρός; Ἡ νέκρωσις
τῶν παθῶν τῆς σαρκὸς, καὶ τῶν ἐπιθυ-
μιῶν τοῦ κόσμου· διότι καὶ τὸ, ἐστάυ-
ρωσαν, σημαίνει τὸ, ἐνέκρωσαν, καθὼς
ἐφανέρωσεν ὁ θεῖος Ἀπόστολος, λέγων·
Οἱ μαθηταὶ τοῦ Χριστοῦ τὴν σάρ- Γαλ. ε'.
κα ἐστάυρωσαν σὺν τοῖς παθή- 24.
μασι καὶ ταῖς ἐπιθυμίαις. Ἐ- Αὐτ. ς'.
μοὶ δὲ μὴ γένοιτο καυχᾶσθαι, εἰ- 14.
μὴ ἐν τῷ σταυρῷ τοῦ Κυρίου ἡ-
μῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ ἐμοὶ
κόσμος ἐσταύρωται, κἀγὼ τῷ κό-
σμῳ. Ὥστε ἐκεῖνος λαμβάνει τὸν σταυ-
ρὸν, ὅστις καταδαμάζει τὴν σάρκα, καὶ
φεύγει τὰς τοῦ βίου ἡδονάς· ἐκεῖνος γί-
νεται σταυροφόρος, ὅστις καταστήσει νε-
κρὰ τῆς σαρκὸς τὰ πάθη, καὶ τοῦ κό-
σμου τὰς ἐπιθυμίας. Πῶς δὲ ἀκολου-
θοῦμεν ὀπίσω τοῦ Χριστοῦ; Ἀκολου-
θοῦντες τοῖς ἴχνεσιν αὐτοῦ, ἤγουν ζῶν-
τες καθὼς καὶ αὐτὸς ἔζησε· Χριστὸς Α'. Πέτρ.
ἔπαθεν ὑπὲρ ὑμῶν, ὑμῖν ὑπολιμ- β'. 21.
πάνων ὑπογραμμὸν, ἵνα ἐπακο-
λουθήσητε τοῖς ἴχνεσιν αὐτοῦ.
Ἐκεῖνος λοιπὸν ἀκολουθεῖ τῷ Χριστῷ,
ὅστις στήσει τὴν ζωὴν τοῦ Χριστοῦ ἔμ-
προσθεν τῶν ὀφθαλμῶν αὐτοῦ ὡς τύ-
πον καὶ κανόνα, καὶ μιμηθῇ κατὰ τὸ
δυνατὸν πάντα τὰ ἔργα αὐτοῦ· διὰ τοῦ-
το ὁ Παῦλος, ὁ τὸν Χριστὸν ἀκολουθή-
σας, ἔλεγε· Μιμηταί μου γίνεσθε, Α'. Κορ.
καθὼς κἀγὼ Χριστοῦ. Βλέπε δὲ ια'. 1.
τῶν θείων λόγων τὴν ἀκρίβειαν· πρῶτον
εἶπε τὸ, λαμβάνει τὸν σταυρὸν, ἔ-
πειτα τὸ, ἀκολουθεῖ ὀπίσω μου,
διότι πρῶτον ὁ μαθητὴς τοῦ Χριστοῦ
νεκροῖ τὰ πάθη τῆς σαρκὸς, καὶ τὰς ἐ-
πιθυμίας τοῦ κόσμου, ἔπειτα κατορθοῖ
τὰς ἀρετὰς τοῦ Ἰησοῦ Χριστοῦ. Ὅστις
λοιπὸν οὐ κατορθώσει τὰ δύω ταῦτα,
ἐκεῖνος οὐκ ἔστιν ἄξιος τῆς μαθητείας
τοῦ Ἰησοῦ Χριστοῦ, οὐκ ἔστιν ἄξιος τῆς
ἐπουρανίου τοῦ Θεοῦ βασιλείας.

Ἀπο-

Ματ. ιθ΄. 27. Ἀποκριθεὶς δὲ ὁ Πέτρος, εἶπεν αὐτῷ· Ἰδοὺ ἡμεῖς ἀφήκαμεν πάντα, καὶ ἠκολουθήσαμέν σοι, τί ἄρα ἔσται ἡμῖν;

Ταῦτα ἀπεκρίθη ὁ Πέτρος, οὐχ ὅταν ὁ Κύριος εἶπε τὰ προειρημένα λόγια, ἀλλ᾽ ὅταν ἐδίδαξε τὸν νεανίσκον τὰ
Αὐτ. 21. περὶ τῆς τελειότητος, εἰπών· Εἰ θέλεις τέλειος εἶναι, πώλησόν σου τὰ ὑπάρχοντα, καὶ δὸς πτωχοῖς· καὶ ἕξεις θησαυρὸν ἐν οὐρανῷ· καὶ δεῦρο ἀκολούθει μοι. Ἐτέθη δὲ αὕτη ἡ εὐαγγελικὴ περικοπή, καὶ αἱ ἐφεξῆς εἰς τοῦτον τὸν τόπον, καὶ συνήφθη μετὰ τῶν προλεχθέντων τοῦ Ἰησοῦ Χριστοῦ λόγων, διὰ τὴν σημερινὴν ἑορτήν, ἐπειδὴ ταῦτα τὰ ῥήματα διαλαμβάνουσι περὶ τῆς ἀρετῆς τῶν Ἁγίων, καὶ τῆς ἀνταποδόσεως τοῦ Θεοῦ πρὸς αὐτούς. Ποῖον δὲ τοῦ Πέτρου τὸ ἐρώτημα; Ἰδού, λέγει, ἡμεῖς ἀφήκαμεν πάντα, καὶ ἠκολουθήσαμέν σοι, ποία ἔσται ἡ ἀμοιβὴ ἡμῶν; ἀλλὰ πτωχὸς ἁλιεύς, καθὼς ὁ Πέτρος, τί εἶχε, καὶ τί ἀφῆκε; τὸ πλοιάριον, τὸ δίκτυον, τὸν κάλαμον, τὸ ἄγκιστρον· ταῦτα δὲ ἄραγε τὰ εὐτελῆ καὶ οὐδαμινὰ πράγματα ἐνόησεν ὁ Πέτρος, ὅταν ἔλεγεν· ἰδοὺ ἡμεῖς ἀφήκαμεν πάντα; Ναὶ αὐτά· διότι, καθὼς εἰς τοὺς πλουσίους πολύτιμά εἰσι καὶ ἀγαπητὰ τὰ μεγάλα πράγματα, οὕτως εἰς τοὺς πτωχοὺς περισπούδαστά εἰσι καὶ τίμια τὰ εὐτελῆ καὶ μικρά· ὁ δὲ Θεός, ὁ ἐπιβλέπων ἐπὶ τὴν γνώμην τοῦ ἀνθρώπου, καὶ οὐχὶ ἐπὶ τὴν ποσότητα τῶν πραγμάτων, ἀποδίδωσιν ἐπίσης τῷ πλουσίῳ καὶ τῷ πένητι τὰς ἀμοιβάς. Εἰπὼν δὲ ὁ Πέτρος τό, πάντα, καὶ τὰ λοιπὰ ἐνόησε, καὶ ὅσα δηλαδὴ ἀνάγονται εἰς τοῦ ἀνθρώπου τὰ ἤθη· Ἰδοὺ ἡμεῖς ἀφήκαμεν πάντα· ἀφήκαμεν καὶ τῶν ἐχθρῶν τὰ ὀφειλήματα, καὶ τοῦ βίου τὰ σκάνδαλα, καὶ τῆς σαρκὸς τὴν εὐπάθειαν, καὶ τοῦ κόσμου τὴν ματαιότητα. Ὥστε, ὑπὸ Θεοῦ φωτισθεὶς ὁ Πέτρος, ἐλάλησεν, ἵνα, διὰ τῆς ἐρωτήσεως αὐτοῦ, καὶ τῆς ἀποκρίσεως τοῦ Κυρίου ἡμῶν, μάθωμεν, ὅτι ἕκαστος τῶν εἰς Χριστὸν πιστευόντων, εἴτε πλούσιος καὶ ἀξιωματικός, εἴτε πένης καὶ ἄσημος ἄνθρωπος, δεσπότης, δοῦλος, βασιλεύς, ἰδιώτης, πάσης τάξεως καὶ ἡλικίας καὶ καταστάσεως, δύναται, ἐὰν θέλῃ, εἰπεῖν τῷ Χριστῷ. Ἰδοὺ ἐγὼ ἀφῆκα πάντα· ἰδοὺ ἐγὼ ἀφῆκα πᾶσαν τὴν περιουσίαν μου, κἂν τε πολλὴ καὶ πολύτιμος, κἂν ὀλίγη καὶ οὐτιδανή· ἰδοὺ ἀφῆκα τὸν φθόνον, τὸ μῖσος, τὴν ἐκδίκησιν· ἰδοὺ ἀφῆκα τὴν ἀδικίαν, τὴν πλεονεξίαν, τὴν φιλαργυρίαν· ἰδοὺ ἀφῆκα τὴν κοιλιοδουλείαν, τὴν μέθην, τὴν ἀσέλγειαν· ἰδοὺ ἐγὼ ἀφῆκα πᾶσαν ἁμαρτίαν. Τί δὲ ὑπόσχεται ὁ θεῖος Διδάσκαλος εἰς τοὺς ἀφέντας πάντα, καὶ ἀκολουθήσαντας αὐτῷ;

Ὁ δὲ Ἰησοῦς εἶπεν αὐτοῖς. Ματ. ιθ΄. 28.
Ἀμὴν λέγω ὑμῖν, ὅτι ὑμεῖς οἱ ἀκολουθήσαντές μοι, ἐν τῇ παλιγγενεσίᾳ, ὅταν καθίσῃ ὁ Υἱὸς τοῦ ἀνθρώπου ἐπὶ θρόνου δόξης αὐτοῦ, καθίσεσθε καὶ ὑμεῖς ἐπὶ δώδεκα θρόνους, κρίνοντες τὰς δώδεκα φυλὰς τοῦ Ἰσραήλ.

Ἰδοὺ τὰ βραβεῖα τῶν θεοφόρων Ἀποστόλων. Καὶ παλλιγγενεσίαν μὲν λέγει τὸν ἀνακαινισμὸν καὶ τὴν ἀναγένεσιν πάσης τῆς κτίσεως· διότι, κατὰ τὴν

ἡμέ-

ἡμέραν τῆς δευτέρας τοῦ Κυρίου παρου-
σίας, πᾶσα ἡ κτίσις μεταβάλλεται ἐκ
Ῥωμ. η'. τῆς φθορᾶς εἰς τὴν ἀφθαρσίαν· Ὅτι
21. καὶ αὐτὴ ἡ κτίσις ἐλευθερωθή-
σεται ἀπὸ τῆς δουλείας τῆς φθο-
ρᾶς εἰς τὴν ἐλευθερίαν τῆς δόξης
Β'. Πέτρ. τῶν τέκνων τοῦ Θεοῦ. Καινοὺς
γ'. 13. δὲ οὐρανοὺς καὶ γῆν καινὴν κατὰ
τὸ ἐπάγγελμα αὐτοῦ προσδοκῶ-
μεν, ἐν οἷς δικαιοσύνη κατοικεῖ·
καὶ οἱ ἀπ' αἰῶνος δὲ νεκροὶ ἀνίστανται
ἄφθαρτοι, καὶ οἱ τότε ἔτι ζῶντες ἀλ-
Α'. Κορ. λαγήσονται· Σαλπίσει γάρ· καὶ οἱ
ιε'. 52, 53. νεκροὶ ἐγερθήσονται ἄφθαρτοι,
καὶ ἡμεῖς ἀλλαγησόμεθα. Δεῖ
γὰρ τὸ φθαρτὸν τοῦτο ἐνδύσασ-
θαι ἀφθαρσίαν, καὶ τὸ θνητὸν
τοῦτο ἐνδύσασθαι ἀθανασίαν.
Υἱὸν δὲ ἀνθρώπου ἀντὶ τοῦ, ἄνθρωπον,
ἑαυτὸν λέγει ὁ Κύριος, φυλάττων τῶν
ἁγίων Γραφῶν τὴν συνήθειαν, αἵτινες
ἀντὶ τοῦ, ἄνθρωπος, τὸ, υἱὸς ἀνθρώ-
Ψαλ. δ'. που, γράφουσι, καθὼς ἐν τῷ, Υἱοὶ ἀν-
3. θρώπων, ἕως πότε βαρυκάρδιοι;
Αὐτ. ξα'. καὶ ἐν τῷ, Μάταιοι οἱ υἱοὶ τῶν
9. ἀνθρώπων, ψευδεῖς οἱ υἱοὶ τῶν
Ἰεζ. β'. ἀνθρώπων, καὶ ἐν τῷ, Εἶπε πρός
3. με, υἱὲ ἀνθρώπου, καὶ ἐν ἄλλοις
πολλοῖς ὁμοίως. Ἀκούων δὲ τὸ, καθί-
σεσθε, καὶ τοὺς θρόνους, καὶ τὸ
κρίνοντες, μὴ νοήσῃς μήτε σωματικὸν
Ματ. κβ'. κάθισμα, μήτε ὑλικὰς καθέδρας· διότι
30. ἐν τῇ ἀναστάσει πάντες οἱ ἄνθρωποι
Α'. Κορ. ὡς Ἄγγελοί εἰσι, σώματα πνευματικὰ
ιε'. 41. ἔχοντες, καὶ σύμμορφα τῷ σώματι
Φιλιπ. γ'. τῆς δόξης τοῦ Χριστοῦ· μήτε, ὅτι οἱ
21. Ἀπόστολοι μέλλουσι κρῖναι τὰς δώδεκα
φυλὰς τοῦ Ἰσραήλ· ἐπειδὴ εἷς μόνος ὁ
κριτὴς πάντων, ὁ μονογενὴς Υἱὸς τοῦ
Ἰωάν. ε'. Θεοῦ· Καὶ γὰρ οὐδὲ ὁ Πατὴρ κρί-
22. νει οὐδένα, ἀλλὰ τὴν κρίσιν πᾶ-
σαν δέδωκε τῷ Υἱῷ. Δηλοῦσι δὲ οἱ
μὲν θρόνοι, τὴν ἄφατον τιμὴν καὶ δό-
ξαν· τὸ δὲ κάθισμα, τὸ στερεὸν καὶ ἑ-
δραῖον καὶ ἀκίνητον τῆς δόξης ἐκείνης·
τὸ δὲ, κρίνοντες, τὸ ἐλέγχοντες· ὅσοι
δηλαδὴ οἱ ἐκ τῶν δώδεκα φυλῶν καταγό-
μενοι Ἑβραῖοι, προφασιζόμενοι λέγωσιν,
ὅτι οὐκ ἠδυνήθησαν πιστεῦσαι τῷ Χρι-
στῷ, ἐπειδὴ ἐμπόδιζεν αὐτοὺς ὁ μωσαϊ-
κὸς νόμος, τότε, βλέποντες τοὺς Ἀποσ-
τόλους, οἵτινες, ἐξ Ἑβραίων ὄντες, ἐπί-
στευσαν, καὶ τοσαύτης δόξης ἔτυχον, ἐ-
λεγχθήσονται καὶ ἐπιστομιθήσονται· ὁ-
μοίως δὲ καὶ ἡ Βασίλισσα νότου Ματ. ιβ'.
ἐγερθήσεται ἐν τῇ κρίσει μετὰ 42.
τῆς γενεᾶς ταύτης, καὶ κατακρι-
νεῖ αὐτήν. Ἐπειδὴ δὲ μεγάλην καὶ ὑ-
πέρτιμον δόξαν καὶ ἀξίαν νομίζουσιν οἱ
ἄνθρωποι, ἐάν τις κάθηται ἐπὶ θρόνου
ἐνώπιον τινὸς Βασιλέως ἐπιγείου, ὅταν
αὐτὸς κριτὴς κάθηται ἐπὶ τοῦ θρόνου
αὐτοῦ μετὰ πάσης τῆς βασιλικῆς με-
γαλοπρεπείας καὶ παρατάξεως, διὰ τοῦ-
το, ἵνα δηλοποιήσῃ ἡμῖν ὁ Θεάνθρωπος
τὸ ἐξαίρετον τῆς δόξης, καὶ τὴν ὑπερ-
βάλλουσαν τιμὴν τῶν θεοκηρύκων Ἀπο-
στόλων, εἶπεν· Ὅτι εἰς τὸν καιρὸν τῆς
παλιγγενεσίας, ὅταν αὐτὸς καθίσῃ ἐπὶ
θρόνου δόξης αὐτοῦ κρῖναι πᾶσαν τὴν
γῆν, τότε καὶ αὐτοὶ καθίσωσιν ἐπὶ δώ-
δεκα θρόνων, πρὸς ἔλεγχον καὶ κατάκρι-
σιν τῶν δώδεκα φυλῶν τοῦ Ἰσραήλ.
Τοιουτοτρόπως δὲ παραστήσας τὸ ὑπε-
ρέχον τῆς δόξης τῶν Ἀποστόλων, προ-
στίθησιν ἔπειτα καὶ τὰς ἀμοιβὰς τῶν
λοιπῶν ἁγίων, λέγων·

Καὶ πᾶς ὅς τις ἀφῆκεν οἰ- Αὐτ. ιθ'.
κίας, ἢ ἀδελφοὺς, ἢ ἀδελφὰς, 29.
ἢ πατέρα, ἢ μητέρα, ἢ γυναῖ-
κα, ἢ τέκνα, ἢ ἀγροὺς, ἕνε-
κεν τοῦ ὀνόματός μου, ἑκατοντα-

ταπλασίονα λήψεται, καὶ ζωὴν αἰώνιον κληρονομήσει.

Σημείωσαι, ὅτι οὐ παραγγέλλει σοι ὁ Κύριος, ἵνα ἀφήσῃς τὰς οἰκίας σου καὶ τοὺς ἀγρούς σου, ἢ ἵνα χωρισθῇς ἀπὸ τῆς γυναικός σου καὶ τῶν λοιπῶν συγγενῶν σου ἁπλῶς καὶ ὡς ἔτυχεν· ἀλλ' ἕνεκεν τοῦ ὀνόματός μου, λέγει, ἤγουν διὰ τὸ ὄνομα αὐτοῦ, ὅπερ ἐστὶ διὰ τὴν πίστιν τὴν ὀρθόδοξον, καὶ διὰ τὴν τῶν θείων αὐτοῦ ἐντολῶν φυλακήν. Ἐὰν δηλαδὴ ἡ οἰκία σου, καὶ ὁ ἀγρός σου, καὶ οἱ συγγενεῖς σου γίνωνται ἐμπόδιον τῆς σωτηρίας σου· ἐὰν δὲ αὐτὰ κινδυνεύῃ ἡ πίστις σου, καὶ αὐτὰ ἐμποδίζωσί σοι τὴν ἐργασίαν τῶν ἐντολῶν τοῦ Θεοῦ· σὺ δὲ καταφρονήσῃς, καὶ ἐγκαταλείψῃς αὐτὰ, ἵνα μὴ ἀθετήσῃς τὴν πίστιν σου, ἢ τὰς θείας ἐντολὰς, τότε λαμβάνεις τὴν ἑκατονταπλάσιον ἀμοιβὴν, καὶ τὴν ζωὴν τὴν αἰώνιον. Ἀλλὰ πῶς ἔλαβον, λέγεις, εἰς τὴν παροῦσαν ζωὴν τὰ ἑκατονταπλασίονα; Ἐὰν στοχασθῇς τοὺς καιροὺς τῶν Ἀποστόλων, ὅτε ἡ καρδία καὶ ἡ ψυχὴ τῶν πιστευόντων ἦν μία· καὶ ὅτε οὐδεὶς ἔλεγεν ἴδια τὰ ὑπάρχοντα αὐτοῦ, ἀλλ' ἦσαν ἅπαντα κοινά· ὅτε, λέγω, οὐδεὶς πτωχὸς ἐν αὐτοῖς, διότι, ὅσοι εἶχον χωρία, καὶ οἰκίας, πωλοῦντες αὐτὰ, ἔφερον τὴν τιμὴν αὐτῶν, καὶ ἔβαλλον παρὰ τοὺς πόδας τῶν Ἀποστόλων· τότε βλέπεις, ὅτι ὅστις ἐγκατέλειπε μίαν οἰκίαν, εὕρισκεν ἑκατονταπλασίους· καὶ ὅστις ἐγκατέλειπεν ἕνα πατέρα, ἢ μίαν μητέρα, ἢ ἕνα ἀδελφὸν, εὕρισκε μυρίους πατέρας, καὶ μητέρας, καὶ ἀδελφοὺς, ὑπηρετοῦντας τὰ πρὸς τὴν χρείαν. Βλέπε δὲ τοὺς θείους Ἀποστόλους, τοὺς ἁγίους Μάρτυρας, τοὺς ὁσίους Ἀσκητάς· τί ἀφῆκαν αὐτοί; Μίαν οἰκίαν· ἀλλὰ πόσας οἰκίας, ἤγουν Ἐκκλησίας ἔχουσι τὴν σήμερον εἰς τὸ ὄνομα αὐτῶν ἀφιερωμένας! Τί ἀφῆκαν; Ἕνα πατέρα, ἢ μίαν μητέρα, ἢ δύω, ἢ τρεῖς ἀδελφοὺς καὶ ἀδελφὰς, ἢ μίαν γυναῖκα, ἢ ὀλίγα τέκνα, ἢ δύω ἢ τρεῖς ἀγρούς· πόσον δὲ πλῆθος Χριστιανῶν ἕως τῆς σήμερον, ἀνδρῶν τε καὶ γυναικῶν, νέων καὶ γερόντων, καὶ πάσης τάξεως ἀνθρώπων δοξολογεῖ αὐτοὺς, καὶ προσκυνεῖ ἕως ἐδάφους τῆς γῆς, καὶ δῶρα προσφέρει αὐτοῖς ἐν τῷ ὀνόματι Κυρίου, καὶ παρακαλεῖ αὐτοὺς, ἵνα πρὸς Θεὸν πρεσβεύωσι! Θέλων δὲ ὁ Θεάνθρωπος δεῖξαι τὸ ἀπροσωπόληπτον καὶ δίκαιον τῆς ἀνταποδόσεως αὐτοῦ, προστίθησι καὶ ταῦτα·

Πραξ. δ'. 32, 35.

Ματ. ιθ'. 30. Πολλοὶ δὲ ἔσονται πρῶτοι, ἔσχατοι· καὶ ἔσχατοι, πρῶτοι.

Πρῶτοι μὲν ἦσαν κατὰ τὴν πίστιν καὶ εὐσέβειαν οἱ Ἑβραῖοι, ὡς πρῶτοι γνωρίσαντες τὸν ἀληθινὸν Θεόν· ἔσχατοι δὲ οἱ ἐθνικοὶ, ὡς πρότερον εἰδωλολάτραι, ἔπειτα ἐν τοῖς ἐσχάτοις καιροῖς πιστοὶ γεγονότες καὶ εὐσεβεῖς. Πολλοὶ λοιπὸν, λέγει, τῶν Ἰουδαίων, πρῶτοι ὄντες, ἐπειδὴ οὐκ ἐπίστευσαν τῷ Χριστῷ, ἔσονται ἔσχατοι, ἤγουν ἀπερριμμένοι, καὶ τῆς βασιλείας τοῦ Θεοῦ ἐκβεβλημένοι· πολλοὶ δὲ τῶν ἐθνικῶν, ἔσχατοι ὄντες, ἐπειδὴ ἐν τοῖς ἐσχάτοις καιροῖς ἐπίστευσαν, ἔσονται πρῶτοι, καὶ τῆς βασιλείας τῶν οὐρανῶν μέτοχοι. Ἄκουσον δὲ καὶ ἄλλην ἑρμηνείαν. Πολλοὶ τῶν πιστευόντων, ἤγουν βασιλεῖς, μεγιστᾶνες, ἄρχοντες, πρῶτοι τῶν ἄλλων εἰς τοῦτον τὸν κόσμον, ἔσονται, κατὰ τὸ μέτρον τῆς θείας δόξης, ἔσχατοι ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν, ὡς ὀλίγας ἀρετὰς κατορθώσαντες· πολλοὶ δὲ πτωχοὶ,

ἀφ-

ἀφανεῖς, ἄσημοι, καὶ ἔσχατοι τῶν ἄλλων εἰς τὴν παροῦσαν ζωὴν, ἔσονται, διὰ τὰς πολλὰς αὐτῶν ἀρετὰς, πρῶτοι τῶν προειρημένων κατὰ τὸν βαθμὸν τῆς ἀπολαύσεως τῆς θείας δόξης· διότι πολλὰ τὰ μέτρα τῆς δόξης τοῦ Θεοῦ, μεταδιδόμενα ἑκάστῳ τῶν πιστῶν, κατὰ
Ἰωάν. ιδ'. 2. τὴν ποσότητα τῆς ἀρετῆς αὐτοῦ· *Ἐν τῇ οἰκίᾳ τοῦ Πατρός μου πολλαὶ μοναί εἰσι*. Καθὼς δὲ ἐπίσης πάντες οἱ ἄνθρωποι βλέπουσι τὸν ἥλιον, οὐκ ἐπίσης δὲ πάντες φωτίζονται· ἀλλ' ἐκεῖνοι περισσοτέρου τῶν ἄλλων φωτὸς μετέχουσιν, ὅσοι ὑγιεστέρους τῶν ἄλλων ἔχουσι τοὺς ὀφθαλμούς· οὕτως ἐπίσης πάντες οἱ δίκαιοι βλέπουσι τὸν Θεὸν, ἐκεῖνοι ὅμως περισσοτέρας τῶν ἄλλων ἀπολαμβάνουσι τῆς θείας δόξης, ὅσοι πλείονας τῶν ἄλλων ἀρετὰς ἐκατώρθωσαν. Μήπως δὲ τὸ, *πρῶτοι*, εἶπεν ὁ Κύριος, κατὰ τὴν ὑπόληψιν τῶν ἀνθρώπων; Πολλοὶ δηλονότι ἐξ ἐκείνων, οὓς νομίζουσιν οἱ ἄνθρωποι πρώτους τῶν ἄλλων κατὰ τὴν ἀρετὴν, ἔσχατοι φανερωθήσονται ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως· οἱ δὲ νομιζόμενοι ἔσχατοι, φανήσονται πρῶτοι, καὶ τοὺς ἄλλους ὑπερέχοντες· ὁμοίαν ἔννοιαν ἔχει καὶ τὸ, *ὁ* Ματ. ια'. 11.
*δὲ μικρότερος ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν, μείζων αὐτοῦ ἐστιν*· ἐπειδὴ, κατὰ τὴν ὑπόληψιν τῶν ἀπίστων Ἰουδαίων, μικρότερος τοῦ Βαπτιστοῦ Ἰωάννου ἦν ὁ Ἰησοῦς Χριστὸς, ὁ κατὰ πάντα μείζων αὐτοῦ.

# ΟΜΙΛΙΑ

## ΜΕΤΑ ΤΟ ΚΑΤΑ

# ΜΑΤΘΑΙΟΝ

## ΕΥΑΓΓΕΛΙΟΝ ΤΗΣ Α'. ΚΥΡΙΑΚΗΣ.

Πρὸς σκέψιν τῶν μεγάλων τῆς ἀρετῆς ἀνταποδωμάτων διεγείρει τὸν νοῦν ἡμῶν τοῦ σημερινοῦ Εὐαγγελίου ἡ ψυχοσωτήριος ὑπόθεσις· διὰ τῶν λόγων τούτων,
Ματ. ιθ'. 29. *Ἑκατονταπλασίονα λήψεται, καὶ ζωὴν αἰώνιον κληρονομήσει*, ἐφανέρωσεν εἰς ἡμᾶς ὁ Θεάνθρωπος, ὅτι οἱ ἐργάται τῆς ἀρετῆς καὶ εἰς τοῦτον τὸν κόσμον εἰσὶν ἔνδοξοι, καὶ εἰς τὸν μέλλοντα αἰῶνα τρισμακάριοι. Ὁ ἐνάρετος ἄνθρωπος οὐδόλως ζητεῖ τὰς τιμὰς καὶ περιποιήσεις τοῦ κόσμου, ἀλλ' ὁ κόσμος τιμᾷ καὶ περιποιεῖται αὐτὸν, ὅπου καὶ ἂν εὑρεθῇ, καὶ εἰς ὁποίαν κατάστασιν τύχῃ. Ἡ τιμὴ καὶ ἡ δόξα τρέχει ὀπίσω αὐτοῦ εἰς πάντα καιρὸν καὶ εἰς πάντα τόπον, καθὼς ἡ σκιὰ τρέχει ὀπίσω ἡμῶν, ὅταν ἡμεῖς φεύγωμεν.

Φέρουσιν οἱ Ἰσμαηλῖται τὸν Ἰωσὴφ Γεν. λζ'. 28.
εἰς τὴν Αἴγυπτον. Ἐκεῖ ἀγοράζει αὐτὸν ὁ ἀρχιευνοῦχος τοῦ Βασιλέως, ὁ Πετεφρῆς. Αὐτὸς, ὡς ἄνθρωπος πλούσιος καὶ ἀξιωματικὸς, εἶχε βέβαια καὶ ἄλλους πολλοὺς καὶ ἀξίους δούλους· προετίμησεν ὅμως πάντων τῶν ἄλλων τὸν Ἰωσὴφ, κατέστησεν αὐτὸν κύριον τῆς οἰκίας αὐτοῦ, παρέδωκεν εἰς τὰς χεῖρας αὐτοῦ πάντα ὅσα εἶχε· *Καὶ ἐπέτρε-* Αὐτ. λθ'. 6.
*ψε πάντα ὅσα ἦν αὐτῷ εἰς χεῖρας Ἰωσήφ*· ὥστε ὁ Ἰωσὴφ οὐκ ἔστι δοῦλος, ἀλλὰ κύριος τῆς οἰκίας τοῦ Πετεφρῆ, καὶ δεσπότης τῶν ἄλλων δούλων.

Ὁ Πετεφρὴς οὐδεμίαν φροντίδα εἶχε περὶ τῶν ὑπαρχόντων αὐτοῦ, οὐδὲ ἔβλεπεν ἄλλο τὶ, εἰμὴ τὸν ἄρτον, ὃν ἔτρωγε καθ' ἡμέραν· Καὶ οὐκ ᾔδει τῶν καθ' αὐτὸν οὐδὲν, πλὴν τοῦ ἄρτου, οὗ ἤσθιεν αὐτός. Ἀλλὰ πόθεν προετράπη ὁ Πετεφρὴς νὰ τιμήσῃ τόσον, ἄνθρωπον ξένον, δοῦλον, ἠγορασμένον, νέον, ἀλλόγλωσσον, ἀλλογενῆ; πόθεν; Ἐγνώρισε, λέγει ἡ θεία Γραφή, ὅτι ὁ Θεὸς [Γεν. λθ΄. 3.] ἦν μετ' αὐτοῦ· Ἤδει δὲ ὁ κύριος αὐτοῦ, ὅτι Κύριος ἦν μετ' αὐτοῦ. Ἀλλὰ πῶς ἐγνώρισε τοῦτο; Ἔβλεπε τὴν φρόνησιν τῆς ψυχῆς, τὴν σεμνότητα τοῦ λόγου, τὴν κοσμιότητα τοῦ ἤθους· ἔβλεπεν, ἑνὶ λόγῳ, τὴν ἀρετὴν τοῦ νέου· διότι ἡ ἀρετὴ ἀστράπτει εἰς τὸ πρόσωπον, ἀκούεται εἰς τὰ λόγια, φαίνεται εἰς τὸ σχῆμα, καταλάμπει εἰς τὰ ἔργα· ἔβλεπεν, ὅτι ἦλθεν εὐλογία Κυρίου εἰς πάντα τὰ ὑπάρχοντα αὐτοῦ, ἀπ' ἐκείνης τῆς ἡμέρας, ἀφ' ἧς ὁ Ἰωσὴφ εἰσέβη εἰς τὸν οἶκον αὐτοῦ· ἐκ τούτων λοιπὸν γνωρίσας, ὅτι ὁ Ἰωσὴφ ἦν ἄνθρωπος τοῦ Θεοῦ, καὶ ὁ Θεὸς ἦν μετ' αὐτοῦ, ὑπερετίμησεν αὐτόν.

Ἐπιβάλλει μετὰ ταῦτα ἡ γυνὴ τοῦ Πετεφρῆ τοὺς ὀφθαλμοὺς αὐτῆς ἐπὶ τὸ κάλλος τοῦ Ἰωσήφ, καὶ πειράζει σφόδρα τὴν σωφροσύνην αὐτοῦ· ἀλλ' ὁ Ἰωσὴφ νικᾷ τῆς πειραζούσης τὸν πόλεμον, καὶ φυλάττει ἀμίαντον τῆς σωφροσύνης τὸν θησαυρόν. Μεταβάλλει τὸν ἔρωτα εἰς ἔχθραν καὶ συκοφαντίαν ἡ ἀναιδεστάτη Αἰγυπτία· ὅθεν τίθεται ὁ Ἰωσὴφ πρὸς καιρὸν εἰς τὴν φυλακήν· ἀλλὰ καὶ εἰς τὴν φυλακήν, (καὶ τίς ἂν μὴ θαυμάσῃ τῆς ἀρετῆς τὴν δύναμιν;) καὶ εἰς τὴν φυλακὴν τιμή, ἐξαίρεσις, περιποίησις· εὐλαβεῖται αὐτὸν ὁ δεσμοφύλαξ, καὶ παραδίδωσιν εἰς τὰς χεῖρας αὐτοῦ ὅλον τὸ δεσμωτήριον, ὑποτάσσει εἰς τὴν ἐξουσίαν αὐτοῦ πάντας τοὺς δεσμίους, καὶ πᾶσαν τὴν ἐκεῖ ἀναγκαίαν οἰκονομίαν καὶ φροντίδα· Καὶ ἔδωκεν ὁ [Γεν. λθ΄. 22, 23.] ἀρχιδεσμοφύλαξ τὸ δεσμωτήριον διὰ χειρὸς Ἰωσήφ, καὶ πάντας τοὺς ἀπηγμένους, ὅσοι ἐν τῷ δεσμωτηρίῳ, καὶ πάντα ὅσα ποιοῦσιν ἐκεῖ, αὐτὸς ἦν ποιῶν. Οὐκ ἦν ὁ ἀρχιδεσμοφύλαξ τοῦ δεσμωτηρίου γινώσκων δι' αὐτὸν οὐθέν· πάντα γὰρ ἦν διὰ χειρὸς Ἰωσήφ, διὰ τὸ τὸν Κύριον μετ' αὐτοῦ εἶναι· καὶ ὅσα αὐτὸς ἐποίει, ὁ Κύριος εὐώδου ἐν ταῖς χερσὶν αὐτοῦ. Εἰς τὴν φυλακήν, διὰ τὴν ἀρετὴν αὐτοῦ φωτισθεὶς ὑπὸ Θεοῦ, ἐξηγεῖ τὰ ἐνύπνια τοῦ ἀρχισιτοποιοῦ· ὅθεν, ἐξαγαγόντες αὐτὸν ἐκ τῆς φυλακῆς, φέρουσιν εἰς τὰς βασιλείους αὐλάς, ἵνα ἐξηγήσῃ καὶ τοῦ Φαραὼ τὸ ἐνύπνιον, ὅπερ καὶ ἐξήγησε· διὸ ὁ Φαραώ, εἰς ἀντάμειψιν τῆς τοσαύτης εὐεργεσίας, κατέστησεν αὐτὸν ἄρχοντα πάσης γῆς Αἰγύπτου· Εἶπε δὲ [Αὐτ. μα΄. 41.] Φαραὼ τῷ Ἰωσήφ· Ἰδοὺ καθίστημί σε σήμερον ἐπὶ πάσῃ γῇ Αἰγύπτου. Ὅλη ἡ Αἴγυπτος ὑπὸ τὴν ἐξουσίαν τοῦ Ἰωσήφ, ὅλη ἡ Αἴγυπτος ὑπακούει, προσκυνεῖ καὶ σέβεται αὐτόν, ὡς ἡγεμόνα, καὶ ἐξουσιαστήν, καὶ ἄρχοντα. Ἀκούετε τὰ κατορθώματα τῆς ἀρετῆς; τοὺς δούλους καθιστᾷ δεσπότας· τοὺς πτωχούς, πλουσίους· τοὺς ἀργυρωνήτους, ἄρχοντας· τοὺς δεσμίους, ἐνδόξους καὶ ὑπερτίμους ἡγεμόνας· αὕτη ἐστὶ τῆς ἀρετῆς ἡ ἀνταπόδοσις.

Πολλοὶ στοχάζονται, ὅτι τὰ βραβεῖα τῶν ἐναρέτων ἀνθρώπων εἰσὶ μόνον οὐράνια· καὶ ὅτι οἱ ἐνάρετοι τιμῶνται καὶ δοξάζονται μόνον εἰς τὸν οὐρανόν, καὶ εἰς τὴν μέλλουσαν ζωήν· πλανῶνται ὅμως· διότι ὁ Θεός, ὁ ἐξουσιαστὴς καὶ τῶν ἐπουρανίων, καὶ τῶν ἐπιγείων, ὑπεσχέθη καὶ τὰς ἐπιγείους καὶ τὰς ἐπουρανίους ἀμοιβάς, εἰπών· Ἑκατοντα- [Ματ. ιθ΄. 29.]

τα-

τaπλασίονα λήψεται, καὶ ζωὴν αἰώνιον κληρονομήσει. Τοῦτο δὲ ἐμφαντικώτερα ἐξέφρασεν ὁ Ἐυαγγελι-
Μάρκ. ί. 30. στὴς Μάρκος, εἰπών· Ἐὰν μὴ λάβῃ ἑκατονταπλασίονα νῦν ἐν τῷ καιρῷ τούτῳ, καὶ ἐν τῷ αἰῶνι τῷ ἐρχομένῳ ζωὴν αἰώνιον. Ἡμεῖς δὲ βλέπομεν τοῦ Κυρίου τὸν λόγον πεπληρωμένον, οὐχὶ μόνον εἰς τοὺς παλαιοὺς ἁγίους, ἀλλὰ καὶ εἰς τοὺς σημερινοὺς φίλους τῆς ἀρετῆς. Πόσην τιμὴν καὶ δόξαν ἔχουσιν οἱ ἐν ἀρεταῖς διαπρέψαντες εἰς τὸν κόσμον τοῦτον, φανερὸν ἐστι καὶ πασίδηλον· ἔχουσι μνημόσυνα ἐνιαύσια, δοξολογίας καθημερινὰς, ναοὺς περικαλλεστάτους, ἑορτὰς καὶ πανηγύρεις εἰς τιμὴν τοῦ ὀνόματος αὐτῶν· Ἡγεμόνες, Ἄρχοντες, Βασιλεῖς, ἄμετρα πλήθη εὐσεβῶν Χριστιανῶν σέβονται αὐτοὺς, προσκυνοῦσι τὰ λείψανα αὐτῶν, καὶ τὰς εἰκόνας αὐτῶν μετ' ἐυλαβείας τιμῶσι. Ταύτην δὲ τὴν τιμὴν οὐχὶ μόνον μετὰ θάνατον, ἀλλὰ καὶ ἔτι ζῶντες ἀπελάμβανον οἱ ἅγιοι. Τόσην ἐυλάβειαν εἶχον οἱ πιστοὶ εἰς τὸν Πέτρον, ὥστε ἐπὶ κλινῶν καὶ κραββάτων ἔφερον τοὺς ἀσθενεῖς αὐτῶν εἰς τοὺς δρόμους, ἵνα ἡ σκιὰ
Πράξ. έ. 15. αὐτοῦ ἐγγίζῃ τὸ σῶμα αὐτῶν· Ὥστε κατὰ τὰς πλατείας ἐκφέρειν τοὺς ἀσθενεῖς, καὶ τιθέναι ἐπὶ κλινῶν καὶ κραββάτων, ἵνα, ἐρχομένου Πέτρου, κἂν ἡ σκιὰ ἐπισκιάσῃ τινὶ αὐτῶν. Τόσον σέβας προσέφερον εἰς τὸν Παῦλον, ὥστε καὶ τὰ μανδήλια, καὶ περιζώματα αὐτοῦ μετὰ πολλῆς ἐυλαβείας ἐλάμβανον, καὶ δι' αὐτῶν ἐθεράπευον τὰς τῶν ἀσθενῶν ἀῤῥωστί-
Ἀυτ. ιθ'. 12. ας· Ὥστε ἐπὶ τοὺς ἀσθενοῦντας ἐπιφέρεσθαι ἀπὸ τοῦ χρωτὸς αὐτοῦ σουδάρια, ἢ σιμικίνθια, καὶ ἀπαλλάσσεσθαι ἀπ' αὐτῶν τὰς νόσους, τάτε πνεύματα τὰ πονηρὰ ἐξέρχεσθαι ἀπ' αὐτῶν. Ἐσημειώσατε δὲ ἄραγε καὶ τὸ ῥηθὲν ὑπὸ τοῦ Ἀποστόλου Παύλου, ἤγουν τὸ, Ὡς
Β'. Κορ. ς'. 10. μηδὲν ἔχοντες, καὶ πάντα κατέχοντες; Τοῦτο δηλοῖ, ὅτι οἱ ἅγιοι τὰ πάντα ἐγκατέλειπον διὰ τὴν ἀγάπην τοῦ Χριστοῦ, πένητες ἦσαν, μηδὲ ὀβολὸν ἔ-
Πράξ. γ'. 6. χοντες· Ἀργύριον καὶ χρυσίον οὐχ ὑπάρχει μοι, ἔλεγεν ὁ Πέτρος πρὸς τὸν χωλὸν, τὸν ζητοῦντα παρ' αὐτοῦ ἐλεημοσύνην· ὑπέρπλουτοι ὅμως ἦσαν, ἐξουσιάζοντες πάντων τῶν εὐσεβῶν τὰ ὑπάρχοντα· διότι οἱ πιστοὶ, βλέποντες τὸν ζῆλον, τὴν ἁπλότητα, τὴν ἀγάπην, τὴν καθαρότητα τοῦ βίου αὐτῶν, καὶ τὰ ὑπερθαύμαστα αὐτῶν κατορθώματα, τόσην ἐυλάβειαν εἶχον πρὸς αὐτοὺς καὶ ἀγάπην, ὥστε ἐπροθυμοποιοῦντο, ἵνα χαρίσωσιν εἰς αὐτοὺς οὐ μόνον τὰ ὑπάρχοντα αὐτῶν, ἀλλ' ἐὰν ἦν δυνατὸν, καὶ
Γαλ. δ'. 15. τοὺς ἰδίους αὐτῶν ὀφθαλμούς· Μαρτυρῶ γάρ ὑμῖν, λέγει ὁ θεσπέσιος Παῦλος περὶ τῶν Γαλατῶν, ὅτι, εἰ δυνατὸν, τοὺς ὀφθαλμοὺς ὑμῶν ἐξορύξαντες ἂν, ἐδώκατέ μοι. Καὶ μὴ νομίσητε, ὅτι οἱ Ἀπόστολοι τοῦ Χριστοῦ μόνοι τοιαύτας ἀμοιβὰς ἔλαβον ὑπὸ τῶν ἀνθρώπων· διότι καὶ οἱ μετ' αὐτοὺς κατὰ διαφόρους καιροὺς φιλάρετοι ἄνθρωποι ἅπαντες ἐτιμήθησαν, καὶ ὑπεραγαπήθησαν ὑπὸ τῶν ὀρθοδόξων Βασιλέων, καὶ Ἡγεμόνων, καὶ ὑπὸ πάντων τῶν εὐσεβῶν Χριστιανῶν. Κἂν δέτινες ἐξ αὐτῶν περιέπεσον εἰς διαφόρους πειρασμοὺς καὶ καταδρομὰς, ὅμως ὕστερον ηὔξησε διὰ τούτων ἡ τιμὴ καὶ ἡ δόξα αὐτῶν.

Τὴν αὐτὴν τιμὴν καὶ περιποίησιν βλέπομεν ἄχρι τῆς σήμερον εἰς πάντας τοὺς ἐργάτας τῆς ἀρετῆς. Ὅστις τὴν σήμερον ἐμποδίζει τὴν γλῶσσαν ἀπὸ παντὸς ψεύδους, καὶ ἔχει πάντοτε εἰς τὸ στόμα τὴν ἀλήθειαν· ὅστις ἐστὶ φίλος τῆς δικαιοσύνης, καὶ ἐχθρὸς τῆς ἀδι-

δικίας, τῆς ταπεινοφροσύνης ἐραστὴς, καὶ τῆς ὑπερηφανείας ἀντίπαλος, φρόνιμος τὸν νοῦν, σώφρων τὸ ἦθος, εὐεργετικὸς τὴν γνώμην, φιλόστοργος τὸν τρόπον, τοῦ τοιούτου ἀνθρώπου ὁ λόγος ἐστὶ νόμος, καὶ ἡ ὑπόσχεσις πάσης συγγραφῆς ἰσχυροτέρα· ἡ συναναστροφὴ αὐτοῦ ἐστὶ τιμὴ, ἡ συμβουλὴ φῶς, ἡ συνομιλία διόρθωσις, ἡ παρουσία ὠφέλεια, τὸ παράδειγμα ζωῆς κανὼν καὶ τύπος· εἴπατέ μοι, τίς τὸν τοιοῦτον ἄνθρωπον οὐ τιμᾷ; τίς οὐ περιποιεῖται; τίς οὐ προσφέρει αὐτῷ βαθύτατον σέβας; καὶ τὸν ἐχθρὸν νικᾷ τῆς ἀρετῆς ἡ δύναμις, καὶ κινεῖ τὸν νοῦν αὐτοῦ εἰς θάμβος καὶ ἔκπληξιν· Ἀρετὴν ἀνδρὸς οἶδε θαυμάζειν καὶ πολέμιος.

Οὐ μόνον δὲ ἡ δόξα καὶ ἡ τιμή ἐστιν ἡ ἀμοιβὴ τοῦ ἐναρέτου, ἀλλὰ καὶ
Ρωμ. β'. 10. ἄλλο ἀγαθὸν μεῖζον, ἡ εἰρήνη· Δόξα, καὶ τιμὴ, καὶ εἰρήνη παντὶ τῷ ἐργαζομένῳ τὸ ἀγαθόν. Πολλοὶ εἰρηνεύουσι μετὰ τῶν ἄλλων, ἀλλ' ἔχουσι πόλεμον ἀκατάπαυστον μετὰ τῆς συνειδήσεως αὐτῶν· ἔξω εἰρήνη, ἔσω πόλεμος· ἔξω εἰρήνη, ἔσω ταραχὴ καὶ θόρυβος· τῆς συνειδήσεως ὁ ἔλεγχός ἐστι μάστιξ, ὑπὸ Θεοῦ ὁρισθεῖσα πρὸς τι-
Ψαλ. λη'. 14, 15. μωρίαν τοῦ ἁμαρτωλοῦ· Ἐν ἐλεγμοῖς ὑπὲρ ἀνομίας ἐπαίδευσας ἄνθρωπον, καὶ ἐξέτηξας ὡς ἀράχνην τὴν ψυχὴν αὐτοῦ· ὅθεν ὁ ἁμαρτήσας Προφήτης, μὴ φέρων τοὺς τιμωρητικοὺς τῆς συνειδήσεως ἐλέγχους, ἐβόα·
Ἀντ. 18. Ἄνες μοι, ἵνα ἀναψύξω, πρὸ τοῦ με ἀπελθεῖν. Καὶ ἀληθῶς, ὢ πόσον βασανιστικὸς τῆς συνειδήσεως ὁ ἔλεγχος! θλιβερὸς ὁ πλοῦτος, ὅταν ἡ συνείδησις ἔνδοθέν σου ἐλέγχει ἀδικίαν καὶ ἁρπαγήν· λυπηρὰ τὰ ἀξιώματα, ὅταν ἔνδον μαστίζῃ σε ἡ συνείδησίς σου, ὡς μὴ ἀναπληροῦντα τοῦ ἀξιώματός σου τὸ χρέος· πικρὰ ἡ τρυφὴ τοῦ βίου, ὅταν σε βασανίζῃ ἡ συνείδησίς σου, ὡς ἀσελγῆ καὶ ἄσωτον· ἑνὶ λέγω, ὁ ἔλεγχος τῆς συνειδήσεως μεταβάλλει εἰς πικρίαν καὶ αὐτὰ τὰ γλυκύτατα τοῦ κόσμου πράγματα. Ἡ ἁμαρτία προξενεῖ τῆς συνειδήσεως τὸν ἔλεγχον, καὶ τὴν λυπηρὰν ταραχήν· ὅταν λείψῃ ἡ ἁμαρτία, καὶ ἔλθῃ ἡ ἀρετὴ, αὐτὴ καθησυχάζει τὴν συνείδησιν, καὶ φέρει εἰς τὴν ψυχὴν τοῦ ἐναρέτου τὸ ἐπουράνιον τῆς εἰρήνης δώρημα· αὐτὸς ἔχει τῆς συνειδήσεως τὴν εἰρήνην, εἰρηνεύει μετὰ πάντων τῶν ἄλλων ἐν παντὶ καιρῷ καὶ τόπῳ,
κατὰ τὸ, Εἰρηνεύετε ἐν ἀλλήλοις· Μάρκ. θ'. 5.
εἰρηνεύει δὲ καὶ ἐν ἑαυτῷ, κατὰ τὸ, Εἰρηνεύετε ἐν ἑαυτοῖς, ἐπειδὴ μένει ἡ Α'. Θεσσ. ε'. 13.
συνείδησις αὐτοῦ ἐλευθέρα καὶ ἥσυχος ἀπὸ τῆς ἁμαρτίας τὸν ἔλεγχον· ἡ τοιαύτη δὲ εἰρήνη ἐστὶν ἓν τῶν μεγάλων τῆς ἀρετῆς βραβείων, ἐπειδὴ αὐτὴ προξενεῖ εἰς τὴν καρδίαν τοῦ ἀνθρώπου ἡδονὴν καθαρὰν, καὶ χαρὰν ἀδιάκοπον, καὶ γλυκύτητα ἀέναον. Ἔρχεται εἰς αὐτὸν ἐ- Ματ. ζ'. 25.
νίοτε ἡ βροχὴ, ἤγουν ἡ ὁρμὴ τῆς πονηρᾶς ἐπιθυμίας, ζητοῦσα νὰ ἐξαλείψῃ τῆς εἰρήνης τὸν γλυκασμόν· ἀλλὰ μένει ἀνενέργητος, ἐπειδὴ προσβάλλει ἐπὶ τὴν πέτραν τῆς ἀρετῆς αὐτοῦ. Ἔρχονται ἐνίοτε οἱ ποταμοὶ, ἤγουν τοῦ Διαβόλου οἱ πειρασμοὶ, συκοφαντίαι, ἐπιβουλαὶ, διωγμοὶ, ζητοῦσι νὰ ἐξαφανίσωσι τῆς εἰρήνης τὴν τρυφήν· ἀλλὰ καὶ ταῦτα μένουσιν ἄπρακτα, ἐπειδὴ αὐτὸς, ἔχων τὴν συνείδησιν αὐτοῦ καθαρὰν, τέρπεται
ἐπὶ τῇ μαρτυρίᾳ τῆς συνειδήσεως αὐτοῦ, Β'. Κορ. α'. 12.
καὶ χαίρει ἐν τοῖς παθήμασιν, ὡς πάσχων ὑπὲρ Χριστοῦ. Πνέουσιν ἐνίοτε Κολ. α'. 24.
κατ' αὐτοῦ τῆς ματαιότητος οἱ ἄνεμοι, ζητοῦντες νὰ ἐκριπίσωσι τὴν εὐφροσύνην τῆς καρδίας αὐτοῦ· ἀλλ' οὐδὲν δύνανται, ἐπειδὴ ἀντικρούονται καὶ ἐκνευρίζονται ἀπὸ τῆς παντοδυνάμου χάριτος τοῦ Θεοῦ. Νικητὴς, τροπαιοῦχος, εἰρηνικὸς, ἐπιλαν-

θά-

θάνεται τῶν ὄπισθεν, ἐκτείνεται εἰς τὰ
ἔμπροσθεν, ἐλπίζει τῶν μελλόντων τὴν
Φιλιπ. γ΄. 14. ἀπόλαυσιν· Πάντοτε χαίρει, ἀδια-
Α΄. Θεσ. ε΄. 16, 18. λείπτως προσεύχεται, ἐν παντὶ εὐ-
χαριστεῖ, πάντα σκύβαλα νομίζει,
Φιλιπ. γ΄. 8. ἔχει μεθ᾽ ἑαυτοῦ τὸν Χριστὸν, αἰσθάνε-
ται τῆς ἐπουρανίου αὔρας τῆς αἰωνίου
μακαριότητος.

Ἡ ἀρετὴ, ἀδελφοί μου, ἔχει τὴν πρώ-
την αὐτῆς ἀρχὴν ἀπὸ τοῦ Θεοῦ. Ἡ οὐ-
σία τῆς ὑπερουσίου Θεότητος ἐστὶν ἡ
πηγὴ, ἐξ ἧς ἀναβλύζει, καὶ ἡ ῥίζα, ἐξ
ἧς βλαστάνει ἡ ἀρετή. Ἡ ἀγάπη, ἡ δι-
καιοσύνη, ἡ χρηστότης, ἡ μακροθυμία,
τὸ ἔλεος, καὶ πᾶσα ἄλλη ἀρετὴ, καρ-
ποφορήματά εἰσι τῆς δημιουργικῆς Φύ-
σεως. Διὰ τοῦτο, ὅταν ὁ ἄνθρωπος ἐρ-
γάζεται τῆς ἀρετῆς τὰ κατορθώματα,
τότε ἀληθῶς γίνεται εἰκὼν ζῶσα καὶ
Γεν. α΄. 26. ὁμοία τῷ Θεῷ, καθὼς ὑπ᾽ αὐτοῦ ἐπλά-
σθη. Ἔχει ὁ ἄνθρωπος τὸ κατ᾽ εἰκόνα
Θεοῦ· αὐτεξούσιος ὁ Θεὸς, αὐτεξούσιος
καὶ ὁ ἄνθρωπος· προνοητικὸς ὁ Θεὸς,
προνοητικὸς καὶ ὁ ἄνθρωπος· νοῦς, καὶ
λόγος, καὶ πνεῦμα ὁ Θεὸς, νοῦν καὶ
λόγον καὶ πνεῦμα ἔχει καὶ ὁ ἄνθρω-
πος· κατὰ τοῦτο ὁ ἄνθρωπός ἐστιν εἰ-
κὼν τοῦ Θεοῦ. Ἐὰν δὲ κατασταθῇ φι-
λόστοργος, δίκαιος, ἀγαθὸς, μακρόθυ-
μος, ἐλεήμων, ἐὰν, λέγω, κατορθώσῃ
τὰς ἀρετὰς, τότε ἐστὶν εἰκὼν οὐχὶ νε-
κρὰ καὶ ἀνομοία, ἀλλὰ ζῶσα καὶ ὁ-
μοία τῷ Θεῷ· τότε γίνεται ὁ ἄνθρωπος
Ψαλ. πα΄. 6. κατὰ χάριν Θεός· Ἐγὼ εἶπα, Θεοί
ἐστε, καὶ υἱοὶ Ὑψίστου πάντες.

Ὁ Θεὸς, ὅστις θέλει διὰ τῆς ἀρε-
τῆς νὰ ἀναβιβάσῃ τὸν ἄνθρωπον εἰς ἐ-
ξαίσιον ὕψος δόξης καὶ λαμπρότητος,
γνωρίζει ἀκριβέστατα πόσος ἐστὶν ὁ ἀ-
γὼν, πόσος ὁ κίνδυνος, καὶ πόσος ὁ κό-
πος τῶν ἁγίων διὰ τῆς ἀρετῆς τὴν κα-
τόρθωσιν. Ὅθεν πότε μὲν προστάσσει,
ἵνα μηδεὶς ἐνοχλήσῃ, μηδὲ πονηρευθῇ
κατ᾽ αὐτῶν· Μὴ ἅπτεσθε τῶν χρι- Ψαλ. ρδ΄. 15.
στῶν μου, καὶ ἐν τοῖς Προφήταις
μου μὴ πονηρεύεσθε· πότε δὲ περι-
θαρσύνει αὐτοὺς, λέγων· Ὅστις ἐνοχλεῖ
ὑμᾶς, ὅμοιός ἐστιν ἐκείνῳ, ὅστις ψηλα-
φᾷ τὴν κόρην τοῦ ὀφθαλμοῦ αὐτοῦ· Ὁ Ζαχ. β΄. 8.
ἁπτόμενος ὑμῶν, ὡς ὁ ἁπτόμε-
νος τῆς κόρης τῶν ὀφθαλμῶν αὐ-
τοῦ· ἄλλοτε δὲ λέγει, ὅτι θέλει, ἵνα
προσφέρωμεν εἰς αὐτοὺς τὴν εὐλάβειαν
καὶ τὴν ὑπακοὴν, τὴν ὁποίαν προσφέρο-
μεν εἰς αὐτόν· Ὁ ἀκούων ὑμῶν, ἐ- Λουκ. ι΄. 16.
μοῦ ἀκούει· καὶ ὁ ἀθετῶν ὑμᾶς,
ἐμὲ ἀθετεῖ. Ἵνα δὲ ἐξ ὁλοκλήρου ἀ-
φέλῃ ἀπὸ τῆς καρδίας αὐτῶν τὸν φόβον
τοῦ τοιούτου ἀγῶνος, ὑπόσχεται εἰς αὐ-
τοὺς ἀποστεῖλαι τοὺς ἁγίους Ἀγγέ-
λους, ἵνα ἐν παντὶ ἔργῳ διαφυλάττωσιν
αὐτοὺς ἀπὸ παντὸς κινδύνου, καὶ βα-
στάζωσιν αὐτοὺς ἐν ταῖς χερσὶν αὐτῶν,
ἵνα μὴ τύχῃ καὶ μιανθῶσιν ὑπὸ τοῦ
ῥύπου τῆς ἁμαρτίας· Ὅτι τοῖς Ἀγ- Ψαλ. ϟ΄. 11, 12.
γέλοις αὐτοῦ ἐντελεῖται περὶ
σοῦ τοῦ διαφυλάξαι σε ἐν πά-
σαις ταῖς ὁδοῖς σου. Ἐπὶ χει-
ρῶν ἀροῦσί σε, μήποτε προσκό-
ψῃς πρὸς λίθον τὸν πόδα σου·
Μὴ διστάζετε, λέγει, διότι πᾶσαι αἱ
ἀγγελικαὶ δυνάμεις ἀποστέλλονται παρ᾽
ἐμοῦ εἰς ὑπηρεσίαν καὶ βοήθειαν ὑμῶν,
τῶν κληρονόμων τῆς αἰωνίου μακαριότη-
τος· Οὐχὶ πάντες εἰσὶ λειτουρ- Ἑβρ. α΄. 14.
γικὰ Πνεύματα, εἰς διακονίαν ἀ-
ποστελλόμενα διὰ τοὺς μέλλον-
τας κληρονομεῖν σωτηρίαν; τοῦτό
ἐστιν ἄλλη ἀμοιβὴ τῶν ἐναρέτων· εἰς
αὐτοὺς οἱ μὲν ἄνθρωποι προσφέρουσι
τὴν εὐλάβειαν καὶ τὴν ὑπακοὴν, τὴν εἰς
τὸν Θεὸν ὀφειλομένην· οἱ δὲ Ἄγγελοι,
τὴν ὑπηρεσίαν καὶ τὴν περιποίησιν· τί
τούτου περισσότερον;

Ὁ Θεὸς δίδωσιν εἰς τὰς χεῖρας αὐ-
τῶν τὴν ἐξουσίαν τῶν στοιχείων, τοῦ

αὐ-

οὐρανοῦ, τῆς γῆς, τοῦ θανάτου, καὶ πάσης τῆς κτίσεως· βλέπομεν τοῦτο εἰς τὰς θείας Γραφάς. Ὁ Μωϋσῆς μεταβάλλει τὸ ὕδωρ εἰς αἷμα, τὸν ἀέρα εἰς σκότος, τὸ χῶμα τῆς γῆς εἰς σκνίπας, τὴν ζωὴν τῶν κτηνῶν καὶ τῶν πρωτοτόκων εἰς θάνατον· ὁ Ἰησοῦς τοῦ Ναυῆ ἐμποδίζει τοῦ ἡλίου τὴν κίνησιν· ὁ Ἠλίας κλείει καὶ ἀνοίγει τὸν οὐρανόν· οἱ τρεῖς Παῖδες σβεννύουσι τὴν δύναμιν τοῦ πυρός· ὁ Δανιὴλ ἐμφράττει τῶν λεόντων τὰ στόματα· τὸν Παῦλον σέβεται ἡ ἔχιδνα· τὸν Πέτρον ὑπακούουσιν οἱ νε-
Ῥωμ. β'. κροί· ἰδοὺ ὁ λόγος τοῦ Παύλου· Δόξα
10. καὶ τιμὴ, καὶ εἰρήνη παντὶ τῷ
ἐργαζομένῳ τὸ ἀγαθόν. Τί περισσότερον; αὐτὰς ὁ Θεὸς κατοικεῖ εἰς τὰς
Ἰωάν. ιδ'. ψυχὰς τῶν θεοφιλῶν ἀνθρώπων· Ἐάν
23. τις ἀγαπᾷ με, τὸν λόγον μου τηρήσει· καὶ ὁ πατήρ μου ἀγαπήσει αὐτὸν, καὶ πρὸς αὐτὸν ἐλευσόμεθα, καὶ μονὴν παρ' αὐτῷ ποιήσομεν· κατοικητήριον τοῦ Θεοῦ γίνεται ὁ ἐργάτης τῆς ἀρετῆς· τοῦτό ἐστιν ἡ τιμὴ, τοῦτο ἡ δόξα, τοῦτο ἡ εἰρήνη, τοῦτο ἡ ἀγαλλίασις τῆς ψυχῆς· ἰδοὺ αἱ ἑκατονταπλάσιοι ἀμοιβαὶ ἐπὶ τῆς γῆς, τὰς ὁποίας ὑπεσχέθη ὁ Κύριος τοῖς ἀγαπῶσιν αὐτόν. Μετὰ δὲ τὰς ἐπιγείους ἀμοιβὰς, βασιλεία ἀθάνατος, μακαριότης ἀτελεύτητος, ζωὴ αἰώνιος·
Ματ. ιθ'. Ἑκατονταπλασίονα λήψεται, καὶ
29. ζωὴν αἰώνιον κληρονομήσει.

Ἀρετὴ λοιπὸν, θησαυρὲ ἐπουράνιε, πλοῦτε πανυπέρτιμε, πηγὴ τῆς ἀληθινῆς δόξης καὶ τιμῆς, ῥίζα τῆς πνευματικῆς εἰρήνης καὶ ἀνέσεως, μῆτερ πάσης οὐρανίου καὶ ἐπιγείου εὐτυχίας, ἡμεῖς βλέπομεν ἐν σοὶ παράδοξα· σὺ ὑπερτετιμημένη ὑπὲρ πάντα τὰ ἄλλα πράγματα· διότι ποῖος ἄνθρωπος εὑρίσκεται εἰς τὸν κόσμον, ὅστις οὐ τιμᾷ τὴν ἀρετήν; καὶ σὺ περιπεφρονημένη περισσότερον πάντων τῶν πραγμάτων· διότι ποῖος τὴν σήμερον φροντίζει διὰ τὴν κτῆσιν τῆς ἀρετῆς; Ἡμεῖς γνωρίζομεν τῆς ἀρετῆς τὴν ὠφέλειαν, καὶ ἡμεῖς ἀποστρέφομεν τὸ πρόσωπον ἡμῶν ἀπὸ τῆς ἀρετῆς τὴν ἐργασίαν· καὶ τί ἄλλο ἐστὶ τοῦτο, εἰμὴ μωρία μεγάλη, καὶ παραφροσύνη φανερά;

Ἀδελφοί μου ἀγαπητοὶ, μεγάλη πλάνη περικρατεῖ τὴν καρδίαν, καὶ κατασκοτίζει τὸν νοῦν ἡμῶν. Χριστιανὲ, τί ζητεῖς ἀπὸ τοῦ κόσμου τούτου; σὺ ζητεῖς πλοῦτον, ἀλλὰ ποῦ νομίζεις, ὅτι εὑρίσκεις τὸν πλοῦτον; εἰς τὴν ἁρπαγήν; εἰς τὴν ἀδικίαν; εἰς τὸ ψεῦδος; εἰς τὴν ἀπάτην; εἰς τὰς ἐπιορκίας; σφάλλεις, καὶ ἀπατᾶσαι ἐλεεινῶς· εἰς τὴν ἁμαρτίαν οὐχ εὑρίσκεις πλοῦτον, ἀλλὰ φόβον· οὐχ εὑρίσκεις χρήματα, ἀλλὰ ἀτιμίαν, ταραχὴν, κίνδυνον καὶ ταλαιπωρίαν· σήμερον εὑρίσκεις τῆς ἀνομίας τὸν πλοῦτον, καὶ αὔριον φεύγει, καὶ μένεις γυμνὸς καὶ τετραχηλισμένος. Θέλεις πλοῦτον; μὴ τρέχῃς τῆς ἁμαρτίας τὸν κρημνὸν, ἀλλὰ περιπάτει τῆς ἀρετῆς τὸν δρόμον. Θέλεις πλοῦτον; ἄπεχε τῆς ἀδικίας, καὶ ἐργάζου δικαιοσύνην· φεῦγε τὸ ψεῦδος, καὶ λάλει τὴν ἀλήθειαν, φύλαττε τὰς ἁγίας τοῦ Θεοῦ ἐντολάς· αὐτοῦ εὑρίσκεις πλοῦτον μέγαν
καὶ ἀσάλευτον· Ὁ ποιῶν ταῦτα οὐ Ψαλ. ιε'.
σαλευθήσεται εἰς τὸν αἰῶνα· αὐ- 7.
τοῦ εὗρεν ὁ Ἀβραὰμ τὸ χρυσίον καὶ τὸ ἀργύριον· αὐτοῦ ὁ Ἰακὼβ τὸν πληθυσμὸν τῶν ποιμνίων· αὐτοῦ ὁ Ἰωσὴφ τὸν πλοῦτον τῆς Αἰγύπτου· αὐτοῦ ὁ Ἰὼβ τὰς χιλιάδας τῶν προβάτων, τῶν καμήλων, τῶν βοῶν, τῶν ὄνων. Τί ζητεῖς, Χριστιανὲ, ἀπὸ τοῦ κόσμου τούτου; σὺ ζητεῖς δόξαν, ἀλλὰ ποῦ στοχάζεσαι, ὅτι αὐτὴ κατοικεῖ; σὺ νομίζεις, ὅτι ἡ δόξα κάθηται εἰς τὰς βασιλευούσας πόλεις, εἰς τὰ παλάτια τῶν Ἀρχόντων,

εἰς





εἰς τὰς αὐλὰς τῶν Βασιλέων, ὅθεν ἐκεῖ ζητεῖς αὐτὴν, ἀλλὰ πλανᾶσαι· διότι ἐκεῖ μίαν μόνην σκιὰν δόξης εὑρίσκεις, περιπεπλεγμένην ὑπὸ τῆς ἀκαταστασίας, ἐπιβουλευομένην ὑπὸ τοῦ φθόνου, καταδιωκομένην ὑπὸ τῶν δοξομανούντων· ὅθεν σήμερον ἴσως γίνεσαι ἔνδοξος καὶ περίβλεπτος, ἀλλ' αὔριον μεταβάλλονται τὰ περιστατικὰ, καὶ σὺ μένεις περιπεφρονημένος καὶ ἄσημος. Τί ζητεῖς ἄνθρωπε ἐν τῷ κόσμῳ; τρυφὰς ζητεῖς καὶ ἀνάπαυσιν, θέλεις δὲ νὰ εὕρῃς αὐτὰς εἰς τὰς πολυφαγίας, καὶ πολυποσίας, εἰς τὴν ἀπόλαυσιν τῶν ἐπιθυμιῶν τῆς σαρκός σου; Ἡ ἁμαρτία οὐκ ἔστιν ἄνεσις, οὐδὲ χαρὰ, ἀλλὰ στεναγμὸς καὶ θλῖψις· τῆς ἁμαρτίας ἡ τρυφὴ ἐστὶ γλυκόπικρος, ἡ γλυκύτης αὐτῆς μεταβάλλεται εἰς πικρότητα· καὶ ἡ μὲν γλυκύτης διαρκεῖ πολλὰ ὀλίγον, ἡ δὲ πικρότης αὐτῆς παρατείνεται πολὺ καιροῦ διάστημα· μετὰ τὴν ἁμαρτίαν εὐθὺς μεταμέλεια, αἰσχύνη, θλῖψις, ἔλεγχος τῆς συνειδήσεως βαρύτατος· αἱ ἡδοναὶ τῶν σαρκικῶν ἐπιθυμιῶν φέρουσιν ἀσθένειαν, ἀῤῥωστήματα ἐλεεινὰ, φθορὰν τοῦ σώματος, πολλάκις δὲ καὶ θάνατον· Τὰ γὰρ ὀψώνια τῆς ἁμαρτίας, θάνατος. Ἐὰν θέλῃς χαρὰν ἀληθινὴν, νίκησον τὰ πάθη σου· διότι τότε χαίρεις περισσότερον τοῦ ἀρχιστρατήγου, ὅστις ἐνίκησε τὴν ἰσχυρὰν τῶν ἐχθρῶν παρεμβολήν. Ἐὰν θέλῃς ἡδονὴν ἀμετάβλητον, ἅπλωσον τὰς χεῖράς σου πρὸς εὐεργεσίαν τοῦ ὀρφανοῦ, τῆς χήρας, τῶν πτωχῶν, τῶν ἀδικουμένων· τότε αἰσθάνεται ἡ ψυχή σου ἡδονὴν ἀνεκδιήγητον. Παρὰ τῆς ἀρετῆς ζήτει τὴν ἄνεσιν, τὴν τρυφὴν, τὴν τιμὴν, τὴν δόξαν· γίνου σώφρων, φιλοδίκαιος, εὐσπλαγχνικὸς, πρᾶος, ταπεινόφρων· ἆρον ἐπάνω εἰς τοὺς ὤμους σου τὸν ἐλαφρότατον ζυγὸν τοῦ Κυρίου σου· τότε εὑρίσκεις τὴν ἡδονὴν τὴν

Ῥωμ. ϛ'. 23.

οὐράνιον, καὶ τὴν ἀνάπαυσιν τὴν θείαν· Ἄρατε τὸν ζυγόν μου ἐφ' ὑμᾶς, καὶ μάθετε ἀπ' ἐμοῦ, ὅτι πρᾷός εἰμι, καὶ ταπεινὸς τῇ καρδίᾳ· καὶ εὑρήσετε ἀνάπαυσιν ταῖς ψυχαῖς ὑμῶν. Πόσον μωρὸς φαίνεται, καὶ ἀσύνετος ἐκεῖνος ὁ ἄνθρωπος, ὅστις ζητεῖ τὸ χρυσίον καὶ ἀργύριον, οὐχὶ εἰς τοὺς μεταλλίτας κόλπους τῆς γῆς, ἀλλ' εἰς τὴν θάλασσαν, ἢ εἰς τὰ φρέατα, καὶ εἰς τὰς λίμνας; πόσον μωρὸς καὶ ἀσύνετος ἐκεῖνος ὁ ἄνθρωπος, ὅστις, διψῶν, τρέχει οὐχὶ εἰς τὰς πηγὰς, καὶ εἰς τὰ φρέατα, ἀλλ' εἰς τοὺς ἀνύδρους τόπους, καὶ εἰς τὰς ἀνίκμους πέτρας; Πολλῷ ἀφρονέστεροι τούτων ἐσμὲν ἡμεῖς· ἡμεῖς θέλομεν δόξαν, πλοῦτον, ἄνεσιν, οὐδόλως δὲ σπουδάζομεν διὰ τὴν ἀρετὴν, ἥτις ἐστὶν ἡ πηγὴ πάσης εὐτυχίας, ἀλλὰ τρέχομεν ὀπίσω τῆς ἁμαρτίας, ἥτις ἐστὶν ἡ μήτηρ πάσης συμφορᾶς καὶ δυστυχίας.

Ματ. ιά. 29.

Στοχάσθητε τὴν ἄμετρον φιλανθρωπίαν τοῦ Θεοῦ, καὶ τὴν σοφωτάτην αὐτοῦ πρόνοιαν. Ἡ ἀρετὴ σώζει τὸν ἄνθρωπον· ὁ δὲ Θεὸς, ὡς φιλανθρωπότατος καὶ πάνσοφος προνοητὴς, ἵνα ἑφελκύσῃ ἡμᾶς πρὸς τὴν σπουδὴν τῆς ἀρετῆς, ἐσύναψε καὶ συνήνωσεν αὐτῇ πάντα τοῦ κόσμου τὰ ἀγαθά· ἵνα ἀγαπήσωμεν τὴν ἀρετὴν, κατέστησεν αὐτὴν πηγὴν πάσης κοσμικῆς εὐτυχίας· μέγας εἶ Κύριε, καὶ θαυμαστὰ τὰ ἔργα σου· καὶ οὐδεὶς λόγος ἐξαρκέσει πρὸς ὕμνον τῶν θαυμασίων σου! Ἄνθρωπε, λέγει ὁ Θεὸς, ζήτει τὴν ἀρετὴν, καὶ προστεθήσεταί σοι ἅπαντα τοῦ κόσμου τὰ ἀγαθά. Ἄνθρωπε, λέγει ὁ Θεὸς, θέλεις δόξαν; θέλεις τρυφὴν καὶ εὐτυχίαν; Μίαν μόνην μέριμναν ἔχε, καὶ μίαν σπουδὴν, τῆς ἀρετῆς τὴν κατόρθωσιν· αὐτὴ ἔχει ἐν ἑαυτῇ, καὶ μεταδίδωσιν εἰς τοὺς φίλους αὐτῆς πάσας τὰς εὐτυχίας· σὺ, λέ-

λέγει, ζήτει τὴν βασιλείαν μου, καὶ τὴν ἀρετὴν, καὶ ἐγὼ δίδωμί σοι προσθήκην πάντα τὰ ἀγαθά· Ζητεῖτε πρῶτον
τὴν Βασιλείαν τοῦ Θεοῦ καὶ τὴν Ματ. ϛ'.
δικαιοσύνην αὐτοῦ, καὶ ταῦτα 33.
πάντα προστεθήσεται ὑμῖν.

# ΕΡΜΗΝΕΙΑ

### ΕΙΣ ΤΟ ΚΑΤΑ

# ΜΑΤΘΑΙΟΝ

## ΕΥΑΓΓΕΛΙΟΝ ΤΗΣ Β'. ΚΥΡΙΑΚΗΣ.

Ἡ πρόνοια καὶ ἡ φιλανθρωπία δύω τελειότητές εἰσι τοῦ μεγάλου Θεοῦ καὶ Δημιουργοῦ τῆς κτίσεως. Ὁ Κύριος ἡ-
Ἑβρ. ά. 3. μῶν Ἰησοῦς Χριστὸς, Ἀπαύγασμα ὢν τῆς δόξης, καὶ χαρακτὴρ τῆς ὑποστάσεως τοῦ Θεοῦ καὶ Πατρὸς, συνημμένα ἀλλήλοις, καὶ ἀχώριστα ἔδειξε τὰ δύω μεγάλα ἔργα αὐτῶν. Ὅπου ἡ πρόνοια αὐτοῦ, ἐκεῖ καὶ ἡ φιλανθρωπία· καὶ ὅπου ἡ φιλανθρωπία αὐτοῦ, ἐκεῖ καὶ ἡ πρόνοια· διότι εἰς πάντα τὰ ἔργα αὐτοῦ φιλανθρώπως ἐπρονόησε, καὶ προνοητικῶς ἐφιλανθρωπεύθη. Εἰς πᾶν ἔργον τοῦ Θεοῦ βλέπεις καὶ τὴν πρόνοιαν καὶ τὴν φιλανθρωπίαν· βλέπεις τὸν αὐτὸν προνοητὴν ἅμα καὶ εὐεργέτην. Τοῦτο τὸ ψυχωφελὲς μάθημα διδάσκει ἡμᾶς καὶ ἡ σήμερον ἀναγνωσθεῖσα τοῦ Εὐαγγελίου ὑπόθεσις. Ἔργον τῆς θείας προνοίας ἡ ἐκλογὴ τῶν θεοκηρύκων Ἀ-
Ἰωάν. ιέ. 19. ποστόλων· Ἐγὼ ἐξελεξάμην ὑμᾶς ἐκ τοῦ κόσμου· ἐκλέγει τοὺς ἐξαιρέτους πάντων τῶν ἀνθρώπων οἰκουμενικοὺς διδασκάλους τῶν ὑψηλοτάτων τῆς εὐσεβείας δογμάτων· αὐτὴ δὲ ἡ προνοητικὴ ἐκλογὴ γέμει θείας φιλανθρωπίας· διότι ὁ σκοπὸς τοῦ κηρύγματος τῆς πίστεως καὶ τὸ τέλος οὐδὲν ἄλλο ἐστὶν, εἰμὴ ἡ σωτηρία τῶν ἀνθρώπων. Καὶ εἰς αὐτὰ δὲ τὰ θαύματα, καὶ τὰς ἰατρείας πάσης νόσου καὶ πάσης μαλακίας, τὰ ὑπὸ τοῦ Ἰησοῦ Χριστοῦ τελεσθέντα, μετὰ τὴν ἐκλογὴν καὶ πρόσκλησιν τῶν Ἀποστόλων, τὴν προνοητικὴν αὐτοῦ βλέπομεν φιλανθρωπίαν· ἐφιλανθρωπεύετο ἐπὶ τοὺς ἀσθενεῖς προνοητικῶς, καὶ ἐθεράπευεν αὐτοὺς, ἵνα καὶ αὐτοὶ οἱ θεραπευθέντες, καὶ οἱ θεαταὶ τῆς θαυματουργίας πιστεύσωσι τῆς ἐνσάρκου οἰκονομίας τὸ μέγα μυστήριον. Πρόνοιαν λοιπὸν φιλάνθρωπον, καὶ φιλανθρωπίαν προνοητικὴν, αὐτὰς τὰς δύω μεγάλας τοῦ Σωτῆρος ἡμῶν ἀρετὰς, ἀναζωγραφεῖ ἡμῖν ἡ σημερινὴ εὐαγγελικὴ ἱστορία. Ἀνοίξατε, εὐλογημένοι Χριστιανοὶ, τῆς ψυχῆς τὰ ὦτα, ἵνα, ἀκούσαντες τὴν σωτήριον ταύτην διδασκαλίαν, καὶ μεγαλύναντες τῆς θεότητος τοῦ Ἰησοῦ Χριστοῦ τὸ κράτος, καρποφορήσητε τὸν ἐπουράνιον καρπὸν τῶν ἐναρέτων πράξεων.

Τῷ καιρῷ ἐκείνῳ, περιπατῶν Ματ. δ'.
ὁ Ἰησοῦς παρὰ τὴν θάλασ- 18.
σαν τῆς Γαλιλαίας, εἶδε δύω ἀδελφοὺς, Σίμωνα τὸν λεγόμενον Πέτρον, καὶ Ἀνδρέαν τὸν ἀδελφὸν αὐτοῦ, βάλλον-

τας

τας ἀμφίβληστρον εἰς τὴν
θάλασσαν· (ἦσαν γὰρ ἁ-
λιεῖς·)

Ἡ αὐτὴ θάλασσα τῆς Γαλιλαίας
ὀνομάζεται καὶ Τιβεριάδος θάλασσα,
καὶ λίμνη Γεννησαρὲτ, δἰ ἧς διαβαίνει
ὁ Ἰορδάνης ποταμός. Εἰς τὸν αἰγιαλὸν
αὐτῆς τῆς θαλάσσης περιπατῶν ὁ Κύ-
ριος ἡμῶν, εἶδε δύω ἀδελφοὺς, Σίμωνα
τὸν λεγόμενον Πέτρον, καὶ Ἀνδρέαν τὸν
ἀδελφὸν αὐτοῦ, οἵτινες, ἁλιεῖς ὄντες, ἔ-
βαλλον τὰ δίκτυα εἰς τὴν θάλασσαν.
Οὐ κατὰ τύχην δὲ περιεπάτει ἐκεῖ ὁ
Χριστὸς, ἀλλὰ προειδὼς, ὅτι κατ᾽ ἐκείνην
τὴν ὥραν εὑρίσκοντο εἰς τὴν θάλασσαν
τῆς Γαλιλαίας ὁ Πέτρος, καὶ ὁ Ἀνδρέ-
ας, ἦλθεν ἐπίτηδες ἐκεῖ, ἵνα προσκαλέ-
σῃ αὐτοὺς εἰς ἀποστολὴν τοῦ Εὐαγγε-
λικοῦ τῆς πίστεως κηρύγματος. Σημειώ-
τε δὲ τὴν ἀκριβολογίαν τοῦ Εὐαγγε-
λιστοῦ· εἰπὼν, ὅτι ἔβαλλον τὸ δίκτυον
εἰς τὴν θάλασσαν, προσέθηκε καὶ τὸ, ἦ-
σαν γὰρ ἁλιεῖς, ἵνα μηδεὶς ἀμφιβάλ-
λῃ, ὅτι οἱ πρῶτοι μαθηταὶ τοῦ Χριστοῦ
ἦσαν ἁλιεῖς, ἤγουν ἄνθρωποι πτωχοὶ,
καὶ ἁπλούστατοι, καὶ ἀγράμματοι. Τοι-
ούτους δὲ κήρυκας τοῦ Εὐαγγελίου ἐ-
Α΄.Κορ. ά. ξελέξατο ὁ Θεὸς, ὅπως μὴ καυχήση-
29. ται πᾶσα σὰρξ ἐνώπιον αὐτοῦ.
Οὐδὲ Βασιλεῖς καυχῶνται, ὅτι διὰ φό-
βου καὶ δυναστείας ὑπέταξαν τοὺς ἀν-
θρώπους εἰς τὴν πίστιν· οὐδὲ πλούσιοι,
ὅτι διὰ χρυσίου καὶ ἀργυρίου ἐκέρδη-
σαν τὰς γνώμας· οὐδὲ σοφοὶ, ὅτι διὰ
σοφισμάτων καὶ ῥητορικῆς τέχνης ὑπε-
σκέλισαν τὸν νοῦν· οὐδεμία, λέγω, ἀν-
θρωπίνη δύναμις δύναται καυχηθῆναι,
Αὐτόθι. ὅτι ἅπλωσε τὴν εἰς Χριστὸν πίστιν· Τὰ
27,28,29. μωρὰ τοῦ κόσμου ἐξελέξατο ὁ
Θεὸς, ἵνα τοὺς σοφοὺς καταισχύ-
νῃ· καὶ τὰ ἀσθενῆ τοῦ κόσμου ἐ-
ξελέξατο ὁ Θεὸς, ἵνα καταισχύνῃ
τὰ ἰσχυρά· καὶ τὰ ἀγενῆ τοῦ κό-
σμου καὶ τὰ ἐξουθενημένα ἐξε-
λέξατο ὁ Θεὸς, καὶ τὰ μὴ ὄντα,
ἵνα τὰ ὄντα καταργήσῃ· ὅπως μὴ
καυχήσηται πᾶσα σάρξ ἐνώπιον
αὐτοῦ· ὅλον τὸ καύχημα τῆς πίστεως
ἐστὶ θεῖον, ὅλον ἔργον τῆς θείας χά-
ριτος. Δύω δὲ ἀδελφοὺς πρώτους μαθη-
τὰς αὐτοῦ ἐκάλεσεν ὁ τῶν ἁπάντων Δε-
σπότης, ἵνα διδάξῃ, ὅτι πάντες οἱ Χρι-
στιανοὶ ἀδελφοί εἰσι, καὶ ἀδελφικὴν
ἀγάπην ἔχουσι πρὸς ἀλλήλους· ὅθεν
καὶ ἔλεγεν· Ἐν τούτῳ γνώσονται Ἰωάν. ιγ΄.
πάντες, ὅτι ἐμοὶ μαθηταί ἐστε, 35.
ἐὰν ἀγάπην ἔχητε ἐν ἀλλήλοις.
Διατί δὲ ἄραγε ἐκάλεσεν αὐτοὺς κατ᾽
ἐκείνην τὴν ὥραν, ἐν ᾗ ἔῤῥιπτον τὰ δί-
κτυα εἰς τὴν θάλασσαν; Διὰ τούτου
ἐφανέρωσεν ἡμῖν, ὅτι ἔργον τοῦ Ἀπο-
στόλου καὶ Ἱεροκήρυκος ἐστὶν, οὐχὶ ἵνα
σώσῃ τοὺς ἀκούοντας, ἀλλὰ μόνον, ἵνα
ἁπλώσῃ τῆς διδασκαλίας τὸ δίκτυον. Ὁ
Ἱεροκήρυξ, ὁπόταν κηρύξῃ, καὶ ὁ πνευ-
ματικὸς πατὴρ, ὁπόταν νουθετήσῃ καὶ
συμβουλεύσῃ, ἐτελείωσε τὸ ἀποστολικὸν
αὐτοῦ ἔργον· ἐὰν δὲ σὺ, ἀκούσας, μὴ ἐ-
πιστρέψῃς ἀπὸ τῶν ἁμαρτιῶν σου, αὐ-
τὸς μὲν ἔχει τὸν μισθὸν αὐτοῦ, διὰ τὸν
κόπον τοῦ κηρύγματος, σὺ δὲ τὴν κατα-
δίκην, διὰ τὴν σκληρότητα τῆς καρδίας
σου· διότι ἔργον μὲν αὐτοῦ ἐστὶν, ἵνα
διδάξῃ, καὶ συμβουλεύσῃ· ἔργον δὲ σὸν
ἐστιν, ἵνα ὑπακούσῃς καὶ διορθωθῇς.
Στοχασθῆτε δὲ τοῦ Θεοῦ τὴν οἰκονο-
μίαν· ὁ Θεὸς ᾠκονόμησεν, ἵνα εὑρεθῶσι
δύω ἄνθρωποι, ἀδελφοὶ κατὰ σάρκα,
πτωχοὶ κατὰ τὴν κατάστασιν, ἀμαθεῖς
κατὰ τὴν ἕξιν, ἁλιεῖς κατὰ τὴν τέχνην,
ἐκλεκτοὶ κατὰ τὴν προαίρεσιν, ῥίπτον-
τες τὸ δίκτυον εἰς τὴν θάλασσαν τῆς
Γαλιλαίας. Ὅτε δὲ ταῦτα ἡ τοῦ Θεοῦ
πρόνοια προητοίμασε, τότε ὁ μονογενὴς



αὐ-

αὐτοῦ Υἱός, ἐλθὼν ἐκεῖ, λέγει πρὸς αὐτούς·

Ματ. δ'. 19. **Καὶ λέγει αὐτοῖς· Δεῦτε ὀπίσω μου, καὶ ποιήσω ὑμᾶς ἁλιεῖς ἀνθρώπων.**

Ἔλθετε ὀπίσω μου, ἀκολουθήσατέ μοι, καὶ ἐγὼ καταστήσω ὑμᾶς ἁλιεῖς ἀνθρώπων· ἐγὼ μὲν ἀναδείξω ὑμᾶς κήρυκας τοῦ Εὐαγγελίου· ὑμεῖς δὲ οὐκ ἐμβαλεῖτε τὸ ἀμφίβληστρον εἰς τὴν θάλασσαν, ἀλλὰ διασπερεῖτε τοῦ Θεοῦ τὸν λόγον εἰς τὰς καρδίας τῶν ἀνθρώπων· οὐκ ἐξάξετε ὀψάρια ἀπὸ τῆς θαλάσσης, ἀλλὰ ἀναβιβάσετε ἀνθρώπους ἀπὸ τοῦ βυθοῦ τῆς ἀπιστίας· ἀνθρώπους σώσετε, οὐχὶ δὲ ἰχθύας ἁλιεύσετε. Σημειώσατε δέ, ὅτι ὁ Ἀνδρέας καὶ ὁ Πέτρος ἦσαν πρότερον μαθηταὶ τοῦ Ἰωάννου, τοῦ Προδρόμου καὶ Βαπτιστοῦ, ἀκούσαντες δὲ καὶ παρ' αὐτοῦ τὰ περὶ τοῦ Ἰησοῦ Χριστοῦ, ἐλθόντες, εἶδον αὐτόν, καὶ συνωμίλησαν μετ' αὐτοῦ, πρῶτον ὁ Ἀνδρέας, εἶτα καὶ ὁ ἀδελφὸς αὐτοῦ ὁ Σίμων, ὃν ὁ Χριστὸς τότε ὠνόμασε Πέ-
Ἰωάν. ά. 43. τρον, εἰπών· Σὺ εἶ Σίμων, ὁ υἱὸς Ἰωνᾶ· σὺ κληθήσῃ Κηφᾶς, ὃ ἑρμηνεύεται Πέτρος. Ὅταν δὲ παρεδόθη ὁ Ἰωάννης ὁ Βαπτιστὴς εἰς φυλακήν,
Ματ. δ'. 12. ὁ μὲν Κύριος ἡμῶν ἀνεχώρησεν εἰς τὴν Γαλιλαίαν· ὁ δὲ Πέτρος καὶ ὁ Ἀνδρέας, ὡς φαίνεται, ἐλθόντες καὶ αὐτοὶ ἐκεῖ, μετήρχοντο τὴν ἁλιευτικὴν τέχνην, ῥίπτοντες τὰ δίκτυα αὐτῶν εἰς τὴν θάλασσαν τῆς Γαλιλαίας, ὅπου εὑρὼν αὐτοὺς ὁ Χριστός, προσεκάλεσε διὰ τὴν ἀποστολὴν τοῦ εὐαγγελικοῦ κηρύγματος.

Αὐτ. 20. **Οἱ δέ, εὐθέως ἀφέντες τὰ δίκτυα, ἠκολούθησαν αὐτῷ.**

Προθυμότεροι τοῦ προφήτου Ἐλισσαίου οἱ ἅγιοι Ἀπόστολοι· διότι ὁ μὲν Ἐλισσαῖος, προσκαλεσθεὶς ὑπὸ τοῦ προφήτου Ἠλιοὺ εἰς τὸ προφητικὸν ὑπούργημα, Γ'. Βασ. ιθ'. 20. 21.
πρῶτον ἀπεχαιρέτησε τὸν πατέρα αὐτοῦ, εἶτα ἐθυσίασε τοὺς βόας αὐτοῦ, καὶ διένειμεν αὐτοὺς τῷ λαῷ, καὶ ἔπειτα ἠκολούθησε τῷ Ἠλίᾳ· ὁ δὲ Ἀνδρέας καὶ ὁ Πέτρος, προσκαλεσθέντες ὑπὸ Χριστοῦ εἰς τὸ ἀποστολικὸν ἐπάγγελμα, εὐθὺς τὴν ὥραν ἐκείνην ἀφῆκαν τὰ δίκτυα, καὶ ἠκολούθησαν αὐτῷ. Ἐκ τούτου μανθάνομεν, πόσην προθυμίαν χρεωστοῦμεν εἰς τοῦ Θεοῦ τὴν πρόσκλησιν. Καθὼς δὲ τότε ὁ Θεάνθρωπος ἐκάλεσε τοὺς Ἀποστόλους, λέγων· Δεῦτε ὀπίσω μου· Ματ. δ'. 19.
οὕτω καθ' ἑκάστην ἡμέραν προσκαλεῖ πάντας ἡμᾶς, λέγων· Δεῦτε Αὐτ. ιά. 28.
πρός με πάντες. Οἱ Ἀπόστολοι ἀφῆκαν, λέγει, εὐθέως τὰ δίκτυα τῶν ἰχθύων, σὺ ἄφες εὐθὺς τὰ δίκτυα τῶν σαρκικῶν σου ἐπιθυμιῶν· ἐκεῖνοι ἀφῆκαν εὐθέως τὸ ἱστίον, καὶ τὸ πηδάλιον, σὺ ἄφες εὐθὺς τὴν δοξομανίαν καὶ τὴν ὑπερηφάνειαν· ἐκεῖνοι ἀφῆκαν εὐθέως τὸ πλοῖον, καὶ ἠκολούθησαν τῷ Χριστῷ, σὺ ἄφες εὐθὺς τὴν κακίαν σου, καὶ φύλαττε τὰς ἐντολὰς αὐτοῦ· ὅταν ὁ Θεὸς κράζῃ, οὐδὲ ἀναβολή, οὐδὲ πρόφασις ἔχει τόπον. Ἰδὼν δὲ ὁ Θεάνθρωπος, ὅτι ὁ Πέτρος καὶ ὁ Ἀνδρέας, ἀφέντες πάντα, εὐθὺς ἠκολούθησαν αὐτῷ, ἀνεχώρησεν ἐκεῖθεν, ἵνα, καὶ ἄλλους προσκαλέσας, ἀναδείξῃ Ἀποστόλους καὶ μαθητὰς αὐτοῦ.

**Καὶ προβὰς ἐκεῖθεν, εἶδεν** Αὐτ. δ'. 21.
**ἄλλους δύω ἀδελφούς, Ἰάκωβον τὸν τοῦ Ζεβεδαίου, καὶ Ἰωάννην τὸν ἀδελφὸν αὐτοῦ, ἐν τῷ πλοίῳ μετὰ Ζεβεδαίου**

τοῦ

τοῦ πατρὸς αὐτῶν, καταρτίζοντας τὰ δίκτυα αὐτῶν· καὶ ἐκάλεσεν αὐτούς.

Δύω Ἀπόστολοι ἐκ τῶν δώδεκα ὀνομάζονται Ἰάκωβοι· ὁ μὲν εἷς, ἐστὶν ὁ υἱὸς τοῦ Ἀλφαίου, ὃν ὁ Εὐαγγελιστὴς
Μάρκ. ιέ. 40. Μάρκος ὀνομάζει Ἰάκωβον μικρόν· ὁ δὲ ἕτερός ἐστιν οὗτος, ὁ υἱὸς τοῦ Ζεβεδαίου, ὁ ἀδελφὸς Ἰωάννου τοῦ Θεολόγου καὶ Εὐαγγελιστοῦ. Βλέπε δὲ πρῶτον μὲν, ὅτι ὁ εὐαγγελιστὴς Ματθαῖος οὐκ εἶπεν, Ἰάκωβον καὶ Ἰωάννην τοὺς υἱοὺς Ζεβεδαίου, ἀλλ' Ἰάκωβον τὸν τοῦ Ζεβεδαίου, καὶ Ἰωάννην τὸν ἀδελφὸν αὐτοῦ· ἵνα δὶς ἀναφέρῃ τὸ ὄνομα, ἀδελφὸς, καὶ παραστήσῃ πάλιν, ὅτι διὰ τοῦτο ἐκλέγονται οἱ δύω πρῶτοι μαθηταὶ ἀδελφοὶ, ὡσαύτως καὶ οἱ δύω δεύτεροι, ἵνα καταλάβωμεν, ὅτι πάντες οἱ εἰς αὐτὸν πιστεύοντες χρέος ἔχουσιν ἵνα ὡς ἀδελφοὶ ἀγαπῶνται. Δεύτερον σημείωσον πόση ἦν ἡ πτωχεία τῶν Ἀποστόλων· διότι τὸ, καταρτίζοντες τὰ δίκτυα, σημαίνει, ὅτι ἰδίαις χερσὶ ἀνεκαίνιζον τὰ πεπαλαιωμένα αὐτῶν δίκτυα. Τρίτον, ὅτι ἐκέρδαινον τὰ πρὸς τὸ ζῆν ἀναγκαῖα διὰ τῶν ἰδίων κόπων, καὶ ἱδρώτων, δι' αὐτῶν τρέφοντες καὶ τὸν γηραλέον πατέρα αὐτῶν. Τοιούτους λοιπὸν ἄνδρας προσκαλέσας ὁ Ἰησοῦς Χριστὸς, κατέστησε μαθητὰς αὐτοῦ, αὐτόπτας καὶ μάρτυρας τοῦ βίου, τῶν θαυμάτων, τοῦ πάθους, τῆς ταφῆς, τῆς ἀναστάσεως, τῆς εἰς οὐρανοὺς ἀναβάσεως, τῆς καθόδου τοῦ ἁγίου Πνεύματος, κήρυκας τῶν εὐαγγελικῶν διδαγμάτων, καὶ πάσης τῆς οἰκουμένης ὁδηγοὺς καὶ διδασκάλους.

Ματ. δ. 22. Οἱ δὲ, εὐθέως ἀφέντες τὸ πλοῖον καὶ τὸν πατέρα αὐτῶν, ἠκολούθησαν αὐτῷ.

Βλέπε προθυμίαν ἀνάλογον εἰς τὴν πρόγνωσιν τοῦ Σωτῆρος· ἀκούσαντες τὸ δεσποτικὸν κάλεσμα, εὐθὺς ἀφῆκαν καὶ τὰ δίκτυα, καὶ τὸ πλοῖον, καὶ τὸν πατέρα αὐτῶν, καὶ ἠκολούθησαν προθύμως τῷ καλοῦντι Χριστῷ. Τότε δὲ ἄραγε πρῶτον αὐτοὶ εἶδον τὸν Χριστὸν; καὶ τότε πρῶτον ὁ Χριστὸς ἐκάλεσεν αὐτούς; Καὶ προλαβὸν ἴσως γνωστὰ ἦσαν εἰς αὐτοὺς τὰ περὶ τοῦ Ἰησοῦ Χριστοῦ· τότε δὲ πρῶτον ἀναμφιβόλως ἐκάλεσεν αὐτούς· διότι, εἰς ταύτην μόνην τοῦ Εὐαγγελίου τὴν περικοπὴν, βλέπομεν τὸ πρῶτον αὐτῶν κάλεσμα, ὅπερ κατὰ τὸν αὐτὸν τρόπον διηγεῖται ἡμῖν καὶ ὁ Εὐαγγελιστὴς Μάρκος. Διατί δὲ ἐγκατέλιπον τὸν πατέρα αὐτῶν; Ὡς Μάρκ. ά. 20. φαίνεται, αὐτὸς οὐκ ἐπίστευσε τῷ Χριστῷ· διὰ ταῦτο αὐτοὶ ἠκολούθησαν μὲν τὸν καλέσαντα αὐτοὺς Χριστὸν, ἐγκατέλιπον δὲ τὸν μὴ πιστεύσαντα πατέρα, προτιμήσαντες τὸν Θεὸν τοῦ ἰδίου πατρός. Σημείωσαι δὲ, ὅτι οἱ μὲν τῷ Χριστῷ ἀκολουθοῦντες, ὥσπερ ὁ Ἰάκωβος καὶ ὁ Ἰωάννης, ἐξέρχονται τῆς θαλάσσης, ἤγουν τῆς πολυταράχου τοῦ κόσμου ματαιότητος, ἐγκαταλιμπάνουσι τὸ πλοῖον καὶ τὸν πατέρα, ἤγουν τὰ ἀκατάστατα καὶ πολυκίνδυνα τοῦ βίου πράγματα, καὶ τὰς σωματικὰς προσπαθείας· οἱ δὲ τῷ Χριστῷ μὴ ἀκολουθοῦντες, ὡς ὁ γέρων Ζεβεδαῖος, μένουσιν εἰς τὴν θάλασσαν καὶ εἰς τὸ πλοῖον, τουτέστι κατακυλίονται εἰς τὸν σάλον τοῦ κοσμικοῦ βίου, καὶ εἰς τὴν ἀκαταστασίαν τῶν γηΐνων πραγμάτων. Ὅτε δὲ ὁ Θεάνθρωπος ἐκάλεσε τῆς ἐκλογῆς τὰ σκεύη, καὶ κατέστησεν αὐτὰ οἰκουμενικοὺς διδασκάλους, τότε ἤρξατο τῆς σωτηρίας τὸ κήρυγ-

ρυγμα, καὶ τῆς φιλανθρωπίας αὐτοῦ τὰ παράδοξα εὐεργετήματα.

Ματ. δ'. 15. **Καὶ περιῆγεν ὅλην τὴν Γαλιλαίαν ὁ Ἰησοῦς, διδάσκων ἐν ταῖς Συναγωγαῖς αὐτῶν, καὶ κηρύσσων τὸ Εὐαγγέλιον τῆς βασιλείας, καὶ θεραπεύων πᾶσαν νόσον, καὶ πᾶσαν μαλακίαν ἐν τῷ λαῷ.**

Αἱ Συναγωγαὶ τόποι ἦσαν, ἐν οἷς συναθροιζόμενοι οἱ Ἑβραῖοι, ἀνεγίνωσκον καὶ ἐξήγουν τὰς Θείας Γραφάς· εἰς μίαν δὲ καὶ τὴν αὐτὴν πόλιν πολλαὶ ἦσαν τοιαῦται Συναγωγαί. Εἰς τὰς ἐν Γαλιλαίᾳ λοιπὸν Συναγωγὰς παῤῥησίᾳ ὁ Κύριος ἡμῶν ἐδίδασκεν, ἵνα πάντες ἀκούωσι τὴν διδασκαλίαν αὐτοῦ, καὶ μηδεὶς ἔχῃ ἀφορμὴν, ἵνα κατηγορήσῃ αὐτὸν, ὡς διδάσκοντα ἐναντία τοῦ νόμου καὶ τῶν Προφητῶν· διὸ καὶ ἔλεγε πρὸς τὸν ἐπε-
Ἰωάν. ιη'. 20. ρωτῶντα αὐτὸν Καϊάφαν· Ἐγὼ παῤῥησίᾳ ἐλάλησα τῷ κόσμῳ· ἐγὼ πάντοτε ἐδίδαξα ἐν τῇ Συναγωγῇ καὶ ἐν τῷ Ἱερῷ, ὅπου πάντοθεν οἱ Ἰουδαῖοι συνέρχονται, καὶ ἐν κρυπτῷ ἐλάλησα οὐδέν. Ἐδίδασκε δὲ ὁ τῶν ἁπάντων Δεσπότης καὶ ἐκήρυττε τὸ Εὐαγγέλιον τῆς βασιλείας, ἤγουν τὸ μήνυμα, ὅτι ἠνοίχθη τοῖς ἀνθρώποις ἡ βασιλεία τῶν οὐρανῶν· διὸ ἔλεγεν· Ἀπ' ἄρτι ὄψεσθε Ἰωάν. α'. 52.
τὸν οὐρανὸν ἀνεῳγότα, καὶ τοὺς Ἀγγέλους τοῦ Θεοῦ ἀναβαίνοντας καὶ καταβαίνοντας ἐπὶ τὸν Υἱὸν τοῦ ἀνθρώπου. Ἐκήρυττε τὸ Εὐαγγέλιον τῆς βασιλείας, ἤγουν τῆς εὐσεβείας τὰ δόγματα, τῆς πίστεως τὰ μυστήρια, τοῦ νόμου τὰ κεφάλαια, τῆς χρηστοηθείας τὰ μαθήματα, δι' ὧν ὁ ἄνθρωπος κληρονόμος γίνεται τῆς τοῦ Θεοῦ βασιλείας. Βλέπε δὲ τὴν διαφορὰν, τὴν μεταξὺ τῶν ἔργων, ὧν ἐποίησεν ὁ Θεὸς, ὅτε ἔδωκε τὸν Μωσαϊκὸν νόμον τοῖς ἀνθρώποις, καὶ ὅτε ἐκήρυξε τὸ Εὐαγγέλιον τῆς βασιλείας. Εἰς τὸ ὄρος τὸ Σινᾶ, ὅπου ὁ Θεὸς καταβὰς ἔδωκε τὸν νόμον, ἀστραπαὶ καὶ βρονταὶ, πῦρ καιόμενον, καὶ σάλπιγγες σφοδρῶς ἠχοῦσαι, ὄρος καπνιζόμενον, καὶ γνόφος βαθύς· εἰς τὴν Γαλιλαίαν, ὅπου ὁ μονογενὴς Υἱὸς τοῦ Θεοῦ ἐλθὼν, ἤρξατο κηρύττειν τὸ Εὐαγγέλιον, προσκάλεσις διδασκαλικὴ, θαύματα φιλάνθρωπα, ἰατρεία ἐν παντὶ τῷ λαῷ πάσης νόσου, ἤγουν πάσης βαρείας καὶ ἀνιάτου ἀσθενείας, καὶ πάσης μαλακίας, ἤγουν πάσης ἐλαφρᾶς, καὶ εὐκολοθεραπεύτου ἀῤῥωστίας. Εἰς τὸ Σινᾶ, φόβος καὶ τρόμος, εἰς τὴν Γαλιλαίαν, θάῤῥος καὶ παῤῥησία. Εἰς τὸ Σινᾶ, κρίσις καὶ δικαιοσύνη, εἰς τὴν Γαλιλαίαν, ἔλεος καὶ εὐσπλαγχνία· διὰ Μωσέως ἐδόθη νό-
μος, διὰ Ἰησοῦ Χριστοῦ χάρις ἐγένετο καὶ ἀλήθεια. Ἰωάν. α'. 17.

# ΟΜΙΛΙΑ

ΜΕΤΑ ΤΟ ΚΑΤΑ

# ΜΑΤΘΑΙΟΝ

## ΕΥΑΓΓΕΛΙΟΝ ΤΗΣ Β'. ΚΥΡΙΑΚΗΣ.

Ἑβρ. ιγ'. 8. Χριστιανοί, Ἰησοῦς Χριστὸς χθὲς
καὶ σήμερον ὁ αὐτὸς, καὶ εἰς τοὺς
αἰῶνας. Ἄχρι τῆς σήμερον προσκα-
Ματ. δ'. 19. λεῖ, Δεῦτε ὀπίσω μου, ἀλλ' οὐδεὶς
Ἀνδρέας, ἢ Πέτρος, ἢ Ἰάκωβος, ἢ Ἰωάν-
νης ἀκούει τὴν φωνὴν αὐτοῦ. Κράζει ἕως
Αὐτ. ια'. 28. τῆς σήμερον, Δεῦτε πρός με πάντες
οἱ κοπιῶντες καὶ πεφορτισμένοι
ἀλλ' οὐδεὶς ἔρχεται πρὸς αὐτόν. Ὑπό-
σχεται εἰς ἡμᾶς τῆς θείας αὐτοῦ φιλαν-
Αὐτόθι. θρωπίας τὰ βότανα· Κἀγὼ ἀναπαύ-
σω ὑμᾶς, ἀλλ' οὐδεὶς, οὐδὲ εἰς τὴν δε-
σποτικὴν πρόσκλησιν πείθεται, οὐδὲ τὴν
πατρικὴν δέχεται θεραπείαν. Πόθεν δὲ
τοῦτο προέρχεται; ἄραγε ἠσθένησεν ὁ
λόγος τοῦ Θεοῦ, καὶ οὐ δύναται ἐνεργῆ-
σαι εἰς τὴν καρδίαν τῶν ἀνθρώπων, κα-
θὼς τὸ πρότερον; Ἄπαγε· ὁ Θεός ἐστιν,
ἀμετάτρεπτος καὶ ἀναλλοίωτος, καὶ ὁ
Ἱερ. κγ'. 29. λόγος αὐτοῦ ἐστὶν ὁ αὐτὸς, Ὥσπερ
πῦρ, λέγει ὁ Προφήτης, καὶ ὡς πέ-
λυξ κόπτων πέτραν. Τὴν δύναμιν,
ἣν εἶχεν, ὅτε τὸ πρῶτον ἤκουσεν αὐτὸν
ὁ Ἀδὰμ, ἔπειτα ὁ Νῶε, καὶ μετ' αὐτὸν
ὁ Ἀβραὰμ, εἶτα ὁ Μωϋσῆς, καὶ μετὰ
ταῦτα οἱ Προφῆται, καὶ μετ' αὐτοὺς οἱ
Ἀπόστολοι, τὴν αὐτὴν ἔχει δύναμιν ἕως
τῆς σήμερον ἡμέρας, καὶ εἰς τοὺς αἰῶ-
νας· ἄχρι τῆς σήμερον ὡς πῦρ φλέγει
τὴν ἁμαρτίαν, ὡς πέλυξ κόπτει τῆς
καρδίας τὴν σκληρότητα. Διατί λοιπὸν
οὐκ ἐνεργεῖ ἐν ἡμῖν, καθὼς καὶ πρότε-
ρον; διατί τόσοι ἁμαρτωλοὶ ἔρχονται
εἰς τὴν Ἐκκλησίαν, ἀκούουσι τὸν λόγον
τοῦ Θεοῦ, καὶ ὅμως μένουσιν ἀδιόρθω-
τοι, καὶ ἐν τῇ ἁμαρτίᾳ αὐτῶν ἀποθνή-
σκουσι; Τοῦτο, ἀδελφοί μου, προέρχεται
ἀπὸ τὴν τελείαν ἀμεριμνίαν τῆς ψυχι-
κῆς ἡμῶν σωτηρίας· περὶ παντὸς φθαρ-
τοῦ καὶ εὐτελεστάτου πράγματος μερι-
μνῶμεν καὶ φροντίζομεν, περὶ δὲ τῆς
σωτηρίας ἡμῶν οὐδεμία, οὐδὲ μέριμνα,
οὐδὲ φροντίς.

Ἀκούσατε τί προστάζει ὁ Θεός. Ὁ
νόμος μου, λέγει, ἔστω μελέτημα τῆς
καρδίας, καὶ ἐνθύμημα τῆς ψυχῆς ὑμῶν·
Καὶ ἔσται τὰ ῥήματα ταῦτα, ὅσα Δευτ. ς'. 6.
ἐγὼ ἐντέλλομαί σοι σήμερον, ἐν
τῇ καρδίᾳ σου, καὶ ἐν τῇ ψυχῇ
σου. Χριστιανὲ, εἰπὲ τὴν ἀλήθειαν, με-
λετᾷς κἂν μίαν ὥραν καθ' ἑκάστην ἡμέ-
ραν τὸν νόμον τοῦ Θεοῦ; ἐνθυμᾶσαι κἂν
μίαν ὥραν κατὰ πᾶσαν ἑβδομάδα τὰ
τοῦ Θεοῦ προστάγματα; Ναὶ, λέγεις,
ἐγὼ προσεύχομαι πρωῒ, καὶ ἑσπέρας·
ἀληθῶς· ἀλλὰ ποία ἡ προσευχή σου;
κινεῖς μὲν γοργῶς τὰ χείλη σου, καὶ ὑ-
ποψιθυρίζεις ἕνα, ἢ δύο ψαλμοὺς, τρία,
ἢ τέσσαρα τροπάρια· ὁ δὲ νοῦς σου τρέ-
χει ἔνθεν κἀκεῖθεν, καὶ οὐδόλως ἀκούει
τὸ τί λαλεῖ ἡ γλῶσσά σου· πολλάκις
δὲ ἐν ὅσῳ τὸ στόμα σου λαλεῖ τῆς προ-
σευχῆς τὰ ῥήματα, ὁ νοῦς σου στοχάζε-
ται τῆς ἁμαρτίας τὰ ἐνθυμήματα· καὶ
σὺ μὲν ἴσως νομίζεις, ὅτι ἐπροσευχή-
θης, καὶ ἐφρόντισας ὑπὲρ τῆς σωτηρίας
σου, ἡ δὲ τοιαύτη προσευχή σου ἐπιστρέ- Ψαλ. [illegible]
φει ἄπρακτος εἰς τὸν κόλπον σου, καὶ

γί-

γίνεταί σοι ἁμαρτία· Ἐγώ, λέγεις, ἔρχομαι εἰς τὴν Ἐκκλησίαν· Ναί, ἔρχεσαι, ἀλλὰ φέρεις μόνον τὸ σῶμα, ὁ νοῦς σου μένει εἰς τὴν οἰκίαν σου, ἢ εἰς τὴν πραγματείαν σου, ἢ εἰς τὰς ὑποθέσεις σου, καὶ τοὺς περισπασμούς σου· ἔρχεσαι εἰς τὴν Ἐκκλησίαν, ἀλλ᾽ ἀντὶ νὰ προσηλώσῃς τὸν νοῦν σου εἰς τὸν Θεόν, συνομιλεῖς μετὰ τῶν περιεστώτων, ἐνίοτε δὲ καὶ ἀτακτεῖς ἀφόβως.

Ὁ νόμος μου, λέγει ὁ Θεός, ἔστω
Δευτ. ϛ΄. 7. μάθημα τῶν τέκνων σου· Καὶ προβιβάσεις αὐτὰ τοὺς υἱούς σου. Πατέρες, καὶ μητέρες, εἴπατε τὴν ἀλήθειαν· διδάσκετε ὑμεῖς τὰ τέκνα ὑμῶν τὸν νόμον τοῦ Θεοῦ; ἀναγγέλλετε εἰς αὐτὰ πόσαι καὶ ποῖαί εἰσιν αἱ ἐντολαὶ τοῦ Θεοῦ; λέγετε πρὸς αὐτά, κἂν ἅπαξ τῆς ἑβδομάδος· Τέκνα, ἀκούσατε τὸν λόγον ἡμῶν· ἐὰν φυλάξητε τὰς ἐντολὰς τοῦ Θεοῦ, γίνεσθε ἄνθρωποι τίμιοι, καὶ εὐτυχεῖς, καὶ κληρονόμοι τοῦ παραδείσου· ἐὰν δὲ παρέβητε αὐτάς, γίνεσθε ἄτιμοι, καὶ δυστυχεῖς, καὶ υἱοὶ τοῦ ᾅδου;

Τὸν νόμον μου, λέγει ὁ Θεός, πρέπει νὰ ἔχῃς εἰς τὸ στόμα σου, καὶ ὅταν περιπατῇς εἰς τὸν δρόμον, καὶ ὅταν κοιτάζεσαι εἰς τὴν κλίνην σου, καὶ ὅταν ἀπ᾽
Αὐτόθι. αὐτῆς ἀνίστασαι· Καὶ λαλήσεις ἐπ᾽ αὐτοῖς καθήμενος ἐν οἴκῳ, καὶ πορευόμενος ἐν ὁδῷ, καὶ κοιταζόμενος, καὶ διανιστάμενος. Ταῦτα θερμαίνουσι τὴν ψυχὴν τοῦ ἀνθρώπου καὶ καλλιεργοῦσι τὴν καρδίαν αὐτοῦ, ὥστε, ὅταν πέσῃ ἐν αὐτῷ ὁ λόγος τοῦ Θεοῦ, καρποφορεῖ εὐθὺς τὸν καρπὸν τῆς σωτηρίας. Ἀλλὰ τίς ἐξ ὑμῶν, ὅταν κάθηται εἰς τὸν οἶκον αὐτοῦ, ἢ εἰς ἐκεῖνον τοῦ φίλου αὐτοῦ, λαλεῖ περὶ τοῦ νόμου τοῦ Θεοῦ; τίς, ἢ ὅταν περιπατῇ εἰς τὸν δρόμον, ἢ ὅταν κοιτάζεται εἰς τὴν κλίνην, ἢ ὅταν ἀνίσταται ἀπ᾽ αὐτῆς, συλλογίζεται τὰς ἐντολὰς τοῦ Θεοῦ, καὶ ποίαν ἐξ αὐτῶν ἐφύλαξεν, ἢ ποίαν παρέβη; ποῖος, λέγω, κἂν μίαν ὥραν κατὰ πᾶσαν ἡμέραν, συλλογίζεται περὶ τῆς σωτηρίας τῆς ψυχῆς αὐτοῦ; Ὁ πλούσιος, ἀφιερωμένος εἰς τὰς τρυφὰς καὶ ματαιότητας, οὐδέποτε ἐνθυμᾶται τὴν ὥραν τοῦ θανάτου αὐτοῦ· ὁ πτωχός, τρέχων ἔνθεν κἀκεῖθεν, ἵνα προφθάσῃ τὰς καθημερινὰς αὐτοῦ ἀνάγκας, ἀμνημονεῖ παντελῶς τὴν ἡμέραν τῆς κρίσεως· τοῦ πραγματευτοῦ ὁ νοῦς, προσκεκολλημένος εἰς τὴν πραγματείαν, οὐδὲν ἄλλο στοχάζεται, εἰμὴ ἵνα ἀγοράσῃ εὐθηνά, καὶ πωλήσῃ ἀκριβά· ὁ τεχνίτης οὐδὲν ἄλλο μεριμνᾷ, εἰμὴ, ἵνα τελειώσῃ γοργὰ τὸ ἐργόχειρον, καὶ κερδήσῃ περισσότερα· περὶ δὲ ψυχῆς, περὶ μελλούσης ζωῆς, περὶ τῆς φοβερᾶς κρίσεως, καὶ τῆς βασιλείας τῶν οὐρανῶν, καὶ τῆς αἰωνίου κολάσεως οὐδεὶς μεριμνᾷ ἢ φροντίζει· πάντων ὁ νοῦς προσηλωμένος καὶ ἔκδοτος εἰς τὰς τρυφὰς τοῦ σώματος, καὶ εἰς τὸ ἴδιον κέρδος, καὶ τὰ χρήματα. Ὁ Ψαλ. ιβ΄. 5.
Θεός, λέγει ὁ ψαλμῳδὸς Προφήτης, ἐκ τοῦ οὐρανοῦ διέκυψεν ἐπὶ τοὺς υἱοὺς τῶν ἀνθρώπων τοῦ ἰδεῖν, εἰ ἔστι συνιῶν ἢ ἐκζητῶν τὸν Θεόν· οὐδένα ὅμως εὗρε τοιοῦτον· Πάντες ἐ- Αὐτ. 4.
ξέκλιναν, ἅμα ἠχρειώθησαν, οὐκ ἔστι ποιῶν ἀγαθόν, οὐκ ἔστιν ἕως ἑνός. Διὰ τὴν ἡδονὴν τῆς σαρκός, καὶ τὴν ματαιότητα τοῦ κόσμου ὅλη ἡ μελέτη, καὶ ἡ σπουδή, καὶ οἱ ἀγῶνες νύκτα τε καὶ ἡμέραν· διὰ δὲ τὴν σωτηρίαν τῆς ψυχῆς οὐδὲ φροντίς, οὐδὲ λογισμός, οὐδὲ ἐνθύμησις.

Ἐκ τούτου σκληρύνεται ἡ καρδία ἡμῶν, καὶ γίνεται ἀνεπίδεκτος τοῦ φωτισμοῦ τῶν λόγων τοῦ Θεοῦ. Ἐκ τούτου ἀργὸν γίνεται ἐν ἡμῖν τὸ Εὐαγγέλιον, καὶ πᾶς λόγος Θεοῦ ἄπρακτος. Ὁ λόγος τοῦ Θεοῦ ἐστὶ φῶς οὐράνιον·
Διότι φῶς τὰ προστάγματά σου Ἡσ. κϛ΄. 9.

ἐπὶ

ἐπὶ τῆς γῆς· ὅθεν ἔχει τὰ ἰδιώμα-
τα τοῦ ὑλικοῦ φωτός· ὅταν τὸ ἡλιακὸν
φῶς ἀνατείλῃ, ἐὰν μὲν εὕρῃ θύραν, ἢ
πόρον εἰς τὴν οἰκίαν, εἰς ἣν προσβάλ-
λει, διελθὸν φωτίζει καὶ θερμαίνει πάν-
τα τὰ ἔνδον τῆς οἰκίας· ἐὰν δὲ μὴ εὕ-
ρῃ πόρον διαβάσεως, αὐτὸ μὲν ἀντανα-
κλᾶται εἰς τὰ ὀπίσω, ἡ δὲ οἰκία ἐκεί-
νη μένει ψυχρὰ καὶ σκοτεινή. Καθ' ἑ-
κάστην ἡμέραν διδάσκεται ὁ λόγος τοῦ
Λουκ. κά. Θεοῦ· Προσέχετε δὲ ἑαυτοῖς μή-
34. ποτε βαρυνθῶσιν ὑμῶν αἱ καρ-
δίαι, ἐν κραιπάλῃ καὶ μέθῃ, καὶ
μερίμναις βιωτικαῖς, καὶ αἰφνί-
διος ἐφ' ὑμᾶς ἐπιστῇ ἡ ἡμέρα ἐ-
Ψαλ. ριή. κείνη· τουτό ἐστι τὸ φῶς. Λύχνος
10. τοῖς ποσί μου ὁ νόμος σου, καὶ
Λουκ. κά. φῶς ταῖς τρίβοις μου. Ἀγρυπνεῖ-
36. τε οὖν ἐν παντὶ καιρῷ δεόμενοι·
τοῦτό ἐστι τὸ φῶς. Λύχνος τοῖς πο-
σί μου ὁ νόμος σου, καὶ φῶς ταῖς
Λουκ. ιβ'. τρίβοις μου. Ἔστωσαν ὑμῶν αἱ
35. ὀσφύες περιεζωσμέναι, καὶ οἱ
λύχνοι καιόμενοι· τουτό ἐστι τὸ φῶς.
Ἡσ. ά. Ἐὰν θέλητε, καὶ εἰσακούσητέ μου,
19, 20. τὰ ἀγαθὰ τῆς γῆς φάγεσθε. Ἐὰν
δὲ μὴ θέλητε, μηδὲ εἰσακούσητέ
μου, μάχαιρα ὑμᾶς κατέδετε· τοῦ-
τό ἐστι τὸ φῶς. Αὐτὸ, ὅταν προσπέσῃ
εἰς τὰς ἀκοὰς ἡμῶν, ζητεῖ, ἵνα διέλθῃ
ἕως εἰς τὸ βάθος τῆς ψυχῆς, καὶ φω-
τίσῃ αὐτὴν, ἀλλ' οὐδεμίαν εὑρίσκει διά-
θεσιν, οὐδένα τόπον διαβάσεως· διότι
ἅπασα ἡ ψυχὴ πεπληρωμένη ἐστὶν ὑπε-
ρηφανίας καὶ ματαιότητος, φιλαυτίας,
φιλοδοξίας, καὶ φρονημάτων κοσμικῶν·
ζητεῖ αὐτὸ, ἵνα διέλθῃ ἕως εἰς τὸ κέν-
τρον τῆς καρδίας, καὶ θερμάνῃ αὐτὴν
εἰς τὸν θεῖον ἔρωτα, ἀλλ' εὑρίσκει αὐ-
τὴν τοσοῦτον σκληρὰν καὶ πεπωρωμένην
ὑπὸ τῶν σαρκικῶν ἐπιθυμιῶν, καὶ τῶν
σωματικῶν ὀρέξεων, ὥστε οὐδεποσῶς δύ-
ναται νὰ διαπεράσῃ· διὸ κνήθει ὀλίγον
τὰς ἀκοὰς, καὶ μόλις ἐφάπτεται τῆς
ψυχῆς, ἔπειτα ἀντανακλᾶται, καὶ στρέ-
φει ἄπρακτον εἰς τὰ ὀπίσω· ὅθεν ἡ
μὲν ψυχὴ ἡμῶν διαμένει ἀφώτιστος καὶ
σκοτεινὴ, ἡ δὲ καρδία, ψυχρὰ εἰς τὰ
θεῖα, ὡς ἡ χιὼν καὶ ὁ κρύσταλλος.
Βλέπετε τί προξενεῖ ἡ περὶ τῆς ψυχῆς
ἀφροντιστία; Βλέπετε τί ἐπιφέρει ἡ ἀ-
μεριμνία τῆς σωτηρίας; ἁρπάζει τὴν
δύναμιν τοῦ λόγου τοῦ Θεοῦ, καὶ ἀφαι-
ρεῖ τὴν θείαν αὐτοῦ ἐνέργειαν.

Βλέπει ὁ Θεὸς, ὅτι, διὰ τὴν σκλη-
ροκαρδίαν τοῦ ἁμαρτωλοῦ, ἡ φωνὴ τοῦ
λόγου αὐτοῦ μένει ἄπρακτος· ἐπειδὴ δὲ
φιλάνθρωπός ἐστι κατὰ φύσιν, οὐκ ὀρ-
γίζεται, ἀλλὰ μετέρχεται ἄλλο μέσον
αἰσθητότερον, μετέρχεται τὴν φωνὴν τῆς
κτίσεως, καὶ δι' αὐτῆς προσκαλεῖ τὸν
ἄνθρωπον εἰς μετάνοιαν. Ἀκούσατε δὲ
τί ποιοῦμεν ἡμεῖς, ὅταν ἀκούωμεν καὶ
αἰσθανώμεθα ταύτης τῆς φωνῆς. Παι-
δίον ἔτι μικρὸν ὁ προφήτης Σαμουὴλ ἐ-
κοιμᾶτο ἐν τῷ ναῷ, ὅπου ἦν ἡ Κιβω-
τὸς τοῦ Θεοῦ· τὴν νύκτα ἔκραζεν αὐτὸν
ὁ Θεὸς ἐκ τοῦ οὐρανοῦ, λέγων· Σαμουὴλ, Α'. Βασ. γ'.
Σαμουήλ· αὐτὸς δὲ ἐνόμιζεν, ὅτι ὁ Ἠλὶ 3, 4, 5.
κράζει αὐτόν· ὅθεν, ἀντὶ νὰ ἀποκριθῇ
τοῦ Θεοῦ, Ἰδοὺ ὁ δοῦλός σου Κύριε, τί
προστάζεις; ἔτρεχε πρὸς τὸν Ἠλὶ καὶ
ἔλεγε πρὸς αὐτόν· Ἰδοὺ ἐγὼ, τί θέ-
λεις; διατί κέκληκάς με; Μετὰ πολ-
λῆς ἐπιμελείας γεωργοῦμεν ἐνίοτε τὴν
γῆν· ἔρχεται δὲ ὁ καιρὸς τοῦ τρυγη-
τοῦ, καὶ τοῦ θέρους, καὶ οὐδὲ καρ-
ποὺς τρυγῶμεν ἐκ τῶν δένδρων, οὐδὲ
σπόρους θερίζομεν ἀπὸ τῶν ἀγρῶν, κα-
τὰ τὸν λόγον τοῦ Θεοῦ, δι' οὗ φοβερίζει
τοὺς ἁμαρτάνοντας, λέγων· Καὶ θήσω Λευϊτ. κς'.
τὸν οὐρανὸν ὑμῖν σιδηροῦν, καὶ 19, 20.
τὴν γῆν ὑμῶν ὡσεὶ χαλκῆν. Καὶ
οὐ δώσει ἡ γῆ ὑμῶν τὸν σπόρον
αὐτῆς, καὶ τὸ ξύλον τοῦ ἀγροῦ
ὑμῶν οὐ δώσει τὸν καρπὸν αὐ-
τοῦ.

του. Ἡ ἀκαρπία ἐστὶ φωνὴ τοῦ Θεοῦ, ἥτις κράζει ἡμᾶς, καὶ βοᾷ, Ἄνθρωποι, ἄνθρωποι· ἡμεῖς δὲ οἱ πεπλανημένοι οὐ προστρέχομεν εἰς τὸν Θεὸν, κραυγάζοντες τὸ, ἡμάρτομεν, ἀλλὰ τρέχομεν εἰς τὴν ἀνομβρίαν, λογιζόμενοι, ὅτι αὐτή ἐστι τῆς ἀκαρπίας τὸ πρωταίτιον. Μετὰ πάσης προσοχῆς ἐπιτηδευόμεθα ἐνίοτε τῆς πραγματείας τὸ ἔργον, ὅμως ἀντὶ κέρδους, ζημία ἀκολουθεῖ μεγάλη, κατὰ τὴν ἀπόφασιν τοῦ Θεοῦ, τὴν λέ-
Λευϊτ. κϛ'. γουσαν εἰς τοὺς ἁμαρτάνοντας· Καὶ ἔ-
20. σται εἰς κενὸν ἡ ἰσχὺς ὑμῶν. Ἡ ζημία ἐστὶ φωνὴ τοῦ Θεοῦ, ἥτις προσκαλεῖ, καὶ βοᾷ, Ἄνθρωποι, ἄνθρωποι· ἡμεῖς δὲ οἱ πεπλανημένοι οὐ προστρέχομεν εἰς τὸν Θεὸν, βοῶντες τὸ, ἡμάρτομεν, ἀλλ' εἰς τὴν τύχην, λογιζόμενοι, ὅτι ἡ κακὴ τύχη ἔβλαψεν ἡμᾶς. Ἀληθῶς ὁ Σαμουὴλ οὐκ ἐγνώρισεν, ὅτι ἡ προσκαλοῦσα αὐτὸν φωνὴ, ἦν φωνὴ τοῦ Θεοῦ, ἔτρεχεν ὅμως εἰς τὸν Ἠλὶ, ὅστις ἐδίδαξεν αὐτὸν, ὅτι ὁ Θεός ἐστιν ἐκεῖνος, ὅς τις ἔκραζεν αὐτόν· ἡμεῖς δὲ οἱ τάλανες, τὴν φωνὴν τοῦ Θεοῦ μὴ γνωρίζοντες, προστρέχομεν εἰς τὴν ἀνομβρίαν, εἰς τὴν τύχην, εἰς πράγματα ἄψυχα, καὶ ἀνύπαρκτα, τὰ ὁποῖα σιωπῶσι, καὶ οὐ δύνανται διδάξαι ἡμᾶς τὴν ἀλήθειαν· ὅθεν μένομεν κωφοὶ, καὶ ἀναίσθητοι εἰς τὴν φωνὴν τῆς κτίσεως, διὰ τῆς ὁποίας προσκαλεῖ ἡμᾶς ὁ Θεός.

Ὁ Θεὸς, ἀπειροεύσπλαγχνος ὢν,
Ἰεζ. ιη'. οὐ θέλει τὸν θάνατον τοῦ ἀνόμου,
23. ὡς τὸ ἀποστρέψαι αὐτὸν ἐκ τῆς ὁδοῦ τῆς πονηρᾶς, καὶ ζῆν αὐτόν· διὰ τοῦτο, ἔτι εὐσπλαγχνιζόμενος, κεντᾷ τὴν συνείδησιν ἡμῶν. Τὸ πνεῦμα, περὶ οὗ λέγει ὁ θεῖος Ἀπόστολος, ὅτι
Γαλ. δ'. ἐξαποστέλλει ὁ Θεὸς εἰς τὰς καρ-
6. δίας ἡμῶν, κρᾶζον, Ἀββᾶ, ὁ πα-
Ῥωμ. η'. τὴρ, καὶ συμμαρτυροῦν τῷ πνεύματι
16. ἡμῶν, ὅτι ἐσμὲν τέκνα Θεοῦ· αὐτὸ τὸ πνεῦμα ἐξαποστέλλει ὁ Θεὸς εἰς τὰς καρδίας ἡμῶν, κρᾶζον, οὐχὶ Ἀββᾶ
ὁ πατὴρ, ἀλλὰ βοῶν, Ἔγειραι ὁ κα- Ἐφεσ. ε'.
θεύδων, καὶ ἀνάστα ἐκ τῶν νεκρῶν, 14.
καὶ ἐπιφαύσει σοι ὁ Χριστός· ἐξαποστέλλει, λέγω, αὐτὸ συμμαρτυροῦν, οὐχ' ὅτι ἐσμὲν τέκνα Θεοῦ, ἀλλ' ἐλέγχων ἡμᾶς, καὶ λέγων, ὅτι ἐσμὲν
τέκνα τοῦ Διαβόλου. Ὁ ἔλεγχος Α'. Ἰωάν.
τῆς συνειδήσεως, τὸν ὁποῖον ἐνίοτε αἰ- γ'. 10.
σθάνεται καὶ αὐτὸς ὁ σκληροκαρδιώτατος ἁμαρτωλὸς, ἐστὶ φωνὴ τοῦ ἁγίου Πνεύματος, λαλοῦσα οὐχὶ εἰς τὰ ὦτα, ἀλλὰ εἰς τὴν καρδίαν αὐτοῦ· Ἕως πότε, λέγει, ζῇς εἰς τὴν ἁμαρτίαν; ἰδοὺ τὸ γῆρας ἦλθεν, ἰδοὺ ἡ ἀσθένεια περιεκύκλωσεν, ἰδοὺ ὁ θάνατος ἐπὶ θύραις· ἔγειραι ἀπὸ τοῦ ὕπνου τῆς ἁμαρτίας, ἀνάστα ἀπὸ τῶν νεκρῶν ἔργων τῆς ἀνομίας σου, τότε δὲ ἀνατέλλει εἰς τὴν καρδίαν σου τὸ φῶς τῆς χάριτος τοῦ Ἰησοῦ Χριστοῦ· Ἔγειραι ὁ καθεύδων, καὶ ἀνάστα ἐκ τῶν νεκρῶν, καὶ ἐπιφαύσει σοι ὁ Χριστός. Διὰ τούτων τῶν λόγων παρακαλεῖ τὸ Πνεῦμα τῆς ἀληθείας, καὶ προτρέπει πρὸς μετάνοιαν· τί δὲ πράττει, ταῦτα ἀκούων ὁ ἀναίσθητος ἁμαρτωλός; Ἀποστρέφει τὸ πρόσωπον αὐτοῦ· ὅταν ἔρχωνται εἰς τὸν νοῦν αὐτοῦ οἱ λογισμοὶ περὶ τῆς ψυχῆς, καὶ τῆς σωτηρίας αὐτοῦ, αὐτὸς ἐπίτηδες μεταφέρει αὐτὸν εἰς τοὺς κοσμικοὺς διαλογισμοὺς, καὶ οὕτω διασκεδάζει τὸν ἦχον τῆς φωνῆς τοῦ ἁγίου Πνεύματος.

Ἔρχεται ὁ ἰατρὸς ἐπάνω εἰς τὴν κλίνην τοῦ ἀσθενοῦς, καὶ κρατῶν εἰς τὰς χεῖρας τὸ βότανον τῆς ἀσθενείας αὐτοῦ, λέγει πρὸς αὐτόν· Ἔγειραι, ἀνάστα, ἐπικίνδυνός ἐστιν ἡ ἀσθένειά σου· ἐὰν καταπίῃς τοῦτο τὸ ἰατρικὸν, ἀναμφιβόλως ἰατρεύεσαι· ἐὰν δὲ μὴ θελήσῃς αὐτὸ, οὐδεμία ἐλπίς ἐστιν ὑπὲρ τῆς ζωῆς σου· ὁ δὲ ἀσθενὴς, ταῦτα ἀκού-

σας,

σας, στρέφει εὐθὺς τὸ πρόσωπον αὐτοῦ, καὶ οὐδὲ κἂν νὰ ἀκούσῃ θέλῃ τὰ λόγια τοῦ ἰατροῦ· τί ἐστι τοῦτο; μωρία, πᾶσαν ἄλλην μωρίαν ὑπερβαίνουσα. Καὶ ὅμως ἡ μωρία ἐκείνου τοῦ ἁμαρτωλοῦ, ὅστις κλείει τὰ ὦτα αὐτοῦ πρὸς τὴν φωνὴν τοῦ ἁγίου Πνεύματος, ἥτις κράζει, καὶ λέγει πρὸς αὐτόν· Ἔγειραι ὁ καθεύδων, καὶ ἀνάστα ἐκ τῶν νεκρῶν, καὶ ἐπιφαύσει σοι ὁ Χριστός· ἐστὶ μωρία καὶ μανία τῆς τοῦ ἀσθενοῦς ἐκείνου ἀσυγκρίτως ὑπερτέρα· διότι ὁ μὲν ἀσθενής, παρακούων τοῦ ἰατροῦ, ἐλπίζει ἴσως εἰς τὴν δύναμιν τῆς φύσεως, καὶ εἰς τὴν βοήθειαν τοῦ Θεοῦ· ὁ δὲ ἁμαρτωλός, ὁ μὴ ἀκούων τὸ πρόσταγμα τοῦ παναγίου Πνεύματος, ποίαν ἄλλην ἔχει ἐλπίδα; Ὁ ἀσθενὴς παροργίζει ἕνα ἄνθρωπον, τὸν ἰατρόν· ὁ ἁμαρτωλὸς λυπεῖ τὸ Πνεῦμα τὸ ἅγιον, ἤγουν τὸν Θεόν. Ὁ ἀσθενής, ἐὰν ἀποθάνῃ, στερεῖται μίαν ζωὴν πρόσκαιρον· ὁ ἁμαρτωλός, ἐὰν μείνῃ εἰς τὴν ἁμαρτίαν, στερεῖται βασιλείαν αἰώνιον.

Μετὰ δὲ τὰς τοσαύτας εὐσπλαγχνικὰς προσκλήσεις τοῦ Θεοῦ, τί ἀκολουθεῖ εἰς ἐκείνους, οἵτινες, ἀμνημονήσαντες ὁλοτελῶς, ὅτι ἔχουσι ψυχήν, ἀποστρέφονται τὴν φωνὴν τοῦ Θεοῦ; Διὰ τῶν εὐαγγελικῶν παραβολῶν τῶν δύω πλουσίων, ἐφανέρωσεν ἡμῖν ὁ μονογενὴς Υἱὸς τοῦ Θεοῦ, τίνι τρόπῳ παιδεύει ὁ Θεὸς τοὺς μὴ φροντίζοντας παντελῶς περὶ τῆς ἰδίας σωτηρίας. Τούτων τῶν δύω πλουσίων, ὁ μὲν ἔκδοτος εἰς τὴν φροντίδα τῶν ἀγρῶν, τῶν γεννημάτων, τῶν ἀποθηκῶν, τῆς σωματικῆς τρυφῆς καὶ ἀναπαύσεως, εἰς αὐτὰ εἶχε βεβυθισμένον τὸν νοῦν καὶ τὴν καρδίαν· αὐτὰ ἐσυλλογίζετο τὴν ἡμέραν, αὐτὰ ἐφαντάζετο τὴν νύκτα, περὶ αὐτῶν ὅλος ὁ ἀγὼν αὐτοῦ, καὶ ἡ μέριμνα, καὶ σπουδή·

Καὶ διελογίζετο ἐν ἑαυτῷ, λέ- Λουκ. ιβ'.
γων· Τί ποιήσω; ὅτι οὐκ ἔχω 17,18,19.
ποῦ συνάξω τοὺς καρπούς μου.
Καὶ εἶπε· Τοῦτο ποιήσω· καθελῶ
μου τὰς ἀποθήκας, καὶ μείζονας
οἰκοδομήσω, καὶ συνάξω ἐκεῖ
πάντα τὰ γεννήματά μου, καὶ τὰ
ἀγαθά μου. Καὶ ἐρῶ τῇ ψυχῇ
μου· Ψυχή, ἔχεις πολλὰ ἀγαθά, κείμενα εἰς ἔτη πολλά· ἀναπαύου, φάγε, πίε, εὐφραίνου. Πλούσιε τρισάθλιε, σὺ μὲν κάτω εἰς τὴν γῆν προσήλωσας τὰ ὄμματά σου, καὶ οὐδέποτε αἴρεις τὴν κεφαλήν σου εἰς τὸν οὐρανόν· σαρκικὰ ὅλα σου τὰ φρονήματα, τὰ μελετήματά σου ἅπαντα σωματικά, οὐδεμίαν φροντίδα ἔχεις περὶ τῆς μελλούσης ζωῆς· ὁ δὲ Θεὸς οὐρανόθεν ἐλέγχει τὴν ἄνοιαν καὶ ἀφροσύνην σου· Ἄφρον, λέγει σοι, ἄφρον· πλούσιε μωρὲ καὶ ἀνόητε, σὺ θαῤῥεῖς νὰ ζήσῃς ἔτη πολλά, ἀπολαμβάνων τὰ ἀγαθά σου· ὁ δὲ Θεὸς ἐξαίφνης θερίζει τὴν ζωήν σου·
Ταύτῃ τῇ νυκτὶ τὴν ψυχήν σου Αὐτ. 20.
ἀπαιτοῦσιν ἀπὸ σοῦ, ταύτην τὴν
νύκτα ἀποθνήσκεις, τῶν δὲ ἀγαθῶν, ἅ-
περ ἡτοίμασας, τίς ἄραγε ἔσται ὁ κλη-
ρονόμος; Ἃ δὲ ἡτοίμασας, τίνι ἔ- Αὐτόθι.
σται; Ἀκούετε, πόσον φρικτὴ ἡ καταδίκη; Ἔλεγχος φοβερός, θάνατος αἰφνίδιος, κληρονόμος οὐδείς· αὐτό ἐστι τὸ τέλος ἐκείνων, οἵτινες θησαυρίζουσι διὰ τὰς σωματικὰς αὐτῶν ἀπολαύσεις, καὶ οὐδεμίαν φροντίδα ἔχουσιν, ἵνα στολίσωσι τὴν ψυχὴν αὐτῶν διὰ τοῦ πλούτου τῆς ἀρετῆς, καὶ τῆς χάριτος τοῦ Θεοῦ·
Οὕτως ὁ θησαυρίζων ἑαυτῷ, καὶ Αὐτ. 21.
μὴ εἰς Θεὸν πλουτῶν.

Τοῦ ἄλλου πλουσίου ἔργον καθημερούσιον, τράπεζα ἁβροδίαιτος, ἐνδύματα λαμπρά, χοροί, ᾄσματα, τρυφὴ σωματική, προσθήκη δὲ τῶν κακῶν, ἀσπλαγχνία ἄμετρος· ἔβλεπεν ὁ σκληρότατος καθ'

καθ᾽ ἑκάστην ἡμέραν τὸν Λάζαρον, γυμνὸν, πεινῶντα, πεπληγωμένον, κείμενον πρὸς τὸν πυλῶνα αὐτοῦ, ἔβλεπε καὶ τοὺς κύνας λείχοντας τὰς πληγὰς αὐτοῦ, οὐδέποτε δὲ εὐσπλαγχνίσθη αὐτόν. Ποῖον δὲ τὸ τέλος; ἀπέθανεν ὁ πλούσιος· ἔπειτα; ἔπειτα βάσανοι, φλόγες, πῦρ· τόση μεγάλη καὶ ἄμετρος δίψα ἐφλόγιζε τὴν γλῶσσαν αὐτοῦ, ὥστε ἐδέετο μιᾶς ῥα-
Λουκ. ις΄. 24. νίδος· Πάτερ Ἀβραὰμ, ἔκραζε, ἐλέησόν με, καὶ πέμψον Λάζαρον, ἵνα βάψῃ τὸ ἄκρον τοῦ δακτύλου αὐτοῦ ὕδατος, καὶ καταψύξῃ τὴν γλῶσσάν μου, ὅτι ὀδυνῶμαι ἐν τῇ φλογὶ ταύτῃ. Οὕτω παιδεύονται ὅσοι, ἐπιλανθανόμενοι τῆς ψυχικῆς αὐτῶν σωτηρίας, βυθίζονται εἰς τὰς ἡδονὰς τῆς σαρκός.

Ἀγαπητοί μου Χριστιανοὶ, πολλὰ ἀναίσθητός ἐστιν ἐκεῖνος ὁ ἄνθρωπος, ὅστις προτιμᾷ τὴν τῆς προσκαίρου ζωῆς ἀνάπαυσιν τῆς αἰωνίου βασιλείας. Ἐὰν στοχασθῆτε τὸν καιρὸν τῆς παρούσης ζωῆς, καὶ τὴν αἰωνιότητα τῆς μελλούσης μακαριότητος, ὁ πρῶτος πρὸς τὴν δευτέραν ἐστὶν, ὡς μία ῥανὶς ὕδατος πρὸς ὅλην τὴν θάλασσαν, καὶ ἔτι ἀσυγκρίτως περισσότερον· ἐστὶν ὡς εἷς κόκκος ἄμμου πρὸς ὅλην τὴν ἄμμον, τὴν παρὰ τὸ χεῖλος πάσης τῆς θαλάσσης, καὶ πάντων τῶν ἐπὶ γῆς ποταμῶν, καὶ ἔτι ἀσυγκρίτως περισσότερον· ὡς ἓν μόνον ἄνθος πρὸς πάντα τὰ ἄνθη, ὅσα ἀπὸ κτίσεως κόσμου ἐφάνησαν, καὶ ἕως τῆς συντελείας τοῦ αἰῶνος ἀναφανήσονται ἐν πάσῃ τῇ γῇ, καὶ ἔτι ἀσυγκρίτως περισσότερον· ὡς τὸ ἓν πρὸς τὸν ἀριθμὸν τὸν ἀμέτρητον καὶ ἄπειρον. Μεγάλως ἀδικοῦμεν ἑαυτοὺς, ἀνταλλάττοντες τὰ αἰώνια διὰ τὰ πρόσκαιρα· καὶ ἐστὶ τὸ ἀδίκημα τοῦτο ὑπὲρ πᾶσαν ἀδικίαν γινομένην ἐπὶ τῆς γῆς. Μεγάλη ἡ μωρία καὶ ἡ ἀφροσύνη ἡμῶν· τόσος ἀγὼν καὶ φροντὶς, ἵνα κτίσῃς ἐπὶ τῆς γῆς οἰκίαν μεγάλην καὶ εὐρύχωρον· εἰς αὐτὴν δὲ οὐκ οἶδας, οὐχὶ μόνον πόσον καιρὸν μέλλεις νὰ κατοικήσῃς, ἀλλ᾽ οὐδὲ, ἐὰν προφθάσῃς νὰ εἰσέβῃς· καὶ διὰ τὴν οἰ- Β΄. Κορ. ε΄. 1.
κίαν, τὴν ἀχειροποίητον καὶ αἰώνιον, τὴν ἐν τοῖς οὐρανοῖς, οὐδεμία φροντίς; Μετὰ κόπων μυρίων, μετὰ μόχ- Ψαλ. λθ΄. 10.
θων μεγάλων θησαυρίζεις πλοῦτον ἐπὶ τῆς γῆς· ἀλλὰ διὰ ποῖον συνάζεις αὐτὸν, οὐκ οἶδας· διὰ τὸν θησαυρὸν, τὸν ἐν οὐρανοῖς, τὸν ἀναφαίρετον καὶ αἰώνιον, οὐδεμίαν ποτὲ ἀναλαμβάνεις φροντίδα; Διὰ τὸ σῶμα τὸ φθαρτὸν τόση σπουδὴ, διὰ τὴν ψυχὴν τὴν ἀθάνατον τόση περιφρόνησις;

Ἡμεῖς, διωχθέντες τοῦ παραδείσου, κατηντήσαμεν εἰς ταύτην τὴν ἐξορίαν, ὅπου ἐξαίφνης ἔρχεται ἡ ἀπόφασις τοῦ Θεοῦ, ἵνα πάλιν ἐπιστρέψωμεν εἰς τὴν πατρίδα. Εἴπατέ μοι οὖν, παρακαλῶ, πῶς ζῇ ὁ ἐξόριστος ἄνθρωπος εἰς τὸν τόπον τῆς ἐξορίας, ὅταν ἡμέραν παρ᾽ ἡμέραν περιμένῃ τὸ βασιλικὸν θέσπισμα, τὸ περὶ τῆς ἐλευθερίας καὶ τῆς ἐπιστροφῆς εἰς τὴν πατρίδα αὐτοῦ; Ἡμεῖς οὐκ ἔ- Ἑβρ. ιγ΄. 14.
χομεν ὧδε μένουσαν πόλιν, ἀλλὰ τὴν μέλλουσαν ἐπιζητοῦμεν· ξένοι ἐσμὲν ἅπαντες, καὶ πάροικοι εἰς τὴν γῆν ταύτην· σήμερον ζῶμεν, αὔριον ἀποθνήσκομεν· σήμερον εἰς τὴν γῆν, αὔριον εἰς τὸν ᾅδην. Ὁ ξένος πῶς ζῇ εἰς τὴν ξενητείαν, ὅταν ἐξ ἀνάγκης πρέπῃ νὰ ἐπιστρέψῃ εἰς τὴν ἑαυτοῦ πατρίδα; ἀφιεροῖ αὐτὸς τὴν καρδίαν αὐτοῦ εἰς τὰ ἀγαθὰ τῆς ξένης χώρας; φεύγει ποτὲ ἀπὸ τοῦ νοὸς αὐτοῦ ἡ ἐνθύμησις τῆς ἑαυτοῦ πατρίδος; Διατί λοιπὸν ἡμεῖς ἐξόριστοι ὄντες, καὶ ξένοι τοῦ κόσμου τούτου, καὶ περιμένοντες ἀπὸ ὥρας εἰς ὥραν τὴν μετάβασιν εἰς τὴν πατρίδα, καταβυθίζομεν καὶ τὸν νοῦν καὶ τὴν καρδίαν εἰς τὰ ἀγαθὰ ταύτης τῆς γῆς;

Δια-

Διατί λησμονοῦμεν παντελῶς τὴν οὐράνιον πόλιν, τὴν ἁγίαν Ἱερουσαλὴμ; Ἐὰν ὁ ἐξόριστος καὶ ὁ ξένος πλανηθέντες προσηλωθῶσιν εἰς τὴν ξένην γῆν, καὶ ἀμνημονήσωσι τῆς πατρίδος, ἡ ζημία αὐτῶν ὀλίγη ἐστὶ καὶ πρόσκαιρος· ἐὰν ἡμεῖς, ἀπατηθέντες, ἀφιερώσωμεν τὸν νοῦν εἰς τοῦ κόσμου τὴν ματαιότητα, καὶ ἀμελήσωμεν τὴν φροντίδα τῆς σωτηρίας, ἡ βλάβη ἐστὶν ἄμετρος καὶ αἰώνιος. Ἐκεῖνοι καὶ ἐὰν, ἐστερημένοι παντὸς πλούτου, ἐπιστρέψωσι πρὸς τὴν ἑαυτῶν πατρίδα, ὀλίγον καὶ πρόσκαιρον κακὸν πάσχουσιν· ἡμεῖς, ἐὰν ἀπέλθωμεν εἰς τὰ ἄνω δικαστήρια γεγυμνωμένοι πάσης ἀρετῆς, αἰωνίως κολαζόμεθα.

Γνωρίσας λοιπὸν, ἀγαπητέμοι, πόσον ὀλέθριός ἐστιν ἡ περὶ τῆς ψυχῆς σου ἀμεριμνία, καὶ ἡ περιφρόνησις τῆς σωτηρίας σου, ἀνάλαβε λογισμὸν φρόνιμον, καὶ ἄρξαι ἀπὸ τῆς σήμερον τὴν ὑπὲρ τῆς ψυχῆς σου καὶ τῆς σωτηρίας σου φροντίδα. Ἐνθυμοῦ καθ' ἑκάστην ἡμέραν τὸ φοβερὸν τοῦ Θεοῦ κριτήριον, τὴν δικαίαν ἀνταπόδοσιν τῆς τελευταίας κρίσεως, τὴν βασιλείαν τὴν αἰώνιον, τὴν κόλασιν τὴν ἀτελεύτητον. Ἐξέταζε καθ' ἑκάστην ἡμέραν αὐτὸς σεαυτὸν, καὶ βλέπε ποίαν ἐντολὴν τοῦ Θεοῦ παρεῖδες, ποίαν μετάνοιαν ἔδειξας, ποίαν ἀρετὴν ἐκατόρθωσας· μὴ παρερχέσθω ἡμέρα, χωρὶς μελέτης τῶν περὶ τῆς μελλούσης ζωῆς, χωρὶς φροντίδος περὶ τῆς ψυχῆς σου, χωρὶς μνήμης τοῦ Δημιουργοῦ καὶ Πλάστου σου. Τοιουτοτρόπως δὲ ζήσας ὡς ἐξόριστος, καὶ πολιτευσάμενος ὡς ξένος, καὶ ἐν οὐρανῷ ἐναποθησαυρίσας τὰ καλὰ ἔργα σου, ὅταν ἔλθῃ ἡ ὥρα τοῦ θανάτου σου, τότε χαίρων καὶ ἀγαλλόμενος, φεύγεις ἀπὸ τῆς πολυπαθοῦς ταύτης ἐξορίας τὸν τόπον, καὶ μεταβαίνεις εἰς τὴν πατρίδα σου, εἰς τὰ σκηνώματα τῶν ἁγίων, εἰς τῶν Ἀγγέλων τοὺς χοροὺς, εἰς τὴν δόξαν τῆς τρισηλίου Θεότητος· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος νῦν, καὶ εἰς τοὺς ἀπεράντους αἰῶνας τῶν αἰώνων. Ἀμήν.

# ΕΡΜΗΝΕΙΑ

## ΕΙΣ ΤΟ ΚΑΤΑ

# ΜΑΤΘΑΙΟΝ

## ΕΥΑΓΓΕΛΙΟΝ ΤΗΣ Γ'. ΚΥΡΙΑΚΗΣ.

Τοῦ σημερινοῦ Εὐαγγελίου τὸ ἅγιον μάθημα βάθος περιέχει πολὺ ψυχωφελῶν νοημάτων· διὰ τοῦτο, ἐάν τις ἀπερισκέπτως ἀναγινώσκῃ αὐτὸ, εὑρίσκει καὶ τὸ νόημα δύσκολον, καὶ τὴν σύνταξιν τῶν λόγων χωρὶς τῆς πρεπούσης ἀκολουθίας, καὶ τὰ ἐν αὐτῷ παραγγέλματα διὰ τὰς ἀνάγκας τῆς φύσεως πολλὰ δυσκολοκατόρθωτα· ἐὰν ὅμως πολυπραγμονήσῃ τὰ εὐαγγελικὰ λόγια, κατὰ τὴν δεσποτικὴν ἐντολὴν, μετὰ τῆς πρεπούσης σκέψεως καὶ περιεργίας, καὶ ἡ ἔννοια γίνεται σαφὴς, καὶ ἡ ἀκολουθία τοῦ λόγου φαίνεται θαυμασία, καὶ τὰ παραγγέλματα εὔκολα παρίστανται καὶ σωτηριώδη. Εἰς αὐτὰ τὰ εὐαγγελικὰ τοῦ Σωτῆρος ἡμῶν λόγια βλέπει πρῶτον, ποία διάθεσίς ἐστιν ἀναγκαία εἰς τὴν ψυχὴν Ἰωάν. ε. 39.

τοῦ ἀνθρώπου, ἵνα μὴ κατακυριεύσῃ αὐτὸν τὸ ὀλέθριον τῆς φιλαργυρίας πάθος· ἔπειτα ἀκούει τὰς θεοπρεπεῖς ἀπαντήσεις τῶν ἐνστάσεων, ἃς προβάλλουσιν οἱ τετυφλωμένοι φιλάργυροι, καὶ τὸν ἔλεγχον τῆς τούτων ὀλιγοπιστίας, καὶ ματαιόφρονος πλάνης· κατανοεῖ δὲ, πῶς ὁ θεῖος Διδάσκαλος ὑπερυψοῖ τὴν ἀνθρωπίνην καρδίαν ἀπὸ τῆς πολυμερίμνου ταραχῆς τῶν κοσμικῶν πραγμάτων, καὶ ἐξάπτει εἰς τὰς ψυχὰς τὸν φλογερὸν ἔρωτα τῆς θείας ἀγάπης. Ταύτην λοιπὸν τὴν οὐράνιον διδασκαλίαν μετὰ προσοχῆς καὶ εὐλαβείας ἀκούσατε.

Ματ. ϛ'. 22. Εἶπεν ὁ Κύριος· Ὁ λύχνος τοῦ σώματός ἐστιν ὁ ὀφθαλμός· ἐὰν οὖν ὁ ὀφθαλμός σου ἁπλοῦς ᾖ, ὅλον τὸ σῶμά σου φωτεινὸν ἔσται.

Ὁ λύχνος τοῦ σώματος ἐστὶν ὁ ὀφθαλμός· ἐὰν ὁ ὀφθαλμός σου ὑπάρχῃ ἁπλοῦς, ἤγουν ὑγιὴς, ὅλον τὸ σῶμά σου ἔσται φωτεινὸν, τουτέστι πᾶσα κίνησις τῶν μερῶν καὶ μελῶν τοῦ σώματός σου γίνεται εὔστοχος, καὶ κατὰ σκοπὸν, καὶ ὡς ἐν μέσῳ τοῦ φωτὸς γινομένη· καὶ τὰς χεῖρας εὐστόχως ἐφαπλοῖς, ἐπιλαμβανόμενος, ἢ ἐγγίζων, ἢ ψηλαφῶν, ἢ βαστάζων, ἢ συγκινῶν· καὶ τοὺς πόδας συμμέτρως διευθύνεις περιπατῶν, ἢ τρέχων, ἢ πηδῶν· καὶ ἕκαστον τῶν μελῶν τοῦ σώματος κατὰ τὴν χρείαν κινεῖς, καθὼς θέλεις· καὶ αὐτὸ δὲ τὸ σῶμα ὅλον ἀπροσπταίστως σχηματίζεις κατὰ τὸν σκοπόν σου, ἱστάμενος, καθήμενος, καμπτόμενος, κατακείμενος, ἀνιστάμενος.

Αὐτ. 23. Ἐὰν δὲ ὁ ὀφθαλμός σου πονηρὸς ᾖ, ὅλον τὸ σῶμά σου σκοτεινὸν ἔσται· εἰ οὖν τὸ φῶς τὸ ἐν σοὶ σκότος ἐστὶ, τὸ σκότος πόσον;

Ἐὰν δὲ ὁ ὀφθαλμός σου πονηρὸς ὑπάρχῃ, ἤγουν ἐμπαθὴς καὶ ἀσθενὴς, ὅλον τὸ σῶμά σου σκοτεινὸν ἔσται, πᾶσα δηλαδὴ κίνησις τοῦ σώματός σου ἀτελὴς ἔσται καὶ ἀνεπιτήδειος, καὶ ὁμοία ταῖς γινομέναις ἐν νυκτὶ καὶ σκοτεινῷ τόπῳ. Τοιαῦτά εἰσι τὰ κινήματά σου ἐν μέσῳ τοῦ φωτὸς, ὁποῖά εἰσιν ἐν μέσῳ τοῦ σκότους, ὅταν ὑγιαίνωσιν οἱ ὀφθαλμοί σου· ἐὰν λοιπὸν οἱ ὀφθαλμοί σου, οἱ φῶς ὄντες τοῦ σώματός σου, εἰσὶ σκοτεινοὶ, πόσον σκοτεινὰ καὶ ἀτελῆ ἔσονται τὰ κινήματα τοῦ σώματος, τοῦ κατὰ φύσιν σκοτεινοῦ; Ποῖον δὲ σκοπὸν ἔχουσι ταῦτα τοῦ Σωτῆρος ἡμῶν τὰ λόγια; ποίαν ἔννοιαν καλύπτουσι ταῦτα τὰ ὀνόματα; Ὁ μὲν λύχνος σημαίνει ὁδηγὸν, κατὰ τὸ, Λύχνος τοῖς ποσί Ψαλ. ριη'.
μου ὁ νόμος σου, ἤγουν ὁδηγός μου ὁ 104.
νόμος σου· ὁ δὲ ὀφθαλμὸς, τὸν νοῦν· ἐπειδὴ ὁ νοῦς ὁρᾷ, καὶ ὁ νοῦς ἀκούει· τὸ δὲ σῶμα, τὰς διαθέσεις, καὶ τὰ διὰ τοῦ σώματος ἔργα, φωτεινὰ μὲν τὰ ἀγαθὰ, σκοτεινὰ δὲ τὰ πονηρὰ καὶ φαῦλα· ὥστε ὅλον τὸ ἀλληγορούμενον νόημα, τοῦτό ἐστιν· Ὁ ὁδηγὸς πάσης σωματικῆς διαθέσεως καὶ ἐργασίας ἐστὶν ὁ νοῦς· ἐὰν ὁ νοῦς σου ὑπάρχῃ ἁπλοῦς καὶ ἄκακος, καὶ αἱ διαθέσεις, καὶ τὰ ἔργα τοῦ σώματός σου, ἀγαθά εἰσι καὶ θεάρεστα· ἐὰν δὲ ὁ νοῦς σου πονηρὸς, καὶ πᾶσα διάθεσις καὶ πρᾶξις τοῦ σώματός σου, πονηρά ἐστι καὶ διεστραμμένη· διότι ἐὰν ὁ νοῦς σου, ὃν ὁ Θεὸς ἔδωκέ σοι πρὸς φωτισμόν σου καὶ ὁδηγίαν σου, σκοτισθῇ ὑπὸ τῶν πονηρῶν λογισμῶν, τότε πόσον περισσότερον σκοτεινὰ

ναὶ καὶ διεστραμμέναι ἔσονται αἱ διαθέσεις καὶ ἐπιθυμίαι τοῦ σώματός σου, αἵτινες σκότος εἰσὶν, ἐπειδὴ ἐπιῤῥέπουσι καὶ ὁρμῶσι διαπαντὸς εἰς τὴν ἁμαρτίαν; Ὅταν ὁ ἀρχιστράτηγος σκοτισθῇ, οἱ ὑπ' αὐτοῦ ὁδηγούμενοι στρατιῶται πόσον σκοτισμὸν καὶ ταραχὴν πάσχουσιν; Ὅταν ὁ ναύαρχος σκοτισθῇ, πόσον σκοτίζονται οἱ ὑπ' αὐτοῦ εὐθυνούμενοι ναῦται; Ὅταν ὁ νοῦς μου ἀκαταπαύστως συλλογίζηται τὰ πονηρὰ ἔργα, αἱ πράξεις μου ἀναμφιβόλως εἰσὶ ῥερυπωμέναι καὶ πονηραί· διότι ὁ νοῦς ὁδηγεῖ, ὁ νοῦς διευθύνει, ἡ πρᾶξις τὸν νοῦν ἀκολουθεῖ. Ὁποῖοί εἰσι τοῦ νοὸς οἱ λογισμοὶ, τοιαῦτά εἰσι καὶ τοῦ ἀνθρώπου τὰ ἔργα· ὥστε ἀνάγκη ἐστὶν, ἵνα πᾶσαν τὴν προσοχὴν ἡμῶν ἀφιερώσωμεν πρὸς τὴν φύλαξιν τῆς καθαρότητος καὶ ἀκακίας τοῦ νοὸς ἡμῶν. Ἐπειδὴ δὲ ὁ Θεάνθρωπος ἀνέφερε θεωρίαν καὶ πρᾶξιν, ὁδηγὸν καὶ ὁδηγούμενον, νοῦν καὶ σῶμα, ἵνα μὴ πλανηθῶμεν καὶ νομίσωμεν, ὅτι δυνάμεθα ἀφιερῶσαι τὸν μὲν νοῦν εἰς τὸν Θεὸν, τὸ δὲ σῶμα εἰς τὴν ματαιότητα, ἑπομένως δὲ, ὅτι δυνάμεθα δουλεύειν δύω δεσπότας, διὰ τοῦτο προσέθηκε τὰ ἑξῆς.

Ματ. ϛ'. 24. Οὐδεὶς δύναται δυσὶ κυρίοις δουλεύειν· ἢ γὰρ τὸν ἕνα μισήσει, καὶ τὸν ἕτερον ἀγαπήσει· ἢ ἑνὸς ἀνθέξεται, καὶ τοῦ ἑτέρου καταφρονήσει· οὐ δύνασθε Θεῷ δουλεύειν καὶ μαμμωνᾷ.

Οὐδεὶς δύναται δουλεύειν δύω αὐθέντας, ἐναντίους τὴν γνώμην· ἐὰν δὲ ὁμογνώμονες ὦσι καὶ σύμφωνοι, δύναται εἷς καὶ ὁ αὐτὸς δουλεύειν καὶ τοὺς δύω· διότι οἱ δύω ἕν εἰσι, καθὼς ἡ καρδία καὶ ἡ ψυχὴ τῶν πιστευόντων μία ἦν, κἂν πολλαὶ ἦσαν χιλιάδες. (Πράξ. δ'. 32.) Ὅτι δὲ περὶ τῶν διαφωνούντων δεσποτῶν λαλεῖ ὁ Κύριος, φανερόν ἐστιν ἐκ τῶν ἑξῆς λόγων· Οὐ δύνασθε Θεῷ δουλεύειν καὶ μαμμωνᾷ. Τὸ μαμμωνᾶ, λέξις ἐστὶ Συριακὴ, καὶ σημαίνει πλοῦτον καὶ θησαυρούς· εἰσὶ δὲ αὐτοὶ οἱ δύω δεσπόται, ὁ Θεὸς καὶ ὁ μαμμωνᾶ, ἀσυμβίβαστοι καὶ ἀντιφερόμενοι. Ὁ μὲν Θεός ἐστι δίκαιος, καὶ ἐργασίαν δικαιοσύνης ζητεῖ παρὰ τῶν δούλων αὐτοῦ· Δίκαιος Κύριος, (Ψαλ. ι'. 8.) καὶ δικαιοσύνας ἠγάπησεν, εὐθύτητας εἶδε τὸ πρόσωπον αὐτοῦ· ὁ μαμμωνᾶ ἐστιν ἄδικος, καὶ ἀναγκάζει τοὺς δούλους αὐτοῦ, ἵνα ποιῶσι τῆς ἀδικίας τὰ ἔργα· Ποιήσατε ἑαυτοῖς (Λουκ. ιϛ'. 9.) φίλους ἐκ τοῦ μαμμωνᾶ τῆς ἀδικίας. Ὁ μὲν Θεὸς θέλει τὸν δοῦλον αὐτοῦ εὔσπλαγχνον καὶ ἐλεήμονα, ὁ μαμμωνᾶ, ἄσπλαγχνον καὶ ἀσυμπαθῆ. Ὁ μὲν Θεὸς κελεύει τὸν δοῦλον αὐτοῦ, ἵνα ἔχῃ προσηλωμένον καὶ νοῦν καὶ καρδίαν εἰς τὸν οὐρανὸν, ὁ δὲ μαμμωνᾶ, ἵνα ἀφιερώσῃ καὶ νοῦν καὶ καρδίαν εἰς τὴν γῆν· διὰ τοῦτο οὐ δύναται εἷς καὶ ὁ αὐτὸς δουλεύειν καὶ τοὺς δύω, ἀλλ' ἢ μισήσει τὸν ἕτερον, ἤγουν τὸν μαμμωνᾶ, καὶ ἀγαπήσει τὸν ἄλλον, ἤγουν τὸν Θεόν· ἢ προσκολληθήσεται μετὰ τοῦ μαμμωνᾶ, καὶ καταφρονήσει τὸν Θεόν. Δὶς δὲ τὸ αὐτὸ εἶπεν ὁ Κύριος, ἵνα δείξῃ, ὅτι εὔκολος ἡ μετάβασις ἐκ τοῦ ἑνὸς δεσπότου πρὸς τὸν ἄλλον, καὶ οὕτω καταστήσῃ ἀναπολόγητον τὸν φιλάργυρον. Καθὼς προσκολλώμεθα τῷ μαμμωνᾶ, καὶ περιφρονοῦμεν τὸν Θεὸν, μετὰ τῆς αὐτῆς εὐκολίας, ἐὰν θέλωμεν, μισοῦμεν τὸν μαμμωνᾶ, κἂν ἐδουλεύσαμεν αὐτῷ, καὶ ἀγαπῶμεν τὸν Θεόν. Σημείωσαι δὲ τὸ βάρος τῶν λόγων τού-

των

των· Ἢ ἑνὸς ἀνθέξεται, καὶ τοῦ ἑτέρου καταφρονήσει· τοῦτο σημαίνει, ὅτι ὅστις μὲν γίνεται δοῦλος τοῦ Θεοῦ, ἐκεῖνος καταφρονεῖ τὴν φιλαργυρίαν· ὅστις δὲ γίνεται δοῦλος τῆς φιλαργυρίας, ἐκεῖνος περιφρονεῖ τὸν Θεόν. Γινώσκει ὁ Κύριος, ὅτι πρὸς ταῦτα ἀποκρίνεται ὁ φιλάργυρος, λέγων· Καὶ πῶς δύναμαι ἀποστρέψαι τὸ πρόσωπόν μου, καὶ καταφρονῆσαι τὸν μαμμωνᾶ; ἐγὼ, ἄνθρωπος ὢν, χρείαν ἔχω τροφῆς, ποτοῦ, ἐνδύματος· αὐτὰ εἰς πάντα καιρὸν καὶ τόπον οὐκ εἰσὶν εὐπόριστα· ὥστε ἀνάγκη ἐστὶν, ἵνα μεριμνῶ καὶ συνάγω καὶ διὰ τὸ γῆρας, καὶ διὰ τὴν ἀσθένειαν, καὶ διὰ πάντα τὰ πρὸς τὴν χρείαν τῆς ζωῆς μου. Ταύτην μὲν τὴν ἀπάντησιν τοῦ φιλαργύρου παρασιωπεῖ ὁ Κύριος, ἐπιφέρει δὲ τὴν ἀπόκρισιν, λέγων·

Ματ. ς'. 25. Διὰ τοῦτο λέγω ὑμῖν, Μὴ μεριμνᾶτε τῇ ψυχῇ ὑμῶν, τί φάγητε, καὶ τί πίητε· μηδὲ τῷ σώματι ὑμῶν, τί ἐνδύσησθε· οὐχὶ ἡ ψυχὴ πλεῖόν ἐστι τῆς τροφῆς, καὶ τὸ σῶμα τοῦ ἐνδύματος;

Ὁ Θεὸς, πλάσας τὸν ἄνθρωπον, εὐθὺς ὥρισεν εἰς αὐτὸν ἔργον καὶ ὑπηρεσίαν· Καὶ ἔλαβε Κύριος ὁ Θεὸς (Γεν. β'. 15.) τὸν ἄνθρωπον, ὃν ἔπλασε, καὶ ἔθετο αὐτὸν ἐν τῷ παραδείσῳ τῆς τρυφῆς ἐργάζεσθαι αὐτὸν καὶ φυλάσσειν. Ὁμοίως καὶ ὅτε διὰ τὴν ἁμαρτίαν ἐξώρισεν αὐτὸν τοῦ παραδείσου, πάλιν ἐπρόσταξεν αὐτὸν, λέγων· Ἐν (Αὐτ. γ'. 19.) ἱδρῶτι τοῦ προσώπου σου φαγῇ τὸν ἄρτον σου. Βλέπομεν δὲ καὶ τὸν οὐρανοβάμονα Ἀπόστολον κοπιῶντα, καὶ ἐργαζόμενον ταῖς ἰδίαις χερσὶ, καὶ (Α'.Κορ.δ'. 12.) διὰ τοῦ ἐργοχείρου αὐτοῦ ἀπαντῶντα εἰς τὰς χρείας αὐτοῦ καὶ τρέφοντα τοὺς (Πράξ. κ'. 34.) μετ' αὐτοῦ ὄντας· ἀκούομεν δὲ αὐτὸν, οὐ μόνον παραγγέλλοντα ἐν τῷ ὀνόματι (Β'.Θεσ.γ'. 10.) τοῦ Ἰησοῦ Χριστοῦ, ἵνα τρεφώμεθα διὰ τοῦ κόπου ἡμῶν ἀλλὰ καὶ παιδεύοντα τὸν ἀργὸν διὰ τῆς νηστείας· Εἴτις οὐ θέλει ἐργάζεσθαι, μηδὲ ἐσθιέτω. Πῶς λοιπὸν ὁ Κύριος ἡμῶν προστάττει τὸ, μὴ μεριμνᾶτε; (Αὐτόθι.) Τὴν ὑπερβολὴν καὶ τὴν ἀμετρίαν ἐμποδίζει, οὐχὶ τὴν ἐργασίαν καὶ τὰ ἐργόχειρα· ἄλλο ἡ ἀφιέρωσις τῆς ψυχῆς ἡμῶν εἰς τὴν περὶ τῆς τροφῆς καὶ τοῦ ἐνδύματος μέριμναν, καὶ ἄλλο τὸ ἐργόχειρον, καὶ ἡ ἐργασία, ἡ γινομένη διὰ τὴν τροφὴν καὶ τὸ ἔνδυμα· διὰ τοῦτο οὖν οὐκ εἶπεν ὁ Κύριος, μὴ μεριμνᾶτε περὶ τροφῆς, καὶ ποτοῦ, καὶ ἐνδύματος, ἀλλὰ, μὴ μεριμνᾶτε τῇ ψυχῇ ὑμῶν, ἤγουν μὴ ἀφιερώσητε ὅλην τὴν ψυχὴν ὑμῶν εἰς τὰς μερίμνας περὶ τοῦ, τί φάγητε, καὶ τί πίητε, καὶ τί ἐνδύσησθε. Τὸ τί, σημαίνει τὴν ἀκριβολογίαν καὶ φροντίδα τῆς ποσότητος καὶ ποιότητος τῶν τροφῶν, καὶ τῶν ἐνδυμάτων. Ὁ ἐγκρατὴς ἄνθρωπος ἀρκεῖται εἰς τροφὴν, ὅση ἀναγκαία ἐστὶ πρὸς τὸ ζῆν, καὶ εἰς ἔνδυμα, ἱκανὸν σκεπάσαι τὴν γύμνωσιν αὐτοῦ· ὅθεν ἢ οὐδεμίαν, ἢ πολλὰ ὀλίγην μέριμναν ἔχει περὶ τούτων. Ὁ ἀκρατὴς καὶ ἄσωτος ζητεῖ πολλὰς, πολυειδεῖς, πολυποικίλους τροφὰς, πολλὰ καὶ λαμπρὰ καὶ πολύτιμα ἐνδύματα· ὅθεν βλέπεις ὅλην τὴν καρδίαν αὐτοῦ προσηλωμένην εἰς τὴν περὶ τούτων φροντίδα. Ὁ Κύριος ἡμῶν οὐκ εἶπε· Σταύρωσαι τὰς χεῖράς σου, καὶ κάθου ἀργὸς ὅλην τὴν ἡμέραν, καὶ ἐγὼ ἐξαποστέλλω σοι τροφὰς, καὶ ποτὰ, καὶ ἐνδύματα· ἀλλὰ, Μὴ γίνου, λέγει, δοῦλος τῆς κοιλίας σου, μὴ ἀφιερώσῃς ὅλον

τὸν

τὸν νοῦν σου εἰς τὴν ὑπηρεσίαν τοῦ σώματός σου· διὰ τοῦτο λέγω ὑμῖν· διὰ τοῦτο, ἐπειδὴ οὐδεὶς δύναται δουλεύειν δύω αὐθέντας, τὰ ἐναντία φρονοῦντας, σὺ μὴ γίνου δοῦλος τῆς κοιλίας, καὶ τῆς σωματικῆς σου τρυφῆς, ἵνα κατασταθῇς δοῦλος τοῦ Θεοῦ καὶ Δεσπότου σου. Πολλὰ δὲ ἐπιχειρήματα προβάλλει ὁ Σωτὴρ ἡμῶν, ἵνα πείσῃ ἡμᾶς εἰς τὴν ὑποδοχὴν ταύτης τῆς σωτηριώδους διδασκαλίας. Τὸ πρῶτόν ἐστιν ἐκ τῆς θείας παντοδυναμίας· Ἡ ψυχή σου, λέγει, ἐστὶ τιμιωτέρα τῆς τροφῆς, τὸ σῶμά σου τιμιώτερον τοῦ ἐνδύματος· ὁ Θεὸς ἔπλασε τὴν ψυχήν σου, ἐποίησε καὶ τὸ σῶμά σου· ἆρά γε οὖν αὐτὸς ὁ Θεός, ὅστις ἔδωκέ σοι ταῦτα τὰ τιμιώτερα καὶ ὑπέρτερα, οὐ δύναται δοῦναί σοι καὶ τὰ μικρότερα καὶ εὐτελέστερα, ἤγουν τὴν τροφήν, καὶ τὸ ἔνδυμα; Μετὰ δὲ τὸ ἐπιχείρημα τοῦτο ἐπάγει εὐθὺς καὶ ἄλλο, λαβὼν αὐτὸ ἐκ τῶν θησαυρῶν τῆς θείας αὐτοῦ προνοίας.

Ματ. ς'. 26. **Ἐμβλέψατε εἰς τὰ πετεινὰ τοῦ οὐρανοῦ, ὅτι οὐ σπείρουσιν, οὐδὲ θερίζουσιν, οὐδὲ συνάγουσιν εἰς ἀποθήκας, καὶ ὁ Πατὴρ ὑμῶν ὁ οὐράνιος τρέφει αὐτά· οὐχὶ ὑμεῖς μᾶλλον διαφέρετε αὐτῶν;**

Φέρει εἰς παράδειγμα οὐχὶ τὸν Ἰσραηλιτικὸν λαόν, ὃν ἡ θεία Πρόνοια διὰ τοῦ μάννα καὶ τῆς ὀρτυγομήτρας ἐχόρτασεν, οὐδὲ τὸν Ἠλίαν, ὃν διὰ τοῦ κόρακος ἔθρεψεν, ἀλλὰ τὰ πετεινὰ τοῦ οὐρανοῦ, ἤγουν τὰ πετῶντα εἰς τὸν ἀέρα τὸν ὑποκάτω τοῦ οὐρανοῦ. Περὶ τούτων
Ψαλ. ρμδ'. 17. δὲ καὶ ὁ Προφήτης Δαβὶδ λέγει· Ἀνοίγεις σὺ τὴν χεῖρά σου, καὶ ἐμπιπλᾷς πᾶν ζῶον εὐδοκίας. Τῷ
διδόντι τοῖς κτήνεσι τροφὴν αὐτῶν, καὶ τοῖς νεοσσοῖς τῶν κοράκων, τοῖς ἐπικαλουμένοις αὐτόν. Ψαλ. ρμς'. 10.
Ἔβαλε δὲ τοῦτο θεμέλιον, ἵνα ἀπὸ τοῦ ἐλάττονος πρὸς τὸ μεῖζον κατασκευάσῃ τὴν ἀπόδειξιν, καὶ ἐξελέγξῃ τὴν ἀνοησίαν τῶν ὀλιγοπίστων ἀνθρώπων· Βλέπε, λέγει, τὰ ἐν τῷ ἀέρι πετεινά· αὐτὰ οὐδὲ σπείρουσιν, οὐδὲ θερίζουσιν, οὐδὲ συνάγουσιν εἰς ἀποθήκας, καθὼς ποιοῦσιν οἱ πολυμέριμνοι ἄνθρωποι· ὁ δὲ Πατὴρ ὁ οὐράνιος τρέφει αὐτά· σὺ διαφέρεις αὐτῶν πολύ· σὺ λογικός, ἐκεῖνα ἄλογα· σὺ ἀθάνατος, ἐκεῖνα θνητά· σὺ δεσπότης, ἐκεῖνα δοῦλα· ἐκεῖνα διὰ σέ, οὐχὶ σὺ δι᾽ ἐκεῖνα ἐγίνου· ἐὰν λοιπὸν ὁ Θεὸς τρέφῃ ἐκεῖνα, πόσῳ μᾶλλον θρέψει σέ, τὸν Βασιλέα ἐκείνων; Ἔπειτα, μετὰ τὸ ἐπιχείρημα τοῦτο, καὶ ἄλλο εὐθὺς ἐπάγει, ληφθὲν ἐκ τῆς ἀδυναμίας τοῦ ἀνθρώπου, καὶ ἐκ τῆς ματαιότητος τῶν μεριμνῶν αὐτοῦ.

**Τίς δὲ ἐξ ὑμῶν μεριμνῶν, δύναται προσθῆναι ἐπὶ τὴν ἡλικίαν αὐτοῦ πῆχυν ἕνα;** Ματ. ς'. 27.

Τίς δύναται, κἂν νύκτα τε καὶ ἡμέραν μεριμνᾷ, ποιῆσαι προσθήκην εἰς τὸ ἀνάστημα τοῦ σώματος αὐτοῦ ἕνα πῆχυν; Οὐδείς· Βλέπεις, λέγει, ὅτι εἰς τὴν προσθήκην καὶ αὔξησιν τοῦ σώματός σου οὐδὲν ὅλως δύναται ἡ μέριμνά σου· ὁ μὲν Θεὸς αὐξάνει τὸ σῶμά σου, σὺ δὲ οὐδὲ αἰσθάνεσαι ὅλως τὸ πῶς· ἔπειτα ἀπιστεῖς περὶ τοῦ, ὅτι ὁ Θεός, ὁ ποιῶν τὴν αὔξησιν τοῦ σώματός σου, ἔργον θαυμάσιον καὶ δυσκολώτατον, δύναται δοῦναί σοι τροφὰς καὶ ποτά, ἀλλ᾽ ἀφιεροῖς πᾶσάν σου τὴν φροντίδα εἰς τὴν ἑτοιμασίαν αὐτῶν, καὶ πείθεσαι,

ὅτι

ὅτι ἡ μέριμνά σου τρέφει σε, καὶ οὐχὶ ὁ Θεός;

Ματ. ς'. 28. **Καὶ περὶ ἐνδύματος τί μεριμνᾶτε; καταμάθετε τὰ κρίνα τοῦ ἀγροῦ, πῶς αὐξάνει· οὐ κοπιᾷ, οὐδὲ νήθει.**

Ἐλέγχει, ὡς ματαίαν, καὶ τὴν περὶ τοῦ ἐνδύματος μέριμναν τῶν ἀνθρώπων. Διατί δὲ, καθὼς διὰ τὴν μέριμναν τῆς τροφῆς ἔφερε παράδειγμα τὰ πετεινὰ, οὐκ ἀναφέρει πάλιν τὰ πετεινὰ, παραδείγματος χάριν, τὸν κύκνον, τὸν ταῶνα, τὴν περιστερὰν, καὶ ἄλλα πετεινὰ, θαυμασίως κατεστολισμένα ὑπὸ τῆς ἀπείρου σοφίας καὶ δυνάμεως τοῦ Θεοῦ; Τὰ ἄψυχα καὶ ἀναίσθητα, ἤγουν τὰ κρίνα τοῦ ἀγροῦ, εἰσὶν εὐτελέστερα τῶν ἐμψύχων καὶ αἰσθητικῶν, τουτέστι τῶν πετεινῶν· διὰ τοῦτο οὖν ἀναφέρει τὰ κρίνα, καὶ οὐχὶ τὰ πετεινὰ, ἵνα δείξῃ, ὅτι οὐ μόνον τῶν ἐμψύχων προνοεῖ, ἀλλὰ καὶ αὐτῶν τῶν εὐτελεστέρων καὶ ἀναισθήτων χόρτων, ἐλέγξῃ δὲ διὰ τούτων ἰσχυρότερα τὴν τῶν ἀνθρώπων ὀλιγοπιστίαν· διότι, ἐὰν διὰ τὸ κρίνον, ἤγουν διὰ τὸν χόρτον τὸν εὐμάραντον, προνοῇ ὁ Θεὸς, καὶ στολίζῃ αὐτὸν μετὰ τοσαύτης καλλονῆς καὶ ὡραιότητος, πόσῳ μᾶλλον προνοεῖ ὑπὲρ τῶν ἐνδυμάτων τῶν κατ' εἰκόνα αὐτοῦ πλασθέντων ἀνθρώπων; Τὰ κρίνα δὲ ἐκ πάντων τῶν χόρτων παραλαβὼν, προβάλλει εἰς παράδειγμα διὰ τὴν τούτων εὐθύτητα, καὶ τὴν λευκότητα, καὶ τὴν ἀπὸ τῆς γῆς ὕψωσιν· εἰσὶ δὲ ταῦτα σύμβολα τῆς δικαιοσύνης, καὶ καθαρότητος, καὶ τῆς ἀπὸ τῶν γηΐνων πραγμάτων ἐπάρσεως. Σημείωσαι δὲ, ὅτι καθὼς εἰς τὰ περὶ τῆς τροφῆς οὐκ εἶπεν ὁ Κύριος, μὴ κοπιάζετε, μὴ σπείρετε, μὴ θερίζετε, ἀλλὰ, μὴ μεριμνᾶτε· οὕτω καὶ εἰς τὰ περὶ τοῦ ἐνδύματος οὐκ εἶπε, μὴ κοπιάζετε, μὴ νήθετε, ἀλλὰ, τί μεριμνᾶτε; διότι σκοπὸς τοῦ Κυρίου ἐστὶν, οὐχὶ ἡ ἀργία τῶν κόπων, τῆς γεωργίας, τῶν ἐργοχείρων, ἀλλ' ἡ παῦσις τῆς πολυμερίμνου φροντίδος τῶν κοσμικῶν πραγμάτων· σκοπὸς τοῦ Κυρίου ἐστὶν, ἵνα μεριμνᾷ ὁ ἄνθρωπος τὰ τοῦ Θεοῦ, καὶ οὐχὶ τὰ τοῦ κόσμου, ἵνα δουλεύῃ τῷ Θεῷ, καὶ οὐχὶ τῷ μαμμωνᾷ· σκοπὸν ἔχει, ἵνα ἀποδείξῃ, ὅτι αἱ μέριμναι ἡμῶν, χωρὶς τῆς τοῦ Θεοῦ βοηθείας, εἰσὶ μάταιαι, ὁ δὲ Θεός ἐστιν, ὁ τὰ πάντα ποιῶν· διὸ λέγει· Καὶ περὶ τοῦ ἐνδύματος διατί μεριμνᾶτε; στοχάσθητε προσεκτικῶς τὰ κρίνα τοῦ ἀγροῦ· αὐτὰ οὐδὲ κοπιάζουσιν, οὐδὲ νήθουσι, καὶ ὅμως αὐξάνουσιν ἐνδεδυμένα καὶ θαυμασίως περικεκαλυμμένα.

**Λέγω δὲ ὑμῖν, ὅτι οὐδὲ Σολομὼν ἐν πάσῃ τῇ δόξῃ αὐτοῦ περιεβάλετο ὡς ἓν τούτων.** Ματ. ς'. 29.

Μιμεῖται μὲν ἡ τέχνη τὴν φύσιν, οὐδέποτε δὲ ὑπερβαίνει τὸ κάλλος αὐτῆς. Ποῖος, ἢ ζωγράφος ζωγραφεῖ, ἢ κναφεὺς λευκαίνει, ἢ βαφεὺς χρωματίζει ἱμάτιον λευκὸν, ὥσπερ τὸ κρίνον; Περιβόητος καὶ ἐξάκουστος ὁ Σολομὼν, διὰ
τὴν σοφίαν αὐτοῦ καὶ τὰ πλοῦτη; Καὶ Β'. Παραλ. θ'. 22.
ἐμεγαλύνθη Σαλομὼν ὑπὲρ πάντας τοὺς Βασιλεῖς πλούτῳ καὶ σοφίᾳ. Αὐτὸς ἠγάπα τὰ λευκὰ ἐνδύματα, ὡς σύμβολα τῆς καθαρότητος, καὶ ἐσυμβούλευεν, ἵνα λευκοφορῶσι πάν-
τοτε οἱ ἄνθρωποι· Ἐν παντὶ καιρῷ Ἐκκλ. θ'.
ἔστωσαν ἱμάτιά σου λευκά· φέ- 8.
ρεται δὲ καὶ λόγος, ὅτι αὐτὸς ἱμάτια Ἰώσηπ.
λευκὰ ἐνεδύετο· ἀλλ' ἄραγε ἔβαψέ ποτε β. 8. κ. 2. Ἀρχ.
ἔν-

ἔνδυμα λευκὸν ὥσπερ τὸ κρίνον; οὐδὲ ἡ σοφία αὐτοῦ ἐνόησε τρόπον, οὐδὲ ὁ πλοῦτος αὐτοῦ εὗρε πόρον εἰς τὴν κατασκευὴν τῆς τοσαύτης καὶ τοιαύτης λευκότητος. Ἡ ὡραιότης τοῦ κρίνου ἐνίκησε πᾶσαν τὴν δόξαν τοῦ Σολομῶντος· ἔμεινεν ὀπίσω τοῦ μικροτάτου ἔργου τῆς φύσεως ὁ σοφώτερος πάντων τῶν ἀνθρώπων· καὶ δικαίως, διότι τὰ μὲν τῆς φύσεως ἔργα εἰσὶ ποιήματα τοῦ Θεοῦ, τὰ δὲ τῆς τέχνης εἰσὶ κατασκευαὶ τῶν ἀνθρώπων. Ἀνακηρύξας οὖν ὁ Κύριος τὴν δόξαν τοῦ Σολομῶντος κατωτέραν τῆς καλλονῆς τῶν κρίνων, ἐπιφέρει εὐθὺς τὸν ἔλεγχον, λέγων·

Ματ. ς'. 30. Εἰ δὲ τὸν χόρτον τοῦ ἀγροῦ, σήμερον ὄντα, καὶ αὔριον εἰς κλίβανον βαλλόμενον, ὁ Θεὸς οὕτως ἀμφιέννυσιν, οὐ πολλῷ μᾶλλον ὑμᾶς ὀλιγόπιστοι;

Τί ἐστι τὸ κρίνον; Χόρτος τοῦ ἀγροῦ· σήμερον βλέπεις αὐτὸ εἰς τὸν ἀγρὸν, αὔριον ξηραίνεται, καὶ βάλλεις αὐτὸ εἰς τὸν φοῦρνον. Ἄνθρωποι, λοιπὸν λέγει, ὀλιγόπιστοι, ἐὰν ὁ Θεὸς τὸν χόρτον τοῦ ἀγροῦ τὸν ἐφήμερον τόσον στολίζῃ, ὥστε ἡ εὐπρέπεια αὐτοῦ ὑπερβαίνει τὸν καλλωπισμὸν τῶν ἐνδυμάτων τοῦ ἐνδοξοτάτου Σολομῶντος, πόσον περισσότερον φροντίζει διὰ τὰ ἐνδύματα ὑμῶν; ὑμεῖς πλάσμα αὐτοῦ ἀθάνατον, ὑμνολόγοι τῆς δόξης, καὶ λάτραι τῆς Θεότητος αὐτοῦ αἰώνιοι· δι' ὑμᾶς ἔδωκε νόμους, ἐχειροτόνησε Προφήτας, ἐξαπέστειλε τὸν Υἱὸν αὐτοῦ εἰς τὸν κόσμον, ἡτοίμασε βασιλείαν ἀτελεύτητον. Βλέπετε δὲ διὰ τὸν χόρτον τοῦ ἀγροῦ, τὸν σήμερον ὄντα, καὶ αὔριον ξηραινόμενον, τόσην πρόνοιαν Θεοῦ· βλέπετε, λέγω, τὸ κρίνον τόσον ἐστολισμένον, ἔπειτα ἀμφιβάλλετε εἰς τὴν πρόνοιαν τοῦ Θεοῦ, τὴν περὶ ἡμᾶς; ἀμφιβάλλετε, ὅτι ὁ Θεὸς δώσει ὑμῖν τὰς ἀναγκαίας τροφὰς, καὶ τὰ πρὸς τὴν χρείαν ἐνδύματα; τοῦτο ἀληθῶς ἐστὶν ὀλιγοπιστία.

Μὴ οὖν μεριμνήσητε, λέγοντες· Τί φάγωμεν; ἢ, Τί πίωμεν; ἢ, Τί περιβαλώμεθα; Ματ. ς'. 31.

Ἰδοὺ ὅλος ὁ σκοπὸς καὶ τὸ συμπέρασμα τῶν εὐαγγελικῶν λόγων τοῦ Σωτῆρος. Καὶ σημείωσαι πάλιν, ὅτι οὐ λέγει· Μὴ μεριμνήσῃς παντελῶς, κάθου ἀργὸς, καὶ περίμενε, ἵνα κατέβῃ οὐρανόθεν ἡ τροφή σου καὶ τὸ ἔνδυμά σου· οὐχὶ τοῦτο λέγει, ἀλλὰ τὴν ὑπερβολὴν κολάζει, καὶ θέλει, ἵνα ἐλευθερωθῶσιν οἱ ἄνθρωποι τῆς κοιλιοδουλείας, καὶ τῶν κόπων τῆς πολυασχόλου ματαιότητος τῶν περιττῶν ἐνδυμάτων. Βλέπε δὲ πῶς ἐφύλαξαν τὴν ἐντολὴν ταύτην οἱ ἐπουράνιοι ἄνθρωποι, οἱ θεομακάριστοι Ἀπόστολοι· αὐτοὶ οὐκ ἔστερξαν ἐγκαταλεῖψαι τὸ εὐαγγελικὸν κήρυγμα, διὰ τὴν μέριμναν τῆς τραπέζης· Οὐκ ἀρεστόν ἐστιν ἡμᾶς, καταλείψαντας τὸν λόγον τοῦ Θεοῦ, διακονεῖν τραπέζαις· Πράξ. ς'. 2. οὐκ ἔκριναν ὅμως εὔλογον, ἵνα καταφρονήσωσι παντελῶς τὴν τοιαύτην ἀνάγκην· οὐκ εἶπον αὐτοί· Ῥίψατε πᾶσαν φροντίδα, ὁ Θεὸς ἐξαποστέλλει ἡμῖν οὐρανόθεν τροφὰς καὶ ἱμάτια, ἀλλ' ἀφιέρωσαν μὲν πᾶσαν τὴν ἑαυτῶν μέριμναν εἰς τὴν προσευχὴν, καὶ εἰς τὸ κήρυγμα τοῦ Εὐαγγελίου· ὥρισαν δὲ ἑπτὰ ἄνδρας, ἵνα ἑτοιμάζωσι τὰ πρὸς τὴν χρείαν· Ἐπισκέψαμενοι οὖν, ἀδελφοί, Αὐτ. 3, 4 οὕτως εἶπον πρὸς τοὺς τότε Χριστιανοὺς, ἄνδρας ἐξ ὑμῶν μαρτυρουμένους ἑπτὰ, οὓς καταστήσωμεν ἐπὶ τῆς χρείας ταύτης· ἡμεῖς δὲ τῇ

τῇ προσευχῇ καὶ τῇ διακονίᾳ τοῦ λόγου προσκαρτερήσομεν. Βλέπομεν λοιπὸν ἐκ τοῦ παραδείγματος τούτου, ὅτι τὰ λόγια τοῦ Κυρίου ἡμῶν τὴν ὑπερβολὴν ἐμποδίζουσι τῶν περὶ τὰ σωματικὰ φροντίδων, καὶ τὴν ὁλοσχερῆ τῆς ψυχῆς ἡμῶν ἀφιέρωσιν εἰς τὰ γήϊνα καὶ ἐγκόσμια πράγματα. Διατί δὲ τοῦτο;

Ματ. ϛ'. 32. Πάντα γὰρ ταῦτα τὰ ἔθνη ἐπιζητεῖ· οἶδε γὰρ ὁ Πατὴρ ὑμῶν ὁ οὐράνιος, ὅτι χρῄζετε τούτων ἁπάντων.

Οἱ ἐθνικοὶ, ἤγουν οἱ μὴ πιστεύοντες εἰς τὸν ἀληθινὸν Θεὸν, ἀφιερωμένον ἔχουσι τὸν νοῦν αὐτῶν εἰς τὰς τροφὰς, καὶ τὰ ποτὰ, καὶ ἐνδύματα· ἄλλοι μὲν ἐξ αὐτῶν, νομίζοντες, ὅτι ἡ τυφλὴ τύχη κινεῖ ὡς ἔτυχε τὰ ἀνθρώπινα πράγματα, καὶ μὴ πιστεύοντες, ὅτι ὁ Θεὸς προνοεῖ τὰ πρὸς τὴν χρείαν παντὸς ἀνθρώπου, σπουδάζουσιν, ὅσον δύνανται, ἵνα προετοιμάζωσι πάντα τὰ πρὸς τὴν ἰδίαν ἀνάπαυσιν· ἄλλοι δὲ, μήτε μέλλουσαν κρίσιν περιμένοντες, μήτε ἀνάστασιν νεκρῶν προσδοκῶντες, ἀφιεροῦσι πᾶσαν τὴν ἑαυτῶν μέριμναν εἰς τὰς τῆς παρούσης ζωῆς ἡδονὰς καὶ ἀπολαύσεις·
Α'. Κορ. ιε'. 32. Φάγωμεν, λέγουσι, καὶ πίωμεν, αὔριον γὰρ ἀποθνήσκομεν. Εἰς ἡμᾶς δὲ τοὺς Χριστιανοὺς, οἵτινες πιστεύομεν, ὅτι ὁ Θεὸς προνοεῖ ὑπὲρ πάντων, καὶ περιμένομεν κρίσιν μέλλουσαν, καὶ ζωὴν αἰώνιον, οὐκ ἔστι πρέπον, ἵνα ζῶμεν καὶ πολιτευώμεθα, ὥσπερ οἱ ἐθνικοί· τοῦτο δὲ καὶ ἀλλαχοῦ ἐφανέρωσεν
Μάρκ. ι'. 42, 43. ὁ Κύριος, εἰπών· Οἱ δοκοῦντες ἄρχειν τῶν ἐθνῶν, κατακυριεύουσιν αὐτῶν· καὶ οἱ μεγάλοι αὐτῶν κατεξουσιάζουσιν αὐτῶν· οὐχ οὕτω δὲ ἔσται ἐν ὑμῖν. Ἐκεῖνοι, πεπλανημένα ἔχοντες φρονήματα, πεπλανημένα ἔχουσι καὶ τῆς ζωῆς αὐτῶν τὰ ἔργα· ἡμεῖς δὲ ἔχοντες πίστιν ἁγίαν, πρέπον ἐστὶν, ἵνα ἅγια ἔχωμεν καὶ τὰ ἤθη· Ὑμεῖς, λέγει ὁ Θεάνθρωπος, πιστεύετε εἰς τὸν ἀληθινὸν Θεὸν τὸν ἐπουράνιον, ὅστις πατὴρ ὑμῶν ἐστὶ, καὶ γινώσκει, ὅτι ἔχετε χρείαν τούτων πάντων, ἤγουν καὶ τροφῶν, καὶ ποτῶν, καὶ ἐνδυμάτων. Βλέπε δὲ, πῶς πανταχόθεν πείθει· οὐκ εἶπεν, οἶδεν ὁ Θεὸς, ἀλλ' οἶδεν ὁ πατὴρ ὑμῶν· ἵνα φανερώσῃ τὸ πρὸς ἡμᾶς φιλόστοργον αὐτοῦ· ἔπειτα προσέθηκε τὸ, ὅτι χρῄζετε τούτων ἁπάντων, ἵνα δείξῃ τὸ παντέφορον τῆς αὐτοῦ προνοίας· ὥστε, ὡς Θεὸς παντοδύναμος, δύναται ὅσα θέλει, ὡς παντεπόπτης γνωρίζει τὰ πρὸς τὴν χρείαν ἡμῶν, ὡς πατὴρ ἐπιχορηγεῖ τὰ ἀναγκαῖα, καὶ ὡς πατὴρ φιλοστοργότατος, καὶ Θεὸς ἀπειροεύσπλαγχνος, νουθετεῖ ἡμᾶς, καὶ ὑπόσχεται, λέγων·

Ζητεῖτε δὲ πρῶτον τὴν βασιλείαν τοῦ Θεοῦ, καὶ τὴν δικαιοσύνην αὐτοῦ, καὶ ταῦτα πάντα προστεθήσεται ὑμῖν. Ματ. ϛ'. 33.

Τὸ ὄνομα, δικαιοσύνη, σημαίνει πᾶσαν ἀρετήν· Ἄφες ἄρτι, ἔλεγεν ὁ Σωτὴρ ἡμῶν πρὸς τὸν πρόδρομον αὐτοῦ Ἰωάννην, οὕτω γὰρ πρέπον ἐστὶν ἡμῖν πληρῶσαι πᾶσαν δικαιοσύνην, ἤγουν πᾶσαν ἀρετήν· τὴν αὐτὴν δὲ ἔννοιαν ἔχει καὶ τὸ, Μακάριοι οἱ πεινῶντες καὶ διψῶντες τὴν δικαιοσύνην· καὶ τὸ, Μακάριοι οἱ δεδιωγμένοι ἕνεκεν δικαιοσύνης· ὅθεν καὶ τὸ προκείμενον ὄνομα τῆς δικαιοσύνης, πᾶσαν ἀρετὴν σημαίνει, ἥτις τοῦ Θεοῦ ἐστὶ, καθότι ὁ Θεός ἐστιν ἡ πηγὴ πάσης ἀρετῆς, καὶ παρ' αὐτοῦ δίδοται τοῖς αἱ- Αυτ. ε'. 6, 10.

ἀνθρώποις ἡ δύναμις τῆς ἐργασίας αὐτῆς. Βλέπε δὲ τὴν ἄμετρον φιλανθρωπίαν τοῦ Θεοῦ· εἰπὼν ὁ Κύριος ἡμῶν, Ζητεῖτε πρῶτον τὴν Βασιλείαν τοῦ Θεοῦ καὶ τὴν ἐργασίαν τῆς ἀρετῆς, ἀκόλουθον ἦν εἰπεῖν· ἔπειτα δὲ ζητεῖτε καὶ τὰ πρὸς τὴν χρείαν ὑμῶν· αὐτὸς δὲ τοῦτο μὲν παρέλιπεν, ἐπεσύναψε δὲ τὸ, Καὶ ταῦτα πάντα προστεθήσεται ὑμῖν. Ἐὰν ζητῶμεν παρὰ τοῦ Θεοῦ, ἵνα δώσῃ ἡμῖν τὴν βασιλείαν αὐτοῦ, καὶ ἀξιώσῃ ἡμᾶς τῶν τῆς ἀρετῆς κατορθωμάτων, αὐτὸς ὑπόσχεται, ἵνα δώσῃ ἡμῖν, ὡς προσθήκην, καὶ τροφὰς, καὶ ποτὰ, καὶ ἐνδύματα, καὶ πάντα τὰ πρὸς τὴν χρείαν· Χριστιανὲ, λέγει σοι, ζήτει τὰ οὐράνια, καὶ ἐγὼ δίδωμί σοι τὰ ἐπίγεια· ἀθάνατος ὢν, μὴ καταδεχθῇς ζητῆσαι παρ' ἐμοῦ πράγματα εὐτελῆ καὶ πρόσκαιρα, ζήτει τὴν βασιλείαν μου, ζήτει τὴν ἀρετὴν, καὶ ἐγὼ δίδωμί σοι πάντα τὰ ἀγαθὰ τῆς γῆς.

# ΟΜΙΛΙΑ

ΜΕΤΑ ΤΟ ΚΑΤΑ

# ΜΑΤΘΑΙΟΝ

## ΕΥΑΓΓΕΛΙΟΝ ΤΗΣ Γ'. ΚΥΡΙΑΚΗΣ.

Ἠκούσατε, ἀγαπητοί μου ἀδελφοὶ, πόσον φανερὰ ὁ δεσπότης Χριστὸς ἀπέδειξε ματαίαν τὴν πολυμεριμνίαν ἡμῶν, καὶ πόσον καθαρὰ ὑπεσχέθη, ὅτι αὐτὸς δώσει ἡμῖν πάντα τὰ πρὸς τὴν χρείαν ἡμῶν. Ἠκούσατε, ὅτι οὐδεὶς δύναται δουλεύειν τῷ Θεῷ καὶ τῷ μαμμωνᾷ· Θεὸς, καὶ φιλαργυρία εἰσὶ δύω πράγματα ἐναντία· ὥστε ὁ δοῦλος τοῦ Θεοῦ οὐκ ἔστι δοῦλος τῆς φιλαργυρίας· ὅστις δὲ γίνεται δοῦλος τῆς φιλαργυρίας, ἐκεῖνος οὐκ ἔστι δοῦλος τοῦ Θεοῦ. Ἡμεῖς λοιπὸν ἢ οὐδόλως πιστεύομεν εἰς τοῦ Θεοῦ τὰ λόγια, ἢ ἐσμὲν ἀνόητοι, καὶ παντελῶς ἀναίσθητοι. Ὁ Θεὸς προστάττει, λέγων, Ζήτει τὴν βασιλείαν μου· σὺ δὲ ζητεῖς τῆς γῆς τὰ μέταλλα. Ὁ Θεὸς λέγει, Φρόντιζε διὰ τὴν κατόρθωσιν τῆς ἀρετῆς· σὺ δὲ νύκτα τε καὶ ἡμέραν φροντίζεις, ἵνα συνάξῃς ἀργύρια. Ὁ Θεὸς, ἐὰν δουλεύῃς αὐτῷ, ὑπόσχεταί σοι οὐ μόνον τὰ οὐράνια ἀγαθὰ, ἀλλὰ καὶ τὰ ἐπίγεια· σὺ γίνεσαι δοῦλος τῆς φιλαργυρίας, καὶ ἐλπίζεις ἀπ' αὐτῆς πᾶν ἀγαθὸν, καὶ πᾶσαν εὐτυχίαν. Περὶ τῆς ὑποθέσεως ταύτης ἀκούσατε πῶς λαλεῖ ἐκεῖνος ὁ ἄνθρωπος, ὅστις ἡρπάγη ἕως τρίτου οὐρανοῦ, καὶ ἤκουσεν ἄῤῥητα ῥήματα· B' Κορ. ιβ'. 2, 4.
Ῥίζα, λέγει, πάντων τῶν κακῶν ἐστὶν ἡ φιλαργυρία, ἧς τινὲς ὀρεγόμενοι, ἀπεπλανήθησαν ἀπὸ τῆς πίστεως, καὶ ἑαυτοὺς περιέπειραν ὀδύναις πολλαῖς. A'. Τιμ. ς'. 10.
Κατὰ ταύτην οὖν τὴν θείαν διδασκαλίαν, ἡ φιλαργυρία πρῶτον μὲν προξενεῖ πάντα τὰ κακὰ, δεύτερον δὲ ἀποπλανᾷ καὶ ἀποχωρίζει ἀπὸ τῆς πίστεως, καὶ τρίτον διὰ πολλῶν ὀδυνῶν περιπείρει, ἤγουν διαπερᾷ καὶ διορύττει τὴν καρδίαν τοῦ ἀνθρώπου, ὡς ἡ ἠκονημένη μάχαιρα· ταῦτα δὲ τὰ τρία, κακά εἰσι τόσον μεγάλα, ὥστε φαίνονται ἀπίθανα· ἐὰν ὅμως ἐξετάσωμεν ἀκριβῶς τὰ πράγματα,

τα, βλέπομεν, ὅτι καὶ τὰ τρία εἰσὶ βέβαια καὶ ἀναμφίβολα.

Ἐρευνῶ πρῶτον, ποῖαί εἰσιν αἱ ὀδύναι, αἱ τραυματίζουσαι τοῦ φιλαργύρου τὴν καρδίαν. Αὐτὸς θέλει, ἵνα πάντοτε συνάγῃ ἀργύρια, καὶ μηδέποτε μηδὲ ὀβολὸν σκορπίζῃ· θέλει, λέγω, νὰ βλέπῃ τὸν μαμμωνᾶ πάντοτε πολυπλασιαζόμενον, καὶ μηδέ ποτε ἐλαττούμενον· τοῦτο θέλει, τοῦτο ἐπιθυμεῖ, διὰ τοῦτο φλογίζεται ἡ καρδία αὐτοῦ· τοῦτο δὲ ἐστιν ἀδύνατον διὰ τὰς ἀνάγκας τῆς ζωῆς καὶ τῆς φύσεως· αὐτὸς οὖν βιάζει ἑαυτὸν ἀκαταπαύστως, καὶ κακουχεῖται· κατοικεῖ εἰς στενόχωρον οἰκίσκον, περιτυλίσσεται εὐτελέστατα ἐνδύματα, ἑτοιμάζει πτωχικὴν τράπεζαν, μόλις ἔχει ἕνα ἀνεπιτήδειον δοῦλον, οὐδέποτε ἀπολαμβάνει ἐκεῖνο, ὅπερ θέλει ἡ καρδία αὐτοῦ καὶ ἐπιθυμεῖ· ἐπειδὴ δὲ, ὅσον καὶ ἂν στενοχωρῆται, ἀνάγκη ὅμως ἐστὶν, ἵνα καὶ δι' αὐτὰ τὰ εὐτελῆ πράγματα δαπανᾷ ἀργύρια, διὰ τοῦτο καὶ ἡ οἰκία ὀχληρὰ, καὶ τὸ ἱμάτιον μισητὸν, καὶ ὁ δοῦλος ἀφόρητος, καὶ αὐτὸς ὁ ἄρτος πικρὸς ἐν τῷ στόματι αὐτοῦ, καὶ πᾶν ἄλλο πρᾶγμα ἀγοραστὸν, ὅσον καὶ ἂν εἶναι ὀλιγότιμον καὶ εὔωνον, στενοχωρίαν προξενεῖ εἰς τὴν καρδίαν αὐτοῦ, καὶ ἀηδίαν καὶ θλῖψιν. Ἰδοὺ πῶς οἱ φιλάργυροι περιπείρουσιν ἑαυτοὺς πολλαῖς ὀδύναις.

Αὐτοὶ, ἵνα συνάξωσι τὸν πλοῦτον, οὐδὲ τὴν ἡμέραν ἡσυχάζουσιν, οὐδὲ τὴν νύκτα ἀναπαύονται· ἀναβαίνουσιν εἰς τὰ ὄρη, καταβαίνουσιν εἰς τοὺς κόλπους τῆς γῆς, διαβαίνουσι ποταμοὺς καὶ θαλάσσας, τρέχουσιν εἰς πάντα τόπον, κακουχοῦνται πᾶσαν ὥραν, ἵνα πολυπλασιάσωσι τὰ ἀργύρια· ἐπειδὴ δὲ, εἰς πᾶσαν τοῦ κόσμου ὑπόθεσιν, οὐ μόνον εὐτυχία ἐστὶ καὶ κέρδος, ἀλλὰ καὶ δυστυχία καὶ ἀπώλεια, διὰ τοῦτο ὁ φιλάργυρος, ὅταν μὲν οὐδὲ κερδήσῃ, οὐδὲ πολυπλασιάσῃ τὸν πλοῦτον αὐτοῦ καθὼς ἐπιθυμεῖ, τότε λύπη καὶ θλῖψις κατακεντᾷ τὴν καρδίαν αὐτοῦ· ὅταν δὲ ἀπολέσῃ τὸ ἴδιον ἀργύριον, τότε μάχαιρα δίστομος διέρχεται τὰ σπλάγχνα αὐτοῦ· τότε στεναγμοὶ, καὶ ὀλολυγμοὶ, καὶ πόνοι καρδίας ὀξύτατοι. Ἰδοὺ αἱ ὀδύναι αἱ περιπείρουσαι τοὺς φιλαργύρους.

Ἡ σφοδρὰ ἐπιθυμία ἐστὶ πῦρ καιόμενον, καὶ καταφλογίζον τοῦ ἀνθρώπου τὴν καρδίαν· ἡ ἀπόλαυσις τοῦ ἐπιθυμητοῦ πράγματος, ἢ ὁλοτελῶς ἐξαλείφει, ἢ ὁπωσοῦν ἡσυχάζει, καὶ μαραίνει τῆς ἐπιθυμίας τὴν φλόγα· καταπραΰνει τῆς μνησικακίας ἡ ζέσις, ὅταν ὁ μνησίκακος ἐκδικηθῇ τὸν ἐχθρὸν αὐτοῦ· γλυκαίνεται ἡ πικρία τοῦ φθόνου, ὅταν ὁ φθονερὸς βλέπῃ δυστυχοῦντα τὸν φθονούμενον· μαραίνεται τῆς ἀσελγείας ἡ πύρωσις, ὅταν ὁ ἀσελγὴς ἐκτελέσῃ τὴν ῥυπαρὰν αὐτοῦ ἐπιθυμίαν· μόνη τῆς φιλαργυρίας ἡ λύσσα ἐστὶν ἀκαταδάμαστος, ἀκόρεστος, ἀμάραντος. Ὁ ὑδρωπικὸς καὶ ὁ φιλάργυρος πάσχουσιν ὁμοιότατον πάθος· ὁ ὑδρωπικὸς ὅσον περισσότερον πίνει, τόσον περισσότερον διψᾷ· ὁ φιλάργυρος ὅσον περισσότερον θησαυρίζει, τόσον περισσότερον ἐπιθυμεῖ. Αὐτὸς δὲ ὁ ἀμάραντος τῆς φιλοχρηματίας πόθος, αὐτὴ ἡ φλογερὰ καὶ ἄσβεστος τοῦ χρυσίου ἐπιθυμία, αὐτὴ ἡ ἀκόρεστος δίψα, εἰσὶν αἱ ὀδύναι, αἱ τοὺς φιλαργύρους περιπείρουσαι, κατὰ τὸν λόγον τοῦ θεοφόρου Ἀποστόλου.

Ἐρεύνησον δὲ, ἵνα καταλάβῃς καὶ τὸ πῶς οἱ τῆς φιλαργυρίας ἐρασταὶ ἀποπλανῶνται ἀπὸ τῆς πίστεως. Πᾶς πιστὸς ἄνθρωπος πιστεύει, ὅτι μόνος ὁ Θεός ἐστι παντοδύναμος· ὁ φιλάργυρος πιστεύει, ὅτι καὶ τὰ ἀργύριά εἰσι παντοδύναμα. Πᾶς πιστὸς ἄνθρωπος πιστεύει, ὅτι μόνος ὁ Θεὸς δύναται νὰ ἐλευθερώσῃ αὐ-

αὐτὸν ἀπὸ πάσης ἀνάγκης καὶ περιστά-
σεως· ὁ φιλάργυρος πιστεύει, ὅτι διὰ
τῶν χρημάτων προφθάνει πάσας τὰς
χρείας, καὶ ἀπαντᾷ πᾶσαν ἀνάγκην·
ἰδοὺ οὖν, πῶς οἱ ὀρεγόμενοι τῆς φιλαρ-
γυρίας ἀποπλανῶνται ἀπὸ τῆς πίστεως.
Πόσους δὲ βλέπομεν εἰς τὰς παλαιὰς
ἱστορίας ἀθετήσαντας τὴν πίστιν διὰ
τὰ ἀργύρια; Φοβερόν ἐστι τὸ μόνον πα-
ράδειγμα τοῦ Ἰούδα· αὐτὸς, ἵνα κερδή-
σῃ τριάκοντα ἀργύρια, ἠθέτησε τὴν εἰς
Χριστὸν πίστιν, καὶ παρέδωκεν αὐτὸν
εἰς θάνατον. Πόσοι ἕως τῆς σήμερον
πωλοῦσι τὴν εὐσέβειαν διὰ τὰ ἀργύ-
ρια; Πόσοι ἀρνοῦνται τὴν ὀρθοδοξίαν,
καὶ στέργουσι τὴν αἵρεσιν, ἵνα μὴ στε-
ρηθῶσιν ὀλίγου καὶ εὐτελοῦς κέρδους;
Πόσοι διὰ τὸν πλοῦτον ἀρνοῦνται καὶ
αὐτὴν τὴν εἰς Χριστὸν πίστιν, καὶ κα-
τακρημνίζονται εἰς ἀλλόκοτα καὶ ἀσε-
βῆ δόγματα; Ἀληθὴς λοιπὸν καὶ ἀναμ-
φίβολος τοῦ θεηγόρου Παύλου ὁ λόγος·
Ἧς τινὲς ὀρεγόμενοι ἀπεπλανή-
θησαν ἀπὸ τῆς πίστεως.

Α'.Τιμ.ς'. 10. Ἀλλὰ καὶ ῥίζα, λέγει ὁ αὐτὸς Ἀ-
πόστολος, πάντων τῶν κακῶν ἐστὶν
ἡ φιλαργυρία. Ῥίζα πάντων τῶν κα-
κῶν; τοῦτο φαίνεται πολύ· ὅτι μὲν ὁ
φιλάργυρος, ἵνα κερδήσῃ χρήματα, καὶ
κατακρίνει, καὶ δολιεύεται, καὶ ἀπατᾷ,
καὶ ψεύδεται, καὶ συκοφαντεῖ, καὶ ἁρ-
πάζει, καὶ ἀδικεῖ, καὶ ἐπιβουλεύει, καὶ
ἐπιορκεῖ, καὶ προδίδωσιν εἰς θάνατον,
καὶ ἄλλα πολλὰ ἁμαρτήματα πράττει,
ἀληθές ἐστι καὶ βέβαιον· αὐτὰ ὅμως
οὐκ εἰσὶ πάντα τὰ κακὰ, διότι, πλὴν
τούτων, εἰσὶ καὶ ἄλλα πολλὰ ἁμαρτή-
ματα· πῶς οὖν ἡ φιλαργυρία ἐστὶν ἡ
ῥίζα πάντων τῶν κακῶν; Ἡ μὲν ἁμαρ-
τία οὐδὲν ἄλλο ἐστὶν, εἰ μὴ νόμου πα-
ράβασις· ὁ δὲ νόμος ὅλος καὶ οἱ Προφῆ-
Ματ.κβ'. 40. ται ἐν τῇ ἀγάπῃ κρέμανται· Ἐν ταύ-
ταις ταῖς δυσὶν ἐντολαῖς ὅλος ὁ
νόμος καὶ οἱ Προφῆται κρέμαν-
ται· ὅλου δὲ τοῦ νόμου τὸ πλήρωμα ἐ-
στὶν ἡ ἀγάπη· Πλήρωμα οὖν νόμου Ῥωμ. ιγ'. 10.
ἡ ἀγάπη· πάντων λοιπὸν τῶν καλῶν
ῥίζα ἐστὶν ἡ ἀγάπη· διὰ τοῦτο ὁ Θεὸς
ἔσπειρεν αὐτὴν εἰς τὰς καρδίας ἡμῶν·
Ὅτι ἡ ἀγάπη τοῦ Θεοῦ ἐκκέχυ- Αὐτ. ε'. 5.
ται ἐν ταῖς καρδίαις ἡμῶν διὰ
Πνεύματος ἁγίου τοῦ δοθέντος
ἡμῖν. Ἡ ἀγάπη ἐστὶν ἡ ῥίζα, οἱ δὲ
κλάδοι, καὶ τὸ ἄνθος, καὶ ὁ καρπὸς
αὐτῆς εἰσὶν αἱ ἀρεταί· ἐὰν ἐκριζώσῃς
ἀπὸ τῆς γῆς τὸ ἥμερον δένδρον, ἡ γῆ
σου οὐδὲν ἄλλο βλαστάνει, εἰμὴ ἀκάν-
θας καὶ τριβόλους· ἐὰν ἐκριζώσῃς ἀπὸ
τῆς καρδίας σου τὴν ῥίζαν τῆς ἀγάπης,
πάντα τὰ ἔργα σου οὐδὲν ἄλλο εἰσὶν, εἰ
μὴ ἀνομίαι καὶ ἁμαρτίαι.

Ποῖος δέ ἐστιν ἐκεῖνος ὁ ἄνθρω-
πος, ὅστις ἐξερρίζωσεν ἐκ τῆς καρδίας
αὐτοῦ τὴν θεοφύτευτον ῥίζαν τῆς ἀγά-
πης; Ὃς δ' ἂν ἔχῃ, λέγει ὁ ἐπιστή- Α'. Ἰωάν. γ'. 17.
θειος Ἰωάννης, τὸν βίον τοῦ κόσμου,
καὶ θεωρεῖ τὸν ἀδελφὸν αὐτοῦ
χρείαν ἔχοντα, καὶ κλείσῃ τὰ
σπλάγχνα αὐτοῦ ἀπ' αὐτοῦ, πῶς
ἡ ἀγάπη τοῦ Θεοῦ μένει ἐν αὐ-
τῷ; οὗτος λοιπὸν ὁ ἄνθρωπος οὐδεὶς
ἄλλος ἐστὶν, εἰμὴ ὁ φιλάργυρος. Αὐτὸς
ἔχει τὸν βίον τοῦ κόσμου, ἤγουν τὰ
χρήματα, τὸ χρυσίον, τὸ ἀργύριον, τὸν
πλοῦτον· αὐτὸς βλέπει τὸν ἀδελφὸν αὐ-
τοῦ τὸν πτωχὸν, τὸν πεινῶντα, τὸν δι-
ψῶντα, τὸν γυμνὸν, τὸν ξένον, τὸν ἀσθε-
νῆ, καὶ κλείει τὰ σπλάγχνα αὐτοῦ, καὶ
οὐδόλως ἐλεεῖ αὐτούς· βλέπει αὐτὸς ἐ-
νίοτε γυναῖκα χήραν πάμπτωχον, περι-
κεκυκλωμένην ὑπὸ πολλῶν ἀνηλίκων ὀρ-
φανῶν, κλαιόντων διὰ τὴν πεῖναν, καὶ
κραυγαζόντων διὰ τὴν γύμνωσιν· βλέ-
πει ὀρφανὴν καὶ ἐγκαταλελειμμένην κόρην,
κινδυνεύουσαν διὰ τὴν ἀνάγκην τῆς πτω-
χείας τῆς σωφροσύνης τὸν κίνδυνον· βλέ-

πει Χριστιανὸν ἄνθρωπον, βασανιζόμενον ἐν τῇ φυλακῇ καὶ ἐν τοῖς δεσμοῖς διὰ τὰς ἐπακολουθούσας τῇ ζωῇ δυστυχίας, καὶ κινδυνεύοντα σὺν γυναικὶ καὶ τέκνοις τῆς πίστεως τὸν κίνδυνον· ἔχει δὲ τὸν βίον τοῦ κόσμου, καὶ δύναται νὰ θεραπεύσῃ ταῦτα τὰ ἐλεεινὰ πάθη, καὶ νὰ σώσῃ ψυχὰς ἐκ θανάτου, ἀλλὰ κλείει τὰ ἀνελεήμονα αὐτοῦ σπλάγχνα, καὶ γίνεται τυφλὸς, καὶ κωφὸς, καὶ παράλυτος. Τίς λοιπὸν ἀμφιβάλλει, ὅτι ὁ φιλάργυρος ἐξεῤῥίζωσεν ἀπὸ τῆς καρδίας τὴν ἀγάπην, ἤγουν τὴν ῥίζαν πάσης ἀγαθοεργίας;

Καὶ μὴ στοχασθῆτε, ὅτι αὐτὸς τὸν μὲν ἀδελφὸν αὐτοῦ οὐκ ἀγαπᾷ, ἀγαπᾷ δὲ τὸν Θεὸν, διότι τοῦτό ἐστιν ἀδύνατον·
Α΄. Ἰωάν. δ΄. 20. Ὁ γὰρ μὴ ἀγαπῶν τὸν ἀδελφὸν αὐτοῦ, ὃν ἑώρακε, τὸν Θεὸν, ὃν οὐχ ἑώρακε, πῶς δύναται ἀγαπᾷν; Γυμνή ἐστιν ἡ καρδία αὐτοῦ τῆς ἀγάπης τοῦ Θεοῦ, καθὼς γυμνή ἐστι καὶ τῆς ἀγάπης τοῦ πλησίον. Ὁ Θεὸς ἐνομοθέτησε πόσον πρέπει νὰ ἀγαπῶμεν αὐ-
Μάρκ. ιβ΄. 30. τόν· Ἀγαπήσεις, λέγει, Κύριον τὸν Θεόν σου ἐξ ὅλης τῆς καρδίας σου, καὶ ἐξ ὅλης τῆς ψυχῆς σου, καὶ ἐξ ὅλης τῆς διανοίας σου, καὶ ἐξ ὅλης τῆς ἰσχύος σου, τοῦ δὲ φιλαργύρου ὅλη ἡ καρδία, ὅλη ἡ ψυχὴ, ὅλη ἡ διάνοια ἀφιερωμένη ἐστὶν εἰς τὸ χρυσίον, καὶ ὅλην δὲ τὴν δύναμιν αὐτοῦ καταδαπανᾷ διὰ τὴν τούτου ἀπόλαυσιν· ὅθεν οὐ μόνον ὅλην, ἀλλ' οὐδὲ κἂν μέρος τῆς ἀγάπης αὐτοῦ δύναται νὰ ἀφιερώσῃ εἰς τὸν Θεόν. Ἐπειδὴ οὖν λείπει ἀπὸ τῆς καρδίας αὐτοῦ ἡ ῥίζα πάντων τῶν καλῶν ἔργων, διὰ τοῦτο πάντα τὰ ἔργα αὐτοῦ πονηρά εἰσι καὶ διεστραμμένα· κἂν δὲ βλέπῃς αὐτὸν ἀπέχοντα ἀπό τινων ἁμαρτημάτων, μὴ νομίσῃς, ὅτι ἀπέχει ἀπ' αὐτῶν, ἢ δι' ἀγάπην Θεοῦ, ἢ δι' ἀγάπην τοῦ πλησίον· τοιαύτην ἀγάπην αὐτὸς οὐκ ἔχει· ἀπέχει δὲ ἀπὸ τούτων δι' ἀγάπην τοῦ χρυσίου· φοβεῖται αὐτὸς, μήπως, πράξας τὸ κακὸν, ἐμπέσῃ εἰς κρισολογίας, καὶ δαπανήσῃ ἢ τὸ ὅλον, ἢ μέρος τοῦ πλούτου αὐτοῦ· ὅθεν οὐδὲ ἡ τοιαύτη ἀποχὴ τοῦ κακοῦ, διὰ τὸν κακὸν αὐτοῦ σκοπὸν, λογίζεται ἀρετή· ἐπειδὴ τὸ καλὸν οὐκ ἔστι καλὸν, ὅταν οὐ καλῶς, ἤγουν ὅταν οὐ μετὰ καλοῦ σκοποῦ γίνηται.

Διὰ ἕνα δὲ τοιοῦτον ἄνθρωπον, γυμνὸν τῆς τοῦ Θεοῦ καὶ τῆς τοῦ πλησίον ἀγάπης, γυμνὸν πάσης ἀρετῆς, καὶ ἐργάτην πάντων τῶν κακῶν, ποία ἐλπὶς σωτηρίας; Ἡ διόρθωσις, καὶ ἡ μετάνοια, αὐτὴ μόνη ἐστὶ πάντων τῶν ἁμαρτωλῶν ἡ ἐλπίς· ἀλλ' ἔχομεν ἄραγε παράδειγμα μετανοίας καὶ διορθώσεως ἀνθρώπου φιλαργύρου; ἐσωφρόνησαν πόρναι, ἐδικαιώθησαν τελῶναι, διωρθώθησαν λῃσταὶ, ἐπέστρεψαν ἀσεβεῖς, μετενόησαν διῶκται, φιλάργυρος ὅμως οὐδέποτε ἐφάνη οὐδὲ διωρθωμένος, οὐδὲ μετανενοημένος. Ἓν παράδειγμα ἔχομεν, τὸ ὁποῖον ὅστις συλλογισθῇ, φρίττει, καὶ ἀπελπίζεται· ὁ Ἰούδας ὁ φιλάργυρος μετε-
νόησε· Μεταμεληθεὶς, λέγει ὁ Εὐαγ- Ματ. κζ΄. 5.
γελιστὴς Ματθαῖος, ἀπέστρεψε τὰ τριάκοντα ἀργύρια τοῖς Ἀρχιερεῦσι καὶ τοῖς Πρεσβυτέροις· μετενόησεν, ἐξωμολογήθη, ἔῤῥιψε τὰ ἀρ-
γύρια, ἐβόησε τὸ ἥμαρτον· Ἥμαρτον, Αὐτ. 4, 5.
εἶπε, παραδοὺς αἷμα ἀθῷον. Καὶ ῥίψας τὰ ἀργύρια ἐν τῷ ναῷ ἀνεχώρησεν· ἀλλὰ ποῖος ὁ καρπὸς τῆς ψευδομετανοίας αὐτοῦ; Καὶ ἀπελθὼν, λέγει ὁ αὐτὸς Εὐαγγελιστὴς, ἀπήγξατο. Ὢ συμφορὰ ἀνείκαστος, ὢ δυστυχία ἀπαρηγόρητος, ὢ κακὸν πάντων τῶν ἐν κόσμῳ κακῶν ὑπέρτερον! οὐδὲ ἡ μετάνοια, ἡ θεραπεύουσα πᾶσαν ἁμαρτίαν, ὠφελεῖ τὸν φιλάργυρον· ἡ μετάνοια παντὸς ἁμαρτωλοῦ, ἐπειδή ἐστι μετάνοια

ἀλη-

ἀληθινή, φέρει εἰς αὐτὸν τὴν ἰατρείαν καὶ τὴν ἐξάλειψιν τῶν ἁμαρτιῶν αὐτοῦ· ἡ μετάνοια τοῦ φιλαργύρου, ἐπειδὴ οὐκ ἔστι μετάνοια τῆς ψυχῆς, ἀλλὰ θυμὸς σωματικὸς, φέρει εἰς αὐτὸν ἀγχόνην καὶ ἀπελπισμόν.

Βλέπε δὲ φιλανθρωπίαν Θεοῦ· γνωρίζει αὐτὸς, πόση ἐστὶν ἡ δύναμις τοῦ πάθους τῆς φιλαργυρίας, καὶ πόσην βλάβην προξενεῖ αὐτὴ εἰς τὸν ἄνθρωπον· γνωρίζει, ὅτι ἡ φιλαργυρία ἐστὶν ἀσθένεια ἀθεράπευτος, διὰ τοῦτο παρέδωκεν ἡμῖν τὸ κατ' αὐτῆς προφυλακτικὸν βότανον· βότανον ἰσχυρὸν, ἐνεργητικὸν, ἅγιον· βότανον, τὸ ὁποῖον ὅστις μετέρχεται, μένει ἀβλαβὴς καὶ ἀνεπηρέαστος ἀπὸ τῆς καταδυναστείας καὶ τοῦ ὀλέθρου τῆς
Ματ. ϛ'. 25. φιλαργυρίας· Μὴ μεριμνᾶτε, εἶπε, τῇ ψυχῇ ὑμῶν. Ἵνα δὲ μηδεὶς οὐδὲ μικρὰν πρόφασιν ἔχῃ νὰ περιπλέκῃ ἑαυτὸν εἰς τὰς σωματικὰς μερίμνας, καὶ νὰ ἀφιεροῖ πάσας τὰς φροντίδας αὐτοῦ διὰ τὸν θησαυρισμὸν τοῦ πλούτου, ἔτι περισσότερον φιλανθρωπευσάμενος, ὑπεσχέθη, καὶ εἶπε· Ζητεῖτε πρῶτον τὴν βασιλείαν τοῦ Θεοῦ· ἀφιερώσατε πᾶσαν τὴν μέριμναν ὑμῶν διὰ τὴν κατόρθωσιν τῆς ἀρετῆς, ὁ δὲ Θεὸς δώσει ὡς προσθήκην πάντα τὰ πρὸς τὴν
Αὐτ. 33. χρείαν ὑμῶν· Ζητεῖτε πρῶτον τὴν βασιλείαν τοῦ Θεοῦ, καὶ τὴν δικαιοσύνην αὐτοῦ, καὶ ταῦτα πάντα προστεθήσεται ὑμῖν.

Ἄθλιοι λοιπὸν φιλάργυροι καὶ ἀνόητοι, ὑμεῖς σπουδάζετε διὰ τὸ χρυσίον, ἵνα δουλεύῃ, ὡς λέγετε, εἰς τὰς χρείας ὑμῶν· καὶ ἡ μὲν χρεία καθ' ἑκάστην ὥραν ἔρχεται, ὑμεῖς δὲ, δουλεύοντες αὐτῷ, οὐδὲ ἐγγίξαι αὐτὸ τολμᾶτε· ὑμεῖς μετὰ τοσαύτης σπουδῆς συνάγετε τὰ ἀργύρια, ἵνα ἔχητε ἀνάπαυσιν, αὐτὰ δὲ περιπείρουσιν ὑμᾶς πολλαῖς βασάνοις· αὐτὸ τὸ ἀργύριον, τὸ ὁποῖον ὑμεῖς προσκυνεῖτε, καὶ νομίζετε φύλακα ὑμῶν καὶ προστάτην, καὶ πάσης ἀνάγκης λυτρωτὴν, αὐτὸ προξενεῖ εἰς ὑμᾶς πειρασμοὺς καὶ παγίδας, καὶ γεννᾷ πολλὰς ἀλόγους καὶ βλαβερὰς ἐπιθυμίας, αἵτινες καταποντίζουσιν ὑμᾶς εἰς τὸν βυθὸν τοῦ ἀφανισμοῦ καὶ τῆς ἀπωλείας·
Οἱ δὲ βουλόμενοι πλουτεῖν, λέγει τὸ Πνεῦμα τὸ ἅγιον διὰ στόματος τοῦ Παύλου, ἐμπίπτουσιν εἰς πειρασμὸν καὶ παγίδα, καὶ ἐπιθυμίας πολλὰς ἀνοήτους καὶ βλαβεράς, αἵτινες βυθίζουσι τοὺς ἀνθρώπους εἰς ὄλεθρον καὶ ἀπώλειαν. Α'.Τιμ.ϛ'. 9.
Ποῖος δέ ἐστιν οὗτος ὁ ὄλεθρος; Καὶ ποῖος ἄλλος, εἰμὴ ἡ ἀποπλάνησις ἀπὸ τῆς πίστεως; ὁ φιλάργυρός ἐστιν ὀλιγόπιστος, ἵνα μὴ εἴπω ἄπιστος, καθότι οὐ πιστεύει εἰς τὸν Θεὸν, ὅστις ὑπέσχεται εἰς αὐτὸν πάντα τὰ πρὸς τὴν
χρείαν· Καὶ ταῦτα πάντα προστεθήσεται ὑμῖν. Ποία δέ ἐστιν ἡ ἀπώλεια; Καὶ ποία ἄλλη, εἰμὴ ἡ ἀμετανοησία καὶ ὁ ἀπελπισμός; Ματ. ϛ'. 33.

Ἀλλ' ἐγὼ μετανοῶ, λέγεις, εἰς τὴν ὥραν τοῦ θανάτου μου. Ἀλλὰ γινώσκεις ἄραγε τὴν ὥραν τοῦ θανάτου σου; ἔστω· προγνωρίζεις, ὅτι αὔριον ἀποθνήσκεις· ἀλλὰ δύνασαι τότε νὰ λύσῃς τὴν ἀγάπην σου ἀπὸ τοῦ πολυχρονίου δεσμοῦ τῆς δεσποίνης σου τῆς φιλαργυρίας, καὶ νὰ μεταφέρῃς αὐτὴν ὅλην εἰς τὸν Θεόν; δύνασαι ἄραγε τότε νὰ ἀγαπήσῃς τὸν Θεὸν ἐξ ὅλης καρδίας, καὶ ψυχῆς, καὶ διανοίας, καὶ ἰσχύος; καὶ τίς πείθεται, ὅτι εἰς μίαν ὥραν, ἢ εἰς ὀλίγας καιροῦ στιγμὰς δύνασαι νὰ μεταβάλῃς τὴν τοσοῦτον πολυχρόνιον ἕξιν, ἥτις ἐγένετο σχεδὸν φύσις; Ἐγὼ φοβοῦμαι, ὅτι διὰ τῆς φιλαργυρίας τὸ πάθος οὐκ ἔστι μάλαγμα, οὐδὲ ἔλαιον, οὐδὲ κατάδεσμος· προφυλακτικὰ εἰσὶ μόνον κατ' αὐτῆς, κραταιὰ καὶ ἰσχυρὰ σφόδρα. Ποῖα δὲ ταῦτα;

τα; Καὶ ποῖα ἄλλα, εἰμὴ ἐκεῖνα, τὰ ὁποῖα παρέδωκεν ἡμῖν ὁ ἰατρὸς τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν; ἰδοὺ τὰ κατὰ τῆς φιλαργυρίας προφυλακτικὰ βότανα· Μὴ μεριμνᾶτε τῇ ψυχῇ ὑμῶν, καὶ τὰ λοιπὰ λόγια, ὅσα εἰς τὸ σημερινὸν Εὐαγγέλιον ἠκούσαμεν. Ὁ Ψαλ. ιδ'.
ποιῶν ταῦτα, οὐ σαλευθήσεται 7.
εἰς τὸν αἰῶνα.

# ΕΡΜΗΝΕΙΑ

ΕΙΣ ΤΟ ΚΑΤΑ

# ΜΑΤΘΑΙΟΝ

## ΕΥΑΓΓΕΛΙΟΝ ΤΗΣ Δ'. ΚΥΡΙΑΚΗΣ.

Πρῶτος τῶν ἄλλων Εὐαγγελιστῶν ὁ θεηγόρος Ματθαῖος, μετ' αὐτὸν δὲ ὁ ἱερὸς Μάρκος, ἔπειτα ὁ θεσπέσιος Λουκᾶς, ὕστερον δὲ πάντων ὁ ἐπιστήθειος Ἰωάννης συνέγραψε τὸ θεῖον Εὐαγγέλιον. Κατὰ Θεοῦ δὲ ὁδηγίαν, οἱ ὕστεροι ἐσιώπησαν μὲν τινὰ τῶν ὑπὸ τῶν προτέρων συγγραφέντα, ἐδιηγήθησαν δὲ τὰ ὑπ' αὐτῶν σιωπηθέντα. Βλέπομεν τοῦτο καθαρῶς εἰς τὴν ἱστορίαν τοῦ σημερινοῦ
Λουκ. ϛ'. 6, 7. Εὐαγγελίου. Ὁ θεόπνευστος Λουκᾶς, καθιστορῶν τὰ τοῦ Ἑκατοντάρχου, λέγει μὲν ὅσα ἐγκατέλιπεν ὁ Ματθαῖος, ἤγουν ὅσα ἐγένοντο πρὶν ἢ ἔλθῃ ὁ Ἑκατόνταρχος πρὸς τὸν Ἰησοῦν Χριστὸν, σιωπεῖ δὲ τὴν ἔλευσιν τοῦ Ἑκατοντάρχου πρὸς τὸν Κύριον ἡμῶν, καὶ ὅσα αὐτὸς εἶπε πρὸς αὐτὸν, ὡς ὑπὸ τοῦ Εὐαγγελιστοῦ Ματθαίου ἱστορηθέντα. Καὶ τοῦτο μὲν οἰκονομία ἐστὶ τῆς θείας προνοίας πολλὰ θαυμασία· ἐπειδὴ τοῦτο ἀφαιρεῖ τὴν ὑποψίαν περὶ τοῦ, ὅτι ὁ εἷς Εὐαγγελιστὴς ἀπὸ τοῦ ἄλλου μετέγραψε τὸ Εὐαγγέλιον αὐτοῦ. Καὶ ἄλλην δὲ βλέπομεν Θεοῦ πρόνοιαν πολλῷ θαυμασιωτέραν, τουτέστι τὴν τῶν θείων Εὐαγγελιστῶν τελειοτάτην συμφωνίαν εἰς τὰ κύρια καὶ οὐσιωδέστερα μέρη πάσης ὑποθέσεως, κἂν κατὰ διαφόρους καιροὺς καὶ τόπους συνέγραψαν τὰ ἱερὰ Εὐαγγέλια. Μάρτυς δὲ καὶ τούτου ἡ αὐτὴ σήμερον ἀναγνωσθεῖσα ἱστορία· διότι τὸ οὐσιῶδες μὲν καὶ κύριον μέρος αὐτῆς ἐστὶν ἡ πίστις τοῦ Ἑκατοντάρχου, καὶ τὸ παντοδύναμον τοῦ δεσποτικοῦ προστάγματος· σκοπὸν δὲ ἔχει, ἵνα φανερώσῃ ἡμῖν, ὅτι ὅσον ὑψηλὴ καὶ τελειοτέρα ἐστὶν ἡ πίστις τοῦ ἀνθρώπου πρὸς τὸν Θεὸν, τόσον μείζονα καὶ πλουσιώτερά εἰσι τὰ ἐλέη τοῦ Θεοῦ πρὸς τὸν ἄνθρωπον. Ταῦτα δὲ συμφώνως τῷ Λουκᾷ διηγεῖται καὶ ὁ Εὐαγγελιστὴς Ματθαῖος, λέγων·

Τῷ καιρῷ ἐκείνῳ, ἐλθόντι τῷ Ματ. η'.
Ἰησοῦ εἰς Καπερναοὺμ, προ- 5.
σῆλθεν αὐτῷ Ἑκατόνταρχος,
παρακαλῶν αὐτὸν, καὶ λέγων·
Κύριε, ὁ παῖς μου βέβληται 6.
ἐν τῇ οἰκίᾳ παραλυτικὸς, δει-
νῶς βασανιζόμενος.

Ὁ μὲν Ἑκατόνταρχος ἀλλόφυλος ἦν τὸ γένος, στρατιωτικὸς τὸ ἐπάγγελμα, ἑκα-

ἑκατὸν στρατιώτας ἔχων ὑπὸ τὴν ἐξουσίαν αὐτοῦ, εἰδωλολάτρης κατὰ τὴν θρησκείαν, φίλος ὅμως τοῦ ἔθνους τῶν Ἑ-
Λουκ. ζ'. 5. βραίων, ὅστις καὶ τὴν Συναγωγὴν αὐτῶν ᾠκοδόμησεν· ὁ δὲ δοῦλος αὐτοῦ παράλυτος καὶ ἀκίνητος ἐν τῇ οἰκίᾳ κατέκειτο, τοσοῦτον βαρέως καὶ ἐλεεινῶς βασανιζόμενος, ὥστε ἤγγισεν ἤδη τὰς πύλας τοῦ θανάτου. Ἀκούσας δὲ ὁ Ἑκατόνταρχος τὰ ἐξαίσια θαύματα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ μαθών, ὅτι ἦλθεν εἰς τὴν Καπερναούμ, πρῶτον μὲν ἀπέστειλε πρεσβυτέρους τῶν
Αὐτόθι. 4, 5. Ἰουδαίων, ὡς λέγει ὁ ἱερὸς Λουκᾶς, ἔπειτα φίλους παρακαλοῦντας, μετὰ δὲ ταῦτα ἐλθὼν καὶ αὐτὸς πρὸς αὐτόν, περιέγραψε τὴν τοῦ δούλου αὐτοῦ ἀσθένειαν· Κύριε, εἶπεν, ὁ δοῦλός μου κατάκειται εἰς τὴν οἰκίαν μου παράλυτος, ὑπὸ τῶν ὀδυνῶν βαρέως βασανιζόμενος. Ταῦτα μόνα εἶπεν ὁ Ἑκατόνταρχος, ἐν ᾧ δὲ ἔμελλεν ἐκφωνῆσαι τὴν παράκλησιν ὑπὲρ τῆς ἰατρείας τοῦ δούλου αὐτοῦ, προφθάνει ὁ Θεάνθρωπος Ἰησοῦς τὴν αἴτησιν, καὶ πρὶν ἢ ἐκφωνήσῃ ὁ Ἑκατόνταρχος τό, παρακαλῶ, Κύριε, θεράπευσον αὐτόν, προβάλλει ὁ Κύριος τοῦ ζητήματος αὐτοῦ τὴν ἐκπλήρωσιν.

Ματ. η'. 7. **Καὶ λέγει αὐτῷ ὁ Ἰησοῦς· Ἐγὼ ἐλθὼν θεραπεύσω αὐτόν.**

Βλέπεις πόσον διαφέρει ἡ εὐεργεσία τοῦ Θεοῦ τῆς εὐεργεσίας τῶν ἀνθρώπων; ἵνα ἐπιτύχῃς μίαν μικρὰν χάριν ἀπὸ ἑνὸς ἀνθρώπου, ποσάκις κλίνεις ἐνώπιον αὐτοῦ τὴν κεφαλήν σου ἕως ἐδάφους τῆς γῆς; ποσάκις λέγεις τό, παρακαλῶ, καὶ δέομαι, καὶ ὑπόσχεσαι ἀμοιβὴν καὶ εὐγνωμοσύνην; Ὁ ἄνθρωπος μεγαλύνει τὰς δυσκολίας τοῦ ζητήματός σου, ἵνα δείξῃ τὴν εὐεργεσίαν αὐτοῦ μεγάλην· ἀναβάλλει τὸν καιρόν, ἵνα ἐξάψῃ τὴν ἐπιθυμίαν σου, καὶ αὐξήσῃ τῶν περιστάσεων τὴν ἀνάγκην· θέλει πολλοὺς μεσίτας, ἵνα διὰ τῆς μιᾶς χάριτος ἔχῃ πολλοὺς χρεώστας· τότε δὲ τέλος πάντων ἐκτείνει τῆς ἀγαθοεργίας τὴν χεῖρα, ὅταν πληροφορηθῇ, ὅτι λαμβάνει τῆς εὐεργεσίας τὴν ἀνταπόδοσιν. Οὐδὲν τούτων βλέπεις εἰς τοῦ Θεοῦ τὰς εὐεργεσίας· μόλις ἤκουσεν ὁ Θεάνθρωπος τὴν χρείαν τοῦ Ἑκατοντάρχου, καὶ εὐθὺς ἐθεράπευσε τοῦ δούλου αὐτοῦ τὴν ἀσθένειαν. Σημείωσαι δὲ τὴν ἄρρητον σοφίαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, πῶς διὰ τῶν ἐναντίων τρόπων οἰκονομεῖ τῶν ἀνθρώπων τὴν σωτηρίαν. Τῆς μὲν Χαναναίας τὴν πίστιν ἐφανέρωσεν, ἀρνηθεὶς
τὴν χάριν, ἣν αὐτὴ ἐζήτει· Οὐκ ἔστι Ματ. ιε'. 26.
καλόν, εἶπε, λαβεῖν τὸν ἄρτον τῶν τέκνων, καὶ βαλεῖν τοῖς κυναρίοις· τὴν δὲ τοῦ Ἑκατοντάρχου, φανεὶς πρόθυμος εἰς τὴν τοῦ αἰτήματος αὐτοῦ ἐκπλήρωσιν· Ἐγὼ ἐλθὼν θεραπεύσω αὐτόν. Ἡ Χαναναία, περιφρονουμένη, παῤῥησιάζει τὴν στερεὰν αὐτῆς πίστιν, καὶ τὴν μεγάλην ταπείνωσιν·
Ναί, Κύριε, λέγει, καὶ γὰρ τὰ κυ- Αὐτ. 27.
νάρια ἐσθίει ἀπὸ τῶν ψιχίων τῶν πιπτόντων ἀπὸ τῆς τραπέζης τῶν κυρίων αὐτῶν· ὁ Ἑκατόνταρχος, εἰσακουόμενος καὶ πρὶν ἢ παρακαλέσῃ, ἐκφωνεῖ λόγια τῆς ὑψηλῆς αὐτοῦ πίστεως, καὶ τῆς τελειοτάτης αὐτοῦ εὐλαβείας ἀποδεικτικά.

**Καὶ ἀποκριθεὶς ὁ Ἑκατόνταρχος,** Ματ. η'. 8.
**ἔφη· Κύριε, οὐκ εἰμὶ ἱκανός, ἵνα μου ὑπὸ τὴν στέγην εἰσέλθῃς, ἀλλὰ μόνον εἰπὲ λόγον, καὶ ἰαθήσεται ὁ παῖς μου.**

Ἡ εὐλάβεια τοῦ μεγάλου προφήτου Μωϋσέως ὁμοία ἐστὶ τῇ εὐλαβείᾳ τοῦ Ἑκατοντάρχου. Ἐκεῖνος, ἀκούσας τὴν
Ἐξόδ. γ΄. 6. θείαν φωνὴν, Ἐγώ εἰμι ὁ Θεὸς τοῦ πατρός σου, Θεὸς Ἀβραὰμ, καὶ Θεὸς Ἰσαὰκ, καὶ Θεὸς Ἰακὼβ, ἔστρεψεν εὐθὺς τὸ πρόσωπον αὐτοῦ· διότι ηὐλαβήθη ἰδεῖν τὸν Θεόν· οὗτος δὲ, ἀκούσας τὸ, Ἐγὼ ἐλθὼν θεραπεύσω αὐτὸν, μετὰ εὐλαβείας ἐξεβόησε· Κύριε, οὐκ εἰμὶ ἱκανὸς, ἵνα εἰσέλθῃς ὑπὸ τὴν στέγην τῆς οἰκίας μου. Ταῦτα εἶπεν, ἐπειδὴ ἐνόμιζεν ἑαυτὸν ἀνάξιον τῆς τοιαύτης τιμῆς καὶ χάριτος, ἤγουν τῆς εἰς τὸν οἶκον αὐτοῦ ὑποδοχῆς τοῦ Υἱοῦ τοῦ Θεοῦ. Ἄκουε δὲ καὶ τὴν τελειότητα τῆς πίστεως αὐτοῦ· Ἀλλ' εἰπὲ μόνον λόγον, ἤγουν ἕνα μόνον προστακτικὸν λόγον εἰπὲ, καὶ αὐτὸς ἀρκεῖ πρὸς ἰατρείαν τοῦ δούλου μου. Καὶ τίς ἄλλος δύναται διὰ μόνου τοῦ λόγου ἀποδιῶξαι τὴν σωματικὴν ἀσθένειαν, καὶ δοῦναι τὴν ὑγείαν, εἰμὴ εἷς καὶ μόνος, ὁ τῶν ὅλων Θεός; ὁ Ἑκατόνταρχος λοιπὸν ἐπίστευεν, ὅτι ὁ Ἰησοῦς Χριστὸς, Θεός ἐστιν ἀληθινὸς, παντεξούσιος, καὶ παντοδύναμος. Ἐξηγεῖ δὲ σαφέστερον τὴν πίστιν αὐτοῦ διὰ τοῦ ἐφεξῆς παραδείγματος.

Ματ. η΄. 9. Καὶ γὰρ ἐγὼ ἄνθρωπός εἰμι ὑπὸ ἐξουσίαν, ἔχων ὑπ' ἐμαυτὸν στρατιώτας· καὶ λέγω τούτῳ, Πορεύθητι, καὶ πορεύεται· καὶ ἄλλῳ, Ἔρχου, καὶ ἔρχεται· καὶ τῷ δούλῳ μου, Ποίησον τοῦτο, καὶ ποιεῖ.

Ὁ Θεὸς κρατεῖ ἐν ταῖς χερσὶν αὐτοῦ τὴν ζωὴν καὶ τὸν θάνατον, τὴν ὑγείαν καὶ τὴν ἀσθένειαν, τὰς εὐτυχίας
καὶ δυστυχίας· Κύριος παντοκράτωρ ὄνομα αὐτῷ· Ὅτι ἐν τῇ χειρὶ αὐτοῦ τὰ πέρατα τῆς γῆς, καὶ τὰ ὕψη τῶν ὀρέων αὐτοῦ ἐστιν· Ὅτι αὐτοῦ ἐστὶν ἡ θάλασσα, καὶ αὐτὸς ἐποίησεν αὐτὴν, καὶ τὴν ξηρὰν αἱ χεῖρες αὐτοῦ ἔπλασαν. Ἱερ. ν΄. 34. Ψαλ. ϟδ΄. 4, 5.
Καὶ καθὼς οἱ βασιλεῖς στέλλουσιν ἄλλους μὲν στρατιώτας πρὸς φύλαξιν, ἄλλους δὲ, πρὸς καθαίρεσιν τῶν πόλεων· οὕτω καὶ ὁ Θεὸς εἰς ἄλλους μὲν στέλλει τὴν ζωήν· Καὶ ζωὴ ἐν τῷ θελήματι αὐτοῦ· εἰς ἄλλους δὲ τὸν θάνατον· Καὶ ἀποστελῶ εἰς αὐτοὺς τὸν λιμὸν καὶ τὸν θάνατον. Αὐτ. κθ΄. 5. Ἱερ. κδ΄. 10.
Καὶ καθὼς οἱ δεσπόται πέμπουσι τοὺς δούλους αὐτῶν πρὸς πᾶσαν διακονίαν, οὕτω καὶ ὁ Θεὸς τὴν ὑγείαν στέλλει ἢ τὴν ἀσθένειαν, τὴν εὐτυχίαν ἢ τὴν δυστυχίαν πρὸς πᾶσαν ὑπηρεσίαν τοῦ πανσόφου αὐτοῦ θελήματος· Ὅτι ποτήριον ἐν χειρὶ Κυρίου οἴνου ἀκράτου πλῆρες κεράσματος, καὶ ἔκλινεν ἐκ τούτου εἰς τοῦτο. Ψαλ. οδ΄. 7, 8.
Ταῦτα περὶ τοῦ Χριστοῦ ἐπίστευεν ὁ Ἑκατόνταρχος· ὅθεν ἡ ἔννοια τῶν λόγων αὐτοῦ, αὕτη ἐστί· Κύριε, ἡ ζωὴ καὶ ὁ θάνατος εἰσὶν οἱ στρατιῶταί σου, ἡ ὑγεία καὶ ἡ ἀσθένεια, ἡ εὐτυχία καὶ ἡ δυστυχία, εἰσὶν οἱ δοῦλοί σου· ἐὰν λοιπὸν ἐγὼ, ἄνθρωπος ὢν, εἰς ἄλλους ὑποκείμενος, προστάττω ὅμως τοὺς ὑπὸ τὴν ἐξουσίαν μου στρατιώτας, καὶ αὐτοὶ ὑπακούουσι· κελεύω τὸν δοῦλόν μου, καὶ αὐτὸς ποιεῖ τὸ θέλημά μου· πόσῳ μᾶλλον σὺ, παντοδύναμος ὢν καὶ παντεξούσιος, ἐὰν προστάξῃς τὴν ζωὴν καὶ τὸν θάνατον, ἡ μὲν ἔρχεται, ὁ δὲ φεύγει; ἐὰν μόνον εἴπῃς λόγον, περικαταλαμβάνει εὐθὺς τὸν δοῦλόν μου ἡ ἀνάρρωσις, καὶ φυγαδεύεται ἀπ' αὐτοῦ ἡ παραλυτι-

κὴ

τῇ ἀσθένεια; Καὶ ταῦτα μὲν εἶπεν ὁ Ἑκατόνταρχος.

Ματ. η. 10. Ἀκούσας δὲ ὁ Ἰησοῦς, ἐθαύμασε, καὶ εἶπε τοῖς ἀκολουθοῦσιν· Ἀμὴν λέγω ὑμῖν, οὐδὲ ἐν τῷ Ἰσραὴλ τοσαύτην πίστιν εὗρον.

Μήτηρ τοῦ θάμβους ἐστὶν ἡ ἀμάθεια· διότι ὑπὲρ ἐκείνων τῶν πραγμάτων μόνων θαυμάζομεν, ὧν τοὺς λόγους ἀγνοοῦμεν. Ἐκ τούτου δὲ φανερόν ἐστιν, ὅτι οὐδόλως ἐθαύμασεν ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς, ἀκούσας τοῦ Ἑκατοντάρχου τὴν πίστιν, διότι αὐτὸς οὐ μόνον ὡς Θεὸς, ἀλλὰ καὶ ὡς ἄνθρωπος διὰ τὴν καθ' ὑπόστασιν ἕνωσιν τῆς Θεότητος, καὶ τὰ ἀπόκρυφα τῶν ἀνθρωπίνων λογισμῶν ἐγνώριζε, καὶ τὰ αἴτια πάντων τῶν πραγμάτων ἠπίστατο. Εἶπε δὲ ὁ Εὐαγγελιστὴς τὸ, ἐθαύμασεν, ἵνα κατανοήσωμεν ἡμεῖς, πόσον θαυμαστὸν καὶ παράδοξον πρᾶγμά ἐστι, μία πίστις τόσον τελεία καὶ πλήρης εἰς ἐθνικὸν ἄνθρωπον, ὁποῖος ἦν ὁ Ἑκατόνταρχος. Ὅθεν, στραφεὶς ὁ Κύριος ἡμῶν πρὸς τοὺς ἀκολουθοῦντας αὐτῷ, ἔλεγεν· Ἀμὴν λέγω ὑμῖν, οὐδὲ ἐν τῷ Ἰσραὴλ τοσαύτην πίστιν εὗρον. Σημείωσον δὲ, ὅτι οὐκ εἶπεν ἐν παντὶ τῷ Ἰσραὴλ, ἀλλὰ μόνον ἐν τῷ Ἰσραὴλ, ἵνα ἐξέλῃ τοὺς Πατριάρχας καὶ Προφήτας, τὴν ὑπεραγίαν Θεοτόκον, τὸν βαπτιστὴν Ἰωάννην, τοὺς Ἀποστόλους, καὶ τοὺς λοιποὺς ἁγίους, τοὺς ἐκ τοῦ Ἰσραηλιτικοῦ γένους καταγομένους· καὶ παραστήσῃ, ὅτι ἡ πίστις τοῦ Ἑκατοντάρχου τελειοτέρα ἦν τῆς πίστεως τῶν Ἰσραηλιτῶν, τῶν διδαχθέντων μὲν ὑπὸ τῶν Προφητῶν τὰ περὶ τῆς ἐνανθρωπήσεως αὐτοῦ, καὶ ἰδόντων τὸ πλῆθος τῶν θαυμάτων, καὶ εὐεργετηθέντων ὑπ' αὐτοῦ, μὴ πιστευσάντων δὲ εἰς αὐτόν· διὰ τοῦτο δὲ ἐπιφέρει καὶ τὰ ἑξῆς·

Λέγω δὲ ὑμῖν, ὅτι πολλοὶ ἀπὸ ἀνατολῶν καὶ δυσμῶν ἥξουσι, καὶ ἀνακλιθήσονται μετὰ Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν. Ματ. η. 11.

Ὁ μὲν Προφήτης Ἡσαΐας προεφήτευσε περὶ τῆς εἰς Χριστὸν πίστεως καὶ τῆς σωτηρίας τῶν ἐθνῶν, λέγων· Ἥξουσιν ἐπ' αὐτὸ πάντα τὰ ἔθνη· ἰδοὺ δέδωκά σε εἰς διαθήκην γένους, εἰς φῶς ἐθνῶν, τοῦ εἶναί σε εἰς σωτηρίαν ἕως ἐσχάτου τῆς γῆς· ὁ δὲ Μαλαχίας· Διότι ἀπὸ ἀνατολῶν ἡλίου καὶ ἕως δυσμῶν, τὸ ὄνομά μου δεδόξασται ἐν τοῖς ἔθνεσιν. Ὁ δὲ θεάνθρωπος Ἰησοῦς, ἀφορμὴν λαβὼν ἀπὸ τῆς πίστεως τοῦ ἐθνικοῦ Ἑκατοντάρχου, προφητεύει τὴν ἐγγίζουσαν, καὶ ἀρξαμένην ἤδη ἐπιστροφὴν τῶν ἐθνῶν, καὶ τὴν εἰσέλευσιν αὐτῶν εἰς τὴν οὐράνιον βασιλείαν. Βλέπε δὲ μετὰ πόσης σοφίας καὶ συνέσεως τοῦτο ποιεῖ· ἵνα μὴ σκανδαλίσῃ τοὺς Ἰουδαίους, καὶ φανῇ καταφρονητὴς τῶν διὰ νόμου εὐαρεστησάντων τῷ Θεῷ, οὐκ εἶπε· Πολλοὶ ἐθνικοὶ πιστεύσουσι, καὶ κληρονομήσουσι τὴν βασιλείαν τῶν οὐρανῶν, ἀλλὰ, Πολλοὶ ἀπὸ ἀνατολῶν καὶ δυσμῶν ἥξουσιν. Ἔπειτα μνημονεύει τοῦ Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ, δηλοποιῶν, ὅτι αὐτοὶ ἀπολαμβάνουσι τῆς τοῦ Θεοῦ βασιλείας, καὶ ὅτι οἱ συναυλιζόμενοι καὶ συνανακλινόμε-

Ἡσ. β'. 2. Αυτ. μθ'. 6. Μαλ. α'. 11.

μενοι μετ' αὐτῶν, μέτοχοί εἰσι τῆς θείας δόξης. Οὕτω δὲ τοὺς ἀκροατὰς προδιαθέσας, καὶ πᾶσαν λαβὴν κατηγορίας ἀπὸ τοῦ στόματος αὐτῶν ἁρπάσας, ἐπάγει εὐθὺς τὸ ὑπόλοιπον τῆς προφητείας μέρος.

Ματ. η΄. 12. Οἱ δὲ υἱοὶ τῆς βασιλείας ἐκβληθήσονται εἰς τὸ σκότος τὸ ἐξώτερον· ἐκεῖ ἔσται ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων.

Οἱ μὲν ἐθνικοὶ, οἱ πιστεύσαντες τὴν ἔνσαρκον οἰκονομίαν τοῦ Υἱοῦ τοῦ Θεοῦ, κληρονομήσουσι τὴν βασιλείαν τῶν οὐρανῶν· οἱ δὲ Ἰσραηλῖται, οἱ ἀπιστήσαντες, ἐκβληθήσονται εἰς τὸ σκότος τὸ ἐξώτερον. Υἱοὺς δὲ τῆς βασιλείας ὀνομάζει τοὺς Ἰσραηλίτας, ἐπειδὴ αὐτῶν
Ρωμ. θ΄. 4, 5. ἦσαν ἡ υἱοθεσία, καὶ ἡ δόξα, καὶ αἱ διαθῆκαι, καὶ ἡ νομοθεσία, καὶ ἡ λατρεία, καὶ αἱ ἐπαγγελίαι· Ὧν οἱ πατέρες, καὶ ἐξ ὧν ὁ Χριστὸς κατὰ σάρκα. Αὐτοὶ ἦσαν, περὶ ὧν ὁ Θεὸς διὰ μὲν τοῦ Μωϋσέως
Ἐξόδ. δ΄. 22. ἔλεγε· Σὺ δὲ ἐρεῖς τῷ Φαραὼ, Τάδε λέγει Κύριος· υἱὸς πρωτότοκός μου Ἰσραήλ· διὰ δὲ τοῦ Ἡσαΐου·
Ἡσ. α΄. 2. Υἱοὺς ἐγέννησα καὶ ὕψωσα, αὐτοὶ δέ με ἠθέτησαν. Ἀντεισήχθησαν δὲ οἱ ἐθνικοὶ πιστεύσαντες, ἀντὶ τῶν Ἰσραηλιτῶν, τῶν ἀθετησάντων τὴν πίστιν. Καὶ αὐτή ἐστιν ἡ μυστηριώδης ἀντικατάστασις, περὶ ἧς ὁ μὲν Προφή-
Ὠσ. β΄. 23. της Ὠσηὲ λέγει· Καὶ ἀγαπήσω τὴν οὐκ ἠγαπημένην, καὶ ἐρῶ τῷ οὐ λαῷ μου, Λαός μου εἶ σύ· καὶ αὐτὸς ἐρεῖ, Κύριος ὁ Θεός μου εἶ σύ·
Ρωμ. ια΄. 11, 20. ὁ δὲ θεηγόρος Ἀπόστολος, Τῷ αὐτῶν παραπτώματι ἡ σωτηρία τοῖς ἔθνεσι. Τῇ ἀπιστίᾳ γὰρ ἐξεκλάσθησαν, σὺ δὲ τῇ πίστει ἕστηκας. Σημείωσαι δὲ, ὅτι, ἐπειδὴ εἶπε σκότος ἐξώτερον, ὅπου ἐστὶν ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων, φανερόν ἐστιν, ὅτι καὶ ἄλλο σκότος ἐστὶν, αἰώνιον μὲν, πλὴν ἐλαφρότερον καὶ ἐνδότερον· ὅθεν καθὼς ἐν τῇ οἰκίᾳ τοῦ Ἰωάν. ιδ΄. 2.
Πατρὸς καὶ Θεοῦ πολλαὶ μοναί εἰσιν, ἤγουν πολλαὶ τάξεις καὶ βαθμοὶ δόξης καὶ μακαριότητος· οὕτω καὶ ἐν τῷ ᾅδῃ, πολλαὶ διαιρέσεις τιμωριῶν καὶ βασάνων. Ἐντεῦθεν δὲ μανθάνομεν, ὅτι οὐδὲ πάντες οἱ σωζόμενοι τοῦ αὐτοῦ μέτρου τῆς δόξης ἀπολαμβάνουσιν, οὐδὲ πάντες οἱ κολαζόμενοι τὴν αὐτὴν ὑπομένουσι τιμωρίαν· ἀλλὰ μερίζει ὁ Θεὸς ἑκάστῳ τὸ μέτρον τῆς δόξης, ἢ τῆς κολάσεως, κατὰ ἀναλογίαν τῆς πίστεως καὶ τῶν ἔργων αὐτοῦ. Ταῦτα δὲ προφητεύσας καὶ εἰπὼν ὁ Κύριος, μετέβαλε τὸν λόγον.

Καὶ εἶπεν ὁ Ἰησοῦς τῷ Ἑκατοντάρχῳ· Ὕπαγε, καὶ ὡς ἐπίστευσας γενηθήτω σοι· καὶ ἰάθη ὁ παῖς αὐτοῦ ἐν τῇ ὥρᾳ ἐκείνῃ. Ματ. η΄. 13.

Μεγάλη ἡ πίστις, μέγα καὶ τὸ δῶρον· Ὡς ἐπίστευσας γενηθήτω σοι· σὺ ἐπίστευσας, ὅτι ἐγὼ δύναμαι διὰ μόνου λόγου θεραπεῦσαι τὸν δοῦλόν σου· ἰδοὺ οὖν ἐγὼ διὰ τοῦ λόγου, Γενηθήτω, θεραπεύω τὴν τούτου παράλυσιν· καθὼς λοιπὸν ἐπίστευσας, οὕτω γενηθήτω σοι· λάβε τὸ χάρισμα ἀνάλογον τῇ πίστει σου. Κατ' ἐκείνην δὲ τὴν ὥραν, καθ' ἣν ὁ Κύριος ἐξεφώνησε τὸ, Γενηθήτω σοι, κατὰ τὴν αὐτὴν ἰατρεύθη τοῦ Ἑκατοντάρχου ὁ δοῦλος. Σὺ δὲ παρατήρησον οὐ μόνον τὸ παντοδύναμον τοῦ λόγου, καὶ τῆς ἰατρείας τὸ τάχος,

χος, ἀλλὰ καὶ τὴν φωνὴν, Γεννηθήτω
σοι. Διὰ τῆς φωνῆς, Γεννηθήτω, ἐδη-
μιούργησεν ὁ Θεὸς τὸ φῶς· Γεννηθήτω
Γεν. ά. 3. φῶς· καὶ ἐγένετο φῶς. Διὰ τῆς αὐ-
τῆς φωνῆς, Γεννηθήτω, ἐδίωξε τῶν Δαι-
μόνων τὸ σκότος· Γεννηθήτωσοι ὡς
Ματ. ιέ. θέλεις, εἶπε τῇ Χαναναίᾳ, καὶ ἰά-
28. θη ἡ θυγάτηρ αὐτῆς ἀπὸ τῆς ὥ-
ρας ἐκείνης. Διὰ τῆς φωνῆς, Γεννηθή-
Γεν. ά. τω, ἐποίησε τὸ στερέωμα· Γεννηθήτω
6. στερέωμα· καὶ ἐγένετο οὕτω. Διὰ
τῆς φωνῆς, Γεννηθήτω, ἐστερέωσε τοῦ
παραλύτου τὰ μέλη. Ὡς ἐπίστευσας
γεννηθήτωσοι, εἶπε τῷ Ἑκατοντάρχῳ,
καὶ ἰάθη ὁ παῖς αὐτοῦ ἐν τῇ ὥ-
ρᾳ ἐκείνῃ. Ἡ αὐτὴ φωνὴ, Γεννηθή-
τω, καὶ δημιουργικὴ, καὶ θαυματουργὸς,
ἐπειδὴ εἷς καὶ ὁ αὐτὸς Θεός ἐστιν ὁ δη-
μιουργῶν καὶ θαυματουργῶν· Αὐτὸς Ψαλ. ρμή.
εἶπε, καὶ ἐγενήθησαν, αὐτὸς ἐνε- 5.
τείλατο καὶ ἐκτίσθησαν. Πάντα Αυτ. ρλδ'.
ὅσα ἠθέλησεν, ἐποίησεν ἐν τῷ οὐ- 6.
ρανῷ καὶ ἐν τῇ γῇ, ἐν ταῖς θα-
λάσσαις καὶ ἐν πάσαις ταῖς ἀ-
βύσσοις.

# ΟΜΙΛΙΑ

### ΜΕΤΑ ΤΟ ΚΑΤΑ

# ΜΑΤΘΑΙΟΝ

## ΕΥΑΓΓΕΛΙΟΝ ΤΗΣ Δ'. ΚΥΡΙΑΚΗΣ.

Ὁ Ἑκατόνταρχος, Χριστιανοί, παρέδω-
κεν ἡμῖν μάθημα πολλὰ ψυχωφελὲς καὶ
σωτήριον. Αὐτὸς, πιστεύσας, ὅτι ὁ Ἰη-
σοῦς Χριστός ἐστιν ὁ ἀληθινὸς Θεὸς,
ἐγνώρισε πόσης καθαρότητος χρείαν ἔ-
χει ὅστις πλησιάζει πρὸς αὐτόν· ἐρευ-
νήσας δὲ τὸν βίον καὶ τὰ ἔργα αὐτοῦ,
ἔκρινεν ἑαυτὸν παντελῶς ἀνάξιον τῆς ὑ-
ποδοχῆς τοῦ Θεοῦ· ὅθεν, ὅταν ἤκουσεν,
ὅτι ὁ Κύριος καὶ Θεὸς μέλλει νὰ ἔλθῃ
εἰς τὴν οἰκίαν αὐτοῦ, κἂν ἄνθρωπος ἀ-
ξιωματικὸς ἦν καὶ ἐπίσημος, οὐδεμίαν
συστολὴν ἔλαβεν, ἀλλ' ἔνδον μιᾶς ὁλο-
κλήρου πόλεως, τῆς Καπερναοὺμ, ἐνώ-
πιον παντὸς τοῦ λαοῦ, μετὰ μεγίστης
πίστεως, εὐλαβείας, καὶ ταπεινοφροσύ-
νης, παῤῥησίᾳ, λαμπρᾷ τῇ φωνῇ, εἰς ὑ-
Ματ. ή. πήκοον πάντων ἐβόησε· Κύριε, οὐκ
8. εἰμὶ ἱκανὸς, ἵνα μου ὑπὸ τὴν στέ-
γην εἰσέλθῃς.

Ὦ φωνὴ μακαρία, διδάσκαλος τῶν
προσερχομένων εἰς τὴν μετάληψιν τῶν
θείων Μυστηρίων! Ὦ φωνὴ ἁγία, ἔλεγ-
χος τῶν μεταλαμβανόντων ἀναξίως τὸ
σῶμα καὶ αἷμα τοῦ δεσπότου Χριστοῦ!
Ὁ Ἑκατόνταρχος ἀκούσας, ὅτι ὁ Κύ-
ριος ἔρχεται πρὸς αὐτὸν, οὐκ ἀπετόλ-
μησε νὰ εἰσάξῃ αὐτὸν εἰς τὴν οἰκίαν
αὐτοῦ, τὴν ὑλικὴν καὶ χειροποίητον· ἡ-
μεῖς ἀκούοντες τὸν Θεὸν, διὰ τοῦ Παύ-
λου λέγοντα, ὃς ἂν ἐσθίῃ τὸν ἄρτον Α'. Κορ. ιά.
τοῦτον, ἢ πίνῃ τὸ ποτήριον τοῦ 27.
Κυρίου ἀναξίως, ἔνοχος ἔσται
τοῦ σώματος καὶ αἵματος τοῦ
Κυρίου, αὐθαδιάζοντες εἰσάγομεν αὐ-
τὸν, διὰ τῆς μεταλήψεως τῶν μυστη-
ρίων, ἔνδον τῆς ψυχῆς καὶ τοῦ σώμα-
τος ἡμῶν. Εἰς τὸν Ἑκατόνταρχον ὑπό-
σχεται ὁ Κύριος θεραπείαν· Ἐγὼ ἐλ- Ματ. ή.
θὼν, θεραπεύσω αὐτόν, καὶ ὅμως 7.
αἰ-

αὐτὸς φοβεῖται τὴν ὑποδοχήν· εἰς τοὺς ἀναξίως μεταλαμβάνοντας φοβερίζει ὁ Κύριος ἀσθένειαν καὶ θάνατον· Διὰ τοῦτο ἐν ὑμῖν πολλοὶ ἀσθενεῖς καὶ ἄῤῥωστοι, καὶ κοιμῶνται ἱκανοί, καὶ ὅμως αὐτοὶ ἀφόβως αὐτὸν μεταλαμβάνουσιν. Ὁ Ἑκατόνταρχος οὐδόλως συνεστάλη, ἀλλ' ἐνώπιον παντὸς τοῦ λαοῦ ὡμολόγησε τὴν ἑαυτοῦ ἀναξιότητα· ἡμεῖς, μηδόλως φοβούμενοι, μεταλαμβάνομεν ἀναξίως, ἵνα φανῶμεν εἰς τοὺς ἀνθρώπους ἄξιοι τοῦ μυστηρίου. Τοῦτο δὲ ἴσως συμβαίνει, ἀγαπητοί μου ἀδελφοί, ἢ ἐπειδὴ οὐδεποσῶς στοχαζόμεθα τοῦ μυστηρίου τὸ ὕψος, ἢ ἐπειδὴ οὐδόλως ἐρευνῶμεν τῶν ἁμαρτιῶν ἡμῶν τὸ βάρος, ἢ τέλος πάντων, ἐπειδὴ οὐδὲ τὸ πρῶτον συλλογιζόμεθα, οὐδὲ τὸ δεύτερον εἰς νοῦν λαμβάνομεν.

Α΄. Κορ. ια΄. 30.

Ἀληθῶς ἡμεῖς, ὅταν προσερχώμεθα εἰς τὸ μυστήριον τῆς Θείας Εὐχαριστίας, οὐδὲν ἄλλο βλέπομεν, εἰ μὴ ἄρτον καὶ οἶνον· καὶ ὅταν αὐτὸ μεταλαμβάνωμεν, οὐδὲν ἕτερον αἰσθανόμεθα, εἰ μὴ ποιότητα ἄρτου καὶ οἴνου· ἀλλ' ἡ πίστις νικᾷ τὴν αἴσθησιν· αὐτὴ ἔχει βεβαιότητα μείζονα τῆς τῶν ὀφθαλμῶν, καὶ ἀσφάλειαν περισσοτέραν τῆς γεύσεως, καὶ τῶν λοιπῶν αἰσθήσεων· διότι ἡ μὲν αἴσθησις μόνα τὰ ἔξω, τὰ περὶ τὴν οὐσίαν, τὰ καλούμενα συμβεβηκότα, παρίστησιν εἰς τὸν νοῦν τοῦ ἀνθρώπου· ἡ δὲ πίστις προχωρεῖ εἰς τὰ ἔνδον, καὶ εἰς αὐτὴν τῶν πραγμάτων τὴν οὐσίαν. Διὰ τοῦτο ὁ θεηγόρος Πέτρος, κἂν εἶδε καὶ ἤκουσε, καί, ἵν οὕτως εἴπω, ἐψηλάφησε καὶ τὰ θαύματα, καὶ τὴν μεταμόρφωσιν, καὶ τὸ πάθος, καὶ τὴν ταφήν, καὶ τὴν ἀνάστασιν, καὶ τὴν ἀνάληψιν τοῦ δεσπότου Χριστοῦ, ἐλογίζετο ὅμως τὸν λόγον τῆς πίστεως βεβαιότερον τῶν ἰδίων αἰσθήσεων· ὅθεν καὶ τοὺς προσέχοντας εἰς αὐτὸν μετ' ἐπαίνων ἐστήριζε, λέγων· Καὶ ταύτην τὴν φωνήν, ἤγουν τήν, Οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητός, εἰς ὃν ἐγὼ εὐδόκησα, ἡμεῖς ἠκούσαμεν ἐξ οὐρανοῦ ἐνεχθεῖσαν, σὺν αὐτῷ ὄντες ἐν τῷ ὄρει τῷ ἁγίῳ· καὶ ἔχομεν βεβαιότερον τὸν προφητικὸν λόγον. Οὐ μόνον δὲ ἐλογίζετο τοῦτο, ἀλλὰ καὶ ἐπαινεῖ τοὺς προσέχοντας εἰς τὸν λόγον τῆς πίστεως, καθότι αὐτός, ἕως οὗ ἐσμὲν ἐν τῷ σκότει τοῦ παρόντος βίου, φωτίζει ἡμᾶς, καθὼς φωτίζει ὁ λύχνος τοὺς ἐν σκοτεινῷ τόπῳ· φωτίζει δέ, ἕως ἂν ἀναφανῇ ἡ ἡμέρα τῆς μεταστάσεως ἡμῶν ἐκ τοῦ σκότους τῆς ζωῆς, καὶ ἀνατείλῃ ἐν ταῖς καρδίαις ἡμῶν ὁ φωσφόρος, ἤγουν ἕως ἂν ἴδωμεν αὐτὸν τὸν πιστευόμενον Ἰησοῦν Χριστόν· Ὧ καλῶς ποιεῖτε προσέχοντες, ὡς λύχνῳ φαίνοντι ἐν αὐχμηρῷ τόπῳ, ἕως οὗ ἡμέρα διαυγάσῃ, καὶ φωσφόρος ἀνατείλῃ ἐν ταῖς καρδίαις ὑμῶν.

Β΄. Πέτρ. α΄. 17, 19.

Ὁ παντοδύναμος Θεὸς καὶ διὰ τύπων, καὶ διὰ μεταβολῶν, καὶ διὰ λόγων, καὶ διὰ πραγμάτων ἐπληροφόρησεν ἅπαντας, ὅτι ὁ ἄρτος τοῦ μυστηρίου, ὃν ἐσθίομεν, ἐστὶ τὸ σῶμα τοῦ μονογενοῦς Υἱοῦ αὐτοῦ, καὶ ὁ οἶνος, ὃν πίνομεν, ἐστὶ τὸ ζωοποιὸν αὐτοῦ αἷμα. Πρῶτος ὁ Πατριάρχης ὁ Νῶε, ὁ ἀπὸ τοῦ κατακλυσμοῦ τοῦ ὕδατος τὸ σπέρμα τῆς ἀνθρωπίνης φύσεως διασώσας, φυτεύει ἀμπελῶνα, καὶ πίνει οἶνον· τύπος τοῦ Κυρίου Ἰησοῦ Χριστοῦ, ὅστις ἔσωσε τῶν ἀνθρώπων τὸ γένος ἀπὸ τοῦ κατακλυσμοῦ τῆς ἁμαρτίας, καὶ πρῶτος εὐλόγησε τὸν οἶνον, καὶ μετέβαλεν αὐτὸν εἰς τὸ αἷμα αὐτοῦ. Ὁ πρῶτος ἱερεὺς τοῦ Θεοῦ τοῦ ὑψίστου, ὁ ἀγενεαλόγητος Μελχισεδέκ, ὁ ἀφωμοιωμένος τῷ Υἱῷ τοῦ Θεοῦ, λαμβάνει μὲν τὰς δεκάτας παρὰ τοῦ Ἀβραάμ,

Γεν. θ΄. 20. Ἑβρ. ζ΄. 3.

πρασ-

προσφέρει δὲ, καθ' ὁμοίωσιν αὐτοῦ τοῦ
Υἱοῦ τοῦ Θεοῦ, ἄρτον καὶ οἶνον ἅμα δὲ
καὶ εὐλογίαν, σημαίνων, ὅτι πρώτη ἱε-
ρωσύνη, ἡ εὐλογοῦσα τὴν ἐκ περιτομῆς
ἱερωσύνην, τὴν ἐξ Ἀβραὰμ καταγομένην,
ἐστὶν ἡ ἐξ ἀκροβυστίας, ἤγουν ἡ κατὰ
Χριστὸν, ἥτις προσφέρει ἄρτον καὶ οἶ-
νον, δι' εὐλογίας μεταβάλλουσα αὐτὰ εἰς
τὸ σῶμα καὶ αἷμα τοῦ Κυρίου Ἰησοῦ,
τοῦ κατὰ σάρκα υἱοῦ τοῦ Ἀβραάμ. Προ-
στάττει ὁ Θεὸς τοὺς Ἰσραηλίτας, λέ-
Ἐξόδ. ιβ'. 5. γων· Λάβετε πρόβατον τέλειον, καὶ
σφάξαντες αὐτὸ φάγετε· ἀλείψατε δὲ
διὰ τοῦ αἵματος αὐτοῦ τοὺς δύω στα-
Αὐτ. 7. θμοὺς, καὶ τὴν φλιὰν, ἐν τοῖς οἴ-
κοις ἐν οἷς ἐὰν φάγωσιν αὐτὰ ἐν
αὐτοῖς. Καὶ τὸ μὲν πρόβατον σύμβο-
Ἡσ. νγ'. 7. λόν ἐστι τοῦ ὡς πρόβατον ἐπὶ σφα-
γὴν ἀχθέντος Ἰησοῦ Χριστοῦ, οὗ τὸ
σῶμα ἡμεῖς μεταλαμβάνομεν· τὸ δὲ αἷμα
τοῦ προβάτου, τύπος τοῦ δεσποτικοῦ αἵ-
ματος, δι' οὗ κατὰ μὲν τὸ ὁρώμενον ἁ-
γιάζομεν τὰ δύω χείλη καὶ τὴν γλῶσ-
σαν, κατὰ δὲ τὸ νοούμενον χάριτος πλη-
ροῦμεν τὸ λογικὸν καὶ θυμοειδὲς καὶ ἐ-
πιθυμητικὸν τῆς ψυχῆς.

Μετὰ δὲ ταῦτα, ἵνα βεβαιώσῃ ἡ-
μᾶς ὁ Θεὸς, ὅτι ἐν τῇ θείᾳ Εὐχαριστίᾳ
ὁ μὲν ἄρτος μεταβάλλεται εἰς τὸ ζωη-
φόρον σῶμα τοῦ Ἰησοῦ Χριστοῦ, ὁ δὲ
οἶνος εἰς τὸ ζωοποιὸν αὐτοῦ αἷμα, ἄλ-
λας μεταβολὰς ὁμοίας προκατασκευάσας
ἀπέδειξεν· ὅθεν ὁ μὲν Μωϋσῆς, εἰς τὴν
Αἴγυπτον, τοῦ ποταμοῦ τὸ ὕδωρ μετέ-
Ἐξόδ. ζ'. 20. βαλεν εἰς αἷμα· Καὶ μετέβαλε πᾶν
τὸ ὕδωρ τὸ ἐν τῷ ποταμῷ εἰς αἷ-
μα· ὁ δὲ μονογενὴς Υἱὸς τοῦ Θεοῦ, ἐν
Κανᾷ τῆς Γαλιλαίας, εἰς οἶνον μετέβα-
Ἰωάν. β'. 9. λε τὸ ἐν ταῖς ὑδρίαις ὕδωρ· Ὡς δὲ ἐ-
γεύσατο ὁ ἀρχιτρίκλινος τὸ ὕδωρ
οἶνον γεγενημένον, φωνεῖ τὸν νυμ-
φίον ὁ ἀρχιτρίκλινος.

Μετὰ δὲ τοὺς τύπους, καὶ τῶν με-
ταβολῶν τὰ παραδείγματα, τότε παῤ-
ῥησίᾳ ἤρξατο ὁ Θεάνθρωπος λέγειν·
Ἐγώ εἰμι ὁ ἄρτος ὁ ζῶν, ὁ ἐκ τοῦ Ἰωάν. ς'. 51.
οὐρανοῦ καταβάς· ἐάν τις φάγῃ
ἐκ τούτου τοῦ ἄρτου, ζήσεται εἰς
τὸν αἰῶνα· καὶ ὁ ἄρτος δὲ, ὃν ἐ-
γὼ δώσω, ἡ σάρξ μου ἐστὶν, ἣν ἐ-
γὼ δώσω ὑπὲρ τῆς τοῦ κόσμου
ζωῆς. Ταῦτα δὲ αὐτοῦ διδάσκοντος, μά-
χονται μὲν πρὸς ἀλλήλους οἱ Ἰουδαῖοι·
Καὶ πῶς, λέγουσι, δύναται οὗτος Αὐτ. 52.
ἡμῖν δοῦναι τὴν σάρκα φαγεῖν;
τοσοῦτον δὲ σκανδαλίζονται πολλοὶ τῶν
μαθητῶν αὐτοῦ, ὥστε παῤῥησίᾳ κατη-
γοροῦσι αὐτὸν, λέγοντες· Σκληρός ἐ- Αὐτ. 60.
στι, τίς δύναται αὐτοῦ ἀκούειν;
Αὐτὸς δὲ ἐπιβεβαιοῖ τὸν λόγον αὐτοῦ,
δηλοποιῶν ἅμα καὶ τὴν ἀνάγκην τῆς
μεταλήψεως τοῦ Μυστηρίου· Ἀμὴν, Αὐτ. 53.
ἀμὴν λέγω ὑμῖν, ἐὰν μὴ φάγητε
τὴν σάρκα τοῦ Υἱοῦ τοῦ ἀνθρώ-
που, καὶ πίητε αὐτοῦ τὸ αἷμα,
οὐκ ἔχετε ζωὴν ἐν ἑαυτοῖς. Καὶ
ταῦτα μὲν ἐδίδαξε τότε ὁ Θεάνθρωπος
ἐν τῇ Καπερναούμ· ὅτε δὲ ἦλθεν ἡ ἑ-
σπέρα τοῦ μυστηρίου, τότε, ἐν τῇ ἁγίᾳ
Σιὼν ἀνακείμενος μετὰ τῶν δώδεκα Ἀπο-
στόλων, λαβὼν ἐν ταῖς ἁγίαις αὐτοῦ χερ-
σὶ τὸν ἄρτον, καὶ εὐλογήσας, διέκοψε, καὶ
ἔδωκε τοῖς μαθηταῖς αὐτοῦ καὶ εἶπε·
Λάβετε φάγετε· τοῦτό ἐστι τὸ Ματ. κς'. 26, 28.
σῶμά μου. Καὶ λαβὼν τὸ ποτή-
ριον, καὶ εὐχαριστήσας, ἔδωκεν
αὐτοῖς, λέγων· Πίετε ἐξ αὐτοῦ
πάντες· τοῦτο γάρ ἐστι τὸ αἷμά
μου.

Χριστιανὲ λοιπὸν, σὺ μὲν ἄρτον
βλέπεις, ἀλλὰ σὺ πιστεύεις, ὅτι αὐτὸ
ἐστι τὸ σῶμα τοῦ Κυρίου σου· οἶνον
βλέπεις, ἀλλ' ὁ δεσποτικὸς λόγος πεί-
θει σε, ὅτι αὐτό ἐστι τοῦ Κυρίου σου τὸ
αἷμα· ἡ πίστις σου νικᾷ τὴν αἴσθησίν
σου. Καθὼς δὲ ὅσοι εἶδον τὸν Ἰησοῦν

Χρισ-

Χριστὸν ἐν τῇ γῇ περιπατοῦντα, καὶ ἐπίστευσαν αὐτῷ, διὰ μὲν τῶν σωματικῶν ὀφθαλμῶν ἔβλεπον ἄνθρωπον, διὰ δὲ τῆς πίστεως τῆς ἐν τῇ ψυχῇ αὐτῶν ὡμολόγουν αὐτὸν Θεόν· οὕτω καὶ σὺ διὰ μὲν τῶν ὀμμάτων τοῦ σώματος βλέπεις ἄρτον καὶ οἶνον, διὰ δὲ τοῦ φωτὸς τῆς πίστεως πιστεύεις, ὅτι ὁ ἄρτος ἐστὶ τὸ σῶμα, καὶ ὁ οἶνός ἐστι τὸ αἷμα τοῦ Δεσπότου σου· πιστεύων δὲ ἐκεῖνο, ὅπερ οὐ βλέπεις, μᾶλλον δὲ ἄλλο ἐκείνου, ὅπερ
Ἰωάν. κ΄. 29. βλέπεις, γίνεσαι μακάριος· Μακάριοι, λέγει ὁ Κύριος, οἱ μὴ ἰδόντες καὶ πιστεύσαντες. Ἐὰν ἔβλεπες τὸ σῶμα καὶ τὸ αἷμα τοῦ Κυρίου σου, τότε οὐδόλως εἶχες χρείαν τῆς πίστεως· ἐπειδὴ οὐχὶ τὰ ὁρώμενα, ἀλλὰ τὰ μὴ βλεπόμενα
Ἑβρ. ια΄. 1. πιστεύομεν· Ἔστι γὰρ πίστις ἐλπιζομένων ὑπόστασις, πραγμάτων ἔλεγχος οὐ βλεπομένων· ὅθεν οὐδὲ τοῦ μακαρισμοῦ τῆς πίστεως ὑπῆρχες τότε ἄξιος. Διὰ τοῦτο οὖν ἡ παντοδύναμος τοῦ Ὑψίστου δεξιὰ ἐπικαλύπτει, ἐν τῷ μυστηρίῳ τῆς Εὐχαριστίας, τὸ σῶμα καὶ αἷμα τοῦ Υἱοῦ αὐτοῦ διὰ τῶν συμβεβηκότων τοῦ ἄρτου καὶ τοῦ οἴνου, ἵνα, βλέποντες τὸν ἄρτον, καὶ πιστεύοντες, ὅτι ἐστὶ τὸ σῶμα, καὶ βλέποντες τὸν οἶνον, καὶ πιστεύοντες, ὅτι ἐστὶ τοῦ Ἰησοῦ Χριστοῦ τὸ αἷμα, ἀπολαμβάνωμεν τὸν ἀμαράντινον τῆς πίστεως στέφανον. Πρὸς τούτοις, ἐὰν ἔβλεπες γυμνὸν καὶ ἀπαρακάλυπτον τὸ σῶμα καὶ αἷμα τοῦ Κυρίου σου, πῶς ἦν δυνατὸν νὰ πλησιάσῃς καὶ μεταλάβῃς αὐτά;

Ἐξ. λδ΄. Ὁ Μωϋσῆς, καταβὰς ἀπὸ τοῦ ὄρους
30, 33. Σινᾶ, ἐν ὅσῳ ἀσκέπαστον εἶχε τὸ δοξασθὲν αὐτοῦ πρόσωπον, οὐκ ἠδύναντο οἱ Ἰσραηλῖται διὰ τὴν ἔλλαμψιν τῆς δόξης ἐνατενίσαι καὶ ἰδεῖν αὐτό· ὅταν δὲ τὸ πρόσωπον αὐτοῦ ἐσκέπαζε, τότε ἐπλησίαζον πρὸς αὐτὸν, καὶ ἤκουον τὴν φωνὴν αὐτοῦ· ὁ Μωϋσῆς οὖν τότε, ἀκάλυπτος μὲν, ἐγίνετο ἀπρόσιτος· κεκαλυμμένος δὲ, ἐγίνετο προσιτός. Ἐὰν τὸ μυστήριον τῆς Εὐχαριστίας ἔμενε παντελῶς ἀπαρακάλυπτον, αὐτὸ ἦν ἀναμφιβόλως ἀπρόσιτον· ἐὰν ἔβλεπες τὸ ὑπερένδοξον καὶ τεθεωμένον σῶμα καὶ αἷμα τοῦ Υἱοῦ τοῦ Θεοῦ, οὐχὶ μόνον οὐκ εἶχες δύναμιν νὰ πλησιάσῃς καὶ μεταλάβῃς, ἀλλ' οὐδὲ κἂν νὰ ἐνατενίσῃς τὰς ὄψεις ἐπ' αὐτό· ἔτρεμες τότε, ἔφριττες, ἔφευγες, ἢ ἔπιπτες· καλύπτει σὺν αὐτὰ ἡ πανάγαθος καὶ παντοδύναμος πρόνοια τοῦ Θεοῦ διὰ τῶν συμβεβηκότων τοῦ ἄρτου καὶ τοῦ οἴνου, καὶ οὕτω γίνονται οὐχὶ μόνον προσιτὰ, ἀλλὰ καὶ μεταληπτά· καὶ τοῦτο δεύτερον αἴτιον τοῦ μυστηριώδους τούτου καλύμματος. Ἀναγκαῖον τὸ κάλυμμα εἰς τὸ πρόσωπον τοῦ Μωϋσέως, ἵνα πλησιάζωσιν αὐτὸν οἱ Ἰσραηλῖται· πολλῷ ἀναγκαιότερον τὸ κάλυμμα εἰς τὸ μυστήριον τῆς Εὐχαριστίας, ἵνα ἡμεῖς αὐτὸ μεταλαμβάνωμεν. Ἐκεῖνο τὸ ὑλικὸν κάλυμμα τύπος ἦν τοῦ μυστηριώδους τούτου καλύμματος· ἐκεῖνο καταληπτὸν, τοῦτο ἀκατάληπτον· ἐκεῖνο ἐσκέπαζε τὸ πρόσωπον τοῦ Μωϋσέως, τοῦτο καλύπτει τὸ θεῖον σῶμα καὶ αἷμα τοῦ μονογενοῦς Υἱοῦ τοῦ Θεοῦ· τὸ πρᾶγμα τοῦτο, μυστήριον τῶν μυστηρίων ἀκατανόητον, ὑπερβαῖνον πάντας τοὺς ὅρους τῆς φύσεως, οὐδὲ λόγῳ πολυπραγμονούμενον, οὐδὲ ἀνθρωπίνοις λογισμοῖς περιλαμβανόμενον, πίστει δὲ μόνῃ κατανοούμενον, καὶ πιστευόμενον, καὶ λατρευόμενον.

Ἐκ τούτου ὁ μὲν ἄπιστος, βλέπων τὸν ἄρτον καὶ τὸν οἶνον, καὶ ἀκούων, ὅτι ἐστὶ τὸ σῶμα καὶ τὸ αἷμα τοῦ Ἰησοῦ Χριστοῦ, γελᾷ καὶ περιπαίζει· ὁ δὲ αἱρετικὸς, ζητῶν παραλόγως τὸν φυσικὸν τῆς μεταβολῆς λόγον εἰς τὸ ὑπὲρ φύσιν καὶ λόγον μυστήριον, καὶ μὴ δυνάμενος εὑρεῖν αὐτὸν, μωρολογεῖ, λέγων, ὅτι ὁ ἄρ-

τος

τος καὶ ὁ οἶνος τῆς Εὐχαριστίας τύπος
μόνον ἐστὶ τοῦ σώματος καὶ αἵματος
τοῦ Χριστοῦ. Ἡμεῖς δὲ οἱ πιστοὶ καὶ
ὀρθόδοξοι βλέπομεν, καὶ μετὰ τὴν μυ-
στηριώδη εὐλογίαν, ἄρτον καὶ οἶνον, ἀλ-
Ματ. κς'. λ' ἀκούοντες τοῦ Θεοῦ τὴν φωνὴν, Τοῦ-
26, 27. τό ἐστι τὸ σῶμά μου, καὶ, τοῦτό
Β'.Πέτρ. ἐστι τὸ αἷμά μου, ἔχομεν τὸν λό-
α'. 19. γον τῆς πίστεως βεβαιότερον τῆς ὁ-
ρατικῆς δυνάμεως· γνωρίζομεν, ὅτι ἡ μυ-
στηριώδης μεταβολὴ οὐ γίνεται κατὰ
φυσικὸν λόγον, ὁμολογοῦμεν δὲ, ὅτι ἐπι-
τελεῖται διὰ τῆς θείας καὶ παντοδυνά-
μου χάριτος. Καὶ καθὼς μηδὲ τὸν φυ-
σικὸν λόγον, μηδὲ τὸν τρόπον ζητοῦντες,
πιστεύομεν, ὅτι ὁ Θεὸς ἕν ἐστι καὶ
τρία, καὶ ὅτι ὁ Θεὸς ἐγένετο ἄνθρωπος,
καὶ ὅτι ἡ Μήτηρ τοῦ Θεοῦ παρθένος ἔ-
τεκε, καὶ παρθένος ἔμεινε, καὶ πάντα
τὰ λοιπὰ ἀκατάληπτα τῆς πίστεως μυ-
στήρια· οὕτως ὁμολογοῦμεν, ὅτι, ἐν τῇ
θείᾳ Εὐχαριστίᾳ, μενόντων τῶν συμβε-
βηκότων τοῦ ἄρτου καὶ τοῦ οἴνου, ἡ μὲν
οὐσία τοῦ ἄρτου μεταβάλλεται εἰς τὸ
σῶμα τοῦ Ἰησοῦ Χριστοῦ, ἡ δὲ οὐσία
τοῦ οἴνου εἰς τὸ αἷμα αὐτοῦ, κἂν μὴ
δυνάμεθα νὰ νοήσωμεν τὸν λόγον, καὶ
τὸ πῶς.

Ὥστε, ὅταν προσερχώμεθα εἰς τὴν
μετάληψιν τῶν μυστηρίων, ἡμεῖς πλησιά-
ζομεν εἰς τὸν Θεὸν, θέλοντες, ἵνα ἑνω-
θῶμεν μετ' αὐτοῦ. Πρέπει λοιπὸν νὰ
συλλογισθῶμεν τίς ἐστιν ὁ Θεὸς, ποῖοι
ἡμεῖς, καὶ πόσον μισεῖ ὁ Θεὸς τὴν ἁ-
μαρτίαν. Ὁ Θεός ἐστι πανακήρατος καὶ
πανάγιος, μᾶλλον δὲ ἡ αὐτοαγιωσύνη·
ἡμεῖς, βεβορβορωμένοι καὶ ἁμαρτωλοὶ,
πάσης ἀνομίας καὶ ἀκαθαρσίας κατα-
γώγια. Ἐφανέρωσε δὲ ὁ Θεὸς πόσον ἀ-
ποστρέφεται τὴν ἁμαρτίαν, ὅταν ἐκήρυ-
Ψαλ. ε'. ξε διὰ τῶν Προφητῶν, ὅτι οὐδόλως δύνα-
4, 6. ται, οὐδὲ κἂν πρὸς ὀλίγον, νὰ πλησιά-
σῃ πρὸς αὐτὸν ὁ πονηρὸς ἄνθρωπος· ὅτι
οὐδόλως δύνανται τὰ παρασταθῶσιν ἔμ-
προσθεν τῶν ὀφθαλμῶν αὐτοῦ οἱ πα-
ράνομοι· ὅτι μισεῖ πάντας τοὺς ἐργαζο-
μένους τὴν ἀνομίαν, ἀφανίζει πάντας
τοὺς λαλοῦντας τὸ ψεῦδος, βδελύσσεται
τὸν ἄνδρα τὸν φονέα καὶ τὸν δόλιον. Ἐ-
φανέρωσε πόσον ἀποστρέφεται τὴν ἁμαρ-
τίαν, ὅταν δὶ αὐτὴν ἐπαίδευσε τοὺς Ἀγ-
γέλους, ἐξώρισε τοὺς πρωτοπλάστους,
κατέκλυσε τὸν κόσμον, ἔβρεξε πῦρ καὶ
θεῖον εἰς τὰ Σόδομα, ἐμάστιξε τὴν Αἴ-
γυπτον, ἔστρεψε τὴν θάλασσαν, ἔσχισε
τὴν γῆν, ἐξήλειψε τὰ ἔθνη τὰ ἄνομα,
παρέδωκεν εἰς ἀφανισμὸν καὶ αὐτὴν τὴν
πόλιν τὴν ἁγίαν, τὴν Ἱερουσαλήμ. Ἐ-
φανέρωσε τὸ ἄπειρον βάρος τῆς ἁμαρ-
τίας, ὅταν ἔδειξεν, ὅτι διὰ τὴν αὐτῆς ἐ-
ξάλειψιν, καὶ τὴν σωτηρίαν τῶν ἁμαρ-
τωλῶν, ἀπέθανε διὰ σταυρικοῦ θανάτου
ὁ ἀναμάρτητος, καὶ μονογενὴς αὐτοῦ Υἱός.
Πῶς λοιπὸν ἡμεῖς; ἁμαρτωλοὶ ὄντες, πλη-
σιάζομεν εἰς αὐτόν; πῶς, πεπληρωμένοι
ὄντες πάσης ἀνομίας, προσερχόμεθα εἰς
τὴν τράπεζαν τῶν ἀχράντων καὶ φρι-
κτῶν αὐτοῦ μυστηρίων;

Ἤκουσας ποτὲ, πόσην καθαρότητα
ζητεῖ ὁ Θεὸς ἀπὸ τῶν θελόντων πλησιά-
σαι πρὸς αὐτόν; Ὅτε ὁ Θεὸς ἠθέλησεν,
ἵνα οἱ Ἰσραηλῖται πλησιάσωσιν εἰς τὸ
ὄρος τὸ Σινᾶ, ὅπου αὐτὸς κατέβη, τότε
εἶπε πρὸς τὸν Μωϋσῆν· Καταβὰς δια- Ἐξ. ιθ'.
μάρτυραι τῷ λαῷ, καὶ ἅγνισον 10, 11.
αὐτοὺς σήμερον καὶ αὔριον, καὶ
πλυνάτωσαν τὰ ἱμάτια, καὶ ἔ-
στωσαν ἕτοιμοι εἰς τὴν ἡμέραν τὴν
τρίτην. Ἀκούεις; Κάθαρσις· Ἅγνισον
αὐτούς· πλύσις· Καὶ πλυνάτωσαν
τὰ ἱμάτια· ἑτοιμασία τριήμερος· Καὶ
ἔστωσαν ἕτοιμοι εἰς τὴν ἡμέραν
τὴν τρίτην. Τόσην ἑτοιμασίαν ποιεῖ
ὁ λαὸς τοῦ Ἰσραὴλ, οὐχ ἵνα ἀνέβῃ ἐ-
πάνω εἰς τὴν κορυφὴν τοῦ ὄρους Σινᾶ,
ὅπου κατέβη ὁ Θεὸς, ἀλλ' ἵνα σταθῇ

κάτω, κύκλῳ τῆς ὑπωρείας τοῦ ὄρους· μετὰ δὲ τὴν τοσαύτην ἑτοιμασίαν οὐδεὶς ἐτόλμα οὐχὶ μόνον ἵνα ἀνέβῃ εἰς τὸ ὄρος, ἀλλ' οὐδὲ κἂν νὰ ψηλαφήσῃ αὐτό·
Ἐξ. ιθ΄. 12. Προσέχετε ἑαυτοῖς τοῦ ἀναβῆναι εἰς τὸ ὄρος, καὶ θίγειν τι αὐτοῦ· οὐαὶ δὲ εἰς ἐκεῖνον, ὅστις ἀπετόλμα νὰ ψηλαφήσῃ τὸ ὄρος· τόξου βέλος, λιθοβόλημα, θάνατος ἦν ἡ τιμωρία αὐτοῦ·
Αυτ. 13. Πᾶς ὁ ἁψάμενος τοῦ ὄρους, θανάτῳ τελευτήσει· οὐχ ἅψεται αὐτοῦ χείρ· ἐν γὰρ λίθοις λιθοβοληθήσεται, ἢ βολίδι κατατοξευθήσεται· ἐξαίρεσις δὲ οὐδεμία· Ἐάν τε κτῆνος, ἐάν τε ἄνθρωπος, οὐ ζήσεται. Σὺ λοιπὸν, ὅστις πλησιάζεις οὐχὶ εἰς τὸ ὄρος, ἀλλ' εἰς τὸν Θεόν· σὺ, λέγω, ὅστις οὐ ψηλαφᾷς τὸ Σινᾶ, ἀλλὰ καὶ ψηλαφᾷς καὶ μεταλαμβάνεις τὸ σῶμα καὶ τὸ αἷμα τοῦ Υἱοῦ τοῦ Θεοῦ, ποίαν ἑτοιμασίαν ποιεῖς; καθαρίζεις πρῶτον τὴν ψυχήν σου διὰ τῆς μετανοίας; πλύνεις τοὺς ῥύπους καὶ τὰς ἀκαθαρσίας τῆς καρδίας διὰ τῶν δακρύων σου; ἑτοιμάζεσαι κἂν πρὸ τριῶν ἡμερῶν διὰ προσευχῆς, καὶ νηστείας, καὶ τῶν ἄλλων θεαρέστων πράξεων; σὺ καταδαπανᾷς μὲν ὅλον τὸν καιρὸν τῆς νηστείας, τὸν ὑπὸ τῆς Ἐκκλησίας διωρισμένον διὰ τὴν ἑτοιμασίαν τῆς θείας μεταλήψεως, εἰς τὰς σωματικὰς μερίμνας καὶ φροντίδας, περιμένεις δὲ τὴν ἐσχάτην καὶ τελευταίαν ἡμέραν τῆς νηστείας, ἵνα ἔλθῃς πρὸς τὸν πνευματικόν σου πατέρα· τότε δὲ σὺ μὲν μόλις μετὰ πολλῆς σπουδῆς προφθάνεις νὰ ἐξαγγείλῃς ἐκεῖνα τὰ ἁμαρτήματα, ὅσα ἡ μνήμη σου τότε ὑπαγορεύει· οὐδὲ δάκρυον χέεις, οὐδὲ ἀπόφασιν ποιεῖς διορθώσεως καὶ ἐπιστροφῆς· ἐκεῖνος δὲ, βλέπων τὸ περιμένον πλῆθος τῶν ἐξομολογηθησομένων, καὶ σπουδάζων, ἵνα ἀκούσῃ πάντων τὴν ἐξομολόγησιν, οὐδὲ ἐλέγχει σε ὡς πρέπει, οὐδὲ σε νουθετεῖ κατὰ τὸ χρέος αὐτοῦ· καὶ οὕτως, αὐτὸς μὲν μετὰ πολλῆς ταχύτητος ἀναγινώσκει σοι τὴν συγχωρητικὴν εὐχὴν, σὺ δὲ τὴν αὔριον, ἢ, ἂν τύχῃ, τὴν αὐτὴν ὥραν, τολμᾷς ἀνυποστόλως, καὶ μεταλαμβάνεις ἀφόβως τὸ σῶμα καὶ αἷμα τοῦ Κυρίου σου Ἰησοῦ Χριστοῦ.

Ἐὰν ὁ Θεὸς ἐπαῤῥησιάζετο εἰς τὴν ἁγίαν τράπεζαν, καθὼς ἐφάνη ἐπάνω
εἰς τὸ ὄρος τὸ Σινᾶ, αἱ φωναὶ καὶ ἀ- Ἐξ. ιθ΄. 16, 18.
στραπαὶ, ἡ γνοφώδης νεφέλη, καὶ ὁ φοβερὸς ἦχος τῆς σάλπιγγος, ἐφόβουν ἡμᾶς, καθὼς ἐφόβησαν τότε τοὺς ὄντας ἐν τῇ παρεμβολῇ· καὶ τὸ πῦρ ἐκεῖνο, καὶ ὁ καπνὸς ὁ ἀναβαίνων ὡς ἀπὸ καμίνου καιομένης, ἐποίει ἡμᾶς ἐκστατικοὺς σφόδρα, καθὼς τότε τὸν λαὸν τοῦ Ἰσραήλ. Ἐὰν ὁ Θεὸς ἐφαίνετο ἐπάνω εἰς τὸ θυσιαστήριον, καθὼς ἐφανερώθη
ἐπάνω εἰς τὸ ὄρος τὸ Χωρὴβ, τὸ πνεῦ- Γ΄. Βασιλ. ιθ΄. 11, 13
μα τὸ μέγα καὶ κραταιὸν τὸ διαλῦον τὰ ὄρη, καὶ συντρίβον τὰς πέτρας, καὶ ὁ συσεισμὸς ὁ φοβερὸς ἔστρεφεν ἡμᾶς εἰς τὰ ὀπίσω· ἐκαλύπταμεν βέβαια καὶ ἡμεῖς τὸ πρόσωπον ἡμῶν, καὶ φεύγοντες ἐκρυπτόμεθα ὑπὸ τὰ σπήλαια, καθάπερ τότε ὁ Ἠλίας ὁ μεγαλώνυμος. Ἐὰν, κατὰ τὴν ὥραν τῆς τελετῆς τοῦ μυστηρίου, ἐφανε-
ροῦτο ὁ Υἱὸς τοῦ ἀνθρώπου μετὰ Δαν. ζ΄. 13.
τῶν νεφελῶν τοῦ οὐρανοῦ ἐρχό- Αυτ. 10
μενος, ἐβλέπαμεν δὲ ποταμὸν πύρινον ἔμπροσθεν αὐτοῦ, καὶ χιλίας χιλιάδας Ἀγγέλων λειτουργούντων αὐτῷ, καὶ μυρίας μυριάδας Ἀρχαγγέλων παρεστηκότων ἐνώπιον αὐτοῦ, καθὼς ἐπαῤῥησιάσθη εἰς τὴν Βαβυλῶνα ἐνώπιον τοῦ Δανιὴλ, ἔφριττεν ἀναμφιβόλως τὸ πνεῦμα, καὶ ἐταράττοντο οἱ διαλογισμοὶ τῆς ψυχῆς, καὶ ἠλλοιοῦτο ἡ μορφὴ τοῦ προσώπου ἡμῶν, καθὼς τότε ἡ τοῦ μεγάλου προφήτου Δανιήλ. Ἐὰν ἔβλεπες, Χρι-

στια-

στιακὸ, ὅταν πλησιάζῃς εἰς τὴν μετάλη-
Ἠσ. ϛ'. ψιν τοῦ μυστηρίου, τὸν Κύριον καθή-
1. μενον ἐπὶ θρόνου ὑψηλοῦ καὶ ἐ-
πηρμένου, καὶ πλήρη δόξης τὸν οἶκον
αὐτοῦ, καὶ Σεραφὶμ ἑξαπτέρυγα κύκλῳ
αὐτοῦ, ταῖς μὲν δυσὶ τῶν πτερύγων κα-
τακαλύπτοντα τὰ πρόσωπα, ταῖς δὲ δυ-
σὶ τοὺς πόδας, ταῖς δὲ δυσὶ πετόμενα,
Αὐτ. 3. καὶ κραυγάζοντα, καὶ λέγοντα, Ἅγιος,
ἅγιος, ἅγιος, Κύριος Σαβαὼθ, πλή-
ρης πᾶσα ἡ γῆ τῆς δόξης αὐτοῦ·
καὶ ἔβλεπες εἰς τὴν χεῖρα τοῦ ἱερέως
τὸν ἄνθρακα, ὃν λαμβάνει διὰ τῆς λα-
βίδος, καὶ ἅπτεται τοῦ στόματός σου,
τότε βέβαια κατενύγετο ἡ καρδία σου
καὶ ἐβόας, ὥσπερ ὁ μεγαλοφωνότατος
Ἡσαΐας· Ὢ ταλαίπωρος ἐγὼ, ἄνθρωπος
ἁμαρτωλὸς ὢν, καὶ ἀκάθαρτα χεί-
λη ἔχων, οὐ μόνον βλέπω, ἀλλὰ καὶ
μεταλαμβάνω τὸν Βασιλέα τῆς δόξης,
καὶ Κύριον Σαβαώθ. Ἐὰν τὴν ὥραν,
καθ' ἣν μεταλαμβάνεις, ἔβλεπες μίαν
μόνην ἀκτῖνα τῆς θείας δόξης, ἐτρόμα-
ζες τότε, καὶ μὴ δυνάμενος στῆσαι τοὺς
πόδας σου, ἔπιπτες ἐπὶ πρόσωπον, κα-
θὼς ἔπεσον οἱ μαθηταὶ τοῦ Χριστοῦ,
ὅτε ἐν τῷ Θαβωρείῳ ὄρει ἔλαμψεν ἡ θεία
δόξα τοῦ προσώπου αὐτοῦ.

Ταῦτα ἀληθῶς οὐ βλέπετε· ἀλλ'
οὐκ ἠκούσατε τί ἔπαθεν ὁ Ὀζὰ, ὅταν
αὐθαδῶς ἔγγιξε τὴν Κιβωτὸν τοῦ Θεοῦ;
Β'. Βασιλ. Ἐθυμώθη Κύριος ὀργῇ τῷ Ὀζὰ,
ϛ'. 7. καὶ ἔπαισεν αὐτὸν ἐκεῖ ὁ Θεὸς,
καὶ ἀπέθανεν ἐκεῖ παρὰ τὴν Κιβω-
τὸν τοῦ Κυρίου ἐνώπιον τοῦ Θεοῦ·
Οὐκ ἐμάθετε τί ἔπαθεν ὁ Ὀζίας, ὅτε
Β'. Παραλ. παρανόμως ἐθυμίασεν ἐν τῷ ναῷ; Ἡ
κϛ'. 19. λέπρα ἀνέτειλεν ἐν τῷ μετώπῳ
αὐτοῦ, ἐναντίον τῶν ἱερέων, ἐν
οἴκῳ Κυρίου, ἐπάνω τοῦ θυσια-
στηρίου τῶν θυμιαμάτων. Οὐκ
ἀνέγνωτε τί συνέβη εἰς τοὺς ἀνευλαβεῖς
καὶ πονηροὺς ἱερεῖς Ὀφνὶ καὶ Φινεὲς,
τοὺς ἀναξίως βαστάζοντας τὴν Κιβωτὸν
τοῦ Κυρίου; Ἔπεσον ἀμφότεροι ἐν τῇ Α'. Βασ.
παρεμβολῇ τοῦ πολέμου, καὶ ἀπέθανον. δ. 11.

Μήπως δὲ, ἐπειδὴ ὁ Θεὸς ἐν τῷ
μυστηρίῳ τῆς Εὐχαριστίας οὐ παῤῥησιά-
ζεται, καθὼς πολλάκις τὸ πάλαι ἐφά-
νη, οὐδὲ παιδεύει τοὺς ἀναξίους καθὼς
πρότερον, διὰ τοῦτο ἡμεῖς καταφρονοῦ-
μεν τοῦ πλούτου τῆς χρηστότη- Ῥωμ. β'.
τος, καὶ τῆς ἀνοχῆς, καὶ τῆς μα- 4.
κροθυμίας αὐτοῦ; Ἀλλ' ἐὰν οὕτως
ἔχῃ, οὐαὶ ἡμῖν! διότι, κατὰ τὴν σκλη-
ρότητα, καὶ ἀμετανόητον καρδίαν ἡμῶν,
θησαυρίζομεν ἑαυτοῖς ὀργὴν ἐν ἡμέρᾳ
ὀργῆς, καὶ ἀποκαλύψεως δικαιοκρισίας
τοῦ Θεοῦ· ἐπειδὴ, ὁ ἐσθίων καὶ πί- Α'. Κορ.
νων ἀναξίως, κρῖμα ἑαυτῷ ἐσθίει ια'. 29.
καὶ πίνει, μὴ διακρίνων τὸ σῶ-
μα τοῦ Κυρίου. Τοῦτο δὲ τὸ κρῖμα
ἐπάγει οὐχὶ μόνον ποικίλα παθήματα
καὶ ἀῤῥωστίας καὶ θάνατον, καθὼς ἐ-
σημείωσεν ὁ θεῖος Ἀπόστολος, γρά-
φων πρὸς τοὺς Κορινθίους· Διὰ τοῦτο Αὐτόθι.
ἐν ὑμῖν πολλοὶ ἀσθενεῖς καὶ ἄῤ- 30.
ῥωστοι, καὶ κοιμῶνται ἱκανοί·
ἀλλὰ καὶ τὴν αἰώνιον κόλασιν ἐν τῇ ἡ-
μέρᾳ ἐκείνῃ, ὅτε ὁ Θεὸς ἀποδώσει ἑ- Ῥωμ. β'
κάστῳ κατὰ τὰ ἔργα αὐτοῦ, ὡς 6.
ἐδήλωσεν ἡμῖν ὁ τῶν ὅλων Κύριος, λέ-
γων· Τότε ἄρξεσθε λέγειν· Ἐφά- Λουκ. ιγ'.
γομεν ἐνώπιόν σου, καὶ ἐπίομεν, 26, 27.
καὶ ἐν ταῖς πλατείαις ἡμῶν ἐδί-
δαξας. Καὶ ἐρεῖ· Λέγω ὑμῖν, οὐκ
οἶδα ὑμᾶς πόθεν ἐστέ· ἀπόστη-
τε ἀπ' ἐμοῦ πάντες οἱ ἐργάται
τῆς ἀδικίας.

Ἐπειδὴ δὲ τοσαύτη καὶ τοιαύτη τι-
μωρία πρόκειται εἰς τοὺς ἀναξίως με-
ταλαμβάνοντας τῶν φρικτῶν τοῦ Χρι-
στοῦ μυστηρίων, διὰ τοῦτο ὁ θεηγόρος
Παῦλος ἔδωκε ταύτην τὴν ἐντολήν· Δο- Α'. Κορ.
κιμαζέτω δὲ ἄνθρωπος ἑαυτὸν, ια'. 28.
καὶ οὕτως ἐκ τοῦ ἄρτου ἐσθιέ-



τω,

τω, καὶ ἐκ τοῦ ποτηρίου πινέτω.

Ἀκούεις σοφίαν καὶ σύνεσιν; χειροτο-
Α΄. Κορ. νεῖ σε κριτὴν σεαυτοῦ· διατί; Διότι τίς
β΄. 11. ἄλλος πάντων τῶν ἀνθρώπων οἶδε τὰ τοῦ ἀνθρώπου, εἰμὴ τὸ πνεῦμα τοῦ ἀνθρώπου τὸ ἐν αὐτῷ; τίς ἄλλος ἄνθρωπος οἶδεν ἀκριβέστερον τὰ ἀπόκρυφα τῆς καρδίας σου, εἰμὴ τὸ πνεῦμά σου, καὶ ἡ συνείδησίς σου; Διὰ τοῦτο οὖν, πρὶν ἢ πλησιάσῃς εἰς τὰ μυστήρια, δοκίμασον σεαυτὸν, ἐξέτασον τὰς πράξεις σου, καὶ ἐὰν εὕρῃς ἐν αὐταῖς παράβασιν τῶν ἐντολῶν τοῦ Θεοῦ, καὶ γνώμην ἀδιόρθωτον, ἄπεχε· διότι, ἐὰν
Αὐτ. ιά. μεταλάβῃς, γίνεσαι ἔνοχος τοῦ σώ-
27. ματος καὶ αἵματος τοῦ Κυρίου.

Πολυπραγμόνησον τοὺς λόγους σου, καὶ
Ψαλ. μθ΄. ἐὰν γνωρίσῃς, ὅτι τὸ στόμα σου ἐ-
20, 21. πλεόνασε κακίαν, καὶ ἡ γλῶσσά σου περιέπλεκε δολιότητας· καὶ ὅτι καθήμενος, κατὰ τοῦ ἀδελφοῦ σου κατελάλεις, καὶ κατὰ τοῦ υἱοῦ τῆς μητρός σου ἐτίθεις σκάνδαλον, ψεῦδος, συκοφαντίαν, προδοσίαν, μένεις δὲ ἐν τούτοις ἀμετανόητος, ἄπεχε· διότι ἀναξίως ἐσθίεις καὶ πίνεις, καὶ ἔνοχος γίνεσαι τοῦ σώματος καὶ αἵματος τοῦ Κυρίου. Ἐξερεύνησον τὰς ἐνθυμήσεις σου, καὶ ἐὰν ἴδῃς ὑπερηφάνειαν εἰς τὸν νοῦν, φθόνον εἰς τὴν ψυχὴν, ἔχθραν εἰς τὴν καρδίαν σου, μετάνοιαν δὲ οὐδεμίαν, ἄπεχε· διότι, ἐὰν μεταλάβῃς, κρῖμα ἑαυτῷ ἐσθίεις καὶ πίνεις.

Τὸ μυστήριον πανάγιον· πρέπον οὖν ἐστὶν, ἵνα καὶ οἱ προσερχόμενοι εἰς αὐτὸ ἅγιοί εἰσι· διὰ τοῦτο ὁ Ἱερεὺς, ὅταν πλησιάσῃ ὁ καιρὸς τῆς θείας με-
Ἰώβ. ιδ΄. ταλήψεως, ἐκφωνεῖ, τὰ Ἅγια τοῖς Ἁ-
4. 5. γίοις. Ἀλλὰ τίς ὁ ἅγιος; τίς καθαρὸς ἔσται ἀπὸ ῥύπου; ἀλλ᾽ οὐδεὶς, ἐὰν καὶ μία ἡμέρα ὁ βίος αὐτοῦ ἐπὶ τῆς γῆς. Τί λοιπὸν ποιητέον; ἆράγε συμφέρει νὰ ἀπέχωμεν τοῦ μυστηρίου, ἵνα μὴ ἐμπέσωμεν εἰς ἐνοχὴν καὶ κρῖμα; Οὐχί· ἡ μετάληψις τῆς θείας Εὐχαριστίας ἐστὶν ἀναγκαία πρὸς στηριγμὸν τῆς πίστεως, πρὸς κατόρθωσιν τῆς ἀρετῆς, πρὸς τελειότητα τοῦ βίου· χωρὶς τῆς μεταλήψεως τοῦ σώματος καὶ αἵματος τοῦ Κυρίου, ἀδύνατόν ἐστι νὰ κληρονομήσωμεν τὴν αἰώνιον
ζωήν· Ἀμὴν, ἀμὴν λέγω ὑμῖν, ἐὰν Ἰωάν. ς΄.
μὴ φάγητε τὴν σάρκα τοῦ Υἱοῦ 53.
τοῦ ἀνθρώπου, καὶ πίνητε αὐτοῦ τὸ αἷμα, οὐκ ἔχετε ζωὴν ἐν ἑαυτοῖς.

Ἀλλὰ βλέπω, λέγεις, δύο πράγματα στενὰ καὶ τὰ δύω· ἐὰν μεταλάβω ἀναξίως, ἁμαρτάνω· ἐὰν μὴ μεταλάβω ὁλοτελῶς, κολάζομαι· τί νὰ πράξω λοιπὸν, οὐκ οἶδα. Ἄλλο τρίτον, ἀδελφὲ, ποίησον, ἤγουν μετάλαβε ἀξίως. Ἀλλὰ πῶς, ἁμαρτωλὸς ὤν; Τὸ πῶς περιέγραψέ σοι ὁ Θεὸς καὶ διὰ τοῦ Προφήτου Μωϋσέως, καὶ διὰ τοῦ Ἀποστόλου Παύλου. Ὁ μὲν Παῦλος παραγγέλλει σοι· Δοκίμασον πρῶτον σεαυτὸν, ἤγουν ἐξερεύνησον πάσας τὰς ἁμαρτίας σου, καὶ βλέπων μὲν τὸ πλῆθος τῶν ἀνομιῶν σου, στοχαζόμενος δὲ τὸ ἀναγκαῖον τῆς μεταλήψεως διὰ τὴν σωτηρίαν σου, μὴ νυστάξῃς, μηδὲ ὑπνώσῃς, μηδὲ μείνῃς κοιτώμενος εἰς τὸν βόρβορον
τῆς ἁμαρτίας σου· Ἔγειραι ὁ καθεύ- Ἐφεσ. έ.
δων, καὶ ἀνάστα ἐκ τῶν νεκρῶν, 14.
καὶ ἐπιφαύσει σοι ὁ Χριστός. Ποίησον ὅσα διὰ τοῦ Μωϋσέως διέταξέ σοι ὁ Θεός· ἅγνισον σεαυτὸν, ὅπερ ἐστὶ, μετανόησον ὡς ὁ Μανασσῆς, ἐγκατάλειπε τὴν ἀνομίαν ὡς ὁ Ζακχαῖος, ἀποφάσισον νὰ ζήσῃς εὐαρέστως τῷ Θεῷ, ὡς ὁ Ματθαῖος. Ἅγνισον σεαυτὸν, ἤγουν πρόσελθε εἰς τοῦ πνευματικοῦ πατρὸς τὸ κριτήριον, καὶ μετὰ ταπεινοφροσύνης ὡς ἡ πόρνη, καὶ μετὰ κατανύξεως ὡς ὁ λῃ-

λῃστής, ἐξαγόρευσον πάσας τὰς ἁμαρτίας σου· ἡ μετάνοια, ἡ ἐπιστροφὴ, ἡ τελεία ἀποχὴ τῆς ἁμαρτίας, ἡ ἐξομολόγησις ἐξαλείφει τὰς ἀνομίας σου, καὶ καθαρίζει σε ἀπὸ πασῶν τῶν ἁμαρτιῶν
Ψαλ. λά. 5, 6. σου· Τὴν ἁμαρτίαν μου ἐγνώρισα, λέγει ὁ Προφήτης, καὶ τὴν ἀνομίαν μου οὐκ ἐκάλυψα· εἶπα, ἐξαγορεύσω κατ' ἐμοῦ τὴν ἀνομίαν μου τῷ Κυρίῳ, καὶ σὺ ἀφῆκας τὴν ἀσέβειαν τῆς καρδίας μου. Πλῦναι, ὡς ὁ Πέτρος, διὰ πικρῶν δακρύων, οὐχὶ τὰ ἱμάτιά σου, ἀλλὰ τῆς ψυχῆς καὶ τοῦ νοὸς καὶ τῆς καρδίας σου τὸν ῥύπον· τουλάχιστον πρὸ τριῶν ἡμερῶν ἑτοίμασον σεαυτὸν διὰ προσευχῆς, διὰ νηστείας, διὰ ἐλεημοσύνης, καὶ διὰ παντὸς ἄλλου θεαρέστου ἔργου· ἔπειτα μετὰ πίστεως καὶ εὐλαβείας, μετὰ φόβου καὶ τρόμου πρόσελθε, τύπτων τὸ στῆθος ὡς ὁ τελώνης, καὶ τὸ, Κύριε, οὐκ Ματ. ή. 8.
εἰμὶ ἱκανὸς, ἵνα μου ὑπὸ τὴν στέγην εἰσέλθῃς, κραυγάζων, ὡς ὁ Ἑκατόνταρχος, καὶ οὕτω μετάλαβε τῶν ἐπουρανίων τοῦ Χριστοῦ μυστηρίων. Τοιουτοτρόπως γίνεταί σοι ἡ μετάληψις ψυχῆς καὶ σώματος ἁγιασμὸς, καὶ τελεία μετὰ τοῦ Θεοῦ ἕνωσις· τότε δὲ γίνεσαι τοῖς πάθεσιν ἀνίκητος, τοῖς Δαίμοσι φοβερὸς, τῶν Ἀγγέλων φίλος, τοῦ Θεοῦ υἱὸς, καὶ τῆς ἐπουρανίου αὐτοῦ βασιλείας κληρονόμος. Ἀμήν.

# ΕΡΜΗΝΕΙΑ

ΕΙΣ ΤΟ ΚΑΤΑ

# ΜΑΤΘΑΙΟΝ

## ΕΥΑΓΓΕΛΙΟΝ ΤΗΣ Ε'. ΚΥΡΙΑΚΗΣ.

Καθὼς ὁ βοτανικὸς ὁ ἔμπειρος ὅσον ἐρευνᾷ τῶν χόρτων τὰ ἰδιώματα, τόσον ἁρμοδιώτερα εὑρίσκει τῶν ἀσθενειῶν τοῦ σώματος τὰ ἀντιφάρμακα· οὕτω καὶ ὁ εὐλαβὴς Χριστιανὸς ὅσον στοχάζεται τοῦ Θεοῦ τὰ λόγια, τόσον περισσότερα εὑρίσκει τῶν παθῶν τῆς ψυχῆς τὰ βότανα. Ἐὰν ἀπερισκέπτως ἤκουσας τὴν σημερινὴν τοῦ Εὐαγγελίου ἱστορίαν, μίαν μόνην θαυματουργίαν κατενόησας, ἤγουν τὴν τῶν δαιμονιζομένων θεραπείαν· ἐὰν δὲ περιεργασθῇς πάσας τὰς περιστάσεις τῆς ἱστορίας, εὑρίσκεις νοήματα εἰς τὴν ψυχήν σου πολλὰ ὠφέλιμα. Διὰ τοῦτο ὁ μὲν θεάνθρωπος Ἰησοῦς παρήγγειλε τοῖς Ἰουδαίοις, ἵνα ἐρευνῶσι τὰς θείας Γραφὰς, καθότι ἐκεῖναι περιέχουσι τὰς περὶ αὐτοῦ μαρτυρίας· Ἐρευνᾶτε τὰς Ἰωάν. έ. 39.
Γραφὰς, ὅτι ὑμεῖς δοκεῖτε ἐν αὐταῖς ζωὴν αἰώνιον ἔχειν· καὶ ἐκεῖναί εἰσιν αἱ μαρτυροῦσαι περὶ ἐμοῦ· ὁ δὲ προφητάναξ Δαβὶδ μακαρίζει ἐκείνους, οἵτινες, ἐξ ὅλης καρδίας ἐκζητοῦντες μαθεῖν τὰ περὶ τοῦ Θεοῦ, ἐρευνῶσι τὰ θεῖα αὐτοῦ λόγια·
Μακάριοι οἱ ἐξερευνῶντες τὰ μαρ- Ψαλ. ριή. 2.
τύρια αὐτοῦ, ἐν ὅλῃ καρδίᾳ ἐκζητήσουσιν αὐτόν. Ἡ τοιαύτη ἔρευνα φωτίζει τὸν νοῦν εἰς τὴν γνῶσιν καὶ διάκρισιν τῶν καλῶν καὶ πονηρῶν ἔργων, καὶ θερμαίνει τὴν ψυχὴν εἰς τὸν γλυκερὸν ἔρωτα τοῦ ὄντως ἐρασμίου καὶ ἀγαπητοῦ Θεοῦ, καὶ τῆς ἐπουρανίου αὐτοῦ βασιλείας. Καὶ ἡ μὲν ἔρευνα τῶν τοῦ

Θεοῦ

Θεοῦ λόγων, ἔργον ἐστὶ τῆς εὐλαβείας ἡμῶν καὶ προθυμίας· ἡ δὲ κατανόησις αὐτῶν, καὶ ἡ ἐξ αὐτῶν καρποφορία, ἔλεός ἐστι τοῦ πανοικτίρμονος Θεοῦ, εἰς ὃν ἐλπίζοντες, προβάλλομεν τοῦ σημερινοῦ Ἐυαγγελίου τὴν ἑρμηνείαν.

Ματ. η. 28. Τῷ καιρῷ ἐκείνῳ, ἐλθόντι τῷ Ἰησοῦ εἰς τὴν χώραν τῶν Γεργεσηνῶν, ὑπήντησαν αὐτῷ δύω δαιμονιζόμενοι, ἐκ τῶν μνημείων ἐξερχόμενοι, χαλεποὶ λίαν, ὥστε μὴ ἰσχύειν τινὰ παρελθεῖν διὰ τῆς ὁδοῦ ἐκείνης.

Μάρκ. ε. 1. Οἱ ἅγιοι Ἐυαγγελισταὶ Μάρκος καὶ
Λουκ. η. 26. Λουκᾶς, τὴν αὐτὴν ἱστορίαν διηγούμενοι,
λέγουσιν, ὅτι εἰς τὴν χώραν τῶν Γαδα-
ρηνῶν ἐγένετο ἡ θαυματουργία, καὶ ὅτι
οὐχὶ δύω, ἀλλ᾽ ἕνα δαιμονιζόμενον ἐθε-
ράπευσεν ὁ Κύριος· σὺ δὲ μὴ νομίσῃς,
ὅτι ἐναντιολογοῦσιν οἱ θεῖοι Ἐυαγγελι-
σταί· διότι ἡ αὐτὴ πόλις εἶχε δύω ὀ-
Ἐυσέβ. περὶ τοπικ. ὀνομ. ὅρα τὴν Ἁρμον. τῶν Γραφ. τὴν ὑπὸ Οὐαλτ. φιλοτον. νόματα, Γάδαρα, καὶ Γέρασα, ἢ Γέργεσα·
κἂν δὲ δύω ἦσαν αἱ πόλεις, ὅμως ἡ μία
ἀπεῖχε τῆς ἄλλης μόνον δύω ὥρας· ὅ-
θεν, ἐπειδὴ τὸ θαῦμα ἐγένετο ἔξω τῶν
πόλεων, ἤγουν εἰς τὸ σύνορον, τὸ μετα-
ξὺ αὐτῶν, διὰ τοῦτο οἱ μὲν δύω Ἐυαγ-
γελισταὶ ἀναφέρουσι τὸ ἔργον γεγενημέ-
νον εἰς τὴν πόλιν τῶν Γαδαρηνῶν, ὁ δὲ
ἄλλος εἰς τὴν τῶν Γεργεσηνῶν. Περὶ δὲ
τοῦ ἑνὸς καὶ τῶν δύω δαιμονιζομένων
σημείωσαι, ὅτι, κἂν οἱ δύω Ἐυαγγελι-
σταὶ ἑνὸς μὲν δαιμονιζομένου ἐμνημό-
νευσαν, τοῦ ἐπισημοτέρου καὶ γνωστοῦ
τοῖς πᾶσιν, ὅστις ἦν πολίτης τῆς πό-
λεως τῶν Γαδαρηνῶν, ὡς μαρτυρεῖ ὁ
Λουκ. η. 27. θεῖος Λουκᾶς· οὐκ εἶπον ὅμως, ὅτι εἷς
μόνος ἦν ὁ δαιμονιζόμενος· ἐπειδὴ δὲ
βλέπομεν, ὅτι ὁ Μάρκος καὶ ὁ Λουκᾶς
διηγοῦνται περὶ τοῦ ἑνὸς δαιμονιζομένου
πολλὰ περισσότερα παθήματα, ἤπερ ὁ
Ματθαῖος περὶ τῶν δύω, εὐλογοφανῶς
συμπεραίνομεν, ὅτι, κἂν καὶ οἱ δύω ἐ-
βασανίζοντο ὑπὸ τῶν Δαιμόνων, ὁ εἷς
ὅμως, ὁ ἐκ τῆς πόλεως, ἔπασχε περισ-
σότερον, ἤπερ ὁ ἄλλος. Ὅθεν, ἐπειδὴ ὁ
Ματθαῖος ἐφανέρωσε μόνον ὅσα πάθη
ἐπίσης ἔπασχον καὶ οἱ δύω δαιμονιζό-
μενοι, διὰ τοῦτο καὶ περὶ τῶν δύω δαι-
μονιζομένων ἐλάλησεν· ὁ δὲ Μάρκος καὶ
ὁ Λουκᾶς, περιγράψαντες λεπτομερῶς
πάντα τὰ βασανιστήρια, ὅσα ἐποίουν
οἱ Δαίμονες, ἠναγκάσθησαν μνημονεῦ-
σαι ἑνὸς μόνου δαιμονιζομένου, ἐκείνου
δηλονότι, ὅστις ἐβασανίζετο περισσότε-
ρον, καὶ ἦν γνωστὸς καὶ ἐπισημότερος.
Ἀκούων δὲ, ὅτι οἱ δαιμονιζόμενοι, ἐκ
τῶν μνημείων ἐξερχόμενοι, ὑπήντησαν
τῷ Κυρίῳ Ἰησοῦ, μὴ νομίσῃς, ὅτι ἡ ἀ-
πάντησις ἐγένετο κατὰ τύχην καὶ συμ-
βεβηκός· διότι οὐδὲν γίνεται χωρὶς τῆς
τοῦ Θεοῦ εὐδοκίας, καὶ θελήσεως· Πᾶ- Ματ. ι. 30.
σαι δὲ αἱ τρίχες τῆς κεφαλῆς ἡ-
μῶν ἠριθμημέναι εἰσίν. Ὁ Θεάν-
θρωπος, ὡς τὰ πάντα εἰδὼς, σπλαγ-
χνισθεὶς ἐπὶ τοὺς βασανιζομένους ὑπὸ
τῶν Δαιμόνων, ἐπίτηδες ἦλθεν ἐκεῖ κατ᾽
ἐκείνην τὴν ὥραν, καθ᾽ ἣν κατ᾽ οἰκονο-
μίαν Θεοῦ οἱ δαιμονιζόμενοι ἐξῆλθον ἐκ
τῶν μνημείων· διὸ καὶ ὑπήντησαν αὐτῷ.
Καὶ τοῦτο δὲ περιεργείας ἄξιον, ἤγουν
τὸ, διατί οἱ δαιμονιζόμενοι κατῴκουν εἰς
τὰ μνήματα; Περὶ τούτου σημείωσον,
ὅτι ἔκπαλαι τινὲς, πλανώμενοι, ἐνόμι-
ζον, ὅτι αἱ ψυχαὶ τῶν ἀποθανόντων γί-
νονται Δαίμονες· σχεδὸν δὲ ὁμοίαν πλά- Χρυσ. ὁμιλ. 28. εἰς τὸ κατὰ Ματ. καὶ 2. εἰς τὸν Λάζ.
νην ἔχουσιν ἄχρι τῆς σήμερον τινὲς ἀ-
μαθέστατοι ἄνθρωποι, οἵτινες πιστεύου-
σι τὰ περὶ τῶν λεγομένων Βουρκολάκ-
κων, ἢ Βρυκολάκκων· οἱ οὖν Δαίμονες,

ἵνα τὴν πονηρὰν ταύτην πλάνην στηρίξωσιν, ἠνάγκαζον τοὺς δαιμονιζομένους, ἵνα κατοικῶσιν εἰς τὰ μνήματα. Ἦσαν δὲ, λέγει ὁ Εὐαγγελιστὴς, οὗτοι οἱ δαιμονιζόμενοι λίαν χαλεποὶ, ἤγουν πολλὰ σκληροὶ καὶ ἄγριοι, ὥστε, διὰ τὰ φόβητρα καὶ τὰς ἐπιβουλὰς αὐτῶν, οὐδεὶς ἠδύνατο διαπεράσαι δι' ἐκείνης τῆς ὁδοῦ, ὅπου αὐτοὶ παρέμενον· τοιοῦτοι δὲ ἦσαν οὐχὶ κατὰ φύσιν, ὡς ἄνθρωποι, ἀλλὰ παρὰ φύσιν, ὡς ὑπὸ τῶν Δαιμόνων κινούμενοι καὶ ἐνεργούμενοι. Ὅτε δὲ, ὑπαντήσαντες τὸν Ἰησοῦν Χριστὸν, ἐπλησίασαν εἰς αὐτὸν, τότε οἱ Δαίμονες κατετρόμαξαν.

Ματ. η'. 29. Καὶ ἰδοὺ ἔκραξαν, λέγοντες· Τί ἡμῖν καὶ σοὶ, Ἰησοῦ Υἱὲ τοῦ Θεοῦ, ἦλθες ὧδε πρὸ καιροῦ βασανίσαι ἡμᾶς;

Μεγάλη Κύριε ἡ δύναμίς σου! καὶ οἱ Δαίμονες ἐγνώρισαν, καὶ ὡμολόγησαν, ὅτι ὁ Ἰησοῦς Χριστὸς, ἐστὶν ὁ Υἱὸς τοῦ Θεοῦ· Τί ἡμῖν καὶ σοὶ, ἐκραύγασαν, ἤγουν ποίαν ὑπόθεσιν ἔχομεν μεταξὺ ἡμῶν, τί ζητοῦμεν ἢ ἡμεῖς παρὰ σοῦ, ἢ σὺ παρ' ἡμῶν; Ὁμοίαν φράσιν εὑρίσκεις καὶ εἰς τὸ δέκατον ἕκτον κεφάλαιον τῆς δευτέρας τῶν Βασιλειῶν, καὶ εἰς τὸ τριακοστὸν πέμπτον τῆς δευτέρας τῶν Παραλειπομένων, καὶ εἰς τὸ δεύτερον κεφάλαιον τοῦ κατὰ Ἰωάννην Εὐαγγελίου. Ταῦτα δὲ ἐξεβόησαν οἱ Δαίμονες, ἐπειδὴ ἐφοβήθησαν, μήπως ὁ Ἰησοῦς Χριστὸς, τῇ δυνάμει τῆς Θεότητος αὐτοῦ, καταπέμψῃ αὐτοὺς εἰς τὰς βασάνους τοῦ ᾅδου· Μήπως ἦλθες, λέγουσιν, εἰς τὸν τόπον τοῦτον, ἵνα βασανίσῃς ἡμᾶς πρὸ καιροῦ, ἤγουν πρὸ τῆς ἡμέρας τῆς κρίσεως; Ἐκ τούτου δύω τινὰ διδασκόμεθα. Πρῶτον, ὅτι οὐχὶ μόνον οἱ προαποθανόντες ἀσεβεῖς, καὶ οἱ ἀμετανόητοι ἁμαρτωλοὶ, ἀλλ' οὐδὲ οἱ Δαίμονες ἔλαβον ἄχρι τῆς σήμερον τὴν τελείαν κόλασιν, τὴν φοβερὰν ἡμέραν τῆς κρίσεως περιμένοντες· τοῦτο δὲ σαφέστατα ἐδίδαξαν καὶ οἱ δύω Ἀπόστολοι, ὅ,τε Πέτρος λέγων· Εἰ γὰρ ὁ Θεὸς Ἀγγέλων ἁμαρτησάντων οὐκ ἐφείσατο, ἀλλὰ σειραῖς ζόφου ταρταρώσας, παρέδωκεν εἰς κρίσιν τετηρημένους· καὶ ὁ Ἰούδας ὁμοίως· Ἀγγέλους τοὺς μὴ τηρήσαντας τὴν ἑαυτῶν ἀρχὴν, ἀλλ' ἀπολιπόντας τὸ ἴδιον οἰκητήριον, εἰς κρίσιν μεγάλης ἡμέρας δεσμοῖς ἀϊδίοις ὑπὸ ζόφον τετήρηκε. Δεύτερον, ὅτι τόσον φοβερά ἐστιν ἡ κόλασις, ὥστε καὶ οἱ Δαίμονες, φρίττοντες αὐτὴν, προκρίνουσι τῆς καταδίκης ἐκείνης τὴν μετὰ τῶν ἀκαθάρτων χοίρων συγκατοίκησιν, ὡς δηλοποιοῦσι τὰ ἐφεξῆς εὐαγγελικὰ λόγια.

Β'. Πίτρ. β'. 4.

Ἰούδ. 6.

Ἦν δὲ μακρὰν ἀπ' αὐτῶν ἀγέλη χοίρων πολλῶν βοσκομένη. Οἱ δὲ Δαίμονες παρεκάλουν αὐτὸν, λέγοντες. Εἰ ἐκβάλλεις ἡμᾶς, ἐπίτρεψον ἡμῖν ἀπελθεῖν εἰς τὴν ἀγέλην τῶν χοίρων. Ματ. η'. 30, 31.

Μακρὰν ἀπὸ τοῦ τόπου ἐκείνου, ὅπου ἦσαν οἱ δαιμονιζόμενοι, ἔβοσκεν ἀγέλη πολλῶν χοίρων. Οἱ δὲ Δαίμονες παρεκάλουν τὸν Ἰησοῦν Χριστὸν, λέγοντες· Κύριε, ἐὰν διὰ τῆς προσταγῆς σου ἐκβάλῃς ἡμᾶς ἐκ τῶν σωμάτων τῶν ἀνθρώπων τούτων, δὸς ἡμῖν ἄδειαν, παρακαλοῦμέν σε, ἵνα ὑπάγωμεν εἰς τὴν ἀγέλην τῶν χοίρων. Βλέπε οὖν, πόση

ἐστὶν

ἐστὶν ἡ δύναμις τῆς παρουσίας τοῦ Κυρίου Ἰησοῦ, καὶ πόση τῶν Δαιμόνων ἡ ἀσθένεια· οἵτινες, ἐὰν οὐδὲ τοὺς χοίρους, χωρὶς παραχωρήσεως Θεοῦ, δύνανται βλάψαι, πολλῷ μᾶλλον τοὺς ἀνθρώπους, τοὺς κατ' εἰκόνα Θεοῦ καὶ ὁμοίωσιν πλασθέντας. Καθὼς δὲ τότε ἡ παρουσία τοῦ Κυρίου Ἰησοῦ ἐφυγάδευε τὰ Δαιμόνια, οὕτω νῦν ὁ τύπος τοῦ Σταυροῦ, καὶ ἡ ἐπίκλησις τοῦ παναγίου ὀνόματος αὐτοῦ
Φιλιπ. β'. 10. καταδιώκει αὐτά· Ἐν γὰρ τῷ ὀνόματι αὐτοῦ πᾶν γόνυ κάμψει, ἐπουρανίων, καὶ ἐπιγείων, καὶ καταχθονίων. Ὅταν οὖν ἔρχωνται οἱ Δαίμονες, καὶ πειράζωσί σε, τότε, ἐὰν θέλῃς, διώκεις αὐτοὺς μακρὰν ἀπὸ σοῦ, τῷ τύπῳ τοῦ Σταυροῦ σημειούμενος, καὶ τὸ ὄνομα τοῦ Ἰησοῦ Χριστοῦ ἐπικαλούμενος. Ἀλλ' ἐπανέλθωμεν ἐπὶ τὴν προκειμένην τοῦ Εὐαγγελικοῦ λόγου σειράν. Ἐπήκουσεν ὁ Κύριος τὴν δέησιν τῶν Δαιμόνων.

Καὶ εἶπεν αὐτοῖς· Ὑπάγετε.
Ματ. η'. 32. Οἱ δὲ ἐξελθόντες ἀπῆλθον εἰς τὴν ἀγέλην τῶν χοίρων. Καὶ ἰδοὺ ὥρμησε πᾶσα ἡ ἀγέλη τῶν χοίρων κατὰ τοῦ κρημνοῦ εἰς τὴν θάλασσαν, καὶ ἀπέθανον ἐν τοῖς ὕδασι.

Ὁ λόγος τοῦ Κυρίου ἔργον ἐγένετο. Εἶπεν εἰς τοὺς Δαίμονας· Ὑπάγετε· αὐτοὶ δὲ, εὐθὺς ὑπακούσαντες, ἐξῆλθον μὲν ἐκ τῶν ἀνθρώπων ἐκείνων, εἰσῆλθον δὲ εἰς τὴν ἀγέλην τῶν χοίρων· καὶ ἰδοὺ εὐθὺς οἱ χοῖροι ὥρμησαν εἰς τὸν κρημνὸν, ἐκεῖθεν δὲ κατακρημνισθέντες εἰς τὴν θάλασσαν, ἀπεπνίγησαν πάντες ἐντὸς τῶν ὑδάτων τῆς θαλάσσης. Ἀλλὰ διατί οἱ μὲν Δαίμονες παρεκάλεσαν, ὁ δὲ Κύριος, τῆς δεήσεως αὐτῶν ἐπακούσας, ἔδωκεν ἄδειαν, ἵνα εἰσέλθωσιν εἰς τὴν ἀγέλην τῶν χοίρων; Ὅπου χοῖροι, ἐκεῖ βόρβορος καὶ ἀκαθαρσία· τοῦτο οὖν ἐγένετο οἰκονομικῶς, ἵνα μάθωμεν, ὅτι ὅπου ἡ ἀκαθαρσία τῆς ἁμαρτίας, καὶ ὁ βόρβορος τῶν αἰσχρῶν πράξεων, ἐκεῖ καὶ οἱ ἀκάθαρτοι Δαίμονες ἀναπαύονται, ἐκεῖ καὶ ὁ Θεὸς συγχωρεῖ αὐτοῖς τὴν εἴσοδον. Ἀλλὰ πῶς ὁ δικαιότατος Θεὸς ὑπέφερε τὴν ζημίαν, ὅσην ἔπαθον οἱ κύριοι τῶν χοίρων; Πρὸς ποινὴν τῶν ἁμαρτανόντων, καὶ στήριγμα τῶν δικαίων, κατακλυσμὸν παγκόσμιον ὁ Θεὸς ἐπήνεγκε, πόλεις αὐτάνδρους κατέκαυσε, γένη ὁλόκληρα ἐξήλειψεν· εἶτα ἀποροῦμεν περὶ τοῦ πῶς ὑπέφερεν ἡ δικαιοσύνη αὐτοῦ τὴν ζημίαν, ἣν ἔπαθον
οἱ κύριοι τῶν χοίρων; Εἰς τὴν πόλιν ὅρα τὸν
τῶν Γεργεσηνῶν κατῴκουν μὲν ἐθνικοὶ, Ἰώσηπ. ἐν
πλὴν κατῴκουν καὶ Ἑβραῖοι· μήπως κ. 35.
οὖν οἱ Ἑβραῖοι, τοὺς συγκατοικοῦντας β'. 2. περὶ
αὐτοῖς ἐθνικοὺς μιμούμενοι, οὐ μόνον Ἰουδ. πολ.
ἔτρεφον τοὺς χοίρους, ἀλλὰ καὶ ἔτρωγον ἀπὸ τῶν χοιρίνων κρεάτων, παραβαίνοντες τὸν μωσαϊκὸν νόμον· ὅθεν πρὸς παιδείαν καὶ σωφρονισμὸν αὐτῶν τοιουτοτρόπως ἐπαιδεύθησαν. Καὶ τοῦτο δὲ σημειώσεως ἄξιον, ἤγουν τὸ, ὅτι ἡ ἔφοδος τῶν Δαιμόνων εἰς τοὺς χοίρους κατέστησε τὸ θαῦμα ἐπίσημον καὶ περιβόητον, ἑπομένως δὲ καὶ πολλὰ ὠφέλιμον· διότι ἰδόντες οἱ χοιροβοσκοὶ ὅσα ἔπαθον οἱ χοῖροι, διεφήμισαν πανταχοῦ τοῦ θαυματουργοῦ τὴν θείαν δύναμιν.

Οἱ δὲ βόσκοντες ἔφυγον, καὶ ἀπελθόντες εἰς τὴν πόλιν, ἀπήγγειλαν πάντα, καὶ τὰ τῶν δαιμονιζομένων.

**Βλέπετε, πῶς τὰ συμβάντα εἰς τοὺς** Ματ. η'. 33.

χοίρους κατέστησαν τοὺς χοιροβοσκοὺς διδασκάλους καὶ κήρυκας τοῦ θαύματος; ἐπειδὴ οἱ χοῖροι ἐξηφανίσθησαν, οἱ βόσκοντες αὐτοὺς ἔφυγον εὐθὺς ἐκεῖθεν, καὶ ἐλθόντες εἰς τὴν πόλιν, ἐκήρυττον πάντα, ἤγουν, ὅσα ἔπαθον οἱ χοῖροι, προσέτι δὲ καὶ ὅσα συνέβησαν εἰς τοὺς δαιμονιζομένους.

Ματ. η'. 34. Καὶ ἰδοὺ πᾶσα ἡ πόλις ἐξῆλθεν εἰς συνάντησιν τῷ Ἰησοῦ· καὶ ἰδόντες αὐτὸν, παρεκάλεσαν αὐτὸν, ὅπως μεταβῇ ἀπὸ τῶν ὁρίων αὐτῶν.

Ἀκούετε πόσην περιέργειαν ἐξύπνισεν ἡ ἀκοὴ τοῦ θαύματος; Ἰδοὺ, λέγει, πάντες οἱ κατοικοῦντες ἐν τῇ πόλει τῶν Γεργεσηνῶν, ἄνδρες, γυναῖκες, νέοι, γέροντες, πάσης ἡλικίας καὶ καταστάσεως ἄνθρωποι, ἀφέντες τὴν πόλιν, ἐξῆλθον εἰς ὑπάντησιν τοῦ Ἰησοῦ Χριστοῦ, σκοπὸν ἔχοντες ἰδεῖν ὀφθαλμοφανῶς ὅσα ἤ-
Μάρκ. ε'. 15. κουσαν· Καὶ ἐξῆλθον, λέγει ὁ ἱερὸς Μάρκος, ὁμοίως καὶ ὁ Λουκᾶς, ἰδεῖν
Λουκ. η'. 35. τί ἐστι τὸ γεγονός. Ἀλλὰ τί ἐποίησαν, καὶ ἀκούσαντες τὸ θαῦμα, καὶ συναντήσαντες τὸν Ἰησοῦν Χριστὸν, καὶ ἰδόντες ὀφθαλμοφανῶς τοὺς πρότερον δαιμονιζομένους σωφρονοῦντας καὶ ἱματισμένους, καὶ πληροφορηθέντες περὶ τῆς ἀπωλείας τῶν χοίρων; ἆράγε προσεκύνησαν τὸν θαυματουργόν; ἆράγε εὐχαρίστησαν τῷ εὐεργέτῃ; ἠθέλησαν ἆράγε ἀκοῦσαι τὴν διδαχὴν τοῦ διδασκάλου; Οὐδὲν τούτων ἔπραξαν· ἀλλὰ παρεκάλεσαν αὐτὸν, ἵνα ἀναχωρήσῃ καὶ ἀπὸ τῶν ὁρίων τῆς πόλεως αὐτῶν. Διατί δὲ τοῦτο; διατί διώκουσι τὸν εὐεργέτην; Διὰ τὸν φόβον, λέγει ὁ Εὐαγγελιστὴς Λουκᾶς· Ὅτι φόβῳ μεγάλῳ συνείχοντο. Λουκ. η'. 37. Ὥστε καὶ ὁ πολὺς φόβος σκοτίζει τὸν νοῦν, καθὼς καὶ τὰ ἄλλα πάθη, καὶ κατακρημνίζει αὐτὸν εἰς τὴν ἀχαριστίαν καὶ παραλογίαν. Ὁ δὲ ἀνεξίκακος Ἰησοῦς, ἐπακούσας τῆς δεήσεως αὐτῶν, μετὰ πρᾳότητος καὶ ἀνεξικακίας ἐμβαίνει εἰς τὸ πλοῖον, καὶ διαπεράσας τὴν θάλασσαν, ἦλθεν εἰς τὴν ἰδίαν πόλιν.

Καὶ ἐμβὰς εἰς τὸ πλοῖον, διεπέρασε, καὶ ἦλθεν εἰς τὴν ἰδίαν πόλιν. Ματ. θ'. 1.

Ἀναχωρήσας ἐκεῖθεν ὁ Θεάνθρωπος, ἦλθεν εἰς τὴν Καπερναοὺμ, ὡς ἐπιβεβαιοῖ ὁ Εὐαγγελιστὴς Μάρκος, λέγων·
Καὶ πάλιν εἰσῆλθεν εἰς Καπερναούμ. Μάρκ. β'. 1.
Αὐτὴν δὲ ἰδίαν τοῦ Χριστοῦ πόλιν ὠνόμασεν ὁ ἱερὸς Ματθαῖος, καθότι, κἂν ἐν τῇ Βηθλεὲμ ἐγεννήθη,
καὶ ἐν τῇ Ναζαρὲτ ἀνετράφη, ἐν τῇ Καπερναοὺμ ὅμως εἶχε τὴν ἑαυτοῦ κατοίκησιν. Ματ. δ'. 13.

# ΟΜΙΛΙΑ

## ΜΕΤΑ ΤΟ ΚΑΤΑ

# ΜΑΤΘΑΙΟΝ

## ΕΥΑΓΓΕΛΙΟΝ ΤΗΣ Ε'. ΚΥΡΙΑΚΗΣ.

Μὴ παραδράμωμεν, ἀδελφοὶ, ἀπερισκέπτως τὴν πρὸς τοὺς ἀχαρίστους Γεργεσηνοὺς ἀνεξικακίαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· διότι ἡ περὶ αὐτὴν σκέψις διδάσκει τὴν διόρθωσιν μιᾶς ἁμαρτίας, εἰς τὴν ὁποίαν σχεδὸν πάντες ἀνεπαισθήτως περιπίπτομεν.

Ἡμεῖς ἐκ συνηθείας κακίζομεν ἀσυλλογίστως κατ' ἐκείνων, οἵ τινες ἀχάριστοι γίνονται πρὸς τὰς εὐεργεσίας ἡμῶν. Καὶ ὅτι μὲν ἡ ἀχαριστία ἐστὶν ἁμαρτία μεγάλη, ἐφανέρωσε τοῦτο ὁ θεάνθρωπος Ἰησοῦς, ὅταν εἶδε τῶν δέκα λεπρῶν τὴν ἀχαριστίαν. Ἀυτοὶ, καὶ οἱ δέκα, ὁμοῦ ὑψώσαντες τὴν φωνὴν, ἐ-
Λουκ. ιζ'. κραύγασαν μεγαλοφώνως· Ἰησοῦ ἐπι-
13. στάτα, ἐλέησον ἡμᾶς· καὶ ὁ μὲν
Ἰησοῦς, σπλαγχνισθεὶς, εἶπε πρὸς αὐτούς· Ὑπάγετε πρὸς τοὺς ἱερεῖς, καὶ δείξατε αὐτοῖς τὰ λελεπρωμένα ὑμῶν μέλη· ἐκεῖνοι δὲ, προθύμως ὑπακούσαντες εἰς τὸ θεῖον αὐτοῦ πρόσταγμα, ἔτρεξαν πρὸς τοὺς ἱερεῖς· ἀλλὰ, πρὶν ἢ φθάσωσιν, ἤγουν ἐν αὐτῇ τῇ ὁδῷ, ἐκαθαρίσθησαν· εἷς δὲ μόνος ἐξ αὐτῶν, Σαμαρείτης, ὑπέστρεψεν εὐθὺς πρὸς τὸν
Ἀυτ. 16. Ἰησοῦν Χριστὸν, καὶ ἔπεσεν ἐπὶ πρό-
σωπον παρὰ τοὺς πόδας αὐτοῦ, εὐχαριστῶν αὐτῷ· τότε οὖν ὁ Ἰησοῦς ἤλεγξε τῆς ἀχαριστίας τὴν ἁμαρτίαν, εἰ-
Ἀυτ. 17, πών· Οὐχὶ οἱ δέκα ἐκαθαρίσθησαν;
18. οἱ δὲ ἐννέα ποῦ; Οὐχ εὑρέθησαν ὑποστρέψαντες δοῦναι δόξαν τῷ Θεῷ, εἰμὴ ὁ ἀλλογενὴς οὗτος; Ὁ ἀχάριστος ἀθετεῖ τοὺς νόμους οὐ μόνον τῆς λογικῆς, ἀλλὰ καὶ τῆς ἀλόγου φύσεως· διότι καὶ τὰ ἄλογα ζῶα, εὐεργετούμενα, δεικνύουσιν ὅπως δύνανται τὴν πρὸς τους εὐεργετοῦντας αὐτὰ ἀνθρώπους εὐχαριστίαν. Τοῦτο δὲ ἐστιν ἐκεῖνο, διὰ τοῦ ὁποίου ὁ Θεὸς ἤλεγχε τοὺς εἰς τὰς ἀμέτρους εὐεργεσίας αὐτοῦ ἀγνώμονας Ἰσραηλίτας· Καὶ ὁ βοῦς, ἔλεγεν αὐτοῖς διὰ τοῦ Προφήτου Ἡσαΐου, γνωρίζει τὸν εὐεργέτην αὐτοῦ, καὶ ὁ ὄνος διακρίνει τὴν φάτνην τοῦ δεσπότου αὐτοῦ, ὑμεῖς δὲ οἱ Ἰσραηλῖται οὐδὲ γνωρίζετε, οὐδὲ διακρίνετε τῶν εὐεργεσιῶν
μου τὸ πλῆθος· Ἔγνω βοῦς τὸν κτη- Ἡσ. ά.
σάμενον, καὶ ὄνος τὴν φάτνην τοῦ 3.
κυρίου αὐτοῦ· Ἰσραὴλ δέ με οὐκ ἔγνω, καὶ ὁ λαός μου οὐ συνῆκεν. Ἁμαρτάνει, ναὶ, ὁ ἀχάριστος κατὰ πάντων τῶν νόμων, ἐπειδὴ καὶ ἡ αἰσθητικὴ φύσις, καὶ ἡ λογικὴ διάκρισις, καὶ ὁ Θεὸς θέλει τὴν εὐχαριστίαν· πλὴν καὶ αὐτὸς ὁ εὐεργέτης, ὅταν ἀγανακτῇ κατὰ τοῦ ἀχαρίστου, ἀπολεῖ τῆς εὐεργεσίας τὸν μισθὸν, καὶ ἁμαρτάνει βαρέως.

Ἁμαρτάνει ὁ ἀχάριστος ἁμαρτίαν μεγάλην, πλὴν μίαν μόνην, τὴν ἁμαρτίαν τῆς ἀχαριστίας· ὁ δὲ εὐεργέτης, ὅταν ζητῇ ἀνταπόδοσιν, καὶ οὐ λαμβάνει, τότε πίπτει εἰς πολλὰς ἁμαρτίας· πίπτει εἰς τὸν θυμὸν, εἰς τὴν κατάκρισιν, εἰς τὸ μῖσος, ἐκριζοῖ ἀπὸ τῆς καρδίας αὐτοῦ τὴν πρὸς τὸν πλησίον ἀγάπην, καὶ τὴν εὐεργετικὴν προαίρεσιν. Ὁ

μὲν ἀχάριστος, ὅσον καὶ ἂν εἴη σκληροκάρδιος, αἰσθάνεται τῆς ἁμαρτίας αὐτοῦ τὸ βάρος, διὸ καὶ ἐλπίς ἐστιν, ἵνα ἐφέποτε μετανοήσῃ, καὶ κατασταθῇ εὐγνώμων πρὸς τοὺς εὐεργέτας· ὁ δὲ εὐεργέτης, ἐπειδὴ στοχάζεται, ὅτι ἔχει μέγα δικαίωμα, ἵνα ζητῇ παρὰ τοῦ ὑπ' αὐτοῦ εὐεργετηθέντος τὴν ἀνταπόδοσιν, οὐ μόνον οὐ μετανοεῖ, ἀλλ' οὐδὲ γνωρίζει τὴν ἁμαρτίαν αὐτοῦ· ὅθεν οὐδεμία ἐλπίς ἐστιν ἐπιστροφῆς καὶ διορθώσεως τῶν τοιούτων αὐτοῦ ἁμαρτημάτων.

Ἡ εὐεργεσία ἐστὶν ἀρετὴ πολλὰ μεγάλη, ἐπειδή ἐστι καρπὸς τῆς ἀγάπης, ἐστὶν αὐτὴ ἡ ἀγάπη ἐνεργουμένη· ἡ πονηρία ὅμως τῆς ἀνθρωπίνης προαιρέσεως μεταβάλλει τὴν ἀρετὴν εἰς ἁμαρτίαν· διαστρέφει ἡ διεφθαρμένη προαίρεσις τὸν ὀρθὸν σκοπὸν τῆς εὐεργεσίας· διὸ ἡ ἀρετὴ μεταβάλλεται εἰς κακίαν, ἤ, ἵνα ὀρθότερον εἴπω, ἡ μεγάλη ἀρετὴ γίνεται ἀφορμὴ πολλῶν ἁμαρτημάτων.

Ἄνθρωπε, διατί ἀγανακτεῖς κατὰ τοῦ ἀχαρίστου; σὺ βέβαια ἀγανακτεῖς, ἢ ἐπειδὴ οὐδεμίαν ἀνταπόδοσιν ἔλαβες, ἢ ἐπειδὴ οὐκ ἔλαβες ἀμοιβὴν ἀνάλογον τῆς εὐεργεσίας σου, ἢ ἐπειδὴ ἀντέλαβες πονηρὰ ἀντὶ ἀγαθῶν· λοιπόν, ὅταν εὐηργέτησας, ἐπέβλεπες εἰς τὴν ἀνταπόδοσιν· ἀγαθοποίησας, ἵνα ἀγαθοποιηθῇς· ἔδωκας, ἵνα λάβῃς· ἡ εὐεργεσία σου λοιπὸν οὐκ ἔστιν εὐεργεσία, ἀλλὰ δάνειον· διότι ὁ δανειστὴς δίδωσιν, ἵνα πάλιν λάβῃ· ἡ εὐεργεσία σου οὐκ ἔστιν εὐεργεσία, ἀλλὰ πραγματεία· διότι ὁ πραγματευτὴς δίδωσι τοῦτο, ἵνα λάβῃ ἐκεῖνο. Ἄλλο δέ ἐστι τὸ δάνειον καὶ ἡ πραγματεία, καὶ ἄλλο ἡ εὐεργεσία· ἐκεῖνά εἰσι δοσοληψίαι, αὐτή ἐστι χάρις καὶ δῶρον· ἐὰν ζητῇς τὴν ἀνταπόδοσιν, διατί ἁρπάζεις τῆς εὐεργεσίας τὸ ὄνομα, καὶ λέγεσαι εὐεργέτης; ἐὰν δὲ ὀνομάζεσαι εὐεργέτης, διατί ζητεῖς ἀνταπόδοσιν δι' ἐκεῖνο, ὅπερ ἐχάρισας; ὅταν λέγῃς, ὅτι εὐεργετεῖς, ἔπειτα ζητεῖς ἀνταπόδοσιν, τότε γίνεσαι ὑποκριτὴς καὶ ἀπατεών, τότε ἀπατᾷς τὸν κόσμον· διότι οἱ μὲν ἄνθρωποι, ἀκούοντες, ὅτι εὐεργετεῖς, καὶ βλέποντες, ὅτι δίδεις χωρὶς συναλλακτικῶν γραμμάτων, καὶ ἐγγράφου συμφωνίας, ἐπαινοῦσί σε ὡς εὔσπλαγχνον εὐεργέτην· σὺ δὲ τῷ μὲν λόγῳ φαίνεσαι εὐεργέτης, τῷ δὲ ἔργῳ ὑπάρχεις δανειστής, ἢ τέλειος πραγματευτής.

Ἔστω, λέγουσί τινες· ἡμεῖς οὐδὲ περισσότερα, οὐδὲ ἴσα, οὐδὲ ὀλιγώτερα ζητοῦμεν παρὰ τῶν εὐεργετηθέντων· ἀλλ' ὅτε ἐκεῖνος, ὃν εὐεργετήσαμεν, γίνεται διώκτης, καὶ ἐπίβουλος, καὶ συκοφάντης, καὶ προδότης ἡμῶν, τότε τοῦτο ταράττει τὰ σπλάγχνα ἡμῶν, τοῦτό ἐστι τὸ ἀφόρητον. Τοῦτο, ἀδελφοί, ταράττει, ἐπειδὴ πεπεισμένοι ἐσμέν, ὅτι ἔχομεν δικαίωμα ἐπάνω εἰς τοὺς εὐεργετηθέντας, καὶ ἐγκεκολλαμένη ἐστὶν εἰς τὴν φαντασίαν ἡμῶν ἡ ἔννοια τῆς ἀνταποδόσεως. Τοῦτο γίνεται ἀφόρητον, ἐπειδὴ εὐεργετοῦμεν, ἔχοντες τὸν σκοπόν, ὃν εἶχον οἱ ἐθνικοὶ καὶ εἰδωλολάτραι. Τοῦτο ταράττει καὶ ἐστὶν ἀφόρητον, ἐπειδὴ οὐ γινώσκομεν τί ἐστιν εὐεργεσία, καὶ διὰ ποίαν αἰτίαν εὐεργετοῦμεν.

Ὅστις θέλει νὰ μάθῃ ποῖόν ἐστι τῆς εὐεργεσίας τὸ ὕψος, καὶ ἡ ἀρετή, καὶ ἡ χάρις, ἐκεῖνος πρέπον ἐστίν, ἵνα ἀπέλθῃ εἰς τὸ σχολεῖον τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. Ἐκεῖ αὐτὸς ἀκούει τὰ περὶ τῆς ἀληθινῆς εὐεργεσίας μαθήματα· ἐκεῖ μανθάνει τίς ἐστιν ἡ ἀληθὴς εὐεργεσία, καὶ πῶς γίνεται, καὶ ποία ἡ αὐτῆς ἀνταπόδοσις· ἐκεῖ διακρίνει καὶ τὸ τίς ἐστιν ἡ ψευδευεργεσία, καὶ τίνες ποιοῦσιν αὐτήν, πληροφορεῖται δέ, ὅτι ἡ τοιαύτη εὐεργεσία ἐστὶ πολ-

πολλὰ εὐτελὴς, καὶ μικροπρεπὴς, καὶ
οὐδεμίαν ἔχει χάριν· ἐκεῖ διδάσκει ὁ
Λουκ. ιδ'. 12. πανάγιος Διδάσκαλος, λέγων· Ὅταν
ποιῇς ἄριστον ἢ δεῖπνον, μὴ φώνει
τοὺς φίλους σου, μηδὲ τοὺς ἀ-
δελφούς σου, μηδὲ τοὺς συγγενεῖς
σου, μηδὲ γείτονας πλουσίους·
ἀλλὰ διατί τοῦτο; Μήποτε, λέγει,
καὶ αὐτοί σε ἀντικαλέσωσι, καὶ
γένηταί σοι ἀνταπόδομα. Ἀκούεις
πόσον μακρὰν διώκει ἀπὸ τῆς καρδίας
τοῦ εὐεργέτου τὸν σκοπὸν τῆς ἀνταπο-
δόσεως; Ἄκουσον δὲ καὶ πόσον ἀσφαλί-
ζει τὴν ψυχὴν αὐτοῦ ἀπὸ τοῦ τοιούτου
Αὐτ. 13. μεγάλου πειρασμοῦ· Ἀλλ' ὅταν ποιῇς
δοχὴν, κάλει πτωχοὺς, ἀναπή-
ρους, χωλοὺς, τυφλούς· ἰδοὺ πῶς
ἐκσπᾷ ῥιζόθεν πᾶσαν ἐλπίδα ἀνταπο-
δόσεως. Τοιουτοτρόπως οὖν νομοθετήσας
περὶ εὐεργεσίας, καὶ διδάξας τίς ἐστιν
ἡ ἀληθὴς εὐεργεσία, δείκνυσιν εὐθὺς
καὶ τὸ πόσον ἐστὶ μεγάλη καὶ ὑψηλὴ
ἡ τοιαύτη ἀρετὴ, καὶ ποίαν ἔχει τὴν ἀν-
ταπόδοσιν, ὅταν οὐκ ἐπιβλέπῃ τὰ ἀ-
πὸ τῶν εὐεργετηθέντων ἀνταποδόματα·
Αὐτ. 14. Καὶ μακάριος, λέγει, ἔσῃ· ὅτι οὐκ
ἔχουσιν ἀποδοῦναί σοι· ἀνταπο-
δοθήσεται γάρ σοι ἐν τῇ ἀναστά-
σει τῶν δικαίων. Ὅστις οὖν εὐερ-
γετεῖ ταύτην τὴν ἀληθινὴν εὐεργεσίαν,
ἐκεῖνος συντάσσεται εἰς τὴν τάξιν τῶν
μακαρίων, καὶ λαμβάνει ἀνταπόδοσιν
αἰώνιον μετὰ τῶν δικαίων, ὅταν ἀνα-
στηθῶσι πάντες οἱ ἄνθρωποι, καὶ πα-
ρασταθῶσιν ἐνώπιον τοῦ δικαίου Κρι-
τοῦ. Ἀκούσατε νῦν καὶ τὸ πόσον ἐ-
ξευτελίζει τὴν εὐεργεσίαν, ὅταν ὁ εὐερ-
γέτης ἐπιβλέπῃ εἰς τὴν τοῦ εὐεργε-
Λουκ. ς'. 33. τηθέντος ἀνταπόδοσιν· Καὶ ἐὰν ἀ-
γαθοποιῆτε, λέγει, τοὺς ἀγαθο-
ποιοῦντας ὑμᾶς, ποία ὑμῖν χά-
ρις ἐστίν; Ἀλλὰ διατί ἡ τοιαύτη
εὐεργεσία ἐστὶν ἐστερημένη πάσης ἀρε-
τῆς καὶ χάριτος; Διότι οὐκ ἔστιν ἀλη-
θὴς εὐεργεσία, ἀλλ' ἀντάλλαγμα· οὐκ
ἔστιν ἀληθὴς εὐεργεσία, ἀλλ' ὑπόκρι-
σις· ἐργασία ἐστὶν αὐτὴ τῶν ἁμαρτω-
λῶν ἀνθρώπων· Καὶ γὰρ οἱ ἁμαρ- Λουκ. ς'. 33.
τωλοὶ τὸ αὐτὸ ποιοῦσι. Βλέπετε
λοιπὸν, ὅτι ἡ μὲν ἀληθὴς εὐεργεσία ἐ-
στὶν ἔργον τῶν δικαίων, ἡ δὲ ψευδευερ-
γεσία ἐπιτήδευμα τῶν ἁμαρτωλῶν.

Ἀληθῶς δὲ πάντες οἱ ἅγιοι ἄν-
θρωποι εὐηργέτουν, μηδένα σκοπὸν ἔχον-
τες ἐπιγείου ἀνταποδόσεως. Οἱ ἅγιοι
Προφῆται, καὶ διὰ τῆς συμβουλῆς αὐ-
τῶν, καὶ διὰ τοῦ προφητικοῦ καὶ προσ-
ρατικοῦ κηρύγματος, καὶ διὰ τῶν θαυ-
μάτων εὐηργέτουν τοὺς Βασιλεῖς, τοὺς
Ἱερεῖς, τοὺς Ἄρχοντας, ὅλον τὸν λαὸν
τῶν Ἰουδαίων, ἀνταπόδοσιν δὲ οὐδεμίαν
ἤθελον παρὰ τῶν εὐεργετουμένων. Ὁ
Νεεμὰν, ὁ ἄρχων τῆς Συρίας, ἰδὼν, ὅτι
ὁ Προφήτης Ἐλισσαῖος ἐκαθάρισεν αὐ-
τὸν ἀπὸ τῆς λέπρας, προσέφερεν αὐτῷ
δῶρα, καὶ παρεκάλεσε, καὶ ἐβίασεν αὐ-
τὸν, ἵνα δεχθῇ αὐτά. Καὶ νῦν λάβε, Δ'.Βασ.ε'.
εἶπεν ὁ Νεεμὰν, τὴν εὐλογίαν τοῦ 15, 16.
δούλου σου. Ἀλλ' ἄραγε ἔλαβεν ἐξ
αὐτῶν ὁ Ἐλισσαῖος, κἂν μικρόν τι; Οὐ-
χί· Καὶ εἶπεν Ἐλισσαιέ· Ζῇ Κύ-
ριος, ᾧ παρέστην ἐνώπιον αὐτοῦ,
εἰ λήψομαι· καὶ παρεβιάσατο
αὐτὸν λαβεῖν, καὶ ἠπείθησε. Ποῖα
δὲ ἀνταποδόματα ἀνταπέδωκαν αὐτοῖς
οἱ εὐεργετούμενοι; Πονηρὰ ἀντὶ ἀγαθῶν·
τὸν Ἡσαΐαν ἔπρισαν ἐν ξυλίνῳ πρίονι,
τὸν Ἱερεμίαν ἐλίθασαν, τὸν Ἠλίαν κα-
τεδίωξαν, τὸν Μιχαίαν ἐῤῥάπισαν, τὸν
Δανιὴλ ἐν τῷ λάκκῳ τῶν λεόντων ἐνέ-
βαλον, τὸν Ζαχαρίαν μεταξὺ τοῦ Ναοῦ
καὶ τοῦ θυσιαστηρίου ἀπέκτειναν· αὐ-
τοὶ δὲ, κἂν ταῦτα προέβλεπον, ἐπειδὴ
ὅμως οὐκ εἰς τὰς ἐπιγείους ἀμοιβὰς ἐ-
πέβλεπον, διὰ τοῦτο οὐκ ἔπαυσαν νου-
θετοῦντες, κηρύττοντες, ὠφελοῦντες, παν-
τὶ

τὶ τρόπῳ τὸ θειότατον τῆς εὐεργεσίας
ἔργον ποιοῦντες.

Εἰς τοὺς θεοκήρυκας Ἀποστόλους
ἐφανέρωσεν ὁ Θεάνθρωπος ποίας ἀντα-
μοιβὰς δι' αὐτοὺς ἑτοιμάζουσιν οἱ ὑπ'
Λουκ. κά. 12. αὐτῶν εὐεργετηθῆναι μέλλοντες· Ἐπι-
βαλοῦσιν, εἶπεν, ἐφ' ὑμᾶς τὰς χεῖ-
ρας αὐτῶν, καὶ διώξουσι, παρα-
διδόντες εἰς συναγωγὰς καὶ φυ-
λακὰς, ἀγομένους ἐπὶ Βασιλεῖς
καὶ Ἡγεμόνας, ἕνεκεν τοῦ ὀνόμα-
Ἀυτ. 13. τός μου. Ἀποβήσεται δὲ ὑμῖν εἰς
Ἀυτ. 16. μαρτύριον. Παραδοθήσεσθε δὲ ὑ-
πὸ γονέων, καὶ ἀδελφῶν, καὶ συγ-
γενῶν, καὶ φίλων· καὶ θανατώ-
Ἀυτ. 17. σουσιν ἐξ ὑμῶν· καὶ ἔσεσθε μι-
σούμενοι ὑπὸ πάντων διὰ τὸ ὄνο-
μά μου. Τί δέ; ἐδίστασαν ἄραγε αὐ-
τοὶ, ταῦτα ἀκούσαντες, ἢ ἐφοβήθησαν,
ἢ ἔκλεισαν τῆς ἀγαθοποιΐας τὰς χεῖρας;
ἀπεστράφησαν ἄραγε τὸ ἀγαθοποιεῖν, ὡς
τοσούτων κακῶν πρόξενον; Οὐχί· διῆλ-
θον μεγαλοψύχως πᾶσαν τὴν γῆν, πᾶ-
σαν τὴν οἰκουμένην, διδάσκοντες, φωτίζον-
τες, θαυματουργοῦντες, ἐκχέοντες ἐπὶ
πάντας τὰ σωτήρια τῆς εὐεργεσίας νάμα-
τα. Διατί δὲ αὐτοὶ οὐκ ἐζήτουν ἀνταπόδο-
σιν ἀπὸ τῶν εὐεργετηθέντων, κἂν εἶχον δι-
καίωμα, ὡς ἔγραφεν ὁ Παῦλος πρὸς τοὺς
Α'. Κορ. θ'. 11, 12. Κορινθίους; Εἰ ἡμεῖς ὑμῖν τὰ πνευ-
ματικὰ ἐσπείραμεν, μέγα εἰ ἡμεῖς
ὑμῶν τὰ σαρκικὰ θεριοῦμεν; Εἰ ἄλ-
λοι τῆς ἐξουσίας ὑμῶν μετέχου-
σιν, οὐ μᾶλλον ἡμεῖς; Ἀλλ' οὐκ ἐ-
χρησάμεθα τῇ ἐξουσίᾳ ταύτῃ, ἀλ-
λὰ πάντα στέγομεν, ἵνα μὴ ἐγκο-
πήν τινα δῶμεν τῷ Εὐαγγελίῳ τοῦ
Χριστοῦ. Αὐτοὶ οὐκ ἐπέβλεπον εἰς
τὰς ἀμοιβὰς τὰς εὐτελεῖς καὶ προσκαί-
ρους, ἐπειδὴ περιέμενον τὴν ἀνταπόδοσιν
Τιμ. δ'. 7, 8. τὴν πανυπέρτιμον καὶ οὐράνιον· Τὸν
ἀγῶνα τὸν καλὸν ἠγώνισμαι, τὸν
δρόμον τετέλεκα, τὴν πίστιν τε-
τήρηκα· λοιπὸν ἀπόκειταί μοι ὁ
τῆς δικαιοσύνης στέφανος, ὃν ἀ-
ποδώσει μοι ὁ Κύριος ἐν ἐκείνῃ
τῇ ἡμέρᾳ, ὁ δίκαιος Κριτής. Ἀ-
κούετε πόθεν αὐτοὶ περιέμενον τὴν ἀν-
ταπόδοσιν τοῦ ἀγῶνος, ὃν ὑπέμειναν, ἵνα
εὐεργετήσωσι τὸν πλησίον; Οὐ παρὰ
τῶν εὐεργετηθέντων ἀνθρώπων, διότι οἱ
ἄνθρωποί εἰσιν ἄδικοι, ἀλλὰ παρὰ τοῦ
Θεοῦ, ὅστις ἐστὶ δίκαιος Κριτής. Ἀκούετε
πότε αὐτοὶ περιέμενον τὴν ἀνταπόδοσιν
τῶν πρὸς τοὺς ἀνθρώπους εὐεργεσιῶν αὐ-
τῶν; Οὐκ ἐν τῷ καιρῷ τούτῳ, ἐπειδὴ ὁ
παρὼν καιρὸς οὐκ ἔστι καιρὸς ἀνταπο-
δόσεως, ἀλλ' ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, ἤγουν
ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως, καθ' ἣν ὁ
Θεὸς ἀνταποδίδωσιν ἑκάστῳ κατὰ τὰ ἔρ-
γα αὐτοῦ. Ἐπειδὴ δὲ πεπληροφορημένοι
ἦσαν οἱ τρισμακάριοι, ὅτι ἡ ἀχαριστία
τῶν εὐεργετουμένων γίνεται εὐεργεσία
τοῦ εὐεργέτου· καθότι ὁ Θεὸς, ὅσον ἀ-
χάριστοι γίνονται οἱ εὐεργετούμενοι, τό-
σον περισσοτέρους στεφάνους πλέκει διὰ
τοὺς εὐεργέτας· διὰ τοῦτο μετὰ τοσαύ-
της μεγαλοψυχίας ὑπέφερον τὰ κακὰ
ἀντὶ τῶν ἀγαθῶν, καὶ ὑπέμενον τὴν ἀ-
χαριστίαν τῶν ἀχαρίστων, ὥστε ὑβρι-
ζόμενοι, εὐλόγουν· διωκόμενοι, ὑπέ- Α'. Κορ. δ'.
φερον· βλασφημούμενοι, παρεκάλουν· 12, 13.
ὢ τοῦ θαύματος! οὐκ ἦσαν ἄνθρωποι
καὶ αὐτοὶ ὥσπερ καὶ ἡμεῖς; οὐκ ἐφό-
ρουν καὶ αὐτοὶ σάρκα καὶ παθήματα,
καθὼς καὶ ἡμεῖς; Ναί· ἀλλ' αὐτοὶ οὐκ
ἔβλεπον κάτω εἰς τὴν γῆν, ἀλλ' ἄνω εἰς
τὸν οὐρανόν· αὐτοὶ οὐδὲν ἄλλο ἔβλεπον,
εἰμὴ τὸ παράδειγμα τοῦ ἀρχηγοῦ καὶ
τελειωτοῦ τῆς πίστεως, τοῦ Κυρίου ἡ-
μῶν Ἰησοῦ Χριστοῦ, εἰς αὐτὸν εἶχον ἀ-
φιερωμένα τὰ ὄμματα, ὅθεν μετὰ ὑπο-
μονῆς ἔτρεχον εἰς τοὺς προκειμένους ἀ-
γῶνας· Δι' ὑπομονῆς τρέχωμεν τὸν Ἑβρ. ιβ'.
προκείμενον ἡμῖν ἀγῶνα, ἀφο- 1, 2.
ρῶντες εἰς τὸν τῆς πίστεως ἀρ-

χη-

χηγὸν καὶ τελειωτὴν Ἰησοῦν. Ἐὰν οὖν καὶ ἡμεῖς ἀφιερώσωμεν τῆς ψυχῆς καὶ τῆς καρδίας ἡμῶν τὰ ὄμματα πρὸς αὐτὸν, τότε, οὐδὲν λογιζόμενοι τὴν ἀχαριστίαν, ἀλλ᾽ εὐεργετοῦντες, λαμβάνομεν τὸν ἀμάραντον στέφανον.

Αὐτὸς, μετὰ τὸ βάπτισμα, ὃ ἐκήρυξεν
Πράξ. ί. 38. ὁ Ἰωάννης, διῆλθεν εὐεργετῶν καὶ ἰώμενος πάντας τοὺς καταδυναστευομένους ὑπὸ τοῦ Διαβόλου. Αὐτὸς τοὺς πεινῶντας ἐχόρτασε, τοὺς τυφλοὺς ἐφώτισε, τοὺς λεπροὺς ἐκαθάρισε, τοὺς παραλύτους συνέσφιγξε, τοὺς συγκύπτοντας ἀνώρθωσεν, εἰς τοὺς κωφοὺς ἔδωκεν ἀκοὴν, εἰς τοὺς ἀλάλους λαλιὰν, εἰς τοὺς ἀσθενεῖς ὑγείαν, εἰς τοὺς δαιμονιζομένους λύτρωσιν, εἰς τοὺς νεκροὺς ζωὴν, εἰς πάντας τοὺς πάσχοντας ἰατρείαν. Ἀντὶ δὲ τῶν εὐεργεσιῶν αὐτοῦ, τί ἀνταπέδωκαν αὐτῷ οἱ Ἰουδαῖοι; Προδοσίαν, συκοφαντίας, ἐμπαιγμοὺς, ῥαπίσματα, μάστιγας, φραγγέλωσιν, στέφανον ἀκάνθινον, πορφύραν χλεύης, κάλαμον ὀνειδισμοῦ, σταυρὸν, χολὴν, καὶ
Α΄. Πέτρ. β΄. 23. ὄξος. Αὐτὸς δὲ, λοιδορούμενος, οὐκ ἀντελοιδόρει, πάσχων, οὐκ ἠπεί-
Ἡσ. νγ΄. 7. λει. Αὐτὸς ὡς ἄφωνος, οὕτως οὐκ ἀνοίγει τὸ στόμα αὐτοῦ. Αὐτὸς, ἕως ἐσχάτης αὐτοῦ ἀναπνοῆς, οὐδόλως ἔπαυσεν εὐεργετῶν, ἀλλ᾽ ἐξέπνευσεν, ἔ-
Λουκ. κγ΄. 34. χων τὴν εὐεργεσίαν εἰς τὸ στόμα· Πάτερ, ἄφες αὐτοῖς, οὐ γὰρ οἴδασι τί ποιοῦσι.

Χριστιανὲ, σὺ ὑπάρχεις μαθητὴς τοῦ Ἰησοῦ Χριστοῦ· εὐεργέτει λοιπὸν πάντοτε πάντας· ἐκεῖνον διὰ τῆς συμβουλῆς σου, τοῦτον διὰ τῆς μεσιτείας σου· ἐκεῖνον διὰ τῶν χρημάτων σου, τὸν ἄλλον διὰ τῆς προστασίας σου· τοῦτον νουθέτησον, ἐκεῖνον ὑπηρέτησον, τὸν ἄλλον βοήθησον καθ᾽ οἱουδήποτε δύνασαι τρόπου. Ἡ εὐεργεσία ἐστὶν ἀρετὴ μεγάλη, ἐπειδή ἐστιν ὁ καρπὸς καὶ ἡ ἐκπλήρωσις τῆς ἀγάπης· αὐτή ἐστιν ἡ ἐνεργουμένη ἀγάπη· δι᾽ αὐτῆς ὁ Θεὸς γίνεται τοῦ ἀνθρώπου χρεώστης, καὶ ὁ ἄνθρωπος γίνεται ὥσπερ Θεὸς τοῦ ἀνθρώπου. Ὅταν δὲ εὐεργετῇς, πρόσεχε, μὴ ἐξαχρειώσῃς τῆς εὐεργεσίας σου τὴν χάριν, ζητῶν ἀνταπόδοσιν, ἢ σκανδαλιζόμενος κατὰ τῶν ἀχαρίστων· διότι, ὅσον οἱ εὐεργετηθέντες ἀθετοῦσι τῆς εὐχαριστίας τὸ χρέος, τόσον ὁ Θεὸς πολυπλασιάζει τῆς ἀνταποδόσεώς σου τοὺς στεφάνους. Μὴ προτιμήσῃς τὴν ἀνταπόδοσιν τῶν ἀνθρώπων, ἥτις ἐστὶ πρόσκαιρος, τῆς ἀνταποδόσεως τοῦ Θεοῦ, ἥτις ἐστὶν αἰώνιος. Ἔχε πάντοτε ἔμπροσθεν τῶν ὀφθαλμῶν σου τὸ παράδειγμα τοῦ εὐεργέτου καὶ Σωτῆρός σου· ποσάκις σὺ ἀχάριστος γίνεσαι εἰς τὰς εὐεργεσίας αὐτοῦ; καὶ ὅμως αὐτὸς οὐδέποτε παύει εὐεργετῶν σε. Ἄκουε τὸ θεῖον αὐτοῦ πρό-
σταγμα· Ἀγαθοποιεῖτε καὶ δανείζετε, μηδὲν ἀπελπίζοντες. Πίστευε δὲ εἰς τὴν θείαν αὐτοῦ ὑπόσχεσιν· Λουκ. ς΄. 35.
Καὶ ἔσται ὁ μισθὸς ὑμῶν πολὺς καὶ ἔσεσθε υἱοὶ τοῦ ὑψίστου.

---

# ΕΡΜΗΝΕΙΑ

ΕΙΣ ΤΟ ΚΑΤΑ

# ΜΑΤΘΑΙΟΝ

## ΕΥΑΓΓΕΛΙΟΝ ΤΗΣ Ϛ΄. ΚΥΡΙΑΚΗΣ.

Ῥωμ. ι΄. 17. Ἄρα ἡ πίστις ἐξ ἀκοῆς, λέγει ὁ θεηγόρος Ἀπόστολος Παῦλος, ἡ δὲ ἀκοὴ διὰ ῥήματος Θεοῦ. Τούτων τῶν ἀποστολικῶν λόγων τὴν ἀπόδειξιν καταλαμβάνομεν ἐξόχως ἐκ τῆς ἱστορίας τοῦ σήμερον ἀναγνωσθέντος Εὐαγγελίου. Τὸ εἰς τὸν Παράλυτον γενόμενον θαῦμα δύναμιν εἶχε κραταιοτάτην, πρὸς τὸ καταπεῖσαι πάντας τοὺς ἰδόντας αὐτὸ διὰ τῶν ἰδίων ὀφθαλμῶν, ὅτι ὁ Ἰησοῦς Χριστός ἐστιν ἀληθινὸς Θεός· διότι τίς ἄλλος, ἢ γνωρίζει τὰ ἀπόκρυφα ἁμαρτήματα, ἢ διακρίνει τοὺς ἐνδομύχους λογισμοὺς τῆς καρδίας, ἢ δι' ἑνὸς μόνου λόγου σφίγγει καὶ ἐνδυναμοῖ παραλελυμένα καὶ ἄτονα μέλη, εἰμὴ εἷς καὶ μόνος ὁ καρδιογνώστης καὶ παντοδύναμος Θεός; Καὶ ὅμως οἱ μὲν Γραμματεῖς ἔλεγον, ὅτι ὁ Ἰησοῦς Χριστός ἐστιν ἄνθρωπος βλάσφημος, ὁ δὲ κοινὸς λαός, ὅτι ἐστὶν ἄνθρωπος μόνον θαυματουργός. Πλήθη ἀνθρώπων ὑπέρμετρα οὐδὲ τοῦτο, οὐδὲ τ' ἄλλα θαύματα τοῦ Ἰησοῦ Χριστοῦ εἶδον, διὰ ῥήματος μόνον Θεοῦ, ἤγουν διὰ τῶν εὐαγγελικῶν λόγων, τὴν ἱστορίαν τῶν θαυμάτων τοῦ Ἰησοῦ Χριστοῦ ἤκουσαν, καὶ ὅμως ἐπίστευσαν, ὅτι ὁ ταῦτα ποιήσας Ἰησοῦς Χριστὸς ἐστὶ τέλειος Θεός. Μάτην λοιπὸν ζητοῦσι τινὲς θαυμάτων ὅρασιν, πρὸς φωτισμὸν καὶ στερέωσιν καὶ αὔξησιν τῆς πίστεως· διότι εἰς τοὺς ἀξίους αὐτῆς ἀρκεῖ ἡ ἀκοή, καὶ ὁ λόγος τοῦ Θεοῦ, ὁ δὲ αὐτῆς εἰσερχόμενος εἰς τὴν ψυχὴν ἡμῶν· αὐτὸς καὶ φωτίζει, καὶ στηρίζει, καὶ αὔξει τὴν ἀληθινὴν θεογνωσίαν καὶ εὐσέβειαν. Ὑμεῖς οὖν, εὐλογημένοι Χριστιανοί, ἑτοιμάσατε ἀκοὴν προσεκτικὴν καὶ εὐλαβητικήν, ἡμεῖς δὲ προσάξομεν εἰς τὰς ἀκοὰς ὑμῶν τοῦ Θεοῦ τὸν λόγον, τὸν ἅγιον καὶ ἀληθινόν.

**Τῷ καιρῷ ἐκείνῳ, ἐμβὰς ὁ** Ματ. θ΄. 1.
**Ἰησοῦς εἰς πλοῖον, διεπέρασε, καὶ ἦλθεν εἰς τὴν ἰδίαν πόλιν.**

Οἱ Γεργεσηνοὶ ἐξέβαλον τὸν Ἰησοῦν Χριστὸν ἀπὸ τῶν συνόρων τῆς χώρας αὐτῶν· ἦν δὲ ἡ τούτων χώρα, ἡ Γέργεσα, εἴτε Γέρασα, παραθαλάσσιος τόπος τῆς θαλάσσης τῆς Τιβεριάδος, κατὰ τὸ ἀνατολικὸν αὐτῆς μέρος κείμενος. Ὅθεν, εἰσελθὼν ὁ Ἰησοῦς εἰς πλοῖον, διεπέρασε τὴν θάλασσαν τῆς Τιβεριάδος, καὶ ἦλθεν εἰς τὴν ἰδίαν πό- Μάρκ. β΄. 1.
λιν, ἤγουν εἰς τὴν Καπερναούμ. Ταύτην δὲ ὁ ἱερὸς Εὐαγγελιστὴς ὀνομάζει ἰδίαν πόλιν τοῦ Ἰησοῦ Χριστοῦ, ἐπειδὴ ἐν αὐτῇ εἶχε τὸ κατοικητήριον αὐτοῦ, ὡς ἀλλαχοῦ μαρτυρεῖ ὁ αὐτός, λέγων· Καὶ καταλιπὼν τὴν Ναζα- Ματ. δ΄. 13.
ρέτ, ἐλθὼν κατῴκησεν εἰς Καπερναοὺμ τὴν παραθαλασσίαν.

**Καὶ ἰδού, προσέφερον αὐτῷ** Αὐτ. θ΄. 2.
**παραλυτικόν, ἐπὶ κλίνης βε-**

βλη-

βλημένον· καὶ ἰδὼν ὁ Ἰησοῦς τὴν πίστιν αὐτῶν, εἶπε τῷ παραλυτικῷ· Θάρσει τέκνον, ἀφέωνταί σοι αἱ ἁμαρτίαι σου.

Δύω παραλυτικοὺς ἐθεράπευσεν ὁ Ἰησοῦς Χριστὸς, τὸν μὲν ἐπὶ τῆς προβατικῆς κολυμβήθρας, περὶ οὗ μόνος ὁ εὐαγγελιστὴς Ἰωάννης ἐν τῷ πέμπτῳ κεφαλαίῳ ἐλάλησε· τὸν δὲ, εἰς τὴν Καπερναούμ. Περὶ αὐτοῦ δὲ διαλαμβάνει οὐ μόνον ὁ εὐαγγελιστὴς Ματθαῖος, ὡς ἠκούσαμεν ἐν τῷ σημερινῷ Εὐαγγελίῳ, ἀλλὰ καὶ ὁ Μάρκος ἐν τῷ δευτέρῳ κεφαλαίῳ, καὶ ὁ Λουκᾶς ἐν τῷ πέμπτῳ. Ἰδοὺ, λέγει, ἤγουν εὐθὺς ὡς ἔφθασεν ὁ Ἰησοῦς Χριστὸς εἰς τὴν Καπερναοὺμ, προσέφερον καὶ παρέστησαν ἐνώπιον αὐτοῦ τὸν παραλυτικόν. Ἐὰν ὁ παράλυτος οὗτος εἶχε ὀλίγην δύναμιν κινήσεως, ἤρχετο βέβαια μόνος, περιπατῶν καὶ ἐπιστηριζόμενος, πρὸς τὸν Ἰησοῦν Χριστόν· ἐὰν δὲ ἄλλοι ἠδύναντο σαλεῦσαι αὐτὸν ἀπὸ τῆς κλίνης αὐτοῦ, ἔφερον ἂν αὐτὸν βασταζόμενον, καὶ ἀνακλινόμενον ἐπ' αὐτούς· ἐπειδὴ δὲ ἀκούομεν, ὅτι σὺν τῇ κλίνῃ αὐτοῦ ἄραντες αὐτὸν, ἔφερον αὐτὸν, καὶ οὕτως ἐν τῇ κλίνῃ κατακείμενον παρέστησαν αὐτὸν ἐνώπιον τοῦ Ἰησοῦ Χριστοῦ, φανερόν ἐστιν, ὅτι παραλελυμένα ἦσαν εἰς τὸ παντελὲς, καὶ ἀνενέργητα καὶ ἀκίνητα πάντα τὰ μέλη αὐτοῦ, ὥστε οὐ μόνον αὐτὸς οὐκ ἠδύνατο ἐγερθῆναι ἀπὸ τῆς κλίνης αὐτοῦ, ἀλλ' οὐδὲ ἄλλος τις ἠδύνατο ἐξεγεῖραι αὐτόν· διὰ τοῦτο οὖν ἐν τῇ κλίνῃ κατακείμενον παρέστησαν αὐτὸν πρὸς τὸν Ἰησοῦν Χριστόν. Τίνων δὲ τὴν πίστιν εἶδεν ὁ Ἰησοῦς Χριστός; Τοῦ παραλύτου, καὶ ἐκείνων, οἵτινες ἐβάσταζον τὴν κλίνην αὐτοῦ· διὰ τοῦτο δὲ εἶπεν, αὐτῶν, πληθυντικῶς, ἵνα δείξῃ, ὅτι οὐ μόνον ὁ παράλυτος ἐπίστευεν, ὅτι λαμβάνει τὴν ἴασιν, ἀλλὰ καὶ οἱ τὴν τούτου κλίνην ἐπιφορτισθέντες, καὶ παραστήσαντες αὐτὸν τῷ Χριστῷ· ἐνδεχομένως δὲ οὗτοι ἦσαν συγγενεῖς τοῦ παραλύτου, ἢ φίλοι, ἢ γείτονες, ἢ ἄλλοι εὐσπλαγχνικοὶ ἄνθρωποι. Αὐτὰ δὲ τὰ πράγματα ἐφανέρωσαν τὴν πίστιν αὐτῶν τε καὶ τοῦ παραλύτου· διότι, ἐὰν ὁ παράλυτος οὐκ ἐπίστευεν, οὐκ ὠνόμαζεν αὐτὸν, τέκνον, ὁ Ἰησοῦς Χριστός· ἐὰν δὲ οἱ βαστάζοντες αὐτὸν οὐκ ἐπίστευον, οὐδὲ τὴν κλίνην μετὰ τοσαύτης προθυμίας ἐπεφορτίζοντο, οὐδὲ ἀνέβαινον εἰς τὴν στέγην τοῦ οἴκου, ὡς λέγει ὁ ἱερὸς Μάρκος, οὐδὲ ἀ- Μάρκ. β. 4.
πεστέγαζον αὐτὴν, ἵνα, ἐκεῖθεν καταβιβάσαντες τὸν παράλυτον, παραστήσωσιν αὐτὸν ἐνώπιον τοῦ σωτῆρος Χριστοῦ. Ἐπειδὴ οὖν ἐγνώρισεν ὁ πολυεύσπλαγχνος Ἰησοῦς τὴν πίστιν αὐτῶν, εἶπεν εἰς τὸν παραλυτικόν· Τέκνον, μὴ φοβῆσαι, ἀλλὰ μεγαλοψύχει, καὶ ἔχε θάῤῥος, διότι αὐτὴν τὴν ὥραν λύονται καὶ συγχωροῦνται αἱ ἁμαρτίαι σου· Τέκνον, ἀφέωνταί σοι αἱ ἁμαρτίαι σου. Ταῦτα τὰ λόγια πληροφοροῦσιν ἡμᾶς, ὅτι ὁ παράλυτος, οὐ μόνον ἐπίστευσεν εἰς τὸν Ἰησοῦν Χριστὸν, ἀλλὰ καὶ ἐπέστρεψεν ἀπὸ τῶν ἁμαρτιῶν αὐτοῦ· διότι οὐδεὶς μὲν ἄπιστος λέγεται τέκνον Θεοῦ, οὐδεὶς δὲ ἀμετανόητος λαμβάνει τὴν ἄφεσιν τῶν ἁμαρτιῶν αὐτοῦ. Ἡ εἰς Χριστὸν πίστις δίδωσι τῆς υἱοθεσίας τὸ χάρισμα, καὶ ποιεῖ τὸν ἄνθρωπον τέκνον Θεοῦ· Ὅσοι Ἰωάν. α. 12.
δὲ ἔλαβον αὐτὸν, ἔδωκεν αὐτοῖς ἐξουσίαν τέκνα Θεοῦ γενέσθαι, τοῖς πιστεύουσιν εἰς τὸ ὄνομα αὐτοῦ. Ἡ ἀληθὴς μετάνοια φέρει εὐθὺς τὴν ἄφεσιν τῶν ἁμαρτιῶν· διὰ τοῦτο δὲ ὁ Θεάνθρωπος εἶπεν, ὅτι πρέπον ἐστὶν, ἵνα κηρυχθῇ ἐν τῷ ὀνόματι αὐτοῦ οὐ μόνον μετάνοια, ἀλλὰ καὶ ἡ διὰ τὴν μετάνοιαν διδομένη ἄφεσις τῶν ἁμαρτιῶν·

Λουκ. κδ'. 47. τιῶν· Καὶ κηρυχθῆναι ἐπὶ τῷ ὀνόματι αὐτοῦ μετάνοιαν καὶ ἄφεσιν ἁμαρτιῶν εἰς πάντα τὰ ἔθνη. Βλέπε δὲ, ὅτι πρῶτον ἐσυγχώρησεν ὁ Ἰησοῦς Χριστὸς τὰς ἁμαρτίας τοῦ παραλύτου, ἤγουν ἰάτρευσε τῆς ψυχῆς αὐτοῦ τὴν ἀσθένειαν, ἔπειτα ἐθεράπευσε τοῦ σώματος αὐτοῦ τὴν παράλυσιν. Ἐκ τούτου μανθάνομεν, ὅτι ἐξ ἁμαρτιῶν πολλάκις ἀσθενοῦμεν· ὅταν δὲ διὰ τῆς μετανοίας ἐξαλείψωμεν τὰς ἁμαρτίας, τότε λαμβάνομεν καὶ τὴν ὑγείαν τοῦ σώματος. Τί δὲ ἠκολούθησεν, ὅτε ὁ Ἰησοῦς Χριστὸς ἐξεφώνησε τῆς εὐσπλαγχνίας αὐτοῦ τὰ λόγια πρὸς τὸν παράλυτον, ἤγουν τὸ, Ἀφέωνταί σοι αἱ ἁμαρτίαι σου;

Ματ. θ'. 3. Καὶ ἰδοὺ τινὲς τῶν Γραμματέων, εἶπον ἐν ἑαυτοῖς· Οὗτος βλασφημεῖ.

Οἱ Γραμματεῖς, ἤγουν οἱ νομοδιδά-
Ἀυτ. κγ'. 2. σκαλοι, οἱ ἐπὶ τῆς Μωσέως καθέδρας καθήμενοι, τετυφλωμένοι ὑπὸ τοῦ φθόνου, ἐνόμιζον, ὅτι ὁ Ἰησοῦς Χριστὸς ἄνθρωπος ψιλός ἐστιν, οὐχὶ δὲ καὶ Θεός· ὅθεν, ἀκούσαντες τὴν δεσποτικὴν αὐτοῦ φωνὴν, Τέκνον, ἀφέωνταί σοι αἱ ἁμαρτίαι σου, ἐστοχάσθησαν, ὅτι βλασφημεῖ, τὴν ἐξουσίαν τοῦ Θεοῦ ἁρπάζων, καὶ Θεὸν ἑαυτὸν ποιῶν. Τοιοῦτοι δὲ ἄδικοι καὶ παράλογοί εἰσι πολλάκις οἱ λογισμοὶ, καὶ αἱ κρίσεις τῶν φιλοκατηγόρων ἀνθρώπων· κατακρίνουσι τὴν ἀρετὴν ὡς κακίαν, καὶ ὀνομάζουσι τὸ φῶς, σκότος. Βλέπε δὲ τὴν μεταξὺ τῶν Γραμματέων καὶ τῶν φιλοκατηγόρων διαφοράν. Οἱ μὲν Γραμματεῖς ἐσυλλογίσθησαν μόνον τὰς κατὰ τοῦ Χριστοῦ βλασφημίας, πλὴν οὐκ ἐτόλμησαν ἐκφωνῆσαι, οὐδὲ εἰπεῖν, ὅτι ὁ Ἰησοῦς Χριστὸς ἐβλασφήμησεν· οἱ δὲ ταλαλοι οὐ μόνον συλλογίζονται ἐν τῇ καρδίᾳ αὐτῶν, ἀλλὰ καὶ στόμα ἀνοίγουσι, καὶ τὴν γλῶσσαν κινοῦσι, παῤῥησίᾳ κακολογοῦντες καὶ ἀδίκως κατακρίνοντες τὸν πλησίον αὐτῶν. Ἄκουε δὲ πῶς καταθεατρίζει ὁ Θεάνθρωπος τοὺς κεκρυμμένους πονηροὺς καὶ βλασφήμους διαλογισμοὺς τῶν Γραμματέων.

Καὶ ἰδὼν ὁ Ἰησοῦς τὰς ἐνθυμήσεις αὐτῶν, εἶπεν· Ἵνα τί ὑμεῖς ἐνθυμεῖσθε πονηρὰ ἐν ταῖς καρδίαις ὑμῶν; Ματ. θ'. 4.

Βλέπε τὸν χαρακτῆρα τῆς Θεότητος τοῦ Ἰησοῦ Χριστοῦ. Μόνος ὁ Θεὸς βλέπει τοὺς διαλογισμοὺς τοῦ ἀνθρώπου· αὐτὸς μόνος διακρίνει καὶ τὰς πονηρὰς καὶ τὰς καλὰς τῶν καρδιῶν ἡμῶν ἐνθυμήσεις. Ἐβεβαίωσε τοῦτο αὐτὸς ὁ Θεὸς, εἰπὼν διὰ μὲν τοῦ προφήτου Ἱερεμίου, Ἐγὼ Κύριος ἐτάζων καρ- Ἱερ. ιζ'. 10.
δίας, καὶ δοκιμάζων νεφροὺς, τοῦ δοῦναι ἑκάστῳ κατὰ τὰς ὁδοὺς αὐτοῦ, καὶ κατὰ τοὺς καρποὺς τῶν ἐπιτηδευμάτων αὐτοῦ· διὰ δὲ
τοῦ προφητάνακτος Δαβίδ· Ἐτάζων Ψαλ. ζ'. 9.
καρδίας καὶ νεφροὺς ὁ Θεός. Τοῦτο δὲ φόβον ἐνστάζει εἰς τὰς ψυχὰς ἡμῶν, καὶ πείθει ἡμᾶς, ἵνα ἀπέχωμεν οὐ μόνον ἀπὸ τῶν πονηρῶν πράξεων, ἀλλὰ καὶ ἀπὸ τῶν πονηρῶν λογισμῶν. Ὡς οὖν Θεὸς ἀληθινὸς ὁ Ἰησοῦς Χριστὸς, γνωρίσας τί περὶ αὐτοῦ διαλογίζονται οἱ Γραμματεῖς, εἶπε πρὸς αὐτούς· Διατί συλλογίζεσθε πονηρὰ καὶ βλάσφημα νοήματα κατ' ἐμοῦ; Ταῦτα δὲ εἰπὼν, ἀνακαλύπτει τοὺς λογισμοὺς αὐτῶν, λέγων·

Τί γάρ ἐστιν εὐκοπώτερον, εἰ- Ματ. θ'. 5.

**εἰπεῖν· Ἀφέωνταί σοι αἱ ἁμαρτίαι, ἢ εἰπεῖν· Ἔγειραι, καὶ περιπάτει;**

Οἱ Γραμματεῖς, *ἀκούσαντες τὸν* Χριστὸν *εἰπόντα εἰς τὸν παράλυτον*, Ἀφέωνταί σοι αἱ ἁμαρτίαι σου, *ἐσυλλογίσθησαν, ὅτι εἶπε λόγια βλάσφημα.* Ὁ *οὖν* Ἰησοῦς Χριστὸς, *θέλων ἀποδεῖξαι, ὅτι εἶχεν ἐξουσίαν καὶ δύναμιν τοῦ συγχωρεῖν τὰς ἁμαρτίας, πρῶτον μὲν ἔδειξεν εἰς αὐτοὺς τὴν θεϊκὴν αὐτοῦ δύναμιν, φανερώσας τὰ ἀπόκρυφα τῶν καρδιῶν αὐτῶν, ἔπειτα προβάλλει εἰς αὐτοὺς τοῦτο τὸ ζήτημα·* Γραμματεῖς, *λέγει, ὑμεῖς συλλογίζεσθε, ὅτι ἐγὼ ἐβλασφήμησα, ἐπειδὴ, μὴ ἔχων θεϊκὴν ἐξουσίαν, εἶπα πρὸς τὸν παράλυτον,* Ἀφέωνταί σοι αἱ ἁμαρτίαι σου· *εἴπατέ μοι οὖν, τί ἐστιν εὐκολώτερον, ἡ συγχώρησις τῶν ἁμαρτιῶν, ἢ ἡ ἔγερσις τοῦ παραλυτικοῦ ἀπὸ τῆς κλίνης αὐτοῦ;* Εἰς *τὸ ζήτημα τοῦτο οὐδὲν ἀπεκρίθησαν οἱ* Γραμματεῖς. *Φανερὸν δέ ἐστιν, ὅτι, ὅστις δι᾽ ἑνὸς μόνου λόγου ἐγείρει παράλυτον, ἀκίνητον, κατακείμενον ἐν κλίνῃ, ἐκεῖνος ἔχει δύναμιν θεϊκήν· ὅστις δὲ ἔχει* Θεοῦ *δύναμιν, ἐκεῖνος δύναται συγχωρῆσαι καὶ τὰς ἁμαρτίας.* Ταῦτα *τὰ δύω ἔργα, εἰσὶν ἔργα τοῦ μόνου* Θεοῦ· *καὶ τὸ μὲν πρῶτον, ἔργον ἐστὶ τῆς παντοδυναμίας αὐτοῦ, τὸ δὲ δεύτερον, τῆς ἀπείρου αὐτοῦ εὐσπλαγχνίας.* Ἐπειδὴ *δὲ οἱ* Γραμματεῖς *οὐδεμίαν λύσιν ἔδωκαν εἰς τὸ ὑπὸ τοῦ* Ἰησοῦ Χριστοῦ *προτεθὲν ζήτημα, λύει αὐτὸς τοῦτο διὰ λόγου ἅμα τε καὶ ἔργου, λέγων·*

Ματ. θ'. 6. **Ἵνα δὲ εἰδῆτε, ὅτι ἐξουσίαν ἔχει ὁ Υἱὸς τοῦ ἀνθρώπου ἐπὶ τῆς γῆς ἀφιέναι ἁμαρτίας, (τότε λέγει τῷ παραλυτικῷ)· Ἐγερθεὶς, ἆρόν σου τὴν κλίνην, καὶ ὕπαγε εἰς τὸν οἶκόν σου.**

*Ἡ ἄφεσις τῶν ἁμαρτιῶν ἐστὶ πρᾶγμα ἀόρατον· τὴν ἰατρείαν τοῦ παραλύτου ἔβλεπεν ὁ καθεὶς ὀφθαλμοφανῶς· ἀποδεικνύει οὖν ὁ παντοδύναμος* Ἰησοῦς *τὴν θεϊκὴν καὶ ἀόρατον αὐτοῦ ἐξουσίαν, τοῦ ἀφιέναι τὰς ἁμαρτίας, διὰ τῆς ὁρατῆς καὶ αἰσθητῆς θεραπείας τοῦ παραλύτου, καὶ ποιεῖ τὸ ὁρατὸν θαῦμα τῆς ἀοράτου δωρεᾶς ἀπόδειξιν.* Ταπεινούμενος *δὲ, ἐσχημάτισε τὸν λόγον εἰς τρίτον πρόσωπον, ὀνομάσας ἑαυτὸν* Υἱὸν *τοῦ ἀνθρώπου, καθότι ἐγεννήθη ἐκ τῆς ἁγίας* Παρθένου, *τῆς θυγατρὸς τοῦ* Ἀδάμ· *ἵνα δὲ εἰδῆτε, λέγει, ὅτι ἐξουσίαν ἔχει ὁ* Υἱὸς *τοῦ ἀνθρώπου συγχωρεῖν τὰς ἁμαρτίας ἐπὶ τῆς γῆς, ἰδοὺ ποίαν ἀπόδειξιν προβάλλω ἔμπροσθεν τῶν ὀφθαλμῶν ὑμῶν· τότε στραφεὶς πρὸς τὸν παράλυτον, εἶπεν·* Ἀνάστα, *θὲς τὴν κλίνην σου ἐπάνω εἰς τοὺς ὤμους σου, καὶ ὕπαγε εἰς τὸν οἶκόν σου.* Σημειῶσαι *δὲ πρῶτον, ὅτι οὐκ εἶπεν, ἐξουσίαν ἔλαβεν, ἢ ἐξουσία αὐτῷ ἐδόθη, ἀλλ᾽ ἐξουσίαν ἔχει· διότι κατὰ φύσιν εἶχε τοιαύτην ἐξουσίαν, φύσει* Θεὸς *ὢν, ὁμοούσιος τῷ* Πατρί· *δεύτερον, ὅτι τὰ λόγια ταῦτα, ἐπὶ τῆς γῆς ἀφιέναι ἁμαρτίας, διδάσκουσιν, ὅτι ἡ ἄφεσις τῶν ἁμαρτιῶν εἰς τὴν παροῦσαν ζωὴν δίδοται, καὶ οὐχὶ εἰς τὴν μέλλουσαν, ἤγουν οὐχὶ μετὰ τὴν κρίσιν καὶ ἀνταπόδοσιν· τρίτον, ὅτι, ἵνα φύγῃ τῶν ἀνθρώπων τὸν ἔπαινον, προσέταξε τῷ παραλυτικῷ, ἵνα ὑπάγῃ εἰς τὸν οἶκον αὐτοῦ·* Ἐγερθεὶς, *ἆρόν σου τὴν κλίνην, καὶ ὕπαγε εἰς τὸν οἶκόν σου.*

Ματ. θ'. 6. Καὶ ἐγερθεὶς, ἀπῆλθεν εἰς τὸν οἶκον αὐτοῦ.

Ὦ τοῦ παραδόξου θαύματος! Ὁ δεσποτικὸς λόγος ἔδωκε κίνησιν εἰς τὸ ζωτικὸν πνεῦμα, ἐτόνωσε τὰ νεῦρα, ἔσφιγξε τὰς σάρκας, ἐδυνάμωσε τὰ μέλη· ὁ κλινήρης ἐγείρεται, ὁ κατάκοιτος ἀπὸ τῆς κλίνης ἀνίσταται, ὁ παράλυτος κινεῖται, ὁ ἀκίνητος αἴρει τὸν κράββατον ἐπὶ τῶν ὤμων αὐτοῦ, καὶ πεφορτισμένος περιπατῶν, ἦλθεν εἰς τὸν οἶκον αὐτοῦ.
Μάρκ. β'. 12. Καὶ τίς ἄλλος δύναται ποιῆσαι ταῦτα, εἰμὴ εἷς ὁ Θεός;

Ματ. θ'. 8. Ἰδόντες δὲ οἱ ὄχλοι ἐθαύμασαν, καὶ ἐδόξασαν τὸν Θεὸν, τὸν δόντα ἐξουσίαν τοιαύτην τοῖς ἀνθρώποις.

Τὰ περιεστῶτα πλήθη τοῦ λαοῦ, ἰδόντα τὸ θαῦμα, ἐθαύμασαν ναὶ, καὶ ἐδόξασαν τὸν Θεὸν, πλὴν οὐχὶ καθὼς ἔπρεπε· διότι οὐκ ἐδόξασαν τὸν Ἰησοῦν Χριστὸν, ὡς Θεὸν, καὶ ὡς ἰδίᾳ δυνάμει τῆς Θεότητος αὐτοῦ ποιήσαντα τὸ θαῦμα, ἀλλὰ τὸν Θεὸν ἐδόξασαν, ὡς δόντα αὐτῷ τὴν ἐξουσίαν τοῦ θαυματουργεῖν· ὅπερ ἐστὶν, ἐνόμισαν αὐτὸν ἄνθρωπον μόνον θαυματουργόν· Ἐδόξασαν, λέγει ὁ Εὐαγγελιστὴς, τὰ πλήθη ἐκεῖνα τὸν Θεὸν, ὅστις ἔδωκεν ἐξουσίαν εἰς τοὺς ἀνθρώπους, ἤγουν εἰς τὸν Ἰησοῦν Χριστὸν, ἐγεῖραι τὸν παράλυτον ἀπὸ τῆς κλίνης, καὶ θεραπεῦσαι αὐτόν· ἀτελὴς ἐστιν ἡ τοιαύτη πίστις· Ἴσως δὲ αὐτὴ ὡδήγησεν αὐτοὺς μετὰ ταῦτα πιστεῦσαι, ὅτι ὁ αὐτὸς Ἰησοῦς Χριστὸς τέλειος Θεός ἐστι, καὶ τέλειος ἄνθρωπος.

# ΟΜΙΛΙΑ

### ΜΕΤΑ ΤΟ ΚΑΤΑ

# ΜΑΤΘΑΙΟΝ

## ΕΥΑΓΓΕΛΙΟΝ ΤΗΣ Ϛ'. ΚΥΡΙΑΚΗΣ.

Εἰς ταύτην τοῦ Παραλύτου τὴν ἱστορίαν, πρᾶγμα, ἄξιον πολλῆς παρατηρήσεως, ἐστὶν ὁ ζῆλος καὶ ἡ σπουδὴ τοῦ Ἰησοῦ Χριστοῦ κατὰ τῶν Γραμματέων. Αὐτοὶ οὐδὲ εἶπον, οὐδὲ ἐλάλησαν μικρὸν λόγον, ἀλλ' ἔνδον εἰς τὰ βάθη τῆς καρδίας αὐτῶν ἐστοχάσθησαν, ὅτι αὐτὸς ἐβλασφήμησεν. Αὐτὸς δὲ εὐθὺς οὐ μόνον ἀνακαλύπτει καὶ κοινολογεῖ τὸν ἀπόκρυφον λογισμὸν, ἀλλὰ καὶ ἐλέγχει τὴν πονηρίαν αὐτῶν, καὶ καταστηλιτεύει αὐτὴν διὰ τῆς ἰατρείας τοῦ Παραλύτου. Ἀλλὰ διατί ἄραγε τόση σπουδὴ καὶ



τόσος ἀγὼν διὰ ἕνα λογισμὸν ἀπόκρυφον, καὶ ἐν ταῖς καρδίαις τῶν Γραμματέων ἐνταφιασμένον; ἄλλοτε μὲν οἱ Φαρισαῖοι κατέκριναν αὐτὸν παῤῥησίᾳ,
ὡς διώκοντα τὰ Δαιμόνια διὰ τοῦ Βεελζεβοὺλ, τοῦ ἄρχοντος τῶν Δαιμονίων· Ματ. ιβ'. 24.
ἄλλοτε πάλιν οἱ Ἰουδαῖοι ὕβριζον αὐτὸν, μεγαλοφώνως κραυγάζοντες καὶ λέγοντες· Σαμαρείτης εἶ σὺ, καὶ Δαιμόνιον ἔχεις· Ἰωάν. η'. 48.
καὶ ὅμως οὐδὲ κατ' ἐκείνων, οὐδὲ κατὰ τούτων τόσον ζῆλον ἔδειξεν, ὅσον κατὰ τῶν Γραμματέων. Τὸ πρᾶγμα, Χριστιανοὶ, ἔχει λόγον ἄξιον ἀ-

ἀκοῆς καὶ μαθήσεως. Οἱ Γραμματεῖς
κατέκριναν τὸν Ἰησοῦν Χριστὸν οὐχὶ ὡς
μάγον, καθὼς οἱ Φαρισαῖοι, οὐδὲ ὡς
Σαμαρείτην καὶ δαιμονιζόμενον, καθὼς
οἱ Ἰουδαῖοι, ἀλλ' ὡς πλάνον καὶ ψεύ-
στην· διότι ἀληθῶς, ἐὰν ὁ Ἰησοῦς Χρι-
στὸς, κατὰ τὴν ἄδικον κρίσιν αὐτῶν, μὴ
Ματ. θ'. ὢν Θεὸς, ἔλεγε τὸ, *Ἀφέωνταί σοι αἱ
2. ἁμαρτίαι σου*, τότε ψεύστης ἦν καὶ
ἀπατεὼν, τοῦ ψεύδους φίλος, καὶ τῆς ἀ-
ληθείας ἐχθρός· τοῦτο δέ ἐστιν ἐναν-
τίον εἰς αὐτὴν τὴν φύσιν τοῦ Θεοῦ, ὅ-
στις ἐστὶν ἡ αὐτοαλήθεια. Ἵνα οὖν δεί-
ξῃ, ὅτι πολλὰ μισεῖ τὸ ψεῦδος, ὡς ἁ-
μάρτημα μέγα καὶ φθοροποιὸν, ἐζήλω-
σε τοσοῦτον, καὶ ἤλεγξε καὶ κατεθεά-
τρισε τὴν πονηρίαν τῶν ψευδομένων Γραμ-
ματέων, κἂν ἀπόκρυφος ἦν ὁ πονηρὸς
αὐτῶν λογισμός.

Εἰς τὰς πλάκας τοῦ νόμου, τὰς ὁ-
ποίας ὁ Θεὸς ἐν τῷ ὄρει Σινᾶ παρέδω-
Ἐξ. κ'. κεν εἰς τὸν Μωϋσῆν, ἔγραψε τὸ, *Οὐ ψευ-
16. δομαρτυρήσῃς κατὰ τοῦ πλησίον
σου μαρτυρίαν ψευδῆ*· καὶ τοῦτό ἐ-
στιν ἡ ἐννάτη ἐντολή. Εἰς τὰς πλάκας
τῆς χάριτος, ἤγουν εἰς τὰ ἅγια Εὐαγ-
Ματ. ε'. γέλια, ἔγραψεν ὁ αὐτὸς Θεός· *Ἔστω
37. δὲ ὁ λόγος ὑμῶν, Ναὶ, ναὶ, Οὒ,
οὔ· τὸ δὲ περισσὸν τούτων ἐκ τοῦ
πονηροῦ ἐστί*. Τὸ αὐτὸ, καὶ διὰ στό-
ματος τῶν ἁγίων αὐτοῦ Ἀποστόλων,
Ἰακ. ε'. προσέταξε, λέγων· *Ἤτω δὲ ὑμῶν τὸ,
12. Ναὶ, ναὶ, καὶ τὸ, Οὒ, οὔ, ἵνα μὴ
εἰς ὑπόκρισιν πέσητε*. Καὶ ὁ μὲν
Θεὸς ταῦτα ἐνομοθέτησεν, ἡμεῖς δὲ, ἐ-
πειδὴ ἐσυνηθίσαμεν τὸ στόμα εἰς τὸ
ψεῦδος, οὐδὲ παράβασιν νόμου αὐτὸ λο-
γιζόμεθα, οὐδὲ ὡς ἁμαρτίαν αὐτὸ ἐξο-
μολογούμεθα, οὐδὲ ὑπὸ τῆς συνειδήσεως
ὑπὲρ αὐτοῦ ἐλεγχόμεθα.

Οὐαὶ, ἀδελφοί! αὐτὴ ἴσως ἐστὶν ἡ
ἀνομία τῆς πτέρνης ἡμῶν, ἤγουν ἐκείνη
ἡ ἁμαρτία, τὴν ὁποίαν ἡμεῖς μὲν περι-
φρονοῦμεν, καθὼς καὶ τὰ εὐτελέστατα
πράγματα, τὰ ὑπὸ τῆς πτέρνης ἡμῶν
καταπατούμενα· αὐτὴ δὲ ἴσως ἐστὶν ἐ-
κείνη ἡ ἁμαρτία, περὶ ἧς φοβούμενος ὁ
προφητάναξ Δαβὶδ ἔλεγεν· *Ἵνα τί φο- Ψαλ. μη'.
βοῦμαι ἐν ἡμέρᾳ πονηρᾷ; ἡ ἀνο- 5.
μία τῆς πτέρνης μου κυκλώσει με*·
διότι ἡμεῖς μὲν περιφρονοῦμεν αὐτὴν ὡς
οὐτιδανὴν, αὐτὴ ὅμως ἐστὶ πολυειδὴς καὶ
πολύμορφος· ἡμεῖς στοχαζόμεθα αὐτὴν
μικρὰν, αὐτὴ δὲ μεγάλην φθορὰν προξε-
νεῖ εἰς ἡμᾶς.

Βλέπε πρῶτον τοῦ ψεύδους τὰ εἴ-
δη, διότι κατὰ πολλοὺς τρόπους λαλοῦ-
μεν τὸ ψεῦδος. Ἄλλος λαλεῖ τὸ ψεῦ-
δος, τὸ ὁποῖον ἤκουσε παρ' ἄλλου, καὶ
ἐπίστευσεν ὡς ἀλήθειαν· καὶ οὗτός ἐ-
στιν ὁ ψευδόμενος, ἢ ὁ ψευδολόγος. Ἄλ-
λος, ἀστεϊζόμενος, καὶ ἀργολογῶν, λέγει
μυρία ψεύσματα καθ' ἑκάστην ἡμέραν·
εἰς αὐτὸν δὲ ἁρμόζει τὸ ὄνομα τοῦ ψευ-
δοαργολόγου. Ἄλλος ὑπόσχεται μυρία
πράγματα, ἔπειτα ψεύδεται, καὶ οὐδὲν
ἐκτελεῖ· καὶ ταῦτα οὐχὶ εὐλόγως, ἤγουν
διὰ τὰ ἐπακολουθήσαντα ἐμπόδια, ἀλ-
λ' ἄνευ λόγου, καὶ μόνον ἐπειδὴ ἢ ἠμέ-
λησεν, ἢ μετέβαλε γνώμην· οὗτος δὲ πρε-
πόντως ὀνομάζεται ψευδεπάγγελος, ἢ
ψευδεπαγγελεύς. Ἄλλος πλάττει ψεῦ-
δος· καὶ οὗτός ἐστιν ὁ ψευδοπλάστης·
καὶ ὅταν μὲν πλάττῃ τὸ ψεῦδος, κατη-
γορῶν τὸν πλησίον αὐτοῦ, λέγεται συ-
κοφάντης· ὅταν δὲ, μαρτυρῶν κατὰ τοῦ
πλησίον αὐτοῦ, λέγεται ψευδομάρτυς.
Ἔχει δὲ καὶ ἄλλα εἴδη τὸ ψεῦδος, καὶ
πολλοὺς ὑπηρέτας.

Ἔχει τὸ ψεῦδος καὶ ἔκτασιν μεγά-
λην καὶ πολλήν· πολιτεύεται εἰς τὴν
ἀγορὰν, κατοικεῖ εἰς τὰ ἐργαστήρια,
ἐμβαίνει εἰς τὰς οἰκίας, εἰσέρχεται εἰς
τὰς αὐλὰς τῶν Βασιλέων καὶ Μεγι-
στάνων, παραστέκεται εἰς τὰ κριτή-
ρια, ὅπου καὶ ἂν σταθῇς, ἐκεῖ εὑρί-

σκεις

σκεις ψεῦδος, προχωρεῖ καὶ ἕως τοῦ ἁγίου βήματος· διότι καὶ αὐτοὶ οἱ ἱερωμένοι ἄνθρωποι ἐνίοτε ψεύδονται. Τὸ ψεῦδος ἐξέρχεται ἐξ ἑνὸς στόματος, καὶ καταντᾷ εἰς μυρία· τὸ ψεῦδος λέγεται, γράφεται, τυποῦται εἰς τὰ βιβλία, ἀναγινώσκεται, διέρχεται ἐκ πόλεως εἰς πόλιν, περιέρχεται πᾶσαν τὴν οἰκουμένην· ὅθεν τίς δύναται νὰ περιγράψῃ, ἢ νὰ διηγηθῇ πόσην βλάβην προξενεῖ τὸ ψεῦδος;

Αὐτὸ βλάπτει καὶ τὸν λέγοντα, ζημίαν προξενεῖ καὶ εἰς τὸν ἀκούοντα. Ὅστις λαλεῖ τὸ ψεῦδος, ἐκεῖνος γίνεται μισητὸς, ἄτιμος, ὕποπτος· ζητεῖ δάνειον, ἀλλ' οὐδεὶς αὐτῷ ἐμπιστεύεται· ὑπόσχεται, ἀλλ' οὐδένα πείθει· γράφει ὁμολογίαν, ἀλλὰ καθεὶς διστάζει· τοῦ ψεύστου καὶ ὁ λόγος ὕποπτος, καὶ τὸ γράμμα ἀμφίβολον, καὶ αὐτὸς ὁ ὅρκος ἀβέβαιος· καὶ τὴν ἀλήθειαν ἐνίοτε λέγει ὁ ψεύστης, ἀλλ' οὐδεὶς αὐτῷ πιστεύει. Ὅστις δὲ ἀκούει τὸ ψεῦδος, καὶ θεμελιοῦται ἐπ' αὐτὸ, ἐκεῖνος ἄλλοτε μὲν ποιμαίνει ἀνέμους, ἤγουν ματαίως καὶ ἀνωφελῶς κοπιάζει, ἄλλοτε διαφθείρει τὴν περιουσίαν αὐτοῦ, ἄλλοτε κινδυνεύει τὴν ζωὴν, ἄλλοτε βλάπτει καὶ τὴν ἰδίαν ψυχήν.

Τὸ ψεῦδος πολλάκις ἐξαφανίζει ὁλοκλήρους πόλεις, καὶ ἄνω κάτω στρέφει κραταιὰς βασιλείας, ἐχθρεύει τοὺς φίλους, ταράττει τὴν συγγένειαν, χωρίζει τὰ συνοικέσια. Τὸ ψεῦδος σχίζει καὶ ἐξαφανίζει καὶ αὐτὰ τῆς Ἐκκλησίας τὰ μέλη· διότι ὅσους ἀκούετε σχισματικοὺς, αἱρετικοὺς, ἀπίστους, οὐδὲν ἄλλο αὐτοὺς διέφθειρεν, εἰμὴ τὸ ψεῦδος, ἤγουν ἡ ψευδοδιδασκαλία τῶν ἀρχηγῶν αὐτῶν, ἢ τὰ βιβλία τῶν ψευδολόγων.

Ὁ πανοικτίρμων Θεὸς, ὅστις γνωρίζει πόσην φθορὰν προξενεῖ τὸ ψεῦδος εἰς τὸ γένος τῶν ἀνθρώπων, καὶ πόσον ἀναγκαία ἐστὶν ἡ ἀλήθεια διὰ τὴν στερέωσιν καὶ αὔξησιν τῆς Ἐκκλησίας, διὰ τὸν στηριγμὸν τῶν πόλεων καὶ τῶν βασιλειῶν, διὰ τὴν εὐτυχίαν τῆς κοινότητος, καὶ τὴν εἰρήνην τῶν συγγενῶν καὶ φίλων, διὰ τὴν εὐόδωσιν πάσης συμφωνίας, καὶ τὴν καλὴν κατάστασιν παντὸς ἀνθρώπου, οὐ μόνον ἐνομοθέτησε τὸ, Μὴ ψεύδεσθε εἰς ἀλλήλους, ἀλλὰ καὶ φρικτῶς ἐπαίδευσέ τινας ψεύστας, ἵνα φοβήσῃ τῶν ἀνθρώπων τὰς καρδίας, καὶ πείσῃ αὐτοὺς ἀπέχειν ἀπὸ τῆς ἁμαρτίας τοῦ ψεύδους. Κολ. γ. 9.

Ὁ Βασιλεὺς τῆς Αἰγύπτου ὁ Φαραὼ, τρὶς ἀθετήσας τὴν ὑπόσχεσιν αὐτοῦ, τρὶς ἐψεύσθη· πρῶτον, ὅταν οἱ βάτραχοι ἐκάλυψαν τὴν Αἴγυπτον· δεύτερον, ὅταν ἡ κυνόμυια ἔπεσεν εἰς τὰ παλάτια αὐτοῦ τε καὶ τῶν θεραπόντων αὐτοῦ· τρίτον, ὅταν ἡ χάλαζα ἐπάταξε πᾶσαν τὴν Αἴγυπτον ἀπὸ ἀνθρώπου ἕως κτήνους· τρὶς εἶπεν, ὅτι ἐξαποστέλλει τὸν λαὸν τοῦ Ἰσραὴλ εἰς τὴν ἔρημον, ἵνα λατρεύσωσι τῷ Κυρίῳ, καὶ τρὶς ἀθετήσας τὴν ὑπόσχεσιν, ἐψεύσθη, καὶ οὐκ ἐξαπέστειλεν αὐτούς. Τί δὲ ἔπαθεν ὁ ψευδεπαγγελεὺς οὗτος, γνωστόν ἐστι τοῖς πᾶσι καὶ φανερόν· Ἐπαναστραφὲν, λέγει ἡ θεία Γραφὴ, τὸ ὕδωρ, ἐκάλυψε τὰ ἅρματα, καὶ τοὺς ἀναβάτας, καὶ πᾶσαν τὴν δύναμιν Φαραὼ, τοὺς εἰσπορευομένους ὀπίσω αὐτῶν εἰς τὴν θάλασσαν, καὶ οὐ κατελείφθη ἐξ αὐτῶν οὐδὲ εἷς. Ἐξόδ. η. 8, 28. Αὐτ. θ. 28. Αὐτ. ιδʹ. 28.

Ὁ Προφήτης Ἐλισσαῖος καθαρίζει τὸν Νεεμὰν τὸν Σύρον ἀπὸ τῆς λέπρας· ὁ Νεεμὰν, πρὸς ἀντάμειψιν τῆς εὐεργεσίας, προσφέρει εἰς αὐτὸν δῶρα· ὁ δὲ Ἐλισσαῖος κατ' οὐδένα τρόπον ἔστερξε λαβεῖν οὐδὲ κἂν μικρόν τι τῶν δώρων αὐτοῦ. Ὁ πονηρὸς Γιεζὶ, ὁ δοῦλος αὐτοῦ, ὅστις καὶ εἶδε καὶ ἤκουσε τὰ πάντα, πα-



παραλαβὼν μετ' αὐτοῦ δύω ἄνδρας, τρέχει ὀπίσω τοῦ Νεεμάν· Ἄρχων, λέγει, ὁ κύριός μου ἀπέστειλέ με, λέγων· Ἰδοὺ ἦλθον πρὸς αὐτὸν δύω παιδάρια τῶν Προφητῶν, δὸς εἰς αὐτὰ τάλαντον ἀργυρίου, καὶ δύω ἐνδυμασίας· ὁ δὲ Νεεμὰν, πιστεύσας αὐτῷ, μετὰ χαρᾶς ἔδωκεν, ἀντὶ ἑνὸς ταλάντου, δύω, καὶ δύω ἐνδυμασίας εἰς τοὺς ἄνδρας ἐκείνους. Λαβὼν δὲ αὐτὰ ὁ Γιεζὶ, ἔκρυψεν εἰς τόπον σκοτεινόν· ἔπειτα ἐλθὼν, παρεστάθη ἔμπροσθεν τοῦ Ἐλισσαίου· ὁ δὲ Ἐλισσαῖος, ὅστις διὰ τοῦ προορατικοῦ χαρίσματος ἐγίνωσκεν ὅσα ὁ Γιεζὶ ἐλάλησε καὶ ἔπραξε· Γιεζὶ, λέγει, πόθεν ἔρχεσαι; τότε ὁ Γιεζὶ, ἀποκριθεὶς, ἐλάλησε τὸ ψεῦδος·
Δ'.Βασ. ε'. 25. Καὶ εἶπε Γιεζὶ, Οὐ πεπόρευται ὁ δοῦλός σου ἔνθα καὶ ἔνθα. Τοῦτο δὲ ἀκούσας ὁ Ἐλισσαῖος, πρῶτον μὲν ἤλεγξεν αὐτόν· Γιεζὶ, εἶπε, διατί λαλεῖς τὸ ψεῦδος; θαῤῥεῖς, ὅτι ἀγνοῶ ἐγὼ ὅσα ἔπραξας; νομίζεις σὺ, ὅτι ἡ καρδία μου οὐκ ἐπορεύθη μετὰ σοῦ; εἶτα κατηράσατο αὐτῷ·
Αὐτ. 27. Καὶ ἡ λέπρα, εἶπε, Νεεμὰν κολληθήσεται ἐν σοὶ, καὶ ἐν τῷ σπέρματί σου εἰς τὸν αἰῶνα. Καὶ ἐξῆλθεν ἐκ προσώπου αὐτοῦ λελεπρωμένος ὡσεὶ χιών. Ἀκούσατε καὶ ἄλλο φοβερώτερον.

Εἰς τὴν ἀρχὴν τοῦ κηρύγματος τῆς χριστιανικῆς πίστεως, πάντες οἱ Χριστιανοὶ, ἔχοντες μίαν γνώμην, εἶχον μίαν ψυχὴν καὶ μίαν καρδίαν, καὶ πάντα τὰ πράγματα κοινά· διότι ὅσοι ἐπίστευον, πωλοῦντες τὰ ὑπάρχοντα αὐτῶν, ἔφερον τὰ ἀργύρια, καὶ ἔβαλλον αὐτὰ παρὰ τοὺς πόδας τῶν Ἀποστόλων.
Πράξ. ε'. Τότε ἄνθρωπός τις, ὀνόματι Ἀνανίας, συμφωνήσας μετὰ τῆς γυναικὸς αὐτοῦ Σαπφείρας, ἐπώλησαν ἓν χωρίον ὅπερ εἶχον· ἐλθὼν δὲ πρῶτος ὁ Ἀνανίας, ἔθηκε παρὰ τοὺς πόδας τῶν Ἀποστόλων μέρος μόνον τῆς τιμῆς τοῦ χωρίου. Ὁ δὲ Πέτρος εἶπε πρὸς αὐτόν· Ἀνανία, διατί ἐπλήρωσεν ὁ Σατανᾶς τὴν καρδίαν σου, καὶ ἐψεύσθης εἰς τὸ Πνεῦμα τὸ ἅγιον; τὸ χωρίον καὶ ἡ τιμὴ αὐτοῦ εἰς τὴν ἐξουσίαν σου ἦσαν, διατί ἠθέλησας νὰ ψευσθῇς; Ἀκούων δὲ ὁ Ἀνανίας τοὺς λόγους τούτους, ἔπεσε, καὶ ἀπέθανεν, ὅθεν καὶ ἐτάφη ἐκεῖ. Μετὰ δὲ ὥρας τρεῖς ἔφθασε καὶ ἡ Σαπφείρα, μὴ εἰδοῦσα τὸν θάνατον τοῦ ἀνδρὸς αὐτῆς· ἐρώτησε δὲ αὐτὴν ὁ Πέτρος, λέγων· Εἰπέ μοι, τόσον ἐπωλήσατε τὸ χωρίον; ἡ δὲ ἀπεκρίθη· Ναὶ, τόσον· τότε εἶπε πρὸς αὐτὴν ὁ Πέτρος· Διατί ἐσυμφώνησας μετὰ τοῦ ἀνδρός σου, ἵνα λαλήσῃς τὸ ψεῦδος, καὶ πειράξῃς τὸν Κύριον; ἰδοὺ οἱ θάψαντες τὸν ἄνδρα σου, αὐτοὶ ἐκκομίσουσι καὶ σὲ εἰς τὸν τάφον. Ἐκείνη δὲ, ταῦτα ἀκούσασα, ἔπεσε παραχρῆμα παρὰ τοὺς πόδας αὐτοῦ, καὶ ἐξέψυξε. Τίς δὲ ταῦτα ἀκούων, οὐ φρίττει, καὶ οὐ μισεῖ τὸ ψεῦδος, καὶ φεύγει ἀπ' αὐτοῦ, ὡς ἀπὸ προσώπου πυρός;

Ἀλλὰ διατί, λέγουσί τινες, τότε ὁ Θεὸς τόσον αὐστηρὰ ἐπαίδευσε τοὺς ψεύστας, νῦν δὲ οὐδόλως παιδεύει αὐτοὺς, κἂν περισσότερα, καὶ ἐπιβλαβέστερα λαλῶσι ψεύσματα; διατί; Διότι ἐστὶν ἄλλη ζωὴ, ἤγουν ἡ μέλλουσα, ἥτις ἐστὶ διωρισμένη διὰ τὴν τῶν ἔργων ἀνταπόδοσιν. Ἐπαίδευσε δὲ τότε τινὰς ὁ Θεὸς καὶ εἰς ταύτην τὴν παροῦσαν ζωὴν, ἵνα γνωρίσωσιν οἱ ἄνθρωποι, πόσον μισεῖ τὸ ψεῦδος, καὶ πόσον ὀργίζεται κατὰ τῶν ψευστῶν, καὶ ἔχωσι τῆς τιμωρίας τοῦ ψεύδους αἰσθητὰ παραδείγματα. Ἔπειτα τίς ἔχει πληροφορίαν περὶ τοῦ, ὅτι καὶ ἐν ταῖς ἡμέραις ἡμῶν οἱ ψεῦσται μένουσιν ἀτιμώρητοι εἰς τὴν παροῦσαν ζωήν; τιμωροῦνται ἴσως καὶ παιδεύονται, ἀλλ' οὐδόλως αἰσθάνονται τῆς τιμωρίας τὴν αἰτίαν· ἄλλοτε περικαταλαμβάνει ἡμᾶς

ἐξαίφ-

ἐξαίφνης βαρυτάτη καὶ ἀνίατος ἀσθέ-
νεια, ἄλλοτε γίνεται φθορὰ τῶν ὑπαρ-
χόντων, ἄλλοτε ἀκολουθοῦσι ζημίαι ἀλ-
λεπάλληλοι· ἡμεῖς ὅμως, μὴ θέλοντες
ἆραι τὰ ὄμματα εἰς τὸν οὐρανὸν, ἀλλὰ
προσηλοῦντες αὐτὰ ἐπὶ τῆς γῆς, εὑρίσ-
κομεν φυσικὰ τῆς συμφορᾶς ἡμῶν τὰ
αἴτια.

Ἀλλὰ, ψεῦδος εἶπον, ἀποκρίνονταί
τινες, καὶ αἱ μαῖαι ἐνώπιον τοῦ Φαραὼ,
ὅτε ἐζωογόνουν τὰ ἀρτιγέννητα βρέφη τῶν
Ἑβραίων· καὶ ὅμως ὁ Θεὸς εὐλόγησεν
Ἐξόδ. ά. αὐτάς· Εὖ δὲ ἐποίει ὁ Θεὸς ταῖς
20. μαίαις. Ψεῦδος εἶπεν ἡ Ῥαὰβ ἡ πόρ-
Ἰησ. β'. νη, ὅτε κατέκρυψε τοὺς κατασκόπους, καὶ
4. ὅμως ἡ μὲν Ἱεριχὼ ἐξηφανίσθη, αὐτὴ
Αὐτ. ς'. 24. δὲ καὶ ὁ οἶκος αὐτῆς ἐσώθη. Ψεῦδος ἐ-
Γεν. κ'. λάλησεν ὁ Ἀβραὰμ, εἰπὼν, ὅτι ἡ Σάρ-
2. ρα ἐστὶν ἀδελφὴ αὐτοῦ· τὸ αὐτὸ ψεῦ-
Αὐτ. κς'. δος εἶπεν ὁ Ἰσαὰκ περὶ Ῥεβέκκας τῆς
7. γυναικὸς αὐτοῦ. Ψεῦδος, φαίνεται, ὅτι ἐ-
λάλησε καὶ ὁ Ἀπόστολος Παῦλος, ὅτε
Πράξ. κγ'. εἶπεν· Οὐκ ᾔδειν, ἀδελφοὶ, ὅτι ἐ-
5. στὶν Ἀρχιερεὺς, διότι τοιοῦτος ἄν-
θρωπος, ὁποῖος ἦν ὁ θεῖος Ἀπόστολος,
πολλὰ πιθανόν ἐστιν, ὅτι ἐγνώριζε τὸν
Ἀρχιερέα τοῦ γένους αὐτοῦ.

Ὁ μὲν Ἀβραὰμ οὐκ εἶπε ψεῦδος·
διότι ἀληθῶς ἡ Σάρρα ἀδελφὴ αὐτοῦ ἦν
Γεν. κ'. ἐκ πατρὸς, ἀλλ' οὐκ ἐκ μητρός·
12. ὁμοίως οὐδὲ ὁ Ἰσαὰκ ἐψεύσθη· διότι ἡ
Ῥεβέκκα ἦν συγγενὴς αὐτοῦ· τὰς δὲ
συγγενίδας τὸν καιρὸν ἐκεῖνον ὠνόμαζον
ἀδελφάς. Ὅτι δὲ ὁ Παῦλος ἐψεύσθη,
οὐδεμίαν ἔχομεν ἀπόδειξιν· καθὼς δὲ
πιθανόν ἐστιν, ὅτι ἐγνώριζε τὸν Ἀρχιε-
ρέα τοῦ γένους αὐτοῦ, οὕτω πιθανόν
ἐστιν, ὅτι οὐκ ἐγνώριζεν αὐτόν· ἐπειδὴ
δὲ καὶ τὰ δύω πιθανὰ, πεπληροφορημέ-
νοι δὲ ἐσμὲν, ὅτι ψεῦδος οὐδέ ποτε ἐλά-
λησεν ὁ Παῦλος ὁ τῆς ἀληθείας διδάσ-
καλος, καὶ τοὺς ἄλλους διδάσκων, καὶ
Ἐφεσ. δ'. λέγων· Διὸ ἀποθέμενοι τὸ ψεῦδος,
25.
λαλεῖτε ἕκαστος ἀλήθειαν μετὰ
τοῦ πλησίον αὐτοῦ· πιστεύομεν, ὅ-
τι, μὴ εἰδὼς ἀληθῶς, ὅτι ὁ Ἀνανίας ἐ-
στὶν Ἀρχιερεὺς, εἶπε τὸ, Οὐκ ᾔδειν,
ἀδελφοί, ὅτι ἐστὶν ἀρχιερεύς· διὸ
ἐλάλησε τὴν ἀλήθειαν. Αἱ γυναῖκες οὖν
μόνον, ἤγουν αἱ μαῖαι, καὶ ἡ Ῥαὰβ ἡ
πόρνη ἐλάλησαν τὸ ψεῦδος· ἀλλὰ πρῶ-
τον μὲν αὗται ἦσαν πρὸ τοῦ εὐαγγελι-
κοῦ κηρύγματος, καὶ πρὶν ἢ ὁ Ἰησοῦς
Χριστὸς πληρώσῃ, καὶ καταστήσῃ τέ-
λειον τὸν μωσαϊκὸν νόμον· δεύτερον, γυ-
ναῖκες ἀμαθεῖς, καὶ ἐξόχως ἡ Ῥαὰβ ἡ
ἀλλόπιστος καὶ ἀλλόφυλος, οὐκ ἐγί-
νωσκον, ὅτι ὁ Θεὸς μισεῖ καὶ ἀπολεῖ
πάντας τοὺς λαλοῦντας τὸ ψεῦ- Ψαλ. έ.
δος· τρίτον, αἱ μὲν μαῖαι, λέγει ἡ θεία 6.
Γραφὴ, οὐχ ὑπήκουσαν τὸ πρόσταγμα
τοῦ Βασιλέως, ἐπειδὴ ἐφοβήθησαν τὸν
Θεόν· ἐπειδὴ δὲ τὸν Θεὸν φοβηθεῖσαι,
ἐζωογόνουν τὰ ἄρρενα, ἀρετὴν ἐ- Ἐξόδ. ά.
νέμισαν τὸ ψεῦδος· ἡ δὲ Ῥαὰβ ἤκου- 17.
σεν ὅσα θαύματα ἐποίησεν ὁ Θεὸς ὑ- Ἰησ. β'.
πὲρ τοῦ Ἰσραὴλ, καὶ ἐπίστευσεν εἰς 10, 11.
τὸν Θεόν· ὅθεν ἐσυλλογίσθη ὡς χρέος
αὐτῆς ἀπαραίτητον τὴν τῶν κατασκό-
πων φυλακήν· τέταρτον, αἱ μὲν μαῖαι
ἐψεύσθησαν, ἵνα φυλάξωσι τὰ ἄκακα
βρέφη ἀπὸ τοῦ ἀδίκου θανάτου, καὶ
μὴ ἀπωλεσθῇ τὸ γένος τοῦ Ἰσραήλ·
ἡ δὲ Ῥαὰβ ἐλάλησε τὸ ψεῦδος, ἵνα τὸν
ἠγαπημένον τοῦ Θεοῦ λαὸν σώσῃ, ἅμα
δὲ καὶ ἑαυτὴν, καὶ πᾶσαν τὴν οἰκίαν
αὐτῆς· ὅθεν ὁ Θεὸς δικαιοσύνην ἐλογί-
σθη τὸ ψεῦδος τούτων τῶν γυναικῶν,
καθὼς καὶ τὸν φόνον τοῦ Φινεὲς, περὶ
τοῦ ὁποίου ἐγράφη· Καὶ ἔστη Φινεὲς, Ψαλ. ρί'.
καὶ ἐξιλάσατο, καὶ ἐκόπασεν ἡ 30, 31.
θραῦσις· καὶ ἐλογίσθη αὐτῷ εἰς
δικαιοσύνην, εἰς γενεὰν καὶ γε-
νεὰν ἕως τοῦ αἰῶνος. Καὶ αὗται
μὲν αἱ γυναῖκες, πρὸ τῆς εὐαγγελικῆς
ἀληθείας, ψευσάμεναι ὑπὲρ τῆς σωτη-
ρίας

ρίας τοῦ Ἰσραὴλ, ἔτυχον τοῦ θείου ἐλέους· ἡμεῖς δὲ, οἱ μετὰ τὸν εὐαγγελικὸν φωτισμὸν, λαλοῦντες τὸ ψεῦδος ἢ ἐκ κακῆς συνηθείας, ἢ διὰ πρόσκαιρον ἡμῶν κέρδος, ἢ καὶ πρὸς βλάβην τῶν ἀδελφῶν ἡμῶν, τί ἄλλο περιμένομεν, εἰμὴ τὴν θείαν ἀγανάκτησιν;

Ἀλλὰ τίς δύναται, λέγετε, εἰς τὸν κόσμον εὑρισκόμενος, νὰ ἀπέχῃ ἀπὸ τοῦ ψεύδους; ἐὰν μὴ εἴπῃς ψεῦδος, οὐδὲ πωλεῖς, οὐδὲ ἀγοράζεις, οὐδὲ δανείζεσαι, οὐδὲ διοικεῖς, οὐδὲ ἄλλο ἔργον δύνασαι ἐκτελέσαι. Λοιπὸν, κατὰ ταῦτα τὰ λόγια, ὁ Θεὸς ἐνομοθέτησε τὰ ἀδύνατα· αὐτὸς, ὅστις γινώσκει οὐ μόνον τί γίνεται ἐν τῷ κόσμῳ, ἀλλὰ καὶ τί συλλογίζεται καθεὶς τῶν ἐν τῷ κόσμῳ, ἐνο-
Ματ. ε. 37. μοθέτησε, καὶ εἶπεν· Ἔστω δὲ ὁ λόγος ὑμῶν, Ναὶ, ναὶ, Οὒ οὔ· τὸ λοιπὸν ἢ τοῦτο τὸ πρόσταγμα τοῦ Θεοῦ ἐστὶ δυνατὸν, ἢ ὁ Θεός ἐστιν ἐπίβουλος τῆς σωτηρίας τῶν ἀνθρώπων· τὸ δεύτερόν ἐστι ψευδὲς, ἀδύνατον, βλάσφημον· τὸ πρῶτον λοιπὸν ἐστὶν ἀληθὲς, δυνατὸν, καὶ εὐσεβές.

Βλέπομεν δὲ φανερὰ, ὅτι οὐχὶ μόνον δυνατόν ἐστι τοῦτο τὸ πρόσταγμα τοῦ Θεοῦ, ἀλλὰ καὶ ὅτι ὁ μὴ λαλῶν τὸ ψεῦδος, ἤγουν ὁ φιλαλήθης, ζῇ εἰς τὸν κόσμον ἐντίμως καὶ εὐτυχῶς, ὁ δὲ ψεύστης, ἀτίμως καὶ δυστυχῶς. Ὁ φιλαλήθης λαλεῖ, καὶ πάντες αὐτῷ πιστεύουσιν· ὁ ψεύστης λαλεῖ, καὶ ὁ πιστεύων αὐτῷ, οὐδείς. Τοῦ φιλαλήθους καὶ ἡ συμφωνία ἀνύποπτος, καὶ τὰ συναλλάγματα βέβαια, καὶ ἡ ἐμπορικὴ συντροφία εὐπρόσδεκτος· τοῦ ψεύστου καὶ τὴν συμφωνίαν ὑποπτεύεσαι, καὶ περὶ τοῦ συναλλάγματος αὐτοῦ διστάζεις, καὶ εἰς τὴν πραγματείαν δυσκόλως αὐτὸν ὑποδέχεσαι. Ὁ φιλαλήθης, τίμιος, ἀγαπητὸς, καὶ περιπόθητος· ὁ ψεύστης, ἄτιμος, μισητὸς, καὶ τοῖς πᾶσιν ἀποτρόπαιος. Καὶ ταῦτα μὲν εἰσὶ τὰ πρόσκαιρα, ἀκούσατε δὲ καὶ τὰ αἰώνια. Ὁ φιλαλήθης ἐστὶ δοῦλος τοῦ Θεοῦ· διότι ὁ Θεός ἐστιν ἡ ἀλήθεια· Ἐγώ εἰμι Ἰωάν. ιδ΄. 6.
ἡ ὁδὸς καὶ ἡ ἀλήθεια, καὶ ἡ ζωή. Ὁ ψεύστης ἐστὶ δοῦλος τοῦ Διαβόλου· διότι ὁ πατὴρ καὶ ἐφευρετὴς τοῦ ψεύδους ἐστὶν ὁ Διάβολος. Αὐτὸς, ὅταν λαλῇ τὸ ψεῦδος, ἐκ τῶν ἰδίων λαλεῖ· Ὅτι ψεύ- Αὐτ. η. 44.
στης ἐστὶ καὶ ὁ πατὴρ αὐτοῦ, ἤγουν ὁ πατὴρ αὐτοῦ τοῦ ψεύδους. Αὐτὸς πρῶτος ἐγέννησε τὸ ψεῦδος, καὶ ἐλάλησεν αὐτὸ εἰς τῶν προπατόρων τὰ ὦτα. Ἐντεῦθεν ἡ φοβερὰ ἀπόφασις, τὴν ὁποίαν ἀναγινώσκομεν εἰς τὴν ἀποκάλυψιν τοῦ Εὐαγγελιστοῦ Ἰωάννου· αὐτὸς συναριθμεῖ τοὺς ψεύστας μετὰ τῶν κυνῶν, μετὰ τῶν μάγων, μετὰ τῶν πόρνων, μετὰ τῶν φονέων, καὶ μετὰ τῶν εἰδωλολατρῶν, καὶ ἐκβάλλει αὐτοὺς ἔξω τῆς βασιλείας τῶν οὐρανῶν· Ἔξω, λέγει, οἱ κύνες, Αποκ. κβ΄. 15.
καὶ οἱ φαρμακοὶ, καὶ οἱ πόρνοι, καὶ οἱ φονεῖς, καὶ οἱ εἰδωλολάτραι, καὶ πᾶς ὁ φιλῶν καὶ ποιῶν ψεῦδος.

Τὸ λοιπὸν, ἀδελφοὶ, ἐὰν μὴ φροντίζητε περὶ τῆς τιμῆς καὶ τῆς καλῆς ἐν τῷ κόσμῳ καταστάσεως, λυπηθῆτε τὴν ψυχὴν ὑμῶν, καὶ ἀποθέμενοι τὸ ψεῦ- Ἐφεσ. δ΄. 25.
δος, λαλεῖτε ἀλήθειαν ἕκαστος μετὰ τοῦ πλησίον αὐτοῦ. Ὅταν συλλογίζεσαι τὴν ἀλήθειαν, τότε ἡ ψυχή σου, συνενουμένη μετὰ τοῦ Θεοῦ, πληροῦται φωτὸς καὶ εὐφροσύνης· ὅταν ὁ νοῦς σου πλέκῃ τὸ ψεῦδος, τότε ἡ ψυχή σου γίνεται δούλη τοῦ Διαβόλου, καὶ πληροῦται σκότους καὶ θλίψεως. Ὅταν τὸ στόμα σου λαλῇ τὴν ἀλήθειαν, τότε ὠφελεῖς σεαυτὸν καὶ τὸν πλησίον σου· ὅταν λαλῇς τὸ ψεῦδος, τότε βλάπτεις τὴν ψυχήν σου καὶ τὸν ἀδελφόν σου. Ὁ Θεὸς ἔπλασε τὸ στόμα σου, τὰ χείλη σου, καὶ τὴν γλῶσσάν σου πρὸς δοξο-

λο-

λογίαν αὐτοῦ καὶ αἴνεσιν· μὴ οὖν μιαίνῃς αὐτὰ διὰ τῆς ἀκαθαρσίας τοῦ ψεύδους, ἀλλ' ἁγίαζε διὰ τῆς καθαρότητος τῆς ἀληθείας, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

# ΕΡΜΗΝΕΙΑ

ΕΙΣ ΤΟ ΚΑΤΑ

# ΜΑΤΘΑΙΟΝ

## ΕΥΑΓΓΕΛΙΟΝ ΤΗΣ Ζ'. ΚΥΡΙΑΚΗΣ.

Κύριε Ἰησοῦ Χριστέ, Υἱὲ τοῦ Θεοῦ τοῦ ζῶντος, ποίησον καὶ εἰς ἡμᾶς τὰ θαυμάσια, ὅσα ἠκούσαμεν σήμερον εἰς τὸ ἱερόν σου Εὐαγγέλιον. Καθὼς ἐχάρισας φῶς εἰς τὰ ὄμματα τῶν δύω τυφλῶν, οὕτω φώτισον τοὺς νοεροὺς ὀφθαλμοὺς τῆς ψυχῆς ἡμῶν, ἵνα κατανοήσωμεν τὴν ἀνείκαστόν σου δύναμιν. Σὺ Κύριε Ἰησοῦ, ὅστις ἤνοιξας τοῦ κωφοῦ τὰ ὦτα, ἄνοιξον τῆς ψυχῆς ἡμῶν τὴν ἀκοήν, ἵνα ἀκούσωμεν τὴν οὐράνιον καὶ ψυχοσωτήριον διδασκαλίαν σου. Σὺ Κύριε, ὅστις ἐθεράπευσας τότε πᾶσαν ἀῤῥωστίαν καὶ ἀσθένειαν, ἰάτρευσον νῦν τὰ πολυποίκιλα πάθη ἑνὸς ἑκάστου τῶν περιεστώτων, καὶ ἀκουόντων τὸ εὐαγγελικὸν κήρυγμα. Διότι τὰ πάθη ἄλλοτε μέν, ὡς ἡ ἀκρὶς καὶ ὁ βροῦχος, ἐξαφανίζουσι πάντα τὰ νεοφανῆ φυτά, ὅσα βλαστάνει εἰς τὰς καρδίας ἡμῶν ὁ σπόρος τοῦ θείου λόγου σου· ἄλλοτε δέ, ὡς τὰ πεινῶντα σποροφάγα πετεινά, αὐτὸν τοῦ λόγου τὸν σπόρον εὐθὺς κατατρώγουσιν· ὅθεν οὐδὲ αὐτοὶ οἱ πρωτοφανεῖς βλαστοὶ τῆς ἀρετῆς, ἤγουν ἡ εὐλάβεια καὶ ἡ κατάνυξις, προκύπτουσιν εἰς τὴν ψυχὴν ἡμῶν· Υἱὲ Δαβίδ, ἐλέησον ἡμᾶς, κράζομεν καὶ ἡμεῖς, καθὼς οἱ δύω τυφλοί. Ἐπειδὴ δὲ πιστεύομεν, ὅτι, ὡς πολυεύσπλαγχνος καὶ οἰκτίρμων, εἰσακούεις τὴν δέησιν τῶν ἐν ἀληθείᾳ ὑπὲρ τῆς σωτηρίας αὐτῶν ἐπικαλουμένων σε, ἀρχόμεθα τῆς ἐξηγήσεως, τῷ θείῳ ἐλέει σου θαῤῥοῦντες.

**Τῷ καιρῷ ἐκείνῳ, παράγοντι τῷ Ἰησοῦ, ἠκολούθησαν αὐτῷ δύω τυφλοί, κράζοντες καὶ λέγοντες· Ἐλέησον ἡμᾶς, Υἱὲ Δαβίδ.** Ματ. θ'. 27.

Ὅτε ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς Αὐτ. 18.
διέβαινεν ἀπὸ τῆς οἰκίας τοῦ ἄρχοντος Μάρκ. ε'. 22.
Ἰαείρου εἰς ἄλλην τινὰ οἰκίαν, τότε δύω Λουκ. η'. 41.
τυφλοὶ ἠκολούθησαν αὐτῷ, κράζοντες· Ἐλέησον ἡμᾶς, υἱὲ Δαβίδ. Καὶ ποίας μὲν καταστάσεως ἄνθρωποι ἦσαν οὗτοι οἱ δύω τυφλοί, πῶς δὲ συνέβη εἰς αὐτοὺς τῆς τυφλώσεως τὸ πάθος, καὶ πόσον καιρὸν ἐστερημένοι ἦσαν τῆς ὁράσεως, ἐσιώπησεν αὐτά, ὡς περιττά, ὁ ἅγιος ἱστοριογράφος καὶ Εὐαγγελιστής. Εὔκολα δὲ καταλαμβάνομεν, πόθεν αὐτοὶ προτραπέντες, ἠκολούθουν τῷ Ἰησοῦ Χριστῷ, κράζοντες τό,
Ἐλέησον ἡμᾶς· διότι, πρὶν ἢ θεραπεύσῃ ὁ Κύριος αὐτούς, ἀνέστησε τὴν θυ- Ματ. θ'. 26.

θυγατέρα τοῦ Ἰαείρου· ἡ φήμη δὲ τοῦ ὑπερφυοῦς θαύματος ἁπλώθη εἰς πάντα τὰ μέρη τῆς γῆς ἐκείνης, ὡς διηγεῖται ὁ αὐτὸς Εὐαγγελιστής. Τοῦτο οὖν τὸ θαῦμα, ὡς φαίνεται, ἀκούσαντες οἱ τυφλοί, ἔτρεχον ὀπίσω τοῦ Ἰησοῦ Χριστοῦ, ζητοῦντες μεγαλοφώνως τὸ ἔλεος αὐτοῦ, καὶ ἐλπίζοντες, ὅτι λαμβάνουσι καὶ αὐτοὶ τὸ φῶς, καθὼς τοῦ Ἰαείρου ἡ θυγάτηρ, τὴν ζωήν. Εὐλαβείᾳ δὲ κινούμενοι, ὠνόμαζον τὸν Ἰησοῦν Χριστὸν Υἱὸν Δαβὶδ, οὐχὶ μόνον καθότι τὸν Δαβὶδ πάντες ἐτίμων, καὶ ἐσέβοντο ὡς Βασιλέα ἅγιον καὶ Προφήτην Θεοῦ, ἀλλὰ καὶ καθότι κοινῶς πάντες ἐπίστευον, ὅτι ὁ Μεσσίας, κατὰ τὰς προῤῥήσεις τῶν ἁγίων Προφητῶν, ἐκ τοῦ σπέρματος
Ματ. κβ΄. 41. Δαβὶδ ἔμελλε γεννηθῆναι· διὸ καὶ Υἱὸν τοῦ Δαβὶδ αὐτὸν ἐκάλουν. Ἀλλὰ κἂν οἱ τυφλοὶ μεγάλῃ τῇ φωνῇ ἔκραζον ἐν τῇ ὁδῷ τὸ, Ἐλέησον ἡμᾶς, Υἱὲ Δαβὶδ, ὁ Ἰησοῦς Χριστὸς ὅμως, φεύγων ὅσον τὸ δυνατὸν τὴν τῶν ἀνθρώπων δόξαν, οὐδεμίαν ἀπόκρισιν ἔδωκεν εἰς αὐτοὺς, ἕως ὅτου εἰσῆλθεν εἰς τὴν οἰκίαν.

Αὐτ. θ΄. 28. **Ἐλθόντι δὲ εἰς τὴν οἰκίαν, προσῆλθον αὐτῷ οἱ τυφλοί· καὶ λέγει αὐτοῖς ὁ Ἰησοῦς· Πιστεύετε, ὅτι δύναμαι τοῦτο ποιῆσαι; λέγουσιν αὐτῷ· Ναὶ Κύριε.**

Ὅταν δὲ εἰσέβη ὁ Ἰησοῦς Χριστὸς εἰς τὴν οἰκίαν, τότε ἐλθόντες οἱ τυφλοὶ ἐπλησίασαν εἰς αὐτόν. Ἠρώτησε δὲ αὐτοὺς, λέγων· Πιστεύετε, ὅτι δύναμαι ποιῆσαι ἐκεῖνο, ὅπερ ζητεῖτε, ἤγουν πιστεύετε, ὅτι ἐγὼ δύναμαι φωτίσαι τὰ ὄμματα ὑμῶν; Ναὶ Κύριε, ἀπεκρίθησαν ἐκεῖνοι, πιστεύομεν. Ἀλλὰ ποία τοῦ ἐρωτήματος τούτου ἡ χρεία; Ὁ Ἰησοῦς Χριστὸς, ὡς καρδιογνώστης Θεὸς, καὶ τὴν πίστιν ἐγνώριζε, καὶ τὴν εὐλάβειαν ἔβλεπε τῶν τυφλῶν· αὐτὸς μὲν οὐδεμίαν εἶχε χρείαν, ἠρώτησεν ὅμως, ἵνα μάθωμεν ἡμεῖς, ὅτι χωρὶς τῆς πίστεως οὐδεμία χάρις δίδοται εἰς τοὺς ἀνθρώπους· καὶ ὅτι καθὼς παρὰ τῶν τυφλῶν ἐζήτησε τὴν πίστιν, ἵνα δώσῃ τὴν ὅρασιν τῶν ἐπιγείων, οὕτω καὶ παρ' ἡμῶν πίστιν ζητεῖ, ἵνα χορηγήσῃ τὴν γνῶσιν τῶν ἐπουρανίων πραγμάτων· διότι προηγεῖται ἡ πίστις τῆς γνώσεως· ὅθεν ὁ μὲν Προ- Ψαλ. ριϛ΄. 10.
φήτης ἔλεγεν· Ἐπίστευσα, διὸ ἐλά-
λησα· ὁ δὲ Ἀπόστολος, Καὶ ἡμεῖς Β΄. Κορ. δ΄. 13.
πιστεύομεν, διὸ καὶ λαλοῦμεν. Ὅτε οὖν οἱ τυφλοὶ ἐφανέρωσαν τὴν πίστιν αὐτῶν, εἰπόντες, Ναὶ Κύριε·

**Τοτε ἥψατο τῶν ὀφθαλμῶν αὐτῶν, λέγων· Κατὰ τὴν πίστιν ὑμῶν, γενηθήτω ὑμῖν.** Ματ. θ΄. 30.

Τότε δηλαδὴ ἐψηλάφησε τοὺς ὀφθαλμοὺς αὐτῶν, καὶ εἶπεν· Ἐπειδὴ πιστεύετε, κατὰ τὴν πίστιν ὑμῶν, γενηθήτω εἰς ὑμᾶς τὸ ποθούμενον. Καὶ ἠδύνατο μὲν ὁ μόνος παντοδύναμος λόγος τοῦ Κυρίου Ἰησοῦ, ἤγουν τὸ, Γενηθήτω ὑμῖν, φωτίσαι τοὺς ὀφθαλμοὺς τῶν τυφλῶν, ἐπειδὴ τὸν αὐτὸν λόγον ὁ αὐτὸς Κύριος καὶ Θεὸς εἶπεν, ὅτε ἐδημιούργησε τὸ φῶς· Γενηθήτω, εἶπε, φῶς· Γεν. α΄. 3.
καὶ ἐγένετο φῶς· ἐψηλάφησεν ὅμως τοὺς ὀφθαλμοὺς αὐτῶν, ἵνα δείξῃ, ὅτι οὐκ ἔστιν ἄσαρκος, καθὼς τότε, ὅτε ἐποίησε τὸ φῶς, ἀλλὰ σεσαρκωμένος καὶ τέλειος ἄνθρωπος, καθὼς καὶ τέλειος Θεός· καὶ ἵνα παραστήσῃ, ὅτι καθὼς παντοδύναμόν ἐστι τὸ θεῖον αὐτοῦ πρόσταγμα, οὕτω παντοδύναμός ἐστι καὶ ἡ δεξιὰ τοῦ παναχράντου καὶ θείου αὐτοῦ σώ-

σώματος. Περὶ τούτου δὲ λαμπρῶς προεφήτευσεν ὁ θεόπνευστος Ψαλμῳδός, λέ-
Ψαλ. ριζʹ. 16. γων· Δεξιὰ Κυρίου ἐποίησε δύναμιν, τουτέστιν, ὅτε ἐκ χοὸς ἔπλασε τὸν ἄνθρωπον· Δεξιὰ Κυρίου ὕψωσέ με, ὅτε δηλαδὴ, ἐκπεπτωκότα τοῦ παραδείσου, εἰς τὸν οὐρανὸν ἀνύψωσε· Δεξιὰ Κυρίου ἐποίησε δύναμιν, ἤγουν ὅταν τὰς διαφόρους καὶ ποικίλας νόσους ἐθεράπευσε· τρὶς δὲ ἐπανέλαβε τὸ, Δεξιὰ Κυρίου, ἵνα δείξῃ τὰς τρεῖς ὑποστάσεις, καὶ τὴν μίαν δύναμιν καὶ οὐσίαν τῆς Θεότητος, καὶ ὅτι ὁ εἷς καὶ τρισυπόστατος Θεὸς αὐτός ἐστι καὶ ὁ πλάσας, καὶ ὁ ἀναπλάσας, καὶ ὁ θεραπεύσας τὴν ἀνθρωπίνην φύσιν. Καθὼς δὲ, ὅταν ὁ φωτοδότης εἶπε, Γεννηθήτω φῶς, ἐγένετο εὐθὺς τὸ φῶς· οὕτω καὶ ὅταν εἶπε, Γεννηθήτω ὑμῖν κατὰ τὴν πίστιν ὑμῶν, ἔλαβον εὐθὺς οἱ τυφλοὶ τὸν φωτισμόν.

Ματ. θʹ. 30. Καὶ ἀνεῴχθησαν αὐτῶν οἱ ὀφθαλμοί· καὶ ἐνεβριμήσατο αὐτοῖς ὁ Ἰησοῦς, λέγων· Ὁρᾶτε· μηδεὶς γινωσκέτω.

Τὸ, ἀνεῴχθησαν αὐτῶν οἱ ὀφθαλμοὶ, δηλοποιεῖ, ὅτι ἐθεραπεύθη μὲν τὸ πάθος τῶν ὀφθαλμῶν, ἔβλεπον δὲ καθαρῶς οἱ τυφλοί· ἀλλ' ἴσως κεκλεισμέναι ἦσαν αἱ κόραι καὶ τὰ βλέφαρα τῶν ὀμμάτων αὐτῶν· ὅθεν προσφυῶς καὶ ἁρμοδίως εἶπεν ὁ θεῖος Εὐαγγελιστὴς τὸ, ἀνεῴχθησαν οἱ ὀφθαλμοὶ αὐτῶν. Τοῦτο ὅμως ἔχει καὶ ἄλλην ἔννοιαν· διότι αἱ αἰσθήσεις ἡμῶν εἰσὶν ὥσπερ θύραι· δι' αὐτῶν δὲ εἰσέρχεται εἰς τὸν νοῦν ἡ αἴσθησις τῶν ὑλικῶν πραγμάτων· διὸ καὶ ὁ Προφήτης Ἱερε-
Ἱερ. θʹ. 21. μίας ἔλεγεν· Ἀνέβη θάνατος διὰ τῶν θυρίδων. Ὅτε οὖν τὸ αἰσθητήριόν ἐστιν ὑγιὲς, τότε ἡ θύρα ἐστὶν ἀνεῳγμένη· ὅτε δὲ ἐστι βεβλαμμένον ὑπό τινος πάθους, τότε ἡ θύρα ἐκείνη ἐστὶ κεκλεισμένη· πανσόφως οὖν εἶπεν ὁ Εὐαγγελιστὴς, ὅτι ἀνεῴχθησαν τῶν τυφλῶν οἱ ὀφθαλμοὶ, ἤγουν ἤνοιξεν ὁ Δεσπότης τοῦ παντὸς ἐκείνας τὰς θύρας, αἵτινες, κλεισθεῖσαι ὑπὸ τοῦ πάθους τῆς τυφλώσεως, ἐνεπόδιζον τὴν εἴσοδον τοῦ φωτός. Σημείωσαι δὲ τὸ, ἐνεβριμήσατο, διότι τοῦτο σημαίνει, ὅτι μετὰ πολλῆς σφοδρότητος, καὶ προστακτικῆς ἐμφάσεως παρήγγειλεν ὁ Κύριος εἰς τοὺς τυφλοὺς, ἵνα μὴ φανερώσωσιν, οὐχὶ τὴν ἰατρείαν· ἐπειδὴ ἀδύνατον ἦν κρύψαι αὐτὴν ἀπὸ ἐκείνων, ὅσοι ἐγνώριζον τοὺς τυφλούς· ἀλλ' ἵνα μηδεὶς μάθῃ, τίς ἐστιν ὁ ἰατρὸς αὐτῶν. Φανερὸς δὲ ὁ λόγος ταύτης τῆς αὐστηρᾶς παραγγελίας· ἔφευγεν ὁ Θεάνθρωπος τῶν ἀνθρώπων τὸν ἔπαινον, διδάσκων, ἵνα καὶ ἡμεῖς φεύγωμεν τὸ κενὸν τῶν ἀνθρώπων δοξάριον. Ἀλλ' ἆράγε ἐφύλαξαν οἱ τυφλοὶ ταύτην τὴν ἐντολήν;

Οἱ δὲ, ἐξελθόντες, διεφήμισαν αὐτὸν ἐν ὅλῃ τῇ γῇ ἐκείνῃ. Ματ. θʹ. 31.

Παρήκουσαν τὴν ἐντολὴν οἱ θεραπευθέντες τυφλοί· τῆς εὐεργεσίας τὸ μέγεθος, ἡ ὑπερβολὴ τῆς χαρᾶς, ἡ εὐγνωμοσύνη τῆς ψυχῆς εἰσὶ τὰ αἴτια τῆς παρακοῆς· μόλις ἐξῆλθον ἐκ τῆς οἰκίας, εἰς ἣν ἔλαβον τὸ φῶς τῶν ὀμμάτων αὐτῶν, καὶ εὐθὺς διεφήμισαν τὸ θαῦμα, ἔτρεξαν εὐθὺς κηρύττοντες εἰς πάντα τὰ μέρη τῆς γῆς ἐκείνης, ὅτι ὁ Ἰησοῦς Χριστὸς ἤνοιξε τοὺς ὀφθαλμοὺς αὐτῶν, καὶ ἐδωρήσατο αὐτοῖς τὸ φῶς. Βλέπε δὲ τῆς ἀρετῆς τὴν δύναμιν· ὅσον ἡμεῖς αὐτὴν καλύπτομεν, καὶ κατακρύπτομεν, τοσοῦτον αὐτὴ ἀνακαλύπτεται καὶ φανεροῦται.

Ματ. θ'. 32. Αὐτῶν δὲ ἐξερχομένων, ἰδοὺ
προσήνεγκαν αὐτῷ ἄνθρωπον
33. κωφὸν, δαιμονιζόμενον. Καὶ
ἐκβληθέντος τοῦ Δαιμονίου,
ἐλάλησεν ὁ κωφός.

Πλουσία καὶ ἀλληλοδιάδοχος τῶν
θαυμάτων ἡ χάρις· μετὰ τὴν μίαν θαυ-
ματουργίαν ἠκολούθησεν εὐθὺς ἡ ἄλλη.
Ἐξήρχοντο ἐκ τῆς οἰκίας οἱ τυφλοὶ βλέ-
ποντες, καὶ εἰσήρχετο φερόμενος ἄνθρω-
πος κωφὸς καὶ δαιμονιζόμενος· τοῦτον ὁ
Κύριος ἰδὼν καὶ εὐσπλαγχνισθεὶς, ἐθε-
ράπευσε, διώξας ἀπ' αὐτοῦ τὸ Δαιμό-
νιον. Διατί δὲ οὐκ εἶπεν ὁ Εὐαγγελι-
στὴς, ἤκουσεν, ἀλλ' εἶπεν, ἐλάλησεν ὁ
κωφός; Κωφὸς λέγεται οὐ μόνον ὁ κω-
φὸς, ἀλλὰ καὶ ὁ ἄλαλος ἅμα καὶ κω-
φός. Ἱστορεῖ ὁ ἱερὸς Λουκᾶς, ὅτι ὁ προφή-
της Ζαχαρίας, ὁ πατὴρ τοῦ Προδρόμου,
Λουκ. α'. 22. μετὰ τὴν ὀπτασίαν τοῦ Ἀγγέλου διέ-
μεινε κωφός· ὁ δὲ Ζαχαρίας οὐ μόνον
ἔμεινε κωφὸς, ἀλλὰ καὶ ἄλαλος· καὶ ὅτι
μὲν κωφὸς, φανερὸν, ἐπειδὴ ἐὰν ἤκουεν,
Αὐτ. 62. οὐκ ἐνένευον, ἤγουν οὐκ ἐποίουν αὐ-
τῷ νεύματα, ἵνα καταλάβῃ, ποῖον ὄ-
νομα θέλει, ἵνα ἐπιτεθῇ τῷ υἱῷ αὐ-
τοῦ· φανερὸν δὲ, ὅτι ὁ αὐτὸς ἦν καὶ ἄ-
λαλος, ἐπειδὴ, μὴ δυνάμενος λαλῆσαι,
Αὐτ. 63. ἔγραψεν εἰς πινακίδιον, Ἰωάννης
ἔσται τὸ ὄνομα αὐτοῦ· τότε δὲ ἠ-
νοίχθη τὸ στόμα αὐτοῦ καὶ ἡ γλῶσσα·
ὥστε καὶ ὁ δαιμονιζόμενος οὗτος οὐ μό-
νον κωφὸς ἦν, ἀλλὰ καὶ ἄλαλος. Μετὰ
πανσόφου δὲ συντομίας ὁ θεηγόρος Ματ-
θαῖος καὶ τὰ δύω πάθη ἐφανέρωσε,
τὴν μὲν κώφευσιν, διὰ τοῦ, κωφὸς, τὴν
δὲ ἀφωνίαν, ἔτι δὲ καὶ τὸ αἴτιον τῶν
παθῶν, διὰ τοῦ, Καὶ ἐκβληθέντος
τοῦ Δαιμονίου, ἐλάλησεν ὁ κω-
φός· ἐφανέρωσε δηλαδὴ, ὅτι ὁ Δαίμων
ἐδέσμευε καὶ τὴν γλῶσσαν καὶ τὴν ἀ-
κοὴν τοῦ ἀνθρώπου, καὶ διὰ τοῦτο ὅτε
ἐκεῖνος ἐξῆλθε, τότε εὐθὺς ὁ κωφὸς ἐ-
λάλησεν. Ὅμοιον δὲ δαιμονιζόμενον, ἤ-
γουν ἄλαλον καὶ κωφὸν, καὶ ἄλλοτε ἰά-
τρευσεν ὁ Ἰησοῦς Χριστὸς, εἰπών· Τὸ Μάρκ. θ'. 25.
Πνεῦμα τὸ ἄλαλον καὶ κωφὸν, ἐ-
γώ σοι ἐπιτάσσω· ἔξελθε ἐξ αὐ-
τοῦ, καὶ μηκέτι εἰσέλθῃς εἰς αὐ-
τόν. Βλέπομεν δὲ, ὅτι καὶ οἱ ποιοῦντες
τοῦ Δαίμονος τὰ θελήματα, καὶ διὰ
τῆς ἁμαρτίας καὶ ἀμετανοησίας δοῦλοι
αὐτοῦ γινόμενοι, ὁμοίως κωφοὶ γίνονται
καὶ ἄλαλοι· κωφοὶ, ἐπειδὴ οὐδέποτε ἀ-
κούουσι τὸν λόγον τοῦ Κυρίου· ἄλαλοι,
ἐπειδὴ οὐδέποτε λαλοῦσι λόγον περὶ δι-
καιοσύνης καὶ ἀρετῆς. Ταῦτα δὲ τὰ
θαύματα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χρι-
στοῦ, κἂν ἀρκετὴν δύναμιν εἶχον πρὸς
τὸ πληροφορῆσαι πάντας τοὺς ἰδόντας
αὐτὰ, ὅτι αὐτός ἐστι Θεὸς ἀληθινὸς, ὅ-
μως ἄλλοι μὲν ἐθαύμαζον, ἄλλοι δὲ
κατέκρινον αὐτὸν καὶ ἐσυκοφάντουν.

Καὶ ἐθαύμασαν οἱ ὄχλοι, Ματ. θ'. 33.
λέγοντες. Ὅτι οὐδέποτε ἐ-
φάνη οὕτως ἐν τῷ Ἰσραήλ.
Οἱ δὲ Φαρισαῖοι ἔλεγον· Ἐν 34.
τῷ ἄρχοντι τῶν Δαιμονίων ἐκ-
βάλλει τὰ Δαιμόνια.

Ὁ μὲν λαὸς θαυμάζει, οἱ δὲ Φα-
ρισαῖοι βλασφημοῦσιν. Ὁ λαὸς κρίνει
κρίσιν δικαίαν καὶ ἀληθινήν· Οὐδέποτε,
λέγουσιν, ἐφάνησαν εἰς τὸ γένος τοῦ
Ἰσραὴλ τοιαῦτα θαύματα, καὶ ἀληθῶς·
διότι θαύματα μὲν ἐποίησαν καὶ οἱ
Προφῆται, μάλιστα ὁ Μωϋσῆς, καὶ ὁ
Ἠλίας, καὶ ὁ Ἐλισσαῖος, οὐδεὶς ὅμως
τόσα ὅσα ὁ Ἰησοῦς Χριστός· εἶτα ἐκεῖ-
νοι ἐθαυματούργουν διὰ τῆς πρὸς τὸν
Θεὸν

Θεὸν προσευχῆς, ὁ δὲ Ἰησοῦς Χριστὸς διὰ προσταγῆς· οἱ Προφῆται τῇ τοῦ Θεοῦ χάριτι, ὁ Ἰησοῦς Χριστὸς τῇ ἰδίᾳ δυνάμει καὶ ἐξουσίᾳ· καθεὶς τῶν Προφητῶν ἐποίησέ τινα θαύματα, ὁ Ἰησοῦς Χριστὸς πάντα τῶν θαυμάτων τὰ εἴδη.
Οἱ δὲ Φαρισαῖοι κρίνουσιν ἄδικον κρίσιν καὶ ψευδῆ· Διὰ τῆς δυνάμεως, λέγουσι, τοῦ ἄρχοντος τῶν Δαιμόνων διώκει ὁ Ἰη-
Ματ. ιβ'. σοῦς τὰ Δαιμόνια. Ἀλλ' ἐὰν ὁ Σατα-
24. νᾶς τὸν Σατανᾶν ἐκδιώκῃ, διαμερίζεται
Μάρκ. γ'. ἀναμφιβόλως, καὶ ἐπομένως ἐξαφανίζε-
22. Λουκ. ια'. ται ἡ ἐξουσία αὐτοῦ καὶ ἡ δύναμις·
15. τοιουτοτρόπως ἄλλοτε ὁ Θεάνθρωπος εὐστόχως ἅμα καὶ θεοπρεπῶς ἐπεστόμισε τοὺς αὐτοὺς Φαρισαίους καὶ Γραμματεῖς. Ἀλλὰ διατί ὁ κοινὸς λαὸς, ἀμαθὴς ὢν, κρίνει ὀρθότερα τῶν διδασκάλων, ἤγουν τῶν Φαρισαίων; Διότι ὁ φθόνος σκοτίζει τὸν νοῦν τῶν σοφῶν ἐπίσης ὥσπερ καὶ τῶν ἀμαθῶν· ὁ λαὸς, καθαρὸς τοῦ φθόνου, κρίνει ὀρθῶς· οἱ Φαρισαῖοι, φθονεροὶ, παραλογοῦσι καὶ κρίνουσι κακῶς. Διατί δὲ, οὐδὲν ἀπεκρίθη πρὸς τὴν ἀδικοκρισίαν καὶ βλασφημίαν τῶν Φαρισαίων ὁ Σωτήρ; Διότι ἄλλοτε ἀπεκρίθη, ὡς ἀνωτέρω εἴπομεν, νῦν δὲ ἐπὶ τὸ κήρυγμα σπεύδων, ἀφῆκε τὰ πράγματα ἔλεγχον τῶν παραλογημάτων αὐτῶν.

Καὶ περιῆγεν ὁ Ἰησοῦς τὰς Ματ. θ'. 35.
πόλεις πάσας καὶ τὰς κώμας, διδάσκων ἐν ταῖς συναγωγαῖς αὐτῶν, καὶ κηρύσσων τὸ Εὐαγγέλιον τῆς βασιλείας, καὶ θεραπεύων πᾶσαν νόσον, καὶ πᾶσαν μαλακίαν ἐν τῷ λαῷ.

Βλέπε, πῶς ἡ πρόνοια καὶ τὸ ἔλεος τοῦ Θεοῦ ἐφαπλοῦται ἐπίσης καὶ εἰς τοὺς πολλοὺς καὶ ἐνδόξους, καὶ εἰς τοὺς ὀλίγους καὶ εὐτελεῖς. Περιήρχετο ὁ Ἰησοῦς Χριστὸς καὶ εἰς τὰς πόλεις, ὅπου κατοικοῦσιν οἱ πολλοὶ, καὶ οἱ πλούσιοι, καὶ οἱ ἐπιφανεῖς, καὶ εἰς τὰ χωρία, ὅπου οἱ ὀλίγοι, καὶ ἐνδεέστεροι, καὶ ἀφανεῖς. Εἰσερχόμενος δὲ ἐν ταῖς συναγωγαῖς, ἤγουν εἰς τὰς οἰκίας, ὅπου ἐσυναθροίζετο ὁ λαὸς, καὶ κηρύττων τὸ Εὐαγγέλιον τῆς βασιλείας, τουτέστιν ὑποσχόμενος εἰς τοὺς πιστεύοντας βασιλείαν οὐράνιον καὶ ἀτελεύτητον, ἐδίωκε τῆς ἀπιστίας τὸ σκότος, καὶ ἐφώτιζε τὰς ψυχάς· ἐθεράπευε δὲ καὶ πᾶσαν ἀῤῥωστίαν καὶ ἀσθένειαν σωματικὴν, εὐεργέτης καὶ σωτὴρ ψυχῆς τε καὶ σώματος δεικνύμενος.

---

# ΟΜΙΛΙΑ

ΜΕΤΑ ΤΟ ΚΑΤΑ

# ΜΑΤΘΑΙΟΝ

## ΕΥΑΓΓΕΛΙΟΝ ΤΗΣ Ζ'. ΚΥΡΙΑΚΗΣ.

Παρατηρῶ εἰς τὴν ἱστορίαν τοῦ σημε-
ρινοῦ Εὐαγγελίου τὴν σιωπὴν τοῦ Ἰη-
σοῦ Χριστοῦ, ὅτε οἱ δύω τυφλοί, εἰς τὸ
μέσον τοῦ δρόμου, μεταξὺ τοῦ πλήθους
τῶν ἀνθρώπων, ἔκραζον μεγάλῃ τῇ φω-
νῇ, Υἱὲ Δαβίδ, ἐλέησον ἡμᾶς· ἀ-
κούω καὶ τὴν παραγγελίαν, τὴν ὁποίαν
ἔδωκεν εἰς αὐτούς, ἀφ' οὗ ἤνοιξε καὶ ἐ-
Ματ. θ'. φώτισε τὰ ὄμματα αὐτῶν· Ὁρᾶτε, μη-
30. δεὶς γινωσκέτω. Στοχαζόμενος δέ,
ὅτι καὶ ἡ σιωπὴ καὶ ἡ παραγγελία αὐ-
τοῦ ἔκρυπτον τὰ θαύματα, θαυμάζω,
καὶ ἐξαπορῶ. Ἐὰν ὁ Κύριος ἔπραττε
ταῦτα εἰς μόνους τοὺς δύω τυφλούς, ἡ
ἀπορία ἐδέχετο λύσιν· ἐπειδὴ δὲ βλέ-
πομεν, ὅτι ὁσάκις ὁ Θεάνθρωπος ἐθαυ-
ματούργησε, τοῦτο αὐτὸ πάντοτε ἔπρα-
ξε, διὰ τοῦτο ἡ ἀπορία οὐ λύεται, ἀλλ'
αὔξει καὶ κραταιοῦται.

Καθαρίζει τὸν συναντήσαντα αὐτῷ
λεπρὸν ἀπὸ τῆς λέπρας, καὶ εὐθὺς πα-
ραγγέλλει εἰς αὐτόν, λέγων· Πρόσε-
χε, κλεῖσαι τὸ στόμα σου, μηδενὶ φανε-
Αὐτ. η'. ρώσῃς τὸ θαῦμα· Ὅρα μηδενὶ εἴπῃς.
4. Ξηραίνει τὴν πολυχρόνιον ῥοὴν τοῦ αἵ-
ματος τῆς αἱμοῤῥοούσης, ἔπειτα ἀναφέ-
ρει τὸ θαῦμα, οὐχὶ εἰς τὴν δύναμιν αὐ-
τοῦ, ἀλλ' εἰς τὴν πίστιν τῆς ἀσθενού-
σης· Ἡ πίστις σου, λέγει, ἰάτρευσε τὴν
Αὐτ. θ'. ἀσθένειάν σου· Θύγατερ, ἡ πίστις
22. σου σέσωκέ σε. Τοῦτο αὐτὸ εἶπε,
καὶ ὅτε συνέσφιγξε τὰ παράλυτα μέλη
Αὐτ. η'. τοῦ δούλου τοῦ Ἑκατοντάρχου· Ὕπαγε,
13. καὶ ὡς ἐπίστευσας γενηθήτω σοι.

Ὁμοίως καὶ ὅταν ἠλευθέρωσεν ἀπὸ τῆς
τυραννίας τοῦ Δαίμονος τῆς Χαναναίας
τὴν θυγατέρα· Ὦ γύναι, μεγάλη Ματ. ιε'.
σου ἡ πίστις· γενηθήτω σοι ὡς 28.
θέλεις. Ἐλθὼν εἰς τὴν οἰκίαν τοῦ Αὐτ. η'.
Πέτρου, καταπαύει τὸν πυρετὸν τῆς πεν- 14, 16.
θερᾶς αὐτοῦ, διώκει τὰ Δαιμόνια ἀπὸ
τῶν ἐκεῖ προσενεχθέντων δαιμονιζομέ-
νων, ἰατρεύει πάντας τοὺς ἐκεῖ ἀσθε-
νεῖς, ἔπειτα ἰδών, ὅτι πολὺς ὄχλος πε-
ριεκύκλωσεν αὐτόν, φεύγει εὐθὺς ἐκεῖ-
θεν· Ἰδὼν δὲ ὁ Ἰησοῦς πολλοὺς Αὐτ. η'.
ὄχλους περὶ αὐτόν, ἐκέλευσεν ἀ- 18.
πελθεῖν εἰς τὸ πέραν. Τοῦτο αὐτὸ
ἔπραξε, καὶ ὅταν ἡσύχασε τῆς θαλάσ-
σης τὸν σεισμόν, καὶ κατεπράϋνε τοῦ
ἀνέμου τὴν ζάλην, ἔφυγε δηλαδὴ εὐθύς,
καὶ διαπεράσας εἰς τὸ πέραν μέρος τῆς
θαλάσσης, ἦλθεν εἰς τὴν χώραν τῶν Μάρκ. ε'.
Γαδαρηνῶν. Ὅτε ἐξήγειρε τὸν παρά- 1.
λυτον ἀπὸ τῆς κλίνης, ἐξένευσεν εὐ- Ἰωάν. ε'.
θὺς διὰ μέσου τοῦ ὄχλου, ἵνα μὴ γνω- 13.
ρισθῇ. Ὅτε μὲν διὰ πέντε ἄρτων ἐχόρ-
τασε τοὺς πεντακισχιλίους, ἠνάγκασε Ματ. ιδ'.
τοὺς μαθητὰς αὐτοῦ, ἵνα ἀναχωρή- 22.
σωσιν ἐκεῖθεν· ὅτε δὲ διὰ τῶν ἑπτὰ ἄρ-
των ἔθρεψε τοὺς τετρακισχιλίους, ἔφυ-
γεν εὐθύς, καὶ ἦλθεν εἰς τὰ ὅρια Αὐτ. ιε'.
Μαγδαλά. Ὅταν δὲ ἦλθεν εἰς τὴν οἰ- 39.
κίαν τοῦ Ἀρχισυναγώγου, ἵνα ἀναστή-
σῃ τὴν θυγατέρα αὐτοῦ, σπουδάζων κρύ-
ψαι τὸ θαῦμα, πρῶτον μὲν εἶπε πρὸς
τοὺς περιεστῶτας, Ἀναχωρήσατε, τὸ Ματ. θ'.
κοράσιον οὐκ ἀπέθανεν, ἀλλὰ κοιμᾶ- 24.
ται·

ται· ἔπειτα ἐξέβαλε πάντα τὸν λαὸν ἔξω, καὶ τότε ἀνέστησε τὴν θανοῦσαν κόρην. Ὅταν, ἐξελθὼν ἀπὸ τῆς Συναγωγῆς, ἰάτρευσεν ἀπὸ διαφόρων ἀσθενειῶν πάντας, ὅσοι ἐνώπιον αὐτοῦ παρεστάθησαν, τότε οὐ μόνον εἶπε· Σιωπᾶτε, μὴ φανερώσητε, ὅτι ἐγὼ ὑμᾶς ἰάτρευσα, ἀλλὰ καὶ ἐπετίμησεν αὐτούς,
Ματ. ιβ'. 16. ἵνα σιωπήσωσι· Καὶ ἐπετίμησεν αὐτοῖς, ἵνα μὴ φανερὸν αὐτὸν ποιήσωσιν. Ὅταν ἐπάνω εἰς τὸ Θαβώριον ὄρος ἔλαμψε τὸ πρόσωπον αὐτοῦ ὡς ὁ ἥλιος, καὶ τὰ ἱμάτια αὐτοῦ ἐγένοντο λευκὰ ὡς τὸ φῶς, ἠκούσθη δὲ φωνὴ ἐκ
Αὐτ. ιζ'. 5. τῆς νεφέλης λέγουσα· Οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητός, ἐν ᾧ εὐδόκησα· αὐτοῦ ἀκούετε· τότε ἔδωκε τὴν ἐντολὴν τῆς σιωπῆς εἰς τοὺς μαθητὰς αὐτοῦ, καὶ εἶπε· Μηδενὶ εἴπητε τὸ ὅραμα, ἕως οὗ ὁ Υἱὸς τοῦ ἀνθρώπου ἐκ νεκρῶν ἀναστῇ.

Ἡ εἰς Χριστὸν πίστις ἀναγκαία διὰ τὴν σωτηρίαν· ἡ δημοσίευσις τῶν θαυμάτων λύχνος φωτίζων, καὶ μαγνῆτις, ἐφέλκουσα τὴν καρδίαν τοῦ ἀνθρώπου εἰς τὴν εἰς Χριστὸν πίστιν· ὁ δὲ Ἰησοῦς Χριστός, ὁ ἐλθὼν εἰς τὸν κόσμον, ἵνα κηρύξῃ τὴν πίστιν, ἀναλαμβάνει τόσην σπουδὴν καὶ τόσον ἀγῶνα, ἵνα ἐμποδίσῃ τῶν θαυμάτων τὴν ἀνακήρυξιν· ἀνάπτει λύχνον, καὶ ἔπειτα κρύπτει αὐτὸν ὑπὸ τὸν μόδιον· τοῦτο ἀληθῶς παράδοξον! Ἆρά γε διὰ τὴν φυγὴν τῆς κενοδοξίας ἐποίησε ταῦτα; ἀλλὰ διὰ μίαν ἁμαρτίαν, ἥτις φαίνεται τόσον μικρά, ἐμποδίζεται ὁ πολυπλασιασμὸς τῆς
Ἰακώβ. β'. 26. πίστεως; Ναί, διὰ τὴν κενοδοξίαν· Ἡ πίστις χωρὶς τῶν ἔργων νεκρά ἐστιν· ἡ κενοδοξία φθείρει πάντων τῶν καλῶν ἔργων τὴν δύναμιν· διὸ νεκρὰν ποιεῖ τὴν πίστιν· τίς δὲ ἡ ὠφέλεια ἐκ τοιαύτης νεκρᾶς πίστεως; διὰ τοῦτο λοιπὸν ὁ Θεάνθρωπος ἀφιέρωσε τόσην προσοχὴν διὰ τὴν φυγὴν τῆς κενοδοξίας, ἵνα δείξῃ διὰ τούτου τὴν ἐκ τῆς κενοδοξίας φθορὰν τῆς σωτηρίας. Ἀληθῶς δὲ μέγα καὶ φοβερὸν ἁμάρτημα ἡ κενοδοξία· αὐτή, ἀπ' ἀρχῆς ἕως τέλους τῆς ζωῆς τοῦ ἀνθρώπου, παντοιοτρόπως γίνεται τῆς σωτηρίας αὐτοῦ ἐπίβουλος.

Πρῶτον πάντων τῶν προαιρετικῶν παθῶν ἀναφαίνεται εἰς τὸν ἄνθρωπον τῆς κενοδοξίας τὸ πάθος. Εἰς τὸ νήπιον οὐδὲν πάθος προαιρέσεως βλέπεις· πρῶτον δὲ προκύπτει εἰς αὐτὸ ἡ κενοδοξία· ὅταν τιμᾷς αὐτό, δείκνυσι σημεῖα χαρᾶς, καὶ ὅταν ἐπαινῇς αὐτό, εὐφραίνεται, καὶ γίνεται πρόθυμον· ἐὰν δὲ εἴπῃς κατ' αὐτοῦ περιφρονητικὸν λόγον, σκυθρωπάζει εὐθύς, καὶ κλαίει. Τῆς φιλοδοξίας τὸ πάθος ἀκολουθεῖ ἕως θανάτου· διότι καὶ παιδία, καὶ νέοι, καὶ γέροντες, καὶ ἐσχατόγηροι, καὶ ἡμίθνητοι ὀρέγονται καὶ θέλουσι τὴν τιμὴν καὶ τὸν ἔπαινον. Τὸ δὲ τούτων παραδοξότερον, ὅτι ἡ κενοδοξία ἀκολουθεῖ πολλάκις καὶ μετὰ θάνατον· τὰ πολυέξοδα σάβανα, οἱ πολύτιμοι τάφοι, αἱ ὑψηλαὶ πυραμίδες, τῶν προσώπων τὰ ἀφομοιώματα καὶ οἱ χαρακτῆρες, αἱ λαμπραὶ στῆλαι, τὰ μεγαλόρρήμονα ἐπιγράμματα, καὶ τὰ λοιπὰ ὅσα ἢ ἡμεῖς πρὸ τοῦ θανάτου, ἢ οἱ συγγενεῖς καὶ φίλοι μετὰ θάνατον ἑτοιμάζουσι, τί ἄλλο εἰσίν, εἰμὴ ὁ δυσώδης τῆς δοξομανίας καπνός; Περὶ τῶν τοιούτων ἀνθρώπων ὁ ἅγιος τοῦ Θεοῦ Προφήτης εἶπεν·
Οἱ τάφοι αὐτῶν οἰκίαι αὐτῶν εἰς τὸν αἰῶνα. Σκηνώματα αὐτῶν εἰς γενεὰν καὶ γενεάν, ἐπεκαλέσαντο τὰ ὀνόματα αὐτῶν ἐπὶ τῶν γαιῶν αὐτῶν. Ψαλ. μή. 10, 11.

Εὑρίσκει ἡ κενοδοξία εἰς τὸν καθένα ὕλην, εἰς τὴν ὁποίαν γεννᾶται καὶ τρέφεται. Τὰ ἀγαθὰ τῆς φύσεως, τῆς τύχης, τῆς ἕξεως, τῆς προαιρέσεως γί-

νον-

νονται ὕλη καὶ τροφὴ τῆς κενοδοξίας. Ἐκεῖνος σπουδάζει, ἵνα ἐπαινῶσιν αὐτὸν ὡς εὔμορφον, ὡς ἀνδρεῖον, ὡς φρόνιμον, ὡς ὀξύνουν· οὗτος θέλει καὶ ἀγωνίζεται, ἵνα λογίζωνται αὐτὸν εὐγενῆ, πλούσιον, ἀξιωματικόν· θέλει ὁ ἄλλος, καὶ ἐπιμελεῖται, ἵνα τιμῶσιν αὐτὸν ὡς διδάσκαλον, καὶ σοφὸν, καὶ παντεχνίτην· καὶ ἄλλος πάλιν θέλει καὶ ἐπιτηδεύεται παντὶ τρόπῳ, ἵνα νομίζωσιν αὐτὸν φιλοδίκαιον, σώφρονα, φιλάγαθον, ἐνάρετον. Ἀλλ' ἆράγε φεύγει ἡ κενοδοξία ἀφ' ἡμῶν, ὅταν οὐχ εὑρίσκῃ ἐν ἡμῖν τοιαύτην ὕλην καὶ τροφήν; ἆράγε, λέγω, φεύγει, ὅταν ὁ ἄνθρωπος τύχῃ ἐστερημένος πάντων τῶν εἰρημένων ἀγαθῶν; Οὐχί· αὐτὴ τότε βλάπτει τὴν φαντασίαν, καὶ ποιεῖ τὸν ἄνθρωπον σχεδὸν ἄφρονα καὶ μωρόν· θέλει καὶ ὁ δύσμορφος, ἵνα φαίνηται καὶ νομίζηται καὶ εὔμορφος καὶ ὡραῖος· καὶ ὁ εὐτελὴς, πλούσιος καὶ ἔνδοξος· καὶ ὁ ἀμαθὴς, σοφὸς καὶ ἐπιστήμων· καὶ ὁ πεπληρωμένος ἁμαρτιῶν, δίκαιος καὶ ἅγιος· τόση ἐστὶ τῆς κενοδοξίας ἡ δύναμις!

Πρὸς τούτοις αὐτή ἐστι πάθος πολλὰ ἀπατηλὸν καὶ δόλιον, καὶ κατακυριεύει ἡμῶν σχεδὸν ἀνεπαισθήτως. Ὅταν, παραδείγματος χάριν, ψάλλῃς, ἢ ἀναγινώσκῃς μόνος ἐπ' Ἐκκλησίας, τότε νυστάζεις, μαραίνεται ἡ φωνή σου, φεύγουσι τὰ λόγια ἀπὸ τοῦ στόματός σου, οὐδεμίαν προθυμίαν ἔχει ἡ ψυχή σου· ἐὰν δὲ, στρέψας τὰ ὄμματα, ἴδῃς, ὅτι ἦλθον καὶ συμπαρίστανται ἀκροαταὶ, φεύγει εὐθὺς ἡ νύστα, ἀνοίγει τὸ στόμα σου, λαμπρύνεται ἡ φωνή σου, προφέρεις τὰ λόγια καθαρὰ, ἔρχεταί σοι προθυμία πολλὴ, καὶ δύναμις μεγάλη, ἑνὶ λόγῳ, γίνεσαι ἄλλος ἐξ ἄλλου. Πόθεν δὲ αὐτὴ ἡ ταχυτάτη ἀλλοίωσις; σὺ μὲν ἴσως νομίζεις ὅτι, ἐστὶ μεταβολὴ τῆς δεξιᾶς τοῦ Ὑψίστου, πλὴν σφάλλεις· διότι αὐτή ἐστιν ἀλλοίωσις τῆς δεξιᾶς τοῦ Σατανᾶ, ὅστις ἀνεπαισθήτως ποτίζει σε τῆς φιλοδοξίας τὸ ὕδωρ· αὐτὸ δὲ χλωραίνει μὲν τὰς σωματικὰς δυνάμεις σου, σήπει ὅμως καὶ καταφθείρει τῆς ἀρετῆς σου τὴν χάριν.

Τοῦτο αὐτὸ συμβαίνει καὶ εἰς πᾶν ἄλλο ἀγαθὸν ἔργον. Ὅταν ἀκούσω, ὅτι ἐπαινοῦσι τὴν ἀνδρείαν μου, ἢ θαυμάζουσι τὸν πλοῦτόν μου, ἢ ἐγκωμιάζουσι τὰ συγγράμματά μου, ἢ μεγαλύνουσι τῶν ἀρετῶν μου τὰ κατορθώματα, τότε γίνομαι περίχαρος καὶ πολλὰ πρόθυμος· ὅταν δὲ βλέπω, ὅτι οὐδεὶς, οὐδὲ ἐπαινεῖ, οὐδὲ λαλεῖ, οὐδὲ κἂν γινώσκῃ τὰ ἔργα μου, τότε σκυθρωπάζω, καὶ γίνομαι ὀκνηρὸς καὶ δυσκίνητος· τοῦτό ἐστι πνεῦμα κενοδοξίας, κατακυριεῦον τῆς καρδίας μου, ἐγὼ δὲ ὁ ἄθλιος ἀναισθητῶ, καὶ οὐδόλως τοῦτο γνωρίζω.

Τόσον φανερὰ ἐλάλησεν ὁ Θεὸς κατὰ τοῦ πάθους τούτου, ὥστε, κἂν βαθύτατα κοιμᾶται τοῦ ἀνθρώπου ἡ συνείδησις, ἐξυπνοῦσιν αὐτὴν τοῦ Θεοῦ τὰ λόγια· Προσέχετε, εἶπε, τὴν ἐλεημο- Ματ. ς'. 1.
σύνην ὑμῶν μὴ ποιεῖν ἔμπροσθεν τῶν ἀνθρώπων, πρὸς τὸ θεαθῆναι αὐτοῖς· εἰ δὲ μήγε, μισθὸν οὐκ ἔχετε παρὰ τῷ Πατρὶ ὑμῶν τῷ ἐν τοῖς οὐρανοῖς. Καὶ ταῦτα μὲν ἐνομοθέτησε περὶ τῆς ἐλεημοσύνης, περὶ δὲ τῆς προσευχῆς καὶ τῆς νηστείας εἶπεν, ὅτι ὅσοι προσεύχονται, ἢ νηστεύουσιν, ἵνα φανῶσιν ἐνάρετοι ἐνώπιον τῶν ἀνθρώπων, ἐκεῖνοι οὐδένα ἄλλον μισθὸν ἀπολαμβάνουσιν, εἰμὴ μόνον τὸν ἔπαινον τῶν ἀνθρώπων· Ἀμὴν λέγω ὑμῖν, Αὐτ. ς'.
ἀπέχουσι τὸν μισθὸν αὐτῶν. Ἐὰν 5, 16.
δὲ ταῦτα μόνα ἔλεγε περὶ τῆς ἁμαρτίας ταύτης, ἀρκετὰ βέβαια ἦσαν, ἵνα πληροφορήσωσι πάντα ἄνθρωπον, ἵνα μακρὰν ἀπ' αὐτῆς ἀπέχῃ, ὅπως μὴ στερηθῇ τῆς ἐπουρανίου ἀντιμισθίας· ὥρισεν

ὅμως

ὅμως καὶ ἄλλα κατὰ τῶν κενοδόξων φρικτὰ καὶ φοβερώτατα· ταῦτα δὲ ἐξεφώνησεν ὁ θεόπνευστος προφήτης Δαβὶδ, ὀνομάσας τοὺς κενοδόξους, ἀνθρωπαρέσκους, καθότι πάντα πράττουσι πρὸς τὸ θεαθῆναι καὶ ἀρέσαι τοῖς ἀνθρώποις·
Ψαλ. νβ. 7. Ὅτι ὁ Θεὸς, λέγει, διεσκόρπισεν ὀστᾶ ἀνθρωπαρέσκων· ὀστᾶ δέ εἰσιν αἱ δυνάμεις, τὰ μέσα, οἱ τρόποι, διὰ τῶν ὁποίων ἀρέσκοντες τοῖς ἀνθρώποις, κερδαίνομεν τὸν τούτων ἔπαινον. Ὅταν μετερχώμεθα ἢ τὸ κάλλος, ἢ τὸν πλοῦτον, ἢ τὴν σοφίαν, ἢ τὴν ἀρετὴν, ἵνα δοξασθῶμεν ὑπὸ τῶν ἀνθρώπων, τότε ὁ Θεὸς διασκορπίζει καὶ ἀφαιρεῖ ἀφ' ἡμῶν τὰ ἀγαθὰ ταῦτα, ἡμεῖς δὲ μένομεν γυμνοὶ καὶ κατῃσχυμένοι· Κατῃσχύνθησαν, ὅτι ὁ Θεὸς ἐξουδένωσεν αὐτούς. Ἀκούετε; σκορπισμὸς καὶ φθορὰ τῶν ὀστέων, αἰσχύνη καὶ ἐξουδένωσις θεία, ἐστὶν ἡ τῆς κενοδοξίας τιμωρία.

Ἀλλὰ διατί, λέγεις, τοσαύτη καταδίκη; διὰ μίαν ματαιοφροσύνην, ἥτις οὐδένα ἀδικεῖ, τόση παίδευσις; Πῶς; οὐδένα ἀδικεῖ ὁ κενόδοξος; αὐτὸς ἀδικεῖ ἑαυτὸν, ἀδικεῖ τὸν πλησίον αὐτοῦ, ἐπιχειρεῖ, ἵνα ἀδικήσῃ καὶ αὐτὸν τὸν Θεόν. Ἀδικεῖ ἑαυτὸν, καθότι πωλεῖ βασιλείαν αἰώνιον, ἵνα ἀγοράσῃ καπνὸν πρόσκαιρον· καθότι ματαιοπονεῖ, σπείρων ἐν δάκρυσι, καὶ θερίζων θλίψιν καὶ αἰσχύνην. Ἀδικεῖ τὸν πλησίον αὐτοῦ, καθότι ἀπατᾷ αὐτὸν, ὑποκρινόμενος, ὅτι πράττει τὴν ἀρετὴν διὰ τὴν δόξαν τοῦ Θεοῦ, καὶ κλέπτει τὴν καλὴν ὑπόληψιν, καὶ τὴν εὐλάβειαν, καὶ τοὺς ἐπαίνους. Ἐπιχειρεῖ ἀδικῆσαι καὶ αὐτὸν τὸν Θεὸν, καθότι προτιμᾷ τὴν δόξαν τῶν ἀνθρώπων τῆς δόξης τοῦ Θεοῦ· καθότι χειροτονεῖ μισθαποδότην τῆς ἀρετῆς τὸν ἄνθρωπον· καθότι μεταβάλλει τὸν καιρὸν καὶ τὸν τόπον, ὃν ὁ Θεὸς ὥρισε διὰ τὴν ἀνταπόδοσιν· καθότι ἁρπάζει τὴν δόξαν, τὴν πρέπουσαν τῷ Θεῷ διὰ τὴν ἀρετήν· τῷ Θεῷ πρέπει ἡ δόξα διὰ τῆς ἀρετῆς τὰ κατορθώματα· ἐπειδὴ ὁ Θεός Φιλιπ. βʹ. 13.
ἐστιν, ὁ ἐνεργῶν ἐν ὑμῖν καὶ τὸ θέλειν καὶ τὸ ἐνεργεῖν ὑπὲρ τῆς εὐδοκίας· ὁ δὲ κενόδοξος σφετερίζεται αὐτὴν, θέλων καὶ ζητῶν αὐτὴν παρὰ τῶν ἀνθρώπων.

Πρὸς τούτοις, ποίας τιμῆς ἄξια εἰσι τοῦ κενοδόξου τὰ ἔργα; Αὐτά εἰσιν ὅμοια τάφοις κεκονιαμένοις, οἵτι- Ματ. κγʹ. 27.
νες ἔξωθεν μὲν φαίνονται ὡραῖοι, ἔσωθεν δὲ γέμουσιν ὀστέων νεκρῶν, καὶ πάσης ἀκαθαρσίας. Αὐτὰ παρομοιάζουσιν ἐκείνους τοὺς καρποὺς, οἵτινες ἔξωθεν μέν εἰσιν εὔμορφοι καὶ τερπνοὶ, ἔσωθεν δέ εἰσι πλήρεις σαπρίας καὶ σκωλήκων. Ἡ ἀρετὴ ἔχει πνεῦμα καὶ σῶμα, καθὼς καὶ ὁ ἐργαζόμενος αὐτὴν ἄνθρωπος· πνεῦμα τῆς ἀρετῆς ἐστὶν ὁ σκοπὸς, διὰ τὸν ὁποῖον γίνεται, σῶμα δὲ αὐτὸ τὸ ἐνάρετον ἔργον. Ἡ ψυχὴ τοῦ ἀνθρώπου χαρακτηρίζει τὰ ἤθη τοῦ σώματος αὐτοῦ· ὁ σκοπὸς τῆς ἀρετῆς χαρακτηρίζει τῆς ἀρετῆς τὸ ἔργον. Ἐὰν ἡ ψυχὴ ἀγαθὴ, ἀγαθά εἰσι καὶ τὰ τοῦ σώματος ἤθη· ἐὰν δὲ ἡ ψυχὴ πονηρὰ, πονηραί εἰσι καὶ αἱ σωματικαὶ πράξεις· ἐὰν ὁ σκοπὸς ἅγιος, ἅγιον καὶ τῆς ἀρετῆς τὸ ἔργον· ἐὰν ὁ σκοπὸς ἁμαρτωλὸς, ἁμαρτωλὰ καὶ τὰ ἐνάρετα ἔργα. Ὁ σκοπὸς μεταβάλλει τὴν ἀρετὴν εἰς κακίαν, καὶ τὴν κακίαν εἰς ἀρετήν· βλέπομεν τοῦτο εἰς τὰς ἁγίας Γραφάς. Ἡ προσευχὴ τοῦ Φαρι- Λουκ. ιηʹ. 11.
σαίου ἐγένετο ἁμαρτία, καὶ κατεδίκασεν αὐτὸν, ἐπειδὴ ὁ σκοπὸς αὐτῆς ἦν σκοπὸς ὑπερηφανείας καὶ μεγαλορρημοσύνης. Ἡ νηστεία τῶν κριτῶν τοῦ Ναβουθαὶ μετεβλήθη εἰς ἀνομίαν, ἐπειδὴ ἐνήστευσαν, σκοπὸν ἔχοντες, ἵνα ἐπιβεβαιώσωσι τὴν Γ. Βασιλ. κάʹ. 12.
ἀδικοκρισίαν, καὶ θανατώσωσι τὸν ἀθῶον.

Ὡσ. ά. θῶον. Ἡ ἀταξία τοῦ Προφήτου Ὠσηὲ,
2. ὅστις ἔλαβεν εἰς γυναῖκα μίαν πόρνην,
καὶ ἐτεκνοποίησε μετ' αὐτῆς, κατεστάθη
εὐταξία, ἐπειδὴ σκοπὸν εἶχε τὴν εἰς
Θεὸν ὑπακοὴν, καὶ τὸν ἔλεγχον τῆς ἀ-
νομίας τοῦ Ἰσραήλ. Ὁ φόνος, ὃν ἐποί-
ησεν ὁ Φινεὲς, ἐλογίσθη δικαιοσύνη, καὶ
ἐγένετο ἐξιλασμὸς τῆς ἀγανακτήσεως
τοῦ Θεοῦ, ἐπειδὴ ὁ σκοπὸς τοῦ φόνου
ἦν ἀληθὴς ζῆλος Θεοῦ, καὶ ὑπεράσπι-
σις τοῦ θείου νόμου, καὶ παῦσις τοῦ
Ψαλ. ρϛ'. κοινοῦ ὀλεθρίου σκανδάλου· Καὶ ἔστη,
30. λέγει, Φινεὲς καὶ ἐξιλάσατο, καὶ
ἐκόπασεν ἡ θραῦσις· καὶ ἐλογί-
σθη αὐτῷ εἰς δικαιοσύνην. Ἡ φο-
νοκτονία τῶν τρισχιλίων ἀνδρῶν ἁγιά-
ζει τῶν Λευϊτῶν τὰς χεῖρας, καὶ ἐπι-
Ἐξόδ. λβ'. φέρει αὐτοῖς εὐλογίαν· Καὶ εἶπεν αὐ-
29. τοῖς Μωϋσῆς· Ἐπληρώσατε τὰς
χεῖρας ὑμῶν τῷ Κυρίῳ ἕκαστος
ἐν τῷ υἱῷ ἢ ἐν τῷ ἀδελφῷ αὐτοῦ,
δοθῆναι ἐφ' ὑμᾶς εὐλογίαν. Πῶς;
ὁ τοσοῦτος φόνος ἐστὶν ἁγιασμὸς καὶ
εὐλογία; Ναί· ἐπειδὴ ὁ σκοπὸς τοῦ φό-
νου ἦν ἡ ἐκπλήρωσις τῆς προσταγῆς τοῦ
Θεοῦ, διὰ τὴν ἐξάλειψιν τῆς μοσχολα-
τρείας. Ἐξέτασον τὸν σκοπὸν τῆς ἀρε-
τῆς τοῦ κενοδόξου· ποῖός ἐστιν ὁ σκο-
πὸς τῆς ἀρετῆς αὐτοῦ; Οὐδεὶς ἄλλος,
εἰμὴ τὸ ἴδιον κέρδος, ἡ ἰδία ὠφέλεια, τὸ
κενὸν δοξάριον, τῶν ἀνθρώπων ὁ ἔπαι-
νος· ὅθεν ὁ σκοπὸς αὐτοῦ φθείρει τῆς
ἀρετῆς τὴν χάριν, σκορπίζει τὴν αὐτῆς
ἁγιότητα, καὶ μεταβάλλει αὐτὴν εἰς δυ-
σωδίαν καὶ ἀκαθαρσίαν, μεταβάλλει τὴν
Ἰωάν. δ'. ἀρετὴν εἰς ἁμαρτίαν. Ὁ Θεός ἐστι Πνεῦ-
24. μα· ὅθεν θέλει τὴν προσκύνησιν καὶ
λατρείαν τοῦ πνεύματος ἡμῶν· αὐτὴ δέ
ἐστιν ὁ σκοπὸς ὁ ἅγιος· διὰ τοῦτο, ὅταν
ὁ σκοπὸς πονηρὸς, τότε ὁ Θεὸς ἀποστρέ-
φει τὸ πρόσωπον αὐτοῦ ἀπὸ τῆς θυσίας
ἡμῶν, καθὼς καὶ ἀπὸ τῆς θυσίας τοῦ
Κάϊν· τότε ὀργίζεται καθ' ἡμῶν, καθὼς
ὠργίσθη καὶ κατὰ τοῦ Κάϊν· Ὅτι ὁ
Θεὸς διεσκόρπισεν ὀστᾶ ἀνθρω-
παρέσκων· κατῃσχύνθησαν, ὅτι
ὁ Θεὸς ἐξουδένωσεν αὐτούς.

Ἀδελφοὶ, ἐν ὅσῳ ἐσμὲν ἐν τῷ σκότει τοῦ κόσμου τούτου, πλανῶντες διὰ τῆς ὑποκρίσεως τοὺς ἀνθρώπους, σφετεριζόμεθα τὴν τούτων εὐλάβειαν καὶ τὸν ἔπαινον· διότι αὐτοὶ, μὴ βλέποντες τὸν κρυπτὸν ἡμῶν σκοπὸν, νομίζουσιν, ὅτι ἐργαζόμεθα τὰ καλὰ ἔργα εἰς δόξαν Θεοῦ, καὶ ὠφέλειαν τοῦ πλησίον· πλὴν ἔρχεται ἡμέρα, ἐν ᾗ σχίζεται τὸ κάλυμμα τῆς ὑποκρίσεως, δημοσιεύονται τὰ κρυπτὰ τοῦ σκότους, καὶ φαίνονται, ὥσπερ εἰς εἰκόνα ἐζωγραφημένα, πάντα τὰ κρυπτότατα τῆς καρδίας ἡμῶν ἐνθυμήματα. Ὢ πόση αἰσχύνη καλύψει τότε τὸ πρόσωπον ἡμῶν, ὅταν πάντες οἱ ἀπ' αἰῶνος ἄνθρωποι βλέπωσι τὴν αἰσχύνην τῆς κενοδοξίας ἡμῶν! Ὢ πόσος φόβος, ὅταν ὁ φοβερὸς κριτὴς ἐλέγχῃ τὸν ὑποκριτικὸν σκοπὸν τῆς ἀρετῆς ἡμῶν, ὅστις ἐπέβλεπε τὴν δόξαν ἡμῶν, καὶ οὐχὶ τὴν δόξαν αὐτοῦ! Ὢ πόση θλίψις, ὅταν βλέπωμεν τοὺς ποιήσαντας τὰ καλὰ ἔργα εἰς δόξαν Θεοῦ, στεφανουμένους, δοξαζομένους, λάμποντας ὡς φωστῆρας, ἡμᾶς δὲ ἐστερημένους πάσης ἀνταποδόσεως, καὶ ἐκβαλλομένους ἔξω τῆς θείας μακαριότητος! Ὢ πόσοι στεναγμοὶ καὶ δάκρυα, πόση μεταμέλεια, ὅταν βλέπωμεν, ὅτι προδεδώκαμεν τὴν οὐράνιον βασιλείαν διὰ ἓν ἄνθος χόρτου·
διότι πᾶσα δόξα ἀνθρώπου ὡς Α'. Πέτρ.
ἄνθος χόρτου· ἐξηράνθη ὁ χόρ- ά. 24.
τος, καὶ τὸ ἄνθος αὐτοῦ ἐξέπεσεν! Ἀλλὰ τότε οὐδὲ τὰ δάκρυα ἔχουσι παρηγορίαν, οὐδὲ ἡ μετάνοια ὠφέλειαν.

Ἰδοὺ, νῦν καιρὸς εὐπρόσδε- Β'. Κορ.
κτος, ἰδοὺ, νῦν ἡμέρα σωτηρίας. Ἀ- ϛ'. 2. Ῥωμ. ιγ'.
ποθώμεθα ἀπὸ τῆς σήμερον τὰ ἔργα 12.

τοῦ

τοῦ σκότους τῆς δοξομανίας, ἀποθώμεθα τὸ ὀλέθριον αὐτῆς πάθος, τὸ ὁποῖον ἀνεπαισθήτως ἁρπάζει τὴν σωτηρίαν ἡμῶν. Μακρὰν ἀπὸ τοῦ νοὸς, μακρὰν ἀπὸ τῆς ψυχῆς ἡ κενοδοξία· Μὴ
Ματ. ϛ΄. 3. γνώτω ἡ δεξιά σου τί ποιεῖ ἡ ἀριστερά σου. Κἂν δὲ ἐξ ἀνάγκης παῤῥησίᾳ πράττῃς τὴν ἀρετὴν, σκοπὸν ἔχε πάντοτε οὐχὶ τὴν δόξαν τὴν σὴν, ἀλλὰ τὴν δόξαν τοῦ Θεοῦ. Τότε δὲ ὁ Πατήρ σου, ὁ βλέπων τὸν ἐν τῷ κρυπτῷ σκοπόν σου, ἀποδώσει σοι ἐν τῷ φανερῷ· τότε διὰ τῶν καλῶν σου ἔργων δοξάζεις τὸν Θεὸν, καὶ λαμβάνεις τὴν δόξαν, ἣν ὁ Θεὸς ὑπέσχετο εἰς τοὺς δοξάζοντας αὐτόν· Ὅτι ἀλλ᾽ ἢ τοὺς δοξάζοντάς με δοξάσω. Α΄. Βασ. β΄. 30.

# ΕΡΜΗΝΕΙΑ

### ΕΙΣ ΤΟ ΚΑΤΑ

# ΜΑΤΘΑΙΟΝ

## ΕΥΑΓΓΕΛΙΟΝ ΤΗΣ Η΄. ΚΥΡΙΑΚΗΣ.

Εἰς τυφλοὺς καὶ χωλοὺς, κυλλοὺς καὶ λεπροὺς, ὑδρωπικοὺς καὶ παραλύτους, κωφοὺς καὶ ἀλάλους, πυρέσσοντας, αἱμοῤῥοοῦντας, δαιμονιζομένους ἔδειξεν ὁ Θεάνθρωπος Ἰησοῦς τὴν θείαν αὐτοῦ εὐσπλαγχνίαν, καὶ τὴν ἄπειρον αὐτοῦ δύναμιν. Ἐθεράπευσε πᾶσαν νόσον καὶ ἀσθένειαν, ἐδίωξε Δαιμόνια, ἀνέστησε νεκροὺς, ἐξήγειρε καὶ ἐκ τοῦ τάφου τὸν τεταρταῖον Λάζαρον, ἐποίησε θαυμάσια πολλὰ, μεγάλα, καὶ ἐξαίσια. Καὶ ἄλλο δὲ εἶδος θαύματος ἐκήρυξε σήμερον τὸ ἱερὸν Εὐαγγέλιον, μέγα ὁμοίως καὶ θαυμασιώτατον· διὰ πέντε ἄρτων, καὶ δύο ὀψαρίων ἐχόρτασε πεντακισχιλίους ἄνδρας, χωρὶς τῶν ἐκεῖ εὑρεθεισῶν γυναικῶν καὶ τῶν παιδίων· ἐπερίσσευσαν δὲ ἄρτων κόμματα, δώδεκα κόφινοι πλήρεις. Τοῦτο οὐ μόνον ἀποδεικτικόν ἐστι τῆς τοῦ Ἰησοῦ Χριστοῦ εὐσπλαγχνίας καὶ παντοδυναμίας, ἀλλὰ καὶ ἐνστάζει εἰς τὰς καρδίας τῶν εἰς αὐτὸν πιστευόντων θάῤῥος πολὺ, καὶ ἐλπίδα μεγάλην. Ὅστις μετὰ πίστεως ἀνοίξῃ τὴν ἀκοὴν, καὶ μετὰ εὐλαβείας προσηλώσῃ τὸν νοῦν αὐτοῦ εἰς τὴν ἑρμηνείαν τῶν σημερινῶν εὐαγγελικῶν λόγων, ἐκεῖνος βλέπει τοῦ Θεοῦ τὴν πρόνοιαν, οὐ μόνον θεραπεύουσαν τὰς ἀσθενείας ἡμῶν, ἀλλὰ καὶ προφθάνουσαν πᾶσαν χρείαν, καὶ ἀπαλλάττουσαν ἡμᾶς πάσης ἀνάγκης. Δότε οὖν ἀκοὴν, προσοχὴν, πίστιν, εὐλάβειαν, ἵνα ἔλθῃ εἰς τὰς καρδίας ὑμῶν τοῦ Θεοῦ ἡ ἐλπὶς, ἡ ἁγία καὶ σωτήριος.

Τῷ καιρῷ ἐκείνῳ, εἶδεν ὁ Ἰησοῦς πολὺν ὄχλον, καὶ εὐσπλαγχνίσθη ἐπ᾽ αὐτοὺς, καὶ ἐθεράπευσε τοὺς ἀῤῥώστους αὐτῶν. Ματ. ιδ΄. 14.

Ἀκούσας ὁ Κύριος τὴν ἄδικον σφαγὴν τοῦ Προδρόμου καὶ Βαπτιστοῦ Ἰωάννου, ἀνεχώρησεν ἀπὸ τῶν Ἱεροσολύμων, καὶ Αὐτ. ιδ΄. 12, 13. Μαρκ. ϛ΄. 32, 34.

καὶ ἦλθεν εἰς τὴν ἔρημον τὴν πλησίον τῆς πόλεως Βηθσαϊδὰ, ἵνα μετὰ τῶν μαθητῶν αὐτοῦ ἀναπαυθῇ ἐκεῖ κατὰ μόνας. Μαθὸν δὲ τὸ πλῆθος τοῦ λαοῦ τῶν πέριξ πόλεων, ὅτι ἀνεχώρησεν ἀπὸ τῆς Ἱερουσαλὴμ, εὐθὺς σὺν γυναιξὶ καὶ τέκνοις μετὰ τοσαύτης σπουδῆς ἔτρεξαν πεζοὶ ὀπίσω αὐτοῦ, καὶ ἦλθον εἰς τὴν ἔρημον ἐκείνην, ὥστε μηδεμίαν τροφὴν μεθ' ἑαυτῶν ἔλαβον. Ἰδὼν δὲ ὁ πολυεύσπλαγχνος τὴν τοσαύτην πίστιν, καὶ προθυμίαν αὐτῶν, εὐσπλαγχνίσθη ἐπ' αὐτοὺς, καὶ πρῶτον μὲν ἐδίδαξεν αὐτοὺς πολλὰ, ὡς λέγει ὁ Εὐαγγελιστὴς Μάρκος, ἔπειτα, κἂν οὐδεὶς αὐτὸν παρεκάλεσεν, ἰάτρευσε πάντας τοὺς ἀῤῥώστους, ὅσους ἐκεῖ ἔφερον. Ἐκ τούτου ἐλπὶς μεγάλη βλαστάνει εἰς τὰς καρδίας ἡμῶν· ἐὰν ὁ Φιλάνθρωπος, χωρὶς τινος μεσιτείας, διὰ μόνην τὴν πίστιν καὶ προθυμίαν τοῦ λαοῦ, σπλαγχνισθεὶς ἐθεράπευσε τοὺς ἀῤῥώστους αὐτῶν, πολλῷ μᾶλλον σπλαγχνίζεται ἐφ' ἡμᾶς, ὅταν ἡμεῖς, ἀσθενεῖς ὄντες, μετὰ πίστεως καὶ εὐλαβείας ἐκτείνοντες τὰς χεῖρας, παρακαλῶμεν αὐτὸν, ἵνα ἰατρεύσῃ τὰς ἀσθενείας ἡμῶν. Ὡς φαίνεται δὲ, πολλὰς ὥρας παρέτεινεν ὁ Θεάνθρωπος τῆς διδασκαλίας τὸν λόγον, ἢ τοσοῦτον ἦν τὸ πλῆθος τῶν ἀῤῥώστων, ὥστε ἕως ἂν πλησιάσῃ ὁ καθεὶς εἰς αὐτὸν, καὶ λάβῃ τὴν ἴασιν, παρῆλθεν ἡ ἡμέρα, καὶ ἔφθασε τὸ ἑσπέρας· διότι λέγει ὁ Εὐαγγελιστής·

Ματ. ιδ'. 15. Ὀψίας δὲ γενομένης, προσῆλθον αὐτῷ οἱ μαθηταὶ αὐτοῦ, λέγοντες· Ἔρημός ἐστιν ὁ τόπος, καὶ ἡ ὥρα ἤδη παρῆλθεν· ἀπόλυσον τοὺς ὄχλους, ἵνα, ἀπελθόντες εἰς τὰς κώμας, ἀγοράσωσιν ἑαυτοῖς βρώματα.

Ἐπειδὴ ἔφθασε τὸ ἑσπέρας, βλέποντες οἱ θεῖοι Ἀπόστολοι τοσοῦτον πλῆθος ἀνθρώπων, οἵτινες ἦσαν νήστεις, καὶ τὸν τόπον ἔρημον, δεικνύοντες τὴν πρὸς τὸν πλησίον ἀγάπην, καὶ τὴν ποιμαντικὴν φροντίδα, ἐπλησίασαν πρὸς τὸν ἀρχιποίμενα Χριστὸν, καὶ εἶπον αὐτῷ· Ἐπειδὴ ὁ τόπος οὗτός ἐστιν ἔρημος, καὶ ἡ ὥρα παρῆλθεν, οὐδεμίαν τροφὴν εὑρίσκει ὁ λαός· διὸ ἀπόλυσον αὐτοὺς, ἵνα ὑπάγωσιν εἰς τὰς πλησίον μικρὰς πόλεις, καὶ ἀγοράσωσι τροφάς. Σημείωσαι δὲ, ὅτι ὁ μὲν Ματθαῖος εἶπεν, ὅτι οἱ μαθηταὶ, προσελθόντες πρὸς τὸν Ἰησοῦν Χριστὸν, εἶπον αὐτῷ ταῦτα· ὁ δὲ Ἰωάννης λέγει, ὅτι ὁ Ἰησοῦς Χριστὸς εἶπε πρὸς τὸν Φίλιππον· Πόθεν ἀγοράσομεν ἄρτους, ἵνα φάγωσιν οὗτοι; Ἰωάν. ς'. 5. Καὶ μὴ νομίσῃς, ὅτι ἐναντία εἰσὶ τὰ ὑπὸ τῶν Εὐαγγελιστῶν ἱστορούμενα· διότι ὁ Ἰωάννης ἔγραψε τὸ πρότερον γενόμενον, καὶ ὑπὸ τοῦ Ματθαίου σιωπηθέν· πρῶτον ὁ Ἰησοῦς, ἐπάρας τοὺς ὀφθαλμοὺς αὐτοῦ, καὶ ἰδὼν τὸ πολὺ πλῆθος τοῦ λαοῦ, εἶπε πρὸς τὸν Φίλιππον· Πόθεν ἀγοράσομεν ἄρτους, ἵνα φάγωσιν οὗτοι; ἔπειτα, ἐλθόντες οἱ μαθηταὶ, εἶπον αὐτῷ τὰ ὑπὸ τοῦ Ματθαίου ἱστορηθέντα. Καλῶς δὲ τοῦτο ἐσημείωσεν ὁ Ἰωάννης· διότι ἐκ τούτου πληροφορούμεθα, ὅτι ὁ Θεὸς, καὶ πρὸ τῆς αἰτήσεως ἡμῶν, βλέπει τὴν ἀνάγκην ἡμῶν, καὶ ὡς φιλάγαθος πατὴρ φροντίζει περὶ τῆς θεραπείας αὐτῆς· ἐκ τούτου δὲ ἀναζωοποιεῖται εἰς τὰς καρδίας ἡμῶν ἡ πρὸς τὸν Θεὸν ἐλπὶς, καὶ ἐπιστηρίζεται καὶ ἀναθάλλει. Τί δὲ ἀπεκρίθη ὁ Ἰησοῦς Χριστὸς, ὅτε ταῦτα εἶπον αὐτῷ οἱ μαθηταὶ αὐτοῦ;

Ὁ

Ματ. ιδ'. 16. Ὁ δὲ Ἰησοῦς εἶπεν αὐτοῖς· Οὐ χρείαν ἔχουσιν ἀπελθεῖν· δότε αὐτοῖς ὑμεῖς φαγεῖν.

Βλέπε τῶν λόγων τοῦ Θεανθρώπου τὴν ταπείνωσιν. Εἰπὼν, Οὐδεμίαν ἔχουσι χρείαν, ἵνα ἀπελθόντες ἀγοράσωσι τροφὰς, οὐ λέγει, Ἐγὼ δώσω, καὶ χορτάσω αὐτοὺς, ἀλλὰ, Δότε, λέγει, ὑμεῖς αὐτοῖς φαγεῖν, ὑμεῖς θρέψατε αὐτούς. Τοῦτο δὲ καὶ ἐγένετο· διότι αὐτὸς μὲν, ὡς κατωτέρω διηγεῖται ὁ Εὐαγγελιστὴς, διὰ τῆς εὐλογίας αὐτοῦ ἐπλήθυνε τοὺς ἄρτους καὶ τὰ ὀψάρια· οἱ δὲ μαθηταὶ αὐτοῦ ἔδωκαν αὐτὰ εἰς τὸν πεινῶντα λαὸν, καὶ ἐχόρτασαν αὐτόν. Σὺ δὲ σημείωσον, ὅτι ὅπου ἀπορία καὶ ἀδυναμία φύσεως, ἐκεῖ ἐνεργεῖ ἡ δύναμις καὶ ἡ τελειότης τῆς χάριτος, καθὼς διὰ στόματος τοῦ θεηγόρου Παύλου εἶπεν ὁ Θεός·
Β'. Κορ. ιβ'. 9. Ἡ γὰρ δύναμίς μου ἐν ἀσθενείᾳ τελειοῦται. Διὰ τοῦτο πρῶτον ἐφανερώθη εἰς πάντας ἡ κατὰ φυσικὸν λόγον ἀπορία τῶν τροφῶν, ἔπειτα ἔλαμψε τῆς παντοδυνάμου δεξιᾶς ἡ χάρις· ἡ ἀπόκρισις τῶν Ἀποστόλων ἐφανέρωσεν εἰς πάντας, ὅτι οὐδεὶς τρόπος εὑρίσκετο πρὸς τὸ θρέψαι εἰς τὴν ἔρημον ἐκείνην τόσας λαοῦ χιλιάδας.

Ματ. ιδ'. 17. Οἱ δὲ λέγουσιν αὐτῷ· Οὐκ ἔχομεν ὧδε, εἰμὴ πέντε ἄρτους, καὶ δύω ἰχθύας.

Εἰς ταύτην, λέγουσι, τὴν ἔρημον οὐκ ἔχομεν, εἰμὴ πέντε ἄρτους, καὶ δύω ὀψάρια. Ἐκ τούτου φαίνεται, ὅτι οἱ θεῖοι Ἀπόστολοι προλαβὸν ἐρεύνησαν, ἐὰν ὁ λαὸς ἐκεῖνος ἔφερε τροφάς· πλατύτερον δὲ τοῦτο ἱστορεῖ ὁ Εὐαγγελιστὴς Ἰωάννης, λέγων, ὅτι ὁ Ἀπόστολος Ἀνδρέας ἀπεκρίθη τῷ Ἰησοῦ· Ἔστι
παιδάριον ἓν ὧδε, ὃ ἔχει πέντε Ἰωάν. ς'.
ἄρτους κριθίνους, καὶ δύω ὀψά- 9.
ρια· ἀλλὰ τί ἐστιν εἰς τοσούτους; αὕτη δὲ ἡ περιεστατωμένη ἀπόκρισις ἐφανέρωσεν οὐ μόνον τὴν προλαβοῦσαν ἀκριβῆ ἔρευναν, ἀλλὰ καὶ τὴν ποιμαντικὴν τῶν Ἀποστόλων μέριμναν, καὶ φιλόστοργον περιποίησιν ὑπὲρ τῶν πεινόντων. Πρὸς ταῦτα δὲ ἰδοὺ τί ἀποκρίνεται ὁ Ἰησοῦς.

Ὁ δὲ εἶπε· Φέρετέ μοι αὐ- Ματ. ιδ'.
τοὺς ὧδε. Καὶ κελεύσας τοὺς 18, 19.
ὄχλους ἀνακλιθῆναι ἐπὶ τοὺς χόρτους, καὶ λαβὼν τοὺς πέντε ἄρτους, καὶ τοὺς δύω ἰχθύας, ἀναβλέψας εἰς τὸν οὐρανὸν, εὐλόγησε· καὶ κλάσας ἔδωκε τοῖς μαθηταῖς τοὺς ἄρτους, οἱ δὲ μαθηταὶ τοῖς ὄχλοις.

Ἀκούσατε πόσα μαθήματα περιέχουσι ταῦτα τοῦ Ἰησοῦ Χριστοῦ τὰ λόγια. Πρῶτον, Φέρετέ μοι, λέγει, αὐτοὺς ὧδε· ἔπειτα προστίθητι· Καὶ λαβὼν τοὺς πέντε ἄρτους, καὶ τοὺς δύω ἰχθύας. Ἠθέλησεν ὁ Φιλάνθρωπος οὐχὶ μόνον ἰδεῖν, ἀλλὰ καὶ ἰδίαις χερσὶ ψηλαφῆσαι τὴν τροφὴν, τὴν εἰς τοὺς πεινῶντας δοθησομένην, ἵνα μάθῃς, πόση προσοχὴ καὶ ἐπιμέλεια ἀναγκαία ἐστὶ διὰ τὴν ἐλεημοσύνην. Διὰ τοῦ ἔργου τούτου λέγει σοι ὁ Κύριος· Βλέπε, καὶ ψηλάφα τὴν τροφὴν, ἢ τὸ ἱμάτιον, ἢ ὅ,τι ἄλλο δίδως εἰς τὸν πτωχὸν, διότι ἐὰν μηδὲ ἴδῃς, μηδὲ ψηλαφήσῃς, ἀλλ' ἐμπιστεύσῃς εἰς τὸν δοῦλόν σου, ἢ εἰς ἄλλον τινὰ τὸ ἔργον, ἐκεῖνος, ἐὰν τύχῃ κακότροπος, δίδωσι τῷ πτωχῷ ἢ ὀλίγον,

ἢ τὸ εὐτελέστερον καὶ ἄχρηστον. Δεύτερον· Καὶ κελεύσας, λέγει, τοὺς ὄχλους ἀνακλιθῆναι ἐπὶ τοὺς χόρτους· τοῦτο ἐκφράζει πλατύτερον ὁ θεηγόρος Μάρκος, λέγων, ὅτι προσέταξεν ὁ Ἰησοῦς Χριστὸς, ἵνα πάντες οἱ λαοὶ καθίσωσιν ἐπάνω εἰς τὸν χλωρὸν χόρτον μεμερισμένοι ἀνὰ ἑκατὸν, καὶ ἀνὰ πεντήκοντα, συμπόσια συστήσαντες, ὥσπερ ποιοῦσιν οἱ εἰς τὸν αὐτὸν μὲν τόπον, εἰς διάφορα δὲ τραπέζια καθήμενοι·
Μάρκ. ϛ'. 39, 40. Καὶ ἐπέταξεν αὐτοῖς ἀνακλῖναι πάντας συμπόσια συμπόσια ἐπὶ τῷ χλωρῷ χόρτῳ. Καὶ ἀνέπεσον πρασιαὶ πρασιαὶ, ἀνὰ ἑκατὸν, καὶ ἀνὰ πεντήκοντα. Αὕτη ἡ διάταξις ἐποίησε τὸ μὲν θαῦμα ὁρατὸν εἰς πάντας, τὴν δὲ διανομὴν τῶν τροφῶν εὔκολον, καὶ ἰσόμετρον· ἔπαυσε δὲ πάντα θόρυβον, ὥστε μετὰ εὐταξίας, καὶ εὐσχημοσύνης, καὶ ἡσυχίας ἔφαγον πάντες, καὶ ἐχορτάσθησαν. Σὺ δὲ, μαθὼν ἐκ τούτου, ὅτι ἡ εὐταξία ἀρεστή ἐστι τῷ Θεῷ, καὶ ὠφέλιμος, πράττε πάντα τὰ ἔργα σου οὐχὶ ἀτάκτως, καὶ μετὰ θορύβου, ἀλλ' εὐτάκτως καὶ μεθ' ἡσυχίας, καθὼς καὶ ὁ οὐρανοβάμων Παῦλος παραγγέλ-
Α'. Κορ. ιδ'. 40. λει σοι, λέγων· Πάντα εὐσχημόνως καὶ κατὰ τάξιν γινέσθω. Τρίτον, καὶ βλέπει μὲν ἄνω εἰς τὸν οὐρανὸν, ἵνα διδάξῃ, ὅτι ἐκ τοῦ οὐρανοῦ κατέβη, καὶ ὅτι οὐκ ἔστιν ἀντίθεος, ἀλλὰ πάντα ποιεῖ σὺν τῷ Πατρὶ καὶ τῷ ἁγίῳ Πνεύματι. Τέταρτον, εὐλογεῖ δὲ τοὺς ἄρτους καὶ τοὺς ἰχθύας, ὡς ὁ θεηγό-
Λουκ. θ'. 16. ρος Λουκᾶς ἐπιβεβαιοῖ, λέγων· Λαβὼν τοὺς πέντε ἄρτους, καὶ τοὺς δύω ἰχθύας, ἀναβλέψας εἰς τὸν οὐρανὸν, εὐλόγησεν αὐτούς· Ἵνα ἡμεῖς τοῦτο μαθόντες, λέγει ὁ θεῖος
Ἐν τῇ εἰς τὸ κατὰ Ματθ. Σειρᾷ. Χρυσόστομος, ἐπὶ τραπέζης τοῦτο ἀεὶ ποιῶμεν· ἤγουν, ἵνα καὶ ἡμεῖς, κατὰ τοῦτο τὸ παράδειγμα τοῦ Ἰησοῦ Χριστοῦ, εὐλογῶμεν τὰς τροφὰς ἡμῶν, πρὶν ἢ καθίσωμεν ἐν τῇ τραπέζῃ, καὶ γευθῶμεν τῆς ἐν αὐτῇ προκειμένης βρώσεως καὶ πόσεως. Πέμπτον, κόπτει μετὰ ταῦτα τοὺς ἄρτους, καὶ δίδωσιν αὐτοὺς εἰς τῶν μαθητῶν τὰς χεῖρας. Ὥσπερ δὲ, εἰς τὸν καιρὸν τοῦ προφήτου Ἠλιοῦ, ἐπλήθυνεν ὁ Θεὸς τὴν δράκα τοῦ ἀλεύρου, καὶ τὸ ἔλαιον τὸ ἐν τῷ καμψάκῃ εἰς τὰς χεῖρας τῆς Σαρεπτίας· οὕτω τότε ὁ Ἰησοῦς Χριστὸς ἐπολλαπλασίασε τοὺς πέντε ἄρτους, καὶ τοὺς δύω ἰχθύας εἰς τὰς χεῖρας τῶν Ἀποστόλων. Καθὼς δὲ τὸ ὕδωρ ἐκ τῆς πηγῆς, οὕτως οἱ ἄρτοι, καὶ οἱ ἰχθύες ἐκ τῶν χειρῶν αὐτῶν ἀνέβλυζον, καὶ ὑπ' αὐτῶν διεμερίζοντο εἰς τὰς χιλιάδας τοῦ ἐκεῖ λαοῦ. Ἐκ τούτου μανθάνομεν, ὅτι εἴτι καὶ ἂν δώσωμεν εἰς τοὺς πτωχοὺς, δίδομεν ἐκ τῶν δοθέντων ἡμῖν ὑπὸ τοῦ Θεοῦ· ἔτι δὲ, καὶ ὅτι ἡ ἐλεημοσύνη πολλαπλασιάζει εἰς τοῦ ἐλεήμονος τὰς χεῖρας τὰ ἀγαθὰ αὐτοῦ. Ἔδωκεν οὖν ὁ Ἰησοῦς Μάρκ. ϛ'. 41.
τοὺς ἄρτους εἰς τῶν μαθητῶν τὰς χεῖρας, ἐμέρισε δὲ καὶ τὰ ὀψάρια, ὡς ἱστορεῖ ὁ ἱερὸς Μάρκος· οἱ δὲ μαθηταὶ διένειμον αὐτὰ εἰς τὸ πλῆθος τοῦ λαοῦ.

Καὶ ἔφαγον πάντες, καὶ ἐχορτάσθησαν, καὶ ἦραν τὸ Ματ. ιδ'. 20.
περισσεῦον τῶν κλασμάτων,
δώδεκα κοφίνους πλήρεις. Οἱ 21.
δὲ ἐσθίοντες ἦσαν ἄνδρες ὡσεὶ πεντακισχίλιοι, χωρὶς γυναικῶν καὶ παιδίων.

Μέγας εἶ Κύριε, καὶ θαυμαστὰ τὰ ἔργα σου, καὶ οὐδεὶς λόγος ἐξαρκέσει πρὸς ὕμνον τῶν θαυμασίων σου! Κἂν εἰς μικρότατα καὶ σχεδὸν ἀόρατα ψιχία

χία διαμερίσῃς τοὺς πέντε ἄρτους, καὶ τοὺς δύω ἰχθύας, μόλις ἓν μόνον ψιχίον λαμβάνει ἕκαστος τῶν πέντε χιλιάδων· καὶ ὅμως τόσον ἔλαβεν ὁ καθεὶς αὐτῶν, ἔτι δὲ καὶ αἱ γυναῖκες καὶ τὰ παιδία, ὥστε οὐ μόνον ἔφαγον πάντες, καὶ ἐχορτάσθησαν, ἀλλὰ καὶ ἐπερίσσευσαν δώδεκα κώφινοι πλήρεις. Ἐπερίσσευσαν μὲν οἱ ἄρτοι, καὶ οἱ ἰχθύες, ἵνα μὴ φάντασμα φανῇ τὸ θαῦμα· δώδεκα δὲ κώφινοι τὸ περίσσευμα, ἵνα ἕκαστος τῶν Ἀποστόλων λάβῃ ἀνὰ ἕνα κώφινον· κλάσματα δὲ, ἤγουν κομμάτια, καὶ οὐχὶ ἄρτοι καὶ ἰχθύες ὁλόκληροι ἐπερίσσευσαν, ἵνα ἐμφαίνωσιν, ὅτι λείψανα ἦσαν τῶν εὐλογηθέντων, καὶ διατμηθέντων πέντε ἄρτων, καὶ δύω ἰχθύων. Τίς δὲ νοῦς δύναται νοῆσαι, ἢ τίς λόγος δύναται παραστῆσαι, ἢ πῶς τοσοῦτον πλῆθος ἀνθρώπων ἐχορτάσθη διὰ πέντε ἄρτων, καὶ δύω ἰχθύων, ἢ πῶς οἱ ἄρτοι, καὶ οἱ ἰχθύες ἐπληθύνοντο, καὶ ἀνέβλυζον ἐκ τῶν χειρῶν τῶν Ἀποστόλων, ἢ πῶς οὐδὲ ὀλιγώτερον, οὐδὲ περισσότερον, ἀλλὰ δώδεκα κώφινοι πλήρεις ἐπερίσσευσαν; Εἷς μόνος οἶδε τὸ πῶς, δηλαδὴ ὁ ταῦτα ποιήσας Θεός. Μόλις δὲ τὸ θαῦμα τέλος ἔλαβε·

Καὶ εὐθέως ἠνάγκασεν ὁ Ἰησοῦς τοὺς μαθητὰς αὐτοῦ, ἐμβῆναι εἰς τὸ πλοῖον, καὶ προάγειν αὐτὸν εἰς τὸ πέραν, ἕως οὗ ἀπολύσῃ τοὺς ὄχλους. Ματ. ιδ΄. 22.

Μετὰ τὸ θαῦμα ἤθελεν ὁ Θεάνθρωπος, ὡς φαίνεται ἐκ τῶν κατωτέρω λόγων τοῦ αὐτοῦ Εὐαγγελιστοῦ Ματθαίου, ἵνα, ἀναβὰς μόνος εἰς τὸ ἐκεῖ ὄρος, προσευχηθῇ· οἱ δὲ καλοὶ καὶ ἠγαπημένοι αὐτοῦ μαθηταὶ οὐκ ἤθελον χωρισθῆναι ἀπ᾽ αὐτοῦ· διὸ καὶ ἠνάγκασεν αὐτοὺς εὐθὺς ὁ Σωτὴρ καὶ Διδάσκαλος, ἵνα, ἕως οὗ αὐτὸς ἀπολύσῃ τοὺς ὄχλους, οἵτινες διὰ ξηρᾶς ἔμελλον ἐπιστρέψαι εἰς τὰ ἴδια, ἐκεῖνοι, ἐμβάντες εἰς τὸ πλοῖον, προπορευθῶσιν εἰς τὸ πέραν, ἤγουν περαιτέρω ὅπου ἦν ἡ Βηθσαϊδά. Ἐδίδαξε δὲ διὰ τούτου, ὅτι πρέπον ἐστὶν, ἵνα καὶ περὶ τῆς ὠφελείας τῶν ἀδελφῶν διαπαντὸς φροντίζωμεν, καὶ τῆς κατὰ μόνας προσευχῆς τὸ ἔργον μηδέποτε ἐγκαταλιμπάνωμεν.

Αὐτ. ιδ΄. 23.
Μάρκ. ϛ΄. 45.

# ΟΜΙΛΙΑ

ΜΕΤΑ ΤΟ ΚΑΤΑ

# ΜΑΤΘΑΙΟΝ

## ΕΥΑΓΓΕΛΙΟΝ ΤΗΣ Η'. ΚΥΡΙΑΚΗΣ.

Τοῦ σημερινοῦ Εὐαγγελίου ἡ ἱστορία ἀναζωοποιεῖ, ὡς ἠκούσατε, τὴν ὑπὸ Θεοῦ εἰς τὴν καρδίαν παντὸς ἀνθρώπου φυτευθεῖσαν δύναμιν τῆς ἐλπίδος, καὶ θαυμασίως διευθύνει αὐτὴν εἰς αὐτὸν τὸν δοτῆρα καὶ ἐκπληρωτὴν αὐτῆς, τὸν Θεὸν, λέγω, τὸν φιλανθρωπότατον καὶ παντοδύναμον. Ἔχει ἀληθῶς κατὰ φύσιν πᾶσα ψυχὴ ἀνθρώπου τῆς ἐλπίδος τὴν δύναμιν· οὐδὲ κίνδυνοι, οὐδὲ ἀνάγκαι, οὐδὲ δυστυχίαι, οὐδὲ τόπος, οὐδὲ καιρὸς, οὐδὲ ἄλλο τι δύναται νὰ ἐκριζώσῃ ἀπὸ τῆς καρδίας τοῦ ἀνθρώπου τὴν δύναμιν τῆς ἐλπίδος· ἡ ἐλπὶς οὐκ ἐγκαταλείπει ἡμᾶς οὐδὲ κατὰ τὴν ἐσχάτην ὥραν τοῦ θανάτου, ἀλλὰ καὶ τότε, συμπαροῦσα, θαῤῥύνει, καὶ ἐπαγγέλλεται ὑγείαν, καὶ ζωήν. Αὐτὴ ἐνισχύει πάντα ἄνθρωπον εἰς πᾶν ἔργον, καὶ εἰς πᾶσαν περίστασιν· ὁ γεωργὸς ὑποφέρει τῆς γεωργίας τὸν κόπον, ἐπειδὴ ἐλπίζει τοῦ καρποῦ τὸν θερισμόν· ὁ ναύτης καταφρονεῖ τοὺς κινδύνους τῆς θαλάσσης, ἐπειδὴ ἐλπίζει καὶ τὴν φυγὴν τῶν ναυαγίων, καὶ τὴν ἀπόλαυσιν τοῦ κέρδους· ὁ ἀσθενὴς παρηγορεῖ τῆς ἀῤῥωστίας τοὺς πόνους, ἐπειδὴ ἐλπίζει τοῦ πάθους αὐτοῦ τὴν ἰατρείαν. Ἡ ἐλπὶς τῆς ἀπαλλαγῆς παρηγορεῖ πάσας τὰς θλίψεις, καὶ ἐλαφρύνει πάσας τὰς στενοχωρίας, ὅσας προξενοῦσιν οἱ διωγμοὶ, αἱ καταδρομαὶ, αἱ συκοφαντίαι, αἱ προδοσίαι, καὶ πᾶσα ἄλλη λυπηρὰ περίστασις. Ἐὰν λείψῃ ἡ ἐλπὶς, οὐδεὶς ἐπιχειρεῖ οὐδὲ κἂν ἓν ἔργον, οὐδεὶς εὑρίσκει παρηγορίαν εἰς ταύτην τὴν δυστυχῆ κοιλάδα τοῦ κλαυθμῶνος, εἰς τὴν ὁποίαν ἐξωρίσθημεν.

Μεγάλη βέβαια τοῦ Θεοῦ ἡ φιλανθρωπία! Ὑστέρησε μὲν ὁ Θεὸς τὸν ἄνθρωπον, διὰ τὴν ἁμαρτίαν αὐτοῦ, τῆς τρυφῆς τοῦ παραδείσου, ἐξώρισεν αὐτὸν εἰς τὴν γῆν ταύτην· εἶπε τὸ, Ἐπικατάρατος ἡ γῆ ἐν τοῖς ἔργοις σου· ἐν λύπαις φαγῇ αὐτὴν πάσας τὰς ἡμέρας τῆς ζωῆς σου· εἶπε τὸ, Ἀκάνθας καὶ τριβόλους, ἤγουν θλίψεις, συμφορὰς, ἀνάγκας, ἀῤῥωστίας, ἀνατελεῖ σοι· ἀφῆκεν ὅμως εἰς τὴν καρδίαν αὐτοῦ τὴν δύναμιν τῆς ἐλπίδος, ὡς παρηγορητικὸν ἀντίδοτον τῶν συμφορῶν, καὶ βάλσαμον παραμυθητικὸν τῶν θλιβερῶν αὐτοῦ περιστάσεων. Γεν. γ'. 17, 19.

Πλὴν, φεῦ τῆς δυστυχίας! ἐκεῖνο, ὅπερ συμβαίνει εἰς τὰς ἄλλας δυνάμεις, τὰς ὑπὸ Θεοῦ ἐμφυτευθείσας εἰς τοῦ ἀνθρώπου τὴν φύσιν διὰ τὴν σωτηρίαν αὐτοῦ, τοῦτο αὐτὸ συμβαίνει καὶ εἰς τὴν δύναμιν τῆς ἐλπίδος. Ἐνέθηκεν ὁ Θεὸς εἰς τὴν φύσιν ἡμῶν τὴν ἐπιθυμίαν, ἵνα, προσηλώσαντες αὐτὴν εἰς τὸν Θεὸν, καὶ ἀγαπήσαντες αὐτὸν ἐξ ὅλης καρδίας, κληρονομήσωμεν τὴν αἰώνιον αὐτοῦ βασιλείαν· ἡμεῖς δὲ, ἀφιεροῦντες ὅλην τὴν ἐπιθυμίαν ἡμῶν εἰς τὴν γῆν, καὶ ἀγαπῶντες ἐξ ὅλης καρδίας τὰ κτίσματα, τὰς σαρκικὰς ἡδονὰς, τοῦ κόσμου τὴν ματαιότητα, ὑπόδικοι γινόμεθα τῆς αἰωνίου κολάσεως. Ἐνέθηκεν ὁ Θεὸς εἰς τὴν φύ-

φύσιν ἡμῶν τὸν θυμὸν, τόνον καὶ νεῦρον τῆς ψυχῆς, ἵνα δἰ αὐτοῦ ἀνδριζώμεθα κατὰ τῶν πειρασμῶν τοῦ Διαβόλου, καὶ ἀντιπολεμῶμεν τῆς ἁμαρτίας τὰς προσβολάς· ἡμεῖς δὲ διὰ τοῦ θυμοῦ γεμίζομεν τὸ στόμα ἡμῶν ὕβρεων, καὶ καθοπλίζομεν τὰς χεῖρας κατὰ τοῦ πλησίον. Ὁ τεχνίτης κατεσκεύασε τὴν μάχαιραν πρὸς ὠφέλιμον χρῆσιν τῶν ἀνθρώπων· οἱ ἄνθρωποι καταχρῶνται τῆς μαχαίρας, καὶ φονεύουσιν ἀλλήλους. Ὁ Θεὸς ἐφύτευσεν εἰς τὰς καρδίας ἡμῶν τὸν θυμὸν καὶ τὴν ἐπιθυμίαν, ἵνα μετερχώμεθα αὐτὰ ὡς ὄργανα σωτηρίας· ἡμεῖς δὲ, τούτων καταχρώμενοι, ποιοῦμεν αὐτὰ ὄργανα ἀπωλείας. Τὴν αὐτὴν κατάχρησιν ποιοῦμεν καὶ μετὰ τῆς ἐλπίδος. Ἔδωκεν ἡμῖν ὁ Θεὸς τὸ μέγα τῆς ἐλπίδος δῶρον, ἵνα, ὅλως δἰ ὅλου εἰς αὐτὸν ἐλπίζοντες, ἔχωμεν αὐτὴν κραταιὸν καταφύγιον τῶν σωματικῶν συμφορῶν, καὶ λιμένα τῆς ψυχικῆς σωτηρίας ἀκύμαντον· ἡμεῖς δὲ ἀφιεροῦμεν ὅλην τὴν ἐλπίδα ἡμῶν εἰς τοὺς ἀνθρώπους, εἰς τὰ ἀργύρια, εἰς τοὺς λίθους, εἰς πράγματα ἀσθενῆ, καὶ μεταβλητὰ, καὶ φθαρτὰ, καὶ πρόσκαιρα· ὅθεν ἡ ἐλπὶς οὐ γίνεται ὠφέλιμος καὶ ψυχοσωτήριος, ἀλλ' ἐπιβλαβὴς καὶ ψυχώλεθρος.

Ὁ Θεὸς καὶ διὰ λόγου ἐδίδαξε, καὶ δἰ ἔργων ἐβεβαίωσεν, ὅτι εἰς αὐτὸν, καὶ οὐχὶ εἰς τοὺς ἀνθρώπους πρέπει νὰ ἐλ-
Ψαλ. ρμέ. 2. πίζωμεν· Μὴ πεποίθατε, εἶπεν, ἐπ' ἄρχοντας, ἐπὶ υἱοὺς ἀνθρώπων, οἷς οὐκ ἔστι σωτηρία· σὺ δὲ, ὦ ἄνθρωπε, καὶ κυβέρνησιν, καὶ τιμὴν, καὶ πᾶν ἀγαθὸν, οὐκ ἀπὸ τοῦ Θεοῦ, ἀλλ' ἀπὸ τοῦ ἄρχοντος ἐλπίζεις. Ὁ ἄρχων, ὡς ἄνθρωπος, ἐστὶ μεταβλητός· σήμερον σὲ ἀγαπᾷ, καὶ σὲ προστατεύει, αὔριον σὲ μισεῖ, καὶ σὲ καταδιώκει· ὁ ἄρχων, ὡς υἱὸς ἀνθρώπων, σήμερον κάθηται εἰς τὴν ὑψηλὴν τῆς εὐτυχίας καθέδραν, ὅθεν κραταιῶς περιθάλπει σε· αὔριον κατακρημνίζεται εἰς τὸν βαθὺν τῆς δυστυχίας χάνδακα, ὅθεν ἡ περίθαλψις αὐτοῦ οὐδὲν ὠφελεῖ σε· ὁ ἄρχων, ὡς ἄνθρωπος θνητὸς, αὔριον ἀποθνήσκει, σὺ δὲ οὐ μόνον μένεις γυμνὸς τῆς προστασίας αὐτοῦ, ἀλλὰ καὶ ὑπὸ τῶν ἐχθρῶν αὐτοῦ μισούμενος. Ἡμεῖς ἐλπίζομεν εἰς τοὺς συγγενεῖς, ἢ εἰς τοὺς φίλους, ἀλλ' αὐτοὶ ἔχουσιν ἢ δύναμιν ἀπροαίρετον, ἢ προαίρεσιν ἀδύνατον, ἤγουν ἢ οὐδόλως θέλουσι, κἂν δύνανται, ἢ οὐδόλως δύνανται, κἂν προαιρῶνται βοηθῆσαι ἡμῖν· αὐτοὶ σήμερον ὑπόσχονται πολλὰ καὶ μεγάλα, αὔριον ἀθετοῦσι τὴν ὑπόσχεσιν, καὶ οὐκ ἐκπληροῦσιν οὐδὲ πολλὰ, οὐδὲ ὀλίγα. Ἡμεῖς ἐλπίζομεν εἰς τὸ ἀργύριον καὶ εἰς τὸ χρυσίον, εἰς τοὺς λίθους, καὶ τὰ κειμήλια· αὐτὰ δὲ σήμερόν εἰσιν ὑπὸ τὴν ἐξουσίαν ἡμῶν, καὶ αὔριον ἢ κλέπτουσιν οἱ κλέπται, ἢ ἁρπάζουσιν οἱ λῃσταὶ, ἢ σκορπίζουσι τὰ ἐλαττώματα, ἢ διαφθείρουσι τῶν συμφορῶν αἱ περιστάσεις, ἢ τέλος πάντων ἀφαιρεῖ αὐτὰ ἀφ' ἡμῶν ὁ θάνατος. Θέλεις, ἵνα ἡ ἐλπίς σου ἔχῃ βάσιν στερεὰν καὶ βεβαίαν; Εὑρὲ ἄνθρωπον δυνάμενον ποιῆσαι ὅσα θέλεις· εὑρὲ ἄνθρωπον φυλάσσοντα ἀμετάβλητον τὴν ἑαυτοῦ ὑπόσχεσιν· εὑρὲ ἄνθρωπον κατὰ φύσιν εὐεργετικὸν, καὶ στήριξον ἐπ' αὐτὸν τὴν ἐλπίδα σου. Ἀλλὰ ποῦ ἂν εὑρεθῇ τοιοῦτος ἄνθρωπος; Ἀληθῶς τοιοῦτον ἄνθρωπον οὐχ εὑρίσκεις· εὑρίσκεις ὅμως, ἐὰν θέλῃς, τὸν Θεόν· αὐτός ἐστι παντοδύνα-
μος· Ὅτι ἐν τῇ χειρὶ αὐτοῦ τὰ Ψαλ. ϟδ΄. 4, 5.
πέρατα τῆς γῆς, καὶ τὰ ὕψη τῶν ὀρέων αὐτοῦ εἰσιν. Ὅτι αὐτοῦ ἐστιν ἡ θάλασσα, καὶ αὐτὸς ἐποίησεν αὐτὴν, καὶ τὴν ξηρὰν αἱ χεῖρες αὐτοῦ ἔπλασαν· τὸν Θεὸν
μόνον εὑρίσκεις, τὸν ποιήσαντα τὸν Αὐτ. ρμέ. 4
οὐρανὸν, τὴν γῆν, τὴν θάλασσαν,

καὶ πάντα τὰ ἐν αὐτοῖς· αὐτὸν μόνον εὑρίσκεις, φυλάττοντα τὴν ὑπόσχεσιν αὐτοῦ ἀμετάβλητον εἰς τὸν αἰῶνα· Τὸν φυλάσσοντα ἀλήθειαν εἰς τὸν αἰῶνα· αὐτὸν μόνον εὑρίσκεις φύσει εὐεργετικόν· διότι αὐτὸς κρίνει τοὺς ἀδικουμένους, τρέφει τοὺς πεινῶντας, λύει ἀπὸ πάσης ἀνάγκης τοὺς ἐν αὐτῇ δεδεμένους, σοφίζει τοὺς τυφλοὺς, ἀνορθοῖ τοὺς εἰς τὰς συμφορὰς πεπτωκότας, ἀγαπᾷ τοὺς δικαίους, φυλάττει τοὺς εἰς αὐτὸν προσερχομένους, ἀναλαμβάνει εἰς τὴν ἑαυτοῦ προστασίαν τὸν ὀρφανὸν καὶ τὴν χήραν, ἐξαλείφει τοῦ ἁμαρτωλοῦ τὰς
[Ψαλ. ρμϛ'. 5, 6, 7, 8.] ἁμαρτίας· Ποιοῦντα κρίμα τοῖς ἀδικουμένοις, διδόντα τροφὴν τοῖς πεινῶσι. Κύριος λύει πεπεδημένους, Κύριος σοφοῖ τυφλοὺς, Κύριος ἀνορθοῖ κατερραγμένους, Κύριος ἀγαπᾷ δικαίους, Κύριος φυλάσσει τοὺς προσηλύτους. Ὀρφανὸν καὶ χήραν ἀναλήψεται, καὶ ὁδὸν ἁμαρτωλῶν ἀφανιεῖ. Διατί λοιπὸν ἐγὼ ἀνατίθημι τὴν ἐλπίδα μου εἰς τοὺς ἀδυνάτους, εἰς τοὺς ἀπροαιρέτους, εἰς τοὺς μεταβλητοὺς ἀνθρώπους, καὶ οὐχὶ εἰς τὸν Θεὸν, τὸν παντοδύναμον, τὸν εὐεργετικὸν, τὸν ἀληθινὸν, τὸν ἀμετάβλητον; Διατί ἀνατίθημι τὴν ἐλπίδα μου εἰς τὰ ἄψυχα καὶ ἀναίσθητα, καὶ ἀκίνητα χώματα τῆς γῆς, καὶ οὐχὶ εἰς τὸν Θεὸν, τὸν ποιήσαντα τὸν οὐρανὸν, τὴν γῆν, τὴν θάλασσαν, καὶ πάντα τὰ ἐν αὐτοῖς; Ἐὰν ἀφιερώσω πᾶσαν τὴν ἐλπίδα μου εἰς αὐτὸν, ἀπολαμβάνω ὅσα θέλω πρὸς τὸ συμφέρον μου, καὶ γίνομαι πανευτυχὴς
[Αὐτόθι. 4.] καὶ μακάριος· Μακάριος, οὗ ὁ Θεὸς Ἰακὼβ βοηθὸς αὐτοῦ, ἡ ἐλπὶς αὐτοῦ ἐπὶ Κύριον τὸν Θεὸν αὐτοῦ. Μήπως διστάζομεν εἰς τὰ λόγια αὐτοῦ, καὶ διὰ τοῦτο οὐκ ἐλπίζομεν ἐπ' αὐτόν; ἀλλ' αὐτὸς καὶ διὰ τῶν ἔργων ἔδειξε, πόσον βοηθεῖ τοὺς εἰς αὐτὸν ἐλπίζοντας.

Τετρακόσιαι χιλιάδες ἀνδρῶν δυνατῶν ἐκ τῆς φυλῆς τοῦ Ἰούδα παρατάσσονται εἰς πόλεμον κατὰ ὀκτακοσίων χιλιάδων ἀνδρῶν, ἐπίσης δυνατῶν, ἐκ τῶν λοιπῶν φυλῶν τοῦ Ἰσραήλ· νικῶσι δὲ κατὰ κράτος αἱ τετρακόσιαι χιλιάδες τὰς ὀκτακοσίας· Καὶ κατίσχυσαν, λέγει [Β'. Παραλ. ιγ'. 18.] ἡ θεία Γραφὴ, οἱ υἱοὶ Ἰούδα· ἀλλὰ διατί; Ὅτι, λέγει, ἤλπισαν ἐπὶ Κύριον Θεὸν τῶν πατέρων αὐτῶν. Ἄγγελος Κυρίου ἀποκτείνει εἰς μίαν νύκτα ἑκατὸν ὀγδοηκονταπέντε χιλιάδας Ἀσσυρίων, οἵτινες ἦλθον ἐκπολεμῆσαι τὸν Ἐζεκίαν, τὸν Βασιλέα τῆς Ἱερουσαλήμ· διατί τοῦτο; Διότι ὁ Ἐζεκίας, λέγει ἡ Γραφὴ, ἤλπισεν ἐν Κυρίῳ Θεῷ [Δ'. Βασιλ. ιη'. 5.] Ἰσραήλ. Μετὰ ταῦτα ἀσθενεῖ ὁ Ἐζεκίας ἕως θανάτου· ἔρχεται πρὸς αὐτὸν ὁ Προφήτης Ἡσαΐας, καὶ ἐκ προσώπου τοῦ Θεοῦ ἀναγγέλλει αὐτῷ τὴν ἀπόφασιν τοῦ θανάτου αὐτοῦ, λέγων· Τάδε [Αὐτ. κ'. 1.] λέγει Κύριος· Ἔντειλαι τῷ οἴκῳ σου, ἀποθνήσκεις σὺ, καὶ οὐ ζήσῃ. Ὁ Ἐζεκίας ἀκούει μὲν μετὰ πίστεως καὶ εὐλαβείας τοῦ ἁγίου Προφήτου τὰ λόγια, καὶ πιστεύει εἰς αὐτὰ, πλὴν οὐκ ἀπελπίζεται, ἀλλὰ ἐλπίζει εἰς τὸν Θεόν· στρέφει τὸ πρόσωπον αὐτοῦ εἰς τὸν τοῖχον, ἵνα συνάξῃ τὸν νοῦν αὐτοῦ· ἔπειτα πᾶσαν τὴν ἐλπίδα αὐτοῦ ἀφιερώσας εἰς τὸν Θεὸν, προσεύχεται, παρακαλεῖ, κλαίει· διὸ οὐχὶ μόνον ἰατρεύεται, ἀλλὰ καὶ προστίθενται αὐτῷ δεκαπέντε ἔτη ζωῆς· πρὸς τούτοις δὲ ἐλευθεροῦται αὐτός τε, καὶ ἡ πόλις αὐτοῦ Ἱερουσαλὴμ ἐκ τῆς καταδρομῆς τῶν Ἀσσυρίων. Ἤκουσα, λέγει πρὸς αὐτὸν [Αὐτόθι. 5, 6.] ὁ Θεὸς, τῆς προσευχῆς σου, εἶδον τὰ δάκρυά σου. Ἰδοὺ ἐγὼ ἰάσομαί σε· τῇ ἡμέρᾳ τῇ τρίτῃ ἀναβήσῃ εἰς οἶκον Κυρίου. Καὶ προσθή-

σω

σῶ ἐπὶ τὰς ἡμέρας σου πεντεκαίδεκα ἔτη· καὶ ἐκ χειρὸς Βασιλέως Ἀσσυρίων σώσωσε καὶ τὴν πόλιν ταύτην.

Ἡ ἱστορία τοῦ σήμερον ἀναγνωσθέντος Εὐαγγελίου τί ἄλλο ἐφανέρωσεν, εἰμὴ, ὅτι οἱ ἐπὶ τὸν Θεὸν ἐλπίζοντες, οὐδέποτε μένουσιν ἐστερημένοι τῶν δωρεῶν αὐτοῦ; Πέντε χιλιάδες ἄνδρες, ἴσως καὶ ἄλλαι πέντε χιλιάδες γυναικῶν καὶ παιδίων, τόσην ἐλπίδα ἔχουσι πρὸς τὸν Σωτῆρα τοῦ κόσμου, ὥστε πεζοὶ, μηδεμίαν τροφὴν μεθ' ἑαυτῶν λαβόντες, ἔτρεξαν εἰς τὴν ἔρημον, φέροντες τοὺς ἀσθενεῖς αὐτῶν· τί οὖν ἔλαβον αὐτοὶ παρ' ἐκείνου, εἰς ὃν ἤλπισαν; ἔλαβον ἄρά γε ἐκεῖνο μόνον, ὅπερ ἤλπισαν; Οὐ μόνον πάντας τοὺς ἀσθενεῖς αὐτῶν ἰάτρευσεν ὁ Κύριος, ἀλλὰ καὶ πάντας αὐτοὺς διὰ τῶν εὐλογηθέντων ἄρτων καὶ ὀψαρίων ἐκ περιουσίας ἐχόρτασε· καὶ οἱ μὲν μαθηταὶ αὐτοῦ παρεκάλουν αὐτὸν, ἵνα ἀπολύσῃ αὐτούς· αὐτὸς δὲ οὐκ ἠθέλησεν ἀπολῦσαι αὐτοὺς, πρὶν ἢ καὶ τοὺς ἀῤῥώστους αὐτῶν ἰατρεύσῃ, καὶ τὴν κοιλίαν αὐτῶν χορτάσῃ. Πλήρης τοιούτων παραδειγμάτων ἐστὶν ἡ ἁγία Γραφή· πλὴν καὶ τοῦτο μόνον βεβαιοῖ τὸν λόγον τοῦ Προφή-
Ψαλ. κά. 5. του· Ἐπὶ σοὶ ἤλπισαν, καὶ οὐ κατῃσχύνθησαν· καὶ τοῦτο μόνον δείκνυσι τοῦ ἀποστολικοῦ λόγου τὴν ἀ-
Ῥωμ. έ. 5. λήθειαν· Ἡ δὲ ἐλπὶς οὐ καταισχύνει.

Μέγα δῶρον ἀληθῶς ἡ εἰς Θεὸν ἐλπίς! Αὐτή ἐστι θυγάτηρ γνησία τῆς πίστεως· ἡ πίστις γεννᾷ εἰς τὴν καρδίαν τοῦ ἀνθρώπου τὴν εἰς Θεὸν ἐλπίδα· ἡ ἀπιστία ἐξαλείφει καὶ αὐτὰ τὰ ἴχνη αὐτῆς. Ἐκ τούτου καταλαμβάνομεν πόσον ὠφέλιμός ἐστιν ἡ πίστις καὶ εἰς ταύτην τὴν πρόσκαιρον ζωήν. Ὁ μὲν πιστὸς, εἰς τὰς συμφορὰς, εἰς τὰς θλίψεις, εἰς τοὺς κινδύνους, εἰς τοὺς ὁποίους κατ' οὐδένα τρόπον ἀπαντῆσαι δύναται, εἰς τὸν οὐρανὸν ἐκτείνει τὰς χεῖρας· Θεὲ, λέγει, πρόφθασον· ἡ δὲ ἐλπὶς τῆς παντοδυνάμου βοηθείας γίνεται βάλσαμον τῶν πληγῶν τῆς τεθλιμμένης αὐτοῦ καρδίας· ὁ δὲ ἄπιστος, εἰς τὰς ἀναπαντήτους ἐλεεινὰς περιστάσεις, ἐπειδὴ οὐδεμίαν ἔχει εἰς τὸν Θεὸν ἐλπίδα, οὐδὲν εὑρίσκει ἰατρείας βότανον, οὐδεμίαν εὑρίσκει τοῦ σφοδροτάτου αὐτοῦ πάθους παρηγορίαν. Ὁ πιστὸς, ἀδικούμενος καὶ τυραννούμενος, καὶ ὑπὸ μηδενὸς βοηθούμενος, καταφεύγει εἰς τὸν Θεὸν, ἐλπίζων, ὅτι αὐτὸς ἔσεται ὑπερασπιστὴς αὐτοῦ καὶ λυτρωτής· ἡ τοιαύτη δὲ ἐλπὶς ἰατρεύει τὴν σφοδρὰν ὀδύνην τῆς ψυχῆς αὐτοῦ· ὁ ἄπιστος, ἐπειδὴ οὐδὲ πίστιν ἔχει, οὐδὲ ἐλπίδα, οὐδὲ καταφύγιον ἔχει εἰς τὰς ὁμοίας περιστάσεις, οὐδὲ ἰατρείαν· βασανίζεται δὲ ἀνιάτως, καὶ πάσχει ἀπαραμύθητα. Ὁ μὲν πιστὸς καὶ τὸν ἀγῶνα τοῦ θανάτου εἰρηνικῶς ὑποδέχεται, καὶ τῆς τελευταίας ὥρας τῆς ζωῆς τὰ φόβητρα ἀπαντᾷ ἀνδρείως, ἐπειδὴ πιστεύει, ὅτι ὁ θάνατος οὐκ ἔστι θάνατος, ἀλλὰ μετάβασις ἐκ τῆς προσκαίρου ζωῆς εἰς τὴν ζωὴν τὴν ἀτελεύτητον, ἐπειδὴ ἐλπίζει, ὅτι ἐν ἐκείνῃ τῇ ὥρᾳ οἱ ἅγιοι Ἄγγελοι, οἱ τῶν πιστῶν ὁδηγοὶ καὶ φύλακες, παρίστανται ὑπερασπιζόμενοι, θαῤῥύνοντες, βοηθοῦντες· ὅθεν βλέπει τὰ τέλη τῆς ζωῆς αὐτοῦ ἀνώδυνα, ἀνεπαίσχυντα, εἰρηνικά· εἰς τὸν ἄπιστον, ἐπειδὴ οὐδὲν τούτων πιστεύει, οὐδὲν τούτων ἐλπίζει, ὁ ἀγὼν τοῦ θανάτου δεινός ἐστιν αὐτῷ καὶ ἀφόρητος, ἡ τελευταία ὥρα τῆς ζωῆς αὐτοῦ ὀδυνηρὰ, καὶ ταραχῆς καὶ ἀπελπισμοῦ ἀνεκδιηγήτου πλήρης· φρίττει καὶ πρὸ αὐτῆς καὶ ἐν αὐτῇ τὸν χωρισμὸν τοῦ κόσμου, καὶ τὴν τῆς ὑπάρξεως αὐτοῦ ἐξουδένωσιν.

 Ἐλ-

Ἐλπὶς λοιπὸν, ἀρετὴ ἁγία, θησαυρὲ ἀτίμητε, βάλσαμον οὐράνιον, δώρημα τέλειον, ἄνωθεν καταβαῖνον ἐκ τοῦ Πατρὸς τῶν φώτων· σὺ παρηγορεῖς τὰς θλίψεις μου, σὺ κατευνάζεις τὴν δριμύτητα τῶν πόνων τῆς ἀσθενείας μου, σὺ μόνη εἰς πᾶσαν θλιβερὰν καὶ κινδυνώδη περίστασίν μου προΐστασαι, σὺ καὶ τὸν φόβον τοῦ θανάτου διώκεις, καὶ τὸν ἀπελπισμὸν τοῦ πλήθους τῶν ἁμαρτιῶν μου ἐξαφανίζεις.

Βασιλεῦ ἀόρατε, γλυκύτατε νυμφίε τῆς ψυχῆς μου, πάντα δύνασαι, καὶ πάντα σοὶ ὑπακούει. Σὺ, ὅστις ἐφύτευσας εἰς τὴν καρδίαν μου τὴν ἐλπίδα, ἀξίωσόν με διὰ τῆς χάριτός σου, ἵνα μηδέ ποτε ἐλπίζω εἰς τοὺς ἀνθρώπους, καὶ εἰς τὰ πρόσκαιρα τοῦ κόσμου πράγματα, ἀλλ' ἵνα εἰς τὴν παντοδυναμίαν σου, καὶ εἰς τὴν εὐσπλαγχνίαν σου ἔχω πάντοτε ἀφιερωμένην πᾶσάν μου τὴν ἐλπίδα. Τότε δὲ γίνομαι πανευτυχὴς, καὶ μακάριος· σὺ γὰρ εἶπας διὰ τοῦ Προφήτου σου, ὅτι μακάριός ἐστιν ἐκεῖνος ὁ ἄνθρωπος, ὅστις ἀφιερώσῃ πᾶσαν τὴν ἐλπίδα αὐτοῦ ἐπὶ σέ· Μακάριος ἄνθρωπος Ψαλ. πγ'. 13.
ὁ ἐλπίζων ἐπὶ σέ.

# ΕΡΜΗΝΕΙΑ

ΕΙΣ ΤΟ ΚΑΤΑ

# ΜΑΤΘΑΙΟΝ

## ΕΥΑΓΓΕΛΙΟΝ ΤΗΣ Θ'. ΚΥΡΙΑΚΗΣ.

Ὅσα διαλαμβάνει τὸ σημερινὸν Εὐαγγέλιον φαίνονται διηγήματα ἁπλᾶ, ἱστοροῦντα ὅσα συνέβησαν, ὅτε ὁ Ἰησοῦς Χριστὸς τῇ δυνάμει τῆς Θεότητος αὐτοῦ περιεπάτησεν ἐπάνω εἰς τὴν θάλασσαν, καθὼς περιπατοῦμεν ἡμεῖς ἐπάνω εἰς τὴν ξηρὰν γῆν· αὐτὰ ὅμως περιέχουσι νοήματα θαυμαστὰ, καὶ ψυχοσωτήρια. Ἀλλὰ καθὼς μόνοι, οἱ καταβαίνοντες εἰς τὸ βάθος τῆς θαλάσσης, εὑρίσκουσι τοὺς πολυτίμους μαργαρίτας, οὕτω καὶ οἱ ἐξερευνῶντες τὸ βάθος τῶν λόγων τοῦ Θεοῦ εὑρίσκουσι τὰ σωτήρια νοήματα· τοῦτο δὲ ἐφανέρωσεν ὁ προφή-
Ψαλ. ρς'. 23, 24. της Δαβὶδ, ὅτι εἶπεν· Οἱ καταβαίνοντες εἰς θάλασσαν ἐν πλοίοις, ποιοῦντες ἐργασίαν ἐν ὕδασι πολλοῖς· Αὐτοὶ εἶδον τὰ ἔργα Κυρίου, καὶ τὰ θαυμάσια αὐτοῦ ἐν τῷ βυθῷ· διὰ τοῦτο καὶ ἀλλαχοῦ εἶ-
πε· Μακάριοι οἱ ἐξερευνῶντες τὰ Αὐτ. ριή. 2.
μαρτύρια αὐτοῦ. Καταβῶμεν λοιπὸν καὶ ἡμεῖς νοερῶς εἰς τὸν βυθὸν τῶν ἀναγνωσθέντων λόγων, κοπιάσωμεν πολυπραγμονοῦντες τὸ βάθος τῶν πνευματικῶν ναμάτων, ἵνα ἀναβιβάσωμεν τοὺς νοητοὺς μαργαρίτας τῶν θείων ἐννοιῶν, καὶ εἴδωμεν τοῦ Κυρίου Ἰησοῦ τὰ ἔργα, καὶ τὰ θαυμάσια αὐτοῦ. Ἐξερευνήσωμεν καὶ ἡμεῖς τὰ σημερινὰ εὐαγγελικὰ λόγια, διότι αὐτά εἰσιν αἱ μαρτυρίαι τῆς Θεότητος τοῦ Σωτῆρος Χριστοῦ, αἱ ὁδηγοῦσαι ἡμᾶς πρὸς τὴν μακαρίαν ὁδὸν τῆς αἰωνίου σωτηρίας.

Τῷ καιρῷ ἐκείνῳ, ἠνάγκασεν Ματ. ιδ'. 22.
ὁ Ἰησοῦς τοὺς μαθητὰς αὐ-

τοῦ

τοῦ ἐμβῆναι εἰς τὸ πλοῖον, καὶ προάγειν αὐτὸν εἰς τὸ πέραν, ἕως οὗ ἀπολύσῃ τοὺς ὄχλους.

Τὰ λόγια ταῦτα ἀνεγνώσθησαν, καὶ ἐξηγήθησαν εἰς τὸ Εὐαγγέλιον τῆς παρελθούσης Κυριακῆς· ἐπανέλαβε δὲ αὐτὰ ὁ ποιήσας τὰς περικοπὰς τῶν κατὰ πᾶσαν Κυριακὴν Εὐαγγελίων, ἵνα ἀκολουθήσῃ τὴν σειρὰν τῆς διηγήσεως· διότι, μετὰ τὸ θαῦμα τῶν πέντε ἄρτων, ἠνάγκασεν ὁ Ἰησοῦς τοὺς μαθητὰς αὐτοῦ, ἵνα ἐκεῖνοι μὲν ἀπέλθωσιν εἰς τὴν Βηθσαϊδὰν πρὸ αὐτοῦ, αὐτὸς δὲ ἐν τοσούτῳ ἀπολύσῃ τὰ πλήθη, τὰ ὑπ' αὐτοῦ τραφέντα καὶ χορτασθέντα. Ἔπειτα ἀπολύσας αὐτὰ, ἀνέβη εὐθὺς εἰς τὸ ὄρος.

Ματ. ιδ'. 23. Καὶ ἀπολύσας τοὺς ὄχλους, ἀνέβη εἰς τὸ ὄρος κατ' ἰδίαν προσεύξασθαι. Ὀψίας δὲ γενομένης, μόνος ἦν ἐκεῖ.

Ὅτε ὁ Ἰησοῦς Χριστὸς, ὡς ἄνθρωπος καὶ Ἀρχιερεὺς ἡμῶν, προσέφερε πρὸς τὸν Θεὸν τὰς ὑπὲρ ἡμῶν δεήσεις, πρῶτον μὲν ἀπέλυσε τοὺς ὄχλους, εἶτα ἀνέβη εἰς τὸ ὄρος, μόνος δὲ ἐκεῖ προσηύχετο ἕως τὸ ἑσπέρας. Ἐδίδαξε δὲ διὰ τούτου, ὅτι πᾶς Χριστιανὸς, ὅταν ἔλθῃ ὁ καιρὸς τῆς προσευχῆς, πρέπον ἐστὶ πρῶτον, ἵνα ἀποβάλῃ τὰς κοσμικὰς ἐνοχλήσεις, καὶ τὸν θόρυβον τῶν παθῶν, ἔπειτα ἀναβιβάσῃ τὸν νοῦν αὐτοῦ εἰς τὸ ὄρος, ὃ εὐδόκησεν ὁ Θεὸς κατοικεῖν ἐν αὐτῷ, (Ψαλ. ξζ'. 18.) ἤγουν εἰς τὸν οὐρανὸν, ἵνα ὡς θυμίαμα καθαρὸν προσφέρῃ εἰς τὸν Θεὸν τὴν προσευχὴν αὐτοῦ. Ἀλλὰ καὶ ἕως ἑσπέρας παρέτεινεν ὁ Δεσπότης ἡμῶν τῆς προσευχῆς τὸ ἔργον, ἵνα μάθωμεν, ὅτι οὐχὶ σπουδὴ καὶ ταχύτης, ἀλλὰ παράτασις καὶ ἐπιμονὴ ἀναγκαία ἐστιν εἰς τὸν καιρὸν τῆς προσευχῆς. Ὁ μὲν Κύριος οὖν παρέτεινε τὴν προσευχὴν αὐτοῦ ἕως ἑσπέρας.

Τὸ δὲ πλοῖον ἤδη μέσον τῆς θαλάσσης ἦν, βασανιζόμενον ὑπὸ τῶν κυμάτων· ἦν γὰρ ἐναντίος ὁ ἄνεμος. Ματ. ιδ'. 24.

Διατί, ὁ ἐξάγων ἀνέμους ἐκ θησαυρῶν αὐτοῦ, (Ψαλ. ρλδ'. 8.) ὁ δεσπόζων τοῦ κράτους τῆς θαλάσσης, τὸν δὲ σάλον τῶν κυμάτων αὐτῆς καταπραΰνων, (Αὐτ. πη'. 10.) οὐκ ἐξήγαγεν ἄνεμον βοηθὸν, οὐδὲ κατεστόρεσε τῆς θαλάσσης τὰ κύματα, ἵνα ἀκινδύνως καὶ ἀφόβως διαπλεύσωσιν οἱ μαθηταὶ αὐτοῦ, ἀλλὰ πρῶτον ἠνάγκασεν αὐτοὺς, ἵνα εἰσέλθωσιν εἰς τὸ πλοῖον, ἔπειτα ἀφῆκε τὸ πλοῖον, ἵνα βασανίζηται τὴν νύκτα, ἐν τῷ μέσῳ τῆς θαλάσσης, ὑπὸ τῆς ἐναντίας τοῦ ἀνέμου φορᾶς, καὶ τῆς βίας τῶν κυμάτων; Ἐπίτηδες τοῦτο ἔπραξεν ὁ Κύριος, ἵνα δοκιμάσῃ τὴν πίστιν αὐτῶν, καὶ συνηθίσῃ αὐτοὺς εἰς τοὺς κινδύνους, οὓς ἔμελλον ὑπομεῖναι, περιερχόμενοι τὴν οἰκουμένην διὰ τὸ εὐαγγελικὸν κήρυγμα, ἀποδείξας δὲ, ὅτι εἰς πάντα κίνδυνον, καὶ εἰς πᾶσαν ἀνάγκην προφθάνει καὶ λυτροῦται αὐτοὺς, θερμάνῃ τὴν πίστιν αὐτῶν, καὶ φυτεύσῃ εἰς τὴν καρδίαν αὐτῶν τὸ θάῤῥος, καὶ τὴν πρὸς αὐτὸν ἐλπίδα. Βλέπε δὲ πῶς κατ' ὀλίγον καὶ βαθμηδὸν γυμνάζει αὐτοὺς ὡς φιλόστοργος πατὴρ καὶ διδάσκαλος. Πρῶτον μὲν εἰς τὴν θάλασσαν τῆς Γαλιλαίας, ὅτε τὸ πλοῖον ἐκινδύνευεν ἐκ τοῦ σεισμοῦ, καὶ τῶν καλυπτόν-

τόν-

τόντων αὐτὸ κυμάτων, τότε αὐτὸς μετ'
αὐτῶν ἦν, ἐν τῷ πλοίῳ κοιμώμενος· ὅ-
θεν χωρὶς ἀναβολῆς λυτροῦται αὐτοὺς
τοῦ φόβου, καὶ ἀπαλλάττει τοῦ κινδύ-
Ματ. η'. 26. νου· διότι ἐγερθεὶς, παραυτίκα ἐπε-
τίμησε τοῖς ἀνέμοις, καὶ τῇ θα-
λάσσῃ· καὶ ἐγένετο γαλήνη με-
γάλη· νῦν δὲ, μακρὰν ἀπέχων ἀπὸ
τοῦ πλοίου, ἀργοπορεῖ, καὶ ἀναβάλλει
τὴν βοήθειαν, καὶ τοῦ κινδύνου καὶ φό-
βου τὴν λύτρωσιν.

Αὐτ. ιδ'. 25. Τετάρτῃ δὲ φυλακῇ τῆς νυκ-
τὸς ἀπῆλθε πρὸς αὐτοὺς ὁ
Ἰησοῦς, περιπατῶν ἐπὶ τῆς
θαλάσσης.

Οἱ παλαιοὶ Ἑβραῖοι ἐμέριζον τὸν
καιρὸν τῆς νυκτὸς εἰς τρία μέρη ἴσα·
ἐν τῇ ἀρχῇ δὲ ἑκάστου μέρους μετεβάλ-
λοντο οἱ φύλακες· ὅθεν ὠνόμαζον ταῦτα
τὰ μέρη τοῦ νυκτερινοῦ καιροῦ φυλακάς·
Θρῆν. β'. 19. ἤγουν ἀρχὴν φυλακῆς, μέσην φυλακὴν,
Κριτ. ζ'. 19. καὶ ἑωθινὴν φυλακήν. Εἰς τὸν καιρὸν δὲ
τοῦ Ἰησοῦ Χριστοῦ, εἰς τέσσαρας φυ-
Ἐξ. ιδ'. 24. λακὰς ἐμέριζον τὰς ὥρας τῆς νυκτὸς, κα-
τὰ τὴν τῶν Ἑλλήνων, καὶ Ῥωμαίων συ-
Μάρκ. ς'. 48. νήθειαν. Πρῶτον οὖν ἀφῆκεν ὁ Κύριος
τοὺς μαθητὰς αὐτοῦ φοβηθῆναι καὶ κιν-
δυνεῦσαι ἱκανὰς ὥρας, ἵνα, ὡς εἴπομεν,
καὶ τὴν πίστιν αὐτῶν γυμνάσῃ καὶ, τὴν
Ὅρα Χρυσόστ. εἰς τὴν κατὰ Ματθ. Συράν. καρτερίαν, ἔπειτα ἐν τῇ τετάρτῃ φυ-
λακῇ τῆς νυκτὸς, ἤγουν μετὰ τὴν ἐν-
νάτην ὥραν τῆς νυκτὸς, ἦλθε πρὸς αὐ-
τοὺς περιπατῶν ἐπάνω εἰς τὴν θάλασ-
σαν, καθὼς περιεπάτει καὶ ἐπάνω εἰς
τὴν στερεὰν γῆν. Ὢ τοῦ παραδόξου θαύ-
ματος! ἔσχισε μὲν ὁ Μωϋσῆς τὴν ἐρυ-
θρὰν θάλασσαν, καὶ ἔστησεν αὐτὴν τεῖ-
Ἐξ. ιδ'. 21, 22. χος ἐκ δεξιῶν, καὶ τεῖχος ἐξ εὐω-
νύμων, καὶ οὕτω, πατήσας ὁ Ἰσραη-
λίτης λαὸς ἐπάνω εἰς τὴν φανεῖσαν γῆν,
διεπέρασε διὰ μέσου τῆς θαλάσσης· ἔ-
στρεψε δὲ εἰς τὰ ὀπίσω ὁ Ἰησοῦς τοῦ
Ναυὴ τοῦ Ἰορδάνου ποταμοῦ τὸ ῥεῦμα,
καὶ ἐφάνη ἡ ἐν τῷ βάθει αὐτοῦ ξηρὰ
γῆ, ἐν ᾗ πατήσαντες οἱ Ἰσραηλῖται διέ-
βησαν τὸν Ἰορδάνην· μεγάλα ἀναμφιβό- Ἰησ. γ'. 17.
λως ταῦτα τὰ δύω θαύματα, ἀλλ' ἀνα-
παύεται ὁπωσδήποτε ὁ νοῦς, ὅταν ἀ-
κούωμεν, ὅτι οἱ ἄνθρωποι ἐκεῖνοι καὶ
τὴν ἐρυθρὰν θάλασσαν καὶ τὸν Ἰορδά-
νην ποταμὸν διῆλθον, πατήσαντες ἐπά-
νω εἰς τὴν γῆν, τὴν γυμνωθεῖσαν τοῦ
ὕδατος· ἄνθρωπος δὲ, περιπατῶν ἐπὶ τῆς
θαλάσσης, ἐστὶ θαῦμα παντελῶς ἀκα-
τάληπτον· ἄραγε ἐπῆξεν ἐκείνην τὴν ὥ-
ραν ἡ θάλασσα, καὶ ἐγένετο στερεά; ἄ-
ραγε ἔλειψε τὸ βάρος τοῦ σώματος τοῦ Ἰη-
σοῦ Χριστοῦ; ἄραγε εὐλαβήθη ἡ θά-
λασσα τὸ δεσποτικὸν καὶ θεῖον σῶμα,
καὶ ἐβάσταζεν αὐτὸ ἐναντίον τῶν νόμων
τῆς φύσεως αὐτῆς; ἄραγε μόνα τὰ ἄκρα
τῶν ποδῶν τοῦ Ἰησοῦ ἔψαυον τὴν θά-
λασσαν, τὸ δὲ βάρος τοῦ σώματος ἐβά-
σταζεν ἡ δύναμις τῆς Θεότητος; ἀλη-
θῶς ἀκατάληπτος τοῦ θαύματος τού-
του ὁ τρόπος, καθὼς καὶ ἄλλων πολ-
λῶν· διὸ πρεπόντως, ὅταν τοῦτο εἶδον
οἱ μαθηταὶ, ἐταράχθησαν.

Καὶ ἰδόντες αὐτὸν οἱ μαθη- Ματ. ιδ'. 26.
ταὶ ἐπὶ τὴν θάλασσαν πε-
ριπατοῦντα, ἐταράχθησαν, λέ-
γοντες· Ὅτι φάντασμά ἐστι·
καὶ ἀπὸ τοῦ φόβου ἔκραξαν.

Φάντασμά ἐστιν ἐκεῖνο, ὅπερ φαί-
νεται μὲν ὡς πρᾶγμα ἀληθινὸν καὶ ὑ-
παρκτὸν, οὐκ ἔστι δὲ πρᾶγμα ὀντοτι-
κὸν, οὐδὲ ἔχει ὅλως ὕπαρξιν· τὸ φάν-
τασμά ἐστι τῆς φαντασίας κατάπληξις,
ἐξ ἧς καὶ αἱ αἰσθήσεις ταραττόμεναι,
ἀλ-

ἀλλόκοτα ἐνεργοῦσι. Πάντες οἱ Ἑβραῖοι, δεδιδαγμένοι ὄντες ἐκ τῆς περὶ τῶν μάγων τοῦ Φαραὼ ἱστορίας, καὶ ἐκ τῶν ἱστορηθέντων περὶ τῆς ἐγγαστριμύθου τοῦ Σαοὺλ, ἐπίστευον, ὅτι τοιαῦτα φαντάσματα ἐνίοτε φαίνονται συνεργείᾳ τοῦ Διαβόλου πρὸς βλάβην τῶν ἀνθρώπων· διὸ καὶ ὁ Ἀπόστολος Παῦλος ἔγραφε
Β'.Κορ.ιά. πρὸς τοὺς Κορινθίους, ὅτι αὐτὸς ὁ
14. Σατανᾶς μετασχηματίζεται εἰς
Ἄγγελον φωτός. Οἱ οὖν μαθηταὶ τοῦ Σωτῆρος, ἰδόντες, καὶ μὴ δυνηθέντες γνωρίσαι αὐτὸν, εἴτε διὰ τὸ σκότος τῆς νυκτὸς, εἴτε καθότι ἐκάλυπτον τὸ πρόσωπον αὐτοῦ τὰ ὑψούμενα κύματα, εἴτε καθότι εὐθὺς ἐταράχθη τὸ πνεῦμα αὐτῶν ὑπὸ τοῦ ἀσυνήθους καὶ παραδοξοτάτου ἐκείνου θεάματος, εἴτε καθότι αὐτὸς ὁ Ἰησοῦς ὑπέκρυψε τὸν χαρακτῆρα τοῦ προσώπου αὐτοῦ, ἐνόμισαν, ὅτι τὸ φαινόμενον ἐστὶ φάντασμα, ἤγουν πλάσμα τοῦ Σατανᾶ πρὸς βλάβην αὐτῶν, καὶ καταποντισμόν· ὅθεν φοβηθέντες ἔκραξαν. Τί δὲ εἶπον, κράξαντες, οὐδεὶς τῶν Εὐαγγελιστῶν ἐσημείωσε· φανερὸν δέ ἐστιν, ὅτι διὰ τῆς κραυγῆς τὸν Θεὸν ἐπεκαλέσαντο, καθὼς καὶ ἡμεῖς, ὅτε φοβούμεθα, τὸν Θεὸν κράζομεν εἰς βοήθειαν.

Ματ. ιδ'. Εὐθέως δὲ ἐλάλησεν αὐτοῖς
27. ὁ Ἰησοῦς, λέγων· Θαρσεῖτε,
ἐγώ εἰμι· μὴ φοβεῖσθε.

Λάβετε θάῤῥος· ἐκεῖνο, ὅπερ βλέπετε, οὐκ ἔστι φάντασμα· ἐγώ εἰμι· μὴ φοβεῖσθε. Γνωρίσαντες δὲ ἐκ τῆς φωνῆς οἱ Μαθηταὶ, ὃν οὐκ ἠδυνήθησαν γνωρίσαι ἐκ τῆς ὁράσεως, ἔδειξαν διὰ τούτου, ὅτι εἰς τὰ τῆς πίστεως ἡ ἀκοὴ ἰσχυροτέρα ἐστὶ τῶν ὀφθαλμῶν. Ἡ δὲ δεσποτικὴ φωνὴ ἔπαυσεν εὐθὺς τὸν φόβον τῆς ψυχῆς, ἡσύχασε τὴν ταραχὴν τοῦ πνεύματος, καὶ θάῤῥος μέγα εἰς τὴν καρδίαν αὐτῶν ἐνέσταξεν.

Ἀποκριθεὶς δὲ ὁ Πέτρος, εἶ- Ματ. ιδ'. 28.
πε· Κύριε, εἰ σὺ εἶ, κέλευ-
σόν με πρὸς σὲ ἐλθεῖν ἐπὶ
τὰ ὕδατα· Ὁ δὲ εἶπεν, Ἐλ- 29.
θέ. Καὶ καταβὰς ἀπὸ τοῦ
πλοίου ὁ Πέτρος, περιεπάτη-
σεν ἐπὶ τὰ ὕδατα, ἐλθεῖν
πρὸς τὸν Ἰησοῦν.

Ἀκούσας τὴν φωνὴν τοῦ κυρίου Ἰησοῦ ὁ Πέτρος, καὶ διστάζει, καὶ πιστεύει, καὶ δείκνυσιν ἀγάπην πρὸς τὸν Ἰησοῦν Χριστὸν, πλείονα τῶν ἄλλων μαθητῶν· Κύριε, εἰ σὺ εἶ· Κύριε, λέγει, ἐὰν σὺ ὑπάρχῃς ὁ Κύριός μου· τοῦτό ἐστι δισταγμός· ἔτι ἐδίσταζε περὶ τοῦ, ἐὰν ἐκεῖνος, ὃν ἔβλεπε καὶ ἤκουεν, ἦν ὁ Ἰησοῦς. Κέλευσόν με πρὸς σὲ ἐλθεῖν, τοῦτο πίστις· ἐπίστευσεν, ὅτι διὰ προστάγματος τοῦ Ἰησοῦ Χριστοῦ δύναται καὶ αὐτὸς περιπατῆσαι ἐπάνω τῆς θαλάσσης· τοῦτο δὲ αὐτὸ ἐστὶ καὶ ἀγάπης ἀπόδειξις· πρόσταξόν με, ἵνα ἔλθω πρὸς σέ· θέλει, ἵνα, πρὶν ἢ εἰσέβη ὁ Ἰησοῦς εἰς τὸ πλοῖον, προφθάσῃ αὐτὸς, καὶ πλησιάσας, ἀσπασθῇ αὐτὸν καὶ προσκυνήσῃ· τοιοῦτον πρᾶγμά ἐστιν ἡ ἀγάπη· προϋπαντᾷ, προτρέχει, προφθάνει τὸν ἀγαπώμενον. Καὶ ὁ μὲν παντοδύναμος ἐκέλευσεν, Ἐλθὲ, εἶπεν· ὁ δὲ Πέτρος καταβαίνει ἀπὸ τοῦ πλοίου, καὶ, περιπατῶν ἐπάνω εἰς τὴν θάλασσαν, ἔρχεται πρὸς τὸν Ἰησοῦν Χριστόν· καὶ οὕτω γίνεται θαῦμα ἐπὶ θαύματος, τὸ δεύτερον τοῦ πρώτου μεῖζον· διότι οὐ μόνον ὁ Δημιουργὸς καὶ

Δε-

Δεσπότης τῆς θαλάσσης, ἀλλὰ καὶ ὁ δοῦλος τῇ δυνάμει τῆς προσταγῆς αὐτοῦ περιπατεῖ ἐπ' αὐτῆς, ὡς ἐπὶ τῆς ξηρᾶς γῆς.

Ματ. ιδ'. 30. Βλέπων δὲ τὸν ἄνεμον ἰσχυρὸν, ἐφοβήθη· καὶ ἀρξάμενος καταποντίζεσθαι, ἔκραξε, λέγων· Κύριε σῶσόν με.

Αὐτ. κς'. 41. Τὸ μὲν πνεῦμα πρόθυμον, ἡ δὲ σὰρξ ἀσθενής· ἡ μὲν προθυμία τοῦ πνεύματος τοῦ Πέτρου ἐδίωξεν ἀπὸ τῆς καρδίας αὐτοῦ πάντα φόβον· ὅθεν θαρσαλέως κατέβη ἀπὸ τοῦ πλοίου, ἐπάτησεν ἐπάνω εἰς τὸ ὕδωρ, καὶ περιεπάτησεν ἐπὶ τῆς θαλάσσης· ὅταν δὲ εἶδε τὸν ἄνεμον ἰσχυρὸν, καὶ ἑαυτὸν βυθιζόμενον εἰς τὸ ὕδωρ, τότε ὑπερίσχυσεν ἡ ἀσθένεια τῆς σαρκὸς τὴν προθυμίαν τοῦ πνεύματος· διὸ καὶ ἐφοβήθη. Τοιαύτη ἐστὶν ἡ ἀνθρώπινος φύσις· πολλάκις τὰ μεγάλα ἐπιτελεῖ, εἰς δὲ τὰ μικρὰ φοβεῖται καὶ διστάζει· περιπατεῖ εἰς τὴν θάλασσαν, καὶ οὐδὲν φοβεῖται, φοβεῖται δὲ τὸν ἄνεμον. Τοιοῦτόν τι ἔπαθεν ὁ Ἡλίας· τοσαῦτα κατώρθωσε θαυμάσια ἔργα, ἔπειτα ἐφοβήθη τοὺς
Γ'. Βασ. ιθ'. 3. φοβερισμοὺς τῆς Ἰεζάβελ. Τοιοῦτόν τι
Ἐξόδ. β'. 14. ἔπαθεν ὁ Μωϋσῆς· ἐφόνευσε τὸν Αἰγύπτιον, ἔπειτα ἐφοβήθη τὰ λόγια τοῦ Ἑβραίου. Τοιοῦτόν τι πάσχουσι τινὲς εὐσεβεῖς ἄνθρωποι· μετὰ προθυμίας μεγάλης, μηδένα πειρασμὸν ἢ κίνδυνον φοβούμενοι, εἰσέρχονται εἰς τῆς ἀρετῆς τὸν δρόμον, ἐν ᾧ ἐστὶν ὁ Ἰησοῦς· εἶτα, συναντῶντες μικρόν τινα πειρασμὸν, ἢ κίνδυνον, διστάζουσι, καὶ φοβοῦνται, καὶ στρέφουσιν εἰς τὰ ὀπίσω. Ὁ Πέτρος ὅμως ἔδωκε παράδειγμα ἅγιον διὰ τὰς τοιαύτας περιστάσεις· αὐτὸς ἐφοβήθη, καὶ ἐδίστασεν, ἀλλ' οὐδὲ ἐστράφη εἰς τὰ ὀπίσω, οὐδὲ ἀπελπίσθη· ἔκραξε δὲ μεγαλοφώνως, Κύριε, σῶσόν με· ὅθεν καὶ ἔτυχε τῆς σωτηρίας.

Ἐυθέως δὲ ὁ Ἰησοῦς, ἐκτείνας τὴν χεῖρα, ἐπελάβετο αὐτοῦ, καὶ λέγει αὐτῷ. Ὀλιγόπιστε, εἰς τί ἐδίστασας; Ματ. ιδ'. 31.

Ταχὺς εἰς ἀντίληψιν ὁ Πολυεύσπλαγχνος· εὐθὺς ἐκτείνει τὴν χεῖρα αὐτοῦ, καὶ ἐπιλαμβάνεται τοῦ Πέτρου· ὁ δὲ πάλιν ἀφόβως καὶ ἀδιστάκτως ἵσταται, καὶ περιπατεῖ ἐπὶ τῆς θαλάσσης. Μάθημά ἐστι τοῦτο, διδάσκον, ὅτι ἐὰν καὶ ἡμεῖς, ὅταν περιπέσωμεν εἰς κινδύνους, προστρέχοντες εἰς τὸν Θεὸν, κραυγάζωμεν ὡς ὁ Πέτρος, Κύριε σῶσον ἡμᾶς, ἐκτείνει καὶ πρὸς ἡμᾶς ὁ Φιλάνθρωπος τὴν ἀντιληπτικὴν καὶ βοηθητικὴν αὐτοῦ χεῖρα, καὶ σώζει ἡμᾶς ἀπὸ πάσης κινδυνώδους περιστάσεως· ἔπειτα περιπατοῦμεν καὶ ἡμεῖς πάλιν ἀνδρείως καὶ μεγαλοψύχως τῆς ἀρετῆς τὸν δρόμον. Ἀλλὰ διατί ὁ Θεάνθρωπος οὐκ ἐπετίμησε τῷ ἀνέμῳ, καθὼς καὶ ἄλλοτε, ἀλλ' ἤλεγξε τὸν Πέτρον; Ἵνα δείξῃ, Αὐτ. ι'. 26.
ὅτι οὐχ ὁ ἄνεμος, ἀλλ' ἡ ὀλιγοπιστία, καὶ ὁ δισταγμὸς αὐτὸν ἐφόβιζε, καὶ κατεπόντιζεν· ἐν ὅσῳ θερμῶς ἐπίστευεν, ἔφευγεν ἀπ' αὐτοῦ ὁ φόβος, καὶ τὸ ὕδωρ τὸ ὑποκάτω τῶν ποδῶν αὐτοῦ ἐστερεοῦτο· ὅτε δὲ ὀλιγοπίστησε, καὶ ἐδίστασε, τότε καὶ ὁ φόβος αὐτὸν περιέσχε, καὶ τὸ ὕδωρ, εἰς ὃ ἐπάτει, διελύετο. Σημείωσαι δὲ, ὅτι οὐκ εἶπεν ὁ Κύριος τῷ Πέτρῳ, Ἄπιστε, ἀλλ' ὀλιγόπιστε, ἀληθῶς γὰρ οὐκ ἠπίστησεν ὁ Πέτρος, ἀλλ' ἐδίστασε· διότι, ἐὰν ὁλοτελῶς ἠπίστει, οὐκ ἔκραζε τὸ, Κύριε, σῶσόν με.

Καὶ

Ματ. ιδ΄. 32. **Καὶ ἐμβάντων αὐτῶν εἰς τὸ πλοῖον, ἐκόπασεν ὁ ἄνεμος.**

Ὅτε δὲ ὁ Ἰησοῦς καὶ ὁ Πέτρος εἰσέβησαν εἰς τὸ πλοῖον, ἔπαυσεν εὐθὺς ὁ ἄνεμος. Καὶ ταῦτα μὲν γράφει ὁ Ματθαῖος. ὁ δὲ Ἰωάννης, σιωπήσας τινὰ ὑπὸ τοῦ Ματθαίου ἱστορηθέντα, προσέθηκε συντόμως τὰ ἐν τῷ μεταξὺ γεγονότα, καὶ ὑπὸ τοῦ Ματθαίου σιωπηθέντα· Ἓν δὲ τούτων ἐστὶ τὸ ἑξῆς, ἤγουν τὸ, ὅτι οἱ Μαθηταὶ, ἀκούσαντες τὴν φωνὴν τοῦ Ἰησοῦ Χριστοῦ, εἰπόν-
Ἰωάν. ς΄. 20, 21. τος, Ἐγώ εἰμι, μὴ φοβεῖσθε, ἤθελον λαβεῖν αὐτὸν εἰς τὸ πλοῖον· καὶ εὐθέως τὸ πλοῖον ἐγένετο ἐπὶ τῆς γῆς, εἰς ἣν ὑπῆγον. Καὶ τὸ μὲν, ἤθελον λαβεῖν αὐτὸν εἰς τὸ πλοῖον, ἐγένετο πρὸ τῆς τοῦ Πέτρου καταβάσεως εἰς τὴν θάλασσαν· τὸ δὲ, καὶ εὐθέως τὸ πλοῖον ἐγένετο ἐπὶ τῆς γῆς, εἰς ἣν ὑπῆγον, ἐγένετο μετὰ τὴν εἰς τὸ πλοῖον εἰσέλευσιν τοῦ Ἰησοῦ Χριστοῦ καὶ τοῦ Πέτρου· εὐθὺς δηλαδὴ μετὰ τὴν εἰσέλευσιν αὐτῶν, τὸ πλοῖον ἐπλησίασεν εἰς τὴν γῆν, εἰς ἣν οἱ Ἀπόστολοι ἔσπευδον φθάσαι. Βλέπων δὲ, ὅτι ἡ εἰσέλευσις τοῦ Κυρίου εἰς τὸ πλοῖον παύει μὲν τὸν ἄνεμον, εὐθύνει δὲ τὸ πλοῖον καὶ ὠθεῖ αὐτὸ εἰς τὴν γῆν, εἰς ἣν οἱ Ἀπόστολοι ἔσπευδον φθάσαι, νόησον, ὅτι τοῦτό ἐστι σύμβολον, σημαῖνον, ὅτι εἰς ὁποίαν ψυχὴν ἔλθῃ ὁ Κύριος Ἰησοῦς, παύει μὲν τῶν παθῶν αὐτῆς τὴν ζάλην, εὐθύνει δὲ καὶ ποιεῖ αὐτὴν ἐγγίζειν εἰς τὴν ἐπουράνιον πατρίδα, ἧς τὴν ἀπόλαυσιν πάντες οἱ εὐσεβεῖς ἐπιθυμοῦσι, καὶ φθάσαι σπεύδουσι. Βλέπε δὲ καὶ τὸν καρπὸν τῶν θαυμάτων τοῦ Κυρίου Ἰησοῦ Χριστοῦ.

Ματ. ιδ΄. 33. **Οἱ δὲ ἐν τῷ πλοίῳ, ἐλθόντες προσεκύνησαν αὐτῷ, λέγοντες· Ἀληθῶς Θεοῦ υἱὸς εἶ.** Ματ. ιδ΄. 26, 27.

Διατί ἄραγε, ὅτε ὁ Ἰησοῦς Χρι- Αὐτ. η΄. 26, 27.
στὸς ἐπετίμησε τοῖς ἀνέμοις, καὶ τῇ θαλάσσῃ, καὶ ἐγένετο γαλήνη μεγάλη, τότε οἱ ἰδόντες τὸ θαῦμα ἐθαύμασαν μόνον καὶ εἶπον· Ποταπός ἐστιν οὗτος, ὅτι καὶ οἱ ἄνεμοι καὶ ἡ θάλασσα ὑπακούουσιν αὐτῷ, ἀλλ᾿ οὐχ ὡμολόγησαν, ὅτι ὁ Ἰησοῦς Χριστὸς ἐστὶ Θεοῦ Υἱός; οἱ δὲ ἰδόντες τὸ σήμερον ἀναγνωσθὲν θαῦμα, ἐλθόντες πρὸς τὸν Ἰησοῦν, ὡς Υἱὸν Θεοῦ προσεκύνησαν αὐτὸν, καὶ μεγαλοφώνως ὡμολόγησαν, ὅτι ἀληθῶς Θεοῦ Υἱὸς ἐστί; Διότι τὸ θαῦμα τοῦτο ὑπερέχει ἐκεῖνο· ὁ ἄνεμος καὶ ἡ θάλασσα καὶ κατὰ φύσιν μετὰ τὴν ζάλην ἡσυχάζουσι καὶ γαληνιῶσιν· ὁ δὲ ἐπὶ τῆς θαλάσσης περίπατος δύω ἀνθρώπων, τοῦ Ἰησοῦ Χριστοῦ, καὶ τοῦ Πέτρου, διὰ τῆς προσταγῆς αὐτοῦ τοῦ Ἰησοῦ, ἐστὶν ἔργον ὑπὲρ τὸν ἀνθρώπινον λόγον. Ἐκ τούτου οὖν ἐγνώρισαν οἱ μαθηταὶ, ὅτι ὁ Ἰησοῦς Χριστός ἐστιν ἐκεῖνος, περὶ οὗ ὁ
προφήτης Δαβὶδ προεῖπεν· Ἐν τῇ θα- Ψαλ. οϛ΄. 19.
λάσσῃ αἱ ὁδοί σου, καὶ αἱ τρίβοι σου ἐν ὕδασι πολλοῖς· ἤγουν ἐγνώρισαν, ὅτι ὁ Ἰησοῦς Χριστὸς ἐστὶν ὁ Υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος. Μετὰ δὲ ταῦτα ὁ Ἰησοῦς μετὰ τῶν μαθητῶν αὐτοῦ, διαπεράσαντες τὴν θάλασσαν, ἦλθον εἰς τὴν γῆν Γεννησαρέτ.

**Καὶ διαπεράσαντες, ἦλθον εἰς τὴν Γεννησαρέτ.** Ματ. ιδ΄. 34.

Ἐν τούτῳ ἀσύμφωνοι φαίνονται οἱ Εὐαγγελισταί· διότι ὁ μὲν Ματθαῖος λέγει, ὅτι ἔφθασαν εἰς τὴν γῆν Γεννησαρέτ· ὁ δὲ Μάρκος διηγεῖται, ὅτι ὁ Ἰη-



σοῦς

Μάρκ. ϛ'. σοῦς ἠνάγκασε τοὺς μαθητὰς αὐ-
45. τοῦ ἐμβῆναι εἰς τὸ πλοῖον, καὶ
προάγειν εἰς τὸ πέραν πρὸς Βη-
Ἰωάν. ϛ'. θσαϊδάν· ὁ δὲ Ἰωάννης γράφει, Καὶ
21. εὐθέως τὸ πλοῖον ἐγένετο ἐπὶ
τῆς γῆς, εἰς ἣν ὑπῆγον, ἀλλ' ἰδοὺ
πῶς κατὰ πάντα σύμφωνά εἰσι τῶν
θεηγόρων ἀνδρῶν τὰ λόγια. Τὸ πλοῖον,
ὅτε εἰς αὐτὸ εἰσῆλθεν ὁ Ἰησοῦς, καὶ ἔ-

παυσεν ὁ ἄνεμος, ἔφθασεν εὐθὺς εἰς τὴν γῆν· εἰς ποίαν γῆν; εἰς ἣν ὑπῆγον, λέγει ὁ Ἰωάννης, ἤγουν εἰς ἐκείνην τὴν γῆν, εἰς ἣν ἔσπευδον φθάσαι, ἥτις ἦν ἡ Βηθσαϊδὰ, ὡς λέγει ὁ Μάρκος· φθάσαντες οὖν ἐκεῖ, μετὰ ταῦτα διεπέρασαν, καὶ ἦλθον εἰς τὴν γῆν Γεννησαρὲτ, ὡς ἱστορεῖ ὁ Ματθαῖος.

# ΟΜΙΛΙΑ

ΜΕΤΑ ΤΟ ΚΑΤΑ

# ΜΑΤΘΑΙΟΝ

## ΕΥΑΓΓΕΛΙΟΝ ΤΗΣ Θ'. ΚΥΡΙΑΚΗΣ.

Ὁ κατὰ τοῦ Πέτρου ἔλεγχος, τὸν ὁποῖον σήμερον ἠκούσαμεν ἐν τῷ ἱερῷ Εὐαγγελίῳ, δίδωσιν ἀφορμὴν, ἵνα ἀκριβῶς ἐρευνήσωμεν τὰ περὶ τῆς ὀλιγοπιστίας, ἥτις ψυχραίνει τῆς ἀρετῆς τὸν πόθον, καὶ εὔκολα κατακρημνίζει εἰς τῆς ἁμαρτίας τὰ βάραθρα.

Ὁ ὀλιγόπιστος διαφέρει τοῦ πιστοῦ καὶ τοῦ ἀπίστου, καθὼς τὸ ὕδωρ τὸ χλιαρὸν τοῦ ὕδατος τοῦ θερμοῦ, καὶ τοῦ ψυχροῦ. Τὸ χλιαρὸν ὕδωρ ἔχει πῦρ ἐπείσακτον, ἀλλὰ ὀλίγον, τὸ θερμὸν ἔχει πολὺ, τὸ ψυχρὸν οὐδέν· ὁ ὀλιγόπιστος ἔχει πίστιν, πλὴν ὀλίγην, ὁ πιστὸς πολλὴν, ὁ ἄπιστος οὐδεμίαν. Τὸ χλιαρὸν ὕδωρ ἔχει δύναμιν, πλὴν ὀλίγην, τὸ θερμὸν ἔχει πολλὴν, τὸ ψυχρὸν οὐδεμίαν· ὁ ὀλιγόπιστος ἔχει ζῆλον, πλὴν πολλὰ ὀλίγον, ὁ πιστὸς ἔχει πολὺν, ὁ ἄπιστος οὐδένα. Ἐκ τούτου ὁ μὲν ἄπιστος, ἐπειδὴ οὐδόλως πιστεύει εἰς τὸν Θεὸν, ἀνυποστόλως περιφρονεῖ τὰς ἐντολὰς αὐτοῦ, ἐπειδὴ οὐδένα ζῆλον ἔχει, οὐδεμίαν ἀναλαμβάνει φροντίδα διὰ τὴν κατόρθωσιν τῆς ἀρετῆς· ὁ δὲ πιστὸς, ἐπειδὴ καὶ θερμῶς πιστεύει, καὶ πολὺν ζῆλον ἔχει, δυσκόλως παραβαίνει τὰς ἐντολὰς τοῦ Θεοῦ, δυσκόλως ἀμελεῖ τῆς ἀρετῆς τὰ ἔργα· ὁ δὲ ὀλιγόπιστος, ἐπειδὴ διστάζει εἰς τὰ λόγια τοῦ Θεοῦ, καὶ ὀλίγον ἔχει ζῆλον, εὔκολα περιφρονεῖ τοὺς θείους νόμους, εὔκολα γυμνοῦται τοῦ ἐπουρανίου τῆς ἀρετῆς ἐνδύματος. Τοῦτο διδάσκει ἡμᾶς ὁ λόγος, τοῦτο δεικνύουσιν ἡμῖν τὰ πράγματα.

Ἡ πίστις κηρύττει, ὅτι ὁ Θεὸς, ἄπειρος ὢν, πανταχοῦ παρὼν ἐστι πάν-
τοτε, καὶ τὰ πάντα πληροῖ· Ἐὰν ἀνα- Ψαλ. ρλή.
βῶ εἰς τὸν οὐρανὸν, σὺ ἐκεῖ εἶ· ἐὰν 7, 9
καταβῶ εἰς τὸν ᾅδην, πάρει· ἐὰν ἀναλάβω τὰς πτέρυγάς μου κατ' ὄρθρον, καὶ κατασκηνώσω εἰς τὰ ἔσχατα τῆς θαλάσσης, καὶ γὰρ ἐκεῖ ἡ χείρ σου· οὐδεὶς τόπος, κατ' οὐδένα καιρὸν, οὐδὲ κἂν ἐν ῥιπῇ ὀφθαλμοῦ, ἐστερημέ-

μένος μένει τῆς τοῦ Θεοῦ παρουσίας. Ὁ
πιστὸς, ὅστις εἰς τοῦτο ἀδιστάκτως πι-
στεύει, βλέπει διὰ τῶν ὀμμάτων τῆς πί-
στεως τὸν δεσπότην Σαββαὼθ, ἱστάμε-
νον διαπαντὸς ἐνώπιον αὐτοῦ· ὅθεν πολ-
λὰ δύσκολόν ἐστιν, ἵνα τολμήσῃ ἔμπρο-
σθεν εἰς τὸ πρόσωπον τοῦ Θεοῦ νὰ πρά-
ξῃ τὴν ἁμαρτίαν. Τίς, εὑρισκόμενος ἔμ-
προσθέν τινος ἐπιγείου Βασιλέως, πράτ-
τει, οὐ λέγω ἁμαρτίαν, ἀλλὰ μικροτά-
την ἀταξίαν; Οὐδείς. Ὁ προφήτης Δα-
βὶδ, ὅστις εἶχε τὴν θερμότητα τῆς πί-
στεως, ἔλεγε· Βλέπω διαπαντὸς ἐνώπιόν
μου τὸν Κύριον, αὐτὸς ἵσταται ἐκ δεξιῶν
μου, ἵνα μὴ σαλεύσω ἀπὸ τὸν δρόμον
Ψαλ. ιε΄. 8. τῆς ἀρετῆς· Προωρώμην τὸν Κύριον
ἐνώπιόν μου διαπαντὸς, ὅτι ἐκ δε-
ξιῶν μου ἐστὶν, ἵνα μὴ σαλευθῶ.
Διὰ τὸν αὐτὸν λόγον ὁ Πατριάρχης Ἰω-
σὴφ ἔφυγε τὴν μοιχείαν, καὶ ἐφύλαξε τὴν
σωφροσύνην· ἐβίαζεν αὐτὸν ἡ ἀσελγὴς
Γεν. λθ΄. 7. Αἰγυπτία· Κοιμήθητι μετ᾽ ἐμοῦ, ἔ-
λεγε πρὸς αὐτόν· ὁ δὲ Ἰωσὴφ, πιστεύων
ἀδιστάκτως, ὅτι ὁ Θεὸς ἐνώπιον αὐτοῦ
ἐστὶν, ἀντέκρουε τὴν βίαν, λέγων· Πῶς
νὰ πράξω τοιοῦτον πονηρὸν ἔργον; πῶς
νὰ ἁμαρτήσω ἔμπροσθεν εἰς τὸ πρόσω-
Αὐτόθι. 9. πον τοῦ Θεοῦ; Καὶ πῶς ποιήσω τὸ
ῥῆμα τὸ πονηρὸν τοῦτο, καὶ ἁμαρ-
τήσομαι ἐναντίον τοῦ Θεοῦ.

Ὁ ὀλιγόπιστος, ἐπειδὴ διὰ μὲν τῶν
σωματικῶν ὀφθαλμῶν οὐ βλέπει τὸν
Θεὸν ἐνώπιον αὐτοῦ παρεστῶτα, οἱ δὲ
ὀφθαλμοὶ τῆς ψυχῆς αὐτοῦ ἀμβλυωποῦ-
σι, καὶ σχεδὸν εἰσὶ κεκλεισμένοι διὰ τὴν
ὀλιγοπιστίαν αὐτοῦ, διὰ τοῦτο εὔκολα
κλονεῖται καὶ σαλεύεται ὑπὸ τοῦ ἀνέμου
τῶν παθῶν, εὔκολα καταποντίζουσιν αὐ-
τὸν τῆς ἁμαρτίας τὰ κύματα. Τί συλ-
λογίζεσθε περὶ τοῦ Ἰσκαριώτου Ἰούδα;
ἆράγε οὐκ ἐπίστευεν αὐτὸς, ὅτι ὁ Ἰη-
σοῦς Χριστὸς ἐστὶν ὁ Υἱὸς τοῦ Θεοῦ;
Ἐπίστευε πάντως· διότι, ἐὰν οὐκ ἐπί-
στευεν, οὐκ ἠκολούθει αὐτῷ, οὐδὲ ἐγίνε-
το μαθητὴς αὐτοῦ· ἐπίστευεν, ἀλλ᾽ ὀ-
λίγον· ἐπίστευεν, ἀλλ᾽ ἐδίσταζεν· ὅθεν
τὴν ὀλίγην αὐτοῦ πίστιν ἔσβεσε τὸ ἰ-
σχυρὸν τῆς φιλαργυρίας πάθος, καὶ οὕ-
τως ἀντὶ μαθητοῦ ἐγένετο προδότης.
Εἶχεν ἡ Εὔα πίστιν εἰς τὸν Θεὸν, ἀλ-
λ᾽ ἡ πίστις αὐτῆς ἦν ὀλίγη καὶ χλιαρή·
ὁ Θεὸς εἶπεν αὐτῇ τε καὶ τῷ Ἀδὰμ, Γεν. β΄.
Ἧ δ᾽ ἂν ἡμέρᾳ φάγητε ἀπ᾽ αὐτοῦ, 17.
θανάτῳ ἀποθανεῖσθε· ὁ ὄφις εἶ-
πε πρὸς αὐτὴν τὸ ἐναντίον, ἤγουν τὸ,
Οὐ θανάτῳ ἀποθανεῖσθε, ἀλλ᾽ ἔ- Αὐτ. γ΄.
σεσθε ὡς θεοί· αὐτὴ ἐπίστευσεν εἰς 4, 5.
τὰ λόγια τοῦ ὄφεως, μᾶλλον ἢ εἰς τὰ
λόγια τοῦ Θεοῦ· ὅθεν ἡ ὀλιγοπιστία
κατεκρήμνισεν αὐτὴν εἰς τὴν ἁμαρτίαν
τῆς παρακοῆς, ἐγύμνωσε τῆς θείας χά-
ριτος, καὶ ἐξώρισεν αὐτὴν εἰς ταύτην
τὴν ἀθλίαν γῆν.

Ἐκαταφρονήθη παντελῶς ἡ ἐργασία
τῆς ἀρετῆς, ἐλύθη τῆς ἁμαρτίας ὁ χα-
λινὸς, ἕκαστος ἡμῶν ἀνυποστόλως καὶ
ἀφόβως ἁμαρτάνει πᾶν εἶδος ἁμαρτίας·
Πάντες ἐξέκλιναν, ἅμα ἠχρειώ- Ψαλ. νβ΄.
θησαν, οὐκ ἔστι ποιῶν ἀγαθὸν, 4.
οὐκ ἔστιν ἕως ἑνός. Πόθεν ταῦτα;
ἐκ τῆς ὀλιγοπιστίας· πῶς; ἡμεῖς, λέ-
γετε, ἐσμὲν ὀλιγόπιστοι; ἡμεῖς καθ᾽ ἑ-
κάστην ἀναγινώσκομεν, καὶ κηρύττομεν
τὸ Σύμβολον τῆς πίστεως· ἡμεῖς καθ᾽
ἑκάστην μεγαλοφώνως κραυγάζομεν, Πι-
στεύω εἰς ἕνα Θεὸν, Πατέρα παν-
τοκράτορα, ποιητὴν οὐρανοῦ καὶ
γῆς, καὶ τὰ ἑξῆς, ὅσα περιέχει τὸ Πι-
στεύω, ἔπειτα ἐσμὲν ὀλιγόπιστοι; Τὰ
ἔργα, ἀδελφοὶ, καὶ οὐχὶ τὰ λόγια εἰσὶν
ἡ ἀπόδειξις τῆς πίστεως, ὡς θεοπνεύ-
στως ἐδίδαξεν ὁ ἀδελφὸς τοῦ Κυρίου, ὁ
Ἰάκωβος· Δεῖξόν μοι, λέγει, τὴν πί- Ἰακώβ. β΄.
στιν σου ἐκ τῶν ἔργων σου, κἀγὼ 18.
δείξω σοι ἐκ τῶν ἔργων μου τὴν
πίστιν μου. Ὁποίαν δὲ πίστιν δει-

κηρύουσι τὰ ἔργα ἡμῶν; αὐτὰ δεικνύουσι
φανερὰ, ὅτι ἐσμὲν καθ' ὑπερβολὴν ὀλι-
γόπιστοι· οὐχὶ τὰ λόγια, ἀλλὰ τὰ
πράγματα κηρύττουσιν, ὅτι ἔχομεν πολ-
λὰ ὀλίγην πίστιν εἰς τὸν Θεόν.

Ὁ Θεὸς προστάσσει, ἵνα ἀγαπῶμεν
Ματ. ε'. 44. τοὺς ἐχθροὺς ἡμῶν· Ἐγὼ δὲ λέγω ὑ-
μῖν, ἀγαπᾶτε τοὺς ἐχθροὺς ὑμῶν.
Ὁ Θεὸς προστάσσει, λέγων· Εὐλογεῖτε
τοὺς καταρωμένους ὑμᾶς, καλῶς
ποιεῖτε τοὺς μισοῦντας ὑμᾶς, καὶ
προσεύχεσθε ὑπὲρ τῶν ἐπηρεα-
ζόντων ὑμᾶς, καὶ διωκόντων ὑ-
μᾶς. Ὑπόσχεται δὲ εἰς τοὺς ἀγαπῶν-
τας τοὺς ἐχθροὺς αὐτῶν, καὶ εὐεργετοῦν-
Λουκ. ς'. 35. τας αὐτοὺς, ἀνταμοιβὰς μεγάλας· Καὶ
ἔσται ὁ μισθὸς ὑμῶν πολὺς, καὶ
ἔσεσθε υἱοὶ τοῦ Ὑψίστου. Πρὸς
τούτοις ἀναγγέλλει ἡμῖν, ὅτι αὐτὸς φρον-
τίζει περὶ τῆς ἐκδικήσεως τῶν ἀδικούν-
των ἡμᾶς, αὐτὸς ἐπαγγέλλεται, ἵνα ἀν-
ταποδώσῃ εἰς αὐτοὺς τὴν πρέπουσαν αὐ-
Ῥωμ. ιβ'. 19. τοῖς τιμωρίαν· Ἐμοὶ ἐκδίκησις· ἐγὼ
ἀνταποδώσω, λέγει Κύριος. Ὁ
κόσμος συμβουλεύει τὸ ἐναντίον· Κατά-
τρεχε, λέγει, καὶ βλάπτε ὅσον δύνασαι
τὸν ἐχθρόν σου· διότι, ἐὰν συγχωρήσῃς
αὐτῷ ἄνευ τῆς πρεπούσης ἐκδικήσεως,
γίνεσαι ἄτιμος· πάντες καταφρονοῦσί σε,
καὶ ἐπανίστανται κατὰ σοῦ, καὶ βλάπ-
τουσί σε παντοιοτρόπως. Ἡμεῖς δὲ πει-
θόμεθα εἰς τοῦ κόσμου τὰς συμβουλὰς
μᾶλλον, ἢ εἰς τὰ προστάγματα τοῦ
Θεοῦ· πιστεύομεν εἰς τὰ λόγια τοῦ κό-
σμου μᾶλλον, ἢ εἰς τὰς τοῦ Θεοῦ ὑπο-
σχέσεις· ὅθεν μισοῦμεν τοὺς ἐχθροὺς
ἡμῶν, καὶ ἐχθρευόμεθα αὐτοὺς ἕως θα-
νάτου· ἵνα δὲ ἐκδικηθῶμεν αὐτοὺς, με-
τερχόμεθα ὕβρεις, ἐπιβουλὰς, συκοφαν-
τίας, καταδρομὰς, προδοσίας, πληγὰς,
φόνους, κακὰ μέγιστα, καὶ ἁμαρτήματα
φοβερώτατα. Ἔργα πίστεως εἰσί ταῦ-
τα; οὐχί· ταῦτά εἰσιν ἔργα ὀλιγοπι-
στίας, ἵνα μὴ εἴπω, ἀπιστίας. Βλέπε
τί ἔπραττον οἱ ἅγιοι Ἀπόστολοι, οἵτι-
νες εἶχον θερμὴν τὴν εἰς Χριστὸν πίστιν.
αὐτοὶ ὑβριζόμενοι, ηὐλόγουν· διωκόμε- Α'. Κορ. δ'. 12, 13.
νοι, ὑπέφερον· βλασφημούμενοι, πα-
ρεκάλουν τοὺς ἐχθροὺς αὐτῶν, ἵνα μετανοή-
σωσι. Βλέπε ἐκ τῶν ἔργων ποίαν πί-
στιν εἶχεν ὁ πρωτομάρτυς ὁ Στέφανος·
αὐτὸς λιθαζόμενος, ἔκλινε τὰ γόνατα,
καὶ προσηύξατο ὑπὲρ τῶν λιθαζόντων
αὐτὸν, λέγων· Κύριε, μὴ στήσῃς αὐ- Πράξ. ζ'. 60.
τοῖς τὴν ἁμαρτίαν ταύτην. Καὶ
τοῦτο εἰπὼν, ἐκοιμήθη.

Ὁ Θεὸς προστάσσει, λέγων· Πλὴν Λουκ. ια'. 41.
τὰ ἐνόντα δότε ἐλεημοσύνην· Θρέ-
ψαι, λέγει, τὸν πεινῶντα, πότισον τὸν
διψῶντα, ἔνδυσον τὸν γυμνὸν, ὑπόδεξαι Ματ. κε'. 36.
τὸν ξένον, ἐπίσκεψαι τὸν ἀσθενῆ, ἐπι-
μελήθητι τοῦ ἐν φυλακῇ· ὁ πτωχὸς,
λέγει, ἐστὶν ἀδελφός μου· ὁ πτωχὸς
παρίστησι τὸ πρόσωπόν μου· εἴτι ἂν
ποιήσῃς εἰς τὸν πτωχὸν, εἰς ἐμὲ τοῦτο Αὐτ'. 40.
ποιεῖς· Ἀμὴν, λέγω ὑμῖν, ἐφ' ὅσον
ἐποιήσατε ἑνὶ τούτων τῶν ἀδελ-
φῶν μου τῶν ἐλαχίστων, ἐμοὶ ἐ-
ποιήσατε. Ὑπόσχεται εἰς τοὺς ἐλεή-
μονας ἀμοιβὰς ἑκατονταπλασίους εἰς
τοῦτον τὸν κόσμον, καὶ βασιλείαν αἰώ-
νιον εἰς τὴν μέλλουσαν ζωήν· Ἑκα- Αὐτ. ιθ'. 29.
τονταπλασίονα λήψεται, καὶ ζωὴν
αἰώνιον κληρονομήσει. Πιστεύεις
ταῦτα; Ναὶ, λέγεις, πιστεύω, καὶ ὁμο-
λογῶ· καλῶς, ἀλλ' ἔπειτα παρίσταται
ἔμπροσθέν σου ὁ πεινῶν, ὁ διψῶν, ὁ γυ-
μνὸς, ὁ ξένος, ὁ ἀσθενὴς, σὺ δὲ, οὐχὶ
μόνον ἀποστρέφεις τὸ πρόσωπόν σου ἀπ'
αὐτοῦ, ἀλλὰ ἐνίοτε περιφρονεῖς αὐτὸν,
καὶ ἐλέγχεις· αὐτά εἰσι τὰ ἔργα τῆς
πίστεώς σου; αὐτή ἐστιν ἡ πίστις σου;
αὐτὴ οὐκ ἔστι πίστις, ἀλλ' ὀλιγοπιστία.
Ὁ πεπλανημένος λογισμὸς τῆς φιλαρ-
γυρίας σου λέγει σοι· Μὴ δώσῃς, ἵνα μὴ
καὶ σὺ κατασταθῇς πτωχὸς ὥσπερ ἐ-
κεῖ-

κεῖνος. Ὁ ἀψευδὴς Θεὸς λέγει σοι· Ἐὰν
δώσῃς ἓν, λαμβάνεις ἑκατὸν, σὺ δὲ πι-
στεύεις τῇ πλάνῃ τοῦ νοός σου μᾶλλον,
ἢ τῷ παντοκράτορι Θεῷ.

Ἐὰν εἶχεν ἡ καρδία μου πίστιν
θερμὴν, ὅσον θερμός ἐστιν ὁ κόκκος τοῦ
σινάπεως, ἐφοβούμην τὴν φοβερὰν ἡμέ-
ραν τῆς κρίσεως, καὶ τὴν περιμένουσαν
τοὺς ἁμαρτάνοντας κόλασιν· ὅθεν συνέ-
στελλον τὰς χεῖράς μου ἀπὸ τῆς ἁρπα-
γῆς, καὶ ἀδικίας, ἔφευγον μακρὰν ἀπὸ
τῆς ξένης κλίνης, ἐδάμαζον τὰ πάθη
τῆς σαρκός μου, ἀπέστρεφον τοὺς ὀφθαλ-
μούς μου ἀπὸ πάσης ἁμαρτίας. Ἐὰν
εἶχεν ἡ καρδία μου πίστιν θερμὴν, ὅσον
ὑπῆρχε θερμὴ ἡ πίστις τῶν ἁγίων, ἐ-
ξέτεινον τὰς χεῖράς μου εἰς εὐεργεσίαν
τῶν πενήτων, ἠγόραζον τὸν ἅγιον τῆς
σωφροσύνης χιτῶνα, ἔφευγον τὴν ματαιό-
τητα τοῦ κόσμου, ἐφύλαττον τὰς ἐντο-
λὰς τοῦ Θεοῦ, καὶ ἔτρεχον ἀόκνως τῆς
ἀρετῆς τὸν δρόμον.

Ἀλλὰ πρὸς ταῦτα ἀποκρίνονταί τι-
νες, λέγοντες· Ὁ Κύριος ἡμῶν Ἰησοῦς
Μάρκ. ις'. 16. Χριστὸς εἶπε· Πᾶς ὁ πιστεύσας καὶ
βαπτισθεὶς, σωθήσεται· ἡμεῖς ἐ-
πιστεύσαμεν, καὶ ἐβαπτίσθημεν, λοι-
πὸν ἡμεῖς ἐσμὲν σεσωσμένοι. Ναὶ, ἀ-
ληθῶς· ἀλλὰ διατί ὁ αὐτὸς Κύριος Ἰη-
Ματ. ιδ'. 31. σοῦς Χριστὸς ἤλεγξε τὸν Πέτρον, ὡς ὀ-
λιγόπιστον; Ὀλιγόπιστε, εἶπεν, εἰς
τί ἐδίστασας; Ἤλεγξεν αὐτὸν, ἵνα
μάθωμεν, ὅτι ἄλλο πίστις, καὶ ἄλλο ὀ-
λιγοπιστία. Πίστιν ὠνόμασεν ὁ Κύριος
τὴν πίστιν τὴν τελείαν, τὴν μεγάλην,
τὴν θερμήν· ἡ τοιαύτη δὲ πίστις οὐδέ-
ποτε ἐστὶ κεχωρισμένη τῶν καλῶν ἔρ-
γων· διὸ καὶ ὁ ἀδελφὸς τοῦ Κυρίου ὁ
Ἰακ. β'. 18. Ἰάκωβος, ἔλεγε· Δεῖξόν μοι τὴν πί-
στιν σου ἐκ τῶν ἔργων σου, κἀγὼ
δείξω σοι ἐκ τῶν ἔργων μου τὴν
πίστιν μου· αὕτη δέ ἐστιν ἡ σωτη-
ριώδης πίστις, περὶ τῆς ὁποίας εἶπεν ὁ
Σωτήρ· Ὁ πιστεύσας καὶ βαπτι-
σθεὶς, σωθήσεται. Ἡ ὀλιγοπιστία
ἐστὶ πίστις ἀτελὴς, ὀλίγη, ψυχρά· ἐ-
στὶ πίστις νεκρὰ, καὶ πολλάκις ξένη,
καὶ παντελῶς γυμνὴ τῶν καλῶν ἔργων·
περὶ αὐτῆς δὲ εἶπεν ὁ αὐτὸς Ἰάκωβος·
Ἡ πίστις χωρὶς τῶν ἔργων νε- Ἰακ. β'. 18.
κρά ἐστιν.

Ἡμεῖς θαυμάζομεν, καὶ ἀποροῦ-
μεν, μὴ βλέποντες τὴν σήμερον τὸ πλῆ-
θος τῶν θαυμάτων, ὅσα ὑπεσχέθη ὁ
Ἰησοῦς Χριστὸς εἰς τοὺς πιστεύοντας.
Σημεῖα, εἶπε, τοῖς πιστεύσασι Μάρκ. ις'. 17, 18.
ταῦτα παρακολουθήσει. Ἐν τῷ ὀ-
νόματί μου Δαιμόνια ἐκβαλοῦσι·
γλώσσαις λαλήσουσι καιναῖς, ὄ-
φεις ἀροῦσι· κἂν θανάσιμόν τι
πίωσιν, οὐ μὴ αὐτοὺς βλάψῃ·
ἐπὶ ἀῤῥώστους χεῖρας ἐπιθή-
σουσι, καὶ καλῶς ἕξουσιν. Εὐκο-
λώτατα ὅμως λύεται τὸ θάμβος, καὶ
ἡ ἀπορία· διότι ὁ Κύριος εἶπεν, ὅτι ταῦ-
τα τὰ σημεῖα ἐπακολουθήσει τοῖς πι-
στεύουσιν, οὐχὶ δὲ τοῖς ὀλιγοπίστοις.
Ὅτε πολλοὶ ἦσαν θερμοὶ εἰς τὴν πί-
στιν, ἤγουν εἰς τὸν καιρὸν τῶν Ἀποστό-
λων, καὶ εἰς τοὺς μετὰ ταῦτα αἰῶνας,
τότε ἐγίνοντο καθ' ἑκάστην ἄμετρα θαύ-
ματα· τὴν σήμερον πολλὰ ὀλίγοι εἰσὶν
οἱ ἔχοντες τὴν θερμὴν καὶ ζέουσαν πί-
στιν, πάντες σχεδὸν εἰσὶν ὀλιγόπιστοι·
ἐὰν δέ τις καὶ τὴν σήμερον ἡμέραν ἔχῃ
πίστιν θερμὴν ὡς τὸν κόκκον τοῦ σινά-
πεως, ἐρεῖ τῷ ὄρει τούτῳ· Μετάβη- Ματ. ιζ'. 20.
θι ἐντεῦθεν ἐκεῖ, καὶ μεταβήσε-
ται. Ἔπαυσε λοιπὸν τὸ πλῆθος τῶν
θαυμάτων, ἐπειδὴ ἐσβέσθη ἡ θερμότης
τῆς πίστεως. Διατί, εἶπον τῷ Κυρίῳ
οἱ Ἀπόστολοι, ἡμεῖς οὐκ ἠδυνήθη- Ματ. ιζ'. 19.
μεν ἐκβαλεῖν τὸ Δαιμόνιον; Διὰ τὴν
ἀπιστίαν ὑμῶν, ἀπεκρίθη αὐτοῖς ὁ Χρυσ. εἰς τὴν Συρ.
Κύριος, ἤγουν διὰ τὴν ὀλιγοπιστίαν ὑ-
μῶν· οὐ γὰρ ἦσαν ἄπιστοι οἱ Ἀπό-

στο-

στολαι, ἀλλ' ἀτελεῖς ἔτι εἰς τὴν πίστιν.

Βλέπετε λοιπὸν, ἀδελφοί, ὅτι ἡ ὀλιγοπιστία ἐστὶν ἡ ῥίζα πάντων τῶν κακῶν, ἡ δὲ πίστις ἐστὶν ἡ πηγὴ πάσης ἀρετῆς καὶ ἀγαθοεργίας. Ἀλλ' ἆρά γε δύναται ὁ ἄνθρωπος νὰ θερμάνῃ τὴν ψυχρὰν αὐτοῦ πίστιν; Δύναται, ἐὰν θέλῃ. Ἡ πίστις ὁδηγεῖ εἰς τὴν ἀρετὴν, ἡ δὲ ἀρετὴ θερμαίνει τὴν πίστιν· γίνου λοιπὸν πρᾶος, ταπεινὸς, φιλοδίκαιος, εὔσπλαγχνος, σώφρων, μακρόθυμος, φρόνιμος ὡς ὁ ὄφις, ἀκέραιος ὡς ἡ περιστερὰ, οἰκτίρμων ὡς ὁ Πατήρ σου ὁ ἐπουράνιος· ταῦτα ἀνάπτουσιν εἰς τὴν καρδίαν τοῦ ἀνθρώπου ἐκεῖνο τὸ πῦρ, ἤγουν τὴν πίστιν, τὴν ὁποίαν ἦλθεν ὁ Ἰησοῦς, ἵνα βάλῃ εἰς τὴν γῆν, ἤγουν εἰς τὴν καρδίαν τῶν εἰς αὐτὸν πιστευόντων.

Κύριε Ἰησοῦ Χριστὲ, μονογενὲς Λόγε τοῦ Θεοῦ, σὺ ὑπάρχεις καὶ τῆς πίστεως χορηγὸς, καὶ τῆς ἀρετῆς δοτήρ. Ἐγὼ πιστεύω καὶ ὁμολογῶ, ὅτι σὺ εἶ ἀληθῶς ὁ Χριστὸς, ὁ Υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος, ὁ ἐλθὼν εἰς τὸν κόσμον ἁμαρτωλοὺς σῶσαι, ὧν πρῶτός εἰμι ἐγὼ, ἀλλ' ἡ πίστις μου ἐστὶν ὀλίγη καὶ ψυχρὰ, οὐκ ἔστι τοσοῦτον θερμὴ, ὅσον ἀναγκαῖόν ἐστι διὰ τὴν σωτηρίαν μου. Πρὸς σὲ λοιπὸν, Πανοικτίρμων, κλίνω τὰ γόνατά μου, καὶ μετὰ δακρύων, ὡς ὁ πατὴρ τοῦ παιδίου, τοῦ ἔχοντος τὸ πνεῦμα τὸ ἄλαλον, κράζω, καὶ βοῶ· Πιστεύω, Κύριε, βοήθει μου τῇ ἀπιστίᾳ. Μάρκ. θ'. 24.

# ΕΡΜΗΝΕΙΑ

## ΕΙΣ ΤΟ ΚΑΤΑ

# ΜΑΤΘΑΙΟΝ

## ΕΥΑΓΓΕΛΙΟΝ ΤΗΣ Ι'. ΚΥΡΙΑΚΗΣ.

Ὅτι μὲν ἀπ' ἀρχῆς ὁ Διάβολος, ἰδὼν τὴν ἐν τῷ παραδείσῳ μακαρίαν καὶ πανένδοξον τοῦ ἀνθρώπου κατάστασιν, ἐφθόνησεν αὐτὸν, καὶ ἐπιβουλεύσας ἔβλαψε βλάβην, ἄχρι τῆς σήμερον ὁρωμένην, οὐδεὶς τῶν πιστῶν, τῶν ἀναγινωσκόντων, ἢ ἀκουόντων τὰς θείας Γραφὰς, διστάζει παντελῶς. Ὅτι δὲ οὐδὲ μετὰ ταῦτα ἔπαυσε παντὶ τρόπῳ ἐπιβουλεύων, καὶ πάσῃ δυνάμει ἀγωνιζόμενος, ἵνα ἀπατήσῃ, καὶ βλάψῃ αὐτὸν, φανερόν ἐστιν ἐκ τοῦ σήμερον ἀναγνωσθέντος ἱεροῦ Εὐαγγελίου. Τὸ αὐτὸ δὲ ἱερὸν Εὐαγγέλιον δείκνυσι καὶ τρία κραταιότατα ὅπλα, ἤγουν τὴν πίστιν, καὶ τὴν νηστείαν, καὶ τὴν προσευχὴν, δι' ὧν διώκεται μακρὰν, καὶ κατὰ κράτος ἐξαφανίζεται ἡ τούτου δύναμις. Ἐπειδὴ δὲ ἄχρι τῆς σήμερον, κἂν ἐξευρίσθη τῇ χάριτι τῆς ἐνανθρωπήσεως τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, οὐ παύει ὅμως ῥίπτων καθ' ἡμῶν τὰ πεπυρωμένα αὐτοῦ βέλη, πολλῆς ψυχικῆς ὠφελείας πρόξενος γίνεται ἡ ἀκρόασις τῆς ἑρμηνείας τῶν ἀναγνωσθέντων εὐαγγελικῶν λόγων.

Τῷ καιρῷ ἐκείνῳ, ἄνθρωπός τις Ματ. ιζ'. 14.

τις προσῆλθε τῷ Ἰησοῦ, γο-
νυπετῶν αὐτῷ, καὶ λέγων·
Ματ. ιζ'. 15. Κύριε, ἐλέησόν μου τὸν υἱὸν,
ὅτι σεληνιάζεται, καὶ κακῶς
πάσχει· πολλάκις γὰρ πί-
πτει εἰς τὸ πῦρ, καὶ πολ-
λάκις εἰς τὸ ὕδωρ.

Οὐδὲ τὸ γένος, οὐδὲ τὴν πατρίδα,
οὐδὲ τὴν θρησκείαν, οὐδὲ τὴν κατάστα-
σιν ἐφανέρωσαν οἱ θεηγόροι Εὐαγγελι-
σταὶ τοῦ ἀνθρώπου, ὅστις προσῆλθε
τῷ Ἰησοῦ, καὶ κλίνας τὰ γόνατα ἐνώ-
πιον αὐτοῦ, παρεκάλει αὐτὸν, ἵνα ἰα-
τρεύσῃ τὸν Υἱὸν αὐτοῦ, ὅστις ἦν μονο-
Λουκ. θ'. 38. γενὴς, ὡς λέγει ὁ ἱερὸς Λουκᾶς· ἐσιώ-
πησαν δὲ ταῦτα ὡς περιττὰ, καὶ μηδὲν
συντείνοντα πρὸς τὴν μεγαλουργίαν τοῦ
θαύματος καὶ τὴν ψυχικὴν ἡμῶν ὠφέ-
λειαν. Προσελθὼν οὖν ὁ πατὴρ τοῦ παι-
δίου πρὸς τὸν Ἰησοῦν Χριστὸν, γονυπε-
τῶς παρεκάλει αὐτὸν, λέγων· Κύριε, ἐ-
λέησον τὸν Υἱόν μου, ὅτι σεληνιάζεται,
καὶ κακῶς πάσχει. Τὰ δὲ πάθη τοῦ
σεληνιασμοῦ, τὰ ὑπὸ τοῦ Εὐαγγελιστοῦ
Ματθαίου σιωπηθέντα, περιγράφει λε-
Μάρκ. θ'. 18. πτομερῶς ὁ θεῖος Μάρκος, λέγων· Καὶ
ὅπου ἂν αὐτὸν καταλάβῃ, ῥήσσει
αὐτὸν, καὶ ἀφρίζει, καὶ τρίζει
τοὺς ὀδόντας αὐτοῦ, καὶ ξηραίνε-
ται· ὁ δὲ θεηγόρος Λουκᾶς τούτοις προ-
στίθησι καὶ τὴν κραυγὴν, καὶ τὸν ἀ-
Λουκ. θ'. 39. φρὸν, καὶ τὸν σπαραγμόν· Καὶ ἰδοὺ
πνεῦμα λαμβάνει αὐτὸν, καὶ ἐ-
ξαίφνης κράζει, καὶ σπαράσσει
αὐτὸν μετὰ ἀφροῦ. Βλέποντες δὲ οἱ
τότε ἄνθρωποι, ὅτι τὸ πάθος τοῦτο
συνέβαινεν, ὅταν ἡ σελήνη ἦν πανσέλη-
νος, ἐπίστευον, ὅτι ἡ σελήνη ἐστὶ τοῦ
πάθους τὸ αἴτιον· διὸ σεληνιαζομένους
ὠνόμαζον τοὺς τοιουτοτρόπως πάσχον-
τας. Ἡ σελήνη ὅμως, λέγει ὁ θεῖος
Χρυσόστομος, οὐκ ἔστιν αἰτία τοῦ σε-
λησιασμοῦ, ἀλλ' οἱ Δαίμονες, ἐπι- Χρυσ. εἰς τὴν Συρ.
τηροῦντες τοὺς καιροὺς τῆς σε-
λήνης, ἐν πανσελήνῳ ἐπετίθεντο
τοῖς ἀνθρώποις, ὅπως δείξωσι
τὰ ἔργα τοῦ Θεοῦ αἴτια τῆς αὐ-
τῶν πονηρίας, καὶ οὕτω διαβάλ-
λωσιν οἱ ἄνθρωποι τὸν Δημιουρ-
γόν. Σημείωσαι δὲ, ὅτι πολλὴν ἔχει ὁ-
μοιότητα ὁ σεληνιασμὸς μετὰ τῆς ἀσθε-
νείας, ἥτις ἐπιληψία ὀνομάζεται ὑπὸ
τῶν ἰατρῶν· διότι ὅσα γράφουσιν οἱ δύω
Εὐαγγελισταὶ περὶ τούτου τοῦ σεληνια-
ζομένου, βλέπομεν αὐτὰ ἕως τῆς σήμερον
εἰς τοὺς ἐπιληπτικούς. Καὶ οἱ μὲν ἰα-
τροὶ διϊσχυρίζονται, ὅτι ἡ ἐπιληψία ἐ-
στὶν ἀσθένεια φυσικὴ, καθὼς ὁ πυρετὸς,
καὶ τὰ σπασμώδη, καὶ στερικὰ, καὶ
ἄλλα πάθη· μάλιστα τινὲς ἐξ αὐτῶν Ὅρα τὸ
διὰ τῆς ἰατρικῆς τέχνης ἰάτρευσαν, ὡς περὶ ἐπι-
λέγουσι, τινὰς ἐπιληπτικούς· ἐξ ὧν δὲ ληψ. τοῦ Τισσὸτ
ἱστοροῦσιν οἱ Εὐαγγελισταὶ, φανερόν ἐ- σύγγρ.
στιν, ὅτι Δαιμόνιον ἐβασάνιζε τὸν σε-
ληνιαζόμενον. Ποῖον δὲ ἄρα γε τὸ ἀλη-
θές; Πρῶτον μὲν βλέπομεν, ὅτι οἱ ἐπι-
ληπτικοὶ πάσχουσιν οὐ μόνον, ὅτε ἡ σε-
λήνη ἐστὶ πανσέληνος, ἀλλὰ καὶ ἄλλο-
τε· καὶ τινὲς μὲν σπανίως, τινὲς δὲ
πολλάκις πίπτουσιν· ἄλλοι μόνον καθ'
ἕκαστον μῆνα, ἄλλοι καθ' ἑκάστην ἑβ-
δομάδα, ἄλλοι καθ' ἑκάστην ἡμέραν, τι-
νὲς δὲ καὶ πολλάκις τῆς ἡμέρας· ὅ-
θεν φαίνεται, ὅτι ἄλλο πάθος ἐστὶν ὁ
σεληνιασμὸς, καὶ ἄλλο ἡ ἐπιληψία, κἂν
ἔχωσιν ὁμοιότητα. Δεύτερον δὲ, ὅτι κἂν
ὑποθέσωμεν, ὅτι ὁ σεληνιασμός ἐστιν
ἐπιληψία, καὶ ἑπομένως φυσικὴ ἀσθέ-
νεια, οὐκ ἐκ τούτου ἀκολουθεῖ τὸ, ὅ-
τι ὁ Δαίμων οὐκ ἐβασάνιζε διὰ τῆς
τοιαύτης ἀσθενείας τὸν ἱστορούμενον ὑ-
πὸ τοῦ σημερινοῦ Εὐαγγελίου· διότι ὁ
Διάβολος, κατὰ θείαν συγχώρησιν, γί-

νε-

εεται πρόξενος διαφόρων φυσικῶν ἀῤῥωστημάτων, ἵνα βασανίζῃ τὸν ἄνθρωπον. Ἡ κώφωσις, καὶ ἡ τυφλότης εἰσὶν ἀσθενήματα φυσικά· καὶ ὅμως βλέπομεν, ὅτι ὁ Δαίμων αὐτὰ προεξένησε εἰς τὸν κωφὸν, καὶ τὸν τυφλὸν, οὓς ἐθεράπευ-
Ματ. θ'. 32, 33. σεν ὁ Ἰησοῦς Χριστός· Καὶ ἰδοὺ, λέγει τὸ ἱερὸν Εὐαγγέλιον, προσήνεγκαν αὐτῷ ἄνθρωπον κωφὸν, ἤγουν ἄλαλον, δαιμονιζόμενον· Καὶ ἐκβληθέντος τοῦ Δαιμονίου, ἐλά-
Αὐτ. ιβ'. 22. λησεν ὁ κωφός. καὶ ἀλλαχοῦ· Τότε προσηνέχθη αὐτῷ δαιμονιζόμενος, τυφλὸς καὶ κωφός· καὶ ἐθεράπευσεν αὐτὸν, ὥστε τὸν τυφλὸν καὶ κωφὸν καὶ λαλεῖν καὶ βλέπειν. Καὶ ἡ ἀσθένεια δὲ τοῦ Ἰὼβ, κἂν φυσικὴ ἐφαίνετο, πειρασμὸς ὅμως ἦν, καὶ βάσανος τοῦ Διαβόλου. Φρόνιμοι λοιπὸν καὶ ἐπαινετοί εἰσιν ἐκεῖνοι οἱ Χριστιανοὶ, οἵτινες, ὅταν ἀσθενήσωσι, προσκαλοῦσιν εὐθὺς οὐ μόνον τὸν ἰατρὸν, ἵνα μετέλθῃ τῆς ἰατρικῆς τὰ βότανα, ἀλλὰ καὶ τὸν ἱερέα, ἵνα προσφέρῃ τὰς ὑπὲρ τῆς ὑγείας αὐτῶν εὐχὰς καὶ δεήσεις. Ἀκούσωμεν δὲ νῦν καὶ τὰ λοιπὰ, ὅσα εἶπεν ὁ πατὴρ τοῦ παιδίου.

Ματ. ιζ'. 16. Καὶ προσήνεγκα αὐτὸν τοῖς μαθηταῖς σου, καὶ οὐκ ἠδυνήθησαν αὐτὸν θεραπεῦσαι.

Ἆράγε ἐξ ἀπιστίας ταῦτα εἶπεν ὁ πατὴρ τοῦ σεληνιαζομένου, ἐξευτελίσαι βουλόμενος τοὺς μαθητὰς τοῦ Χριστοῦ, ἢ ἐξ ἁπλότητος καρδίας, καὶ δεῖξαι θέλων, ὅτι, ἐπειδὴ ἐκεῖνοι οὐκ ἠδυνήθησαν, διὰ τοῦτο προσῆλθε πρὸς αὐτὸν, ὡς πάντα δυνάμενον; Αὐτὸς ἦλθε πρὸς τὸν Ἰησοῦν Χριστὸν μετὰ πολλὰ ὀλίγης πίστεως, καὶ πειράζων μᾶλλον ἢ
Μάρκ. θ'. 22. πιστεύων· διότι ἔλεγε τῷ Ἰησοῦ· Εἴ τι δύνασαι, βοήθησον ἡμῖν· ἐὰν δὲ εἶχε πίστιν στερεὰν καὶ θερμὴν, οὐκ ἔλεγε ταῦτα, ἀλλ' ἐπίστευεν, ὅτι πάντα δύναται ὁ Ἰησοῦς, ὡς Θεὸς παντοδύναμος· ἐκ δὲ τῆς ἀποκρίσεως τοῦ Ἰησοῦ πρὸς αὐτὸν, φαίνεται, ὅτι ταῦτα εἶπε, περιφρονῶν τοὺς μαθητὰς αὐτοῦ, καὶ μὴ πιστεύων, ὅτι αὐτοὶ ἠδύναντο θεραπεῦσαι αὐτόν. Ἰδοὺ δὲ τοῦ Κυρίου Ἰησοῦ ἡ ἀπόκρισις.

Ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς, εἶπεν· Ὦ γενεὰ ἄπιστος, καὶ διεστραμμένη, ἕως πότε ἔσομαι μεθ' ὑμῶν, ἕως πότε ἀνέξομαι ὑμῶν; Φέρετέ μοι αὐτὸν ὧδε. Ματ. ιζ'. 17.

Ἀγανακτεῖ ὁ πρᾶος, καὶ ταπεινὸς τῇ καρδίᾳ, καὶ ἐλέγχει ὁ ἀνεξίκακος. Βλέπε δὲ σύνεσιν θεοπρεπῆ, καὶ συγκατάβασιν θείαν. Ἐπειδὴ ὁ γενικὸς ἔλεγχος ἐστὶν ἁπαλώτερος καὶ ὑποφερτότερος τοῦ ἰδικοῦ καὶ προσωπικοῦ, ἀνάγει αὐτὸν εἰς τὸ γένος· διὸ οὐκ εἶπεν, Ὦ ἄπιστε καὶ διεστραμμένε, ἀλλ', ὦ γενεὰ ἄπιστος καὶ διεστραμμένη, ἀναφέρων τὸν ἔλεγχον εἰς τὸ ἐκεῖ πλῆθος, ἢ εἰς ὅλον τὸ τῶν Ἰουδαίων γένος· διὸ καὶ προσέθηκε τὸ, ἕως πότε ἔσομαι μεθ' ὑμῶν; ἕως πότε ἀνέξομαι ὑμῶν; σημαίνων, ὅτι ἤγγικεν ὁ καιρὸς τοῦ πάθους, καὶ τοῦ θανάτου αὐτοῦ, καὶ ὅτι προτιμᾷ τὸ πάθος καὶ τὸν θάνατον τῆς τούτων ἀπιστίας καὶ φαυλότητος. Καὶ ταῦτα μὲν ἦσαν τὰ τῆς δικαιοκρισίας αὐτοῦ· ἐπει- Αὐτ. ια'. 29.
δὴ δὲ κατακαυχᾶται ἔλεος κρίσεως, εὐσπλαγχνισθεὶς τὸν σεληνιαζόμενον, Φέρετέ μοι, λέγει, αὐτὸν ὧδε. Ἰακ. β'. 13.

Καὶ

Ματ. ιζ΄. 18. **Καὶ ἐπετίμησεν αὐτῷ ὁ Ἰη-
σοῦς, καὶ ἐξῆλθεν ἀπ᾽ αὐτοῦ
τὸ Δαιμόνιον· καὶ ἰάθη ὁ παῖς
ἀπὸ τῆς ὥρας ἐκείνης.**

Ὁ Εὐαγγελιστὴς Μάρκος ἐσημείω-
σεν ἐνταῦθα τινὰς περιστάσεις, ὑπὸ τοῦ
Μάρκ. θ΄. 21. ἱεροῦ Ματθαίου σιωπηθείσας. Ἠρώτη-
σεν ὁ Ἰησοῦς, λέγει ὁ Μάρκος, τὸν πα-
τέρα τοῦ σεληνιαζομένου, πόσος καιρός
ἐστιν, ἐξότου ὁ υἱὸς αὐτοῦ πάσχει· ὁ
δὲ ἀπεκρίθη, ὅτι, παιδιόθεν· τοῦτο δὲ
τὸ ἐρώτημα ἐπέβλεπε τὴν ἀπόκρισιν,
διότι ἡ ἀπόκρισις ἐφανέρωσε τὸ πάθος
πολυχρόνιον· τὰ δὲ πολυχρόνια πάθη
δυσθεράπευτά εἰσι κατὰ ἀναλογίαν τῆς
τοῦ χρόνου μακρότητος· πρὸς τούτοις δὲ
λέγει ὁ αὐτὸς Μάρκος, ὅτι ὁ μὲν πατὴρ
Αὐτ. 22. τοῦ ἀσθενοῦς εἶπεν· Ἀλλ᾽ εἴ τι δύνα-
σαι, βοήθησον ἡμῖν, σπλαγχνι-
σθεὶς ἐφ᾽ ἡμᾶς· ταῦτα δὲ ἐμφαίνου-
σιν ἀμφιβολίαν, καὶ ὀλιγοπιστίαν· ὁ δὲ
Αὐτ. 23. Ἰησοῦς ἀπεκρίθη αὐτῷ· Εἰ δύνα-
σαι πιστεῦσαι, πάντα δυνατὰ τῷ
πιστεύοντι· ταῦτα δὲ καταγγέλλουσι
τὴν παντοδυναμίαν τῆς θερμῆς πίστεως·
Πάντα, λέγει, δυνατὰ τῷ πιστεύον-
τι· ὡσὰν εἰ ἔλεγεν, ὅτι ἐὰν ἐπίστευες,
Χρυσ. εἰς τὴν Σειρ. σὺ αὐτὸς τὸν υἱόν σου ἐθεράπευες. Ταῦτα
δὲ ἀκούσας ὁ πατὴρ τοῦ παιδίου, ἔκρα-
Μάρκ. θ΄. 24. ξε μετὰ δακρύων, λέγων· Πιστεύω Κύ-
ριε, βοήθει μου τῇ ἀπιστίᾳ. Ὡς
φαίνεται, τὰ λόγια τοῦ Κυρίου ἔφερον
αὐτὸν εἰς μετάνοιαν τῆς προτέρας αὐτοῦ
ὀλιγοπιστίας, διότι τὰ δάκρυα αὐτοῦ ἀ-
πόδειξίς εἰσι τῆς μετανοίας. Εἶτα διη-
γεῖται ὁ αὐτὸς Εὐαγγελιστής, ὅτι ὅταν
ὁ Ἰησοῦς ἐπετίμησε τὸ πνεῦμα τὸ ἀκά-
θαρτον, τότε ἐκεῖνο ἔκραξε, καὶ πολλὰ
ἐσπάραξε τὸν ἀσθενῆ, ἔπειτα ἐξῆλθεν ἀπ᾽
Μάρκ. θ΄. 26. αὐτοῦ, καὶ ἐγένετο ὁ ἀσθενὴς ὡσεὶ
νεκρὸς, ὥστε πολλοὶ ἔλεγον, ὅτι ἀπέ-
θανεν· ὁ δὲ θεηγόρος Λουκᾶς προστίθη-
σιν, ὅτι τὸ πνεῦμα ἐσπάραξε τὸν ἀσθε-
νῆ καὶ πρὸ τῆς ἐπιτιμήσεως· Ἔτι δὲ, Λουκ. θ΄. 42.
λέγει, προσερχομένου αὐτοῦ, ἔρ-
ρηξεν αὐτὸν τὸ Δαιμόνιον, καὶ
συνετάραξε· τοῦτο δὲ ἐσυγχώρησεν ὁ
Ἰησοῦς, οὐ διὰ φιλοδοξίαν· διότι αὐτὸς,
ὅταν εἶδεν, ὅτι συνηθροίζετο πλῆθος ἀν-
θρώπων, ἐπετίμησε τὸ Δαιμόνιον· Μάρκ. θ΄. 25.
ἀλλὰ δι᾽ αὐτὸν τὸν πατέρα αὐτοῦ, ἵνα, Χρυσ. εἰς τὴν Σειρ.
ὅταν ἴδῃ τὸ Δαιμόνιον ταραττόμενον ἐκ
μόνης τῆς ὄψεως καὶ τῆς ἐπιτιμήσεως
τοῦ Ἰησοῦ, κᾂν διὰ τούτου πιστεύσῃ τὸ
μέλλον γενέσθαι θαῦμα. Τί δὲ εἶπεν
ὁ Ἰησοῦς, ἐπιτιμῶν τὸ Δαιμόνιον, ἀ-
νήγγειλεν ἡμῖν ὁ Μάρκος, εἰπών· Ἐπε- Μάρκ. θ΄. 25.
τίμησε τῷ πνεύματι τῷ ἀκαθάρ-
τῳ, λέγων αὐτῷ· Τὸ πνεῦμα τὸ
ἄλαλον καὶ κωφὸν, ἐγώ σοι ἐπι-
τάσσω· ἔξελθε ἐξ αὐτοῦ, καὶ μη-
κέτι εἰσέλθῃς εἰς αὐτόν· ὁ δὲ Λου-
κᾶς ἱστορεῖ, ὅτι, μετὰ τὴν ἰατρείαν, ἀ- Λουκ. θ΄. 42.
πέδωκεν αὐτὸν τῷ πατρὶ αὐτοῦ·
πρεπόντως δὲ τοῦτο γέγονε, διότι ἐν ὅσῳ
ὁ ἀσθενὴς ἐβασανίζετο, οὐκ ἦν ὑπὸ τὴν
ἐξουσίαν τοῦ πατρὸς αὐτοῦ, ἀλλ᾽ ὑπὸ
τὴν ἐξουσίαν τοῦ βασανίζοντος αὐτὸν
Διαβόλου· ἰατρευθεὶς δὲ, ἀπεδόθη εἰς
τὴν ἐξουσίαν τοῦ πατρὸς αὐτοῦ.

**Τότε προσελθόντες οἱ μαθη-** Ματ. ιζ΄. 19.
**ταὶ τῷ Ἰησοῦ κατ᾽ ἰδίαν, εἶ-
πον· Διατί ἡμεῖς οὐκ ἠδυνή-
θημεν ἐκβαλεῖν αὐτό;**

Δικαίως ἐξηπόρησαν οἱ μαθηταὶ,
μὴ δυνηθέντες διῶξαι τὸ Δαιμόνιον ἐκεῖ-
νο, καὶ ἠρώτησαν τὸ διατί· διότι προ- Αὐτ. ι΄. 1.
λαβὼν ἔδωκεν αὐτοῖς ὁ Ἰησοῦς ἐξου-
σίαν κατὰ πνευμάτων ἀκαθάρ-
των, ὥστε ἐκβάλλειν αὐτὰ, καὶ
θεραπεύειν πᾶσαν νόσον, καὶ πᾶ-
σαν

σαν μαλακίαν· διὸ καὶ ἐδίσταζον περὶ τῆς δοθείσης αὐτοῖς χάριτος τῶν θαυμάτων, μήτι ἀφῃρέθη ἀπ' αὐτῶν. Οὐχ ὅτι λοιπὸν ᾐσχύνοντο, διὰ τοῦτο οὐκ ἠρώτησαν αὐτὸν παῤῥησίᾳ, ἀλλ' ἐπειδὴ τὸ ἐρώτημα ἦν περὶ μεγάλου καὶ ἀποῤῥήτου πράγματος, διὰ τοῦτο ἠρώτησαν αὐτὸν κατὰ μόνας. Ἐντεῦθεν μανθάνομεν, πρῶτον μὲν, ὅτι, καθὼς οἱ λαβόντες τῆς προφητείας τὸ χάρισμα, οὐ πάντοτε, οὐδὲ περὶ πάντων προφητεύουσιν, οὕτω καὶ οἱ λαβόντες τῶν θαυμάτων τὴν χάριν, οὐ πάντοτε, οὐδὲ ἐν πᾶσι θαυματουργοῦσι· δεύτερον δὲ, ὅτι ἐμποδίζεται τοῦ θαύματος ἡ ἐνέργεια, ἢ διὰ τὴν ὀλιγοπιστίαν καὶ τὸν δισταγμὸν τοῦ θαυματουργοῦ, ἢ διὰ τὴν ἀναξιότητα τοῦ ζητοῦντος τὸ θαῦμα. Ταῦτα ἐπιβεβαιοῖ ἡ ἑξῆς τοῦ Κυρίου ἀπόκρισις.

Χρυσ. εἰς τὴν Σειρ.

Ματ. ιζ'. 20. Ὁ δὲ Ἰησοῦς εἶπεν αὐτοῖς· Διὰ τὴν ἀπιστίαν ὑμῶν· ἀμὴν γὰρ λέγω ὑμῖν, ἐὰν ἔχητε πίστιν ὡς κόκκον σινάπεως, ἐρεῖτε τῷ ὄρει τούτῳ· Μετάβηθι ἐντεῦθεν ἐκεῖ, καὶ μεταβήσεται· καὶ οὐδὲν ἀδυνατήσει ὑμῖν.

Οὐκ ἦσαν ἄπιστοι οἱ ἅγιοι Ἀπόστολοι, ἀλλ' ἐδίστασαν τότε, καὶ ἔπεσον εἰς ἀμφιβολίαν περὶ τοῦ, ἐὰν δύνωνται ἐκδιῶξαι τοιοῦτον ἰσχυρὸν Δαιμόνιον· ταύτην δὲ τὴν ὀλιγοπιστίαν, καὶ ψυχρὰν αὐτῶν πίστιν ἐκάλεσεν ὁ Χριστὸς ἀπιστίαν. Διὰ τὴν ὀλιγοπιστίαν δὲ καὶ ὁ πατὴρ τοῦ ἀσθενοῦς ἐγένετο ἀνάξιος τῆς εὐεργεσίας. Φανερὸν δὲ, ὅτι τὴν ψυχρὰν αὐτῶν πίστιν ὠνόμασεν ἀπιστίαν, ἐπειδὴ εὐθὺς προσέθηκε τὰ ἀποτελέσματα τῆς θερμῆς πίστεως· Ἐὰν ἔχητε, εἶπε, πίστιν θερμὴν, ὅσον θερμός ἐστιν ὁ κόκκος τοῦ σινάπεως, τὰ ὄρη ἐκ τόπου εἰς τόπον μεταστήσετε, καὶ οὐδὲν ὑμῖν ἔσεται ἀδύνατον. Καὶ τοιοῦτον μὲν θαῦμα οὐκ ἐγράφη ἐν ταῖς περὶ τῶν ἁγίων Ἀποστόλων ἱστορίαις· ὁ δὲ θεῖος Χρυσόστομος ἐσημείωσε ταῦτα· Λέγονται δὲ μετ' ἐκείνους, ἤγουν τοὺς Ἀποστόλους, ἅγιοί τινες, ἐκείνων κατώτεροι κατὰ τὴν ἀρετὴν καὶ ἀξίαν, ὅτι καὶ ὄρη, ὅταν ἡ χρεία ἐκάλεσε, μετέθηκαν. Οὐκ εἶπε δὲ ὁ Κύριος, βέβαια μεταστήσουσι τὰ ὄρη, ἀλλ' ὅτι, ἐὰν ἀνάγκη προτεθῇ, δυνήσονται καὶ τοῦτο ποιῆσαι· ἐὰν δὲ ὄρη οὐ μετέστησαν, τοῦτο οὐκ ἐποίησαν, οὐχὶ ἐπειδὴ οὐκ ἠδυνήθησαν, ἀλλ' ἐπειδὴ οὐδεμία ἦν χρεία. Πιθανὸν δέ ἐστιν, ὅτι ἐγένετο καὶ τοῦτο τὸ θαῦμα, πλὴν οὐκ ἐγράφη· διότι οὐκ ἐγράφησαν πάντα τὰ γεγονότα θαύματα. Διδάξας δὲ ὁ Κύριος πόσην δύναμιν ἔχει ἡ θερμὴ πίστις, προσέθηκε καὶ τὸ, ποῖά εἰσι τὰ κατὰ τῶν Δαιμόνων ὅπλα, εἰπών·

Χρυσ. εἰς τὴν Σειρ.

Χρυσ. εἰς τὴν Σειρ.

Τοῦτο δὲ τὸ γένος οὐκ ἐκπορεύεται, εἰμὴ ἐν προσευχῇ καὶ νηστείᾳ. Ματ. ιζ'. 21.

Τοῦτο τὸ γένος, ποῖον γένος; τὸ γένος τῶν Δαιμόνων. Σημείωσαι δὲ, ὅτι οὐκ εἶπε τοῦτο τὸ γένος ἐκπορεύεται ἐν προσευχῇ καὶ νηστείᾳ, ἀλλ' εἶπεν, Οὐκ ἐκπορεύεται, εἰμὴ ἐν προσευχῇ καὶ νηστείᾳ, ἵνα φανερώσῃ, ὅτι ἐκ πασῶν τῶν ἄλλων ἀρετῶν μόνη ἡ προσευχὴ καὶ ἡ νηστεία εἰσὶ τὰ ὅπλα τοῦ πιστοῦ κατὰ τῶν Δαιμόνων· πρὸς θεραπείαν δὲ τῶν δαιμονιζομένων ἀνάγκη ἐστὶν, ἵνα νηστεύῃ, καὶ προσεύχηται, οὐ μόνον ὁ ἰατρὸς, ἀλλὰ καὶ ὁ πάσχων. Ὁ Ἰησοῦς Χριστὸς οὖν διὰ μὲν

Χρυσ. εἰς τὴν Σειρ.

τοῦ

*τοῦ ἐλέγχου ἐθεράπευσε τὴν ἀπιστίαν τοῦ πατρὸς τοῦ παιδίου, διὰ δὲ τῆς ἐκθέσεως τῶν ἀποτελεσμάτων τῆς θερμῆς πίστεως, τὴν ὀλιγοπιστίαν τῶν μαθητῶν, διὰ δὲ τῆς ἐπιτιμήσεως, τὴν δαιμονικὴν ἀσθένειαν τοῦ σεληνιαζομένου, διδάξας καὶ τὸν τρόπον, δἰ οὗ οἱ πιστοὶ δύνανται διώκειν τὰ Δαιμόνια. Ἔπειτα προεφήτευσε καὶ τὰ περὶ τοῦ πάθους, καὶ τῆς ἀναστάσεως αὐτοῦ.*

Ματ. ιζ'. 22. Ἀναστρεφομένων δὲ αὐτῶν ἐν
τῇ Γαλιλαίᾳ, εἶπεν αὐτοῖς ὁ
23. Ἰησοῦς· Μέλλει ὁ Υἱὸς τοῦ
ἀνθρώπου παραδίδοσθαι εἰς
χεῖρας ἀνθρώπων. Καὶ ἀπο-
κτενοῦσιν αὐτὸν, καὶ τῇ τρί-
τῃ ἡμέρᾳ ἐγερθήσεται.

*Τελέσας ὁ Ἰησοῦς τὰ προειρημένα θαυμαστὰ ἔργα, ἐξελθὼν τοῦ τόπου ἐκείνου, ὡς λέγει ὁ Εὐαγγελιστὴς Μάρκος, παρεπορεύετο μετὰ τῶν μαθητῶν αὐτοῦ διὰ τῆς Γαλιλαίας. Ἐκεῖ δὲ εἰς* Μάρκ. θ'. 30.
*τὴν Γαλιλαίαν διατρίβων, προλέγει τοῖς μαθηταῖς αὐτοῦ τὴν προδοσίαν τοῦ Ἰούδα, τὸ πάθος, καὶ τὸν θάνατον αὐτοῦ, ἵνα μὴ τότε τὸ ἀπροσδόκητον τοῦ πράγματος ταράξῃ αὐτούς. Ἐπειδὴ δὲ ἡ τοιαύτη πρόῤῥησις πρεπόντως αὐτοὺς κατελύπησε, προκαταγγέλλει καὶ τὴν τριήμερον ἀνάστασιν αὐτοῦ, ἵνα τὴν θλίψιν τῆς καρδίας αὐτῶν παραμυθήσῃ.*

# ΟΜΙΛΙΑ

## ΜΕΤΑ ΤΟ ΚΑΤΑ

# ΜΑΤΘΑΙΟΝ

## ΕΥΑΓΓΕΛΙΟΝ ΤΗΣ Ι'. ΚΥΡΙΑΚΗΣ.

*Διατί ἄραγε ὁ εὐαγγελιστὴς Ματθαῖος ἐσιώπησε μὲν πάντα τὰ πάθη, διὰ τῶν ὁποίων τὸ ἀκάθαρτον πνεῦμα ἐβασάνιζεν ἐλεεινῶς τὸν σεληνιαζόμενον, μετὰ ἀκριβείας δὲ ἐσημείωσεν, ὅτι πολλάκις κατεκρήμνιζεν αὐτὸν εἰς τὸ πῦρ, καὶ πολλάκις εἰς τὸ ὕδωρ; Νόημα ἔχει τοῦ Εὐαγγελιστοῦ ἡ σημείωσις πολλὰ ἀξιόλογον. Δύω εἰσὶν αἱ πηγαὶ πάντων τῶν ἁμαρτημάτων, ὁ θυμὸς, καὶ ἡ ἐπιθυμία. Ὁποῖον ἁμάρτημα καὶ ἂν στοχασθῇς, αὐτὸ ἢ ἐκ τοῦ θυμοῦ ἀναβλύζει, ἢ ἐκ τῆς ἐπιθυμίας. Φιλονεικίαι, ἀνυποταξίαι, ἔχθραι, δυναστεῖαι, ἀσπλαγχνίαι, προδοσίαι, ὕβρεις, συκοφαντίαι, πληγαὶ, τραύματα, πόλεμοι, φόνοι, βλασφημίαι, καὶ μύρια ἄλλα φοβερὰ ἁμαρτήματα τὸν θυμὸν ἔχουσι πατέρα. Ἁρπαγαὶ, ἀδικίαι, ἐπιβουλαὶ, φθόνοι, πορνεῖαι, μοιχεῖαι, μέθαι, γαστριμαργίαι, καὶ ἄλλα πάμπολλα τοῦ σκότους ἔργα, τῆς κακῆς ἐπιθυμίας εἰσὶ βλαστήματα. Ὁποῖον δὲ ὑποδουλώσῃ ὁ Διάβολος, ἐκεῖνον πολλάκις μὲν βάλλει εἰς τὸ πῦρ, ἤγουν ῥίπτει εἰς τὰ φλογερὰ ἁμαρτήματα τοῦ θυμοῦ, πολλάκις δὲ εἰς τὸ ὕδωρ, τουτέστιν εἰς τὰ παραπτώματα τῆς κακῆς ἐπιθυμίας. Διὰ τοῦτον οὖν τὸν λόγον ὁ εὐαγγελιστὴς Ματθαῖος μετὰ τοσαύτης ἀκριβείας ἐσημείωσεν, ὅτι τὸ πνεῦμα τὸ ἀκάθαρτον πολλάκις ἔῤῥιπτε τὸν δαιμονιζόμενον*

νον εἰς τὸ πῦρ, καὶ πολλάκις εἰς τὸ ὕδωρ. Τοιοῦτόν τι καὶ ὁ Προφητάναξ Δαβὶδ ἐσήμαινεν, ὅταν, εὐχόμενος, ἔλεγεν·
Ψαλ. ρκ΄. 6.
Ἡμέρας ὁ ἥλιος οὐ συγκαύσει σε, οὐδὲ ἡ σελήνη τὴν νύκτα, διὰ τῆς συγκαύσεως τοῦ ἡλίου ὑπογράφων τὴν φλόγα τοῦ θυμοῦ, καὶ διὰ τῆς νυκτερινῆς σελήνης, τὰς σαρκικὰς ἡδυπαθείας. Μετὰ τὸ πάθος καὶ τὸν σταυρὸν τοῦ Σωτῆρος Ἰησοῦ Χριστοῦ ἐξενευρίσθη ἀ-
Ἰωάν. ιβ΄. 31.
ληθῶς τῶν Δαιμόνων ἡ δύναμις· Νῦν κρίσις ἐστὶ τοῦ κόσμου τούτου, ἔλεγεν ὁ Δεσπότης τῶν ἁπάντων, νῦν ὁ ἄρχων τοῦ κόσμου τούτου ἐκβληθήσεται ἔξω. Ἀληθῶς δὲ ἐξεβλήθη, διότι, μετὰ τὴν ἔνσαρκον τοῦ
Ὅρα Πλούταρχ. περὶ ἐκλελοιπ. χρηστηρ.
Χριστοῦ παρουσίαν, ἐγένοντο ἄλαλα τὰ εἴδωλα, τὰ ὁποῖα ἐλάλουν, καὶ ἐμάντευον τὰ μέλλοντα, ἔκλεισαν τὸ στόμα αὐτῶν τὰ χρηστήρια, καὶ οἱ ψευδοχρησμολόγοι, σχεδὸν ἐσβύσθη ἡ πολυθεΐα, ἢ ὀρθότερον εἰπεῖν, ἡ τῶν Δαιμόνων λατρεία, ὀλιγώστευσαν οἱ δαιμονιζόμενοι, οὐδεμίαν ἐξουσίαν ἔχει ὁ Διάβολος εἰς τοὺς εὐσεβῶς καὶ δικαίως τελευτήσαντας· ἠνοίχθη διὰ τοὺς εὐσεβεῖς καὶ φιλαρέτους ἡ πύλη τοῦ παραδείσου, ἣν ἡ ἀπάτη αὐτοῦ ἔκλεισε, καὶ ἐκλείσθη τὸ στόμα τοῦ ᾅδου, ὅπερ αὐτὸς ἤνοιξεν· ἔμεινεν ὅμως εἰς αὐτὸν ἡ μόνη ἐξουσία τοῦ πειράζειν. Ὁ μὲν μακάριος Πέτρος
Α΄. Πέτ. ε΄. 8.
λέγει, ὅτι ὁ Δαίμων περιπατεῖ ὡς λέων ὠρυόμενος ζητῶν τίνα καταπίει· ὁ δὲ θεηγόρος Παῦλος καταγγέλλει ἡμῖν, ὅτι οὐ παλαίομεν μετὰ ἀν-
Ἐφεσ. ϛ΄. 12.
θρώπων, αἷμα καὶ σάρκα ἐχόντων, καθὼς καὶ ἡμεῖς, ἀλλὰ πρὸς τὰς ἀρχάς, πρὸς τὰς ἐξουσίας, πρὸς τοὺς κοσμοκράτορας τοῦ σκότους τοῦ αἰῶνος τούτου, πρὸς τὰ πνευματικὰ τῆς πονηρίας ἐν τοῖς ἐπου-
Αὐτόθι. 11.
ρανίοις· ὁ αὐτὸς δὲ Ἀπόστολος διδάσκει ἡμᾶς, ὅτι ὁ Διάβολος ἔχει μεθο-
Α΄. Τιμ. γ΄. 7. Β΄. Τιμ. β΄. 26.
δείας, ἔχει παγίδας, ἔχει βέλη πεπυρωμένα, μετασχηματίζεται καὶ εἰς Ἄγγελον φωτός.

Ἐφεσ. ϛ΄. 16. Β΄. Κορ. ια΄. 14.
Αὐτός ἐστι πνεῦμα· ἐπειδὴ δὲ καὶ τοῦ ἀνθρώπου ἡ ψυχὴ πνεῦμά ἐστι, πολλὰ εὔκολα συγκοινωνεῖ εἰς αὐτὴν τὰς πονηρὰς αὐτοῦ ἐννοίας, καὶ διεγείρει ἐν αὐτῇ τοὺς κακοὺς διαλογισμούς. Προτοῦ νὰ ἁμαρτήσῃς, περιγράφει σοι ἐλαφρὸν τὸ ἁμάρτημα καὶ μικρότατον, ἵνα εὐκόλως πέσῃς· ἀφ᾽ οὗ δὲ ἁμαρτήσῃς, μεγάλην καὶ βαρυτάτην ζωγραφεῖ τὴν ἁμαρτίαν, ἵνα μὴ μετανοήσῃς, ἀλλ᾽ ἀπελπισθῇς· τοῦτό ἐστι μία τῶν μεθοδειῶν αὐτοῦ. Συναντᾷς ἐκ συνεργείας αὐτοῦ ξένον πρᾶγμα· αὐτὸς δὲ εὔκολον ποιεῖ τὴν ὁδὸν καὶ τοὺς τρόπους, ἵνα αὐτὸ ἁρπάξῃς, καὶ σφετερισθῇς· τοῦτό ἐστι μία τῶν παγίδων, ἣν σοι προητοίμασεν. Εἰς τοὺς κινδύνους σου ἁρπάζει τὴν ἐλπίδα σου, ἵνα μείνῃς ἀπηλπισμένος· εἰς τὰς ἀσθενείας κλέπτει τὴν ὑπομονήν σου, ἵνα γογγύσῃς κατὰ τοῦ Θεοῦ· εἰς τὰς δυστυχίας σου ὀξύνει τὴν λύπην σου, ἵνα σε ἀποκτείνῃ· εἰς τὸν θυμόν σου ἀνάπτει τὴν ὀργήν σου, ἵνα ὑβρίσῃς, δείρῃς, πληγώσῃς, φονεύσῃς, βλασφημήσῃς· τῶν ἐπιθυμιῶν σου λύει τὸν χαλινόν, καὶ ἀναφλογίζει τὴν λύσσαν, ἵνα καταστήσῃ σε ὄνειδος ἀνθρώπων, καὶ ἐξουθένημα λαοῦ, φθείρῃ δὲ τὸ σῶμά σου, καὶ κολάσῃ αἰωνίως τὴν ψυχήν σου· ταῦτά εἰσι τὰ πεπυρωμένα αὐτοῦ βέλη. Σχηματίζει πολλάκις τὴν ἀνομίαν ὡς ἀρετήν· ὅθεν ὑβρίζεις, καὶ δέρεις, τάχα ἵνα διορθώσῃς τὸν πταίστην· ἀδικεῖς, ὅταν κάθησαι κριτής, νομίζων, ὅτι ὑπερασπίζεσαι τὸν πτωχόν· κατατρέχεις τὸν ἀδελφόν σου, τάχα διὰ ζῆλον Θεοῦ· τοῦτο δέ ἐστιν ὁ μετασχηματισμὸς αὐτοῦ εἰς Ἄγγελον φωτός.

Ἀλλὰ τίς δύναται, ἀδελφοί, νὰ περιγράψῃ λεπτομερῶς πάντα τὰ ἔνεδρα,

τὰς

τὰς ἐπιβουλὰς, τοὺς δόλους, καὶ τὴν ἀπάτην τοῦ Σατανᾶ; νύκτωρ καὶ μεθ' ἡμέραν πειράζει, καὶ πλέκει παγίδας· πνεῦμα δὲ ὂν, προφθάνει ταχέως εἰς πάντα καιρὸν καὶ τόπον, καὶ ἐπιβουλέυει δικαίους, καὶ ἁμαρτωλούς· εἰσέρχεται εἰς τὰς οἰκίας, καὶ φυτεύει σκάνδαλα ἀναμέσον ἀνδρὸς καὶ γυναικὸς, ἀναμέσον πατρὸς καὶ υἱοῦ, ἀναμέσον μητρὸς καὶ θυγατρὸς, σκανδαλίζει καὶ τοὺς ἠγαπημένους ἀδελφούς· τρέχει εἰς τὰς ἀγορὰς, καὶ σπείρει ἀναμέσον τῶν πωλούντων καὶ ἀγοραζόντων φιλονεικίας, δόλους, ψεῦδος, ὅρκους· ἐμβαίνει εἰς τὰ Μοναστήρια, καὶ καταταράττει τῶν μοναζόντων τὴν ἡσυχίαν· προχωρεῖ καὶ εἰς τὸ θυσιαστήριον, καὶ ἐχθρεύει τοὺς ἱερωμένους. Τὴν νύκτα, ὅταν κοιμᾶσαι, σὲ πειράζει, τὸ πρωὶ, ὅταν ἐγείρεσαι, ῥίπτει κατὰ σοῦ τὰ ταχύτατα αὐτοῦ βέλη, τὴν ὥραν τῆς μεσημβρίας ἔχει ἑτοίμους παγίδας ἀποκρύφους, καὶ σκάνδαλα πολυποίκιλα· ἀκαταπαύστως ἐνε-
Ψαλ. ϑ'. δρεύει ἐν ἀποκρύφῳ ὡς λέων ἐν
31. τῇ μάνδρᾳ αὐτοῦ, ἵνα ἑλκύσῃ, καὶ ἁρπάσῃ σε.

Διατί δὲ ἄραγε συγχωρεῖ ὁ Θεὸς τῷ Σατανᾷ, ἵνα ἐγείρῃ τόσους πειρασμοὺς κατὰ τοῦ δυστυχοῦς ἀνθρώπου; Τὸ διατί ἐστὶ φανερόν· ἵνα ἐκεῖνος, πολεμῶν, νικᾶται καὶ καταισχύνηται, ἡμεῖς δὲ, πολεμούμενοι, νικῶμεν, καὶ στεφανώμεθα. Ἵνα δὲ μὴ φοβηθῇς τοὺς πολέμους αὐτοῦ, ἄκουσον πῶς θαῤῥύνει σε ὁ Θεὸς διὰ τῆς φωνῆς τοῦ Προφήτου αὐ-
Αὐτ. ϟ'. τοῦ· Οὐ φοβηθήσῃ, λέγει, ἀπὸ φό-
5, 6. βου νυκτερινοῦ, ἀπὸ βέλους πετομένου ἡμέρας, ἀπὸ πράγματος ἐν σκότει διαπορευομένου, ἀπὸ συμπτώματος Δαιμονίου μεσημβρινοῦ· ἔρχονται, ναὶ, χιλιάδες ἐξ ἀριστερῶν σου, καὶ μυριάδες ἐκ δεξιῶν σου, ἀλλὰ πίπτουσι, καὶ οὐ δύνανται βλά-
ψαι σε· Πεσεῖται ἐκ τοῦ κλίτους Ψαλ. ϟ'.
σου χιλιὰς καὶ μυριὰς ἐκ δεξιῶν 7.
σου, πρὸς σὲ δὲ οὐκ ἐγγιεῖ· ὁ Θεὸς στέλλει πρὸς σὲ τοὺς ἁγίους Ἀγγέλους, ἵνα διαφυλάξωσί σε ἐν πάσαις ταῖς ὁ-
δοῖς σου· Ὅτι τοῖς Ἀγγέλοις αὐ- Αὐτ. 11.
τοῦ ἐντελεῖται περὶ σοῦ τοῦ διαφυλάξαι σε ἐν πάσαις ταῖς ὁδοῖς σου.

Φοβεῖσαι, ὦ ἄνθρωπε, τοὺς πειρασμοὺς τοῦ Δαίμονος, καὶ ἀπορεῖς περὶ τοῦ, διατί συγχωρεῖ αὐτῷ ὁ Θεὸς πειράζειν; Ἐὰν μελετήσῃς τὴν περὶ τοῦ Ἰὼβ ἱστορίαν, φεύγει ὁ φόβος σου, καὶ λύεται ἡ ἀπορία σου. Ἐκεῖ βλέπεις, ὅτι ὁ Διάβολος ἐζήτησε καθ' αὐτὸ ἄδειαν παρὰ τοῦ Θεοῦ, ἵνα τὸν Ἰὼβ πειράζῃ· λαβὼν δὲ αὐτὴν, ἔστησε κατ' αὐτοῦ πάσας τὰς παγίδας αὐτοῦ, μετῆλθε πάσας τὰς μεθοδείας, ἔῤῥιψε πάντα τὰ πεπυρωμένα βέλη, ἐξεκένωσε πάσας τὰς δυνάμεις αὐτοῦ. Κατέφθειρε πάντα τὰ ὑπάρχοντα αὐτοῦ· ὅθεν ὁ πλουσιώτατος, μετὰ μίαν στιγμὴν, ἐγένετο πτωχότατος. Ἐθανάτωσε πάντας τοὺς υἱοὺς καὶ τὰς θυγατέρας αὐτοῦ· ὅθεν ὁ πολύτεκνος ἀπὸ μιᾶς στιγμῆς εἰς ἄλλην ἐγένετο ἄτεκνος. Ἐπλήγωσεν ὅλον τὸ σῶμα αὐτοῦ διὰ τραυμάτων ὀδυνηρῶν· ὅθεν ὁ πρότερον ὑγιέστατος, ἐκοίτετο εἰς τὴν γῆν κατατετραυματισμένος, καὶ ἐσκωληκιασμένος, καὶ δι' ὀστράκου ξέων τὰς πληγὰς αὐτοῦ. Ἀπέστειλε τοὺς φίλους αὐτοῦ, ἵνα, ἀντὶ παρηγορίας, πικρίαν, καὶ ἀντὶ βοηθείας, ὀνειδισμοὺς αὐτῷ προσφέρωσι. Τελευταῖον ἔπεισε καὶ τὴν γυναῖκα αὐτοῦ, ἵνα διὰ τῶν ἐλεεινῶν αὐτῆς λόγων ἀπελπίσῃ αὐτὸν καὶ προτρέ-
ψῃ εἰς ἐκφώνησιν βλασφημίας· Μέχρι Ἰώβ. β'.
τίνος καρτερήσῃς; ἔλεγε πρὸς αὐτόν· 9.
ἀλλ' εἰπόν τι ῥῆμα πρὸς Κύριον, καὶ τελεύτα. Τί δὲ διὰ τούτων κατώρθωσεν ὁ Διάβολος; ἐτελείωσεν ἄρα-

γε

γε τὸν σκοπὸν αὐτοῦ; ἡμάρτηκεν ἄρά
Ἰώβ. β'. 10. γε ὁ Ἰώβ; Οὐχί· Ἐν πᾶσι τού-
τοις τοῖς συμβεβηκόσιν αὐτῷ,
οὐχ' ἥμαρτεν Ἰὼβ οὐδὲ ἐν τοῖς χεί-
λεσιν αὐτοῦ ἐναντίον τοῦ Θεοῦ.
Τί οὖν κατώρθωσεν; Αὐτὸς μὲν ἐφανέ-
ρωσε τὴν ἀδυναμίαν αὐτοῦ, καὶ ἔμεινε
κατησχυμένος, ὁ δὲ Ἰὼβ ἔλαβε παρὰ
Αὐτ. μβ'. 10. Κυρίου διπλᾶ τῶν ὅσων εἶχε πρότερον,
καὶ ἐδοξάσθη ἀπ' ἄκρου γῆς ἕως ἄκρου·
ἀπὸ τότε δὲ καὶ ἕως τοῦ νῦν, καὶ εἰς
τὸν αἰῶνα μεγαλύνεται, καὶ ἐπαινεῖται
ἡ ὑπομονὴ αὐτοῦ, καὶ ἡ ἀνδρεία, καὶ ἡ
εἰς τὸν Θεὸν ὑπακοὴ καὶ εὐλάβεια.
Πρὸς τούτοις δὲ καὶ τοῦτο ἄξιον σημειώ-
σεως ἐστίν· ἔδωκε μὲν ἄδειαν ὁ Θεὸς
τῷ Διαβόλῳ, ἵνα βλάψῃ καὶ τὰ ὑπάρ-
χοντα τοῦ Ἰὼβ, καὶ τὰ τέκνα αὐτοῦ,
καὶ τὸ ἴδιον αὐτοῦ σῶμα, πλὴν οὐκ ἐ-
συγχώρησεν αὐτῷ, ἵνα τὴν ψυχὴν αὐτοῦ
Αὐτ. β'. 6. φθείρῃ· Εἶπε δὲ ὁ Κύριος τῷ Δια-
βόλῳ· Ἰδοὺ παραδίδωμί σοι αὐ-
τὸν, μόνον τὴν ψυχὴν αὐτοῦ δια-
φύλαξον.

Ἐὰν λοιπὸν οὐδὲ ὁ Σατανᾶς ἔχῃ
ἐξουσίαν, οὐδὲ ὁ Θεὸς δίδωσιν αὐτῷ ἄ-
δειαν πρὸς τὸ βλάψαι τὴν ψυχὴν ἡμῶν·
καὶ ἐὰν τὰ ὑπ' αὐτοῦ φθειρόμενα ἐπί-
γεια ἀγαθὰ διπλασιάζωνται, καὶ οἱ
πόλεμοι αὐτοῦ προξενῶσι στέφανον ἀ-
μάραντον, καὶ δόξαν οἰκουμενικὴν καὶ
αἰώνιαν, τί φοβούμεθα αὐτόν; ὅταν ἡ-
μεῖς ἔχωμεν πίστιν θερμὴν, νηπίων βέ-
λη εἰσὶ πάντα τὰ μηχανουργήματα αὐ-
τοῦ, καὶ δῶρα γίνονται ψυχωφελῆ καὶ
σωτήρια.

Εἶτα, ἔχοντες ὅπλα θεοκατασκεύα-
στα, καὶ θεοπαράδοτα, διὰ τῶν ὁποίων,
ἐὰν θέλωμεν, διώκομεν αὐτὸν μακρὰν
ἀφ' ἡμῶν, τί φοβούμεθα; Δύω ὅπλα ἔ-
χει αὐτὸς καθ' ἡμῶν, δύω ὅπλα ἔχομεν
ἡμεῖς κατ' αὐτοῦ· αὐτὸς πειράζει διὰ
τῶν ἐπιθυμιῶν τῆς σαρκὸς, καὶ διὰ τῆς
ματαιότητος τοῦ κόσμου, ἡμεῖς δὲ διὰ
τῆς νηστείας, καὶ διὰ τῆς προσευχῆς
ἐκβάλλομεν αὐτὸν ἔξω· οὐδὲ αὐτὸς ἄλ-
λα ὅπλα ἔχει, οὐδὲ ἡμεῖς· Τοῦτο τὸ
γένος οὐκ ἐκπορεύεται, εἰμὴ ἐν
προσευχῇ, καὶ νηστείᾳ.

Τίς ἀμφιβάλλει, ὅτι ἡ νηστεία μα-
ραίνει καὶ καταδαμάζει τὴν ἐπιθυμίαν
τῆς σαρκός; ἔρχεται αὐτὸς, ἐγείρει τὴν
κακὴν ἐπιθυμίαν, καὶ ζητεῖ νὰ κατα-
ποντίσῃ τὴν ψυχήν σου εἰς τὸν βόρβο-
ρον τῶν ἁμαρτημάτων τῆς σαρκός· σὺ
μὴ περιμείνῃς νὰ νηστεύσῃς τῇ τετάρτῃ,
ἢ τῇ παρασκευῇ, ἀλλὰ νήστευσον τότε
εὐθὺς ὅλην τὴν ἡμέραν· τὸ ἑσπέρας φά-
γε μόνον ἄρτον, καὶ πίε ὕδωρ· αὐτὸς
βλέπει τότε τὴν ἀδυναμίαν αὐτοῦ, καὶ
φεύγει· οὐκ ἐπιτείνει τὸν πειρασμὸν, ἵ-
να μὴ παρατείνῃς τὴν νηστείαν, καὶ πολ-
λαπλασιάζῃς τοὺς στεφάνους σου. Ἦλ-
θεν αὐτὸς, ἔστησεν ἐνώπιόν σου τὰς πα-
γίδας τῆς ματαιότητος τοῦ κόσμου, τρέ-
ξον εὐθὺς εἰς τὴν μετὰ πίστεως καὶ
εὐλαβείας προσευχὴν, ζήτησον τὴν χάριν
τοῦ Θεοῦ, εἰπὲ μετὰ τοῦ Δαβίδ· Ἀπό- Ψαλ. ριή. 37.
στρεψον τοὺς ὀφθαλμούς μου τοῦ
μὴ ἰδεῖν ματαιότητα· οὐδενὸς, τοιου-
τοτρόπως καὶ ὑπὲρ τοιούτων σωτηριω-
δῶν πραγμάτων προσευχομένου, μένει
ἀνενέργητος ἡ προσευχὴ καὶ ἄπρακτος·
διότι αὐτή ἐστιν ἡ προσευχὴ, περὶ ἧς ὁ
Θεὸς εἶπε· Καὶ πάντα ὅσα ἂν αἰτή- Ματ. κά. 22.
σησθε ἐν τῇ προσευχῇ πιστεύον-
τες, λήψεσθε· ὁ Θεὸς οὖν, ἐπακούσας
τῆς δεήσεώς σου, ἀποστέλλει σοι τὴν ἐ-
πουράνιον αὐτοῦ χάριν, ἥτις ἀποστρέφει
τοὺς ὀφθαλμούς σου ἀπὸ τῆς κοσμικῆς
ματαιότητος· καὶ οὕτως ἐκεῖνος μὲν φεύ-
γει κατησχυμμένος, σὺ δὲ μένεις νικητὴς
καὶ τροπαιοῦχος, ἐν Χριστῷ Ἰησοῦ τῷ
Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα, καὶ τὸ κράτος
εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

# ΕΡΜΗΝΕΙΑ

### ΕΙΣ ΤΟ ΚΑΤΑ

# ΜΑΤΘΑΙΟΝ

## ΕΥΑΓΓΕΛΙΟΝ ΤΗΣ ΙΑ'. ΚΥΡΙΑΚΗΣ.

Ὅταν ὁ ἐπιτήδειος ζωγράφος, πρὸς κατασκευὴν τῆς εἰκόνος, σχεδιάσῃ κατὰ τὴν πρέπουσαν συμμετρίαν πάντα τὰ μέλη καὶ μέρη τοῦ εἰκονιζομένου, καὶ ἐφαρμόσῃ λαμπρὰ καὶ κατάλληλα χρώματα, καὶ κατὰ μίμησιν τῆς φύσεως ἐξιχνιάσῃ τὸν ἁρμόδιον τῶν προσώπων χαρακτῆρα, τότε βλέπεις καθαρὰ εἰς τὴν εἰκόνα αὐτὰ τὰ εἰκονιζόμενα πρωτότυπα, καὶ διακρίνεις ἐντελῶς τοὺς τούτων χαρακτῆρας. Κατὰ τὸν ὅμοιον τρόπον, ὅταν ὁ σοφὸς συγγραφεὺς, εἰς τὴν σύνθεσιν τοῦ συγγράμματος αὐτοῦ, στήσῃ, εἰς πάντα τὰ κόμματα καὶ τὰς περιόδους, τὰ κατὰ τοὺς κανόνας μέτρα, καὶ συνάψῃ τὰ προσφυῆ καὶ ἁρμόδια ὀνόματα, καὶ ὑποτυπώσῃ πάντα μετὰ τῆς καθηκούσης φυσικῆς ἁπλότητος, καὶ χαρακτηρίσῃ ὡς πρέπει τὰ πρόσωπα, περὶ ὧν λαλεῖ, τότε, ἀναγινώσκων τὸν οὕτω συντεθέντα λόγον, φαίνεταί σοι οὐχ ὅτι ἀναγινώσκεις, ἀλλ' ὅτι βλέπεις αὐτὰ τὰ πράγματα, περὶ ὧν ὁ λόγος. Τοῦτο δὲ ἐποίησεν ὁ ἅγιος καὶ ἱερὸς συγγραφεὺς, λέγω ὁ Εὐαγγελιστὴς Ματθαῖος, γράψας τὰ σήμερον ἀναγνωσθέντα παραβολικὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ λόγια· τοιουτοτρόπως δηλαδὴ συνέγραψε ταύτην τὴν Παραβολὴν, ὥστε φαίνεταί σοι, ὅτι οὐκ ἀναγινώσκεις, ἀλλὰ βλέπεις ἐν αὐτῇ τὴν τοῦ Θεοῦ πρὸς τὸν ἄνθρωπον εὐσπλαγχνίαν, καὶ δικαιοσύνην, καὶ τὴν τοῦ ἀνθρώπου ἀσπλαγχνίαν καὶ ἀδικίαν πρὸς τὸν ἄνθρωπον. Ἐπειδὴ δὲ τοῦ Εὐαγγελίου τὰ λόγια ὅσον ἀναγινώσκονται εὐλαβῶς, καὶ εὐσεβῶς ἐξηγοῦνται, τοσοῦτον περισσότερον καρποφοροῦσιν ἐν τῇ ψυχῇ ἡμῶν, διὰ τοῦτο ἡμεῖς μὲν, τὴν ἐξ ὕψους βοήθειαν ἐπικαλεσάμενοι, σπουδάσομεν διερμηνεῦσαι τὴν εὐαγγελικὴν Παραβολήν· ὑμεῖς δὲ, εὐλογημένοι Χριστιανοὶ, ἀνοίξατε τῆς καρδίας ὑμῶν τὰς θύρας εἰς ὑποδοχὴν τῆς ἐξηγήσεως τῶν τοῦ Θεοῦ λόγων.

Εἶπεν ὁ Κύριος τὴν Παραβο- Ματ. ιη'. 23.
λὴν ταύτην· Ὡμοιώθη ἡ βασιλεία τῶν οὐρανῶν ἀνθρώπῳ βασιλεῖ, ὃς ἠθέλησε συνᾶραι λόγον μετὰ τῶν δούλων αὐτοῦ.

Ὅταν, ἀντὶ τῶν πραγμάτων, περὶ ὧν βουλόμεθα λαλῆσαι, παραλαμβάνωμεν ἄλλα πράγματα ὅμοια, τότε ὁ λόγος ὀνομάζεται Παραβολὴ, ἢ λόγος παραβολικός· διὸ ἡ Παραβολὴ ἐστὶν ὁμοίωσις, ἢ εἰκών. Παραβολικῶς δὲ ἐλάλησεν ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς, κατὰ τὰ προφητευθέντα περὶ αὐτοῦ·
Ἀνοίξω ἐν Παραβολαῖς τὸ στό- Ψαλ. οζ'. 2.
μα μου, προεφήτευσε περὶ αὐτοῦ ὁ ἅγιος προφήτης Δαβίδ. Ἰδοὺ οὖν, ἀνοίξας τὸ στόμα αὐτοῦ, ἐλάλησε ταύτην τὴν Παραβολήν· Ὡμοιώθη, εἶπεν, ὅσα πράτ-

τει ὁ Θεὸς, ὅταν ἀνακρίνῃ τοὺς ἀξίους, καὶ ἀναξίους τῆς βασιλείας τῶν οὐρανῶν, μετὰ τῶν γενομένων ὑπό τινος Βασιλέως, ὅταν ἐξερευνᾷ τὸ χρέος ἑνὸς ἑκάστου τῶν δούλων αὐτοῦ. Ταῦτα δὲ εἰπὼν, περιγράφει ἔπειτα τί ἐποίησεν ὁ Βασιλεὺς ἐκεῖνος, ὅταν ἀνελογίσθη τὸ χρέος τῶν δούλων αὐτοῦ.

Ματ. ιή. 24. Ἀρξαμένου δὲ αὐτοῦ συναίρειν, προσηνέχθη αὐτῷ εἷς ὀφειλέτης μυρίων ταλάντων.

Ὅταν οὖν ἤρξατο τὸν ἀναλογισμὸν τοῦ χρέους, προσέφερον, καὶ παρέστησαν ἐνώπιον αὐτοῦ ἕνα δοῦλον, ὅστις ἐχρεώστει αὐτῷ μυρία τάλαντα. Τὸ παλαιὸν ἑβραϊκὸν τάλαντον συγκροτεῖ σχεδὸν τετρακοσίους ὀγδοήκοντα καὶ ἓξ τῶν σημερινῶν ἐνετικῶν χρυσῶν νομισμάτων· ὅθεν τὰ μυρία τάλαντα συμποσοῦσι σχεδὸν τέσσαρα μιλιόνια καὶ ὀκτακοσίας ἑξήκοντα χιλιάδας τῶν εἰρημένων χρυσῶν· ἡ ποσότης αὕτη ἐστὶ μεγάλη· ἐπίτηδες δὲ τοσοῦτον ἐμεγαλύνθη. Ἀλλὰ ποίαν ὁμοιότητα ἔχουσι ταῦτα μετὰ τῶν ὑπὸ τοῦ Θεοῦ ἀνακρινομένων; Ὁ Βασιλεὺς, ὅστις ἀναλογίζεται τὸ χρέος τῶν δούλων αὐτοῦ, σημαίνει τὸν Βασιλέα τῶν βασιλευόντων, καὶ Δεσπότην πάσης τῆς κτίσεως· αὐτὸς, βλέπων τὰ ἀπόκρυφα τῆς καρδίας τῶν ἀνθρώπων, ἐτάζει καὶ ἀνακρίνει τὰς ἁμαρτίας ἑνὸς ἑκάστου. Ὁ δὲ ὀφειλέτης, ἐστὶν ὁ ἁμαρτωλός· διότι, καθὼς ὁ ὀφειλέτης χρεωστεῖ τὴν ἐπιστροφὴν τῶν ἀργυρίων, ὧν ἐδανείσθη, οὕτω καὶ ὁ ἁμαρτωλὸς χρεωστεῖ τὴν ἐπιστροφὴν καὶ μετάνοιαν τῶν ἁμαρτημάτων, ὧν ἔπραξεν. Εἶπε δὲ, ὅτι μυρία τάλαντα ἐχρεώστει ὁ ὀφειλέτης, ἵνα παραστήσῃ καὶ τὸ πλῆθος καὶ τὸ βάρος τῶν ἁμαρτημάτων τοῦ ἁμαρτωλοῦ.

Ματ. ιή. 25. Μὴ ἔχοντος δὲ αὐτοῦ ἀποδοῦναι, ἐκέλευσεν αὐτὸν ὁ Κύριος αὐτοῦ πραθῆναι, καὶ τὴν γυναῖκα αὐτοῦ, καὶ τὰ τέκνα, καὶ πάντα ὅσα εἶχε, καὶ ἀποδοθῆναι.

Ἐπειδὴ ὁ ὀφειλέτης οὐκ εἶχε τρόπον, ἵνα ἐκπληρώσῃ τὸ χρέος αὐτοῦ, ὥρισεν ὁ Βασιλεὺς, ἵνα πωληθῇ καὶ αὐτὸς, καὶ τὰ τέκνα, καὶ πάντα τὰ ὑπάρχοντα αὐτοῦ, καὶ ἐκπληρωθῇ τὸ χρέος· Μὴ ἔχοντος δὲ αὐτοῦ ἀποδοῦναι. Ἀληθῶς δὲ οὐδὲν ἔχει ὁ ἁμαρτωλὸς, δυνάμενον ἐξιλεῶσαι τὸν Θεὸν διὰ τὰς ἁμαρτίας αὐτοῦ· οὐδὲν, οὐδὲ τῶν ἐν τῷ κόσμῳ, οὐδὲ τῶν ἐν τῷ οὐρανῷ, ἐξαγοράζει τὴν ἁμαρτίαν· καὶ αὐτὴ δὲ ἡ μετάνοια ἡμῶν οὐδέν ἐστιν ὡς πρὸς τῆς ἁμαρτίας τὸ βάρος· μόνη ἡ ἄπειρος τοῦ Θεοῦ εὐσπλαγχνία ἐξαλείφει τὴν ἁμαρτίαν. Ἀλλὰ τί σημαίνει ἡ πώλησις τοῦ ὀφειλέτου, καὶ τῆς γυναικὸς, καὶ τῶν τέκνων, καὶ πάντων τῶν ὑπαρχόντων αὐτοῦ πρὸς ἀπόδοσιν τοῦ χρέους; Ὁ πωλούμενος γίνεται δοῦλος τοῦ ἀγοράζοντος, καὶ χωρίζεται ἀπὸ τοῦ δεσπότου τοῦ πωλήσαντος αὐτόν· ὅθεν, ἡ μὲν πώλησις τοῦ ὀφειλέτου σημαίνει τὸν χωρισμὸν τοῦ ἁμαρτωλοῦ ἀπὸ τοῦ Θεοῦ, ἡ δὲ τῆς γυναικὸς, καὶ τῶν τέκνων, καὶ τῶν ὑπαρχόντων αὐτοῦ, τὴν στέρησιν τοῦ ἁμαρτωλοῦ πάντων τῶν θείων χαρισμάτων, ὧν εἶχεν, ὅτε περιεπάτει τῆς ἀρετῆς τὸν δρόμον. Σημαίνουσι δὲ ταῦτα γενικῶς καὶ τὰς συμφορὰς καὶ δυστυχίας, ἐν αἷς παραδίδοται ὁ ἁμαρτωλὸς διὰ τὰς ἁμαρτίας αὐτοῦ· διὰ τῶν τοιούτων δὲ τιμωριῶν ἐρχόμενος ὁ ἁμαρτωλὸς εἰς μετάνοιαν, ἐξιλεοῖ τὴν θείαν δι- Χρυσ. εἰς τὴν Σειρ.
καιοσύνην, καὶ λυτροῦται τῆς μελλούσης

αἰω-

αἰωνίου κολάσεως, ἥτις περιέμενεν αὐτὸν διὰ τὰς ἁμαρτίας αὐτοῦ. Τοῦτο δὲ ἐφανέρωσεν ἡμῖν ὁ Σωτὴρ διὰ τῶν ἑξῆς λόγων τῆς Παραβολῆς.

Πεσὼν οὖν ὁ δοῦλος προσεκύνει αὐτῷ λέγων· Κύριε, μακροθύμησον ἐπ' ἐμοὶ, καὶ πάντα σοι ἀποδώσω.

Βλέπε τῆς τιμωρίας τοῦ Κυρίου τὸν καρπόν. Προσκυνήματα ἕως ἐδάφους τῆς γῆς· Πεσὼν οὖν ὁ δοῦλος προσεκύνει αὐτῷ· δεήσεις ἐκ βάθους ψυχῆς· Κύριε, μακροθύμησον ἐπ' ἐμοί· ὑποσχέσεις μεγάλαι· Καὶ πάντα σοι ἀποδώσω. 'Ησ. κς'. 16. Κύριε, ἐν θλίψει ἐμνήσθημέν σου, λέγει ὁ Προφήτης Ἡσαΐας· πολλάκις, ὅταν ὁ Θεὸς ἐντείνῃ τὸ τόξον αὐτοῦ, καὶ ῥίπτῃ ἐπάνω εἰς τὸν ἁμαρτωλὸν τῶν δυστυχιῶν τὰ βέλη, τότε αὐτὸς διὰ τῆς μετανοίας καὶ δεήσεως προστρέχει εἰς τὸν Θεὸν, καὶ ὑπόσχεται τὴν τελείαν αὐτοῦ διόρθωσιν. Βλέπε δὲ καὶ τὴν πρὸς τοὺς ἐπιστρέφοντας ἁμαρτωλοὺς ἄμετρον τοῦ Θεοῦ εὐσπλαγχνίαν.

Ματ. ιη'. 27. Σπλαγχνισθεὶς δὲ ὁ κύριος τοῦ δούλου ἐκείνου, ἀπέλυσεν αὐτὸν, καὶ τὸ δάνειον ἀφῆκεν αὐτῷ.

Ὁ δοῦλος, ἤγουν πᾶς ἁμαρτωλὸς, ὅταν ἔλθῃ εἰς μετάνοιαν, ζητεῖ τοῦ Θεοῦ τὴν μακροθυμίαν, ὑποσχόμενος τὴν ἐκ τῶν ἁμαρτιῶν αὐτοῦ ἐπιστροφήν. Ὁ δὲ φιλανθρωπότατος Θεὸς οὐ μόνον σπλαγχνίζεται ἐπ' αὐτῷ, καὶ μακροθυμῶν ἀναβάλλει τὴν τιμωρίαν, καὶ περιμένει τὴν ἐπιστροφὴν αὐτοῦ, ἀλλὰ καὶ ἀπολύει αὐτὸν ἀπὸ τοῦ δεσμοῦ τῶν ἁμαρτιῶν αὐτοῦ, καὶ ἀφίησι καὶ συγχωρεῖ πάσας τὰς ἀνομίας αὐτοῦ· Καὶ τὸ δάνειον ἀφῆκεν αὐτῷ. Καὶ ταῦτα μὲν τοῦ ἁμαρτωλοῦ τὰ ἔργα, καλὰ καὶ ὠφέλιμα, τὰ δὲ ἑξῆς κάκιστα καὶ ψυχοβλαβέστατα.

Ἐξελθὼν δὲ ὁ δοῦλος ἐκεῖνος, εὗρεν ἕνα τῶν συνδούλων αὐτοῦ, ὃς ὤφειλεν αὐτῷ ἑκατὸν δηνάρια, καὶ κρατήσας αὐτὸν ἔπνιγε, λέγων· Ἀπόδος μοι ὅ, τι ὀφείλεις. Ματ. ιη'. 28.

Τὰ λόγια ταῦτα περιγράφουσι τὸ ἦθος τοῦ ἀσυμπαθοῦς ἀνθρώπου. Ὁ δοῦλος, λέγει, ἐξῆλθεν· ἀληθῶς δὲ ἐν ὅσῳ ὁ ἄνθρωπος ἐστὶ συμπαθὴς καὶ εὔσπλαγχνος, μένει ἐν τῷ Θεῷ, καὶ Α'. Ἰωάν. δ'. 16. ὁ Θεὸς ἐν αὐτῷ, ὅταν δὲ κλείσῃ τὰ σπλάγχνα αὐτοῦ, καὶ κατασταθῇ ἀσυμπαθὴς καὶ ἄσπλαγχνος, τότε ἐξέρχεται, καὶ μακρύνεται ἀπὸ τῆς τοῦ Θεοῦ χάριτος. Διατί δὲ εἶπεν, εὗρεν ἕνα τῶν συνδούλων; τίνες εἰσὶν οὗτοι οἱ σύνδουλοι; Πάντες οἱ ἄνθρωποι ἐσμὲν δοῦλοι τοῦ ὑψίστου Θεοῦ· διὸ καὶ λεγόμεθα σύνδουλοι, ὡς χρέος ἔχοντες, ἵνα δουλεύωμεν ἕνα καὶ τὸν αὐτὸν δεσπότην, τὸν Θεόν· ἀκούομεν δὲ καθ' ἑκάστην τοὺς ἀσυμπαθεῖς ἀνθρώπους, κραυγάζοντας κατὰ τῶν συνδούλων αὐτῶν· ἄλλον μὲν κραυγάζοντα, Ἀπόδος μοι τὴν τιμήν μου· ἄλλον δὲ, Ἀπόδος μοι τὸ ἀργύριόν μου· καὶ ἄλλον, Ἀπόδος μοι τὰ πράγματά μου· οὗτοι δὲ οὐ μόνον κατ' αὐτῶν κραυγάζουσι ταῦτα, ἀλλὰ καὶ στενοχωροῦσι καὶ βιάζουσιν αὐτοὺς ὑπερβολικά. Ἀξιοσημείωτα δὲ εἰσι τὰ ἑκατὸν δηνάρια· διότι τὸ δηνάριον,

Μάρκ. ιβ'. τὸ καὶ νόμισμα Κήνσου ὑπὸ τοῦ Εὐαγ-
14. γελιστοῦ Ματθαίου ὀνομαζόμενον, εὐτε-
Λουκ. κ'. λῆ ἔχει τιμήν· τὰ ἑκατὸν δηνάρια οὐδὲ
24. Ματ. κβ'. δύω ὁλοκλήρους χρυσοὺς συγκροτοῦσιν·
19. ἐπίτηδες δὲ ὁ πάνσοφος Θεὸς τὸ μὲν
Ὅρα τὸ χρέος, τὸ εἰς αὐτὸν χρεωστούμενον, ἀνε-
Λεξ. τῆς Γραφ. τοῦ βίβασεν εἰς τὰ μυρία τάλαντα, τὸ δὲ
Καλμ. χρέος, τὸ ὑπὸ τοῦ ἀνθρώπου εἰς τὸν
ἄνθρωπον χρεωστούμενον, κατεβίβασεν εἰς τὰ ἑκατὸν δηνάρια, ἵνα διὰ τούτου παραστήσῃ, ὅτι τὸ πρὸς αὐτὸν ἡμῶν χρέος ὑπερβαίνει καθ' ὑπερβολὴν τὸ πρὸς ἡμᾶς χρέας τῶν ἀνθρώπων. Εἴτε τιμὴν, εἴτε ὑπηρεσίαν, εἴτε δηνάρια, εἴτε ἄλλο τὶ χρεωστεῖ σοι ὁ ἄνθρωπος, τὸ χρέος αὐτοῦ οὐδεμίαν ἔχει σύγκρισιν μετὰ τοῦ χρέους, ὅπερ ἡμεῖς χρεωστοῦμεν εἰς τὸν Θεὸν, καθὼς οὐδεμίαν σύγκρισιν ἔχει ὁ Θεὸς μετὰ τοῦ ἀνθρώπου. Τὴν εὐτέλειαν δὲ τοῦ χρέους τοῦ ἀνθρώπου πρὸς τὸν ἄνθρωπον ἐφανέρωσε καὶ διὰ τούτων τῶν λόγων· Ἀπόδος μοι ὅ,τι ὀφείλεις· παρέστησε τὸν δανειστὴν αἰσχυνόμενον διὰ τὴν ὀλίγην ποσότητα εἰπεῖν πρὸς τὸν ὀφειλέτην αὐτοῦ, Ἀπόδος μοι τὰ χρεωστούμενα ἑκατὸν δηνάρια, λέγοντα δὲ ἀνωνύμως, Ἀπόδος μοι ὅ,τι ὀφείλεις.

Ματ. ιη'. Πεσὼν οὖν ὁ σύνδουλος αὐτοῦ
29. εἰς τοὺς πόδας αὐτοῦ, παρε-
κάλει αὐτὸν, λέγων· Μακρο-
θύμησον ἐπ' ἐμοὶ, καὶ πάντα
30. ἀποδώσω σοι. Ὁ δὲ οὐκ ἤθε-
λεν· ἀλλ' ἀπελθὼν, ἔβαλεν
αὐτὸν εἰς φυλακὴν, ἕως οὗ ἀ-
ποδῷ τὸ ὀφειλόμενον.

Ἵνα παραστήσῃ ὁ Θεὸς, πόσον αὐτός ἐστιν εὔσπλαγχνος εἰς τὸν δοῦλον αὐτοῦ τὸν ἄνθρωπον, ὅταν ζητῇ παρ' αὐτοῦ τὴν συγχώρησιν τῶν ἁμαρτιῶν αὐτοῦ, καὶ πόσον ἄσπλαγχνος ὁ ἄνθρωπος πρὸς τὸν σύνδουλον αὐτοῦ τὸν ἄνθρωπον, ὅταν ζητῇ παρ' αὐτοῦ τὴν ἄφεσιν τῶν σφαλμάτων αὐτοῦ, παρέστησε τὸν πταίστην ζητοῦντα παρὰ τοῦ ἀνθρώπου μακροθυμίαν ὑπὲρ τῶν πταισμάτων αὐτοῦ διὰ τῶν αὐτῶν τρόπων, δι' ὧν καὶ ὁ ἁμαρτωλὸς ζητεῖ παρὰ Θεοῦ τὴν συγχώρησιν τῶν ἀνομιῶν αὐτοῦ. Ἔπεσεν ὁ ἁμαρτωλὸς ἐνώπιον τοῦ Θεοῦ, καὶ προσκυνήσας αὐτὸν, ἐζήτησε τὴν μακροθυμίαν αὐτοῦ, ὑποσχεθεὶς τὴν διόρθωσιν τῶν ἰδίων ἁμαρτιῶν· Πεσὼν οὖν ὁ δοῦλος προσεκύνει αὐτῷ, λέγων· Κύριε, μακροθύμησον ἐπ' ἐμοὶ, καὶ πάντα σοι ἀποδώσω· ἔπεσεν ὁμοίως καὶ ὁ πταίστης εἰς τοὺς πόδας τοῦ συνδούλου αὐτοῦ, ἤγουν προσεκύνησεν αὐτόν· Πεσὼν οὖν ὁ σύνδουλος εἰς τοὺς πόδας αὐτοῦ· καὶ παρακαλέσας, ἐζήτησε τὴν μακροθυμίαν τοῦ συνδούλου αὐτοῦ, ἤγουν τοῦ ἀνθρώπου, καὶ ὑπεσχέθη τοῦ χρέους τὴν ἀπόδοσιν· Παρεκάλει αὐτὸν, λέγων· Μακροθύμησον ἐπ' ἐμοὶ, καὶ πάντα ἀποδώσω σοι. Καὶ ὁ μὲν Δεσπότης τῶν ἁπάντων καὶ Θεὸς, σπλαγχνισθεὶς, ἐσυγχώρησε πάσας τὰς ἀνομίας τοῦ ἁμαρτωλοῦ· Σπλαγχνισθεὶς δὲ ὁ Κύριος τοῦ δούλου ἐκείνου, ἀπέλυσεν αὐτὸν, καὶ τὸ δάνειον ἀφῆκεν αὐτῷ· ὁ δὲ ἄνθρωπος οὐκ ἠθέλησε συγχωρῆσαι τὸν ἄνθρωπον· Ὁ δὲ οὐκ ἤθελεν, ἀλλ' ἔθηκεν αὐτὸν εἰς τὴν φυλακὴν, ἕως ἂν ἐκπληρώσῃ τὸ χρέος· Ἀλλ' ἀπελθὼν, ἔβαλεν αὐτὸν εἰς φυλακὴν, ἕως οὗ ἀποδῷ τὸ ὀφειλόμενον. Τίς ἀσυμπαθὴς, ταῦτα ἀκούων, οὐ καταισχύνεται; ὁ Θεὸς ὁ παντοκράτωρ συγχωρεῖ τὸ ἄμετρον πλῆθος τῶν βαρυτάτων ἀνομιῶν μου διὰ τὴν παρακά-

λεσιν, καὶ τὴν μετάνοιαν, καὶ τὴν ὑπόσχεσιν τῆς ἐπιστροφῆς μου· ἐγὼ ὁ σκώληξ τῆς γῆς οὐ συγχωρῶ τοῦ συνδούλου μου καὶ ἀδελφοῦ μου τὰ μικρὰ πταίσματα, ἢ τὸ ὀλίγον χρέος, κἂν παρακαλῇ, καὶ μετανοῇ, καὶ ὑπόσχηται τὴν ἀπόδοσιν. Ποία δὲ τὰ ἀκόλουθα τῆς τοιαύτης ἀσπλαγχνίας μου, ἀκούσατε.

Ματ. ιη'. 31. Ἰδόντες δὲ οἱ σύνδουλοι αὐτοῦ τὰ γενόμενα, ἐλυπήθησαν σφόδρα· καὶ ἐλθόντες διεσάφησαν τῷ κυρίῳ αὐτῶν πάντα τὰ γενόμενα.

Ἀληθῶς λυποῦνται σφόδρα οἱ συμπαθεῖς τοῦ Βασιλέως δοῦλοι, ὅταν βλέπωσι τὰ ἀσυμπαθῆ ἔργα ἑνὸς τῶν συνδούλων αὐτῶν· ἵνα δὲ βοηθήσωσι τὸν δυναστευόμενον, ἀναγγέλλουσι τῷ κυρίῳ αὐτῶν τὰ τῆς ἀσπλαγχνίας ἔργα, ὅσα ὁ σύνδουλος αὐτῶν ἐποίησεν. Ἀλλ' ὅταν ταῦτα ἀναφέρωμεν εἰς τὸν Θεὸν, καὶ τὸν ἀσυμπαθῆ ἁμαρτωλὸν, τίνες ἄραγε τότε εἰσὶν οἱ σύνδουλοι, οἱ λυπούμενοι σφόδρα διὰ τὴν ἀσπλαγχνίαν τοῦ ἀσυμπαθοῦς ἁμαρτωλοῦ, καὶ ἀναγγέλλοντες τῷ κυρίῳ αὐτῶν τὰς καταδυναστείας τοῦ συνδούλου αὐτῶν; (Χρυσ. εἰς τὴν Συμ.) Καὶ οἱ Ἄγγελοι λέγονται σύνδουλοι τῶν ἀνθρώπων, ἐπειδὴ καὶ Ἄγγελοι καὶ ἄνθρωποι ἕνα καὶ τὸν αὐτὸν Θεὸν δοξάζουσι καὶ δουλεύουσι· μισοπόνηροι δὲ εἰσιν οἱ Ἄγγελοι, ὅθεν λυποῦνται, ὅταν ἁμαρτάνωμεν, καθὼς (Λουκ. ιε'. 10.) καὶ χαίρουσιν, ὅταν μετανοῶμεν· αὐτοὶ οὐκ ἀναγγέλλουσι τῷ Θεῷ τὰς ἁμαρτίας τοῦ ἀσυμπαθοῦς ἀνθρώπου, ἐπειδὴ τὰ πάντα εἰσὶ τῷ Θεῷ γνωστά· ἀλλὰ, βλέποντες τὴν πρὸς τοὺς ἀδελφοὺς ἀσπλαγχνίαν ἡμῶν, εὐσπλαγχνίᾳ κινούμενοι, πρεσβεύουσι τῷ Θεῷ ὑπὲρ βοηθείας καὶ ἀντιλήψεως τοῦ δυναστευομένου ὑπὸ τῆς ἀσπλαγχνίας τοῦ ἀσυμπαθοῦς. Ταύτην δὲ τὴν πρὸς τὸν Θεὸν πρεσβείαν τῶν ἁγίων Ἀγγέλων ἐφανέρωσεν ὁ Θεάνθρωπος διὰ τῶν λόγων τούτων· Καὶ ἐλθόντες διεσάφησαν τῷ Κυρίῳ αὐτῶν πάντα τὰ γενόμενα. Σημείωσαι δὲ, ὅτι οὐ πάντα τὰ λόγια τῆς Παραβολῆς ἁρμόζουσιν εἰς τὸ παραβαλλόμενον· τινὰ δὲ παραλαμβάνονται πρὸς μόνον ἀπαρτισμὸν τῆς Παραβολῆς· τοῦτο αὐτὸς ὁ Κύριος ἡμῶν ἐφανέρωσεν, ὅτε ἐξήγησε τὴν Παραβολὴν τῶν ζιζανίων· διότι εἰς μὲν τὴν Παραβολὴν παρέστησε καὶ δούλους, λέγων· (Ματ. ιγ'. 27.) Προσελθόντες δὲ οἱ δοῦλοι τοῦ οἰκοδεσπότου, εἶπον αὐτῷ· Κύριε, οὐχὶ καλὸν σπέρμα ἔσπειρας ἐν τῷ ἀγρῷ σου; πόθεν οὖν ἔχει τὰ ζιζάνια; εἰς δὲ τὴν ἑρμηνείαν τῆς Παραβολῆς ἐσιώπησε παντελῶς τὰ περὶ τῶν δούλων, δεικνύων, ὅτι ταῦτα προσετέθησαν εἰς ἀναπλήρωσιν τῆς ἐννοίας τοῦ παραβολικοῦ λόγου, καὶ οὐχὶ πρὸς δήλωσιν τοῦ σκοποῦ τῆς Παραβολῆς. Ἐκ τούτου ὁ θεῖος Χρυσόστομος ἀφορμὴν (Ἐν τῇ Συμ. εἰς τὴν ἑρμ. τοῦ κατὰ Ματ. ΙΓ' κεφ.) λαβὼν, εἶπεν· Ὅπερ ἔλεγον ἀεὶ, ὅτι τὰς Παραβολὰς οὐ κατὰ ῥῆσιν ἐξετάζειν δεῖ, ἐπεὶ πολλὰ τὰ ἄτοπα ἕψεται, ὅθεν φανερὸν, ὅτι καὶ τὰ λόγια ταῦτα· Καὶ ἐλθόντες διεσάφησαν τῷ κυρίῳ αὐτῶν πάντα τὰ γενόμενα, προσετέθησαν πρὸς ἀναπλήρωσιν τῆς παραβολικῆς διηγήσεως, τουτέστιν, ἵνα δηλώσωσι τὸ πόθεν ὁ Βασιλεὺς ἐκεῖνος ἔμαθε πάντα, ὅσα ἐποίησεν ὁ ἄσπλαγχνος δοῦλος αὐτοῦ, καὶ ἑπομένως ἔχει τὴν πρέπουσαν ἀκολουθίαν καὶ σειρὰν ὁ παραβολικὸς λόγος· διὸ εἰς τὴν ἐφαρμογὴν τοῦ σκοποῦ τῆς Παραβολῆς ὑπό τινων ἐγκαταλιμπάνονται. Τί δὲ ἐποίησεν ὁ Βασιλεὺς, τὴν ἀσπλαγχνίαν τοῦ δούλου αὐτοῦ ἀκούσας;

Ματ. ιη'. 32. Τότε προσκαλεσάμενος αὐτὸν ὁ Κύριος αὐτοῦ, λέγει αὐτῷ· Δοῦλε πονηρὲ, πᾶσαν τὴν ὀφειλὴν ἐκείνην ἀφῆκά σοι, ἐπεὶ
33. παρεκάλεσάς με. Οὐκ ἔδει καί σε ἐλεῆσαι τὸν σύνδουλόν σου, ὡς καὶ ἐγώ σε ἠλέησα;

Τότε, ὅταν δηλαδὴ καθίσῃ κρίναι ζῶντας καὶ νεκροὺς, παρίστησιν ἐνώπιον αὐτοῦ τὸν ἄσπλαγχνον, καὶ ἐλέγχει αὐτὸν ἔλεγχον, δι' οὗ γίνεται ἀναπολόγητος· Δοῦλε πονηρὲ, λέγει, ἐγὼ μὲν ἤκουσα τῆς φωνῆς τῆς δεήσεώς σου, ὅταν μετενόησας, καὶ ἐσυγχώρησα τὸ πλῆθος τῶν ἁμαρτιῶν σου· οὐκ ἦν πρέπον καὶ δίκαιον, ἵνα καὶ σὺ ἀκούσῃς τὴν παράκλησιν τοῦ συνδούλου σου, καὶ ἐλεήσῃς αὐτὸν, καθὼς καὶ ἐγώ σε ἠλέησα; Μετὰ δὲ τὸν ἔλεγχον ἀκολουθεῖ ἡ ὀργὴ, καὶ ἡ τιμωρία ἡ αἰώνιος.

Αὐτόθι. 34. Καὶ ὀργισθεὶς ὁ Κύριος αὐτοῦ, παρέδωκεν αὐτὸν τοῖς βασανισταῖς, ἕως οὗ ἀποδῷ πᾶν τὸ ὀφειλόμενον αὐτῷ.

Φοβερὸν πρᾶγμα ἡ ὀργὴ καὶ ἀγανάκτησις τοῦ Θεοῦ! Παρέδωκε τὸν ἄσπλαγχνον εἰς τοὺς ἀσπλάγχνους βασανιστὰς, ἤγουν τοὺς Δαίμονας, ἵνα βασανίζωσιν αὐτόν· τοῦτο δὲ ἕως πότε; ἕως ἂν ἀποδώσῃ ὅλον τὸ χρέος· ἐπειδὴ δὲ ἡ ἀπόδοσις τοῦ χρέους τῶν ἁμαρτιῶν διὰ μόνης τῆς μετανοίας γίνεται, μετὰ θάνατον δὲ οὐκ ἔστι μετάνοια, φανερόν ἐστιν, ὅτι αἰώνιός ἐστιν ἡ δικαία κόλασις, ἡ ὑπὸ τοῦ Θεοῦ διορισθεῖσα κατὰ τῶν ἀσπλάγχνων. Διὰ τούτων δὲ τῶν λόγων τέλος ἐπιθεὶς ὁ Κύριος τῇ Παραβολῇ, ἐπισυνάπτει ἀμέσως καὶ αὐτὸν τὸν σκοπὸν τῆς Παραβολῆς, λέγων· Χρυσ. εἰς τὸν Σειρ.

Ματ. ιη'. 35. Οὕτω καὶ ὁ Πατήρ μου ὁ ἐπουράνιος ποιήσει ὑμῖν, ἐὰν μὴ ἀφῆτε ἕκαστος τῷ ἀδελφῷ αὐτοῦ ἀπὸ τῶν καρδιῶν ὑμῶν τὰ παραπτώματα αὐτῶν.

Ἰδοὺ ὅλος ὁ σκοπὸς τῆς Παραβολῆς· Οὕτω, λέγει, καὶ ὁ Πατήρ μου ὁ ἐπουράνιος ποιήσει ὑμῖν, ἤγουν ὁ Θεὸς κατὰ τὸν αὐτὸν τρόπον, καθ' ὃν ὁ Βασιλεὺς ἐτιμώρησε τὸν ἀσυμπαθῆ δοῦλον, τιμωρήσει καὶ ὑμᾶς, ἐὰν μὴ συγχωρήσητε ἐκ καρδίας τὰ σφάλματα τῶν ἀδελφῶν ὑμῶν. Διατί δὲ οὐκ εἶπεν, ὁ πατὴρ ὑμῶν, καθὼς καὶ ἄλλοτε πολλάκις, ἀλλ' ὁ Πατήρ μου; Διότι ἐλάλει περὶ τῶν ἀσυμπαθῶν καὶ ἀμετανοήτων ἁμαρτωλῶν· τῶν δὲ τοιούτων ὁ ἐπουράνιος Θεὸς οὐκ ἔστι πατὴρ, ἀλλὰ κριτὴς, καὶ τιμωρός. Σημείωσαι δὲ καὶ τὸ, ἀπὸ τῶν καρδιῶν ὑμῶν· τοῦτο ἀντιφέρεται κατ' ἐκείνων, οἵτινες πολιτευόμενοι συγχωροῦσι μὲν διὰ τῆς γλώσσης καὶ τῶν χειλέων, καὶ καταλλάττονται κατὰ τὸ φαινόμενον μετὰ τῶν παροργισάντων αὐτοὺς, ὅμως ἐν τῇ καρδίᾳ αὐτῶν κρύπτοντες τὸ μῖσος, περιμένουσιν εὐκαιρίαν, ἵνα αὐτοὺς ἐκδικηθῶσι καὶ βλάψωσιν.

# ΟΜΙΛΙΑ

ΜΕΤΑ ΤΟ ΚΑΤΑ

# ΜΑΤΘΑΙΟΝ

## ΕΥΑΓΓΕΛΙΟΝ ΤΗΣ ΙΑ΄. ΚΥΡΙΑΚΗΣ.

Ἐπειδὴ ὁ σκοπὸς τῆς Παραβολῆς τοῦ σημερινοῦ Εὐαγγελίου ἐπιβλέπει μόνον ἐκείνους, οἵτινες οὐδέποτε συγχωροῦσι τὸ σφάλμα τοῦ ἀδελφοῦ αὐτῶν, διὰ τοῦτο πολλὰ ἁρμόδιός ἐστι σήμερον ὁ περὶ Μνησικακίας λόγος. Ἡ μνησικακία ἐστὶν ἁμαρτία τοσοῦτον μεγάλη, καὶ μεμισημένη ὑπὸ Θεοῦ, ὥστε ὁ μνησίκακος οὐδεμίαν ἔχει σωτηρίας ἐλπίδα. Μνησίκακος δέ ἐστιν ἐκεῖνος, ὅστις οὐ συγχωρεῖ τὸ παράπτωμα τοῦ ὁπωσδήποτε βλάψαντος αὐτὸν, ἀλλὰ, μνημονεύων διαπαντὸς τὸ κακὸν, ὅπερ παρ᾽ αὐτοῦ ἔπαθε, μισεῖ καὶ ἀποστρέφεται αὐτόν. Πολυποίκιλος δέ ἐστι τῆς μνησικακίας ἡ ἁμαρτία.

Ὅταν μισῶ τὸν ἀδελφόν μου, ἢ διατὶ ἐζημίωσε τὰ ὑπάρχοντά μου, ἢ διατὶ ἐπεβούλευσε τὴν τιμήν μου, ἢ διατὶ ἐφόνευσε τὸν συγγενῆ μου, ἢ διατὶ ἐφάνη προδότης τῆς ζωῆς μου, τότε ἡ μνησικακία μου ἔχει σωματικήν τινα καὶ κοσμικὴν πρόφασιν· ἀλλ᾽ ὅταν μισῶ τὸν ἀδελφόν μου, ἢ διατὶ ἐξήλεγξε τὸ ἐλάττωμά μου πρὸς ὠφέλειαν τῆς ψυχῆς, ἢ τοῦ σώματός μου, ἢ διὰ ἕνα πικρὸν λόγον, ὅστις ἐκ παραδρομῆς ἔφυγεν ἐκ τοῦ στόματος αὐτοῦ, ἢ διὰ ἓν σχῆμα, ἐξ ἀπροσεξίας γενόμενον, ἢ διὰ μίαν ὑποψίαν γεννηθεῖσαν ἐκ τῆς φαντασίας μου, τότε ἡ μνησικακία μου οὐδεμίαν ἔχει πρόφασιν· ἄλλη λοιπὸν ἐστὶν ἡ προφασιστὴ, καὶ ἄλλη ἡ ἀπροφάσιστος μνησικακία. Οὗτος, μισῶν τὸν ἀδελφὸν αὐτοῦ, ἐπιθυμεῖ διαπαντὸς βλάψαι αὐτὸν, πλὴν, εἴτε διατὶ οὐ δύναται, εἴτε διατί φοβεῖται, οὐδὲ βλάπτει, οὐδὲ ἐπιβουλεύει αὐτόν· ἐκεῖνος, μισῶν τὸν ἀδελφὸν αὐτοῦ, δυνατὸς δὲ καὶ ἄφοβος ὢν, ἐπιβουλεύει καὶ βλάπτει αὐτόν· ἰδοὺ καὶ ἄλλα δύω εἴδη μνησικακίας, μνησικακία θεωρητικὴ, καὶ μνησικακία πρακτική. Οὗτος παῤῥησιάζει τὸ μῖσος τῆς καρδίας αὐτοῦ, καὶ ἀνακηρύττεται ἐχθρός· ὅθεν φεύγεις ὅσον δύνασαι τὰ θανατηφόρα αὐτοῦ βέλη· ἐκεῖνος κρύπτει εἰς τὰ βάθη τῆς καρδίας αὐτοῦ τὸ μῖσος, καὶ ὑποκρίνεται φιλίαν, διὰ δὲ τῆς φιλίας ἑτοιμάζει παγίδας, ἵνα σε παγιδεύσῃ, καὶ σκάπτει λάκκους, ἵνα σε κατακρημνίσῃ· ἰδοὺ καὶ ἄλλα δύω τῆς μνησικακίας εἴδη, μνησικακία φανερὰ, καὶ μνησικακία κρυπτή. Πᾶσα δὲ μνησικακία, καὶ ἡ προφασιστὴ καὶ ἡ ἀπροφάσιστος, καὶ ἡ θεωρητικὴ καὶ ἡ πρακτικὴ, καὶ ἡ φανερὰ καὶ ἡ κρυπτὴ, καὶ ἡ ὁποιαδήποτε ἄλλη ἁρπάζει ἐξ ὁλοκλήρου πᾶσαν ἐλπίδα σωτηρίας. Διατί δὲ τοῦτο;

Διότι ὅλος ὁ νόμος, ὅλον τὸ προφητικὸν κήρυγμα, ὅλον τὸ Εὐαγγέλιον θεμέλιον ἔχει καὶ βάσιν τὴν ἀγάπην. Ἐκ τούτου φανερόν ἐστιν, ὅτι πᾶσα ἀρετὴ βλαστάνει ἐκ τῆς αὐτῆς ῥίζης, τῆς ἀγάπης· διὸ πᾶν ἔργον, κἂν φαίνηται καλὸν, οὐκ ἔστι καλὸν, ἀλλ᾽ οὐδὲ ὠφελεῖ

λεῖ παντελῶς, ὅταν λείπῃ ἡ ἀγάπη· ἐὰν κατορθώσω, λέγει ὁ θεῖος Ἀπόστολος, πάσας τὰς ἀρετάς, καὶ τελέσω πάντα
Α΄. Κορ. ιγ΄. 2. τὰ θαύματα, καὶ ἔχω πᾶσαν τὴν πίστιν, καὶ λάβω πάντα τοῦ Θεοῦ τὰ χαρίσματα, ἀγάπην δὲ μὴ ἔχω, οὐδέν εἰμι. Ἀληθῶς πᾶσα ἁμαρτία ἀντιφέρεται, καὶ συσκιάζει τὴν ἀγάπην, ἀλλὰ τὸ μῖσος ῥιζόθεν αὐτὴν ἀνασπᾷ· τὸ μῖσός ἐστι τελεία στέρησις τῆς ἀγάπης, καθὼς τὸ σκότος ἐστὶ τελεία στέρησις τοῦ φωτός· ὅπου φῶς, φεύγει τὸ σκότος, ὅπου ἀγάπη, φεύγει τὸ μῖσος· σκότος καὶ φῶς οὐδέποτε συνέρχονται, μῖσος καὶ ἀγάπη οὐδέποτε συγ-
Α΄. Ἰωάν. β΄. 11. κατοικοῦσι· διὰ τοῦτο ὁ μισῶν τὸν ἀδελφὸν αὐτοῦ, ἐν τῇ σκοτίᾳ ἐστί, καὶ ἐν τῇ σκοτίᾳ περιπατεῖ· καὶ οὐκ οἶδε ποῦ ὑπάγει, ὅτι ἡ σκοτία ἐτύφλωσε τοὺς ὀφθαλμοὺς αὐτοῦ. Ὁ μνησίκακος γυμνός ἐστιν οὐ μόνον τῆς τοῦ πλησίον ἀγάπης, ἀλλὰ καὶ τῆς τοῦ Θεοῦ· ἐὰν εἴπῃ, ὅτι τὸν μὲν ἀδελφόν μου μισῶ, τὸν δὲ Θεὸν ἀ-
Αὐτ. δ΄. 20. γαπῶ, ψεύδεται· Ἐάν τις εἴπῃ· Ὅτι ἀγαπῶ τὸν Θεόν, καὶ τὸν ἀδελφὸν αὐτοῦ μισῇ, ψεύστης ἐστίν· ἀλλὰ διατί; διότι τοῦτό ἐστιν ἀδύνατον· Ὁ γὰρ μὴ ἀγαπῶν τὸν ἀδελφὸν αὐτοῦ ὃν ἑώρακε, τὸν Θεόν, ὃν οὐχ ἑώρακε, πῶς δύναται ἀγαπᾷν;

Τίς δέ, μὴ ἔχων τῆς ἀγάπης τὴν ἀρετήν, ἥτις ἐστὶ τὸ λαμπρὸν ἔνδυμα τοῦ γάμου, ἐλπίζει εἰσελθεῖν εἰς τὸν κεκοσμημένον θεῖον νυμφῶνα τοῦ Κυρίου αὐτοῦ; Ἐτόλμησέ τις ποτέ, γυμνὸς ὢν τῆς ἀγάπης, καὶ εἰσέβη εἰς τὸν τόπον τῆς χαρᾶς τοῦ Κυρίου αὐτοῦ· ἐτόλμησε, ναί, φορῶν τὸ μεμελανωμένον καὶ σκοτεινὸν ἔνδυμα τοῦ μίσους, καὶ εἰσῆλθε, καὶ ἔστη ὅπου ἦσαν οἱ ἐνδεδυμένοι τὴν ἔνδοξον καὶ ὑπέρλαμπρον στολὴν τῆς ἀγάπης, οἵτινες ἔλαμπον ὡς φωστῆρες, ἀλλὰ τί ἔπαθεν; ἔπαθε πράγματα ἐλεεινὰ καὶ ἀξιοδάκρυτα. Πρῶτον μὲν ἤκουσε παρὰ τοῦ Βασιλέως τῆς δόξης αὐστηρὸν ἔλεγχον· Πῶς εἰσῆλθες ὧδε, Ματ. κβ΄. 12, 13.
μὴ ἔχων ἔνδυμα γάμου; ἔπειτα οἱ δοῦλοι τοῦ Βασιλέως, δήσαντες τὰς χεῖρας καὶ τοὺς πόδας αὐτοῦ, ἐξέβαλον αὐτὸν εἰς τὸ σκότος τὸ ἐξώτερον, ὅπου ὁ κλαυθμός, καὶ ὁ βρυγμὸς τῶν ὀδόντων.

Ἄνθρωποι λοιπὸν μνησίκακοι, ἀκούσατε. Ὁ παντοκράτωρ Θεὸς ἀπεφάσισε, καὶ εἶπε φανερά· Ἐὰν μὲν συγχωρήσητε τὰ σφάλματα τῶν ἀνθρώπων, καὶ ἐγὼ συγχωρῶ τὰς ἁμαρτίας ὑμῶν· ἐὰν δὲ μὴ συγχωρήσητε τῶν ἀνθρώπων τὰ σφάλματα, οὐδὲ ἐγὼ συγχωρῶ τὰ ἁμαρτήματα ὑμῶν· Ἐὰν γὰρ ἀφῆτε τοῖς Αὐτ. ς΄. 14, 15.
ἀνθρώποις τὰ παραπτώματα αὐτῶν, ἀφήσει καὶ ὑμῖν ὁ Πατὴρ ὑμῶν ὁ οὐράνιος. Ἐὰν δὲ μὴ ἀφῆτε τοῖς ἀνθρώποις τὰ παραπτώματα αὐτῶν, οὐδὲ ὁ Πατὴρ ὑμῶν ὁ οὐράνιος ἀφήσει τὰ παραπτώματα ὑμῶν. Πιστεύετε, ὅτι ταῦτα εἰσὶ λόγια, καὶ ἀπόφασις τοῦ Ἰησοῦ Χριστοῦ; πιστεύετε, ὅτι τὸ στόμα τοῦ Ἰησοῦ Χριστοῦ οὐδέποτε ἐλάλησε ψεῦδος; πιστεύετε ἀναμφιβόλως· ἐὰν λοιπὸν ὑμεῖς ἐστὲ δίκαιοι, καὶ ἀναμάρτητοι, μὴ συγχωρήσητε ποτὲ τὸ σφάλμα τοῦ ἀδελφοῦ ὑμῶν, διότι οὐδεμίαν χρείαν ἔχετε, ἵνα ὁ Θεὸς συγχωρήσῃ ὑμῖν τὰς ἁμαρτίας ὑμῶν· ἀλλ' ἐὰν βαρὺ καὶ δυσβάστακτον ὑπάρχῃ τὸ φορτίον τῶν ἁμαρτημάτων ὑμῶν, πῶς ἐλπίζετε συγχώρησιν παρὰ Θεοῦ, μὴ θέλοντες νὰ συγχωρήσητε τὸ σφάλμα τοῦ ἀδελφοῦ;

Ἡμεῖς ἐλπίζομεν, ὅτι μεταβάλλομεν τὴν τοῦ Θεοῦ ἀπόφασιν, προσφέροντες εἰς αὐτὸν θυσίας καὶ προσφοράς, καὶ ἀφιεροῦντες εἰς τὸ ἅγιον αὐτοῦ θυσιαστήριον ἀφιερώματα μεγαλοπρεπῆ,

καὶ

καὶ δῶρα πολύτιμα, πλὴν πλανώμεθα
οἱ ἄθλιοι· ἰδοὺ τί λέγει περὶ τούτου ὁ
Ματ. ε'. Θεός· Ἐὰν οὖν προσφέρῃς τὸ δῶ-
23, 24. ρόν σου ἐπὶ τὸ θυσιαστήριον, κἀ-
κεῖ μνησθῇς, ὅτι ὁ ἀδελφός σου
ἔχει τὶ κατὰ σοῦ, ἄφες ἐκεῖ τὸ
δῶρόν σου· οὐδὲ θέλω τοιοῦτον δῶρον,
οὐδὲ δέχομαι αὐτὸ, ἐὰν μὴ πρῶτον εἰ-
ρηνεύσῃς, καὶ καθησυχάσῃς τὸν ἀδελφόν
σου, καὶ ἀγαπηθῇς μετ' αὐτοῦ· Ἄφες
ἐκεῖ τὸ ἀπρόσδεκτον δῶρόν σου, καὶ
ὕπαγε, πρῶτον καταλλάγηθι τῷ
ἀδελφῷ σου, καὶ τότε ἐλθὼν πρόσ-
φερε τὸ δῶρόν σου. Ἐὰν δὲ ὁ Θεὸς ἀ-
ποστρέφηται τὰ δῶρα ἡμῶν, οὐχ ὅταν
ἡμεῖς μισῶμεν τὸν ἀδελφὸν ἡμῶν, ἀλλ'
ὅταν αὐτὸς ἔχῃ τὶ καθ' ἡμῶν, ἤγουν ἔ-
λαβε παρ' ἡμῶν ἀφορμὴν παροργισμοῦ,
πόσῳ μᾶλλον ἀποστρέφεται αὐτὰ, ὅταν
ἡμεῖς ἔχωμεν μῖσος κατ' αὐτοῦ; Ἡμεῖς
ἐλπίζομεν, ὅτι, κἂν μνησικακίας γέμῃ
ἡ καρδία ἡμῶν, ὅμως ἐξιλεοῦμεν τὸν
Θεὸν, συχνάκις προσευχόμενοι, συχνάκις
ζητοῦντες τὸ ἔλεος αὐτοῦ, πλὴν πλανώ-
μεθα οἱ τάλανες· διότι ἡ πρώτη καὶ
κυρία προσευχὴ, καὶ τὸ θεμέλιον πά-
σης προσευχῆς, ἐστὶν ἡ προσευχὴ, ἣν
παρέδωκεν ἡμῖν αὐτὸς ὁ Κύριος ἡμῶν
Αὐτ. ϛ'. Ἰησοῦς Χριστὸς, ἤγουν τὸ Πάτερ ἡ-
9. μῶν· χωρὶς τούτου οὐδεμία προσευχὴ
γίνεται· τί δὲ λέγομεν, ἀναγινώσκοντες
Αὐτ. 12. τὸ Πάτερ ἡμῶν; Καὶ ἄφες ἡμῖν,
λέγομεν, τὰ ὀφειλήματα ἡμῶν, ὡς
καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέ-
ταις ἡμῶν. Ἀκούεις τί λέγεις, ὅταν
προσεύχεσαι; Πάτερ ἡμῶν, λέγεις, ἐ-
πουράνιε, συγχώρησον τὰ ἁμαρτήματά
μου, καθὼς καὶ ἐγὼ συγχωρῶ τοῦ ἀ-
δελφοῦ μου τὰ σφάλματα· συμφωνίαν
ποιεῖς μετὰ τοῦ Θεοῦ, ὅταν προσεύχε-
σαι, καὶ προβάλλων τὸ ἴδιόν σου παρά-
δειγμα, λέγεις· Καθὼς ἐγὼ συγχωρῶ
τῷ ἀδελφῷ μου, οὕτω καὶ σὺ συγχώρη-
σόν μοι· ταῦτα μὲν λαλοῦσι τὰ χείλη
σου, τὸ δὲ μῖσος τοῦ ἀδελφοῦ σου μένει
εἰς τὴν καρδίαν σου, καὶ ἡ μελέτη τῆς
κατ' αὐτοῦ ἐπιβουλῆς περιέρχεται εἰς τὸν
νοῦν σου· ἔπειτα ἐλπίζεις, ὅτι ἡ τοιαύ-
τη προσευχή σου ἀναβαίνει εἰς τὸν οὐ-
ρανὸν, καὶ καταβιβάζει σοι τῶν ἁμαρ-
τιῶν σου τὴν ἄφεσιν· ὡς φαίνεται, ἢ νο-
μίζεις, ὅτι ὁ Θεὸς οὐδὲ τοὺς λογισμούς
σου γνωρίζει, οὐδὲ τὴν καρδίαν σου βλέ-
πει, ἢ παίζεις μετὰ τοῦ παντοδυνάμου
τῆς κτίσεως Δημιουργοῦ, ἢ οὐδόλως κα-
ταλαμβάνεις, οὐδὲ τὸ τί λέγεις, ὅταν
προσεύχεται, οὐδὲ τὸ τί ζητεῖς. Ἀδελ-
φοί μου, μὴ πλανᾶσθε· ἡ τοιαύτη προ-
σευχὴ οὐκ ἔστι προσευχὴ, ἀλλὰ τόλμη
ἀναίσχυντος, καὶ παραλογία φανερά·
ἐν ὅσῳ οὐ συγχωρεῖτε τὰ σφάλματα
τῶν ἀδελφῶν ὑμῶν, μὴ ἐκφωνήσητε πο-
τὲ τὴν δεσποτικὴν προσευχὴν, διότι γί-
νεσθε αὐτοκατάκριτοι· μὴ ἐλπίσητε πο-
τὲ ἄφεσιν ἁμαρτιῶν, ἐν ὅσῳ οὐ συγχω-
ρεῖτε τῶν ἀνθρώπων τὰ παραπτώματα·
διότι ἐὰν μὴ ἀφῆτε τοῖς ἀνθρώποις Ματ. ϛ'.
τὰ παραπτώματα αὐτῶν, οὐδὲ ὁ 15.
Πατὴρ ὑμῶν ὁ οὐράνιος ἀφήσει τὰ
παραπτώματα ὑμῶν· τὸ στόμα
Κυρίου ἐλάλησε ταῦτα.

Ἀλλὰ πῶς νὰ συγχωρήσω, λέγεις,
ἐκεῖνον, ὅστις με ἔβλαψε; πῶς νὰ συγ-
χωρήσω τὸν συκοφάντην μου, τὸν προδό-
την μου, τὸν ἀδικητήν μου; Ἄκουσον τὸ
πῶς. Τί ζητεῖς; ἐκδίκησιν; ὁ Θεός ἐστιν
ὁ ἐκδικητὴς τῶν ἀδικουμένων· Ἐμοὶ ἐκ- Ῥωμ. ιβ'.
δίκησις, λέγει ὁ Κύριος. Τί ζητεῖς; 19.
ἵνα τιμωρήσῃς τὸν ἀδικήσαντά σε; ὁ Θεός
ἐστιν ὁ ἀνταποδότης, αὐτὸς τιμωρεῖ τὸν
ἀδικητήν σου· Ἐγὼ ἀνταποδώσω, λέ- Δευτ. λβ'.
γει Κύριος· σὺ μὴ θελήσῃς ἐκδίκη- 35.
σιν, ἀλλὰ δὸς τὴν συγχώρησιν· Μὴ Ῥωμ. ιβ'.
ἑαυτοὺς ἐκδικοῦντες, ἀγαπητοί· 19.
ὁ δὲ Θεὸς ἀναλαμβάνει τὴν φροντίδα τῆς
ἐκδικήσεώς σου· Ἐγὼ ἀνταποδώσω·
αὐ-

αὐτὸς, ὡς δίκαιος κριτὴς, ἐκδικεῖ τὸ ἀδίκημά σου· οὐκ ἀρκεῖ σοι τοῦτο, ἤγουν, ἵνα ἔχῃς ἐκδικητὴν τοῦ ἀδικητοῦ σου τὸν Ἰσχυρὸν, καὶ Φοβερὸν, καὶ Παντοδύναμον; Τὸ δικαίωμα τῆς ἐκδικήσεως, καὶ τῆς ἀνταποδόσεώς ἐστιν ἐν τῇ χειρὶ, καὶ ἐν τῇ ἐξουσίᾳ τοῦ Θεοῦ· Ἐμοὶ ἐκδίκησις, ἐγὼ ἀνταποδώσω, λέγει Κύριος· ἐὰν δὲ σὺ ἁρπάσῃς τὸ δικαίωμα αὐτοῦ, καὶ ἰδίᾳ χειρὶ τιμωρήσῃς τὸν ἀδικήσαντα, ἤγουν φανῇς χειροδίκης, τότε γίνεσαι πταίστης χείρων ἐκείνου· διότι ἐκεῖνος μὲν ἐτόλμησε κατὰ σοῦ, σὺ δὲ τολμᾷς κατὰ τοῦ δικαιώματος τοῦ Θεοῦ· ὅθεν παιδεύει σε ὁ Θεὸς διὰ τὴν ἁμαρτίαν σου, καθὼς παιδεύουσιν οἱ Βασιλεῖς τῆς γῆς τοὺς χειροδίκας διὰ τὴν τούτων τόλμην. Θέλεις ἐκδίκησιν; μὴ βλάψῃς, μηδὲ ἐκδικηθῇς, μηδὲ μισήσῃς τὸν ἀδικήσαντά σε, ἀλλὰ συγχώρησον, καὶ ἀγάπησον αὐτὸν, καὶ εὐεργέτησον· τότε δὲ βλέπεις ἐπ' αὐτῷ
'Ρωμ. ιβ'. 20. τὴν ἐκδίκησιν τοῦ Θεοῦ· Ἐὰν πεινᾷ ὁ ἐχθρός σου, ψώμιζε αὐτόν· τοῦτο γὰρ ποιῶν, ἄνθρακας πυρὸς σωρεύσεις ἐπὶ τὴν κεφαλὴν αὐτοῦ. Ἐὰν μελετᾷς ταῦτα τὰ ἀληθινὰ μαθήματα, μανθάνεις τὸν τρόπον, διὰ τοῦ ὁποίου συγχωρεῖς τὰ τῶν ἀνθρώπων κατὰ σοῦ παραπτώματα.

Ἄκουσον δὲ καὶ ἄλλο ὑψηλότερον μάθημα, δι' οὗ μανθάνεις πῶς νὰ συγχωρῇς τοὺς ἀδικητάς σου. Ὅταν ἔρχηται ὁ σπορεὺς τῆς ἁμαρτίας, καὶ ζητῇ νὰ σπείρῃ εἰς τὴν καρδίαν σου τοῦ μίσους τὰ ζιζάνια, τότε ἄνοιξον εὐθὺς τὰ ὄμ-
Ἑβρ. ιβ'. 2. ματα τῆς ψυχῆς σου, καὶ ἴδε τὸν ἀρχηγὸν τῆς πίστεως, καὶ τελειωτὴν Ἰησοῦν. Ὕβρισαν αὐτὸν οἱ Ἰου-
Ἰωάν. η'. 48. δαῖοι, καὶ εἶπον, ὅτι ἐστὶ Σαμαρείτης καὶ δαιμονιζόμενος· ἐσυκοφάντησαν αὐτὸν οἱ Φαρισαῖοι, λέγοντες, ὅτι διὰ τοῦ ἄρχοντος τῶν Δαιμονίων ἐκβάλλει τὰ Δαιμόνια· ὁ Ἰούδας, ὁ μαθητὴς αὐ- Ματ. ς'. 34.
τοῦ, παρέδωκεν αὐτὸν εἰς θάνατον διὰ τριάκοντα ἀργύρια. Ὅταν ἔρχηται εἰς Αὐτ. κς'. 15.
τὸν νοῦν σου ὁ λογισμὸς τῆς ἐκδικήσεως, τότε ἄνοιξον τὰ ὄμματα τῆς καρδίας σου, καὶ ἴδε τὸ πάθος τοῦ Ἰησοῦ Χριστοῦ. Ῥαπίσματα, μάστιγας, ἐμπτύσματα, φραγγελώσεις, πορφυροῦν ἱμάτιον εἰς τοὺς ὤμους, ἀκάνθινον στέφανον εἰς τὴν κεφαλὴν, κάλαμον εἰς τὴν δεξιάν. Ὅταν θέλῃς ἐκδίκησιν κατὰ τῶν ἀδικησάντων σε, τότε ἀναβίβασον τὸν νοῦν σου εἰς τὸ ὄρος τοῦ Γολγοθᾶ· ἐκεῖ βλέπεις τὸν Θεάνθρωπον ἐσταυρωμένον ἐν μέσῳ δύω λῃστῶν, καὶ πεπληγωμένον ἀπὸ κεφαλῆς ἕως ποδῶν· ἐκεῖ βλέπεις τὸ αἷμα ῥέον ἐκ τῶν πληγῶν, καὶ τὸν ἠγαπημένον αὐτοῦ μαθητὴν παρεστῶτα, καὶ τὴν μητέρα αὐτοῦ τὰ σπλάγχνα κοπτομένην, καὶ θρηνῳδοῦσαν, καὶ κλαίουσαν· ἐκεῖ βλέπεις τὴν χολὴν καὶ τὸ ὄξος· ἐκεῖ ἀκούεις, καὶ τὸ πῶς ἐκδικεῖται ὁ Θεάνθρωπος τοὺς ὑβριστὰς, τοὺς συκοφάντας, τοὺς προδότας, τοὺς ἐμπαίκτας, τοὺς βασανιστὰς καὶ σταυρωτὰς αὐτοῦ· ἄνοιξον τὰ ὦτά σου, καὶ ἄκουσον τὸν τρόπον τῆς ἐκδικήσεως· Πάτερ, ἄφες Λουκ. κγ'. 34.
αὐτοῖς· οὐ γὰρ οἴδασι τί ποιοῦσι. Ποίαν ἀπόκρισιν ἔχεις πρὸς ταῦτα; Τί ποτε ὅμοιον ἔπαθες ὑπὸ τῶν ἀνθρώπων, καὶ διὰ τοῦτο σὺ θέλεις συγχωρῆσαι αὐτοῖς;

Ὁ Ἰησοῦς Χριστὸς, λέγεις, οὐκ ἦν μόνον ἄνθρωπος, ἀλλὰ καὶ Θεός. Ναὶ,
ἀληθῶς· ἀλλ' αὐτὸς ἔπαθε, λέγει ὁ Α'. Πέτρ. β'. 21.
μακάριος Πέτρος, ὑπὲρ ὑμῶν, ὑμῖν ὑπολιμπάνων ὑπογραμμὸν, ἵνα ἐπακολουθήσητε τοῖς ἴχνεσιν αὐτοῦ. Περὶ δὲ τούτου οὐκ ἔχεις ἓν μόνον παράδειγμα, τὸ τοῦ Θεανθρώπου, ἔχεις παραδείγματα μυρία ἀνθρώπων. Οὐκ ἦσαν ἄνθρωποι οἱ Ἀπόστολοι; καὶ ὅμως αὐτοὶ, ὑβριζόμενοι, ηὐλόγουν· διωκό-

Α'. Κορ. δ'. 12, 13. κόμενοι, ὑπέμενον· βλασφημούμενοι, παρεκάλουν. Οὐκ ἦσαν ἄνθρωποι τοσοῦτον πλῆθος Μαρτύρων; καὶ ὅμως αὐτοὶ ἐσυγχώρησαν τοὺς βασανίσαντας αὐτοὺς διὰ δριμυτάτων βασάνων, καὶ τελευταῖον φονεύσαντας αὐτοὺς ἀδίκως καὶ ἀσπλάγχνως. Οὐκ ἦν ἄνθρωπος ὁ πρωτομάρτυς Στέφανος; καὶ ὅμως ἔκλινε τὰ γόνατα, καὶ προσηυχήθη ὑπὲρ τῶν λιθαζόντων Πράξ. ζ'. 60. αὐτόν· Κύριε, εἶπε, μὴ στήσῃς αὐτοῖς τὴν ἁμαρτίαν ταύτην· καὶ τοῦτο εἰπών, ἐκοιμήθη. Ἐὰν τὰ παραδείγματα ταῦτα ἔχῃς πάντοτε ἔμπροσθεν τῶν ὀφθαλμῶν σου, μανθάνεις τὸν τρόπον, δι' οὗ εὔκολα συγχωρεῖς τοὺς ἀδικοῦντάς σε.

Δυστυχεῖς ἀληθῶς καὶ ἀναπολόγητοί εἰσιν οἱ μνησίκακοι. Ὁ θεῖος Ἀπόστολος Παῦλος, πεπληροφορημένος ὤν, ὅτι τὸ μῖσος, ὅσον ὁ καιρὸς προχωρεῖ, τοσοῦτον στερεοῦται, καὶ εἰδώς, ὅτι ἡ ὥρα τοῦ θανάτου ὡς κλέπτης ἔρχεται, παρήγγειλεν, ἵνα εἰρηνοποιώμεθα μετὰ τῶν παροργισάντων ἡμᾶς πρὸ τῆς δύσεως τοῦ ἡλίου, τοῦ ἀνατείλαντος κατ' ἐκείνην τὴν ἡμέραν, καθ' ἣν παρωργίσθημεν· Ἐφεσ. δ'. 26. Ὁ Ἥλιος μὴ ἐπιδυέτω ἐπὶ τῷ παροργισμῷ ὑμῶν. Ἐπειδὴ δὲ ὁ μνησίκακος οὐδέποτε φροντίζει, ἵνα εἰρηνευθῇ καὶ ἀγαπηθῇ μετὰ τοῦ παροργίσαντος αὐτόν, τὸ μῖσος αὔξει καὶ στηρίζεται ἐν τῇ καρδίᾳ αὐτοῦ· ὅθεν, ἐὰν μὲν ὁ θάνατος δώσῃ καιρὸν μετανοίας, αὐτὸς οὐ δύναται εἰς τὴν ὥραν τοῦ θανάτου αὐτοῦ ἐκριζῶσαι αὐτὸ ἀπὸ τῆς ψυχῆς αὐτοῦ· ἐὰν δὲ ἁρπάσῃ αὐτὸν ἐξαίφνης, ἀποθνήσκει μνησικακῶν, καὶ ἀσυγχώρητος ἀπὸ τῶν λοιπῶν ἁμαρτιῶν αὐτοῦ.

Φρίκη με περικαταλαμβάνει, ὅταν ἀναγινώσκω τὴν ἀπόφασιν τοῦ Θεοῦ, ἣν ἔγραψεν ὁ πεσὼν ἐπὶ τὸ στῆθος αὐτοῦ, καὶ ἐκεῖθεν ἀντλήσας τῆς ἀληθείας τὰ νάματα· Πᾶς, λέγει, ὁ μισῶν τὸν Α'. Ἰωάν. γ'. 15. ἀδελφὸν αὐτοῦ, ἀνθρωποκτόνος ἐστί· καὶ οἴδατε, ὅτι πᾶς ἀνθρωποκτόνος οὐκ ἔχει ζωὴν αἰώνιον ἐν αὐτῷ μένουσαν. Μετὰ ταῦτα, ποία ἐλπὶς σωτηρίας μένει εἰς τὸν μνησίκακον;

Κύριε τοῦ ἐλέους, ἐλέησον τὸ πλάσμα σου· ἐκρίζωσον ἐκ τῶν καρδιῶν ἡμῶν τὸ ψυχοφθόρον μῖσος, καὶ ἐμφύτευσον τὴν ψυχοσωτήριόν σου ἀγάπην, καὶ τὴν πρὸς τοὺς ἀδελφοὺς ἡμῶν συμπάθειαν, δι' ἧς εἶπας, ὅτι ἐξαλείφεις τὰ ἁμαρτήματα ἡμῶν, καὶ καταξιοῖς ἡμᾶς τῆς ἀπεράντου σου δόξης καὶ μακαριότητος· Ἐὰν ἀφῆτε τοῖς ἀνθρώποις Ματ. ϛ'. 14. τὰ παραπτώματα αὐτῶν, ἀφήσει καὶ ὑμῖν ὁ Πατὴρ ὑμῶν ὁ οὐράνιος.

# ΕΡΜΗΝΕΙΑ

ΕΙΣ ΤΟ ΚΑΤΑ

# ΜΑΤΘΑΙΟΝ

## ΕΥΑΓΓΕΛΙΟΝ ΤΗΣ ΙΒ'. ΚΥΡΙΑΚΗΣ.

Τὰ μαθήματα τῆς τελειότητος, τὰ διδασκόμενα ὑπὸ τοῦ σημερινοῦ Εὐαγγελίου, τοὺς μὲν μακαρίους Ἀποστόλους τοσοῦτον ἐξέπληξαν, ὥστε ἐξεβόησαν τό,
Ματ. ιθ'. 25. Τίς ἄρα δύναται σωθῆναι; τὸν δὲ παραβάτην Ἰουλιανὸν, ὅστις, ἀποστὰς τῆς πίστεως, καὶ τῶν φρενῶν αὐτοῦ ἄπιστη, τοσοῦτον κατέπληξαν, ὥστε ἐτόλμησε, καὶ εἶπεν, ὅτι ἡ τούτων ἐκπλήρωσις ἐστὶν ἔργον ἀδύνατον. Τί δὲ ἄρα περὶ τούτων συλλογίζονται οἱ σημερινοὶ Χριστιανοί; Ἴσως οἱ μὲν ἐκπλήττονται, ὡς οἱ Ἀπόστολοι, οἱ δὲ ἀπιστοῦσιν, ὡς ὁ Ἰουλιανὸς, ὁ παραβάτης καὶ ἄπιστος. Ἀλλὰ μετὰ τοσαῦτα παραδείγματα ἐκείνων, οἵτινες, καταφρονήσαντες πλούτου καὶ δόξης, ἔφθασαν εἰς τὴν εὐαγγελικὴν τελειότητα, καὶ ἐκείνων, οἵτινες, πλούσιοι ὄντες καὶ ἔνδοξοι, πάσας τὰς ἐντολὰς τοῦ Θεοῦ ἐφύλαξαν, καὶ τῆς οὐρανίου ζωῆς καὶ βασιλείας κληρονόμοι γεγόνασιν, οὐδὲ ἡ ἔκπληξις, οὐδὲ ἡ ἀπιστία ἔχει τόπον. Κατὰ τὴν διδασκαλίαν τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, τὸ ἔργον ἐστὶ δυσκολώτατον, καὶ σχεδὸν ἀδύνατον κατὰ τὰς φυσικὰς τοῦ ἀνθρώπου δυνάμεις· τὸ αὐτὸ δὲ ἐστι δυνατὸν καὶ εὔκολον τῇ ἐνεργείᾳ τῆς παντοδυνάμου τοῦ Θεοῦ χάριτος. Ἀκούσωμεν τὴν ἐξήγησιν ὅλης τῆς εὐαγγελικῆς διηγήσεως, ἵνα καταλάβωμεν πῶς, καὶ εἰς ποίους τὰ δύσκολα καὶ ἀδύνατα, γίνονται δυνατὰ καὶ εὔκολα.

Τῷ καιρῷ ἐκείνῳ, νεανίσκος τις προσῆλθε τῷ Ἰησοῦ, γονυπετῶν αὐτὸν, καὶ λέγων· Διδάσκαλε ἀγαθὲ, τί ἀγαθὸν ποιήσω, ἵνα ἔχω ζωὴν αἰώνιον; Ματ. ιθ'. 16.

Ὁ νεανίσκος οὗτος οὐ μόνον ἦν πλούσιος, ἀλλὰ καὶ Ἄρχων, ὡς ἐσημείωσεν ὁ θεηγόρος Λουκᾶς· ὅτι δὲ προσῆλθε Λουκ. ιη'. 18.
πρὸς τὸν Ἰησοῦν Χριστὸν, οὐχὶ πειράζων αὐτὸν, ὥσπερ ὁ Νομικὸς, φανερόν ἐστιν ἐκ τῆς εὐλαβείας, μεθ' ἧς Ματ. κβ'. 35.
προσῆλθε, κλίνας τὰ γόνατα αὐτοῦ ἐνώπιον τοῦ Ἰησοῦ Χριστοῦ· φανερὸν δὲ μάλιστα ἐξ ὧν ἔγραψεν ὁ ἱερὸς Μάρκος, δηλώσας, ὅτι ὁ Ἰησοῦς ἐμβλέψας αὐτῷ, ἠγάπησεν αὐτόν· ἐὰν Μάρκ. ι'. 21.
δὲ προσήρχετο μετὰ ὑποκρίσεως καὶ δόλου, οὐκ ἠγάπα αὐτὸν ὁ καρδιογνώστης Χριστός. Οὗτος ὁ νέος ἤκουσεν, ὡς φαίνεται, τὰς τοῦ Κυρίου Ἰησοῦ ἀγαθοεργίας, καὶ εὐεργεσίας, ἔτι δὲ καὶ ὅτι διδάσκει μαθήματα περὶ τῆς αἰωνίου ζωῆς· ὅθεν ἦλθε πρὸς αὐτὸν, ἵνα ἀκούσῃ, καὶ μάθῃ τίνι τρόπῳ δύναται εἰσελθεῖν εἰς τὴν αἰώνιον ζωήν· ἐπίστευεν οὖν, ὅτι ὁ Ἰησοῦς Χριστὸς ἐστὶ διδάσκαλος καὶ ἀγαθὸς, οὐχὶ δὲ, ὅτι ὁ αὐτὸς ἐστι καὶ Θεός. Τοῦτο ἐφανέρωσεν ἡ ἀπόκρισις τοῦ Κυρίου Ἰησοῦ.

Ὁ

Ματ. ιθ'. 17. Ὁ δὲ εἶπεν αὐτῷ· Τί με λέγεις ἀγαθόν; οὐδεὶς ἀγαθὸς, εἰ μὴ εἷς ὁ Θεός. Εἰ δὲ θέλῃς εἰσελθεῖν εἰς τὴν ζωὴν, τήρησον τὰς ἐντολάς.

Ἐὰν ὁ νεανίσκος ἐπίστευεν, ὅτι ὁ Ἰησοῦς Χριστὸς ἐστὶ Θεὸς, οὐκ ἔλεγε πρὸς αὐτὸν ὁ Ἰησοῦς τὸ, Τί με λέγεις ἀγαθόν; εἶπε δὲ τοῦτο, ὡς ἂν εἰ ἔλεγε· Σὺ μὴ πιστεύων, ὅτι εἰμὶ Θεὸς, διατί με λέγεις ἀγαθόν; οὐ μόνον ἄνθρωπος, ἀλλ' οὐδὲ Ἄγγελος ἐστὶ φύσει ἀγαθός· διότι καὶ οἱ ἄνθρωποι, καὶ οἱ Ἄγγελοι ἔχουσι τὴν ἀγαθότητα οὐ κατὰ φύσιν, ἀλλὰ κατὰ χάριν, οὐδὲ ὑπερτελείαν, ἀλλ' ἀτελῆ, συγκρινομένην τῇ τοῦ Θεοῦ ἀγαθότητι· εἷς δὲ καὶ μόνος ὁ Θεὸς ἔχει, κατὰ φύσιν, ὑπερτελείαν καὶ ἀμετάτρεπτον τὴν ἀγαθότητα, πηγὴ ἀγαθότητος ὢν, καὶ πάσης ἀγαθωσύνης χορηγός. Ταῦτα οὖν νουθετικῶς ἅμα καὶ ἐλεγκτικῶς εἰπὼν αὐτῷ ὁ Ἰησοῦς, ἀποκρίνεται ἔπειτα εἰς τὸ ἐρώτημα αὐτοῦ, λέγων· Ἐὰν θέλῃς εἰσελθεῖν εἰς τὴν αἰώνιον ζωὴν, φύλαξον τὰς ἐντολάς. Ἐκ τούτων μανθάνομεν πρῶτον μὲν, ὅτι ἀναγκαία ἐστὶν ἡ θέλησις τοῦ ἀνθρώπου πρὸς τὴν σωτηρίαν, θέλησις δὲ ἐλευθέρα, καὶ οὐχὶ βεβιασμένη· Εἰ δὲ θέλῃς, ἐὰν θέλῃς· δεύτερον δὲ, ὅτι ἡ μόνη θέλησις τοῦ ἀνθρώπου οὐκ ἐξαρκεῖ, ἀλλ' ἀναγκαία ἐστὶ καὶ ἡ φυλακὴ τῶν ἐντολῶν τοῦ Θεοῦ· Τήρησον τὰς ἐντολάς· τρίτον, ὅτι ὅστις θέλῃ τὴν σωτηρίαν αὐτοῦ, φυλάξῃ δὲ τὰς ἐντολὰς τοῦ Θεοῦ, ἐκεῖνος ἀναμφιβόλως σώζεται· Εἰ δὲ θέλῃς εἰσελθεῖν εἰς τὴν ζωὴν, τήρησον τὰς ἐντολάς. Τί δὲ πρὸς ταῦτα ἀπεκρίθη ὁ νεανίσκος;

Ματ. ιθ'. 18. Λέγει αὐτῷ· Ποίας; Ὁ δὲ Ἰησοῦς εἶπε· Τὸ, οὐ φονεύσεις· Οὐ μοιχεύσεις· Οὐ κλέψεις· Οὐ ψευδομαρτυρήσεις·
19. Τίμα τὸν πατέρα σου, καὶ τὴν μητέρα· καὶ, Ἀγαπήσεις τὸν πλησίον σου ὡς σεαυτόν.

Ἐνόμιζεν ὁ νέος ἐκεῖνος, ὅτι ἄλλη ἀρετὴ, καὶ οὐχὶ ἡ ἐκπλήρωσις τῶν ἐν τῷ νόμῳ τοῦ Μωϋσέως θείων ἐντολῶν, εἰσάγει τὸν ἄνθρωπον εἰς τὴν αἰώνιον ζωήν· διὸ ἐξ ἀρχῆς μὲν ἠρώτα· Τί ἀγαθὸν ποιήσω, ἵνα ἔχω ζωὴν αἰώνιον; ἔπειτα πάλιν ἠρώτησε, καὶ ποῖαί εἰσιν αἱ ἐντολαὶ, αἱ εἰσάγουσαι εἰς τὴν αἰώνιον ζωήν; Ὁ δὲ Κύριος προβάλλει αὐτῷ συντόμως αὐτὰς τὰς τοῦ Θεοῦ ἐντολὰς, τὰς ἐν τῷ νόμῳ τοῦ Μωϋσέως πλατύτερον περιεχομένας. Βλέπε δὲ τὴν τοῦ Κυρίου ἄπειρον σοφίαν. Ἐπειδὴ προηγεῖται ἡ ἀποχὴ τῶν κακῶν τῆς κατορθώσεως τοῦ ἀγαθοῦ, κατὰ τὸ, Ἔκκλινον ἀπὸ κακοῦ, καὶ ποίησον ἀγαθόν· (Ψαλ. λγ'. 14.) πρὸς τούτοις δὲ εὐκολωτέρα ἐστὶν ἡ φυγὴ τῆς ἁμαρτίας, ἤπερ ἡ κατόρθωσις τῆς ἀρετῆς, (Βασίλ. εἰς τὴν Σειρ.) διὰ τοῦτο πρῶτον προβάλλει τὰς ἐντολὰς, τὰς διδασκούσας τὴν φυγὴν τῶν ἁμαρτημάτων, λέγων· Οὐ φονεύσεις, οὐ μοιχεύσεις, οὐ κλέψεις, οὐ ψευδομαρτυρήσεις· ἔπειτα τὰς ἐντολὰς, δι' ὧν κατορθοῦται ἡ ἀρετή· Τίμα τὸν Πατέρα σου, καὶ τὴν μητέρα· καὶ, Ἀγαπήσεις τὸν πλησίον σου ὡς σεαυτόν.

Ματ. ιθ'. 20. Λέγει αὐτῷ ὁ νεανίσκος· Πάντα ταῦτα ἐφυλαξάμην ἐκ νεότητός μου· τί ἔτι ὑστερῶ;

Χρυσ. εἰς τὸν Σειρ. Ταῦτα ἔλεγεν οὐχ ὑποκρινόμενος, οὐδὲ ὡς πειράζων τὸν Ἰησοῦν Χριστόν· ἐὰν ὑποκριτὴς ἦν καὶ ψεύστης, οὐκ ἠγάπα αὐτὸν ὁ Χριστός· ἀληθῶς ἐκ παιδικῆς αὐτοῦ ἡλικίας ἐφύλαξε τὰς τοῦ Μωσαϊκοῦ νόμου ἐντολάς· λογιζόμενος ὅμως τῆς ἀνταποδόσεως τὸ μεγαλεῖον, ὀλίγος καὶ οὐκ ἀντάξιος τῆς αἰωνίου ζωῆς ἐφαίνετο αὐτῷ ὁ ὑπὲρ τῆς φυλακῆς τῶν ἐντολῶν καταβαλλόμενος πρόσκαιρος κόπος· διὸ ὑποπτευόμενος, ὅτι χρείαν ἔχει καὶ ἄλλων κατορθωμάτων, ἠρώτα, λέγων· Τί ἔτι ὑστερῶ; τί μοι λείπει ἔτι, ἵνα ἄξιος γένωμαι τῆς αἰωνίου ζωῆς;

Ματ. ιθ΄. 21. Ἔφη αὐτῷ ὁ Ἰησοῦς· Εἰ θέλης τέλειος εἶναι, ὕπαγε, πώλησόν σου τὰ ὑπάρχοντα, καὶ δὸς πτωχοῖς· καὶ ἕξεις θησαυρὸν ἐν οὐρανῷ· καὶ δεῦρο ἀκολούθει μοι.

Σώζει, ναὶ, τὸν εἰς Χριστὸν πιστεύοντα ἡ φυλακὴ τῶν θείων ἐντολῶν, τῶν ἐν τῷ Μωσαϊκῷ νόμῳ, καὶ εἰσάγει αὐτὸν εἰς τὴν ζωὴν τὴν αἰώνιον, ὡς φανερόν ἐστιν ἐκ τούτων τῶν λόγων τοῦ Κυρίου· Εἰ θέλῃς εἰσελθεῖν εἰς τὴν ζωὴν, τήρησον τὰς ἐντολάς· οὐ δύναται δὲ ἀναβιβάσαι αὐτὸν εἰς τὴν τελειότητα, τὴν ὑπὸ τοῦ ἁγίου Εὐαγγελίου διδασκομένην· ἐπιβεβαιοῖ τοῦτο ὁ
Ἑβρ. ζ΄. 19. θεηγόρος Παῦλος, λέγων· Οὐδὲν γὰρ ἐτελείωσεν ὁ νόμος. Σκιὰν γὰρ
Αὐτ. ι΄. 1. ἔχων ὁ νόμος τῶν μελλόντων ἀγαθῶν, οὐκ αὐτὴν τὴν εἰκόνα τῶν πραγμάτων, κατ' ἐνιαυτὸν ταῖς αὐταῖς θυσίαις, ἃς προσφέρουσιν εἰς τὸ διηνεκὲς, οὐδέποτε δύναται τοὺς προσερχομένους τελειῶσαι. Σημείωσαι δὲ, ὅτι ἄλλη ἡ δόξα τῶν σεσωσμένων, καὶ ἄλλη ἡ δόξα τῶν καταξιωθέντων τῆς εὐαγγελικῆς τελειότητος, ἤγουν τῶν ἁγίων· διότι εἰς μὲν τοὺς φύλακας τῶν ἐντολῶν ἐπηγγέλθη ὁ Κύριος τὴν εἴσοδον εἰς τὴν αἰώνιον ζωήν· Εἰ δὲ θέλῃς εἰσελθεῖν εἰς τὴν ζωὴν, τήρησον τὰς ἐντολάς· εἰς δὲ τοὺς τελείους, θησαυρὸν ἐν οὐρανῷ, ἤγουν ὑπερβάλλουσαν οὐράνιον δόξαν· Καὶ ἕξεις θησαυρὸν ἐν οὐρανῷ. Οἱ τέλειοι, ἤγουν οἱ ἅγιοι, οὐ μόνον κληρονομοῦσι τὴν αἰώνιον ζωὴν, ὡς καὶ οἱ σεσωσμένοι, ἀλλὰ καὶ ἀπολαμβάνουσι τοὺς θησαυροὺς τῆς θείας δόξης· τοῦτο δέ ἐστιν ὅπερ ἀλλαχοῦ εἶ-
πεν ὁ Σωτὴρ ἡμῶν· Ἐγὼ ἦλθον, ἵνα Ἰωάν. ι΄. 10.
ζωὴν ἔχωσι, καὶ περισσὸν ἔχωσιν, ἤγουν, ἵνα ἔχωσιν οἱ ἅγιοι, οὐ μόνον τὴν αἰώνιον ζωὴν, καθὼς καὶ οἱ σεσωσμένοι, ἀλλὰ καὶ ἔτι πλέον, τουτέστι τὴν πλουσιωτάτην ἀπόλαυσιν τῆς θείας δόξης. Ὅτι δὲ βαθμοί εἰσι δόξης καὶ μακαριότητος, αὐτὸς ὁ Κύριος ἐφανέρωσεν,
εἰπών· Ἐν τῇ οἰκίᾳ τοῦ Πατρός Αὐτ. ιδ΄. 2.
μου πολλαὶ μοναί εἰσι. Καθὼς δὲ πάντες οἱ ἄνθρωποι οὐκ ἐπίσης βλέπουσι τὸ αὐτὸ φῶς, ἀλλ' οἱ μὲν περισσότερον, οἱ δὲ ὀλιγώτερον κατὰ ἀναλογίαν τῆς δυνάμεως τῶν ὀμμάτων αὐτῶν· οὕτως οὐδὲ πάντες οἱ δίκαιοι ἐπίσης ἀπολαμβάνουσι τῆς αὐτῆς δόξης τοῦ Θεοῦ, ἀλλ' οἱ μὲν περισσοτέρας, οἱ δὲ ὀλιγωτέρας κατὰ ἀναλογίαν τῶν ἐναρέτων κατορθωμάτων αὐτῶν. Ἐκ τούτων μανθάνομεν, ὅτι ἡ μὲν φυλακὴ τῶν ἐντολῶν τοῦ νόμου τοσοῦτον ἀναγκαία ἐστὶν, ὥστε οὐδεὶς χωρὶς αὐτῆς δύναται σωθῆναι· ἡ δὲ τελειότης ἡ εὐαγγελική ἐστιν ἔργον οὐκ ἀναγκαῖον πρὸς σωτηρίαν, ἀλλὰ προαιρετικὸν, ὑπερβαλλούσης δόξης πρόξενον. Ἐὰν μὲν φυλάξω τὰς ἐντολὰς, σώζομαι· ἐὰν δὲ παρέβω αὐτὰς,

κο-

κολάζομαι. Ἐὰν μὲν ἀναβῶ εἰς τὴν
εὐαγγελικὴν τελειότητα, γίνομαι τέλειος
μαθητὴς τοῦ Ἰησοῦ Χριστοῦ καὶ ἅγιος·
Καὶ δεῦρο ἀκολούθει μοι, καὶ ὑ-
περδοξάζομαι ἐν οὐρανοῖς· Καὶ ἕξεις
θησαυρὸν ἐν οὐρανῷ· ἐὰν δὲ μείνω
ἐστερημένος τῆς τελειότητος, σώζομαι,
ἀλλ᾽ οὐ γίνομαι ἅγιος, οὐδὲ ὑπερδοξάζο-
μαι. Ἐπιβεβαιοῖ ταῦτα ὁ μέγας Θεο-
λόγος Γρηγόριος, ὁ Ναζιανζηνὸς, λέγων·
Ναζιανζ. ἐν τῷ Γ΄. στηλιτ. λόγ. Τῆς ἡμετέρας νομοθεσίας, τὰ μὲν
ἀνάγκην ἔχει τοῖς ἐπιταττομέ-
νοις, ἃ καὶ μὴ φυλάττουσι κίνδυ-
νος· τὰ δὲ οὐκ ἀνάγκην, αἵρεσιν
δὲ, ἃ φυλάττουσι μὲν τιμὴν καὶ
ἀντίδοσιν, μὴ φυλάττουσι δὲ, οὐ-
δ᾽ ὅν τιν᾽ οὖν κίνδυνον· καὶ μετ᾽ ὀλί-
γα· Ὥσπερ γὰρ οὐχ ὅστις οὐ κο-
λάσεως ἄξιος, ἤδη καὶ ἀναῤῥή-
σεως· οὕτως οὐχ ὅστις ἀναῤῥή-
σεως, ἤδη καὶ τιμωρίας. Βλέπε δὲ,
πῶς δι᾽ ὀλίγων ῥημάτων ἐπερίγραψεν ὁ
Θεάνθρωπος τὴν τελειότητα. Πώλησον,
λέγει, τὰ ὑπάρχοντά σου, καὶ δὸς αὐτὰ
τοῖς πτωχοῖς· καὶ δεῦρο ἀκολούθει μοι,
ἤγουν γενοῦ μιμητής μου. Φανερὸν δέ ἐ-
στιν, ὅτι ὁ ξένος τοῦ κόσμου, καὶ μι-
μητὴς τῶν ἀρετῶν τοῦ Ἰησοῦ Χριστοῦ,
ἐκεῖνός ἐστιν ὁ ἄνθρωπος ὁ τέλειος, καὶ
οὐράνιος, καὶ ἅγιος. Τί δὲ ἀπεκρίθη ὁ
νεανίσκος, ἀκούσας τὰ περὶ τῆς τελειό-
τητος μαθήματα;

Ματ. ιθ΄. Ἀκούσας δὲ ὁ νεανίσκος τὸν
22. λόγον, ἀπῆλθε λυπούμενος·
ἦν γὰρ ἔχων κτήματα πολλά.

Ταῦτα ἀκούσας ὁ νεανίας, ἀπόκρι-
σιν μὲν οὐδεμίαν ἔδωκεν, ἀνεχώρησε δὲ
λυπούμενος. Τοῦτο δὲ οὐκ ἔστι παράδο-
Ἀυτόθι. ξον· Οὐ πάντες, εἶπεν ὁ Κύριος, χω-
11. ροῦσι τὸν λόγον τοῦτον, ἤγουν τὸν
περὶ τῆς τελειότητος λόγον· ὁ δυνά-
μενος χωρεῖν, χωρείτω. Τὸ μὲν Ματ. κϛ΄. 41.
πνεῦμα πρόθυμον, ἡ δὲ σάρξ ἀ-
σθενής· ἤθελε τὸ πνεῦμα τοῦ νεανίσ-
κου τὴν τελειότητα, ἠρώτα ποῖον τὸ ὑ-
στέρημα αὐτοῦ· Τί ἔτι ὑστερῶ; ἵνα
ἀναπληρώσῃ αὐτὸ, καὶ φθάσῃ εἰς τῆς
ἀρετῆς τὸ ὕψος· ἀλλ᾽ ἡ σάρξ ἐναντιοῦ-
το· ὁ πολὺς πλοῦτος, καὶ ἡ ἀξία ἐ-
κράτουν δεδεμένην τὴν ἑαυτοῦ θέλησιν·
ὅθεν ἀνεχώρησε λυπούμενος, ὅτι οὐχ ὑ-
πήκουσε τῇ οὐρανίῳ συμβουλῇ τοῦ Δι-
δασκάλου, οὐδὲ κατηξιώθη τῆς χάρι-
τος, τῆς εἰς τοὺς τελείους καὶ ἁγίους
διδομένης.

Ὁ δὲ Ἰησοῦς εἶπε τοῖς μα- Ἀυτ. ιθ΄.
θηταῖς αὐτοῦ· Ἀμὴν λέγω 23.
ὑμῖν, ὅτι πλούσιος δυσκόλως
εἰσελεύσεται εἰς τὴν Βασι-
λείαν τῶν οὐρανῶν. Πάλιν 24.
δὲ λέγω ὑμῖν· Εὐκοπώτερόν
ἐστι, κάμιλον διὰ τρυπήμα-
τος ῥαφίδος διελθεῖν, ἢ πλού-
σιον εἰς τὴν βασιλείαν τοῦ
Θεοῦ εἰσελθεῖν.

Ἰδὼν ὁ Ἰησοῦς, ὅτι ὁ νεανίσκος οὐκ
ἐχώρησε τὸ περὶ τῆς τελειότητος μάθη-
μα, παύει μὲν τὸν περὶ τούτου λόγον, λα-
λεῖ δὲ γενικῶς περὶ τῆς τῶν πλουσίων
σωτηρίας· καὶ πρῶτον μὲν λέγει, ὅτι
δυσκόλως οἱ πλούσιοι σώζονται· ἔπειτα
διὰ τοῦ παραδείγματος τῆς ῥαφίδος, ἤ- Κύριλλ. εἰς τὴν Συρ.
γουν τῆς βελόνης, καὶ τῆς καμίλου, ἤ-
γουν τοῦ σχοινίου, δι᾽ οὗ οἱ ναῦται δεσ-
μεύουσι τὴν ἄγκυραν, τοσοῦτον προάγει
τὴν δυσκολίαν, ὥστε ἐγγίζει εἰς τὸ ἀ- Χρυσ. αὐτ.
δύνατον. Ἀληθῶς δὲ εὐκοπώτερόν ἐ-
στιν,

στιν, ἤγουν ὀλιγώτερος κόπος ἐστὶν ἀναγκαῖος, ἵνα διέλθῃ τὸ σχοινίον τῆς ἀγκύρας διὰ τοῦ τρυπήματος τῆς βελόνης, τοῦ κόπου τοῦ ἀναγκαίου εἰς τὸν πλούσιον διὰ τὴν ἑαυτοῦ σωτηρίαν· διότι τὸ σχοινίον τῆς ἀγκύρας διέρχεται διὰ τοῦ τρυπήματος τῆς βελόνης, ἐὰν κατασκευάσῃς μεγάλην βελόνην, ἔχουσαν τρύπαν μείζονα τοῦ πάχους τοῦ σχοινίου· τοῦτο δὲ οὐ ζητεῖ μέγαν κόπον· πόσους δὲ ἀγῶνας καὶ κόπους ἀναγκαῖόν ἐστιν, ἵνα καταβάλλῃ ὁ πλούσιος καὶ ὁ ἄρχων, ὁ ἐν τρυφαῖς καὶ ἐξουσίᾳ καὶ ἀναπαύσεσι ζῶν, ἵνα μὴ δουλωθῇ ὑπὸ τῶν ἐπιθυμιῶν τῆς σαρκός; πόσην προσοχὴν, καὶ κόπον, ἵνα μὴ πέσῃ εἰς τὴν παγίδα τῆς πλεονεξίας, ἢ τῆς φιλαργυρίας, ἢ τῆς ἀδικίας, καὶ δυναστείας; πόσην ἀνδρείαν καὶ μεγαλοψυχίαν, ἵνα μὴ νικηθῇ ὑπὸ τῆς ματαιότητος τοῦ κόσμου, τῆς διαπαντὸς αὐτὸν περικυκλούσης; ἀληθῶς τοῦτό ἐστιν ἀδύνατον χωρὶς τῆς θείας βοηθείας καὶ ἀντιλήψεως.

Ματ. ιθ'. 25. Ἀκούσαντες δὲ οἱ μαθηταὶ αὐτοῦ, ἐξεπλήσσοντο σφόδρα, λέγοντες· Τίς ἄρα δύναται σωθῆναι;

Ἐθαύμαζον καὶ ἐξίσταντο οἱ μαθηταὶ τοῦ Ἰησοῦ Χριστοῦ ταῦτα ἀκούσαντες, ἐπειδὴ ἔβλεπον μόνον τὴν δύναμιν τῆς φύσεως, οὐκ ἐπέβλεψαν δὲ καὶ ἐπὶ τὸ κράτος καὶ τὴν ἰσχὺν τῆς παντοδυνάμου χάριτος. Ἐπειδὴ δὲ αὐτοὶ μὲν ἦσαν πτωχοὶ, ὁ δὲ λόγος ἐπέβλεπεν ἐπὶ τοὺς πλουσίους, διατί ἐξεβόησαν τὸ, τίς ἄρα δύναται σωθῆναι; Ἔδειξαν διὰ τούτου, ὅτι ἔκτοτε ἀνέλαβον τὴν ποιμαντικὴν ἐπιστασίαν καὶ φροντίδα περὶ τῆς σωτηρίας παντὸς τοῦ κόσμου. Χρυσ. εἰς τὴν Σειρ.

Ἐμβλέψας δὲ ὁ Ἰησοῦς, εἶπεν αὐτοῖς· Παρὰ ἀνθρώποις τοῦτο ἀδύνατόν ἐστι, παρὰ δὲ Θεῷ πάντα δυνατά ἐστι. Ματ. ιθ'. 26.

Τὸ θεῖον ῥῆμα τοῦ Κυρίου Ἰησοῦ, τὸ πρὸς τοὺς μαθητὰς αὐτοῦ ἐνατενίσαν, καὶ τὰ ζωηρὰ καὶ θεοπρεπῆ αὐτοῦ λόγια, ἔλυσαν τὴν ἀπορίαν καὶ ἔπαυσαν τὴν ἔκπληξιν αὐτῶν· Τοῦτο, λέγει, ὅπερ ἐστὶν ἀδύνατον εἰς τὴν δύναμιν τοῦ ἀνθρώπου, δυνατόν ἐστιν εἰς τὸν παντοδύναμον Θεόν. Ὁ μὲν ἄνθρωπος ὁ πλούσιος, ὁμοίως δὲ καὶ ὁ πτωχὸς, ἰδίᾳ δυνάμει οὐ δύναται σωθῆναι, δύναται δὲ σωθῆναι ὑπὸ τῆς παντοδυνάμου δεξιᾶς ὁδηγούμενος, καὶ βοηθούμενος.

# ΟΜΙΛΙΑ

### ΜΕΤΑ ΤΟ ΚΑΤΑ

# ΜΑΤΘΑΙΟΝ

## ΕΥΑΓΓΕΛΙΟΝ ΤΗΣ ΙΒ΄. ΚΥΡΙΑΚΗΣ.

Ὅστις στοχασθῇ ταῦτα τοῦ Κυρίου
Ματ. ιθ΄. 21. Ἰησοῦ τὰ λόγια· Εἰ θέλῃς τέλειος εἶναι, ὕπαγε, πώλησόν σου τὰ ὑπάρχοντα, καὶ δὸς πτωχοῖς· ἐκεῖνος πιστεύει καὶ πείθεται, ὅτι ἡ πτωχεία ἀναβιβάζει τὸν ἄνθρωπον εἰς τὴν τελειότητα· πείθεται, λέγω, ὅτι ὁ μὲν πτωχὸς γίνεται τέλειος εἰς τὴν ἀρετὴν, ὁ δὲ πλούσιος μένει πάντοτε ἀτελὴς εἰς τῆς ἀρετῆς τὰ κατορθώματα. Ἀληθῶς δὲ βλέπομεν, ὅτι ὁ πλούσιος εὔκολα κατακρημνίζεται εἰς ἐκεῖνα τὰ ἁμαρτήματα, εἰς τὰ ὁποῖα πολλὰ δύσκολα περιπίπτει ὁ πτωχός· ἡ πολυποικιλία τῶν ἐκλεκτῶν βρωμάτων, τὸ πλῆθος τῶν πολυειδῶν ποτῶν, ἡ σωματικὴ ἀνάπαυσις καὶ ἡ τρυφὴ, φλογερὰς ἀνάπτουσι σαρκὸς ἐπιθυμίας· ἡ ξηροφαγία καὶ ὑδροποσία, ἡ κακουχία καὶ οἱ σωματικοὶ κόποι μαραίνουσι τῶν σαρκικῶν ἐπιθυμιῶν τὴν φλόγα· τὰ πρῶτα μετέρχονται οἱ πλούσιοι, τὰ δεύτερα οἱ πτωχοί· ὅθεν ὁ μὲν πλούσιος εὔκολα περιπίπτει εἰς τῆς σαρκὸς τὰ ἁμαρτήματα, ὁ δὲ πτωχὸς δύσκολα γίνεται ἀσελγής. Ἡ μεγαλοπρέπεια τοῦ πλούτου, ἡ περιποίησις καὶ οἱ ἔπαινοι καὶ ἡ κολακεία τῶν ἀνθρώπων, ἐξεγείρουσι σφοδρὰ τῆς ὑπερηφανείας τὰ κύματα· ἡ εὐτέλεια τῆς πτωχείας, ἡ παραδρομὴ καὶ ὁ ἐξευτελισμὸς καὶ ἡ περιφρόνησις τῶν ἀνθρώπων βυθίζουσι τὴν ψυχὴν εἰς τὸ βάθος τῆς ταπεινώσεως· τὰ πρῶτα περιστοιχοῦσι τοὺς πλουσίους, εἰς τὰ δεύτερα ὑπόκεινται οἱ πτωχοί· διὰ τοῦτο ὁ μὲν πλούσιος εὔκολα γίνεται ὑπερήφανος, πτωχὸν δὲ ὑπερήφανον δύσκολα εὑρίσκεις. Ἡ καρδία τοῦ πλουσίου ἔχει δεσμοὺς πολλοὺς καὶ μεγάλους· δεσμεύει αὐτὴν ὁ πόθος τοῦ χρυσίου, δεσμεύει αὐτὴν ἡ ἀστραπὴ τῶν πολυτίμων λίθων καὶ τῶν λαμπρῶν κειμηλίων, δεσμεύει αὐτὴν ἡ καρποφορία τῶν ἀγρῶν καὶ τῶν ἀμπελώνων, δεσμεύει αὐτὴν ἡ μεγαλοπρέπεια τῶν παλατίων, καὶ ἡ ὑπηρεσία τῶν δούλων· ὅσα πράγματα ἔχει, τόσοι δεσμοὶ γίνονται τῆς καρδίας αὐτοῦ, καὶ τόσοι δεσπόται· τοῦ πτωχοῦ ἡ καρδία οὐδένα δεσμὸν ἔχει, καὶ οὐδένα δεσπότην, ἐπειδὴ οὐδὲν ἔχει, δυνάμενον δεσμεῦσαι ἢ ὑποδουλῶσαι τὴν καρδίαν αὐτοῦ. Ἡ ἀγάπη τοῦ πλουσίου ἐστὶ κεκολλημένη καὶ προσηλωμένη εἰς τὸν πλοῦτον αὐτοῦ· ἡ ἀγάπη τοῦ πτωχοῦ ἐστιν ἐλευθέρα καὶ ἀδούλωτος. Διὰ τοῦτο ὁ μὲν πλούσιος πολλὰ δύσκολα προσφέρει τὴν καρδίαν αὐτοῦ εἰς τὸν Θεὸν, πολλὰ δύσκολα ἀγαπᾷ αὐτὸν τελείᾳ ἀγάπῃ· ὁ πτωχὸς μετὰ μεγάλης εὐκολίας ἀγαπᾷ τὸν Θεὸν ἐξ ὅλης ψυχῆς καὶ διανοίας καὶ ἰσχύος. Ἐπειδὴ δὲ ὅπου λείπει ἡ τελεία ἀγάπη, ἐκεῖ λείπει τῶν ἀρετῶν ἡ τελειότης, διὰ τοῦτο ὁ μὲν πλούσιος πολλὰ δύσκολα γίνεται τέλειος, ὁ δὲ πτωχὸς εὐκολώτερα ἀναβαίνει εἰς τὴν

ἐν-

ειδεχομένην τοῖς ἀνθρώποις τελειότητα· διὰ τοῦτο οὖν εἶπεν ὁ Κύριος ἡμῶν· Εἰ θέλῃς τέλειος εἶναι, ὕπαγε, πώλησόν σου τὰ ὑπάρχοντα, καὶ δὸς πτωχοῖς.

Ἀλλ᾽ ὁ Θεὸς, λέγεις, ἐποίησε καὶ τὸν πλούσιον καὶ τὸν πτωχόν· Πλούσιος καὶ πτωχὸς συνήντησαν ἀλλήλοις, ἀμφοτέρους δὲ ὁ Κύριος ἐποίησε. (Παροιμ. κβ΄. 2.) Πῶς οὖν ὁ Θεὸς, ὅστις ἐστὶ Πατὴρ πάντων, καὶ ἐπίσης ἀγαπᾷ πάντας, ἐπίσης θέλει πάντας σωθῆναι, τοῦτον μὲν καταστήσας πλούσιον, ἐστενοχώρησεν εἰς αὐτὸν τὴν ὁδὸν τῆς οὐρανίου βασιλείας, ἐκεῖνον δὲ ἀναδείξας πτωχὸν, ἐπλάτυνεν ὑπὲρ αὐτοῦ τοῦ παραδείσου τὸν δρόμον; διατί ὁ Θεὸς τόσον ἄνισα διεμέρισε τὰ ἀγαθὰ αὐτοῦ; διατί οὐκ ἐποίησε πάντας πλουσίους, ἢ κἂν πάντας πτωχούς; Ἐπειδὴ ἐπίσης ἀγαπᾷ πάντας, καὶ ἐπίσης θέλει πάντων τὴν σωτηρίαν, διὰ τοῦτο ἐποίησε ταύτην τὴν ἄνισον διανομήν. Ὁ ἄνθρωπος οὐ δύναται ζῆν μόνος, ἔχει χρείαν βοηθοῦ· Καὶ εἶπε Κύριος ὁ Θεὸς, οὐ καλὸν εἶναι τὸν ἄνθρωπον μόνον· ποιήσωμεν αὐτῷ βοηθὸν κατ᾽ αὐτόν. (Γεν. β΄. 18.) Ἔζησαν τινὲς εἰς τὴν ἔρημον κατὰ μόνας, ἀλλὰ πολλὰ ὀλίγοι, καὶ ἐκλεκτοὶ, ὑπὸ τῆς θείας χάριτος ἐνδυναμούμενοι· οἵ τινες οὐκ ἦσαν ἄνθρωποι τοῦ κόσμου, ἀλλὰ τοῦ οὐρανοῦ, οὐκ ἦσαν ἐπίγειοι ἄνθρωποι, ἀλλ᾽ ὥσπερ οὐράνιοι Ἄγγελοι· ἐπειδὴ λοιπὸν ὁ ἄνθρωπός ἐστι ζῶον ὁμηγυρικὸν, ἀνάγκην ἔχων τῆς βοηθείας τῶν ἀνθρώπων, διὰ τοῦτο ὁ Θεὸς οὐκ ἐπίσης διεμέρισε τὰ ἀγαθὰ αὐτοῦ. Ἐὰν πάντες ἦσαν ἐπίσης πλούσιοι, ἢ πάντες ἐπίσης πτωχοὶ, οὐδὲ ἰατρὸν εἶχες, ἵνα ἰατρεύσῃ τὴν ἀσθένειάν σου, οὐδὲ τεχνίτην, ἵνα ἑτοιμάζῃ τὰ πρὸς τὴν ζωήν σου ἀναγκαῖα, οὐδὲ δοῦλον, ἵνα ὑπηρετήσῃ ταῖς χρείαις σου, καὶ ἀναπληρώσῃ τὰ ὑστερήματά σου· ἐὰν ἐπίσης πάντες ἦσαν πλούσιοι, ἢ πτωχοὶ, οὐδεμίαν εἶχε χρείαν ὁ ἕτερος τοῦ ἑτέρου· ἐκ τούτου ἔφευγον οἱ ἄνθρωποι ἀπ᾽ ἀλλήλων, ἐσβύνετο ἡ ἀγάπη, οὐδεμία ὁμήγυρις συνεκροτεῖτο, οὐδεμίαν ἄνεσιν ἔβλεπες ἐπὶ τῆς γῆς· ὅθεν εὔκολα ἐφθείρετο τὸ γένος τῶν ἀνθρώπων. Ἡ δὲ ἀνισότης τῆς διανομῆς συνάπτει καὶ περισφίγγει τοὺς ἀνθρώπους θαυμασίως. Ὁ πτωχὸς, ἀναγκαζόμενος ὑπὸ τῆς πτωχείας, ἔρχεται εἰς τὸν πλούσιον, ἵνα λάβῃ ἀργύρια· ὁ πλούσιος, μὴ δυνάμενος νὰ ἐπαρκέσῃ εἰς τὰς ἐργασίας αὐτοῦ, προσκαλεῖ τὸν πτωχὸν εἰς ὑπηρεσίαν αὐτοῦ καὶ βοήθειαν. Ἐκ τούτου συνίστανται καὶ στερεοῦνται τὰ πολίχνια, τὰ χωρία, αἱ πόλεις, καὶ τῶν ἀνθρώπων ἡ ὁμήγυρις· ἐκ τούτου τὰ ἀμοιβαῖα βοηθήματα, καὶ ἡ μετάδοσις, καὶ ἡ ἀνάπαυσις, καὶ ἡ ἀσφάλεια, καὶ ὁ πολλαπλασιασμὸς, καὶ ἡ στερέωσις τοῦ ἀνθρωπίνου γένους· ἐκ τούτου δὲ καὶ ἡ σωτηρία, διότι ὁ μὲν πλούσιος σώζεται διὰ τῆς μεταδόσεως καὶ τῆς ἐλεημοσύνης, ὁ δὲ πτωχὸς διὰ τῆς ταπεινοφροσύνης καὶ ὑπομονῆς.

Ἀλλ᾽ ὁ πλοῦτος, ἀποκρίνεσαι, προξενεῖ τόσα ἐμπόδια εἰς τὴν κατόρθωσιν τῆς ἀρετῆς, ὥστε σχεδὸν ἀδύνατον γίνεται εἰς τὸν πλούσιον τῆς σωτηρίας αὐτοῦ τὸ ἔργον. Ὁ πλοῦτος, αὐτὸς καθ᾽ ἑαυτὸν, οὐδὲ καλός ἐστιν, οὐδὲ κακός· γίνεται δὲ καλὸς, ἢ κακὸς ὑπὸ τῆς θελήσεώς σου, καθὼς καὶ ἡ γλῶσσά σου· διὰ τῆς γλώσσης σου, ὅταν θέλῃς, ποιεῖς πολλὰ καλά· συμβουλεύεις τὸ ἀγαθὸν, προσεύχεσαι, δοξολογεῖς τὸν Θεὸν, ἑρμηνεύεις τὰς θείας Γραφὰς, κηρύττεις τὸ Εὐαγγέλιον, διδάσκεις τὰ δόγματα τῆς πίστεως, ἐπιστρέφεις τὸν ἁμαρτωλὸν, ἐπιστηρίζεις τῆς ἀρετῆς τὸν ἐργάτην

την

την· διὰ τῆς αὐτῆς γλώσσης σου ποιεῖς φοβερὰ ἁμαρτήματα· προτρέπεις εἰς τὴν ἀνομίαν καὶ εἰς τὴν ἀδικίαν, κατακρίνεις, ὑβρίζεις, συκοφαντεῖς, ψευδομαρτυρεῖς, προδίδεις, βλασφημεῖς· κινεῖς, λέγω, τὴν γλῶσσάν σου, ὅπως θέλῃς, καὶ εἰς τὴν ἀρετὴν, καὶ εἰς τὴν ἁμαρτίαν. Τὰ αὐτὰ γίνονται καὶ διὰ τοῦ πλούτου· ὅστις μετέλθῃ τὸν πλοῦτον καλῶς, ἐκεῖνος ἐργάζεται μεγάλας καὶ πολλὰς ἀρετάς· τίς χορτάζει τὸν πεινῶντα, καὶ ἐνδύει τὸν γυμνόν; ὁ πλούσιος· τίς ἀντιλαμβάνεται τοῦ ὀρφανοῦ, καὶ προστατεύει τῆς χήρας; ὁ πλούσιος· τίς ἐξαγοράζει τὸν αἰχμάλωτον, καὶ ἐλευθεροῖ τὸν διὰ τὸ χρέος ἐν τῇ φυλακῇ βασανιζόμενον, καὶ σώζει παρθένους κινδυνευούσας, καὶ κτίζει Θεοῦ θυσιαστήρια, καὶ στολίζει Ἐκκλησίας; ὁ πλούσιος. Ὅταν δὲ ὁ πλούσιος μετέλθῃ κακῶς τὸν πλοῦτον, τότε καταχρημνίζεται εἰς φοβερὰ ἀνομήματα· γίνεται ὑπερήφανος, κοιλιόδουλος, ἀσελγὴς, πλεονέκτης, φιλάργυρος· δυναστεύει ἀδίκως τὸν ἀδύνατον, καταδιώκει τὸν ὀρφανὸν, κατατρέχει τὴν χήραν, ἁρπάζει τὰ ἐκκλησιαστικὰ πράγματα, ἐπιβουλεύει παντοιοτρόπως, βλάπτει ἀνυποστόλως. Βλέπετε λοιπὸν, ὅτι τὸ πᾶν ἵσταται οὐχὶ εἰς τὴν δύναμιν τοῦ πλούτου, ἀλλ' εἰς τὴν θέλησιν τοῦ ἀνθρώπου.

Ἀλλ' ὁ πλοῦτος, λέγεις, ἐκνευρίζει καὶ αὐτὰς τῆς θελήσεως τὰς δυνάμεις, τὰς ἀναγκαίας εἰς τὴν κατόρθωσιν τῆς ἀρετῆς. Ναὶ, ἀληθῶς· διὰ τοῦτο εἶπεν
Ματ. ιθ'. 23. ὁ Κύριος· Ἀμὴν λέγω ὑμῖν, ὅτι πλούσιος δυσκόλως εἰσελεύσεται εἰς τὴν βασιλείαν τῶν οὐρανῶν· διὰ τοῦτο παρέστησε τὴν δυσκολίαν πολλὰ μεγάλην· Πάλιν δὲ λέγω ὑμῖν, εὐκοπώτερόν ἐστι, κάμηλον διὰ τρυπήματος ῥαφίδος διελθεῖν, ἢ πλούσιον εἰς τὴν βασιλείαν τοῦ Θεοῦ εἰσελθεῖν· διὰ τοῦτο ἐσυμβούλευσεν, ἵνα, ὅστις θέλει τῆς ἀρετῆς τὴν τελειότητα καὶ τὰ ἐξαίρετα βραβεῖα, κατασταθῇ πτωχός· Εἰ θέλῃς τέλειος εἶναι, ὕπαγε, πώλησόν σου τὰ ὑπάρχοντα, καὶ δὸς πτωχοῖς· καὶ ἕξεις θησαυρὸν ἐν οὐρανῷ· καὶ δεῦρο ἀκολούθει μοι. Ματ. ιθ'. 21.
Ναὶ, ἀληθῶς, ὁ πλοῦτος ἐκνευρίζει τὰς δυνάμεις τῆς θελήσεως, ἀλλ' ὅπου λείπει ἡ δύναμις τῆς φύσεως, ἐκεῖ ὑπερλάμπει τὸ κράτος τῆς χάριτος· Ἡ γὰρ δύναμίς μου, εἶπεν ὁ Θεὸς εἰς τὸν Παῦλον, ἐν ἀσθενείᾳ τελειοῦται. Β'. Κορ. ιβ'. 9.
Ὁ Θεὸς, ὅστις γινώσκει τοὺς πειρασμοὺς τοῦ πλουσίου, ὅταν ἰδῇ εἰς αὐτὸν ἀγαθὴν προαίρεσιν, χορηγεῖ αὐτῷ πλουσίαν τὴν χάριν αὐτοῦ, διὰ τῆς ὁποίας αὐτὸς θριαμβεύει κατὰ τῶν πολέμων τοῦ πλούτου· ἡ δύναμις τῆς χάριτος ποιεῖ δυνατὸν τὸ ἀδύνατον τῆς φύσεως· τοῦτο δὲ ἐδίδαξεν ἡμᾶς τὸ σημερινὸν Ἐυαγγέλιον· Παρὰ ἀνθρώποις τοῦτο ἀδύνατόν ἐστι, παρὰ δὲ Θεῷ πάντα δυνατά ἐστιν. Ματ. ιθ'. 26.

Ἵνα δὲ μὴ περὶ τούτων ἀμφιβάλλωμεν, καὶ αἰτιάζωμεν τὸν Θεὸν, τὸν τοῦ πλούτου δοτῆρα, ὡς ποιητὴν τοῦ κακοῦ, προβάλλει ὁ Θεὸς εἰς τὰς ἁγίας Γραφὰς τύπους πλουσίων διεστραμμένων καὶ πονηρῶν, καὶ παραδείγματα πλουσίων δικαίων τε καὶ ἁγίων. Ἰδοὺ δύω πλούσιοι διεστραμμένοι καὶ κακοί· περὶ μὲν τοῦ ἑνὸς λέγει τὸ ἱερὸν Ἐυαγγέλιον· Ἄνθρωπός τις ἦν πλούσιος· περὶ δὲ τοῦ ἄλλου· Ἀνθρώπου τινὸς πλουσίου εὐφόρησεν ἡ χώρα. Ὁ πρῶτος ὑπερήφανος, ἐπειδὴ, κἂν μὴ ἦν Βασιλεὺς, ἐνεδιδύσκετο ὅμως βασιλικὰ ἐνδύματα, ἤγουν πορφύραν καὶ βύσσον· κοιλιόδουλος δὲ, καὶ εἰς τὰς ἡδονὰς καὶ τρυφὰς τοῦ σώματος ἔκδοτος, καὶ κενόδοξος· μαρτυρεῖ τοῦτο ὁ λόγος οὐ- Λουκ. ις'. 19. Λουκ. ιβ'. 16.

Λουκ. ιϛ'. οὗτος· Εὐφραινόμενος καθ' ἡμέραν
19. λαμπρῶς· ἀνελεήμων καὶ ἄσπλαγχνος
καθ' ὑπερβολήν· διότι ἔβλεπε καθ' ἑκά-
στην τὸν Λάζαρον κατακείμενον ἔμπρο-
σθεν τῆς θύρας τοῦ οἴκου αὐτοῦ, πεινῶν-
τα, ἀσθενῆ, πεπληγωμένον, ἔβλεπε καὶ
τοὺς σκύλακας, οἵτινες ἔλειχον τὰς πλη-
γὰς αὐτοῦ, καὶ ὅμως οὐδέποτε εὐσπλαγ-
χνίσθη, οὐδὲ ἠλέησεν αὐτόν. Ὁ δεύτερος
Αὐτ. ιβ'. πλούσιος ἦν πλεονέκτης· Καθελῶ μου,
18. ἔλεγε, τὰς ἀποθήκας, καὶ μείζο-
νας οἰκοδομήσω· καὶ συνάξω ἐ-
κεῖ πάντα τὰ γεννήματά μου, καὶ
τὰ ἀγαθά μου· φίλαυτος ἦν, ἀμετά-
δοτος, φιλάργυρος, κάτω εἰς τὴν γῆν ὡς
ὁ χοῖρος διαπαντὸς νενευκώς, καὶ μηδέ-
ποτε ἀνυψῶν τὰ ὄμματα αὐτοῦ εἰς τὸν
Αὐτόθι. οὐρανόν· Ψυχή, ἔλεγεν, ἔχεις πολλὰ
19. ἀγαθά, κείμενα εἰς ἔτη πολλά·
ἀναπαύου, φάγε, πίε, εὐφραίνου·
μωρὸς καὶ ἀνόητος, ἐπειδή, μὴ εἰδώς,
ἐὰν ζήσῃ ἕως τῆς αὔριον, ἐφαντάζετο
Αὐτόθι. ἔτη πολλά· Ἄφρον, ταύτῃ τῇ νυκ-
20. τὶ τὴν ψυχήν σου ἀπαιτοῦσιν ἀ-
πὸ σοῦ.

Ἰδοὺ καὶ ἄλλοι δύω πλούσιοι, δί-
καιοι, ἅγιοι, ἔνδοξοι ἐν οὐρανῷ καὶ ἐπὶ
Γεν. ιγ'. γῆς· Ἀβραὰμ δὲ ἦν πλούσιος σφό-
2. δρα κτήνεσι καὶ ἀργυρίῳ, καὶ
χρυσίῳ. Τίς δὲ ἀγνοεῖ τοῦ Ἀβραὰμ
τὰς ἀρετάς; φιλόξενος, ὥστε καὶ Ἀγ-
Αὐτ. ή. γέλους ἐφιλοξένησεν· φιλοδίκαιος, ὥστε
18. οὐδὲν ἔλαβεν ἀπὸ πάντων τῶν πραγμά-
Αὐτ. ιδ'. των τοῦ Βασιλέως Σοδόμων. Ἀπὸ σπαρ-
23. τίου ἕως σφυρωτῆρος ὑποδήμα-
τος· ὑπήκοος εἰς τὸν Θεόν, ὥστε καὶ
τὴν μάχαιραν ἔλαβε, καὶ τὴν χεῖρα ἐ-
ξέτεινεν, ἵνα σφάξῃ τὸν ἀγαπητὸν αὐ-
Αὐτ. κβ'. τοῦ υἱόν· τοσοῦτον πιστὸς εἰς τὸν Θεόν,
10. ὥστε ἡ πίστις αὐτοῦ ἐλογίσθη αὐ-
Αὐτ. ιε'. τῷ εἰς δικαιοσύνην, ἤγουν ὡς κα-
6. τόρθωσις πάσης ἀρετῆς· τίς ἀμφιβάλ-
λει, ὅτι οὐδεὶς ἐκ πάντων τῶν ἀνθρώ-
πων εὑρέθη τοσοῦτον ἄξιος, ὥστε ὁ μο-
νογενὴς Υἱὸς καὶ Λόγος τοῦ Θεοῦ ἔλα-
βε σάρκα ἐκ τοῦ σπέρματος αὐτοῦ, ἤ-
γουν ἐκ τῆς ὑπεραγίας Παρθένου; τίς
οὐ πιστεύει, ὅτι ὁ Θεός, διὰ τὸ ὑπερ-
βάλλον τῆς ἀρετῆς, καὶ τῆς ἐν οὐρανῷ
δόξης αὐτοῦ, ὠνόμασε τὸν τόπον τῆς
αἰωνίου εὐφροσύνης καὶ ἀναπαύσεως, κόλ- Λουκ. ιϛ'.
πον τοῦ Ἀβραάμ; 23.

Ἀκούσατε νῦν τί μαρτυρεῖ αὐτὸς ὁ
Θεὸς περὶ τοῦ Ἰώβ. Αὐτὸς ἦν ὑπέρ-
πλουτος, πανευτυχής, εὐγενὴς τῶν Ἰώβ. α. 3.
ἀφ' Ἡλίου ἀνατολῶν· καὶ ὅμως ὑ-
περέλαμπον ἐν αὐτῷ αἱ ἀρεταί, ἤγουν
ἡ ἀλήθεια, ἡ καθαρότης, ἡ δικαιοσύνη,
ἡ θεοσέβεια, ἡ τελεία ἀποχὴ παντὸς
πονηροῦ ἔργου. Καὶ ἦν ὁ ἄνθρωπος Αὐτόθι.
ἐκεῖνος, λέγει ὁ Θεὸς περὶ αὐτοῦ, ἀ- 1.
ληθινός, ἄμεμπτος, δίκαιος, θεο-
σεβής, ἀπεχόμενος ἀπὸ παντὸς
πονηροῦ πράγματος. Τοσοῦτον ἔ-
λαμπον ἐν αὐτῷ αἱ ἀρεταί, ἤγουν ἡ ἀν-
δρεία τῆς ψυχῆς, ἡ σταθερότης τῆς γνώ-
μης, ἡ ὑπομονὴ τῆς καρδίας, ἡ πρὸς τὸν
Θεὸν εὐγνωμοσύνη καὶ τελεία ὑπακοή,
ὥστε καὶ παῖδα ἴδιον αὐτοῦ ὁ Θεὸς ὠ-
νόμασεν αὐτόν, καὶ ἀνεκήρυξεν αὐτὸν
ἀνώτερον κατὰ τὴν ἀρετὴν πάντων τῶν
τότε ἀνθρώπων· Προσέσχες, εἶπε τῷ Αὐτόθι.
Διαβόλῳ, τῇ διανοίᾳ σου κατὰ τοῦ 8.
παιδός μου Ἰώβ; ὅτι οὐκ ἔστι κα-
τ' αὐτὸν ἐπὶ τῆς γῆς; πῶς οὖν ἐγέ-
νετο εἰς αὐτὸν τὸ ἀδύνατον δυνατόν;
Ἰδὼν ὁ Θεὸς τὴν ἀγαθωτάτην προαίρε-
σιν τῆς ψυχῆς αὐτοῦ, ἔδωκεν αὐτῷ τὴν
δύναμιν τῆς χάριτος αὐτοῦ, ἥτις τοσοῦ-
τον ἐνίσχυεν αὐτόν, ὥστε οὐ μόνον οἱ πει-
ρασμοὶ τοῦ πλούτου, ἀλλὰ καὶ οἱ σφοδροὶ
πόλεμοι τοῦ Διαβόλου οὐκ ἠδυνήθησαν
ὅλως βλάψαι τὴν ψυχὴν αὐτοῦ· ὁ Θεὸς
ὑπερασπίζετο τῆς ψυχῆς αὐτοῦ διὰ τὴν
ἀγαθὴν αὐτοῦ θέλησιν· Ἰδού, εἶπεν Αὐτόθι.
ὁ Κύριος τῷ Διαβόλῳ, πάντα ὅ- 12.

σα

σα ἐστὶν αὐτῷ δίδωμι ἐν τῇ χειρί σου, ἀλλ' αὐτοῦ μὴ ἅψῃ.

Ἀλλὰ καὶ τοῦ νεανίσκου, τοῦ ὑπὸ τοῦ σημερινοῦ Εὐαγγελίου ἱστορηθέντος, τὸ παράδειγμα ἀποδεικνύει φανερὰ τοῦ λόγου τὸν σκοπόν. Ἄρχων ἦν ὁ νεανίσκος, καὶ κτήματα εἶχε πολλά, τουτέστιν ἦν πολλὰ πλούσιος· καὶ ὅμως ὁ πλοῦτος, κἂν ἐνεπόδισεν αὐτὸν ἀπὸ τοῦ χαρίσματος τῆς τελειότητος, ὅμως τῇ τοῦ Θεοῦ δυνάμει οὐκ ἠδυνήθη ἐμποδίσαι αὐτὸν ἀπὸ τῆς φυλακῆς τῶν θείων ἐντολῶν· παιδιόθεν αὐτὸς ἐφύλαξε πάσας τὰς ἐντολὰς τοῦ Θεοῦ· Πάντα
Ματ. ιθ'. 20. ταῦτα ἐφυλαξάμην ἐκ νεότητός μου.

Ἀδίκως λοιπὸν, ἀδελφοὶ, αἰτιάζομεν τὸν πλοῦτον, ὡς πρόξενον κολάσεως· ὁ πλοῦτος οὐδὲ σώζει, οὐδὲ κολάζει, ἀλλὰ τοῦ πλούτου ἡ χρῆσις, ἡ μὲν καλὴ σώζει, ἡ δὲ κακὴ κολάζει. Ματαίως νομίζομεν, ὅτι ἡ πτωχεία γίνεται αἴτιον τῆς ἀρετῆς· ἡ πτωχεία καθ' αὐτὴν οὐδὲ καλή ἐστιν, οὐδὲ κακὴ, ἀλλὰ τῆς πτωχείας ἡ χρῆσις, ἡ καλὴ φέρει εἰς τὴν ἀρετὴν, ἡ κακὴ κατακρημνίζει εἰς τὴν ἁμαρτίαν· εἰς τὴν θέλησιν λοιπὸν τοῦ ἀνθρώπου, καὶ οὐχὶ εἰς τὸν πλοῦτον ἢ εἰς τὴν πτωχείαν ἵσταται ἡ σωτηρία, καὶ ἡ κόλασις, ἐπειδὴ ὁ Θεὸς πάντοτε χορηγεῖ τὴν χάριν αὐτοῦ εἰς τὴν καλὴν προαίρεσιν. Ὁ Κύριος ἀνέδειξε καὶ τὸν πλούσιον, καὶ τὸν πτωχόν· Πλούσιος, Παροιμ. κβ'. 2.
καὶ πτωχὸς συνήντησαν ἀλλήλοις, ἀμφοτέρους δὲ ὁ Κύριος ἐποίησεν· ἐκεῖνον ἐποίησε πλούσιον, ἵνα διὰ τῆς χρηστότητος, καὶ εὐσπλαγχνίας, καὶ ἐλεημοσύνης φύγῃ τὴν κόλασιν· τοῦτον πτωχὸν, ἵνα διὰ τῆς ὑπομονῆς, καὶ σταθερότητος, καὶ ἀνδρείας κληρονομήσῃ τὴν αἰώνιον βασιλείαν· πάντα δὲ ὅσα ἐποίησεν ὁ Θεὸς εἰσὶ καλὰ, καὶ ὠφέλιμα, καὶ σωτήρια· Καὶ εἶδεν ὁ Θεὸς Γεν. α'. 31.
τὰ πάντα, ὅσα ἐποίησε, καὶ ἰδοὺ καλὰ λίαν.

# ΕΡΜΗΝΕΙΑ

## ΕΙΣ ΤΟ ΚΑΤΑ

# ΜΑΤΘΑΙΟΝ

## ΕΥΑΓΓΕΛΙΟΝ ΤΗΣ ΙΓ'. ΚΥΡΙΑΚΗΣ.

Διὰ τὴν θεοσέβειαν καὶ ἀρετὴν τοῦ Ἀβραὰμ ἐξελέξατο ὁ Θεὸς τὸ γένος αὐτοῦ ἐκ πάντων τῶν ἄλλων ἐθνῶν, ἵνα δι' αὐτοῦ ἀνορθώσῃ ἀπὸ τοῦ ἐξαισίου πτώματος τῆς ἁμαρτίας, καὶ ἀνακαλέσῃ πρὸς τὴν προτέραν μακαριότητα ὅλον τὸ ἀνθρώπινον γένος· εἰς τοῦ Ἀβραὰμ τὸ
Ῥωμ. θ'. 4. γένος ἐδόθη ἡ υἱοθεσία, καὶ ἡ δόξα, καὶ αἱ Διαθῆκαι, καὶ ἡ νομοθεσία, καὶ ἡ λατρεία, καὶ αἱ ἐπαγγελίαι. Ὅταν ὁ Υἱὸς καὶ Λόγος τοῦ Θεοῦ εὐδόκησε κατελθεῖν εἰς τὴν γῆν, ἵνα σώσῃ τὸ ἀνθρώπινον γένος, τότε οὐδὲ ἀγγελικὴν φύσιν ἔλαβεν· Οὐ γὰρ δήπου Ἑβρ. β'. 16.
Ἀγγέλων ἐπιλαμβάνεται· οὐδὲ ἐξ ἄλλου σπέρματος, ἀλλ' ἐκ τοῦ σπέρματος Ἀβραὰμ ἔλαβε σάρκα· ἀλλὰ σπέρματος Ἀβραὰμ ἐπιλαμβάνει-

νεται. Μετὰ δὲ τὸ πάθος, καὶ τὴν ἀνάστασιν αὐτοῦ, ἐκτὸς τῆς ἐκλογῆς, ἤγουν
Ρωμ. ιά. 7. τῶν θείων Ἀποστόλων, καὶ τῶν λοιπῶν τῶν ἐκ τοῦ Ἑβραϊκοῦ γένους πιστευσάντων εἰς αὐτὸν, ἀποστρέφεται ὅλον τὸ ὑπόλοιπον Ἑβραϊκὸν γένος, ἐγκαταλείπει αὐτὸ, καὶ ἀποῤῥίπτει ἀπὸ τοῦ προσώπου αὐτοῦ· ἀντ' αὐτοῦ δὲ εἰσάγει εἰς τὴν θείαν αὐτοῦ χάριν καὶ ἀγάπην, καὶ πλουτίζει τῶν οὐρανίων αὐτοῦ χαρισμάτων, καὶ ἀξιοῖ τῆς ἀθανάτου αὐτοῦ βασιλείας ἄλλο γένος, προλαβὸν ἠλλοτριωμένον ἀπ' αὐτοῦ, καὶ ἀποξενωμένον, ἤγουν τῶν εἰδωλολατρῶν τὸ γένος, καθὼς περὶ τούτου φανερὰ προεφήτευσεν ὁ ἅγιος τοῦ Θεοῦ προφήτης Ὠσηὲ, εἰπών·
Ωσ. β'. 23. Καὶ ἀγαπήσω τὴν οὐκ ἠγαπημένην, καὶ ἐρῶ τῷ οὐ λαῷ μου, Λαός μου εἶ σὺ, καὶ αὐτὸς ἐρεῖ, Κύριος ὁ Θεός μου εἶ σύ. Ποῖον δὲ τὸ αἴτιον ταύτης τῆς παραδόξου ἀποστροφῆς καὶ μεταλλαγῆς, ὁ θεάνθρωπος Ἰησοῦς, διὰ τῆς σήμερον ἀναγνωσθείσης εὐαγγελικῆς Παραβολῆς, μετὰ πάσης ἀκριβείας ἐδίδαξεν. Ἐπειδὴ δὲ τὰ παραβολικὰ λόγια χωρὶς ἐξηγήσεώς εἰσι σχεδὸν ἀκατανόητα, διὰ δὲ τῆς ἑρμηνείας φανερὸν γίνεται εἰς τοὺς προσεκτικοὺς τὸ νόημα αὐτῶν, διὰ τοῦτο μετὰ προσοχῆς ἀκούσατε τὴν ἑρμηνείαν, ἵνα κερδήσητε τὸν καρπὸν τῶν θείων νοημάτων.

Ματ. κά. 33. **Εἶπεν ὁ Κύριος τὴν Παραβολὴν ταύτην· Ἄνθρωπός τις ἦν οἰκοδεσπότης, ὅστις ἐφύτευσεν ἀμπελῶνα, καὶ φραγμὸν αὐτῷ περιέθηκε, καὶ ὤρυξεν ἐν αὐτῷ ληνὸν, καὶ ᾠκοδόμησε πύργον· καὶ ἐξέδοτο αὐτὸν γεωργοῖς, καὶ ἀπεδήμησεν.**

Ὁ οἰκοδεσπότης σημαίνει τὸν Θεὸν, τὸν Δεσπότην καὶ Κύριον τοῦ Ἰουδαϊκοῦ γένους, καὶ πάσης τῆς κτίσεως· ὠνόμασε δὲ τοῦτον ἄνθρωπον μὲν, διὰ τὴν πρὸς τοὺς ἀνθρώπους ἄκραν αὐτοῦ φιλανθρωπίαν· οἰκοδεσπότην δὲ, ἐπειδὴ καθὼς ὁ δεσπότης τοῦ οἴκου προνοεῖ καὶ περιποιεῖται τοὺς οἰκειακοὺς αὐτοῦ, οὕτω καὶ ὁ τῶν ἁπάντων Θεὸς ἐπρονόησε, καὶ περιεποιήσατο τὴν τῶν Ἰουδαίων φυλήν. Ἀμπελὼν δέ ἐστιν ἡ Συναγωγὴ τῶν Ἑβραίων κατὰ τὸν Ἡσαΐαν· Ὁ γὰρ ἀμπελὼν Κυρίου Σαβαὼθ, οἶκος τοῦ Ἡσ. έ. 7.
Ἰσραήλ· τοῦτον δὲ τὸν ἀμπελῶνα μετήγαγεν ὁ Θεὸς ἐξ Αἰγύπτου, καὶ ἐφύτευσεν εἰς τὴν γῆν τῆς ἐπαγγελίας, ὡς
ψάλλει ὁ Δαβίδ· Ἄμπελον ἐξ Αἰγύπτου μετῆρας, ἐξέβαλες ἔθνη, Ψαλ. οθ'. 8.
καὶ κατεφύτευσας αὐτήν. Φραγμὸς δὲ ὁ νόμος, ὡς περιφράττων, καὶ ἐμποδίζων αὐτοὺς ἀπὸ τῶν ἁμαρτιῶν, καὶ τῆς τῶν ἀλλογενῶν ἐπιμιξίας. Ληνὸς, τὸ θυσιαστήριον, ἐν ᾧ οὐχὶ σταφυλαὶ ἐπατοῦντο, οὐδὲ οἶνος διεχεῖτο, ἀλλὰ ζῶα ἐσφάζοντο, καὶ αἷμα περιεῤῥαντίζετο. Πύργος, ὁ ναὸς ὁ ἐπιστηρίζων καὶ διαφυλάττων τὸν λαὸν, ὡς ὁ πύργος τὸν ἀμπελῶνα. Γεωργοὶ δὲ, οἱ τοῦ Ἰουδαϊκοῦ γένους πρόεδροι, οἱ ἱερεῖς, καὶ διδάσκαλοι, οἵτινες κατ' ἀρχὰς, ἀγαθοὶ καὶ ἅγιοι ὄντες, ἐκαλλιέργουν τὰς τῶν Ἰουδαίων ψυχὰς, ὡς οἱ ἐπιμελεῖς γεωργοὶ τοὺς ἀμπελῶνας. Ἀλλ' ἀπεδήμησε, λέγει, ὁ οἰκοδεσπότης, ἤγουν ὁ Θεός· πῶς δὲ ἀπεδήμησεν ὁ πανταχοῦ παρὼν, καὶ τὰ πάντα πληρῶν; Καθὼς ὁ οἰκοδεσπότης, καὶ ὁ ἀμπελὼν, καὶ ὁ φραγμὸς, καὶ τ' ἄλλα μεταφορικά εἰσι, οὕτω καὶ τὸ, ἀπεδήμησε, μεταφορικόν ἐστι, σημαί-

νει δὲ τὸ, ἐμακροθύμησεν· ἡ ἀποδημία δηλοῖ ἀργίαν ἐργασίας, καθὼς καὶ ἡ μακροθυμία ἀργίαν τιμωρίας· ἐμακροθύμησε δὲ πολλοὺς αἰῶνας ὁ Θεὸς, καὶ οὐκ ἐπαίδευσε τοὺς Ἰουδαίους διὰ τῆς φοβερᾶς καὶ ἐσχάτης τιμωρίας, εὐθὺς μετὰ τὰς ἁμαρτίας αὐτῶν.

Ματ. κά. 34. Ὅτε δὲ ἤγγισεν ὁ καιρὸς τῶν καρπῶν, ἀπέστειλε τοὺς δούλους αὐτοῦ πρὸς τοὺς γεωργοὺς, λαβεῖν τοὺς καρποὺς αὐτοῦ.

Ποῖός ἐστιν ὁ ἐγγίσας καιρός; Ὁ καιρός ἐστιν, καθ' ὃν ὁ Θεὸς ἐδιώρισεν, ἵνα ἀποστείλῃ εἰς τὸν κόσμον τοὺς ἀληθινοὺς αὐτοῦ δούλους, ἤγουν τοὺς ἁγίους Προφήτας. Ὅτε οὖν ἐπλησίασεν οὗτος ὁ καιρὸς, τότε ἀπέστειλεν αὐτοὺς πρὸς τὸ Ἰουδαϊκὸν γένος, ἐξόχως δὲ πρὸς τοὺς ἄρχοντας καὶ διδασκάλους αὐτῶν, ἵνα λάβωσι τοὺς καρποὺς, τοὺς τῷ Θεῷ χρεωστουμένους διὰ τὴν δοθεῖσαν αὐτοῖς νομοθεσίαν. Τίνες δὲ ἦσαν οἱ καρποί; Ἡ ὑποδοχὴ τοῦ τῶν Προφητῶν κηρύγματος, καὶ ἡ ὑπακοὴ εἰς τὰν ὑπ' αὐτῶν διδασκόμενον λόγον, καὶ ἡ φυλακὴ τῶν ἐντολῶν, καὶ τῆς ἀρετῆς τὰ ἔργα.

Αὐτόθι. 35. Καὶ λαβόντες οἱ γεωργοὶ τοὺς δούλους αὐτοῦ, ὃν μὲν ἔδειραν, ὃν δὲ ἀπέκτειναν, ὃν δὲ
36. ἐλιθοβόλησαν. Πάλιν ἀπέστειλεν ἄλλους δούλους πλείονας τῶν πρώτων· καὶ ἐποίησαν αὐτοῖς ὡσαύτως.

Οἱ γεωργοὶ, ἤγουν οἱ ψευδοπροφῆται, καὶ ψευδοδιδάσκαλοι, καὶ διεστραμμένοι τῶν Ἰουδαίων προεστῶτες, ἄλλον μὲν τῶν ἁγίων Προφητῶν ἔδειραν, ἤγουν τὸν Μιχαίαν, ὃν ἐπάταξεν ἐπὶ τὴν σιαγόνα ὁ Σεδεκίας, υἱὸς Χαναάν, ἄλλον δὲ ἀπέκτειναν, εἴτουν τὸν Ζαχαρίαν, ὃν ἐφόνευσεν Ἰωὰς, ὁ Βασιλεὺς Ἰούδα, μεταξὺ τοῦ ναοῦ, καὶ τοῦ θυσιαστηρίου, ἄλλον ἐλιθοβόλησαν, τουτέστι τὸν Ἱερεμίαν, ὃν ὁ λαὸς ἐλίθασεν ἐν Τάφναις Αἰγύπτου. Πάλιν δὲ μετὰ τούτους τοὺς Προφήτας ἀπέστειλεν ὁ Θεὸς ἄλλους, περισσοτέρους τῶν πρώτων· καὶ τρίτης δὲ προφητῶν ἀποστολῆς μνημονεύει ὁ ἱερὸς Λουκᾶς, ἥτις διήρκεσεν ἕως τῶν ἡμερῶν Ἰωάννου τοῦ Βαπτιστοῦ· ἐποίησαν δὲ καὶ εἰς αὐτοὺς ὅσα καὶ εἰς τοὺς πρώτους. Γένος ἀληθῶς σκληροτράχηλον, καὶ ἀπερίτμητον τῇ καρδίᾳ· διότι οὐ μόνον οὐχ ὑπεδέξατο, οὐδὲ ἐπίστευσεν, οὐδὲ εὐλαβήθη τοὺς ὑπὸ Θεοῦ ἀπεσταλμένους πρὸς αὐτὸ ἁγίους Προφήτας, ἀλλὰ καὶ ἔδειρε, καὶ ἀπέκτεινε, καὶ ἐλιθοβόλησεν·

Γ'. Βασ. κβ'. 24. Ματ. κγ'. 35. Ἐπιφ. περὶ βίων προφητ. Λουκ. κ'. 12.

Ὕστερον δὲ ἀπέστειλε πρὸς αὐτοὺς τὸν υἱὸν αὐτοῦ, λέγων· Ἐντραπήσονται τὸν υἱόν μου. Ματ. κά. 37.

Μετὰ τοὺς Προφήτας, ἀπέστειλεν ὁ Θεὸς πρὸς αὐτοὺς τὸν μονογενῆ Υἱὸν καὶ Λόγον αὐτοῦ, ὅστις, σάρκα λαβὼν ἐκ τῶν παναχράντων αἱμάτων τῆς ἀειπαρθένου Μαρίας, ἐγένετο τέλειος ἄνθρωπος, τέλειος ὑπάρχων καὶ Θεός. Τὸ δὲ, ἐντραπήσονται τὸν υἱόν μου, λέγει, οὐχ ὡς ἀγνοῶν τὸ, πῶς ἔμελλον ὑποδεχθῆναι αὐτὸν οἱ Ἰουδαῖοι, ἀλλ' ὡς δηλοποιῶν τὴν ὑπὸ τῶν Ἰουδαίων χρεωστουμένην εἰς αὐτὸν πίστιν καὶ τὸ σέβας. Χρέος εἶχον βέβαια αὐτοὶ, ὡς ὑπὸ τῶν Προφητῶν προ-

προδιδαχθέντες, ὅταν ἤκουσαν τὴν οὐράνιον τοῦ Ἰησοῦ Χριστοῦ διδασκαλίαν, τὴν κατὰ πάντα σύμφωνον τῷ κηρύγματι τῶν Προφητῶν, καὶ εἶδον τὸ πλῆθος τῶν ἐξαισίων θαυμάτων αὐτοῦ, καὶ κατενόησαν τὰς προφητικὰς προῤῥήσεις ἐκπληρωθείσας ἐπ' αὐτῷ, χρέος εἶχον, λέγω, ἵνα, πιστεύσαντες καὶ εὐλαβηθέντες αὐτὸν, μεταβληθῶσιν ἀπὸ τῆς κακίας εἰς τὴν ἀρετήν.

Ματ. κα΄. 38. **Οἱ δὲ γεωργοὶ, ἰδόντες τὸν υἱὸν, εἶπον ἐν ἑαυτοῖς· Οὗτός ἐστιν ὁ κληρονόμος· δεῦτε, ἀποκτείνωμεν αὐτὸν, καὶ κατάσχωμεν τὴν κληρονομίαν**
39. **αὐτοῦ. Καὶ λαβόντες αὐτὸν, ἐξέβαλον ἔξω τοῦ ἀμπελῶνος, καὶ ἀπέκτειναν.**

Οἱ Ἀρχιερεῖς καὶ οἱ Φαρισαῖοι, ἰδόντες τὸν Ἰησοῦν Χριστὸν μετὰ τοσαύτης σοφίας καὶ χάριτος ἐξηγοῦντα τὰς θείας Γραφὰς, καὶ τοῦ Θεοῦ τοὺς νόμους, καὶ τοσοῦτον κατάλληλα καὶ ἁρμόδια ἐλέγχοντα τὰς παρανομίας αὐτῶν, καὶ μετὰ τοσαύτης ἐξουσίας καὶ κυριότητος θαυματουργοῦντα, καὶ ἐγείροντα ἐκ τῶν τάφων τοὺς νεκροὺς, κἂν οὐκ ἐπίστευσαν, ὅτι ἐστὶν Υἱὸς Θεοῦ, καὶ Θεὸς κατὰ φύσιν, ἐγνώρισαν ὅμως, ὅτι ἐξουσίαν ἔχει θείαν, τὰ πάντα δυναμέ-
Ἰωάν. ια΄. 47, 48. νην· διὸ συνήγαγον συνέδριον, καὶ ἔλεγον· Τί ποιοῦμεν; ὅτι οὗτος ὁ ἄνθρωπος πολλὰ σημεῖα ποιεῖ· ἰδοὺ τὸ ῥητὸν τοῦ Εὐαγγελίου, ἤγουν τὸ εἶπον ἐν ἑαυτοῖς. Ἐὰν ἀφῶμεν, ἔλεγον, αὐτὸν οὕτω, πάντες πιστεύσουσιν εἰς αὐτόν· ἰδοὺ κατὰ τίνα λόγον ἐνόμιζον αὐτὸν κληρονόμον, ἤγουν ἐξουσιαστὴν ὅλου τοῦ ἔθνους αὐ-
τῶν. Τί οὖν ἀπεφάσισαν; Συμφέρει Ἰωάν. ια΄. 50.
ἡμῖν, εἶπον, ἵνα εἷς ἄνθρωπος ἀποθάνῃ ὑπὲρ τοῦ λαοῦ, καὶ μὴ ὅλον τὸ ἔθνος ἀπόληται· ἰδοὺ τὸ, Δεῦτε, ἀποκτείνωμεν αὐτὸν, καὶ κατάσχωμεν τὴν κληρονομίαν αὐτοῦ. Ἤλπισαν οἱ πεπλανημένοι, ὅτι τοιουτοτρόπως κατακυριεύσουσι τῆς κληρονομίας αὐτοῦ, ἤγουν τῆς ἐπὶ τὸ ἔθνος αὐτῶν ἐξουσίας αὐτοῦ· ἐκβαλόντες οὖν αὐτὸν καὶ τῆς ὁμηγύρεως καὶ τῆς πόλεως αὐτῶν, ἀπελθόντες εἰς τὸν τόπον,
τὸν λεγόμενον Κρανίον, ἐκεῖ θανάτῳ Λουκ. κγ΄. 33.
σταυροῦ ἀπέκτειναν αὐτόν. Βλέπομεν δὲ ἐκ τούτου πρῶτον μὲν πόσην ὁμοιότητα ἔχουσι τὰ λόγια τῆς Παραβολῆς, καὶ τὰ πραχθέντα ὑπὸ τῶν Ἀρχιερέων καὶ Φαρισαίων κατὰ τοῦ Σωτῆρος Χριστοῦ· δεύτερον δὲ, ὅτι οὐ μόνον παραβολικά εἰσι ταῦτα τὰ λόγια τῆς Παραβολῆς, ἀλλὰ καὶ προφητικὰ, διότι, πρὶν ἢ ταῦτα γενέσθαι, προκατήγγειλεν αὐτὰ ὁ Θεάνθρωπος.

**Ὅταν οὖν ἔλθῃ ὁ Κύριος τοῦ** Ματ. κα΄. 40.
**ἀμπελῶνος, τί ποιήσει τοῖς γεωργοῖς ἐκείνοις; Λέγουσιν**
**αὐτῷ· Κακοὺς κακῶς ἀπολέ-** 41.
**σει αὐτοὺς, καὶ τὸν ἀμπελῶνα ἐκδόσεται ἄλλοις γεωργοῖς, οἵτινες ἀποδώσουσιν αὐτῷ τοὺς καρποὺς ἐν τοῖς καιροῖς αὐτῶν.**

Τὴν Παραβολὴν ταύτην ἐλάλησεν ὁ Αὐτόθι. 23.
Ἰησοῦς ἐνώπιον τῶν Ἀρχιερέων, καὶ Πρεσβυτέρων τοῦ λαοῦ, οἵτινες προσῆλθον πρὸς αὐτὸν, ὅτε ἐδίδασκεν εἰς τὸ Ἱερόν· αὐτοὺς λοιπὸν κατέστησε κριτὰς

τῆς

τῆς ὑποθέσεως, λέγων· "Οταν οὖν ἔλθῃ ὁ Κύριος τοῦ ἀμπελῶνος, τί ποιήσει τοῖς γεωργοῖς ἐκείνοις; Λέγουσιν αὐτῷ· Κακοὺς κακῶς ἀπολέσει αὐτούς. Ἀλλὰ τίνες εἰσὶν οἱ ἀποκριθέντες αὐτῷ; Φανερὸν, ὅτι οἱ ἀκούοντες τὴν Παραβολὴν, ἤγουν οἱ Ἀρχιερεῖς καὶ οἱ πρεσβύτεροι· ἀλλ', ἐξ ὧν λέγει ὁ ἱερὸς Λουκᾶς, φαίνεται, ὅτι ἄλλοι τινὲς ἐξεφώνησαν τὴν ἀπόφασιν, τουτέστι τὸ, Κακοὺς κακῶς ἀπολέσει αὐτοὺς, καὶ τὰ ἑξῆς· καὶ ὅτι, τοῦτο ἀκούσαντες οἱ Ἀρχιερεῖς καὶ οἱ Πρεσ-
Λουκ. κ΄. 16. βύτεροι, ἐξεβόησαν τὸ, Μὴ γένοιτο. Μήπως οὖν οἱ μὲν Ἀρχιερεῖς, καὶ οἱ Πρεσβύτεροι, κατανοήσαντες, ὡς λέγει ὁ
Μάρκ. ιβ΄. 12. Εὐαγγελιστὴς Μάρκος, ὅτι εἰς αὐτοὺς ἀφορᾷ ἡ Παραβολὴ, ἐσιώπησαν· οἱ δὲ μαθηταὶ τοῦ Χριστοῦ, ὁρῶντες αὐτοὺς σιωπῶντας, ἔδωκαν αὐτῷ τὴν ἀπόκρισιν; ὅτε δὲ οἱ Ἀρχιερεῖς καὶ οἱ Πρεσβύτεροι ἤκουσαν αὐτὴν διαλαμβάνουσαν τὸ, Κακοὺς κακῶς ἀπολέσει αὐτοὺς, ἐκραύγασαν τὸ, Μὴ γένοιτο. Ἴσως δὲ οἱ αὐτοὶ Ἀρχιερεῖς καὶ Πρεσβύτεροι, ὑπὸ τῆς ἀληθείας βιασθέντες, ὡμολόγησαν ὁποία καταδίκη πρέπει εἰς τοὺς κακοὺς ἐκείνους γεωργοὺς, ἔπειτα ἐπευχήθησαν, ἵνα μηδέ ποτε ταῦτα γένωνται· Μὴ γένοιτο. Πότε δὲ ἐπαιδεύθησαν οἱ Ἰουδαῖοι, καὶ διὰ ποίας τιμωρίας; Δύω εἰσὶν οἱ καιροὶ, ὁ μὲν πρόσκαιρος, ὁ δὲ αἰώνιος· καὶ δύω αἱ τιμωρίαι, ἡ μὲν ἐν τῷ νῦν αἰῶνι, ἡ δὲ ἐν τῷ μέλλοντι. Μετὰ τὴν ἀνάστασιν τοῦ Σωτῆρος, ἐστερήθη τὸ γένος τῶν Ἰουδαίων πάσης προσκαίρου ἐξουσίας, ἐξώσθησαν τῆς ἁγίας πόλεως, ἐξωρίσθησαν τῆς γῆς τῆς ἐπαγγελίας, διεσκορπίσθησαν κακῶς καὶ ἀτίμως εἰς πάντα τῆς γῆς τὰ μέρη. Εἰς τὴν δευτέραν
Ἰωάν. ιθ΄. 37. δὲ παρουσίαν τοῦ Κυρίου Ἰησοῦ, ὄψονται εἰς ὃν ἐξεκέντησαν, τότε δὲ κόψονται, καὶ κλαύσουσι, καὶ τῷ αἰωνίῳ πυρὶ παραδοθήσονται· τοῦτο σημαίνει τὸ, Κακοὺς ὄντας, κακῶς ἀπολέσει αὐτούς. Ἄλλοι δὲ γεωργοὶ εἰσὶν οἱ θεοφόροι Ἀπόστολοι, καὶ πάντες οἱ θεῖοι Διδάσκαλοι, καὶ οἱ τοῦ Εὐαγγελίου Ἱεροκήρυκες· εἰς αὐτοὺς παρέδωκεν ὁ Θεὸς οὐ μόνον τὸν λαὸν τοῦ Ἰσραὴλ, ἀλλὰ καὶ πάντα τῆς γῆς τὰ ἔθνη κατὰ τὸ, Πορευθέντες οὖν, μαθητεύσατε πάντα τὰ ἔθνη· αὐτοὶ Ματ. κή. 19.
δὲ κατὰ διαφόρους καιροὺς προσέφερον τοὺς καρποὺς, ἤγουν τοὺς ὑπὲρ τοῦ Εὐαγγελικοῦ κηρύγματος ἀγῶνας, τὴν πίστιν, τὰς ἀρετὰς, τὸ αἷμα τῶν εἰς αὐτὸν πιστευσάντων. Ἐπιβεβαιοῖ δὲ ὁ Κύριος ταῦτα διὰ τῶν ἑξῆς προφητικῶν λόγων.

Λέγει αὐτοῖς ὁ Ἰησοῦς· Οὐ- Αὐτ. κά. 42.
δέποτε ἀνέγνωτε ἐν ταῖς Γραφαῖς· Λίθον ὃν ἀπεδοκίμασαν οἱ οἰκοδομοῦντες, οὗτος ἐγενήθη εἰς κεφαλὴν γωνίας· παρὰ Κυρίου ἐγένετο αὕτη, καὶ ἔστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν;

Ποῖος ὁ μεταξὺ τούτων καὶ τῶν προειρημένων λόγων σύνδεσμος; Μέγας καὶ ἰσχυρὸς, καθότι ἐπιβεβαιοῖ, ὅτι ὅσα παραβολικῶς εἶπεν ὁ Κύριος, προωρισμένα ἦσαν ὑπὸ Θεοῦ, καὶ ὑπὸ τῶν ἁγίων Προφητῶν προκατηγγελμένα. Ταῦτα δὲ προβάλλων, ἐλέγχει ἅμα τὴν ἐν ταῖς Γραφαῖς ἀμάθειαν αὐτῶν· Οὐδέποτε, λέγει, ἀνέγνωτε ταῦτα τὰ λόγια τῆς θείας Γραφῆς· Λίθον, ὃν ἀπεδο- Ψαλ. ριζ΄. 21.
κίμασαν οἱ οἰκοδομοῦντες, οὗτος ἐγενήθη εἰς κεφαλὴν γωνίας; Καὶ λί-

λίθος μέν ἐστιν αὐτὸς ὁ Ἰησοῦς Χρι-
Α΄.Κορ.ι΄. 4. στός. ἡ δὲ πέτρα, λέγει ὁ θεῖος Ἀπό-
στολος, ἦν ὁ Χριστός· οἰκοδομοῦν-
τες δέ εἰσιν ἐκεῖνοι, οὓς ἀνωτέρω ὠνό-
μασε γεωργοὺς, διότι τὸ γεώργιον καὶ
τὴν οἰκοδομὴν ὡς συνώνυμα ἐξέλαβε
Αὐτ. γ΄. 9. καὶ ὁ μακάριος Παῦλος, εἰπών· Θεοῦ
γεώργιον, Θεοῦ οἰκοδομή ἐστε·
γωνία δὲ ἡ ἕνωσις τῶν εἰς αὐτὸν πι-
στευσάντων δύω λαῶν, ἤγουν τοῦ Ἰου-
δαϊκοῦ, καὶ τοῦ Ἐθνικοῦ· καθὼς δὲ
διὰ τοῦ ἀκρογωνιαίου λίθου συνενοῦν-
ται τὰ δύω τείχη τοῦ οἴκου, οὕτω
διὰ τῆς εἰς Χριστὸν πίστεως συνήφθη-
σαν ταῦτα τὰ δύω γένη, ἐξ ὧν συ-
Ἐφεσ. ε΄. 23. νέστη ἡ Ἐκκλησία, ἧς κεφαλή ἐστιν
ὁ Χριστός. Τοῦτον οὖν τὸν λίθον, ἤ-
γουν τὸν Σωτῆρα Χριστὸν, ἐξουδένωσαν
οἱ οἰκοδομοῦντες, οἱ πρόεδροι δηλονότι
τῶν Ἰουδαίων, ἵνα κατακυριεύσωσι τῆς
ἐξουσίας αὐτοῦ· αὐτὸς δὲ ἐγένετο ἀρχὴ
καὶ κεφαλὴ τῆς γωνίας, εἴτουν τῆς
Ἐκκλησίας, τῆς ἐκ τῶν δύω λαῶν συγ-
κειμένης, ὁ αὐτὸς δὲ καὶ ᾠκοδόμησεν αὐ-
τήν· Παρὰ Κυρίου ἐγένετο αὕτη, Ψαλ. ριζ΄. 22.
εἶπεν ὁ Ψαλμῳδός· Καὶ ἐπὶ ταύτῃ Ματ. ις΄. 18.
τῇ πέτρᾳ, εἶπεν ὁ Θεάνθρωπος, οἰκο-
δομήσω μου τὴν Ἐκκλησίαν· Θαυ-
μαστὴ δὲ ἀληθῶς αὕτη ἡ οἰκοδομή· θαυ-
μαστὴ διὰ τὰ ἐν αὐτῇ μυριάριθμα θαύ-
ματα, θαυμαστὴ διὰ τὰ ὑπ' αὐτῆς δι-
δασκόμενα ὑψηλὰ δόγματα, καὶ ὑπερ-
φυῆ μυστήρια, θαυμαστὴ διὰ τὴν ἐν
αὐτῇ ἕνωσιν καὶ συμφωνίαν τοσούτων
λαῶν, καὶ φυλῶν, καὶ γενῶν, καὶ γλωσ-
σῶν, θαυμαστὴ διὰ τοὺς κατὰ τῶν ἐχ-
θρῶν αὐτῆς θριάμβους· οὐδὲ γὰρ πύ- Αὐτόθι.
λαι ᾅδου κατισχύσουσί ποτε τῆς
ὑπὸ Χριστοῦ οἰκοδομηθείσης Ἐκκλησίας,
ἥτις σῶαν καὶ ἄδολον φυλάττει τὴν ὑπ'
αὐτοῦ διδαχθεῖσαν ὀρθόδοξον πίστιν.

# ΟΜΙΛΙΑ

ΜΕΤΑ ΤΟ ΚΑΤΑ

# ΜΑΤΘΑΙΟΝ

## ΕΥΑΓΓΕΛΙΟΝ ΤΗΣ ΙΓ΄. ΚΥΡΙΑΚΗΣ.

Ἀρκετὰ ἐδίδαξεν ἡμᾶς ἡ σήμερον ἀνα-
γνωσθεῖσα εὐαγγελικὴ Παραβολὴ, περὶ
τοῦ, ὅτι διὰ τὴν χριστοκτονίαν ἀπεστρά-
φη ὁ Θεὸς τὸ ἠγαπημένον αὐτῷ Ἑβραϊ-
κὸν γένος, ἀντ' αὐτοῦ δὲ εἰσήγαγεν εἰς
τὴν βασιλείαν αὐτοῦ τὰ ἔθνη, κατα-
στήσας ἕνα λαὸν, συγκείμενον ἐκ τῶν
ποικίλων ἐθνῶν, καὶ τῶν Ἰουδαίων, τῶν
εἰς αὐτὸν πιστευσάντων· τοῦτο δὲ τὸ
χριστιανικὸν γένος ἐστὶ τὸ ἐκλεκτὸν γέ-
Α΄. Πέτρ. β΄. 9. νος, τὸ βασίλειον ἱεράτευμα, τὸ
ἔθνος τὸ ἅγιον, ὁ λαὸς εἰς περι-
ποίησιν. Ἐπειδὴ δὲ εἰς τὴν σειρὰν
τῆς παραβολικῆς διηγήσεως βλέπομεν
ὑπερλάμποντα τῆς θείας μακροθυμίας
τὰ ἔργα, οὐ μόνον ἀκόλουθός ἐστιν, ἀλ-
λὰ καὶ ψυχωφελὴς καὶ σωτήριος ὁ πε-
ρὶ τῆς θείας μακροθυμίας λόγος.

Τελειότης ἐστὶ τῆς ὑπερουσίου Θεό-
τητος, ἐξ αὐτῆς τῆς θείας οὐσίας, ὡς
τὸ ὕδωρ ἐκ τῆς πηγῆς, πηγάζουσα, ἡ
θεία μακροθυμία, καθὼς καὶ ἡ ἀγά-
πη,

πη, καὶ ἡ εὐσπλαγχνία, καὶ ἡ δικαιο-
σύνη, καὶ ἡ πρόνοια, καὶ πᾶσαι αἱ λοι-
παὶ τοῦ Θεοῦ τελειότητες. Ὅταν ὁ ἄν-
θρωπος ἁμαρτάνῃ, ὁμοιάζει ἐκεῖνον, ὅ-
στις ἔμπροσθεν εἰς τὸ πρόσωπον τοῦ
Βασιλέως τολμῶν καταπατεῖ τοὺς νό-
μους αὐτοῦ· ἢ ὀρθότερον εἰπεῖν, ἐκεῖ-
νον ὁμοιάζει, ὅστις τολμᾷ, καὶ αἴρει
χεῖρα κατ' αὐτοῦ τοῦ Βασιλέως· ἐὰν
λοιπὸν ἔλειπεν ἡ μακροθυμία, εὐθὺς δὲ
ἐξεγείρετο κατὰ τοῦ ἁμαρτωλοῦ ἡ δι-
καιοσύνη τοῦ Θεοῦ; κατ' ἐκείνην τὴν ὥ-
ραν, καθ' ἣν αὐτὸς ἐκτείνει τὴν χεῖρα,
καὶ φονεύει τὸν ἀδελφὸν αὐτοῦ, ἔπιπτεν
ἐπ' αὐτὸν φόβος, καὶ τρόμος, καὶ ἀνα-
Γεν. δ'. στεναγμὸς, καθὼς ἐπὶ τὸν Καΐν· ἐγί-
12, 15. νετο καὶ αὐτὸς σεσημειωμένος, καθὼς
ἐκεῖνος, ἵνα πάντες γνωρίζωσιν, ὅτι αὐ-
τός ἐστιν ὁ παραβάτης καὶ περιφρονη-
τὴς τῶν τοῦ Θεοῦ ἐντολῶν· κατ' ἐκείνην
τὴν ὥραν, καθ' ἣν κατέκρινε τὸν ἀδελ-
φὸν αὐτοῦ, ἐγίνετο εὐθὺς λεπρὸς, κα-
Ἀριθ. ιβ'. θὼς ἡ Μαριὰμ, ἡ τοῦ Μωϋσέως ἀδελ-
10. φή· ἐὰν αὐθαδίαζε κατὰ τῶν θείων
Δ'. Βασ. ιέ. πραγμάτων, ἐλεπροῦτο, καθὼς ὁ Ὀζίας
5. ὁ βασιλεύς· ἐὰν ἐψεύδετο, ἐλεπροῦτο
Αὐτ. έ. ὡς ὁ Γιεζί· ἐὰν κατεφρόνει τοὺς ἱερω-
27. μένους, ἐσχίζετο ἡ γῆ, καὶ κατέπινεν
Ἀριθ. ις'. αὐτὸν, ὡς τὸν Δαθὰν καὶ τὸν Ἀβει-
32. ρών· ἐὰν ἔκλεπτε τὰ ἐκκλησιαστικὰ
πράγματα, ἔπιπτεν εὐθὺς νεκρὸς, ὡς ὁ
Πράξ. έ. Ἀνανίας καὶ ἡ Σαπφείρα· ἀλλ' ἐπειδὴ
5. μεσιτεύει ἡ θεία μακροθυμία, διὰ τοῦ-
το ἀργοῦσι τῆς θείας δικαιοσύνης τὰ
ἀποτελέσματα·

Ἐκ τούτου ἄλλοι μὲν ἀπιστοῦσι,
λέγοντες, ὅτι οὐδεμίαν πρόνοιαν ἔχει ὁ
Θεὸς περὶ τῶν πράξεων τῶν ἀνθρώπων,
ἄλλοι δὲ θαῤῥοῦσιν, ὅτι ὁ Θεὸς οὐδό-
λως παιδεύει τοὺς ἁμαρτωλούς· ὅθεν
καὶ οἱ πρῶτοι, καὶ οἱ δεύτεροι ἀφόβως
ἐκτελοῦσι πᾶσαν ἁμαρτίαν· φεῦ τῆς ἀ-
νοίας, καὶ τῆς παραλογίας! Ὁ Θεὸς,
διὰ τὴν φυσικὴν ἄπειρον αὐτοῦ ἀγαθό-
τητα, θέλει τὴν σωτηρίαν, καὶ οὐχὶ
τὴν κόλασιν τοῦ ἁμαρτωλοῦ, ὡς εἶπε
φανερὰ μεθ' ὅρκου διὰ τοῦ ἁγίου προ-
φήτου Ἰεζεκιήλ· Ζῶ ἐγὼ, τάδε λέ- Ἰεζ. λγ'.
γει Κύριος, οὐ βούλομαι τὸν θά- 11.
νατον τοῦ ἀσεβοῦς, ὡς ἀποστρέ-
ψαι τὸν ἀσεβῆ ἀπὸ τῆς ὁδοῦ αὐ-
τοῦ, καὶ ζῆν αὐτόν. Μακροθυμῶν
λοιπὸν ὁ Θεὸς, οὐ παιδεύει τὸν ἁμαρ-
τάνοντα εὐθὺς μετὰ τὴν ἁμαρτίαν, ἀλ-
λὰ δίδει αὐτῷ καιρὸν, περιμένων τὴν
τούτου μετάνοιαν. Ὁ δὲ ἄνθρωπος ἀπι-
στεῖ εἰς τὴν θείαν πρόνοιαν, καὶ πεί-
θεται, ὅτι ὁ ἁμαρτωλὸς φεύγει τὰς χεῖ-
ρας τῆς θείας δικαιοσύνης. Ἄνθρωπε
παράφρον, τὸν πλοῦτον τῆς χρηστό- Ῥωμ. β'.
τητος τοῦ Θεοῦ, καὶ τῆς ἀνοχῆς, 4.
καὶ τῆς μακροθυμίας καταφρο-
νεῖς; ἀγνοεῖς ἄραγε, ὅτι ἡ μακροθυμία
τοῦ Θεοῦ κράζει σε εἰς τὴν μετάνοιαν;
βλέπεις μακροθυμίαν, καὶ νοεῖς ἀπρο-
νοησίαν; βλέπεις μακροθυμίαν Θεοῦ,
καὶ στοχάζεσαι τιμωρίας ἀπαλλαγήν;
ἐπειδὴ ὁ Θεὸς περιμένει τὴν μετάνοιάν
σου, διὰ τοῦτο σὺ ἐπαναλαμβάνεις ἀφό-
βως, καὶ πολλαπλασιάζεις ἀνυποστό-
λως τὰ ἁμαρτήματά σου; ἐπειδὴ ὁ Θεὸς
μακροθυμεῖ, διὰ τοῦτο σὺ νομίζεις, ὅτι
καὶ παραβλέπει, καὶ συγχωρεῖ;

Ἄλλο μακροθυμία, καὶ ἄλλο εὐ-
σπλαγχνία. Διὰ τῆς εὐσπλαγχνίας τοῦ
Θεοῦ, ὅταν μετανοήσωμεν, λαμβάνοντες
τὴν συγχώρησιν τῶν ἁμαρτημάτων ἡ-
μῶν, φεύγομεν ἐπομένως καὶ τὴν διὰ
ταῦτα πρέπουσαν ἡμῖν τιμωρίαν. Βλέ-
πομεν τοῦτο εἰς τὸ ἱερὸν Εὐαγγέλιον.
Πρῶτον ἐσυγχώρησεν ὁ Θεάνθρωπος τοῦ
παραλυτικοῦ τὰς ἁμαρτίας, εἰπών· Τέκ- Μάρκ. β'.
νον, ἀφέωνταί σοι αἱ ἁμαρτίαι σου· 5.
ἔπειτα ἀφεῖλε τὴν διὰ τὴν ἁμαρτίαν τι-
μωρίαν, ἤγουν τὴν παράλυσιν· Σοὶ λέ- Αὐτ. 11.
γω, ἔγειραι, καὶ ἆρον τὸν κράβ-

βατόν σου, καὶ ὕπαγε εἰς τὸν
οἶκόν σου. Ἡ δὲ τοῦ Θεοῦ μακροθυ-
μία ἀναβάλλει μὲν καὶ ἀργοπορεῖ τὴν
τιμωρίαν, ἀλλ' ἐὰν μὴ μετανοήσωμεν,
οὐδὲ τὴν ἁμαρτίαν ἐξαλείφει, οὐδὲ τῆς
τιμωρίας ἀπαλλάττει. Ἡ δὲ ἀναβολὴ
καὶ ἡ ἀργοπορία τῆς τιμωρίας δύναται
νὰ προξενήσῃ μεγάλην ὠφέλειαν, μάλι-
στα ἐπειδὴ εἰς τὸ μεταξὺ τοῦ καιροῦ
τῆς ἀναβολῆς μετέρχεται ὁ Θεὸς διαφό-
ρους τρόπους, δι' ὧν προσκαλεῖ ἡμᾶς
εἰς μετάνοιαν. Ἐὰν ὅμως, ὅταν ὁ Θεὸς
μακροθυμῇ, ἁμαρτάνωμεν, τότε ἡ παί-
δευσις πολυπλασιάζεται κατὰ ἀναλο-
γίαν τοῦ ἀριθμοῦ τῶν ἁμαρτημάτων,
καὶ τοῦ καιροῦ τῆς ἀναβολῆς, καὶ τῶν
τρόπων, οὓς ὁ Θεὸς μετῆλθε πρὸς ἡμε-
τέραν διόρθωσιν. Ὅθεν, καθὼς ὅταν
βλέπῃς τὰ νέφη πολυπλασιαζόμενα, οὐ-
δὲν ἕτερον περιμένεις, εἰμὴ ῥαγδαίαν
βροχὴν, χάλαζαν, ἀστραπὰς, βροντὰς,
σκηπτούς· οὕτω καὶ ὅταν βλέπῃς τὴν
μακροθυμίαν τοῦ Θεοῦ, ἐπὶ τὸν ἁμαρ-
τωλὸν παρατεινομένην καὶ ὑπερπληθυ-
νομένην, τότε μηδὲν ἄλλο περίμενε, εἰ-
μὴ ὀργὴν Θεοῦ, καὶ θυμὸν, καὶ ἀγανάκ-
τησιν, καὶ αὐστηρότητα, καὶ κόλασιν.

Ἡ παραβολὴ τῆς Συκῆς ἐπιβεβαιοῖ
Λουκ. ιγ΄. τὰ λεγόμενα· Ἰδού, λέγει, τρία ἔτη
7. ἔρχομαι, ζητῶν καρπὸν ἐν τῇ Συ-
κῇ ταύτῃ, καὶ οὐχ εὑρίσκω. Βλέ-
πεις Θεοῦ μακροθυμίαν, καὶ καιροῦ ἀ-
ναβολήν; Ἰδοὺ τρία ἔτη. Βλέπεις,
ὅτι, εἰς τὸν καιρὸν τῆς μακροθυμίας
αὐτοῦ, ζητεῖ ἐν τῇ ψυχῇ σου τὸν καρ-
πὸν τῆς ἀρετῆς; Ἰδοὺ τρία ἔτη ἔρ-
χομαι, ζητῶν καρπὸν ἐν τῇ Συκῇ
ταύτῃ. Ἐὰν δὲ μὴ εὕρῃ καρπὸν καὶ
μετὰ τὴν μακροθυμίαν, τότε ἐπάγει τὴν
φοβερὰν τῆς καταδίκης ἀπόφασιν· Ἔκ-
Αὐτόθι. κοψον αὐτήν· ἵνα τί καὶ τὴν γῆν
καταργεῖ; Ἄκουε δὲ καὶ τοῦ ἀμπε-
λουργοῦ, ἤγουν τῶν ποιμένων καὶ ἱε-
ρέων τὰς δεήσεις ὑπὲρ τῆς παρατάσεως
τῆς θείας μακροθυμίας· Κύριε, ἄ- Λουκ. ιγ΄. 8.
φες αὐτὴν καὶ τοῦτο τὸ ἔτος. Ση-
μείωσαι δὲ καὶ τὴν ὑπόσχεσιν τῆς
τούτων ἐπιμελείας, πρὸς τὴν τοῦ ἁ-
μαρτωλοῦ διόρθωσιν· Ἕως ὅτου σκά-
ψω περὶ αὐτὴν, καὶ βάλω κο-
πρίαν. Βλέπε δὲ πῶς καὶ ἡ Ἐκκλη-
σία τελευταῖον συγκατατίθεται, ἵνα
παιδευθῇ ὁ μὴ διορθωθεὶς ἁμαρτωλός·
Κἂν μὲν, λέγει, ποιήσῃ καρπόν· Αὐτ. 9.
εἰ δὲ μήγε, εἰς τὸ μέλλον ἐκκό-
ψεις αὐτήν.

Μυρία παραδείγματα εὑρίσκεις εἰς
τὰς θείας Γραφὰς, βεβαιοῦντα ὅσα εἴ-
πομεν· ἐπίσημον ὅμως παράδειγμά ἐστι
τὸ τοῦ Μανασσῆ. Αὐτὸς ἐγκατέλειπε
τὴν λατρείαν τοῦ Δημιουργοῦ τῆς κτί-
σεως, καὶ ἐλάτρευε τὰ κτίσματα, ἤγουν
τὸν ἥλιον, τὴν σελήνην καὶ τοὺς ἀστέρας·
Καὶ προσεκύνησε, λέγει τὸ ἱερὸν λό- Β΄. Παραλ.
γιον, πάσῃ τῇ στρατιᾷ τοῦ οὐρανοῦ, λγ΄. 3.
καὶ ἐδούλευσεν αὐτοῖς· ὁ δὲ Θεὸς
ἐμακροθύμει. Αὐτὸς ᾠκοδόμησε θυσια-
στήρια τῶν ἀστέρων εἰς τὰς δύο αὐλὰς
τοῦ οἴκου Κυρίου· Καὶ ᾠκοδόμησε Αὐτ. 5.
θυσιαστήρια πάσῃ τῇ στρατιᾷ
τοῦ οὐρανοῦ ἐν ταῖς δυσὶν αὐ-
λαῖς οἴκου Κυρίου· ὁ δὲ Θεὸς ἐμα-
κροθύμει. Αὐτὸς μετήρχετο πᾶν εἶδος
μαγείας, καὶ μαντείας, ἔστησε γλυπτὸν
χωνευτὸν εἰς τὸν ναὸν τοῦ Θεοῦ, ἐπλά-
νησε τὸ περισσότερον μέρος τῆς φυλῆς
τοῦ Ἰούδα, καὶ κατεκρήμνισεν αὐτοὺς
εἰς τὴν εἰδωλολατρείαν· ἐξέχεεν αἷ- Δ΄. Βασ.
μα πολὺ ἁγίων ἀνδρῶν, οἵτινες οὐκ ἔ- κα΄. 16.
στερξαν ἀποστατῆσαι ἀπὸ τῆς εἰς τὸν
ἀληθινὸν Θεὸν πίστεως. Ὁ δὲ Θεὸς, μα-
κροθυμῶν, ἀντὶ τῆς πρεπούσης αὐτῷ αὐ-
στηροτάτης τιμωρίας, ἀπέστειλε πρῶ-
τον μὲν τοὺς ἁγίους αὐτοῦ Προφήτας, Αὐτόθι.
παῤῥησίᾳ μεγαλοφώνως διδάσκοντας, 10.
νουθετοῦντας, φοβερίζοντας αὐτὸν φοβε-
ρι-

ρισμοὺς φρικώδεις· ἔπειτα καὶ αὐτὸς ὁ Θεὸς ἐλάλησε πρὸς αὐτόν τε καὶ τὸν λαὸν αὐτοῦ, ἀλλ᾿ αὐτὸς, ὡς κωφὸς καὶ ἀναίσθητος, οὐκ ἠθέλησε μετανοῆσαι·
Β'.Παραλ. λγ'. 10. Καὶ ἐλάλησε Κύριος ἐπὶ Μανασσῆ, καὶ ἐπὶ τὸν λαὸν αὐτοῦ, καὶ οὐκ ἐπήκουσε. Μετὰ ταῦτα παρεχώρησεν ἡ μακροθυμία, καὶ ἐνεφανίσθη ἡ δικαιοσύνη τοῦ Θεοῦ. Ἔρχονται οἱ Ἄρ-
Αὐτόθι. 11, κτ. χοντες τῆς δυνάμεως τοῦ Βασιλέως Ἀσσοὺρ, καὶ δεσμεύουσι τὸν Μανασσῆ ἐν δεσμοῖς, καὶ ἁλύσεσι σιδηραῖς, καὶ φέρουσιν αὐτὸν εἰς τὴν Βαβυλῶνα. Ἄθλιε Βασιλεῦ, σὺ κατεφρόνησας τῆς θείας μακροθυμίας τὴν ἀνοχὴν καὶ χρηστότητα, διὸ νῦν δοκιμάζεις τῆς θείας δικαιοσύνης τὰς πληγὰς καὶ τὰ φόβητρα· ἐξώσθης τοῦ βασιλικοῦ κράτους, ἐστερήθης τοῦ θρόνου· σὺ, ἐπὶ τοῦ βασιλικοῦ θρόνου καθήμενος, οὐκ ἠθέλησας μετανοῆσαι, ὅτε ὁ Θεὸς μακροθύμως προσεκάλει σε· ὕπαγε νῦν αἰχμάλωτος καὶ δέσμιος εἰς τὴν Βαβυλῶνα, ὅπου ὁ Θεὸς δικαίως ἀποστέλλει σε· ἐκεῖ τὰ παθήματά σου, ἡ θλίψις σου, ἡ ταπείνωσίς σου, ἡ στενοχωρία σου, τὰ δάκρυα τῶν ὀφθαλμῶν σου, ἡ κατανυκτικὴ προσευχή σου ἐξιλεώσει τοῦ Ἀπειροευσπλάγχνου τὴν δικαιοσύνην.

Τούτου τοῦ παραδείγματος ἐπισημότερόν ἐστι τὸ τοῦ Ἰουδαϊκοῦ γένους, τὸ περιεχόμενον εἰς τὴν ἀναγνωσθεῖσαν Παραβολήν. Ἀπιστίαι εἰς τὸν Θεὸν, γογγυσμοὶ κατ᾿ αὐτοῦ, ἀποστασίαι, εἰδωλολατρεῖαι, καὶ ἄλλαι παρανομίαι ἀναρίθμητοι ἦσαν τὰ ἁμαρτήματα τῶν ἀπὸ τῆς Αἰγύπτου ἐξελθόντων Ἑβραίων, καὶ ταῦτα σχεδὸν καθ᾿ ἑκάστην ἡμέραν. Ἐμακροθύμησεν ἐπ᾿ αὐτοὺς ὁ Θεὸς πολλοὺς αἰῶνας· νόμον ἔδωκεν αὐτοῖς, θαύματα ἐξαίσια ἐτέλεσε, Προφήτας πολλοὺς κατὰ διαφόρους καιροὺς εἰς αὐτοὺς ἀπέστειλε· τοσοῦτον ἐμακροθύμησεν ἐπ᾿ αὐτοὺς ὁ Θεὸς, ὥστε καὶ τὸν μονογενῆ αὐτοῦ Υἱὸν πρὸς αὐτοὺς ἐξαπέστειλεν, εὐεργέτην, διδάσκαλον, θαυματουργόν. Αὐτοὶ δὲ, ἀντὶ νὰ μετανοήσωσι, καὶ πιστεύσωσιν εἰς αὐτὸν, ἔπεσον εἰς τὸ φοβερὸν τῆς χριστοκτονίας πτῶμα, ἐσταύρωσαν δηλονότι τὸν Κύριον τῆς δόξης, τὸν Λυτρωτὴν τοῦ κόσμου καὶ Σωτῆρα. Ἐκτείνας λοιπὸν ὁ Θεὸς τὴν κραταιὰν τῆς δικαιοσύνης αὐτοῦ χεῖρα, ἐγύμνωσεν αὐτοὺς τῆς ἱερωσύνης, τοῦ ναοῦ, τῶν θυσιῶν, τῆς ἐξουσίας τῆς ἁγίας πόλεως, τῆς γῆς τῆς ἐπαγγελίας, καὶ πάντων τῶν θείων αὐτοῦ χαρισμάτων· βλέπομεν δὲ αὐτοὺς ἄχρι τῆς σήμερον περιπεφρονημένους, καὶ ἐξουδενημένους, καὶ εἰς πάντα τῆς γῆς τὰ μέρη διεσπαρμένους. Χριστιανὲ λοιπὸν, οὐαί σοι, ὅταν βλέπῃς τὴν μακροθυμίαν τοῦ Θεοῦ ἐνεργουμένην ἐν σοὶ, σὺ δὲ, ἀντὶ νὰ διορθωθῇς, οὐχὶ μόνον ἐπιμένεις εἰς τὴν αὐτὴν ἁμαρτίαν, ἀλλὰ καὶ προστίθης καθ᾿ ἑκάστην ἡμέραν, καὶ πολυπλασιάζεις τὸν ἀριθμὸν τῶν ἁμαρτημάτων σου.

Ἀλλ᾿ ἡμεῖς βλέπομεν, ἀποκρίνεσθε, πολλοὺς, οἵτινες ἁμαρτάνουσιν ἔτη πολλὰ, καὶ τῆς θείας περιφρονοῦντες μακροθυμίας, μένουσιν ἀδιόρθωτοι, καὶ ὅμως οὗτοι οὐδεμίαν λαμβάνουσι τιμωρίαν, ἀλλ᾿ ἀποθνήσκουσιν ἐν εἰρήνῃ. Οὐαὶ εἰς αὐτοὺς, ἀδελφοί! ἄλλος κόσμος, ὁ αἰώνιος, ἄλλη κρίσις, ἡ δικαία, καὶ φοβερὰ, καὶ ἐσχάτη, ἄλλη τιμωρία, ἡ ἀτελεύτητος καὶ ἀπέραντος, περιμένει αὐτούς· φρίττω νὰ προφέρω ὅσα περὶ αὐτῶν εἶπεν ὁ θεῖος Ἀπόστολος, ὅτε ἐλάλει πρὸς τὸν ἄνθρωπον, τὸν περιφρονητὴν τῆς θείας μακροθυμίας· Κατὰ Ῥωμ. β. 5.
δὲ τὴν σκληρότητά σου, λέγει, καὶ ἀμετανόητον καρδίαν, θησαυρίζεις σεαυτῷ ὀργὴν ἐν ἡμέρᾳ ὀργῆς καὶ ἀποκαλύψεως δικαιοκρι-

Ῥωμ. 2. 6. σίας τοῦ Θεοῦ· ὃς ἀποδώσει ἑ-
κάστῳ κατὰ τὰ ἔργα αὐτοῦ.

Ἡ πρόσκαιρος παίδευσις τοῦ ἁμαρ-
τωλοῦ ἐστὶν ἔλεος Θεοῦ, φέρον αὐτὸν εἰς
μετάνοιαν, καὶ ἐξαλεῖφον παντελῶς τὴν
Ψαλ. πή. 32, 33. περιμένουσαν αὐτὸν κόλασιν· Ἐπισκέ-
ψομαι, λέγει ὁ Θεὸς, ἐν ῥάβδῳ τὰς
ἀνομίας αὐτῶν, καὶ ἐν μάστιξι
τὰς ἀδικίας αὐτῶν. Τὸ δὲ ἔλεός
μου οὐ μὴ διασκεδάσω ἀπ' αὐτῶν.
Αἱ μάστιγες τοῦ Θεοῦ ἐστὶν ἀγάπη
Παροιμ. γʹ. 12. καὶ ἔλεος· Ὃν γὰρ ἀγαπᾷ Κύριος
παιδεύει, μαστιγοῖ δὲ πάντα
υἱὸν, ὃν παραδέχεται· παιδεύει, ἵνα
ἰατρεύσῃ· μαστιγοῖ, ἵνα σώσῃ. Ὅταν
οὖν βλέπῃς ἁμαρτωλὸν ὑπὸ Κυρίου παι-
δευόμενον, λάμβανε περὶ αὐτοῦ καλὰς
ἐλπίδας· διότι ἡ παιδεία Κυρίου ἐστὶ
βότανον ἰαματικὸν τῶν πληγῶν τῆς ψυ-
χῆς αὐτοῦ· Παιδεύων ἐπαίδευσέ με Ψαλ. ριζʹ. 18.
ὁ Κύριος, καὶ τῷ θανάτῳ οὐ πα-
ρέδωκέ με. Ὅταν δὲ βλέπῃς ἁμαρτω-
λὸν ἀμετανόητον, ἀποθνήσκοντα χωρίς
τινος τιμωρίας, κλαῦσον θερμῶς ἐπ' αὐ-
τῷ· διότι, διὰ τὴν σκληρότητα καὶ ἀμε-
τανόητον αὐτοῦ καρδίαν, καὶ διὰ τὴν πε-
ριφρόνησιν τῆς θείας μακροθυμίας, ἐγ-
κατελείφθη ὑπὸ τοῦ Θεοῦ, καὶ ἀνάξιος
γενόμενος τῆς προσκαίρου ῥάβδου καὶ μά-
στιγος, ἐθησαύρισεν ἑαυτῷ ὀργὴν ἐν
ἡμέρᾳ ὀργῆς, καὶ ἀποκαλύψεως
δικαιοκρισίας τοῦ Θεοῦ· ὃς ἀπο-
δώσει ἑκάστῳ κατὰ τὰ ἔργα αὐ-
τοῦ.

# ΕΡΜΗΝΕΙΑ

## ΕΙΣ ΤΟ ΚΑΤΑ

# ΜΑΤΘΑΙΟΝ

## ΕΥΑΓΓΕΛΙΟΝ ΤΗΣ ΙΔʹ. ΚΥΡΙΑΚΗΣ.

Καὶ σήμερον Παραβολὴν ἠκούσαμεν, κα-
θὼς καὶ τὴν παρελθοῦσαν Κυριακήν.
Αὐτὸς δὲ ὁ Θεάνθρωπος ἐφανέρωσε τὸ,
διατί συχνάκις παραβολικῶς ἐλάλει·
Ματ. ιγʹ. 13. Διὰ τοῦτο, εἶπεν, ἐν Παραβολαῖς
αὐτοῖς λαλῶ, ὅτι βλέποντες οὐ
βλέπουσι, καὶ ἀκούοντες οὐκ ἀ-
κούουσιν, οὐδὲ συνιοῦσιν. Ὁσά-
κις ὁ Ἰησοῦς Χριστὸς ἐλάλει πρὸς τοὺς
Ἰουδαίους ἀπαρακαλύπτως, χωρὶς μετα-
φορᾶς καὶ Παραβολῆς, ὅσοι ἐξ αὐτῶν ἦ-
σαν διεστραμμένοι, ἀντὶ ὠφελείας, ἐ-
λάμβανον βλάβην· ἐβλάπτοντο δὲ, ἐπει-
δὴ, βλέποντες διὰ τῶν ὀμμάτων τοῦ σώ-
ματος, οὐκ ἔβλεπον διὰ τῶν ὀφθαλμῶν
τῆς ψυχῆς, καὶ ἀκούοντες διὰ τῆς σωμα-
τικῆς ἀκοῆς, ἐκώφευον διὰ τῆς ψυχικῆς.
Ἤκουσαν τὸ, Ὁ τρώγων μου τὴν Ἰωάν. ϛʹ. 56, 60.
σάρκα, καὶ πίνων μου τὸ αἷμα,
ἐν ἐμοὶ μένει, κἀγὼ ἐν αὐτῷ, καὶ
εὐθὺς ἐκραύγασαν· Σκληρός ἐστιν
οὗτος ὁ λόγος· τίς δύναται αὐ-
τοῦ ἀκούειν; Ἤκουσαν τὸ, Ἐγὼ, Αὐτ. ιʹ. 30, 31,
καὶ ὁ Πατὴρ ἕν ἐσμεν, καὶ εὐ-
θὺς ἐβάστασαν λίθους, ἵνα λι-
θάσωσιν αὐτόν. Ἰδόντες τὸν τυφλὸν
ὀμματωθέντα, ἐξεφώνησαν τὸ, Ἡμεῖς Αὐτ. θʹ. 24.
οἴδαμεν, ὅτι ὁ ἄνθρωπος οὗτος
ἁμαρτωλός ἐστιν. Ἰδόντες τὴν συγ-
κύπτουσαν ἀνωρθωμένην, ἠγανάκτησαν,

ὅτι

Λουκ. ιγ'. ὅτι τῷ σαββάτῳ ἐθεράπευσεν αὐ-
14. τὴν ὁ Ἰησοῦς. Ἐλάλει λοιπὸν ὁ Ἰη-
σοῦς παραβολικῶς, ἤγουν αἰνιγματωδῶς
δι' ὁμοιώσεως, ἵνα μὴ οἱ κακοπροαίρε-
τοι, κακῶς νοοῦντες τὰ ἀνακεκαλυμμένως
λεγόμενα, βλάπτωνται. Καὶ τινὰς μὲν
τῶν Παραβολῶν, ὅσας δηλαδὴ οἱ μαθη-
ταὶ αὐτοῦ κατανοῆσαι οὐκ ἠδύναντο, αὐ-
τὸς διηρμήνευε, τὰς δὲ λοιπὰς αὐτοὶ ἀφ'
Αὐτ. η'. ἑαυτῶν κατενόουν· διὸ καὶ ἔλεγεν· Ὑμῖν
10. δέδοται γνῶναι τὰ μυστήρια τῆς
βασιλείας τοῦ Θεοῦ, τοῖς δὲ λοι-
ποῖς ἐν Παραβολαῖς. Ἐπειδὴ λοι-
πὸν ἡ Παραβολὴ κρύπτει νοήματα ὑψη-
λὰ καὶ σωτηριώδη, διὰ τοῦτο χρείαν ἔ-
χει ἀκριβεστέρας ἐξηγήσεως. Κύριε, κα-
τάπεμψον ἡμῖν τὸν φωτισμόν σου, ἵνα,
κατανοήσαντες τὴν σήμερον ἀναγνωσθεῖ-
σαν Παραβολὴν, ἐξηγήσωμεν αὐτὴν πρὸς
ὠφέλειαν ψυχικὴν τῶν ἀκροωμένων αὐ-
τὴν, καὶ τῶν ἀναγινωσκόντων.

Ματ. κβ'. Εἶπεν ὁ Κύριος τὴν Παρα-
2. βολὴν ταύτην. Ὡμοιώθη ἡ
βασιλεία τῶν οὐρανῶν ἀνθρώ-
πῳ Βασιλεῖ, ὅστις ἐποίησε
γάμους τῷ υἱῷ αὐτοῦ.

Διὰ τῆς προκειμένης Παραβολῆς ἐφανέρωσεν ὁ Θεάνθρωπος Ἰησοῦς, ὅτι οὐ μόνον τὸ Ἰουδαϊκὸν γένος ἐξέπεσε τῆς ἐπουρανίου βασιλείας, ἀντ' αὐτοῦ δὲ εἰσήχθησαν εἰς αὐτὴν τὰ πρότερον ἄπιστα ἔθνη, ἀλλὰ καὶ αὐτοὶ οἱ πιστεύσαντες εἰς αὐτὸν, μὴ πράξαντες δὲ τῆς ἀρετῆς τὰ ἔργα, στεροῦνται τῆς βασιλείας τοῦ Θεοῦ, καὶ παραδίδονται εἰς τὰς βασάνους τῆς κολάσεως. Ἄρχεται δὲ ἡ Παραβολὴ μετωνυμικῶς, βασιλείαν οὐρανῶν ὀνομάζουσα τὸν ἐπουράνιον Βασιλέα· Ὁ ἐπουράνιος, λέγει, Βασιλεὺς ἔπραξεν ὑπὲρ τοῦ γένους τῶν ἀνθρώπων ὅσα καὶ ἐπίγειος Βασιλεὺς, ὅστις ἐποίησε γάμους τῷ υἱῷ αὐτοῦ. Καὶ Βασιλεὺς μὲν ἐπουράνιός ἐστιν ὁ Θεὸς καὶ Πατὴρ, υἱὸς δὲ αὐτοῦ, ὁ μονογενὴς Υἱὸς καὶ Λόγος αὐτοῦ, ὁ δι' ἡμᾶς σαρκωθεὶς, καὶ γενόμενος ἄνθρωπος. Ὁ δὲ Γάμος σημαίνει
τὴν πνευματικὴν ἕνωσιν τοῦ Ἰησοῦ Χρι-
στοῦ μετὰ τῆς Ἐκκλησίας· Τὸ μυστή- Ἐφεσ. ε'.
ριον τοῦτο, λέγει ὁ θεῖος Ἀπόστολος, 32.
μέγα ἐστίν· ἐγὼ δὲ λέγω εἰς Χρι-
στὸν, καὶ εἰς τὴν Ἐκκλησίαν· ση-
μαίνει δὲ καὶ τὴν ἕνωσιν αὐτοῦ μετὰ
πάσης καθαρᾶς ψυχῆς, ἥτις ὀρθοδόξως
εἰς αὐτὸν πιστεύει, καὶ ἐξ ὅλης τῆς δυ-
νάμεως ἀγαπᾷ αὐτὸν, κατὰ τὸ, Καὶ Ἰωάν. ιδ'.
πρὸς αὐτὸν ἐλευσόμεθα, καὶ μο- 23.
νὴν παρ' αὐτῷ ποιήσομεν· πρὸς
τούτοις σημαίνει καὶ τὴν ἀνεκλάλητον
χαρὰν τῶν δικαίων, οἵτινες συνημμένοι
ἔσονται μετὰ τοῦ Ἰησοῦ Χριστοῦ ἐν τῇ
ἐπουρανίῳ αὐτοῦ βασιλείᾳ, κατὰ τὸ,
Εἴσελθε εἰς τὴν χαρὰν τοῦ Κυ- Ματ. κε'.
ρίου σου. Ἐπειδὴ δὲ ὁ γάμος ἐνταῦ- 21.
θα πολλὰς ἔχει σημασίας, διὰ τοῦτο
οὐκ εἶπεν, ἐποίησε γάμον ἑνικῶς, ἀλλ'
ἐποίησε γάμους πληθυντικῶς. Καὶ Αἰτ. θ'.
νυμφίος μὲν τοῦ πνευματικοῦ γάμου ἐ- 15.
στὶν αὐτὸς ὁ Χριστὸς, ὅστις πολλάκις Ἰωάν. γ'.
ὠνομάσθη νυμφίος· νύμφη δὲ, ἡ ἁγία 29.
αὐτοῦ Ἐκκλησία, ἡ καλουμένη Νύμφη Ἀποκ. κα'.
τοῦ ἀρνίου, ἔτι δὲ καὶ πᾶσα ψυχὴ 9.
θεοφιλὴς καὶ ὀρθόδοξος, κατὰ τὸ, Ἡρ-
μοσάμην γὰρ ὑμᾶς ἑνὶ ἀνδρὶ παρ- Β'. Κορ.
θένον ἁγνὴν παραστῆσαι τῷ Χρι- ια'. 2.
στῷ.

Καὶ ἀπέστειλε τοὺς δούλους Ματ. κβ'.
αὐτοῦ καλέσαι τοὺς κεκλη- 3.
μένους εἰς τοὺς γάμους, καὶ
οὐκ ἤθελον ἐλθεῖν.

Κα-

Κατὰ πρῶτον εἰς τὸν καιρὸν τοῦ Ἀβραὰμ ἐκάλεσεν ὁ Θεὸς τῶν Ἑβραίων τὸ γένος εἰς τὴν θεογνωσίαν, καὶ διὰ συμβόλων καὶ αἰνιγμάτων προητοίμασεν αὐτὸ εἰς τὴν ὑποδοχὴν τῆς εἰς Χριστὸν πίστεως· διότι πρὸς τὸν Ἀβραὰμ πρῶ-
Γεν. ιβ'. 1, 2 τον εἶπεν· Ἔξελθε ἐκ τῆς γῆς σου, καὶ ἐκ τῆς συγγενείας σου, καὶ ἐκ τοῦ οἴκου τοῦ πατρός σου· καὶ δεῦρο εἰς γῆν, ἣν ἄν σοι δείξω. Καὶ ποιήσω σε εἰς ἔθνος μέγα, καὶ εὐλογήσω σε, καὶ μεγαλυνῶ τὸ ὄνομά σου, καὶ ἔσῃ εὐλογημένος. Ὁ Ἀβραὰμ δὲ πρῶτος ἀγαλλόμενος ἐπεθύμησεν ἰδεῖν τὴν ἡμέραν τῆς ἐ-
Ἰωάν. η'. 56. πιφανείας τοῦ Κυρίου Ἰησοῦ, καὶ εἶδεν αὐτήν, καὶ ἐχάρη· φανερὸν λοιπόν, ὅτι οἱ Ἑβραῖοι, καὶ πρὸ τῶν Προφητῶν, προσκεκλημένοι ἦσαν ὑπὸ Θεοῦ. Πρὸς αὐτοὺς οὖν, τοὺς πρότερον κεκλημένους, ἀπέστειλε τοὺς δούλους αὐτοῦ, ἤγουν τοὺς ἁγίους Προφήτας, ἵνα, προκαταγγείλαντες εἰς αὐτοὺς τὸ μυστήριον τῆς θείας ἐνανθρωπήσεως, καὶ τὴν εἰς Χριστὸν πίστιν, προσκαλέσωσιν αὐτοὺς εἰς τοὺς γάμους, ἤγουν εἰς τὴν ἀπόλαυσιν τῆς αἰωνίου μακαριότητος. Καὶ οἱ μὲν ὑπὸ Θεοῦ ἀποσταλέντες Προφῆται, προκηρύττοντες τὴν σάρκωσιν, τὰ θαύματα, τὸ πάθος, τὸν σταυρόν, τὸν θάνατον, τὴν ταφήν, τὴν ἀνάστασιν, καὶ πάντα τὰ περὶ τοῦ Ἰησοῦ Χριστοῦ, προσεκάλουν αὐτοὺς εἰς τὴν πρὸς αὐτὸν πίστιν, δι' ἧς ἔμελλον εἰσελθεῖν εἰς τὸν νυμφῶνα τῆς θείας δόξης· οἱ δὲ οὐ μόνον οὐκ ἠθέλησαν πιστεῦσαι, καὶ ὑπακοῦσαι, ἀλλὰ καὶ ἄλλον μὲν τῶν ἀποσταλέντων Προφητῶν ἔδειραν, ἄλλον δὲ
Ματ. κα'. 35. ἀπέκτειναν, καὶ ἄλλον ἐλιθοβόλησαν.

Αὐτ. κβ'. 4. **Πάλιν ἀπέστειλεν ἄλλους δούλους, λέγων· Εἴπατε τοῖς κεκλημένοις· Ἰδοὺ τὸ ἄριστόν μου ἡτοίμασα, οἱ ταῦροί μου καὶ τὰ σιτιστὰ τεθυμένα, καὶ πάντα ἕτοιμα· δεῦτε εἰς τοὺς γάμους.**

Τῶν ἄλλων δούλων, τῶν πάλιν ἀποσταλέντων πρὸς τὸ αὐτὸ Ἰουδαϊκὸν γένος, μετὰ τὴν ἐνανθρώπησιν τοῦ Κυρίου Ἰησοῦ, πρῶτός ἐστιν ὁ Πρόδρομος Ἰωάννης, περὶ οὗ προεφήτευσεν ὁ προφήτης Μαλαχίας, λέγων· Ἰδοὺ ἐξα- Μαλ. γ'. 1.
ποστέλλω τὸν ἄγγελόν μου, καὶ ἐπιβλέψεται ὁδὸν πρὸ προσώπου μου· οὗτος δὲ ἐκήρυττε παῤῥησίᾳ τοῖς Ἰουδαίοις· Ἔρχεται ὁ ἰσχυρότερός Μάρκ. α'. 7, 8.
μου ὀπίσω μου, οὗ οὐκ εἰμὶ ἱκανὸς κύψας λῦσαι τὸν ἱμάντα τῶν ὑποδημάτων αὐτοῦ. Ἐγὼ μὲν ἐ- Ματ. γ'. 5, 6.
βάπτισα ὑμᾶς ἐν ὕδατι· αὐτὸς δὲ βαπτίσει ὑμᾶς ἐν Πνεύματι ἁγίῳ. Δεύτεροι, οἱ θεῖοι Ἀπόστολοι, οἵτινες ταύτην τὴν παραγγελίαν λαβόντες· Εἰς ὁδὸν ἐθνῶν μὴ ἀπέλθητε, καὶ εἰς πόλιν Σαμαρειτῶν μὴ εἰσέλθητε· πορεύεσθε δὲ μᾶλλον πρὸς τὰ πρόβατα τὰ ἀπολωλότα οἴκου Ἰσραήλ· προσεκάλουν πρῶτον τοὺς Ἰουδαίους εἰς τὸ ἡτοιμασμένον ἄριστον, ἤγουν εἰς τὴν ἐν τῇ Ἐκκλησίᾳ ἡτοιμασμένην τράπεζαν τοῦ μυστηρίου. Τίνος δὲ εἰσι σύμβολα οἱ ταῦροι, καὶ τὰ σιτιστὰ τὰ τεθυμένα; Αὐτά εἰσι τὰ Λουκ. ιε'. 23.
σύμβολα τοῦ μόσχου τοῦ σιτευτοῦ, καὶ Ἠσ. νγ'. 7.
τοῦ προβάτου καὶ ἀμνοῦ, τοῦ ὑπὲρ ἡμῶν σφαγέντος· αὐτά εἰσι τὰ σύμβολα τοῦ ὑπερφυοῦς μυστηρίου τῆς θείας Εὐχαριστίας, ἤγουν τῆς σαρκὸς καὶ τοῦ αἵματος τοῦ ζωοδότου Χριστοῦ· οἱ δὲ τούτων μεταλαμβάνοντες συνάπτονται μετ' αὐτοῦ τοῦ Ἰησοῦ Χριστοῦ· Ὁ τρώ- Ἰωάν. ς'. 56.
γων μου τὴν σάρκα, καὶ πίνων

μου

μου τὸ αἷμα, ἐν ἐμοὶ μένει, κἀγὼ ἐν αὐτῷ. Ἐμνημόνευσε δὲ πρῶτον τῆς τραπέζης τῆς Θείας Εὐχαριστίας, ἐπειδὴ δι' αὐτῆς τελειοῦται ὁ πνευματικὸς γάμος, ἡ πνευματικὴ δηλαδὴ ἕνωσις τοῦ νυμφίου καὶ τῆς νύμφης, ἤγουν τοῦ Ἰησοῦ Χριστοῦ καὶ τῆς καθαρᾶς ψυχῆς· ἔπειτα προσέθηκε καὶ τό, πάντα ἕτοιμα, ἵνα διὰ τούτου φανερώσῃ, ὅτι οἱ Θεηγόροι Ἀπόστολοι, προσκαλοῦντες, οὐ μόνον ἔλεγον, Ἔλθετε, ἕτοιμός ἐστι τῆς Θείας Εὐχαριστίας ἡ τράπεζα, ἀλλ', Ἔλθετε, πάντα εἰσὶν ἕτοιμα, ἡ μετάνοια, τὸ βάπτισμα, τὰ Θεῖα χαρίσματα, ἡ δόξα καὶ ἡ βασιλεία τοῦ Θεοῦ ἡ αἰώνιος· πάντα εἰσὶν ἕτοιμα εἰς τοὺς διὰ τῆς εἰς Χριστὸν πίστεως προσερχομένους.

Ματ. κβ'. 5. Οἱ δὲ ἀμελήσαντες ἀπῆλθον· ὁ μὲν εἰς τὸν ἴδιον ἀγρὸν, ὁ δὲ εἰς τὴν ἐμπορίαν αὐτοῦ·
6. οἱ δὲ λοιποὶ, κρατήσαντες τοὺς δούλους αὐτοῦ, ὕβρισαν καὶ ἀπέκτειναν.

Μέρος τῶν Ἰουδαίων οὐκ ἐδέξαντο τὴν ἀποστολικὴν πρόσκλησιν διὰ τὴν περὶ τὰ Θεῖα ἀμέλειαν αὐτῶν καὶ ψυχρότητα, πολλοὶ δὲ ἐφάνησαν ἀπάνθρωποι καὶ φονεῖς. Ὁ Κύριος Ἰησοῦς, ὁμοίως καὶ οἱ τούτου μαθηταὶ καὶ Ἀπόστολοι ἐκήρυττον καταφρόνησιν πλούτου, ἀποστροφὴν κοσμικῆς ματαιότητος, ἄρνησιν τῶν ἐπιθυμιῶν τῆς σαρκὸς, ἑτοιμασίαν εἰς ἀγῶνας, καὶ κινδύνους, καὶ θάνατον· ὅθεν ὅσοι ἦσαν φιλόσαρκοι, καὶ φιλόζωοι, καταφρονήσαντες τῆς προσκλήσεως, καὶ τῷ Χριστῷ μὴ πιστεύσαντες, προσήλωσαν ἑαυτοὺς, ἄλλοι μὲν εἰς τὸν ἴδιον ἀγρὸν, ἤγουν εἰς τὴν φιλαυτίαν καὶ φιλοσαρκίαν, ἄλλοι δὲ εἰς τὴν ἐμπορίαν, τουτέστιν εἰς τὴν φιλοκέρδειαν καὶ πλεονεξίαν· οἱ δὲ λοιποὶ Ἰουδαῖοι οὐ μόνον οὐκ ἐπίστευσαν τῷ Χριστῷ, ἀλλὰ καὶ κρατήσαντες τοὺς δούλους αὐτοῦ, ἤγουν τοὺς Θεοκήρυκας Ἀποστόλους, τινὰς μὲν ἐξ αὐτῶν ἐφόνευσαν, καθὼς τὸν πρωτομάρτυρα Στέφανον, καὶ Ἰάκωβον τὸν ἀδελφὸν Ἰωάννου, ἄλλους δὲ, ἤτοι τὸν Πέτρον, καὶ Ἰωάννην, καὶ τοὺς λοιποὺς Ἀποστόλους ὕβρισαν, καὶ ἔδειραν, καὶ ἕως θανάτου κατεδίωξαν. (Πράξ. ζ'. 59. Αὐτ. ιβ'. 2. Αὐτ. δ'. 5.)

Καὶ ἀκούσας ὁ Βασιλεὺς ἐκεῖνος, ὠργίσθη· καὶ πέμψας τὰ στρατεύματα αὐτοῦ, ἀπώλεσε τοὺς φονεῖς ἐκείνους, καὶ τὴν πόλιν αὐτῶν ἐνέπρησε. Ματ. κβ'. 7.

Ἐμακροθύμησε τοσούτους αἰῶνας ὁ Θεὸς ἐπὶ τὸ γένος τῶν Ἰουδαίων, καὶ μετῆλθε τοὺς ἰσχυροτέρους τρόπους, ἵνα ἑλκύσῃ αὐτοὺς πρὸς τὴν ὁδὸν τῆς ἀληθείας· ἐπειδὴ δὲ οὐ μόνον οὐκ ἐδιώρθωσεν αὐτοὺς ἡ μακροθυμία, ἀλλὰ καὶ αὐτὰ τὰ δραστικὰ μέσα τῆς διορθώσεως αὐτῶν καὶ σωτηρίας ἀφορμὴ ἐγένοντο αὐτοῖς μείζονος ἁμαρτίας καὶ ἀπωλείας, ὠργίσθη κατ' αὐτῶν δικαίως ὁ δίκαιος Βασιλεὺς, καὶ ἀπέστειλε κατ' αὐτῶν τὰ Ῥωμαϊκὰ στρατεύματα, πρῶτον μὲν μετὰ τοῦ Αὐτοκράτορος Οὐεσπασιανοῦ, ἔπειτα καὶ μετὰ τοῦ υἱοῦ αὐτοῦ τοῦ Τίτου, ὅστις τὴν Ἱερουσαλὴμ πολιώρκησε, μυριάδας ἀπέκτεινεν, αναριθμήτους ᾐχμαλώτευσε, τὸ ναὸν κατέκαυσε, τὴν πόλιν ἐνέπρησε, τὸ Ἰουδαϊκὸν γένος κατέφθειρεν· ἐξ ἐκείνου δὲ τοῦ καιροῦ διεσπάρησαν οἱ Ἰουδαῖοι εἰς πάντα τῆς γῆς τὰ μέρη. (Ὅρα βιβ. 7. Ἰωσηπ. περὶ Ἰουδ. Πολ.)

Τό-

Ματ. κβ'. Τότε λέγει τοῖς δούλοις αὐ-
8. τοῦ· Ὁ μὲν γάμος ἕτοιμός
ἐστιν, οἱ δὲ κεκλημένοι οὐκ
ἦσαν ἄξιοι. Πορεύεσθε οὖν
9. πρὸς τὰς διεξόδους τῶν ὁδῶν,
καὶ ὅσους ἂν εὕρητε, καλέ-
σατε εἰς τοὺς γάμους.

Προσκεκλημένοι ἦσαν οἱ Ἰουδαῖοι, πρῶτον μὲν διὰ τοῦ προπάτορος αὐτῶν Ἀβραάμ, μετὰ ταῦτα ὑπὸ τῶν ἁγίων Προφητῶν, ἔπειτα ὑπ' αὐτοῦ τοῦ Ἰησοῦ Χριστοῦ, καὶ ὑπὸ τῶν θεοφόρων Ἀποστόλων, ἀλλὰ γεγόνασιν ἀνάξιοι τοῦ πνευματικοῦ γάμου, ἤγουν τῆς τῶν οὐρανῶν βασιλείας, διὰ τὴν εἰδωλολατρείαν, διὰ τὴν προφητοκτονίαν, διὰ τὴν χριστοκτονίαν, καὶ διὰ τὴν εἰς τὸ εὐαγγελικὸν κήρυγμα ἀποστροφὴν αὐτῶν, καὶ ἐπιβουλήν, καὶ δυσμένειαν· διὰ τοῦτο οὖν πέμπονται οἱ θεῖοι Ἀπόστολοι πρὸς τὰ ἔθνη· Τότε λέγει τοῖς δούλοις αὐτοῦ· τότε, ἀλλὰ πότε; εἶπεν ἀλη-
Αὐτ. κη'. θῶς πρὸς τοὺς Ἀποστόλους, Πορευ-
19. θέντες οὖν μαθητεύσατε πάντα τὰ ἔθνη, ἀλλὰ ταῦτα εἶπεν αὐτοῖς, μετὰ τὴν ἐκ νεκρῶν αὐτοῦ ἀνάστασιν, τὴν δὲ Παραβολὴν ταύτην ἐλάλησε πρὸ τοῦ πάθους καὶ τῆς ἀναστάσεως· πῶς οὖν ταῦτα συμβιβάζονται; Ὅταν ὁ Κύριος ἔλεγε τὴν Παραβολὴν ταύτην, ἐλάλει προφητικῶς, ὡς προειδὼς δηλαδή, ὅτι οἱ μὲν Ἀπόστολοι, ὑπακούσαντες τῷ θείῳ αὐτοῦ προστάγματι, ἀπελεύσονται
Αὐτ. ι'. κηρύττοντες τὸ Εὐαγγέλιον εἰς τὰ πρό-
6. βατα τὰ ἀπολωλότα οἴκου Ἰσραήλ· οἱ δὲ Ἰσραηλῖται ἀποστραφήσονται τὸ κήρυγμα, καὶ καταδιώξουσιν αὐτούς, διὸ αὐτοὶ πορεύσονται εἰς τὰ ἔθνη· προεῖπεν οὖν διὰ τῆς Παραβολῆς ταύτης τὰ μέλλοντα γενέσθαι ὡς γεγενημένα, καὶ τετελεσμένα. Ἰδοὺ δὲ πῶς αὐτοὶ οἱ θεῖοι Ἀπόστολοι, ὅ, τε Βαρνάβας καὶ ὁ Παῦλος, πρὸς τοὺς Ἰουδαίους λαλοῦντες, ἐξηγοῦσι ταῦτα τῆς Παραβολῆς τὰ λό-
για· Ὑμῖν ἦν ἀναγκαῖον πρῶτον Πράξ. ιγ'.
λαλῆσαι τὸν λόγον τοῦ Θεοῦ· ἐ- 46.
πειδὴ δὲ ἀπωθεῖσθε αὐτόν, καὶ οὐκ ἀξίους κρίνετε ἑαυτοὺς τῆς αἰωνίου ζωῆς, ἰδοὺ στρεφόμεθα εἰς τὰ ἔθνη. Εἰς τὰς διεξόδους δὲ τῶν ὁδῶν ἦσαν τὰ ἔθνη, καθότι οὐ περιεπάτουν ἐν τῇ ὁδῷ τῆς ἀληθείας, ἀλλὰ διέβαινον καὶ ἔτρεχον τοὺς κρημνοὺς τῆς πλάνης. Βλέπε δέ, πῶς θέλει ὁ Ἀπειροεύσπλαγχνος τὴν σωτηρίαν πάντων τῶν ἀνθρώπων· Καὶ ὅσους ἂν εὕρητε, λέγει, καλέσατε εἰς τοὺς γάμους.

Καὶ ἐξελθόντες οἱ δοῦλοι ἐ- Ματ. κβ'.
κεῖνοι εἰς τὰς ὁδούς, συνήγα- 10.
γον πάντας, ὅσους εὗρον, πο-
νηρούς τε καὶ ἀγαθούς· καὶ
ἐπλήσθη ὁ γάμος ἀνακειμέ-
νων.

Ἐξελθόντες οὖν οἱ Ἀπόστολοι εἰς πᾶσαν τὴν οἰκουμένην, καὶ κηρύξαντες τὴν εἰς Χριστὸν πίστιν, συνήγαγον εἰς τὴν Ἐκκλησίαν πάντας τοὺς πιστεύσαντας, πονηρούς τε καὶ ἀγαθούς. Τίνες δ' ἄρα οἱ πονηροί, καὶ τίνες οἱ ἀγαθοί; Ἐπειδὴ οὐ μόνον ἐθνικοί, ἀλλὰ καὶ Ἰουδαῖοί τινες ἐπίστευσαν τῷ εὐαγγελικῷ κηρύγματι, διὰ τοῦτο πονηροὺς μὲν καλεῖ τοὺς ἐθνικούς, ὡς τῇ κτίσει παρὰ τὸν Κτίσαντα λατρεύοντας, ἀγαθοὺς δὲ τοὺς Ἰουδαίους, ὡς τῷ ἀληθινῷ Θεῷ πιστεύοντας· ἢ πονηροὺς μὲν λέγει ἐκείνους, οἵτινες οὐ μόνον ἦσαν ἄπιστοι,

ἀλ-

ἀλλὰ καὶ πάσης κακίας καὶ φαυλότητος πεπληρωμένοι, ἀγαθοὺς δὲ ἐκείνους, οἵτινες, κἂν οὐκ ἦσαν πιστοὶ, εἶχον ὅ-
Πράξ. ι. 1, 2, 30. μως ἤδη χρηστὰ, καθὼς ὁ ἑκατοντάρχης Κορνήλιος, ὅστις, κἂν ἐθνικὸς ἦν, ἐφοβεῖτο ὅμως τὸν Θεὸν σὺν παντὶ τῷ οἴκῳ αὐτοῦ, καὶ ἐλεημοσύνας ἐποίει, καὶ προσηύχετο, καὶ ἐνήστευεν. Ἀπορίαν δὲ προξενεῖ τὸ, καὶ ἐπλήσθη ὁ γάμος ἀνακειμένων· κἂν γὰρ νοήσῃς γάμον, τὴν διὰ τῆς πίστεως ἕνωσιν τοῦ Χριστοῦ μετὰ πάσης καθαρᾶς ψυχῆς, κἂν τὴν Ἐκκλησίαν, κἂν τὴν τῶν οὐρανῶν βασιλείαν, ὁ γάμος οὔπω ἐπλήσθη ἀνακειμένων· διότι καθ' ἑκάστην καὶ οἱ διὰ τῆς πίστεως καὶ ἀρετῆς ἁγιαζόμενοι συνενοῦνται μετὰ τοῦ Ἰησοῦ Χριστοῦ, καὶ οἱ εἰς αὐτὸν πιστεύοντες προστίθενται ἐν τῇ Ἐκκλησίᾳ, καὶ ὁ ἀριθμὸς τῶν μεταβαινόντων ἐκ τοῦ κόσμου τούτου εἰς τὴν βασιλείαν τοῦ Θεοῦ αὔξει καὶ πληθύνεται. Εὔκολα δὲ λύεται ἡ ἀπορία, ἐὰν στοχασθῶμεν, ὅτι ἡ Παραβολὴ ἐκφράζει τὰ μέλλοντα γενέσθαι ὡς πράγματα γεγενημένα· Συνήγαγον, λέγει, πάντας· καὶ ὅμως οὐχὶ τότε, ὅτε τὴν Παραβολὴν ἔλεγεν ὁ Σωτὴρ, οἱ Ἀπόστολοι συνήγαγον, ἀλλὰ μετὰ ταῦτα, ἤγουν μετὰ τὴν ἀνάστασιν αὐτοῦ ἤρξαντο συνάγειν, καὶ ἔτι συνάγουσιν οἱ τούτων μαθηταὶ ἀπὸ τότε ἄχρι τῆς σήμερον, καὶ ἕως τέλους τοῦ κόσμου συνάξουσιν εἰς τὴν Ἐκκλησίαν τοὺς πιστεύοντας· φανερὸν οὖν ἐστὶν, ὅτι τὸ, συνήγαγον, εἶπεν, ἀντὶ τοῦ, συνάξουσιν, ὁμοίως καὶ τὸ, ἐπλήσθη, ἀντὶ τοῦ, πληρωθήσεται τῶν σωζομένων καὶ δαιτυμόνων ἡ τῶν οὐρανῶν βασιλεία.

Ματ. κβ'. 12. **Εἰσελθὼν δὲ ὁ Βασιλεὺς θεάσασθαι τοὺς ἀνακειμένους, εἶδεν ἐκεῖ ἄνθρωπον οὐκ ἐνδεδυμένον ἔνδυμα γάμου.**

Ἐπειδὴ ἀνωτέρω εἶπεν· Ὅσους ἂν εὕρητε, καλέσατε εἰς τοὺς γάμους, ἔπειτα προσέθηκε, συνήγαγον πάντας ὅσους εὗρον, πονηρούς τε καὶ ἀγαθούς, ἵνα μὴ νομίσωμεν, ὅτι ἀρκεῖ πρὸς τὴν σωτηρίαν τῶν πιστῶν ἡ μόνη πρόσκλησις, καὶ ἡ πίστις, οὐδεμία δὲ ἔρευνα γίνεται ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως περὶ τῶν ἔργων αὐτῶν, διὰ τοῦτο ἐπεσύναψε τὸ, εἰσῆλθεν ὁ Βασιλεὺς θεάσασθαι τοὺς ἀνακειμένους· ἵνα καταλάβωμεν, ὅτι ὁ Βασιλεὺς τῶν ἁπάντων καὶ Θεὸς, ἐν ὥρᾳ κρίσεως, ἐξετάζει τὰ ἔργα τῶν ἀνακειμένων, ἤγουν
τῶν παρισταμένων ἐνώπιον αὐτοῦ· τὴν Ματ. κέ. 31. κτ.
αὐτὴν δὲ ἐξέτασιν βλέπομεν καὶ εἰς τὴν περιγραφὴν τῆς δευτέρας ἐνδόξου παρουσίας αὐτοῦ. Ἐρευνῶν οὖν ἕκαστον τῶν ἀνακειμένων, εἶδεν ἄνθρωπον, ὅστις ἦν μὲν πιστὸς καὶ προσκεκλημένος, οὐκ εἶχε δὲ τὸ ἔνδυμα τοῦ γάμου, ἤγουν τὰ καλὰ καὶ σωτήρια τῆς ἀρετῆς ἔργα. Ὅτι δὲ τὸ ἔνδυμα τοῦ γάμου, σημαίνει τὴν ἀρετὴν, μαρτυρεῖ ὁ θεσπέσιος Παῦλος, λέγων· Ἐνδύσασθε οὖν, Κολασ. γ'. 12.
ὡς ἐκλεκτοὶ Θεοῦ ἅγιοι καὶ ἠγαπημένοι, σπλάγχνα οἰκτιρμῶν, χρηστότητα, ταπεινοφροσύνην, πραότητα, μακροθυμίαν. Διὰ τούτου τοῦ ἐνδύματος γίνεται ὁ πιστὸς ἄξιος τῆς ἐπουρανίου βασιλείας· Καὶ Ἰωάν. ε'. 29.
ἐκπορεύσονται, λέγει ὁ Κύριος, οἱ τὰ ἀγαθὰ ποιήσαντες εἰς ἀνάστασιν ζωῆς· οἱ δὲ τὰ φαῦλα πράξαντες εἰς ἀνάστασιν κρίσεως. Ἀκούσωμεν νῦν τί εἶπεν ὁ Βασιλεὺς πρὸς τὸν γυμνὸν τοῦ ἐπουρανίου τῆς ἀρετῆς ἐνδύματος.

Ματ. κβ'. 12. **Καὶ λέγει αὐτῷ· Ἑταῖρε, πῶς εἰσῆλθες ὧδε μὴ ἔχων ἔνδυμα γάμου; Ὁ δὲ ἐφιμώθη.**

Διὰ τοῦ ὀνόματος *ἑταῖρε*, ἤγουν φίλε, ἤλεγξεν ὁ Κύριος τὸν Ἰούδαν·
Αὐτ. κϛ'. 50. Ἑταῖρε, ἐφ' ᾧ πάρει; ἤλεγξε καὶ τὸν ἀγανακτοῦντα διὰ τὴν ἴσην τοῦ δηναρίου διανομήν·
Αὐτ. κ'. 13. Ἑταῖρε, οὐκ ἀδικῶ σε· μήπως δὲ ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως λέγει τὸ, *ἑταῖρε*, μόνον πρὸς τὸν πιστὸν ἄνθρωπον, καθότι αὐτὸς διὰ τῆς πίστεως καὶ τοῦ θείου Βαπτίσματος ἔχει τῆς υἱοθεσίας τὸ χάρισμα, κἂν διὰ τῶν ἁμαρτιῶν αὐτοῦ κατερρύπωσεν αὐτό; ἢ τὸ, *ἑταῖρε*, σημαντικόν ἐστι τῆς πρᾳότητος τοῦ Ἰησοῦ Χριστοῦ, ὅστις διαπαντός ἐστι πρᾶος, κἂν ἐλέγχῃ, καὶ παιδεύῃ ὡς δίκαιος κριτής; *Ἑταῖρε, πῶς εἰσῆλθες ὧδε μὴ ἔχων ἔνδυμα γάμου;* πῶς ἐτόλμησας εἰσελθεῖν εἰς τὰς λαμπρότητας τῶν ἁγίων, ἐν τῷ μέσῳ τῶν Ἀγγέλων, καὶ ἐνώπιόν μου, γυμνὸς τῶν τῆς ἀρετῆς χαρίτων, καὶ μεμολυσμένην ἔχων τὴν ψυχήν σου διὰ τῆς ἀκαθαρσίας τῶν ἁμαρτημάτων σου; Ὁ δὲ τρισάθλιος ὁ ἁμαρτωλὸς, μὴ ἔχων τί ἀποκριθῆναι πρὸς τὴν ἐλεγκτικὴν ταύτην ἐρώτησιν, ἐναπομένει ἀναπολόγητος καὶ ἄφωνος, ὥσπερ οἱ ἔχοντες χαλινὸν ἐν τῷ στόματι αὐτῶν· *Ὁ δὲ ἐφιμώθη*· τοῦτο δέ ἐστιν, ὅπερ εἶπεν ὁ Προφητάναξ·
Ψαλ. λά. 11. Ἐν κημῷ καὶ χαλινῷ τὰς σιαγόνας αὐτῶν ἄγξαις. Μετὰ δὲ τὸν ἔλεγχον εὐθὺς προφέρει ὁ δίκαιος Βασιλεὺς τὴν φοβερὰν ἀπόφασιν.

Ματ. κβ'. 13. **Τότε εἶπεν ὁ Βασιλεὺς τοῖς διακόνοις· Δήσαντες αὐτοῦ χεῖρας καὶ πόδας, ἄρατε αὐτὸν, καὶ ἐκβάλετε εἰς τὸ σκότος τὸ ἐξώτερον· ἐκεῖ ἔσται ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων.**

Βλέπομεν εἰς τὰς Γραφὰς Ἀγγέλους ὑπὸ Θεοῦ ἀποστελλομένους πρὸς τιμωρίαν τῶν ἀνθρώπων· οὗτοι οὖν οἱ τιμωρητικοὶ Ἄγγελοι εἰσὶν οἱ διάκονοι, οἱ ὑπὸ τοῦ Βασιλέως τῶν βασιλευόντων Θεοῦ προσταζόμενοι. *Δήσαντες δὲ* λέγει, *αὐτοῦ χεῖρας καὶ πόδας*, ἵνα φανερώσῃ, ὅτι ἀργοῦσιν ἐκεῖ αἱ πρακτικαὶ τῆς ψυχῆς δυνάμεις, καὶ οὐδεμίαν δύναμιν ἔχει ὁ ἄνθρωπος, ἵνα πράξῃ καλὸν ἔργον· ὅθεν καὶ ὁ Σολομὼν ἔλεγε· Σειραῖς δὲ τῶν ἑαυτοῦ ἁμαρτημάτων ἕκαστος σφίγγεται. Ἐπειδὴ δὲ ὁ Θεὸς φῶς ἐστι, διὰ τοῦτο καθὼς ἡ ἀπουσία καὶ στέρησις τούτου τοῦ ὑλικοῦ φωτὸς ποιεῖ τὸ πρόσκαιρον σκότος, οὕτω καὶ ἡ ἀπουσία καὶ ὁ χωρισμὸς τοῦ ὑπερουσίου Θεοῦ ποιεῖ ἐκεῖνο τὸ αἰώνιον σκότος. *Ἐξώτερον* δὲ *σκότος* εἶπεν, ἵνα φανερώσῃ, ὅτι ἔξω, καὶ πολλὰ μακρὰν ἀπὸ τοῦ Θεοῦ ἀπέχει τὸ τοιοῦτον σκότος. Ἐκεῖ δὲ πᾶσα θλίψις ἐστὶ καὶ ὀδύνη, κλαυθμὸς ἀπαρηγόρητος, καὶ βρυγμὸς ὀδόντων ἐλεεινότατος. Ἐπειδὴ δὲ ὁ γυμνὸς τοῦ ἐνδύματος τοῦ γάμου, κἂν κεκλημένος ἦν καὶ πιστὸς, κατεδικάσθη ὅμως, διότι ἐστερημένος ἦν πάσης ἀρετῆς, διὰ τοῦτο ἐπάγει ὁ Κύριος τὰ ἑξῆς.

B'. Βασιλ. 24. Χρυσ. εἰς τὸν Σειρ. Κυριλλ. Αὐτ. Παροιμ. ε'. 22.

Ματ. κβ'. 14. **Πολλοὶ γάρ εἰσι κλητοὶ, ὀλίγοι δὲ ἐκλεκτοί.**

*Πολλοὶ γάρ εἰσι κλητοί*. Πάντα τὰ πλήθη τῶν ἀνθρώπων, ὅσα ἤκουσαν τῆς εὐσεβείας τὸ κήρυγμα, εἰσὶ κλητοί, ἤγουν προσκεκλημένοι διὰ τὴν

βα-

βασιλείαν τῶν οὐρανῶν· διὸ Εὐαγγέλιον
Ματ. δ'. 23. τῆς βασιλείας λέγεται τὸ εὐαγγελικὸν κήρυγμα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ προσεκλήθησαν, καὶ προσκαλοῦνται οἱ ἄνθρωποι εἰς τὴν ἀπόλαυσιν τῆς βασιλείας τῶν οὐρανῶν· πολλὰ δὲ ἀληθῶς καὶ δυσαρίθμητά εἰσι τὰ τοιαῦτα προσκεκλημένα πλήθη. Ἐὰν δὲ στοχασθῇς τὸ πλῆθος τῶν Ἑβραίων, τῶν μὴ ὑποδεξαμένων τὴν εὐαγγελικὴν διδασκαλίαν, τὸ πλῆθος τῶν ἐθνικῶν, τῶν μὴ θελησάντων πιστεῦσαι, τὸ πλῆθος τῶν αἱρετικῶν καὶ σχισματικῶν, τὸ πλῆθος τῶν ὀρθοδόξων τῶν μὴ ποιούντων ἔργα ἐκλεκτὰ καὶ ἅγια, καὶ τὴν ὀλιγότητα τῶν ὄντως ἐναρέτων καὶ ἁγίων ἀνδρῶν, οἵτινές εἰσιν οἱ ἐκλεκτοὶ, καὶ ὡς φωστῆρες ἐκλάμπουσιν ἐν μέσῳ τῶν ὀρθοτομούντων τὸν λόγον τῆς ἀληθείας, βλέπεις φανερὰ, ὅτι ὀλίγοι εἰσὶν οἱ ἐκλεκτοί· ἐκλεκτοὶ δηλονότι τῶν ἄλλων κατὰ τὴν ζέσιν τῆς ὀρθοδόξου πίστεως, καὶ κατὰ τὰ κατορθώματα τῶν ἀρετῶν, δι' ὧν καὶ τῆς οὐρανῶν βασιλείας κληρονόμοι γίνονται.

# ΟΜΙΛΙΑ

### ΜΕΤΑ ΤΟ ΚΑΤΑ

# ΜΑΤΘΑΙΟΝ

## ΕΥΑΓΓΕΛΙΟΝ ΤΗΣ ΙΔ'. ΚΥΡΙΑΚΗΣ.

Ἐὰν Ἄγγελος Κυρίου κατέβαινεν ἐξ οὐρανοῦ, ἐκεῖνος ἠδύνατο ἴσως νὰ ἐξηγήσῃ, τί ἐστι τὸ σκότος τὸ ἐξώτερον, ἐν ᾧ οἱ ἁμαρτωλοὶ κολάζονται. Ἀλλὰ καὶ οὐράνιος Ἄγγελος ἐὰν περιέγραφε, καὶ διηρμήνευε τῆς αἰωνίου κολάσεως τὰς βασάνους, πάλιν ἡμεῖς οὐκ ἠδυνάμεθα νὰ κατανοήσωμεν καὶ συναισθανθῶμεν τῶν τιμωριῶν τῆς κολάσεως τὸ βάρος. Καθὼς δὲ ἐκεῖνος, ὅστις ἐσκεπασμένους ἔχει τοὺς ὀφθαλμοὺς αὐτοῦ διὰ παχυλοῦ ὑφάσματος, συγκεχυμένα βλέπει καὶ σκοτεινὰ τὰ ἐνώπιον τῶν ὀφθαλμῶν αὐτοῦ σώματα, καὶ οὐδὲ τὴν διαφορὰν τῶν χρωμάτων διακρίνει, οὐδὲ τοῦ μεγέθους τὰ πέρατα, οὐδὲ τοῦ σχήματος τὴν μόρφωσιν· οὕτω καὶ ἡ ψυχὴ ἡμῶν, ἐν ὅσῳ ἐπικεκαλυμμένη ἐστὶ τῷ παραπετάσματι τοῦ ὑλικοῦ σώματος, οὐ δύναται κατανοῆσαι οὐδὲ τὸ βάρος τῆς θλίψεως, οὐδὲ τὴν παράτασιν τῆς ὀδύνης, οὐδὲ τὴν δριμύτητα τῶν βασάνων τῆς κολάσεως. Καθὼς δὲ ὅσον τὸ τοὺς ὀφθαλμοὺς ἡμῶν ἐπικαλύπτον ὕφασμα λεπτότερόν ἐστι καὶ ἀραιότερον, τοσοῦτον περισσότερον βλέπομεν, καὶ διακρίνομεν τὰ ἀντικείμενα· οὕτω καὶ ὅσον τὸ παχυλὸν ἡμῶν σῶμα διὰ τῆς ἀποχῆς τῶν σαρκικῶν ὀρέξεων λεπτύνεται, καὶ διὰ τῆς ἀρετῆς καθαίρεται, τοσοῦτον περισσότερον κατανοοῦμεν, τί ἐστιν ἡ βασιλεία τοῦ Θεοῦ, καὶ τί ἐστιν ἡ κόλασις. Ὅθεν οἱ ἐνάρετοι ἄνθρωποι, ὅταν φθάσωσιν εἰς τῆς ἁγιωσύνης τὰ μέτρα, τότε καὶ βλέπουσι, καὶ διακρίνουσι, καὶ συναισθάνονται καὶ τὴν τρυφὴν τῆς μακαριότητος, καὶ τὴν ὀδύνην τῆς κολάσεως πολλὰ περισσότερον τῶν σαρκικῶν καὶ βεβηλωμέ-

νων ἀνθρώπων· οὐδέποτε ὅμως οὐδὲ αὐτοὶ, ἐν ὅσῳ εἰς τὸν κόσμον τοῦτον ζῶσι, δυνανται νὰ καταντήσωσιν εἰς τὸ τέλειον Α΄. Κορ. ιγ΄. 12. τῆς κατανοήσεως· Βλέπομεν γὰρ ἄρτι, ἔλεγεν ὁ θεῖος Ἀπόστολος, δι᾽ ἐσόπτρου ἐν αἰνίγματι. Αὐτὸς ἀνέβη ἕως τρίτου οὐρανοῦ, καὶ εἶδε καὶ ἤκουσε τὰ ἐκεῖ, ὅθεν αὐτὸς ἠδύνατο νὰ εἴπῃ, καὶ περιγράψῃ καὶ τὴν δόξαν τῶν δικαίων, καὶ τὴν τιμωρίαν τῶν ἁμαρτωλῶν, ὅμως αὐτὸς οὐδὲν ἡμῖν ἐφανέρωσε. Διατί δὲ τοῦτο; Διότι ὅσα εἶδε, καὶ ἤκουσε, τοσοῦτον ὑπερβαίνουσι τοῦ ἀνθρωπίνου νοὸς τὴν δύναμιν, ὥστε γλῶσσα ἀνθρώπου οὐ δύναται, οὐδὲ περιγράψαι αὐτὰ, οὐδὲ κἂν λαλῆσαι περὶ Β΄. Κορ. ιβ΄. 4. αὐτῶν· Καὶ ἤκουσε, λέγει, ἄρρητα ῥήματα, ἃ οὐκ ἐξὸν ἀνθρώπῳ λαλῆσαι.

Ἀλλ᾽ ὁ τῆς μεγάλης βουλῆς Ἄγγελος ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς, ὅστις γνωρίζει πόσον, καὶ πῶς ἡμεῖς, οἱ ἐν τῷ κόσμῳ τούτῳ, δυνάμεθα νὰ καταλάβωμεν τὴν ἀτελεύτητον καὶ ὀδυνηροτάτην βάσανον τῆς μελλούσης κολάσεως, καὶ διὰ τοῦ παναγίου αὐτοῦ στόματος, καὶ διὰ τῶν θεηγόρων αὐτοῦ Ἀποστόλων ἀρκετὰ εἶπε, πρὸς κατάληψιν καὶ συναίσθησιν ἐκείνης τῆς ἀρρήτου τιμωρίας. Ἐφανέρωσεν ἡμῖν τὸν ἀσυμπαθῆ δοῦλον, παραδεδομένον ὑπὸ τὴν ἐξουσίαν Ματ. ιή. 34. τῶν Δαιμόνων· Καὶ παρέδωκεν αὐτὸν, λέγει, τοῖς βασανισταῖς. Ποίαις δὲ δριμυτάταις τιμωρίαις βασανίζουσιν οἱ Δαίμονες τοὺς ὑπὸ τὴν ἐξουσίαν αὐτῶν παραδοθέντας εὔκολα κατανοοῦμεν, ἐὰν στοχασθῶμεν, ὅτι αὐτοὶ ἦσαν ἀπ᾽ ἀρχῆς ἐχθροὶ καὶ ἐπίβουλοι Α΄. Πέτ. ε΄. 8. τοῦ ἀνθρωπίνου γένους, καὶ ἄχρι τῆς σήμερον περιπατοῦσιν ὡς λέοντες ὠρυόμενοι, ζητοῦντες τίνα καταπίωσι. Παρέστησε τὸν ἄσπλαγχνον πλούσιον ἐν βασάνοις πάσχοντα, καὶ ἐν φλογὶ καταχαιόμενον· ζητεῖ αὐτὸς μίαν ῥανίδα ὕδατος, ἵνα δροσίσῃ τὴν ὑπὸ τῆς δίψης φλογιζομένην αὐτοῦ γλῶσσαν, κραυγάζει· Λουκ. ιϛ΄. 24. Πάτερ Ἀβραάμ, ἐλέησόν με, καὶ πέμψον Λάζαρον, ἵνα βάψῃ τὸ ἄκρον τοῦ δακτύλου αὐτοῦ ὕδατος, καὶ καταψύξῃ τὴν γλῶσσάν μου, ὅτι ὀδυνῶμαι ἐν τῇ φλογὶ ταύτῃ· ἀλλ᾽ οὐδὲ ταύτης τῆς ἐλαχίστης παραμυθίας ἀξιοῦται. Τοῦτο μόνον τὸ διήγημα παρίστησι πάθους καὶ ὀδύνης ὑπερβολήν· καὶ ἄλλα ὅμως ἐδίδαξεν ὁ Θεάνθρωπος, παραστατικὰ τῆς ἐκεῖ ὀδυνηρᾶς καταστάσεως.

Ματ. ε΄. 22. Γέεννα πυρὸς, εἶπε, περιμένει τοὺς περιφρονοῦντας καὶ ὑβρίζοντας τὸν ἀδελφὸν Αὐτ. ιγ΄. 42. αὐτῶν· Κάμινος πυρὸς, τοὺς σκανδαλοποιούς· Μάρκ. θ΄. 46. Σκώληξ ἀτελεύτητος, καὶ πῦρ ἄσβεστον, τοὺς μὴ ἀποκόπτοντας τοῦ σκανδάλου τὴν ἀφορμήν· Ματ. κέ. 41. Τὸ αἰώνιον πῦρ, τὸ ἡτοιμασμένον τῷ Διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ, τοὺς ἀσπλάγχνους καὶ ἀνελεήμονας. Αὐτ. κβ΄. 13. Σκότος ἐξώτερον, ὅπου ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων, τοὺς μὴ θελήσαντας κατορθῶσαι τῆς ἀρετῆς τὰ ἔργα· Ἀποκ. κά. 8. Λίμνη καιομένη πυρὶ καὶ θείῳ, ὅ ἐστι δεύτερος θάνατος, τοὺς δειλοὺς καὶ ἀπίστους, τοὺς βδελυροὺς, τοὺς φονεῖς, τοὺς πόρνους, τοὺς μάγους, τοὺς εἰδωλολάτρας, καὶ πάντας τοὺς ψεύστας. Βασανισταὶ λοιπὸν καὶ βάσανοι, δίψα φλογερὰ, σκώληξ ἀτελεύτητος, σκότος ἐξώτερον, κλαυθμὸς ἀπαρηγόρητος, βρυγμὸς ὀδόντων ἐλεεινότατος· τούτοις δὲ προστίθεται πῦρ πολυειδὲς καὶ πολύτροπον, φλὸξ πυρὸς, πῦρ γεέννης, πῦρ καμιναῖον, λίμνη καιομένη πυρὶ καὶ θείῳ, θάνατος δεύτερος· ταῦτά εἰσι τῆς κολάσεως τὰ βασανιστήρια· ἓν μόνον τούτων ἀρκεῖ νὰ ἐκφοβήσῃ καὶ καταπλήξῃ καὶ αὐτὴν τὴν ἀκατάπληκτον καὶ ἀμάλλακτον ψυχήν· ἓν μό-

μόνον τούτων φέρει εἰς αἴσθησιν καὶ αὐτοὺς τοὺς ἀναισθήτους· πόσον δὲ φοβερά εἰσι πάντα ὁμοῦ, καὶ πάντα ἀτελεύτητα καὶ αἰώνια; Οὐ κατανοοῦμεν ἄραγε ἡμεῖς ἐκ τούτων τοῦ Σωτῆρος τῶν λόγων, ὅτι ἡ μέλλουσα τῶν ἁμαρτωλῶν κόλασις ὑπερβαίνει πάσας ὁμοῦ τὰς ἐν τῷ κόσμῳ τούτῳ δριμυτάτας ὀδύνας, ὅσας ἡ φύσις προξενεῖ, ὅσας αἱ περιστάσεις τοῦ βίου ἐπισωρεύουσιν, ὅσας οἱ σκληρότατοι ἐπενόησαν τύραννοι; κἂν ὁποιανδήποτε ὀξυτάτην ὀδύνην νοήσῃς, κἂν ὁμοῦ πάσας τὰς δριμυτάτας καὶ πολυχρονίους τοῦ κόσμου τούτου τιμωρίας στοχασθῇς, τέλος ἔχουσι τὸ τέλος τῆς ζωῆς· αἱ δὲ τῆς κολάσεως βάσανοι πολλαὶ, ὀξύταται, καὶ ἀτελεύτητοι.

Α΄. Κορ. ιέ. 54. Ἀλλ᾽ ὅταν τὸ φθαρτὸν τοῦτο καὶ θνητὸν σῶμα ἐνδυθῇ τὴν ἀφθαρσίαν καὶ τὴν ἀθανασίαν, ἤγουν κατασταθῇ ἄφθαρτον καὶ ἀθάνατον· ὅταν ἡμεῖς ἐν τῇ ἀναστάσει ἐσμὲν ὡς Ἄγγελοι Θεοῦ, (Ματ. κβ΄. 30.) πῶς τότε ἐνεργεῖ ἐν ἡμῖν τὸ πῦρ; πῶς διψῶμεν τότε, καὶ φλογιζόμεθα, καὶ κλαίομεν, καὶ τρίζομεν τοὺς ὀδόντας, καὶ ἐσθιόμεθα ὑπὸ τῶν σκωλήκων; ταῦτα πάσχουσι τὰ σώματα τῶν φθαρτῶν καὶ θνητῶν ἀνθρώπων, οὐχὶ δὲ τῶν ἀφθάρτων καὶ ἀθανάτων, καὶ ἐκείνων, οἵτινες κατεστάθησαν ὡς Ἄγγελοι Θεοῦ· πῶς δὲ τὸ πῦρ ἐκεῖνο φλέγει μὲν καὶ κατακαίει, ἀλλ᾽ οὐδὲ φθείρει, οὐδὲ διαλύει; πρὸς τούτοις, πῶς πῦρ, καὶ σκότος ἐξώτερον; ὅπου πῦρ, ἐκεῖ φῶς· ὅπου δὲ φῶς, ἐκεῖ φεύγει τὸ σκότος. Ἄλλο πῦρ ἐκεῖνο, καὶ ἄλλη φλόγα, ἄλλο σκότος ἐκεῖνο, καὶ ἄλλη δίψα, ἄλλα δάκρυα ἐκεῖνα, καὶ ἄλλος βρυγμὸς ὀδόντων, καὶ ἄλλοι σκώληκες τῶν ἐν τῷ κόσμῳ τούτῳ ὁρωμένων. Ὁ παντοδύναμος Δημιουργὸς, ὅστις, εἰς τὸν καιρὸν τῆς τῶν νεκρῶν ἀναστάσεως, ἐκ τῶν τεσσάρων στοιχείων συνάγει καὶ συγκροτεῖ τὸ σῶμα ἑνὸς ἑκάστου, καὶ τῇ ἰδίᾳ ψυχῇ συνάπτει, καὶ μετασκευάζει ἀπὸ τῆς φθορᾶς καὶ τῆς θνητότητος εἰς τὴν ἀφθαρσίαν καὶ ἀθανασίαν, αὐτὸς, καθὼς ἀπὸ καταβολῆς κόσμου ἡτοίμασεν ὑπὲρ τῶν δικαίων ἄλλην βασιλείαν, (Ματ. κέ. 34.) διαφέρουσαν τῶν τοῦ κόσμου τούτου βασιλειῶν, οὗτος ἀπὸ καταβολῆς κόσμου ἡτοίμασεν ἄλλο πῦρ, καὶ ἄλλα βασανιστήρια κατὰ τῶν ἀμετανοήτων ἁμαρτωλῶν, διαφέροντα τῶν τοῦ κόσμου τούτου παιδευτηρίων· βασανιστήρια, λέγω, ἔχοντα δύναμιν καὶ ἐνέργειαν κατὰ τῶν ἀφθαρτισθέντων καὶ ἀθανατισθέντων σωμάτων· βασανιστήρια, ἐξ ὧν οἱ ἁμαρτωλοὶ δοκιμάζουσι παθήματα, ὅμοια τοῖς ἐν τῷ κόσμῳ πάθεσι τῶν ἀνθρώπων.

Ἐὰν δὲ ὑψώσωμεν τὸν νοῦν ἡμῶν εἰς τὰ ὑψηλότερα, καὶ ἐμβάσωμεν αὐτὸν εἰς τὴν μυστικωτέραν τῶν τοιούτων βασάνων ἔννοιαν, κατανοοῦμεν ὀλίγον τι περισσότερον, ὁποῖά εἰσι ταῦτα τὰ διὰ συμβόλων ἐκφρασθέντα βασανιστήρια. Εἰς τὴν βασιλείαν τῶν οὐρανῶν, λέγει ὁ Εὐαγγελιστὴς Ἰωάννης, χρείαν οὐκ (Ἀποκ. κβ΄. 5.) ἔχουσι λύχνου, καὶ φωτὸς ἡλίου, ὅτι Κύριος ὁ Θεὸς φωτίζει αὐτούς. Ὁ Θεὸς, ἐν τῇ φοβερᾷ ἡμέρᾳ τῆς κρίσεως, ἀποστρέφεται παντελῶς τὸν ἁμαρτωλὸν, καὶ διώκει αὐτὸν μακρὰν ἀπὸ προσώπου αὐτοῦ· Ἄρατε αὐτὸν, (Ματ. κβ΄. 13.) λέγει, καὶ ἐκβάλετε· ποῦ οὖν καταντᾷ ὁ ἁμαρτωλὸς, ὅταν διωχθῇ ἀπὸ τοῦ ἐκεῖ φωτὸς, ἤγουν τοῦ Θεοῦ; Φανερόν ἐστιν, ὅτι καταντᾷ εἰς τὸ σκότος τὸ ἐξώτερον, ἤγουν τὸ πολλὰ μακρὰν ἀπέχον ἀπὸ τοῦ θείου φωτός· ὁ χωρισμὸς λοιπὸν τοῦ Θεοῦ ἐστι τὸ σκότος τὸ ἐξώτερον. Ἐπειδὴ δὲ τὸ γλυκύτατον ἐκεῖνο φῶς οὐ μόνον φωτίζει, ἀλλὰ καὶ ζωοποιεῖ καὶ εὐφραίνει τοὺς ὑπ᾽ αὐτοῦ φω-

φωτιζομένους, διὰ τοῦτο ὁ ἁμαρτωλὸς
τότε, χωρισθεὶς παντελῶς τοῦ Θεοῦ, βυ-
θίζεται εἰς τὸν ἀπέραντον βυθὸν τῆς
λύπης, καὶ τοῦ θυμοῦ· λύπης, ἐπειδὴ
ἐστερήθη τῆς αἰωνίου βασιλείας· θυμοῦ
καὶ ὀργῆς, ἐπειδὴ βλέπει τοὺς δικαίους
Ψαλ. λϛ΄. 12. εἰς τὴν δόξαν τοῦ Θεοῦ· Παρατηρήσε-
ται, λέγει ὁ Προφητάναξ, ὁ ἁμαρτω-
λὸς τὸν δίκαιον, καὶ βρύξει ἐπ'
Αυτ. ριά. 9. αὐτὸν τοὺς ὀδόντας αὐτοῦ. Ἁμαρ-
τωλὸς ὄψεται καὶ ὀργισθήσεται,
τοὺς ὀδόντας αὐτοῦ βρύξει καὶ
τακήσεται. Ταύτην οὖν τὴν ὑπερβάλ-
λουσαν θλῖψιν καὶ τὸν θυμὸν σημαίνει
ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόν-
των· θέλει τότε ὁ ἁμαρτωλὸς, καὶ ἐπι-
θυμεῖ τὴν μετάνοιαν, ἀλλ' ἐπειδὴ ἐκεῖ
οὐκ ἔστι μετάνοια, ἡ ἐπιθυμία αὐτοῦ
Αυτόθι. μένει ἄπρακτος· Ἐπιθυμία ἁμαρ-
τωλοῦ ἀπολεῖται. Ἡ στέρησις τῆς
τότε ποθητῆς αὐτῷ μετανοίας ἀνάπτει
τὴν ἐπιθυμίαν αὐτοῦ· τοῦτο δέ ἐστιν
ἡ δίψα ἡ ἀπαρηγόρητος. Σκώληξ δὲ ἀ-
τελεύτητος γίνεται αὐτῷ ὁ ἔλεγχος τῆς
συνειδήσεως ὁ ἀκοίμητος· τότε οὐχὶ
πλέον ὀλιγοπιστεῖ, ἢ πιστεύει, ἀλλὰ βλέ-
πει τίνος ἐντολὰς κατεφρόνησε, καὶ τίνα
παρώργισε· βλέπει ἔμπροσθεν αὐτοῦ ὡς
ἐν εἰκόνι ἐζωγραφημένα πάντα τὰ πονη-
ρὰ αὐτοῦ ἔργα, τοὺς σαπροὺς λόγους,
καὶ τὰς κακὰς ἐνθυμήσεις· βλέπει, ὅτι
οὐδεμίαν ἔχει ἀπολογίαν περὶ τῶν ἁ-
μαρτιῶν αὐτοῦ, οὐδεμίαν πρόφασιν, ὅ-
τι ἔμεινεν ἀμετανόητος· βλέπει ποίας
βασιλείας ἐστερήθη, καὶ εἰς ποίας βα-
σάνους κατεδικάσθη· βλέπει, ὅτι οὐδὲ
μετάνοιά ἐστιν ἐν τῷ ᾅδῃ, οὐδὲ τέλος
ἔχει ἡ κόλασις· κατεσθίει οὖν τὴν καρ-
δίαν αὐτοῦ ἀκαταπαύστως, καὶ φλογίζει
τὰ σπλάγχνα αὐτοῦ ἀδιακόπως ὁ ὑπερ-
βολικὸς τῆς συνειδήσεως ἔλεγχος· οὗτος
δὲ ὁ ἔλεγχος γίνεται εἰς αὐτὸν καὶ
σκώληξ ἀκοίμητος, καὶ πῦρ ἄσβεστον,
καὶ λίμνη καιομένη, καὶ πᾶν εἶδος βα-
σάνου, βασανίζον αὐτὸν ἀτελευτήτως·
ὁ ἔλεγχος οὗτος προξενεῖ ὀδύνας θανά-
του, διὸ καὶ ὠνομάσθη δεύτερος θάνα-
τος. Πρὸς τούτοις, ἐπειδὴ ὁ Θεός ἐστι
τὸ φῶς, ἡ εἰρήνη, ἡ παραμυθία, ἡ δρό-
σος, ἡ χαρὰ, ἡ ζωὴ τῶν ἀνθρώπων, οἱ
δὲ ἁμαρτωλοὶ ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως
χωρίζονται παντελῶς ἀπὸ τοῦ Θεοῦ, φα-
νερόν ἐστιν, ὅτι τοῦ Θεοῦ ὁ χωρισμὸς
ἐστὶ καὶ σκότος, καὶ ταραχὴ, καὶ σκώ-
ληξ, καὶ πῦρ, καὶ δάκρυα, καὶ θάνα-
τος, καὶ τὰ λοιπὰ τῆς κολάσεως βασα-
νιστήρια.

Ἀδελφοὶ, εἴτε ὡς ὑλικὰ καὶ παχυ-
λὰ, εἴτε ὡς ἄϋλα καὶ νοερὰ νοήσωμεν
τῆς κολάσεως τὰ παιδευτήρια, μόνον ἀ-
κουόμενα, φόβον μέγαν, καὶ φρίκην, καὶ
πάθος προξενοῦσι. Ταῦτα δὲ περιέγρα-
ψεν ὁ φιλανθρωπότατος Θεὸς εἰς τὸ ἅ-
γιον αὐτοῦ Εὐαγγέλιον, ἵνα, ἀκούοντες
καὶ μελετῶντες αὐτὰ, φεύγωμεν τὴν ἁ-
μαρτίαν, τὴν πρόξενον τῆς κολάσεως·
Ὅσα γὰρ προεγράφη, εἰς τὴν ἡμε- Ρωμ. ιε.
τέραν διδασκαλίαν προεγράφη. 4.
Μακάριος ἐκεῖνος ὁ ἄνθρωπος, ὅστις συ-
χνάκις ἐνθυμᾶται τὸ περὶ κολάσεως
μάθημα, διότι ὅστις μελετᾷ τὴν κόλα-
σιν, ἐκεῖνος φεύγει τῆς κολάσεως τὰς
βασάνους.

# ΕΡΜΗΝΕΙΑ

### ΕΙΣ ΤΟ ΚΑΤΑ

# ΜΑΤΘΑΙΟΝ

## ΕΥΑΓΓΕΛΙΟΝ ΤΗΣ ΙΕ'. ΚΥΡΙΑΚΗΣ.

Σύντομον μὲν ἐστι τὸ σήμερον ἀναγνωσθὲν Ἐυαγγέλιον, περιέχει ὅμως τὸ πρῶτον θεμέλιον τῆς χριστιανικῆς πίστεως, καὶ τὴν βάσιν πασῶν τῶν ἀρετῶν· ἔστι δὲ καὶ τοσοῦτον σαφὲς, ὥστε φαίνεται, ὅτι οὐδεμιᾶς ἐξηγήσεως ἔχει χρείαν· ἀλλὰ τὰ λόγια τοῦ Κυρίου, καὶ ἡ γῆ ἔχουσι μεταξὺ ἀλλήλων ἐπίσημον ὁμοιότητα. Βλέπομεν εἰς τὴν ἐπιφάνειαν τῆς γῆς χόρτον, δένδρα, ἄνθη, καρπούς· ὅστις ὅμως ἐπιθυμεῖ ἀργύριον, χρυσίον, λίθους τιμίους, ἐκεῖνος πρέπον ἐστὶν, ἵνα σκάψῃ βαθέως, καὶ περιερευνήσῃ τοὺς κόλπους αὐτῆς. Ὅταν ἀναγινώσκωμεν τὰ εὐαγγελικὰ λόγια, βλέπομεν καὶ εἰς αὐτὴν τὴν ἐπιφάνειαν αὐτῶν χαρακτῆρα θεοπρεπῆ, χάριν Θεοῦ, ὡραιότητα πνευματικὴν, ἁπλότητα ἁγίαν· ὅστις ὅμως ἐπιθυμεῖ μαθήματα θαυμαστὰ, νοήματα ὑψηλὰ, δόγματα θεῖα, ἐκεῖνος πρέπον ἐστὶν, ἵνα κατέβῃ εἰς τὸ βάθος τῶν λόγων, καὶ ἐξετάσῃ τὰ ἐν τῷ γράμματι κεκρυμμένα νοήματα. Διὰ τοῦτο οὖν, κἂν σαφῆ φαίνωνται τοῦ σημερινοῦ Ἐυαγγελίου τὰ λόγια, ὅμως πολλὰ ὠφέλιμός ἐστιν ἡ τούτων εὐλαβητικὴ ἔρευνα καὶ ἑρμηνεία, ἣν εὐλαβῶς ἀκούσατε.

Ματ. κβ'. 35. Τῷ καιρῷ ἐκείνῳ, Νομικός τις
προσῆλθε τῷ Ἰησοῦ, πειρά-
36. ζων αὐτὸν, καὶ λέγων· Διδάσκαλε, ποία ἐντολὴ μεγάλη ἐν τῷ νόμῳ;

Νομικὸς ἐλέγετο τότε ὁ διδάσκαλος καὶ ἐξηγητὴς τοῦ νόμου, ὁ αὐτὸς δὲ καὶ Γραμματεὺς ἐλέγετο· διότι ὁ Ἐυαγγελιστὴς Μάρκος τοῦτον, ὃν ὁ Ματθαῖος ὀνομάζει Νομικὸν, ἐκάλεσε Γραμματέα. Μάρκ. ιβ'. 28.
Οὗτος οὖν ὁ Νομικὸς, εἷς ὢν τῶν Φαρισαίων, ἀκούσας, ὡς διηγεῖται ὁ αὐτὸς Εὐαγγελιστὴς Μάρκος, ὅτι καλῶς ἀπεκρίθη ὁ Ἰησοῦς εἰς τὰ τῶν Σαδδουκαίων ζητήματα, προσελθὼν πρὸς τὸν Ἰησοῦν Χριστὸν, ἐπείραζεν αὐτὸν διὰ τῆς ἐρωτήσεως αὐτοῦ, λέγων· Διδάσκαλε, ποία ἐντολὴ τῶν ἐν τῷ νόμῳ γεγραμμένων ἐστὶ μεγάλη; ταῦτα δὲ εἶπεν, ἐπειδὴ ἄλλοι μὲν τῶν Ἰουδαίων ἐνόμιζον μεγάλην ἐντολὴν τὴν περὶ τῆς περιτομῆς, ἄλλοι δὲ τὴν περὶ τοῦ σαββάτου, καὶ ἄλλοι ἄλλην. Ἐπείραζεν οὖν ὁ Νομικὸς οὗτος τὸν Ἰησοῦν Χριστὸν, ἵνα καταλάβῃ, αὐτὰς τοῦ Θεοῦ τὰς ἐντολὰς διδάσκει, ἢ ἄλλας ἰδίας· ἐὰν δὲ τὰς αὐτὰς, ποίαν ἀποφασίζει πρώτην· καὶ ἐὰν τὴν πρώτην, ἤγουν τὴν, Ἀγαπήσεις Κύριον τὸν Θεόν σου, ἐπισυνάπτει ἄραγε καὶ τὸ, Ἀγαπήσεις καὶ ἐμέ; Ὁ πάνσοφος ὅμως καὶ καρδιογνώστης Ἰησοῦς τοιουτοτρόπως ἀπεκρίθη αὐτῷ, ὥστε ἐξ ἀνάγκης βιασθεὶς, ἐπῄνεσε τὴν ἀπόκρισιν, εἰπών· Καλῶς, Μάρχ. ιβ'.
διδάσκαλε, ἐπ' ἀληθείας εἶπας. 32.

Ὁ

Ματ. κβ'. 37. **Ὁ δὲ Ἰησοῦς εἶπεν αὐτῷ· Ἀγαπήσεις Κύριον τὸν Θεόν σου ἐν ὅλῃ τῇ καρδίᾳ σου, καὶ ἐν ὅλῃ τῇ ψυχῇ σου, καὶ**
38. **ἐν ὅλῃ τῇ διανοίᾳ σου. Αὕτη ἐστὶ πρώτη καὶ μεγάλη ἐντολή.**

Διὰ τῆς καρδίας ἐπιθυμοῦμεν, διὰ τῆς ψυχῆς νοοῦμεν, διὰ τῆς διανοίας συλλογιζόμεθα. Ὅταν οὖν ἡ καρδία μου οὐδὲν ἄλλο ἐπιθυμεῖ, εἰμὴ τὸν Θεόν, καὶ εἰς τὴν ψυχήν μου οὐδεμία ἔννοια εἰσέρχεται γυμνὴ τῆς εὐλαβητικῆς μελέτης τοῦ Θεοῦ, καὶ ἡ διάνοιά μου οὐ δέχεται συλλογισμόν, μὴ περιέχοντα πίστιν καὶ ὑπακοὴν εἰς τὸν Θεόν, τότε ἀγαπῶ τὸν Θεὸν ἐν ὅλῃ τῇ καρδίᾳ μου, καὶ ἐν ὅλῃ τῇ ψυχῇ μου, καὶ ἐν ὅλῃ τῇ διανοίᾳ μου, τότε ἡ πρὸς τὸν Θεὸν ἀγάπη μου ἐστὶν ἀγάπη τελεία. Πρώτη δὲ καὶ μεγάλη ἐστὶν ἡ τῆς τοιαύτης ἀγάπης ἐντολή, ἐπειδὴ ἐξ αὐτῆς ὡς ἐκ πηγῆς ἐκβλύζουσι πᾶσαι αἱ λοιπαὶ ἀρεταί· ὅταν ὅλη ἡ καρδία μου, καὶ ἡ ψυχή μου, καὶ ἡ διάνοιά μου ἀφιερωθῇ εἰς τὸν Θεόν, τότε πᾶσα ἐπιθυμία μου ἐστὶν ἀρετή, πᾶσά μου ἔννοια, καθαρότης, πᾶς συλλογισμός μου ἁγιωσύνη.

Ματ. κβ'. 29. **Δευτέρα δὲ ὁμοία αὐτῇ. Ἀγαπήσεις τὸν πλησίον σου, ὡς σεαυτόν.**

Δευτέραν δέ, καὶ ὁμοίαν τῇ πρώτῃ, λέγει τὴν πρὸς τὸν πλησίον ἀγάπην, ἐπειδὴ ἀπὸ τῆς πρώτης γεννᾶται, καὶ ἐν αὐτῇ περιέχεται, καὶ ἀχώριστος αὐτῆς ἐστί· διότι ὅστις ἀγαπᾷ τὸν Θεὸν κατὰ τοὺς ὅρους τῆς πρώτης ἐντολῆς, ἐκεῖνος ἐξ ἀνάγκης ἀγαπᾷ καὶ τὸν πλησίον
αὐτοῦ· Πᾶς ὁ ἀγαπῶν τὸν γεννήσαν- Α'. Ἰωάν. ε'. 1.
τα, ἀγαπᾷ καὶ τὸν γεγεννημένον ἐξ αὐτοῦ· ὅστις δὲ οὐκ ἀγαπᾷ τὸν πλησίον αὐτοῦ, ἐκεῖνος οὐδὲ τὸν Θεὸν ἀγα-
πᾷ· Ὁ γὰρ μὴ ἀγαπῶν τὸν ἀδελ- Αὐτόθι. δ'. 20.
φὸν αὐτοῦ ὃν ἑώρακε, τὸν Θεὸν ὃν οὐχ ἑώρακε, πῶς δύναται ἀγαπᾶν; Βλέπε δὲ πῶς ὁ Θεάνθρωπος τῆς μὲν πρὸς τὸν Θεὸν ἀγάπης ὥρισε μέτρον ὅλην τὴν ἀγάπην, ὅσην ἔχουσι πᾶ-
σαι αἱ δυνάμεις ἡμῶν· Ἀγαπήσεις Ματ. κβ'. 37.
Κύριον τὸν Θεόν σου ἐν ὅλῃ τῇ καρδίᾳ σου, καὶ ἐν ὅλῃ τῇ ψυχῇ σου, καὶ ἐν ὅλῃ τῇ διανοίᾳ σου· τῆς δὲ πρὸς τὸν πλησίον ἀγάπης μέτρον ἔστησε τὴν ἀγάπην, δι' ἧς ἀγαπᾷς τὸν ἑαυτόν σου· Ἀγαπήσεις τὸν πλησίον σου ὡς σεαυτόν· Ἀγάπα, λέγει, τὸν πλησίον σου ὅσον ἀγαπᾷς καὶ τὸν ἑαυτόν σου· ὅσον φροντίζεις, καὶ περιποιεῖσαι, καὶ σπουδάζεις διὰ τὸν ἑαυτόν σου, τοσοῦτον καὶ διὰ τὸν πλησίον σου.

**Ἐν ταύταις ταῖς δυσὶν ἐντολαῖς ὅλος ὁ νόμος καὶ οἱ Προφῆται κρέμανται.** Αὐτόθι. 40.

Ἐὰν στοχασθῇς τὰς δέκα τοῦ νόμου ἐντολάς, τοῦ ἐν τῷ Σιναίῳ ὄρει τῷ Μωϋσῇ δοθέντος, βλέπεις, ὅτι τέσσαρες αἱ πρῶται τὴν πρὸς τὸν Θεὸν ἀγάπην παραγγέλλουσιν, αἱ δὲ λοιπαὶ ἓξ τὴν πρὸς τὸν πλησίον. Ἐὰν μελετήσῃς πάντα τὰ τῶν Προφητῶν κηρύγματα, εὑρίσκεις αὐτὰ πλήρη μὲν ἐλέγχων κατὰ τῶν ἀθετούντων τὴν τοῦ ἀληθινοῦ Θεοῦ λατρείαν, καὶ προσφερόντων θυσίαν τοῖς εἰδώλοις, γέμοντα δὲ φοβερισμῶν κατὰ τῶν ἀδικούντων, καὶ παντοιοτρόπως βλαπτόντων τὸν πλησίον, γέμοντα νουθε-

σίας

σίας καὶ προτροπῆς πρὸς εὐεργεσίαν καὶ ὠφέλειαν τοῦ πλησίον. Πρὸς τούτοις δὲ, ἐὰν ἐρευνήσῃς τί ἐστιν ἡ ἁμαρτία, καὶ τί ἐστιν ἡ ἀρετὴ, βλέπεις φανερὰ, ὅτι πᾶσα ἁμαρτία οὐδὲν ἕτερόν ἐστιν, εἰμὴ περιφρόνησις τοῦ Θεοῦ, ἢ βλάβη τοῦ πλησίον· πᾶσα δὲ ἀρετὴ, ἢ λατρεία ἐστὶ τοῦ ἀληθινοῦ Θεοῦ, ἢ τοῦ πλησίον ὠφέλεια. Διὰ τοῦτο οὖν ὁ τῶν ἁπάντων Δεσπότης εἶπεν· Ἐν ταύταις ταῖς δυσὶν ἐντολαῖς ὅλος ὁ νόμος καὶ οἱ Προφῆται κρέμανται, ἤγουν ἐκ τῆς πρὸς τὸν Θεὸν καὶ τὸν πλησίον ἀγάπης κατάγονται, καὶ ἐν αὐτῇ περιέχονται καὶ στηρίζονται πάντα τὰ τοῦ θείου νόμου προστάγματα, καὶ πάντα τὰ τῶν ἁγίων Προφητῶν κηρύγματα. Ταῦτα δὲ πρὸς τὸν ἐρωτήσαντα Νομικὸν ἀποκριθεὶς ὁ Ἰησοῦς, προβάλλει ἔπειτα πρὸς τοὺς συναθροισθέντας καὶ περιεστῶτας αὐτῷ Φαρισαίους τὴν ἑξῆς ἐρώτησιν.

Ματ. κβ΄. 41. Συνηγμένων δὲ τῶν Φαρισαίων, ἐπηρώτησεν αὐτοὺς ὁ Ἰησοῦς, λέγων· Τί ὑμῖν δοκεῖ περὶ
42. τοῦ Χριστοῦ, τίνος υἱός ἐστι; λέγουσιν αὐτῷ· Τοῦ Δαβίδ.

Αυτ. κβ΄. 34. Ἀκούσαντες οἱ Φαρισαῖοι, ὅτι ὁ Ἰησοῦς ἐπεστόμισε τοὺς Σαδδουκαίους, συνήχθησαν πρὸς αὐτὸν, ἴσως ἐλπίζοντες, ὅτι ἔσεται ὑπερασπιστὴς τῆς φαρισαϊκῆς φατρίας· ὅθεν καὶ εἷς ἐξ αὐτῶν, ὁ Νομικὸς, ἐπείραζεν αὐτὸν διὰ τῆς ἐρωτήσεως αὐτοῦ. Ὁ δὲ Ἰησοῦς, ἀποκριθεὶς πρὸς τὸ τοῦ Νομικοῦ ἐρώτημα, ἐρωτᾷ αὐτοὺς, τί φρονοῦσι περὶ τοῦ ὑπὸ τῶν Προφητῶν προκαταγγελθέντος Χριστοῦ, τίνος δηλαδὴ νομίζουσιν αὐτὸν υἱὸν, σπεύδων δι᾽ ἐπιτηδείου τρόπου πεῖσαι αὐτοὺς, ὅτι αὐτός ἐστιν ὁ Χριστὸς, καὶ ἐπομένως ὁ τοῦ Θεοῦ Υἱός. Οἱ δὲ εὐθὺς ἀπεκρίθησαν, ὅτι λογίζονται τὸν Χριστὸν υἱὸν τοῦ Δαβὶδ, ἤγουν ἄνθρωπον μόνον, οὐχὶ δὲ καὶ Θεόν.

Λέγει αὐτοῖς· Πῶς οὖν Δα- Ματ. κβ΄. 43.
βὶδ ἐν πνεύματι Κύριον αὐτὸν καλεῖ, λέγων· Εἶπεν ὁ 44.
Κύριος τῷ Κυρίῳ μου· Κάθου ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου; Εἰ οὖν Δαβὶδ καλεῖ
αὐτὸν Κύριον, πῶς υἱὸς αὐτοῦ ἐστί; 45.

Ὁ θεοπάτωρ Δαβὶδ, ὑπὸ τοῦ παναγίου Πνεύματος φωτισθεὶς, καὶ περὶ τῶν ἐσομένων μετὰ τὴν τοῦ Χριστοῦ ἀνάληψιν προεφήτευσε, λέγων· Εἶπεν ὁ Ψαλ. ρθ΄. 1, 2.
Κύριος, ἤγουν ὁ Κύριος καὶ Πατὴρ, τῷ Κυρίῳ μου, τουτέστι τῷ μονογενεῖ Υἱῷ αὐτοῦ, Κυρίῳ μου Ἰησοῦ Χριστῷ· Κάθου ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου. Ταύτην δὲ τὴν ῥῆσιν ἐξεφώνησεν ὁ Σωτὴρ, ὡς ἀποδεικτικὴν τῆς Θεότητος ἅμα δὲ καὶ τῆς ἀνθρωπότητος αὐτοῦ, καὶ ἐπομένως ἀρκετὴν πρὸς διόρθωσιν τῶν πεπλανημένων φρονημάτων τῶν Φαρισαίων, οἵτινες μόνον ἄνθρωπον ἐνόμιζον τὸν ὑπὸ τῶν ἁγίων Προφητῶν προκαταγγελθέντα Χριστόν· διότι, εἰπὼν ὁ Δαβὶδ, τῷ Κυρίῳ μου, ἐφανέρωσεν, ὅτι ὁ ἐξ αὐτοῦ μέλλων σαρκοῦσθαι Χριστὸς οὐκ ἦν μόνον υἱὸς αὐτοῦ, ἀλλὰ καὶ Κύριος αὐτοῦ καὶ Δεσπότης, ἤγουν Υἱὸς Θεοῦ καὶ Θεός· ἔδειξε δὲ, ὅτι καὶ ἄνθρωπός ἐστιν ὁ αὐτὸς διὰ τοῦ, κάθου ἐκ δεξιῶν μου· διότι, ὡς μὲν Θεὸς, ἀπ᾽ αἰῶνος σύνθρονος

νος ἦν καὶ συγκάθεδρος, καὶ ἐν μετὰ
τοῦ Θεοῦ καὶ Πατρὸς αὐτοῦ· ὡς δὲ ἄν-
θρωπος, μετὰ τὴν εἰς οὐρανοὺς ἀνάλη-
Ἑβρ. α'. 3. ψιν αὐτοῦ, ἐκάθισεν ἐν δεξιᾷ τῆς
μεγαλωσύνης ἐν ὑψηλοῖς, τουτέ-
στιν ἔλαβεν ἡ ἀνθρωπότης αὐτοῦ, κατὰ
τὴν αὐτοῦ δέησιν, τὴν αὐτὴν ἀμετάβλη-
τον, καὶ μεγίστην, καὶ ὕψιστον δόξαν,
ἣν εἶχεν ἡ Θεότης αὐτοῦ, πρὸ τοῦ τὸν
κόσμον εἶναι· τοῦτο ἐδεήθη ἐν τῷ και-
Ἰωάν. ιζ'. 5. ρῷ τοῦ πάθους αὐτοῦ, λέγων· Καὶ νῦν,
δόξασόν με σύ, Πάτερ, παρὰ σε-
αυτῷ τῇ δόξῃ, ᾗ εἶχον, πρὸ τοῦ
Γεν. η'. 7. τὸν κόσμον εἶναι παρὰ σοί. Τὸ
Ψαλ. ρκβ'. 3. δέ, ἕως, πολλάκις ἥ τε παλαιὰ καὶ ἡ
νέα Διαθήκη ἐκλαμβάνουσιν ἀντὶ τοῦ
Ἡσ. μς'. 4. αἰωνίως· οὐ πρὸς καιρὸν δέ, ἀλλ' αἰω-
νίως ὑπέταξεν ὁ Πατὴρ τῷ Υἱῷ αὐτοῦ
Ματ. α'. 25. τοὺς ἐχθροὺς αὐτοῦ, ἤγουν τὰς ἀρχὰς
Αὐτ. κη'. 30. 34. καὶ τὰς ἐξουσίας, καὶ τοὺς κοσμο-
κράτορας τοῦ σκότους τοῦ αἰῶ-
Ἑβρ. ι'. 13. νος τούτου, ἔσχατον δὲ καὶ αὐτὸν τὸν
Ἐφεσ. ς'. 12. θάνατον· διότι ὁ τοῦ Κυρίου θάνατος
οὐ μόνον ἀπήλλαξε τῶν ἀνθρώπων τὸ
Α'. Κορ. ιε'. 26. γένος ἀπὸ τῆς ἐξουσίας τῶν Δαιμόνων,
ἀλλὰ καὶ μετήγαγεν αὐτὸ ἐκ τοῦ θα-
Ἰωάν. ια'. 25. νάτου εἰς τὴν ζωήν· διότι ὁ πιστεύων
εἰς αὐτόν, κἂν ἀποθάνῃ, ζήσεται.
Ταῦτα δὲ τὰ προφητικὰ λόγια προτεί-
νας πρὸς τοὺς Φαρισαίους ὁ Ἰησοῦς Χρι-
στός, ἐπήγαγε τὸ συμπέρασμα, λέγων·
Ἐὰν ὁ Δαβὶδ ὀνομάζῃ αὐτὸν τὸν Χρι-
στόν, Κύριον αὐτοῦ, πῶς υἱὸς αὐτοῦ ἐ-
στί; Σημείωσαι δέ, ὅτι οὐκ ἀρνεῖται,
ὅτι υἱός ἐστι τοῦ Δαβίδ, ὡς σάρκα λα-
βὼν ἐκ τῆς ἁγίας Παρθένου, ἥτις ἐκα-
τάγετο ἐκ τοῦ Δαβίδ, ἀλλὰ τὴν ὑπό-
Χρυσ. εἰς τὴν Συρ. νοιαν τῶν Φαρισαίων διορθοῖ· διότι ἐκεῖ-
νοι ἔλεγον, ὅτι μόνον υἱὸς τοῦ Δαβὶδ
ἐστίν, οὐχὶ δὲ καὶ Κύριος· ὁ δὲ Δαβὶδ
καὶ πατήρ ἐστι τοῦ Κυρίου Ἰησοῦ, καὶ
δοῦλος· πατήρ, κατὰ τὸν λόγον τῆς σαρ-
κός, δοῦλος, κατὰ τὸν λόγον τῆς Θεότη-
τος. Διὰ τούτων δὲ τῶν προφητικῶν λόγων ἐπιτηδείως ἠνάγκασε τοὺς Φαρισαίους ὁ Ἰησοῦς, ἵνα ὁμολογήσωσιν, ὅτι αὐτός ἐστι Θεὸς καὶ ἄνθρωπος.

Καὶ οὐδεὶς ἐδύνατο αὐτῷ ἀ- Ματ. κβ'. 46.
ποκριθῆναι λόγον, οὐδὲ ἐτόλ-
μησέ τις ἀπ' ἐκείνης τῆς ἡμέ-
ρας ἐπερωτῆσαι αὐτὸν οὐκέτι.

Οἱ κάκιστοι Φαρισαῖοι, βουλόμενοι
παγιδεῦσαι τὸν Ἰησοῦν Χριστὸν ἐν λό-
γῳ, ἀπέστειλαν πρὸς αὐτὸν τοὺς ἰδίους
μαθητὰς μετὰ τῶν Ἡρωδιανῶν, ἵνα ἐ-
ρωτήσωσιν αὐτόν, Ἔξεστι δοῦναι Κῆν- Αὐτόθι. 17.
σον Καίσαρι, ἢ οὔ; ἤκουσαν δὲ παρ' Αὐτ. κα'.
αὐτοῦ τό, Ἀπόδοτε οὖν τὰ Καίσα-
ρος Καίσαρι, καὶ τὰ τοῦ Θεοῦ τῷ
Θεῷ. Κατὰ τὴν αὐτὴν ἡμέραν ἦλθον καὶ
οἱ Σαδδουκαῖοι, ἐρωτῶντες αὐτὸν περὶ τῆς
ἀναστάσεως τῶν νεκρῶν· τοιουτοτρόπως
δὲ ἀπεκρίθη καὶ πρὸς αὐτούς, ὥστε ἀ-
κούσαντες οἱ ὄχλοι, ἐξεπλήσσον- Αὐτ. 33.
το ἐπὶ τῇ διδαχῇ αὐτοῦ. Μετ' αὐ-
τοὺς ἦλθε καὶ ὁ Νομικός, πειράζων αὐ-
τόν· τοιαύτην δὲ ἀπόκρισιν ἔλαβε καὶ
αὐτός, ὥστε ἐξεφώνησε· Καλῶς, διδά- Μάρκ. ιβ'. 32.
σκαλε, ἐπ' ἀληθείας εἶπας. Τελευταῖον δὲ καὶ αὐτὸς ὁ Ἰησοῦς, ἐρωτήσας αὐτοὺς τίνος υἱός ἐστιν ὁ Χριστός, καὶ καταργήσας τὴν ἀπόκρισιν αὐτῶν διὰ τῶν προφητικῶν λόγων, ἔφραξε τὰ στόματα αὐτῶν, καὶ κατέστησεν αὐτοὺς ἀναπολογήτους· ἐσιώπησαν παντελῶς, ἐπειδὴ οὐκ ἠδύναντο ἀποκριθῆναι· οὐ μόνον δὲ ἐσιώπησαν τότε, ἀλλ' ἰδόντες, ὅτι οὐδὲν κερδαίνουσιν ἀπὸ τῶν τοιούτων ἐρωτημάτων, μᾶλλον δὲ ζημιοῦνται, ἐπειδὴ ὁ λαός, ἀκούων τὰς ἀποκρίσεις αὐτοῦ, ἐπίστευεν εἰς αὐτόν, ἀπ' ἐκείνης τῆς ἡμέρας οὐκ ἐτόλμησαν ἐρωτῆσαι ἄλλο τὶ παρ' αὐτοῦ.

# ΟΜΙΛΙΑ

### ΜΕΤΑ ΤΟ ΚΑΤΑ

# ΜΑΤΘΑΙΟΝ

## ΕΥΑΓΓΕΛΙΟΝ ΤΗΣ ΙΕ'. ΚΥΡΙΑΚΗΣ.

Οἱ Φαρισαῖοι, μηδὲν ἔχοντες πρὸς ἀπόκρισιν τῶν λόγων τοῦ Σωτῆρος, καταισχυνθέντες, ἐσιώπησαν· ἡμεῖς δὲ, πολλὰ ἔχοντες εἰπεῖν περὶ τῶν δύω ἐντολῶν, ἐξ ὧν ὅλος ὁ νόμος, καὶ οἱ Προφῆται κρέμανται, μὴ δυνάμενοι σιωπῆσαι, κηρύττομεν τὰ ἔνδοξα μεγαλεῖα τῆς ἀπείρου σοφίας, καὶ ἀμέτρου φιλανθρωπίας τοῦ Θεοῦ ἡμῶν. Μέγας εἶ Κύριε, καὶ θαυμαστὰ τὰ ἔργα σου, καὶ οὐδεὶς λόγος ἐξαρκέσει πρὸς ὕμνον τῶν θαυμασίων σου! ἄπειρον ἀληθῶς δεικνύουσι τὴν σοφίαν σου πάντα τὰ ποιήματά σου, ἐξόχως δὲ τῆς νομοθεσίας σου τὸ ἔργον, ἐπειδὴ ἡ νομοθεσία σου οὐ μόνον σοφίαν ἄπειρον, ἀλλὰ καὶ φιλανθρωπίαν ἄμετρον περιέχει.

Περιέκλεισεν, ἀδελφοί, ὁ Θεὸς πάντα τὰ θεῖα αὐτοῦ προστάγματα εἰς δύω, μᾶλλον δὲ εἰς μίαν μόνην ἐντολὴν, τὴν ἐντολὴν τῆς ἀγάπης. Πολλὰ καὶ διάφορά εἰσι τὰ τοῦ Θεοῦ προστάγματα· νόμοι, ἐντολαὶ, συμβουλαὶ, δικαιώματα, παραγγέλματα, πάντα ὅμως ἐκ τῆς ἀγάπης κρέμανται, πάντα εἰσὶ τῆς ἀγάπης βλαστοί, πάντα ἐκ τῆς ἀγάπης πηγάζουσι, καθὼς τὸ ὕδωρ ἐκ τῆς πηγῆς· Ματθ. κβ'. 37. πάντων μήτηρ ἐστὶν ἡ ἀγάπη. Ἀγαπήσεις, εἶπεν ὁ Θεὸς ἐν τῷ ἁγίῳ αὐτοῦ Εὐαγγελίῳ, Κύριον τὸν Θεόν σου ἐν ὅλῃ τῇ καρδίᾳ σου· τοῦτο δὲ αὐτὸ ἐδίδαξε καὶ διὰ τῆς παλαιᾶς Διαθήκης, εἰπών· Παροιμ. κγ'. 26. Δός μοι, υἱὲ, σὴν καρδίαν· ἐὰν ἀκούσῃς ταύτην τὴν δεσποτικὴν φωνὴν, καὶ ἀφιερώσῃς εἰς αὐτὸν ὅλην τὴν καρδίαν σου, Μακάριος εἶ, καὶ καλῶς σοι ἔσται. Ψαλ. ρκζ'. 2. Τότε τέλος ἔλαβε τὸ ἔργον τῆς σωτηρίας σου· τότε ἡ ἐπιθυμία σου οὐδὲ τὰ σαρκικὰ ὀρέγεται, οὐδὲ τὸν κόσμον, ἀλλ' ὥσπερ ἐκείνη τοῦ Δαβὶδ τὰ σκηνώματα τοῦ Κυρίου τῶν δυνάμεων, τὰ ἀγαπητὰ καὶ πεποθημένα, ἐπιθυμεῖ, Αὐτ. η'. 19. τὰς αὐλὰς τοῦ Κυρίου ἐπιποθεῖ ἡ ψυχή σου, καὶ ἐν αὐταῖς ἀγαλλίασιν εὑρίσκει ἡ σάρξ σου· τότε ὁ θυμός σου τόνος γίνεται τῆς ψυχῆς σου, καὶ μεταβάλλεται εἰς ζῆλον· Αὐτ. δ'. 5. ὀργίζεσαι, καὶ οὐχ ἁμαρτάνεις, ἀλλ' ἀρετὰς μεγάλας κατορθοῖς καὶ θαυμαστὰς, ὥσπερ ὁ μεγαλώνυμος Ἠλίας, ὅστις μετὰ παρρησίας ἐβόα· Γ. Βασιλ. ιθ'. 10. Ζηλῶν ἐζήλωσα τῷ Κυρίῳ παντοκράτορι· τότε οὐδεμία περίστασις κατακρημνίζει σε εἰς τὴν εὐπερίστατον ἁμαρτίαν, Ἑβρ. ιβ'. 1. οὐδεὶς πειρασμὸς σαλεύει σε ἀπὸ τῆς ἀρετῆς τὴν στάσιν.

Ἡμεῖς βλέπομεν, ὅτι ἡ θλίψις, ἡ στενοχωρία, ὁ διωγμὸς ἁρπάζει τὴν ὑπομονὴν ἀπὸ τῶν καρδιῶν τῶν ἀνθρώπων. Τινὲς μὲν, εἰς τὸν καιρὸν τῆς θλίψεως καὶ τῆς στενοχωρίας αὐτῶν, ἀγανακτοῦσι κατὰ τοῦ Θεοῦ, καὶ λαλοῦσι λόγια βλάσφημα· ἄλλοι δὲ, διὰ τὸν φόβον τοῦ διωγμοῦ, περιφρονοῦσι τὸν νόμον τοῦ Θεοῦ, καὶ ἐκτελοῦσι τὴν ἀνομίαν, εἰς τὴν ὁποίαν ἀναγκάζει αὐτοὺς ὁ διώκτης· εἰς ἐκεῖνον δὲ, ὅστις ἐφύτευσεν εἰς τὴν καρδίαν αὐτοῦ τὴν μακαρίαν ἀρε-

ἀρετὴν τῆς ἀγάπης, αἱ μὲν θλίψεις καὶ στενοχωρίαι πλέκουσι στεφάνους, οἱ δὲ διωγμοὶ καὶ τὰ πάθη οὐ μόνον οὐδὲν βλάπτουσι τὴν ψυχὴν αὐτοῦ, ἀλλὰ καὶ χαρὰν πνευματικὴν εἰς αὐτὸν προξενοῦσι. Μάρτυρες τῶν λεγομένων εἰσὶν ὁ δίκαιος Ἰὼβ, καὶ ὁ οὐρανοφάντωρ Παῦλος· αὐτοὶ ἐν ὅλῃ τῇ καρδίᾳ ἠγάπησαν τὸν
Ἰώβ. ά. 22. Θεόν· ὅθεν ὁ μὲν Ἰὼβ ἐν πᾶσι τοῖς συμβεβηκόσιν αὐτῷ οὐδὲν ἥμαρτεν ἐναντίον τοῦ Κυρίου, καὶ οὐκ
Ἰακ. έ. 11. ἔδωκεν ἀφροσύνην τῷ Θεῷ, διὸ καὶ ἠξιώθη τοῦ μακαρισμοῦ· ὁ δὲ Παῦλος
Κολασ. ά. 24. ἔχαιρεν ἐν τοῖς παθήμασιν αὐτοῦ,
Β΄. Κορ. ιβ΄. 2, 4. ἕως τρίτου οὐρανοῦ ὑψούμενος, καὶ βλέπων καὶ ἀκούων ἄρρητα ῥήματα.

Ἡ πεῖνα, ἡ γυμνότης, ὁ κίνδυνος τῆς ζωῆς, ἡ γεγυμνωμένη μάχαιρα, εἰς μεγάλα κατακρημνίζουσιν ἁμαρτήματα τοὺς δυστυχεῖς καὶ τρισαθλίους ἀνθρώπους. Ἐκεῖνος κλέπτει, ἐπειδὴ πεινᾷ· οὗτος γίνεται λῃστὴς, ἐπειδὴ οὐκ ἔχει ἔνδυμα· ἐκεῖνος, διὰ τὸν κίνδυνον τῆς ζωῆς, ἀθετεῖ τῆς ὀρθοδοξίας τὰ δόγματα· οὗτος, διὰ τῆς μαχαίρας τὸν φόβον, ἀρνεῖται τὴν εἰς Χριστὸν πίστιν. Οἱ θεῖοι Ἀπόστολοι πολλάκις εὑρέθησαν εἰς τοιαύτας κινδυνώδεις περιστάσεις· Ἄ-
Α΄. Κορ. δ΄. 11. χρι τῆς ἄρτι ὥρας, λέγουσι, καὶ πεινῶμεν, καὶ διψῶμεν, καὶ γυμνητεύομεν, καὶ κολαφιζόμεθα,
Αὐτ. ιέ. 30. καὶ ἀστατοῦμεν. Τί καὶ ἡμεῖς, λέγουσι, κινδυνεύομεν πᾶσαν ὥραν; καὶ πᾶσαν δὲ ἡμέραν ἕως θανάτου ἐκινδύνευον, ὡς αὐτοὶ μεθ᾽ ὅρκου ἐ-
Αὐτ. 31. πιβεβαιοῦσι· Καθ᾽ ἡμέραν ἀποθνήσκω, νὴ τὴν ὑμετέραν καύχησιν, ἣν ἔχω ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν.

Διατί δὲ ἄραγε ὅσα εἰς ἄλλους γίνονται ἀφορμὴ ἁμαρτίας, εἰς τοὺς Ἀποστόλους ἐγένοντο παραίτια τοσούτων μεγάλων καὶ ὑψηλῶν κατορθωμάτων, ὅσα δι᾽ αὐτοὺς ἀναγινώσκομεν εἰς τὰς περὶ αὐτῶν ἱστορίας; Διότι αὐτοὶ τοσοῦτον ἠγάπησαν τὸν Θεὸν, ὥστε, ἀφέντες πάντα τὰ ἐν κόσμῳ τερπνὰ, ἠκολούθησαν τῷ Ἰησοῦ Χριστῷ· Ἰδοὺ ἡμεῖς, ἔλε- Ματ. ιθ΄. 27.
γεν αὐτῷ ὁ μακάριος Πέτρος, ἀφήκαμεν πάντα, καὶ ἠκολουθήσαμέν σοι. Ἡ δὲ τοιαύτη ἀγάπη ἐστὶν ὅπλον ἀκαταμάχητον, καὶ προπύργιον ἀπόρθητον· πάντα στέγει, πάντα πι- Α΄. Κορ. ιγ΄. 7, 8.
στεύει, πάντα ἐλπίζει, πάντα ὑπομένει· ἡ ἀγάπη οὐδέποτε ἐκπίπτει. Οὐδεμία περίστασις δύναται νὰ βλάψῃ τὸν ἀγαπῶντα τὸν Θεὸν, οὐδεὶς πειρασμὸς δύναται νὰ ἀπομακρύνῃ αὐτὸν ἀπὸ τῆς πηγῆς τῶν ἀρετῶν, ἥτις ἐστὶν ἡ ἀγάπη· Τίς ἡμᾶς χωρίσει Ῥωμ. ή. 35.
ἀπὸ τῆς ἀγάπης τοῦ Χριστοῦ, ἔλεγεν ὁ θεηγόρος Παῦλος, θλίψις, ἢ στενοχωρία, ἢ διωγμὸς, ἢ λιμὸς, ἢ γυμνότης, ἢ κίνδυνος, ἢ μάχαιρα; ὑψοῦνται, ναὶ, καὶ κατὰ τῶν ἀγαπώντων τὸν Θεὸν τῶν πειρασμῶν καὶ τῶν ἐναντίων περιστάσεων τὰ ἄγρια κύματα, ἀλλ᾽ οὐδόλως δύνανται νὰ καταποντίσωσι τὸ σκάφος τῆς ψυχῆς, τὸ ὑπὸ τῆς ἀγάπης κατεσκευασμένον· Ἀλ- Αὐτόθι. 37.
λ᾽ ἐν τούτοις πᾶσιν ὑπερνικῶμεν, προστίθησιν ὁ αὐτὸς Ἀπόστολος, διὰ τοῦ ἀγαπήσαντος ἡμᾶς. Ὅταν ἐν ὅλῃ τῇ καρδίᾳ ἡμῶν ἀγαπῶμεν τὸν Θεὸν, Αὐτόθι. 8, 39.
τότε οὔτε ὁ φόβος τοῦ θανάτου, οὔτε ἡ ἀγάπη τῆς ζωῆς, οὔτε οἱ Ἄγγελοι, οὔτε οἱ ἐξουσιασταὶ τοῦ κόσμου, οὔτε οἱ Δαίμονες, οὔτε τὰ ἐνεστῶτα καὶ περιέχοντα ἡμᾶς κακὰ, οὔτε τὰ προβλεπόμενα καὶ προσδοκώμενα, οὔτε ἡ εὐτυχία καὶ δόξα, οὔτε ἡ δυστυχία καὶ ἀτιμία, οὔτε ἄλλο τι τῶν ἐν τῇ κτίσει δύναται νὰ ἀποχωρίσῃ ἡμᾶς ἀπὸ τῆς ἀγάπης τοῦ Θεοῦ, καὶ νὰ κατακρημνίσῃ εἰς τῆς ἁμαρτίας τὰ βάραθρα.

Οὐδὲν δύναται νὰ νικήσῃ τὸν ἀγα-

πῶν-

πῶντα τὸν Θεὸν, ἐπειδὴ διὰ τῆς ἀγά-
πης γίνεται κατοικητήριον καὶ θρόνος
Ἰωάν. ιδ΄. 23. τοῦ Θεοῦ· Ἐάν τις ἀγαπᾷ με, εἶπεν
ὁ Κύριος, τὸν λόγον μου τηρήσει·
καὶ ὁ Πατήρ μου ἀγαπήσει αὐ-
τὸν, καὶ πρὸς αὐτὸν ἐλευσόμε-
θα, καὶ μονὴν παρ' αὐτῷ ποιήσο-
μεν· ὅπου δὲ ὁ Θεὸς, ἐκεῖ δύναμις ἀ-
καταμάχητος, ἐκεῖ φῶς ὑπέρλαμπρον,
μακρὰν φυγαδεῦον πάσης ἁμαρτίας τὸ
σκότος. Ὁ ἄνθρωπος, ὁ διὰ τῆς ἀγά-
πης τῷ Θεῷ συνηνωμένος, ἐστὶν ὁ ἄν-
θρωπος ὁ πρὸ τῆς ἁμαρτίας, ὁ καθ' ὁ-
μοίωσιν τοῦ Θεοῦ πλασθείς· κατὰ δὲ
τοῦ τοιούτου ἀνθρώπου οὐ μόνον οἱ πει-
ρασμοὶ καὶ αἱ χαλεπαὶ καὶ κινδυνώδεις
περιστάσεις οὐδὲν ἰσχύουσιν, ἀλλὰ καὶ
πάντα τὰ κτίσματα, ὁρῶντα ἐν αὐτῷ
τὴν ἀπαράλλακτον τοῦ Θεοῦ εἰκόνα, καὶ
αἰσθανόμενα τὴν ἐν αὐτῷ θείαν δύνα-
μιν, εὐλαβοῦνται αὐτὸν ὡς Βασιλέα, καὶ
ὑποτάσσονται αὐτῷ ὡς ἄρχοντι τῆς γῆς.
Βλέπομεν τοῦτο εἰς τὰς ἁγίας Γραφάς.
Γεν. ά. 16. Ὁ Ἰησοῦς τοῦ Ναυὴ ἔστησε τοῦ ἡλίου
Ἰησ. ί. 12. τὸν δρόμον, οἱ τρεῖς Παῖδες ἔσβεσαν τὴν
δύναμιν τοῦ πυρὸς, ὁ Δανιὴλ ἔφραξε τὰ
Δαν. γ΄. 23. στόματα τῶν λεόντων, ὁ Ἠλίας ἔκλεισε
Αὐτ. ς΄. 18. καὶ πάλιν ἤνοιξε τὸν οὐρανὸν, ὁ Μωϋ-
σῆς μετέβαλε τὸ ὕδωρ εἰς αἷμα, καὶ
Γ΄. Βασ. ιζ΄. ιή. τῆς γῆς τὸ χῶμα εἰς σκνίφας, ὁ Πέτρος
ἀνέστησε τὴν Ταβιθά, ὁ Παῦλος ἔμει-
Ἐξόδ. ζ΄. 19. νεν ἀβλαβὴς ἐκ τῶν δηγμάτων τῆς ἐχί-
Αὐτ. η΄. ιζ΄. δνης, εἰς τοὺς θαυματουργοὺς ἁγίους
Πράξ. θ΄. 40. πᾶσαν ὑπακοὴν ἔδειξαν τὰ κτίσματα,
Αὐτ. κή. 3. ἐκπηδήσαντα καὶ αὐτοὺς τοὺς ὅρους τῆς
ἰδίας φύσεως.

Καὶ ἄλλο δὲ προτέρημα θαυμαστὸν ἔδωκεν ὁ Θεὸς εἰς τὴν ἀρετὴν τῆς ἀγάπης. Ἡ ἀγάπη ἐστὶν ὁ χορηγὸς καὶ ὁ φύλαξ καὶ αὐτῆς τῆς προσκαίρου εὐτυχοῦς ἡμῶν καταστάσεως· ἀκούσατε τὴν ἀπόδειξιν. Ἡ εὐτυχὴς κατάστασις, καὶ ἡ ἀληθὴς τοῦ ἀνθρώπου ἄνεσις κρέμαται ὅλη ἀπὸ τῆς καλῆς καὶ εὐτάκτου διοικήσεως τῆς ὁμηγύρεως, ἐν ᾗ αὐτὸς ζῇ καὶ πολιτεύεται· εἰς ποίαν δὲ πόλιν, ἢ χώραν, ἢ οἰκίαν, ἢ εἰς ποίαν ἄλλην ὁμήγυριν βλέπεις καλὴν καὶ εὔτακτον διοίκησιν, εἰμὴ εἰς ἐκείνην, ἐν ᾗ λάμπει ἡ δικαιοσύνη, λαλεῖται ἡ ἀλήθεια, πολιτεύεται ἡ σωφροσύνη, ἐνεργεῖται ἡ μετάδοσις, βασιλεύει ἡ συμφωνία καὶ ἡ ἕνωσις; Φανερὸν δέ ἐστιν, ὅτι ταῦτα πάντα καρποί εἰσι τῆς ἀγάπης· ἐὰν ἀφέλῃς τὴν ἀγάπην ἀπὸ τῆς ὁμηγύρεως τῶν ἀνθρώπων, βλέπεις ἐν αὐτῇ ἀδικίας, ψεύδη, ἀσωτείας, ἁρπαγὰς, ἐπιβουλὰς, δολιότητας, προδοσίας, διχονοίας, μάχας, σκάνδαλα· ταῦτα δὲ προξενοῦσιν εἰς τοὺς ἐν αὐτῇ τῇ ὁμηγύρει ζῶντας ἀνθρώπους στενοχωρίας, θλίψεις, συμφορὰς, κινδύνους, κακὰ ἄμετρα, καὶ ἑπομένως ἀθλίαν καὶ δυστυχεστάτην κατάστασιν. Ἡ ἀγάπη λοιπὸν τοῦ Θεοῦ πρὸς τὸν ἄνθρωπον ἔδωκεν εἰς τὴν ἀγάπην τοῦ ἀνθρώπου πρὸς τὸν Θεὸν προτερήματα, διὰ τῶν ὁποίων ὁ ἄνθρωπος εὐτυχὴς γίνεται καὶ εἰς ταύτην τοῦ κόσμου τὴν παροικίαν, καὶ εἰς τὴν μέλλουσαν οὐράνιον ἡμῶν πατρίδα.

Βλέπε δὲ πρὸς τούτοις, πῶς ὁ Θεὸς
πάντα πανσόφως ᾠκονόμησεν, ὅσα φέ-
ρουσιν εἰς ἡμᾶς τὴν εὐτυχίαν καὶ τὴν
σωτηρίαν. Θέλει, ἵνα ἀγαπῶμεν αὐτόν·
Ἀγαπήσεις, λέγει, Κύριον τὸν Θεόν Ματ. κβ΄.
σου, οὐχ ὅτι χρείαν ἔχει τῆς ἀγάπης 37.
ἡμῶν· διότι ποίαν χρείαν ἔχει αὐτῆς ὁ Παντοδύναμος, ὁ Παντοκράτωρ, ὁ Παντεξούσιος, ἡ Πηγὴ τῆς δόξης, ὁ Δοτὴρ πάντων τῶν ἀγαθῶν; ἀλλ' ἵνα διὰ τῆς πρὸς αὐτὸν ἀγάπης ἐκχέῃ ἐφ' ἡμᾶς καὶ τὰ πρόσκαιρα αὐτοῦ ἀγαθὰ, καὶ τὰ αἰώνια· θέλει δὲ, ἵνα ἀγαπῶμεν αὐτὸν ἐν ὅλῃ τῇ καρδίᾳ, καὶ ἐν ὅλῃ τῇ ψυχῇ, καὶ ἐν ὅλῃ τῇ διανοίᾳ ἡμῶν, καὶ ἐπαναλαμβάνει τὸ, ἐν ὅλῃ

τρὶς,

τρὶς, ἵνα δείξῃ, ὅτι τοῦτό ἐστι δίκαιον, τοῦτο συμφέρον, τοῦτο ἀναγκαῖον. Δίκαιον, ἐπειδὴ τότε δικαιοπραγοῦμεν, ὅταν εἰς τὸν Δημιουργὸν ἡμῶν, τὸν Σωτῆρα, τὸν Εὐεργέτην, τὸν Χορηγὸν τῆς ζωῆς καὶ πάντων τῶν ἀγαθῶν, οὐχὶ τὸ μέρος, ἀλλὰ τὸ ὅλον προσφέρωμεν. Συμφέρον, ἐπειδὴ, ἐὰν μέρος μὲν ἀφιερώσω εἰς τὸν Θεὸν, μέρος δὲ εἰς τὸν κόσμον, τὸ μέρος, τὸ ὁποῖον ἀφιέρωσα εἰς τὸν κόσμον, στηρίζεται εἰς πράγματα ἀκατάστατα καὶ εὐμετάβλητα, ὅθεν οὐκ ὠφελοῦμαι, ἀλλὰ ζημιοῦμαι καὶ βλάπτομαι· ἐὰν ἀφιερώσω μέρος τοῦ νοός μου καὶ τῆς καρδίας μου εἰς τὰ ἀργύρια, εἰς τὰ κτήματα, εἰς τὰ ἀξιώματα τοῦ κόσμου τούτου, αὔριον ἢ κλέπτει αὐτὰ ὁ κλέπτης, ἢ ἁρπάζει ὁ ἐπίβουλος, ἢ διαφθείρει ἡ αἰφνίδιος συμφορά· ὅθεν τὸ ὑποκείμενον τῆς ἀγάπης μου καὶ τῆς γλυκύτητός μου γίνεταί μοι ὕλη πικρίας, καὶ ἀπαραμυθήτου θλίψεως· μόλις, μετὰ τοὺς πολλοὺς ἀγῶνας καὶ κόπους, γλυκαίνει τὴν καρδίαν μου ἡ τούτων ἀπόλαυσις, καὶ ἰδοὺ μεταβάλλει τὴν ῥανίδα τῆς γλυκύτητος αὐτῶν εἰς θάλασσαν πικρίας ἡ τούτων στέρησις· σήμερον χαίρω διὰ τὴν ἀπόλαυσιν αὐτῶν, καὶ αὔριον κλαίω διὰ τὴν τούτων στέρησιν· ἐὰν δὲ ἀφιερώσω τὸ ὅλον εἰς τὸν Θεὸν, ἐπειδὴ ὁ Θεός ἐστιν ἡ πηγὴ τῶν ἀγαθῶν, ἐστὶν ἄτρεπτος καὶ ἀναλλοίωτος, οὐδέποτε βλάπτομαι, ἀλλὰ πάντοτε ὠφελοῦμαι· ἡ ἡσυχία μου μένει ἀναλλοίωτος, ἡ εἰρήνη μου ἀτάραχος, ἡ χαρά μου ἄλυπος, ἡ εὐτυχία μου διηνεκής. Ἀναγκαῖον δὲ, ἐπειδὴ, ἐὰν ἀφιερώσω μέρος τῆς ψυχῆς μου καὶ τῆς διανοίας μου, καὶ μέρος τῆς καρδίας μου εἰς τὸν Θεὸν, μέρος δὲ εἰς τὸν κόσμον, τότε εἰς τὸ μέρος ἐκεῖνο, τὸ μὴ ἀφιερωθὲν εἰς τὸν Θεὸν, εἰσέρχονται οἱ πονηροὶ λογισμοὶ, εἰσέρχεται ἡ ἐπιθυμία τῆς σαρκὸς, εἰσέρχεται ἡ ἁμαρτία, ἥτις μιαίνει καὶ διαφθείρει καὶ τὸ μέρος τὸ ἀφιερωθὲν εἰς τὸν Θεόν· ἐὰν ἀφιερώσω ὅλην τὴν καρδίαν, καὶ τὴν ψυχὴν, καὶ τὴν διάνοιάν μου εἰς τὸν Θεὸν, τότε ἡ ἁμαρτία οὐχ εὑρίσκει τόπον, ἵνα εἰσέβῃ ἐν ἐμοὶ, ἐπειδὴ καὶ ἡ καρδία μου, καὶ ἡ ψυχή μου, καὶ ἡ διάνοιά μου πεπληρωμένα εἰσὶ τοῦ Θεοῦ, τοῦ ἐν ἐμοὶ κατοικοῦντος.

Θέλει ὁ Θεὸς ὅλην τὴν ἀγάπην ἡμῶν, ἐπειδὴ ὁ μὲν κόσμος, καὶ πάντα τὰ ἐγκόσμια πράγματα ἀνάξιά εἰσι τῆς ἀγάπης ἡμῶν, ὡς φθαρτὰ, μεταβλητὰ, καὶ πρόσκαιρα· μόνος δὲ αὐτός ἐστι τὸ ἄξιον ὑποκείμενον τῆς ἀγάπης ἡμῶν, ἐπειδή ἐστιν ἄφθαρτος, ἀμετάβλητος, αἰώνιος· διὰ τοῦτο ὅστις ἀφιερώσῃ ὅλον ἑαυτὸν εἰς τὸν Θεὸν, ἐκεῖνος ἔχει διαπαντὸς καὶ τὴν καρδίαν, καὶ τὴν ψυχὴν, καὶ τὴν διάνοιαν πλήρη πάσης πνευματικῆς ἡδονῆς, πλήρη πάσης χαρᾶς, καὶ ἀγαλλιάσεως ἀμεταβλήτου· χαίρει αὐτὸς, ὡς ὁ Παῦλος, καὶ εἰς τὰ συμβαίνοντα αὐτῷ παθήματα, λέγει καὶ αὐτὸς, καθὼς ἐκεῖνος· Νῦν χαίρω ἐν τοῖς παθήμασί μου. Κολ. α. 24.

Βλέπε, λέγω, πῶς ὁ Θεὸς πάντα πανσόφως ᾠκονόμησεν, ὅσα φέρουσιν εἰς ἡμᾶς τὴν εὐτυχίαν, καὶ τὴν σωτηρίαν. Ἡ ἀγάπη, ἥτις ἐστὶ τὸ θεμέλιον τῶν νόμων τοῦ Θεοῦ, ἡ ῥίζα καὶ ἡ πηγὴ πάσης ἀρετῆς καὶ χάριτος, ἡ εὐτυχία τῆς ζωῆς, καὶ ἡ σωτηρία τῆς ψυχῆς, ἡ πρόξενος τῆς αἰωνίου μακαριότητος, ἡ ἕνωσις τοῦ Θεοῦ μετὰ τοῦ ἀνθρώπου, ἐστὶν ἀρετὴ εὐκολωτάτη· οὐδὲ ἀγώνων, οὐδὲ κόπων, οὐδὲ ὁδοιπορίας, οὐδὲ χρημάτων, οὐδὲ μεσιτείας, οὐδὲ ἄλλου τινὸς πράγματος χρείαν ἔχεις, ἵνα ἀγαπήσῃς τὸν Θεόν· ἠθέλησας ἀγαπῆσαι αὐτόν; τοῦτο ἀρκεῖ σοι, καὶ οὐδὲν ἐμποδίζει σε. Ἡ αὐτὴ ἀγάπη ἐστὶ πρᾶγμα κοινόν· καὶ οἱ ἄνδρες, καὶ αἱ γυναῖκες,

καὶ

καὶ ὁ νέος, καὶ ὁ γέρων, καὶ ὁ ὑγιὴς καὶ ὁ ἀσθενὴς, καὶ ὁ Βασιλεὺς καὶ ὁ στρατιώτης, καὶ ὁ πλούσιος καὶ ὁ πτωχὸς, καὶ ὁ ἀξιωματικὸς καὶ ὁ ἰδιώτης, καὶ πάσης ἄλλης καταστάσεως καὶ τάξεως ἄνθρωπος μετὰ τῆς αὐτῆς εὐκολίας δύναται νὰ ἀγαπήσῃ τὸν Θεὸν, καὶ νὰ φθάσῃ ἐπίσης εἰς αὐτὸν τὸν τέλειον τῆς ἀγάπης βαθμόν.

Ἐπειδὴ δὲ ἡ ἄπειρος σοφία τοῦ Θεοῦ, καὶ ἡ ἄμετρος αὐτοῦ φιλανθρωπία, διὰ τὴν σωτηρίαν καὶ εὐτυχῆ κατάστασιν τῶν ἀνθρώπων, τοιαύτην κατεσκεύασε τὴν ἀρετὴν τῆς ἀγάπης, ποίαν ἀπολογίαν ἔχουσιν ἐνώπιον τοῦ Θεοῦ, ὅσοι οὐδέποτε αὐτὸν ἠγάπησαν, ὅσοι ἀποθνήσκουσιν ἄσπλαγχνοι, σκληροὶ, ἀνελεήμονες, ἀσυμπαθεῖς, ὅσοι ἀποθνήσκουσιν ἔχοντες τὸ μῖσος εἰς τὴν καρδίαν, καὶ τὴν ἐπιθυμίαν τῆς ἐκδικήσεως εἰς τὴν ψυχήν; Ποίαν πρόφασιν ἔχω, καὶ ποίαν ἀπολογίαν ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως, ὅταν ὁ Βασιλεὺς τῆς δόξης, ἐρευνῶν τὰ ἔργα τῶν ἀνθρώπων, ἕυρῃ με γυμνὸν τοῦ ἐνδύματος τῆς ἀγάπης; ποία ἡ πρόφασίς μου; τὸ δύσκολον τοῦ κατορθώματος; ἀλλὰ ποίαν δυσκολίαν ἔχει ἡ ἀρετὴ τῆς ἀγάπης; Ποία ἡ πρόφασίς μου; τὰ ἐπακολουθοῦντα ἐκ τῆς ἀγάπης δυστυχήματα; ἀλλ' ἡ ἀγάπη φέρει εἰς τὸν ἄνθρωπον τὴν εἰρηνικὴν κατάστασιν, καὶ πᾶσαν ἄλλην τῆς ζωῆς εὐτυχίαν. Τί ἀπολογήσομαι, καταφρονήσας τὴν ἀρετὴν τῆς ἀγάπης, τὴν πρόξενον τῆς σωτηρίας μου; Ὦ ποῖος φόβος τότε, ὅταν ὁ δίκαιος Κριτὴς ἐκφωνήσῃ τὴν φοβερὰν ἀπόφασιν· Δήσαντες αὐτοῦ πόδας καὶ χεῖρας, ἄρατε αὐτὸν, καὶ ἐκβάλετε εἰς τὸ σκότος τὸ ἐξώτερον· ἐκεῖ ἔσται ὁ κλαυθμὸς, καὶ ὁ βρυγμὸς τῶν ὀδόντων. Ματ. κβ΄. 13. Κύριε Παντοκράτωρ, διὰ τῶν οἰκτιρμῶν τοῦ μονογενοῦς σου Υἱοῦ, ἐμφύτευσον εἰς τὰς καρδίας ἡμῶν τὴν ἀγάπην σου, καὶ ῥῦσαι ἡμᾶς τῶν αἰωνίων βασάνων. Ἀμήν.

# ΕΡΜΗΝΕΙΑ

ΕΙΣ ΤΟ ΚΑΤΑ

# ΜΑΤΘΑΙΟΝ

## ΕΥΑΓΓΕΛΙΟΝ ΤΗΣ ΙϚ΄. ΚΥΡΙΑΚΗΣ.

Ἄλλοι μὲν τῶν τῆς ψευδοφιλοσοφίας μαθητῶν, ἀρνούμενοι παντελῶς τὴν θείαν πρόνοιαν, λέγουσιν, ὅτι τὰ πάντα εἰσὶν ἀπερίσκεπτα καὶ ἀπρονόητα, κινοῦνται δὲ καὶ εὐθύνονται ὑπὸ τῆς τύχης, ἢ ὑπὸ τῶν ἐν αὐτοῖς φυσικῶν νόμων· ἄλλοι δὲ, περιορίζοντες τοῦ Θεοῦ τὴν πρόνοιαν ἄχρι τῆς σελήνης, λέγουσιν, ὅτι πάντα, ὅσα εὑρίσκονται ὑποκάτω τῆς σελήνης, ἀπρονόητά εἰσι, καὶ ὡς ἔτυχε κινούμενα, καὶ διευθυνόμενα. Ἡ ἀληθινὴ εὐαγγελικὴ τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ Φιλοσοφία, καὶ διὰ τῆς ἐν τῷ σημερινῷ Εὐαγγελίῳ ἀναγνωσθείσης Παραβολῆς διδάσκουσα τὴν διανομὴν τῶν ταλάντων, ἀνάλογον εἰς τὴν τοῦ καθενὸς δύναμιν, ἔτι δὲ καὶ τὸν ἀναλογισμὸν τῶν δοθέντων ἑκάστῳ ταλάντων,

καὶ

καὶ τὰ βραβεῖα τῶν πολλαπλασιασάντων, καὶ τὰς τιμωρίας τῶν ταῦτα κρυψάντων, λαμπρᾷ τῇ φωνῇ ἀνακηρύττει τὴν εἰδικὴν περὶ ἑνὸς ἑκάστου πρόνοιαν, καὶ καταργεῖ τὰ πεπλανημένα τῶν τοιούτων ψευδοφιλοσόφων δόγματα. Ψυχωφελὴς οὖν καὶ σωτήριός ἐστιν ἡ τῆς Παραβολῆς ταύτης ἑρμηνεία, ἣν ἀκούσατε.

Ματ. κέ. 14. Εἶπεν ὁ Κύριος τὴν Παραβολὴν ταύτην· Ἄνθρωπός τις, ἀποδημῶν, ἐκάλεσε τοὺς ἰδίους δούλους, καὶ παρέδωκεν αὐτοῖς τὰ ὑπάρχοντα αὐτοῦ.

Ὁ ἄνθρωπος, ὅστις παρέδωκε τὰ ὑπάρχοντα αὐτοῦ τοῖς δούλοις αὐτοῦ, ἐστὶν ὁ πανάγαθος Θεός, ὅστις παρέδωκε τὰ χαρίσματα αὐτοῦ τοῖς ἀνθρώποις. Καὶ ἄνθρωπος μὲν λέγεται, διὰ τὴν πρὸς τοὺς ἀνθρώπους φιλανθρωπίαν αὐτοῦ· ἀποδημῶν δέ, διὰ τὴν πρὸς τοὺς δούλους αὐτοῦ, τοὺς λαβόντας τὰ χαρίσματα αὐτοῦ, ὑπερβάλλουσαν μακροθυμίαν· καθότι οὐκ εὐθύς, ἀλλὰ μετὰ παρέλευσιν χρόνου πολλοῦ ζητεῖ παρ' αὐτῶν τὸν καρπὸν τῶν
Αὐτόθι. δοθέντων αὐτοῖς χαρισμάτων· Μετὰ δὲ
19. χρόνον πολύν, λέγει, ἔρχεται ὁ Κύριος τῶν δούλων ἐκείνων. Ἀλλὰ καὶ κατὰ ἄλλην ἔννοιαν ἐκλαμβάνουσί
Κύριλ. εἰς τὴν Σειρ. τινες τὰ λόγια ταῦτα· Ὁ ἄνθρωπος, λέγουσι, σημαίνει τὸν δι' ἡμᾶς σαρκωθέντα Ἰησοῦν Χριστόν, ὅστις, ὅτε ἀναχωρῆσαι ἔμελλεν ἐκ τοῦ κόσμου τούτου, καὶ ἀναληφθῆναι εἰς τὸν οὐρανόν, παρέδωκεν εἰς τοὺς ἁγίους αὐτοῦ μαθητὰς τὰ ὑπάρχοντα αὐτοῦ, ἤγουν τὴν ἁγίαν
Πράξ. κ'. αὐτοῦ Ἐκκλησίαν, ἣν περιεποιήσατο
28. διὰ τοῦ ἰδίου αἵματος.

Καὶ ᾧ μὲν ἔδωκε πέντε τά- Ματ. κέ.
λαντα, ᾧ δὲ δύω, ᾧ δὲ ἕν· 15.
ἑκάστῳ κατὰ τὴν ἰδίαν δύναμιν· καὶ ἀπεδήμησεν εὐθέως.

Τὰ τάλαντα ἐνταῦθα σημαίνουσι τοῦ Θεοῦ τὰ χαρίσματα, τὴν εὐφυΐαν, τὴν σοφίαν, τὸν πλοῦτον, τὸ ἀξίωμα, τὴν τέχνην, καὶ ἄλλα ὅμοια· ἡ δὲ τούτων διανομὴ ἐστὶν ἄνισος· ἄλλος λαμβάνει πέντε, ἄλλος δύω, ἄλλος ἕν, οὐδεὶς δὲ μένει ἄνευ ταλάντου· γίνεται δὲ ἡ ἄνισος διανομὴ κατὰ ἀναλογίαν τῆς δυνάμεως ἑνὸς ἑκάστου· τόσα τάλαντα ἐμπιστεύει ὁ Θεός, ὅσα καθεὶς δύναται πολυπλασιάσαι. Ἴσως δὲ τὸ πέντε, δύω, καὶ ἓν οὐκ ἐτέθησαν ὡς παραδειγματικὰ ἁπλῶς, ἵνα μόνον τὸ περισσότερον καὶ ὀλιγώτερον σημάνωσιν, ἀλλὰ τὸ μὲν πέντε ἐτέθη διὰ τὰς πέντε αἰσθήσεις· τὸ δὲ δύω, διὰ τὴν ἐκ δύω οὐσιῶν τοῦ ἀνθρώπου σύνθεσιν, τῆς ψυχικῆς δηλονότι καὶ τῆς τοῦ σώματος· τὸ δὲ ἕν, διὰ τὴν μίαν ἐκ τῶν δύω φύσεων τοῦ ἀνθρώπου ὑπόστασιν.

Πορευθεὶς δὲ ὁ τὰ πέντε τά- Ματ. κέ.
λαντα λαβών, εἰργάσατο ἐν 16.
αὐτοῖς, καὶ ἐποίησεν ἄλλα
πέντε τάλαντα. Ὡσαύτως 17.
καὶ ὁ τὰ δύω, ἐκέρδησε καὶ
αὐτὸς ἄλλα δύω. Ὁ δὲ τὸ 18.
ἓν λαβών, ἀπελθὼν ὤρυξεν ἐν τῇ γῇ, καὶ ἀπέκρυψε τὸ ἀργύριον τοῦ Κυρίου αὐτοῦ.

Ἡ μὲν ἐργασία σημαίνει τὴν μετά-

τά-

τάδοσιν, ἡ δὲ ὄρυξις, τὴν κρύψιν τῶν ταλάντων. Ὅστις, λαβὼν τῆς σοφίας τὸ χάρισμα, κηρύττει τὸ Εὐαγγέλιον, ἐξηγεῖ τὰς θείας Γραφὰς, κατηχεῖ τοὺς ἀπίστους, συγγράφει ὠφέλιμα βιβλία, παραδίδωσι φωτιστικὰ μαθήματα, ἐκεῖνος πολυπλασιάζει τὸ τάλαντον· ὅστις δὲ, σοφὸς ὢν, οὐδὲ τὸ στόμα ἀνοίγει πρὸς διδασκαλίαν, οὐδὲ τὴν χεῖρα κινεῖ πρὸς τὸ συγγράφειν εἰς ὠφέλειαν τοῦ πλησίον, ἐκεῖνος κρύπτει τῆς σοφίας τὸ τάλαντον· τὸ αὐτὸ νόησον καὶ περὶ τῶν ἄλλων ταλάντων. Τί δὲ σημαίνει τὸ, ἐποίησεν ἄλλα πέντε τάλαντα, καὶ τὸ, ἐκέρδησε καὶ αὐτὸς ἄλλα δύω; Τὸν πολυπλασιασμὸν σημαίνει τοῦ χαρίσματος τὸν ἐπίγειον, καὶ τὴν προσθήκην τῆς δόξης τὴν ἐπουράνιον· διότι ὁ σοφὸς, διὰ τῆς παραδόσεως τῶν ἐπιστημονικῶν μαθημάτων, ποιεῖ σοφοὺς, ὁ τεχνίτης, διὰ τῆς παραδόσεως τῶν κανόνων τῆς τέχνης, ποιεῖ τεχνίτας, ὁ πλούσιος, διὰ τῆς μεταδόσεως τοῦ πλούτου, ποιεῖ πλουσίους· εἰς ἐκείνους δὲ, οἵτινες τοιουτοτρόπως πολυπλασιάζουσι τὸ χάρισμα, δόξα καὶ στέφανοι προστίθενται ἐν οὐρανοῖς κατὰ ἀναλογίαν τοῦ πολυπλασιασμοῦ.

Ματ. κέ. 19. Μετὰ δὲ χρόνον πολὺν ἔρχε-
ται ὁ Κύριος τῶν δούλων ἐ-
κείνων, καὶ συναίρει λόγον
μετ' αὐτῶν.

Μετὰ χρόνον πολὺν, εἶπεν, ἐπειδὴ εἰς τὴν δευτέραν τοῦ Κυρίου παρουσίαν, ὅταν ἔλθῃ ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς μετὰ δόξης κρῖναι ζῶντας καὶ νεκροὺς, τότε λογοθέσιον φοβερὸν συνίστησι μετὰ πάντων τῶν ἀνθρώπων, καὶ ἐξετάζει ἑνὸς ἑκάστου τὰ ἔργα. Τὸ αὐτὸ δὲ λογοθέσιον περιγράφει καὶ ἡ



Παραβολὴ τοῦ ὀφειλέτου τῶν μυρίων ταλάντων, λέγουσα· Ὡμοιώθη ἡ βασιλεία τῶν οὐρανῶν ἀνθρώπῳ Βασιλεῖ, ὃς ἠθέλησε συνάραι λόγον μετὰ τῶν δούλον αὐτοῦ. Ματ. ιή. 23.

Καὶ προσελθὼν ὁ τὰ πέντε Ματ. κέ. 20.
τάλαντα λαβὼν, προσήνεγκεν
ἄλλα πέντε τάλαντα, λέγων·
Κύριε, πέντε τάλαντά μοι πα-
ρέδωκας, ἴδε, ἄλλα πέντε τά-
λαντα ἐκέρδισα ἐπ' αὐτοῖς.
Ἔφη δὲ αὐτῷ ὁ Κύριος αὐ- 21.
τοῦ· Εὖ δοῦλε ἀγαθὲ καὶ
πιστέ· ἐπὶ ὀλίγα ἦς πιστὸς,
ἐπὶ πολλῶν σε καταστήσω·
εἴσελθε εἰς τὴν χαρὰν τοῦ
Κυρίου σου. Προσελθὼν δὲ 22.
καὶ ὁ τὰ δύω τάλαντα λαβὼν,
εἶπε· Κύριε, δύω τάλαντά μοι
παρέδωκας, ἴδε, ἄλλα δύω τά-
λαντα ἐκέρδισα ἐπ' αὐτοῖς.
Ἔφη αὐτῷ ὁ Κύριος αὐτοῦ· 23.
Εὖ δοῦλε ἀγαθὲ καὶ πιστέ·
ἐπὶ ὀλίγα ἦς πιστὸς, ἐπὶ
πολλῶν σε καταστήσω· εἰσελ-
θε εἰς τὴν χαρὰν τοῦ Κυρίου
σου.

Βλέπε τὴν εὐγνωμοσύνην τῶν ἀγαθῶν καὶ μεταδοτικῶν ἀνθρώπων. Αὐτοὶ ὁμολογοῦσιν, ὅτι ὁ Θεός ἐστι τὸ αἴτιον τῆς ἀρετῆς αὐτῶν· Σὺ Κύριε, λέγει ὁ εἷς, πέντε τάλαντά μοι παρέδωκας· Σὺ Κύριε, λέγει καὶ ὁ ἄλλος, δύω τάλαντά μοι παρέδωκας.

Ἄκουε

Ἄκουε δὲ καὶ τοῦ δεσπότου τὸν ἔπαινον· Εὐγέ σοι, δοῦλε ἀγαθὲ καὶ πιστέ· ἀγαθός ἐστιν ὁ μεταδοτικὸς, ὡς ἀγαθοποιῶν τὸν πλησίον αὐτοῦ· πιστὸς δὲ, ὡς οἰκονομῶν τὸ δοθὲν αὐτῷ τάλαντον κατὰ τὸν σκοπὸν τοῦ Κυρίου αὐτοῦ, τοῦ δόντος αὐτὸ εἰς τὰς χεῖρας αὐτοῦ· Ἐπὶ ὀλίγα, λέγει, ἐφάνης πιστὸς, ἐπὶ πολλῶν σε καταστήσω· ὀλίγα δὲ ἀληθῶς καὶ μικρά εἰσι τὰ πρόσκαιρα χαρίσματα, συγκρινόμενα τῇ ἐπουρανίῳ δόξῃ, καὶ τῇ αἰωνίῳ βασιλείᾳ, εἰς ἣν εἰσάγει ὁ Θεὸς τὸν πολυπλασιάσαντα τὸ τάλαντον, λέγων· Εἴσελθε εἰς τὴν χαρὰν τοῦ Κυρίου σου· τοῦτό ἐστιν ἡ ἀμοιβὴ τοῦ κόπου τῶν ἁγίων ἀνδρῶν, οἵ τινες, μετὰ χαρᾶς καὶ ἐπιμελείας μεταδόντες τὸ ἐμπιστευθὲν αὐτοῖς χάρισμα, ὠφέλησαν τὸν πλησίον αὐτῶν, ἡ μακαριότης δηλαδὴ ἡ αἰώνιος, καὶ ἡ δόξα ἡ ἀνεκλάλητος, καὶ ἡ βασιλεία τοῦ Θεοῦ ἡ ἀπέραντος· ταῦτα δὲ ὠνόμασε χαρὰν τοῦ Κυρίου, καθότι προξενοῦσι τὴν χαρὰν τὴν ἀτελεύτητον, καὶ τὴν ἀγαλλίασιν τὴν αἰώνιον.

Ματ. κέ. Προσελθὼν δὲ καὶ ὁ τὸ ἓν
24. τάλαντον λαβὼν εἶπε· Κύριε,
ἔγνων σε, ὅπι σκληρὸς εἶ ἄνθρωπος, θερίζων ὅπου οὐκ ἔσπειρας, καὶ συνάγων ὅθεν οὐ
25. διεσκόρπισας· καὶ φοβηθεὶς,
ἀπελθὼν ἔκρυψα τὸ τάλαντόν σου ἐν τῇ γῇ· ἴδε, ἔχεις τὸ σόν.

Διὰ τούτων τῶν λόγων ἐφανέρωσεν ἡμῖν ὁ Κύριος τὴν ἀχαριστίαν καὶ τὰς παραλόγους προφάσεις τῶν πονηρῶν καὶ ὀκνηρῶν ἀνθρώπων. Οὗτοι οὐδέποτε ἀρκοῦνται εἰς ὅσα ὁ Θεὸς δίδωσιν εἰς αὐτοὺς, οὐδὲ προσφέρουσιν αὐτῷ τὴν χρεωστουμένην εὐχαριστίαν, ἀλλὰ πάντοτε προσκλαίονται, καὶ ἀχαριστοῦσι· μὴ ἐκπληροῦντες δὲ τὸ ἀπαραίτητον αὐτῶν χρέος, προφάσεις ἐπινοοῦσιν οὐ μόνον ματαίας, ἀλλὰ καὶ αὐθάδεις καὶ παραλόγους, προφάσεις, αἵ τινες οὐ δικαιολογοῦσιν, ἀλλὰ κατακρίνουσιν αὐτούς. Ἄκουσον τί λέγει οὗτος ὁ πονηρὸς δοῦλος· Κύριε, λέγει, ἐγὼ ἐκατάλαβα, ὅτι ὑπάρχεις ἄνθρωπος σκληρὸς, ἐπειδὴ θερίζεις ὅπου οὐκ ἔσπειρας, καὶ συνάγεις ὅθεν οὐκ ἐσκόρπισας· διὸ, φοβηθεὶς τὴν σκληρότητά σου, οὐκ ἐπολυπλασίασα διὰ τῆς μεταδόσεως τὸ χάρισμά σου, ἀλλὰ κατέκρυψα, καὶ ἀφῆκα αὐτὸ ἀμετάδοτον· βλέπε τὸ τάλαντον, ὃ δέδωκάς μοι, ἔχεις αὐτὸ σῶον καὶ ἀκέραιον. Ἄκουσον νῦν καὶ τὸ πῶς ἐλέγχει ὁ Κύριος τὸν πονηρὸν δοῦλον διὰ τῶν ἰδίων λόγων, δι' ὧν αὐτὸς ἐνόμισεν, ὅτι δικαιολογεῖται.

Ἀποκριθεὶς δὲ ὁ Κύριος αὐ- Ματ. κέ.
τοῦ, εἶπεν αὐτῷ· Πονηρὲ δοῦ- 26.
λε καὶ ὀκνηρὲ, ᾔδεις, ὅτι θερίζω ὅπου οὐκ ἔσπειρα, καὶ συνάγω ὅθεν οὐ διεσκόρπισα·
ἔδει οὖν σε βαλεῖν τὸ ἀργύ- 27.
ριόν μου τοῖς τραπεζίταις· καὶ ἐλθὼν ἐγὼ, ἐκομισάμην ἂν τὸ ἐμὸν σὺν τόκῳ.

Τραπεζῖται, οἵ τινες καὶ κολλυβι- Ματ. κά. 12.
σταὶ λέγονται, εἰσὶν ἐκεῖνοι, οἵ τινες, Μάρκ. ιά. 15.
ἀλλάττοντες τὰ χρήματα, παραδείγματος χάριν τὰ χρυσᾶ εἰς ἀργυρᾶ ἢ χάλ- Ἰωάν. β΄. 15.
κινα, ἐκ τούτου καὶ αὐτοὶ κερδαίνουσι, καὶ εἰς τοὺς δεσπότας τῶν χρημάτων κέρ-

κέρδος ἀποδίδουσιν. Οἱ τραπεζῖται δὲ ἐνταῦθα σημαίνουσι τοὺς ὁποιοῦδήποτε τρόπῳ εὐεργετουμένους· διότι, καθὼς οἱ τραπεζῖται, λαμβάνοντες τὰ ἀργύρια, καὶ αὐτοὶ κερδαίνουσι, καὶ εἰς τοὺς δόντας αὐτοῖς τὰ ἀργύρια κέρδος ἀποδίδουσιν· οὕτω καὶ οἱ εὐεργετούμενοι, λαμβάνοντες τὴν εὐεργεσίαν, καὶ ἑαυτοὺς ὠφελοῦσιν, καὶ κέρδος ἀθάνατον προξενοῦσιν εἰς τοὺς εὐεργέτας αὐτῶν· ἐπειδὴ ὁ Θεὸς, ἀντὶ τῆς προσκαίρου εὐεργεσίας, ἀνταποδίδωσιν εἰς αὐτοὺς τὴν αἰώνιον αὐτοῦ βασιλείαν. Ἐλέγχει οὖν ὁ Κύριος τὸν μὴ πολυπλασιάσαντα τὸ τάλαντον διὰ τῶν ἰδίων λόγων, δι' ὧν αὐτὸς προφασίζεται· Σὺ, λέγει, δοῦλε πονηρὲ καὶ ὀκνηρὲ, οὐκ ἐπολυπλασίασας τὸ τάλαντόν μου διὰ τὴν κακίαν τῆς καρδίας σου, καὶ τὴν ὀκνηρίαν τῆς προαιρέσεώς σου· ἐπειδὴ, ἐὰν ἐγνώρισας, ὡς λέγεις, ὅτι ἐγώ εἰμι σκληρὸς, καὶ θερίζω ὅπου οὐκ ἔσπειρα, καὶ συνάγω ὅθεν οὐ διεσκόρπισα, διὰ τοῦτο μάλιστα ἔπρεπε, φοβηθεὶς τὴν ἐμὴν σκληρότητα, ἵνα βάλῃς τὸ τάλαντον, ὅπερ ἔλαβες, εἰς τοὺς τραπεζίτας· ἔπρεπεν, ἵνα μεταδώσῃς τὸν πλοῦτον εἰς τῶν πτωχῶν τὰς χεῖρας, ἢ τὴν σοφίαν εἰς τὰς ψυχὰς τῶν ἀνθρώπων· ἐγὼ δὲ, ἐλθὼν ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως κρῖναι ζῶντας καὶ νεκροὺς, ἐλάμβανον τὸ τάλαντόν μου μετὰ τόκου. Ποῖος δέ ἐστιν ὁ τόκος, ὃν λαμβάνει ὁ Κύριος, ὅταν πολυπλασιάζωνται τὰ τάλαντα; Ὁ τόκος οὗτος ἐστὶν ἡ προσθήκη τῶν σωζομένων, διότι καὶ ὅσοι πολυπλασιάζουσι τοῦ Θεοῦ τὸ χάρισμα, μεταδίδοντες αὐτὸ εἰς τοὺς ἄλλους, καὶ ὅσοι, ἀπολαμβάνοντες τῆς μεταδόσεως τοῦ ταλάντου, ὠφελοῦσι τὴν ψυχὴν αὐτῶν, ἐκεῖνοι κληρονομοῦσι τὴν αἰώνιον χαρὰν καὶ βασιλείαν τοῦ Θεοῦ. Τοιουτοτρόπως οὖν ἐλέγξας ὁ Κύριος τὴν αὐθάδη καὶ παράλογον τοῦ πονηροῦ καὶ ὀκνηροῦ ἀνθρώπου προφασιολογίαν, καὶ ἐπιστομίσας αὐτὸν, καὶ δείξας, ὅτι, ἐν τῇ ἐσχάτῃ κρίσει τοῦ Θεοῦ, αἱ προφάσεις οὐδένα τόπον ἔχουσιν, οὐδὲ δύνανται δικαιολογῆσαι τοὺς πταίστας, ἐπάγει εὐθὺς τὴν φοβερὰν παίδευσιν.

Ἄρατε οὖν ἀπ' αὐτοῦ τὸ τά- Ματ. κε. 28.
λαντον, καὶ δότε τῷ ἔχοντι
τὰ δέκα τάλαντα· (Τῷ γὰρ 29.
ἔχοντι παντὶ δοθήσεται, καὶ
περισσευθήσεται· ἀπὸ δὲ τοῦ
μὴ ἔχοντος, καὶ ὃ ἔχει ἀρ-
θήσεται ἀπ' αὐτοῦ). Καὶ τὸν 30.
ἀχρεῖον δοῦλον ἐκβάλετε εἰς
τὸ σκότος τὸ ἐξώτερον· ἐκεῖ
ἔσται ὁ κλαυθμὸς, καὶ ὁ βρυγ-
μὸς τῶν ὀδόντων.

Φρικτὴ καὶ φοβερά ἐστιν ἡ ἀπόφασις κατὰ τοῦ κρύψαντος τὸ τάλαντον· Ἄρατε οὖν ἀπ' αὐτοῦ τὸ τάλαντον· τοῦτό ἐστι στέρησις καὶ παντελὴς ἀπογύμνωσις τοῦ θείου χαρίσματος. Πότε δὲ ἄρά γε αἴρει τὸ χάρισμα; εἰς τὸν παρόντα αἰῶνα, ἢ εἰς τὸν μέλλοντα; Εἰς μὲν τὸν παρόντα αἴρει τὸ χάρισμα, εἰς δὲ τὸν μέλλοντα, τὴν διὰ τὴν καλὴν χρῆσιν τοῦ χαρίσματος πρέπουσαν ἀνταπόδοσιν· καὶ ἀπὸ μὲν τῶν κακῶς μετερχομένων τὸ χάρισμα αἴρει ὁ Θεὸς καὶ τὸ χάρισμα καὶ τὴν διὰ τὸ χάρισμα ἀνταπόδοσιν· καθὼς ἀπὸ τοῦ γένους τῶν Ἰουδαίων ἀφεῖλεν ἐν μὲν τῷ νῦν αἰῶνι τὴν Ἱερωσύνην καὶ τὴν Βασιλείαν, μετὰ δὲ τὴν μέλλουσαν κρίσιν ἀφελεῖ ἀπ' αὐτῶν καὶ τὴν ἀνταπόδοσιν, τὴν ἡτοιμασμένην διὰ τοὺς καλῶς μετελθόντας τὰ τοιαῦτα τάλαντα· ὁμοίως ἐστέ-

ἐστέρησε τὸν Ἰούδαν τοῦ ἀποστολικοῦ χαρίσματος εὐθὺς μετὰ τὴν προδοσίαν, στερήσει δὲ αὐτὸν, ἐν τῇ δευτέρᾳ αὐτοῦ παρουσίᾳ, καὶ τῆς αἰωνίου δόξης, τῆς ἡτοιμασμένης διὰ τοὺς πολυπλασιάσαντας τὸ ἀποστολικὸν τάλαντον. Ἀλλὰ καὶ τὸν πλούσιον, ὅταν κακῶς μετέρχηται τοῦ δοθέντος αὐτῷ πλούτου τὸ χάρισμα, καθιστᾷ ἐνίοτε πένητα πενήτων, αἴρων ἀπ' αὐτοῦ τοῦ πλούτου τὸ τάλαντον· ἐὰν δὲ μὴ μετανοήσῃ, ὑστερεῖ αὐτὸν καὶ ἀπ' αὐτῆς τῆς ἀπὸ καταβολῆς κόσμου ὑπὲρ τῶν δικαίων ἡτοιμασμένης βασιλείας. Αἴρει τὸ τάλαντον ἀπὸ τοῦ ἀναξίου· Ἄρατε οὖν ἀπ' αὐτοῦ τὸ τάλαντον, καὶ δίδωσιν αὐτὸ τῷ ἀξίῳ τοῦ ταλάντου· Καὶ δότε τῷ ἔχοντι τὰ δέκα τάλαντα· ὁ ἀμετάδοτος ἄνθρωπος γυμνοῦται τοῦ θείου χαρίσματος, εἰς τὸν μεταδοτικὸν προστίθεται χάρις ἐπὶ χάριτος. Διατί δὲ τοῦτο; Διότι, λέγει, τῷ ἔχοντι παντὶ δοθήσεται, καὶ περισσευθήσεται. Τίς δέ ἐστιν ὁ ἔχων; καὶ τί ἔχει; Ἔχων ἐστὶν ὁ μεταδοτικὸς ἄνθρωπος· ἔχει δὲ οὗτος τὴν μεταδοτικὴν προαίρεσιν, ὅθεν δίδοται αὐτῷ καὶ προστίθεται τοῦ Θεοῦ ἡ χάρις καὶ τὸ ἔλεος. Ἀπὸ δὲ τοῦ μὴ ἔχοντος, λέγει, καὶ ὃ ἔχει ἀρθήσεται ἀπ' αὐτοῦ· ἀλλὰ πῶς ὁ μὴ ἔχων ἔχει; Μὴ ἔχοντα ὀνομάζει τὸν ἀμετάδοτον, ὡς ἐστερημένον τῆς μεταδοτικῆς προαιρέσεως, κἂν ἔχῃ τὸ τάλαντον· ἔχει μὲν τὸ χάρισμα, οὐκ ἔχει δὲ τὴν μεταδοτικὴν προαίρεσιν· διὸ γυμνοῦται καὶ τοῦ χαρίσματος, ὅπερ ἔλαβε. Βλέπε δὲ, ὅτι πρῶτον αἴρει ἀπ' αὐτοῦ τὸ τάλαντον, ἔπειτα παραδίδωσιν αὐτὸν εἰς τὰς βασάνους, ἵνα δείξῃ, ὅτι οὐδεὶς, χάριτος θείας μετέχων, καταδικάζεται, ἕως οὗ ἔχει τοῦ Θεοῦ τὸ χάρισμα· πρῶτον δὲ γυμνοῦται τῶν θείων δωρεῶν, ἔπειτα παραδίδοται εἰς τὴν κόλασιν· Καὶ τὸν ἀχρεῖον δοῦλον ἐκβάλετε εἰς τὸ σκότος τὸ ἐξώτερον· ἐκεῖ ἔσται ὁ κλαυθμὸς, καὶ ὁ βρυγμὸς τῶν ὀδόντων· δοῦλος ἀχρεῖος καὶ ἄχρηστος ἐνώπιον Θεοῦ καὶ ἀνθρώπων, ὅστις κρύπτει τὸ τάλαντον· διὸ καὶ προστάττει τοὺς Ἀγγέλους, ἵνα ἐκβάλωσιν αὐτὸν μακρὰν ἀπὸ τοῦ προσώπου αὐτοῦ· μακρὰν δὲ ἀπὸ τοῦ Θεοῦ ἐστὶ σκότος ἐξώτερον, διὰ τὴν μακρὰν διάστασιν τοῦ θείου φωτὸς, ὅ ἐστιν ὁ Θεός· ἐκεῖ δὲ κλαυθμὸς ἀπαρηγόρητος, διὰ τὴν ἀκατάπαυστον θλῖψιν, ἐκεῖ βρυγμὸς ὀδόντων ἀπερίγραπτος, διὰ τὰς ὀξυτάτας ὀδύνας.

Ταῦτα λέγων, ἐφώνει· Ὁ ἔχων ὦτα ἀκούειν, ἀκουέτω. Ματ. κέ. 30.

Ὅταν ὁ Ἰησοῦς Χριστὸς ἐλάλει παραβολικῶς, τότε ἔλεγε τοῦτο τὸ ἐπιφώνημα· Ὁ ἔχων ὦτα ἀκούειν, ἀκουέτω· διδάσκων ἡμᾶς διὰ τούτου, ὅτι οὐ λαλεῖ περὶ ὠτίων σωματικῶν, καὶ ἀκοῆς ὑλικῆς, ἀλλὰ περὶ τῶν ψυχικῶν ὠτίων, καὶ τῆς νοερᾶς ἀκοῆς· Ὁ ἔχων ὦτα ἀκούειν, ἀκουέτω· ἤγουν νοερῶς ἀκουέτω, καὶ κατανοείτω τὰ λεγόμενα, διότι πρὸς τὴν τούτων κατανόησιν χρείαν ἔχομεν προσοχῆς καὶ συνέσεως. Χρυσ. εἰς τὴν Συρ. Χρυσ. αὐτ.

# ΟΜΙΛΙΑ

ΜΕΤΑ ΤΟ ΚΑΤΑ

# ΜΑΤΘΑΙΟΝ

## ΕΥΑΓΓΕΛΙΟΝ ΤΗΣ ΙϚʹ. ΚΥΡΙΑΚΗΣ.

Πολλοί, νομίζοντες, ὅτι οὐκ ἔλαβον τάλαντον, οὐδεμίαν φροντίδα ἔχουσι περὶ τῆς ὠφελείας τοῦ πλησίον, κοιμῶνται δὲ ἥσυχοι, πεπληροφορημένοι ὄντες, ὅτι οὐδένα λόγον ἀποδώσουσι τῷ Θεῷ περὶ τῆς μεταδόσεως τοῦ ταλάντου· Ὁ ἄρχων, λέγουσιν, ὁ σοφὸς, ὁ τεχνίτης, ὁ πλούσιος ἔλαβεν ἀληθῶς τάλαντον· ὅθεν ἐκεῖνος δικαίως χρεωστεῖ, ἵνα ὠφελήσῃ τὸν πλησίον αὐτοῦ· ἐγὼ δὲ, ἰδιώτης ἄνθρωπος, ἀμαθὴς, ἄτεχνος, πτωχὸς, ποῖον τάλαντον ἔλαβον, καὶ τί νὰ μεταδώσω, ἢ πῶς νὰ ὠφελήσω; λοιπὸν, λέγουσιν, ἡ σήμερον ἀναγνωσθεῖσα εὐαγγελικὴ Παραβολὴ οὐκ ἔστι διδασκαλία κοινὴ, ἀλλὰ μερικὴ, ἐπιβλέπουσα εἰς μόνους τοὺς λαβόντας τάλαντον. Τοῦτο, ἀδελφοί μου, ἐστὶ ψεῦδος, καὶ πλάνη τοῦ Διαβόλου φανερή· διότι, ἐὰν τὸ τάλαντον, πολυπλασιαζόμενον, ὑπάρχῃ τὸ μέσον, δι' οὗ ἀξιούμεθα τῆς μακαρίας φωνῆς· Εὖ δοῦλε ἀγαθὲ καὶ πιστέ· (Ματ. κέ. 21.) ἐὰν ὁ πολυπλασιασμὸς τοῦ ταλάντου προξενῇ τὴν πολυπλάσιον ἀνταπόδοσιν· Ἐπὶ ὀλίγα ἦς πιστὸς, ἐπὶ πολλῶν σε καταστήσω· καὶ εἰσάγῃ τὸν ἄνθρωπον εἰς τὴν βασιλείαν τῶν οὐρανῶν· Εἴσελθε εἰς τὴν χαρὰν τοῦ Κυρίου σου· πῶς ὁ Θεὸς, ὁ ἐπίσης πάντας ἀγαπῶν, ἐπειδὴ ἐπίσης ἐστὶ πάντων ποιητὴς, εἰς τινὰς μὲν ἐγχειρίζει, εἰς ἄλλους δὲ οὐκ ἐμπιστεύει τὸ τάλαντον; Τοῦτό ἐστιν ἀδύνατον, ἐπειδὴ τοῦτο δείκνυσιν ἀνισότητα ἀγάπης, προσωποληψίαν, ἀδικίαν· ταῦτα δὲ μακρὰν ἀπέχουσιν ἀπὸ τῆς τελειότητος τοῦ ὑπερτελείου Θεοῦ πλέον, ἢ ὁ οὐρανὸς ἀπὸ τῆς γῆς. Ἐκ ταύτης τῆς σφαλερᾶς γνώμης ἀκολουθεῖ καὶ ἕτερον μέγα ἄτοπον. Ὁ Θεὸς ᾠκοδόμησε πάντας τοὺς νόμους αὐτοῦ ἐπὶ τῷ θεμελίῳ τῆς ἀγάπης, καὶ ἐξ αὐτῆς ἐκρέμασε πάσας τὰς ἀρετὰς καὶ τὴν σωτηρίαν· προσέταξε δὲ εἰς πάντας ἐπίσης τῆς ἀγάπης τὴν ἐκπλήρωσιν· ἐὰν οὖν εἰς ἄλλους μὲν ἐνεχείρισεν, εἰς ἄλλους δὲ οὐκ ἔδωκε τάλαντον, ἤγουν τὸ ὄργανον, δι' οὗ ἐκπληροῦται τῆς ἀγάπης τὸ ἔργον, φανερόν ἐστιν, ὅτι ὁ Θεὸς ἐπιβουλεύει τὴν σωτηρίαν τινῶν ἀνθρώπων. Βλέπετε ποῦ κατακρημνίζει τοῦτο τὸ σύστημα;

Ἀλλ' οὐκ ἐμπιστεύει, λέγεις, εἰς πάντας τὸ τάλαντον, ἐπειδὴ προβλέπει, ὅτι εἰς τινὰς, διὰ τὴν ἀμέλειαν καὶ τὴν κακίαν αὐτῶν, γίνεται κολάσεως αἴτιον. Ἡ ἀπόκρισις οὐδεμίαν ἔχει ἰσχὺν, διότι ὁ φόβος τοῦ μέλλοντος κακοῦ οὐ δύναται ποτὲ καταργῆσαι τὸ ἔργον τῆς ἀπείρου ἀγαθότητος τοῦ Θεοῦ. Προεῖδεν ὁ Θεὸς τὴν πτῶσιν τοῦ πρωτοπλάστου, ἀλλ' ἡ πρόορασις τῆς πτώσεως οὐκ ἐνεπόδισε τὴν ἀγαθοεργίαν τῆς πλάσεως· προεῖδε τὴν προδοσίαν τοῦ ἀποστόλου Ἰούδα, ἀλλ' ἡ πρόβλεψις τῆς προδοσίας οὐ κατήργησε τὴν τούτου ἐκλογὴν εἰς τὸ ἀποστολικὸν ἀξίωμα. Οὐκ ἀκούεις δὲ

τὸ

τὸ ἱερὸν Εὐαγγέλιον κηρύττον, ὅτι ὁ Θεὸς ἔδωκε τάλαντον οὐ μόνον εἰς τοὺς πολυπλασιάσαντας αὐτὸ, καὶ διὰ τοῦτο σωθέντας, ἀλλὰ καὶ εἰς τὸν κρύψαντα αὐτὸ, καὶ διὰ τοῦτο κατακριθέντα;

Ὁ Θεὸς, δίκαιος ὢν καὶ φιλάνθρωπος, θέλει ἐπίσης πάντας σωθῆναι· ἐ-
Ματ. κβ'. 40. πειδὴ δὲ ὅλος ὁ νόμος καὶ οἱ Προφῆται ἐκ τῆς ἀγάπης κρέμανται· ἡ
Α'. Ἰωάν. γ'. 18. δὲ ἀγάπη οὐκ ἐν λόγῳ καὶ γλώσσῃ, ἀλλ' ἐν ἔργῳ καὶ ἀληθείᾳ πληροῦται· τῆς δὲ ἐκπληρώσεως τῆς ἀγάπης ὄργανόν ἐστι τὸ τάλαντον· διὰ τοῦτο ὁ Θεὸς εἰς πάντας ἐμπιστεύει τάλαντον· εἰς τινὰς μὲν πολλά, εἰς τινὰς δὲ ὀλίγα, εἰς ἄλλους δὲ ἓν μόνον, κατὰ ἀναλογίαν δηλαδὴ τῆς δυνάμεως, τὴν ὁποίαν καθεὶς ἔχει πρὸς τὸν πολυπλασιασ-
Ματ. κε'. 15. μὸν αὐτῶν· οὐδένα δὲ ἄνθρωπον ἐγκαταλείπει ὁ Θεὸς γυμνὸν ταλάντου, ἐμπιστεύει δὲ ἑκάστῳ τὸ τάλαντον, οὐχ ἵνα κατακρύψῃ αὐτὸ, καὶ καταδικασθῇ, ἀλλ' ἵνα πολυπλασιάσῃ αὐτὸ, καὶ σωθῇ. Ὁ Θεὸς, διὰ τὴν ἄμετρον αὐτοῦ φιλανθρωπίαν, βάλλει εἰς τὰς χεῖρας τοῦ καθενὸς τὸ ὄργανον, τὸ μέσον, τὸν τρόπον τῆς σωτηρίας αὐτοῦ· ἐπειδὴ δὲ ὁ
Σειρ. ιε'. 14. ἄνθρωπος ἐπλάσθη ἀπ' ἀρχῆς ἐλευθεροπροαίρετος, διὰ τοῦτο ὅσοι μὲν καλοπροαίρετοι, ἐκεῖνοι πολυπλασιάζουσι τὸ δοθὲν αὐτοῖς τάλαντον, καὶ σώζονται· ὅσοι δὲ κακοπροαίρετοι, ἐκεῖνοι κατακρύπτουσιν αὐτὸ, καὶ κολάζονται.

Ἀλλὰ ποῖον τάλαντον ἔχει, ἀποκρίνεσθε, ὁ ἄνθρωπος ὁ ἰδιώτης, καὶ πτωχὸς, καὶ ἄσημος; Ἔχει ἔμπροσθεν εἰς τὸν Θεὸν τὸ αὐτὸ τάλαντον, ὅπερ ἔχει καὶ ὁ πλούσιος· δύναται δὲ ὁ πτωχὸς, καὶ ὁ ἰδιώτης, καὶ ὁ ἄσημος νὰ πολυπλασιάσῃ αὐτὸ, οὐ μόνον καθὼς καὶ ὁ πλούσιος, ἀλλὰ καὶ ὑπὲρ τὸν πλούσιον· τοῦτο φαίνεται παράδοξον, ὅμως ἐστὶν ἀληθέστατον· διότι ὁ Θεὸς οὐκ ἐπιβλέπει εἰς τὴν ποσότητα τοῦ μεταδιδομένου πράγματος, ἀλλ' εἰς τὴν προθυμίαν τῆς μεταδοτικῆς προαιρέσεως· καθὼς δὲ κατὰ ἀναλογίαν τῆς δυνάμεως τοῦ καθενὸς διανέμει τὰ τάλαντα, οὕτω ζητεῖ παρὰ τοῦ καθενὸς καὶ τὸν καρπὸν κατὰ ἀναλογίαν τῶν δοθέντων ταλάντων.

Μία γυνὴ χήρα, ἥτις οὐδὲν ἄλλο εἶχεν εἰμὴ δύω λεπτὰ, (τὸ λεπτὸν τεταρτημόριόν ἐστι τοῦ ὀβολοῦ· ὁ δὲ ὀβολὸς ἰσοβαρής ἐστι δεκαὲξ κόκκοις κριθῆς·) αὐτὴ βέβαια καὶ ἰδιώτης ἦν, καὶ πτωχὴ, καὶ ἄσημος· καὶ ὅμως αὐτὴ ἐπολυπλασίασε τὸ τάλαντον αὐτῆς ὑπὲρ τοὺς πλουσίους. Τοῦτο ἐβεβαίωσεν αὐτὸς ὁ τῶν ἁπάντων Δεσπότης καὶ Θεός· ὅτε εἶδε τοὺς πλουσίους, βάλλοντας πολλὰ εἰς τὸ Γαζοφυλάκιον, ἰδὼν καὶ μίαν χήραν πενιχρὰν, βάλλουσαν ἐκεῖ δύω λεπτὰ, ἐξεφώνησεν· Ἀμὴν, λέγω ὑμῖν, Μάρκ. ιβ'. 43, 44.
ὅτι ἡ χήρα ἡ πτωχὴ αὕτη πλεῖον πάντων βέβληκε τῶν βαλόντων εἰς τὸ Γαζοφυλάκιον· προσέθηκε δὲ τὸν λόγον ταύτης τῆς παραδοξολογίας· Πάντες γὰρ, εἶπεν, ἐκ τοῦ περισσεύοντος αὐτοῖς ἔβαλον, αὕτη δὲ ἐκ τῆς ὑστερήσεως αὐτῆς πάντα ὅσα εἶχεν ἔβαλεν, ὅλον τὸν βίον αὐτῆς.

Ἰδιώτης, ἄσημος, καὶ πάμπτωχος ἦν ἡ Σεραπτία χήρα· εἶχεν ὀρφανὰ τέκνα· ἦν δὲ καὶ ἀνομβρία πολυχρόνιος, καὶ πεῖνα μεγάλη εἰς Σάρεπτα τῆς Σιδωνίας, ὅπου αὐτὴ κατῴκει· καὶ εἰς τοιαύτας ὅμως περιστάσεις εὑρισκομένη, εἶχε τάλαντον, καὶ ἐπολυπλασίασεν αὐτὸ, καὶ ἔλαβε τοῦ πολυπλασιασμοῦ τὸν μισθόν. Ποῖον δὲ τὸ τάλαντον αὐτῆς; Μία δρὰξ ἀλεύρου, καὶ ὀλίγον ἔλαιον ἐν τῷ καμψάκῃ. Τοῦτο τάλαντον; Ναὶ, τοῦτό ἐστι τάλαντον, καὶ τοῦτο ἐπολυπλασίασε, θρέψασα ἐξ αὐτοῦ τὸν προφή-

φήτην Ἠλίαν. Ποίαν δὲ ὑπὲρ τούτου
ἀνταπόδοσιν ἔλαβεν; Ἔτρωγεν ὁ Προφή-
της, καὶ αὐτὴ, καὶ τὰ ὀρφανὰ τέκνα αὐ-
τῆς ἐξ αὐτοῦ τοῦ ἀλεύρου, καὶ τοῦ ἐ-
Γ'.Βασιλ. λαίου· Καὶ ἡ ὑδρία τοῦ ἀλεύρου
ιζ. 16. οὐκ ἐξέλειπε, καὶ ὁ καμψάκης
τοῦ ἐλαίου οὐκ ἠλαττονήθη, ἕως
οὗ ἔβρεξεν ὁ Κύριος εἰς τὴν γῆν ἐκείνην,
καὶ ἔπαυσεν ἡ πεῖνα. Ποῖος ἄνθρωπος
εἰς τὸν κόσμον, ἢ πλέον ἰδιώτης, ἢ πλέον
ἄσημος, ἢ πλέον πτωχὸς τούτων τῶν
δύω γυναικῶν; καὶ ὅμως αὐταὶ καὶ εἶ-
χον τάλαντον, καὶ ἐπολυπλασίασαν αὐ-
τὸ, καὶ ἔλαβον τὴν ὑπὲρ τοῦ πολυπλα-
σιασμοῦ ἀνταμοιβήν.

Ἡμεῖς, μετροῦντες τοῦ Θεοῦ τὰς
κρίσεις διὰ τοῦ μέτρου τῶν ἰδίων κρί-
σεων, σφάλλομεν πολλάκις ὑπερβαλλόν-
τως. Ἡμεῖς βλέπομεν μόνον τὴν ποσό-
τητα καὶ τὴν πολυτέλειαν τοῦ δώρου,
τὴν δὲ διάθεσιν τῆς καρδίας, καὶ τὴν
προθυμίαν τῆς ψυχῆς τοῦ εὐεργετοῦν-
τος οὐδόλως περιεργαζόμεθα. Ὁ Θεὸς
οὐδὲ τὸ ποσὸν, οὐδὲ τὸ πολυτελὲς τοῦ
δωρήματος ἀνακρίνει, ἀλλὰ τῆς καρδίας
τὴν διάθεσιν, καὶ τῆς ψυχῆς τὴν προ-
θυμίαν βλέπει· ὅθεν πᾶσαν προσφο-
ρὰν, προθύμῳ ψυχῇ, καὶ ἀγάπῃ καθα-
ρᾷ προσφερομένην, κἂν εὐτελὴς, εὐμενῶς
αὐτὴν δέχεται, ὡς πολυπλασιασμὸν τα-
λάντου λογίζεται, καὶ ἀνταμείβει δι'
αὐτὴν πλουσίως.

Ἐὰν λοιπὸν ἔχῃς δύναμιν, ἵνα νί-
ψῃς τοὺς πόδας τῶν Χριστιανῶν, ἔχεις
τάλαντον· ἐὰν δὲ νίψῃς, πολυπλασιά-
ζεις τὸ τάλαντόν σου, διότι τὸ ἔργον
τοῦτο συναριθμεῖται εἰς τὴν τάξιν τῶν
Α'.Τιμ. ἐ. ἐναρέτων πράξεων. Ἐὰν ἔχῃς προθυ-
10. μίαν, ἵνα δείξῃς τὸν δρόμον εἰς τὸν ὁ-
δοιπόρον, ἔχεις τάλαντον· ἐὰν δὲ συμ-
πορευθῇς μετ' αὐτοῦ οὐχὶ ἓν μίλιον, ὡς
αὐτός σε ἀγγαρεύει, ἀλλὰ δύω κατὰ τὴν
εὐαγγελικὴν παραγγελίαν, πολυπλασιά-
ζεις τὸ τάλαντόν σου. Ἐὰν ἔχῃς τρό- Ματ. ἐ.
πον, ἵνα ποτίσῃς τὸν διψῶντα ἓν ψυ- 14.
χρὸν ποτήριον ὕδατος, ἔχεις τάλαντον· Αὐτ. ί.
ἐὰν δὲ ποτίσῃς αὐτὸν, πολυπλασιάζεις 42.
τὸ τάλαντόν σου. Ἐὰν, ὅταν βλέπῃς ἄν-
θρωπον κινδυνεύοντα, ἢ ἀσθενοῦντα, ἢ
ὁπωσδήποτε πάσχοντα, δύνασαι νὰ πα-
ρακαλέσῃς τὸν Θεὸν ὑπὲρ αὐτοῦ, ἔχεις
τάλαντον· ἐὰν δὲ ὑπὲρ τῆς σωτηρίας
αὐτοῦ ὑψώσῃς τὰς χεῖράς σου εἰς τὸν
οὐρανὸν, πολυπλασιάζεις τὸ τάλαντόν
σου. Ποῖος δὲ, εἴπατέ μοι, πάντων τῶν
ἀνθρώπων οὐκ ἔχει ἓν τῶν τοιούτων τα-
λάντων; τίς ἐστιν ὁ μὴ δυνάμενος ἢ δι'
ἑνὸς ποτηρίου ψυχροῦ ὕδατος, ἢ διὰ μιᾶς
συμβουλῆς, ἢ δι' ἑνὸς παρηγορητικοῦ λό-
γου, ἢ διὰ μιᾶς συντόμου προσευχῆς
εὐεργετῆσαι τὸν πλησίον αὐτοῦ; ταῦτα
καθεὶς ἔχει, καὶ καθεὶς δύναται νὰ
πράξῃ· ταῦτα δέ εἰσι, καὶ λογίζονται
πολυπλασιασμὸς ταλάντου.

Δύω δὲ πολυπλασιασμοὺς λαμβά-
νει τὸ τάλαντον, πολυπλασιάζεται διὰ
τῆς μεταδόσεως, πολυπλασιάζεται καὶ
διὰ τῆς ἀνταποδόσεως. Πολυπλασιάζε-
ται διὰ τῆς μεταδόσεως, ἐπειδὴ, ὅταν ὁ
πλούσιος πλουσιοπαρόχως ἐλεῇ, ποιεῖ
πολλοὺς πλουσίους· ὅταν ὁ σοφὸς προ-
θύμως σοφίζῃ, ποιεῖ πολλοὺς σοφούς·
ὅταν ὁ τεχνίτης ἀόκνως μεταδίδωσι τοὺς
κανόνας τῆς τέχνης, ποιεῖ πολλοὺς τε-
χνίτας· ὅταν ὁ ἱερεὺς ἔργῳ τε καὶ λόγῳ
διδάσκῃ, ποιεῖ πολλοὺς ἐναρέτους. Πο-
λυπλασιάζεται τὸ τάλαντον διὰ τῆς ἀν-
ταποδόσεως, ἐπειδὴ, ὅστις, ὡς ἀγαθὸς
καὶ πιστὸς τοῦ Θεοῦ δοῦλος, πολυπλα-
σιάζει τὰ ὀλίγα τάλαντα, τὰ ὁποῖα ἐκ
Θεοῦ ἔλαβεν, ἐκεῖνος ἀντὶ τῶν ὀλίγων
ἀντιλαμβάνει πολλά· Εὖ δοῦλε ἀγα- Αὐτ. κέ.
θὲ καὶ πιστὲ, ἐπὶ ὀλίγα ἦς πι- 21.
στὸς, ἐπὶ πολλῶν σε καταστήσω·
αὐτὸς ἀντὶ ἑνὸς λαμβάνει ἑκατὸν· Ἑκα- Αὐτ. ιθ'.
τονταπλασίονα λήψεται. Ἡμεῖς 29.
δὲ

δὲ βλέπομεν εἰς τοῦτον τὸν κόσμον οὐ μόνον τὸν διὰ τῆς μεταδόσεως, ἀλλὰ καὶ τὸν διὰ τῆς ἀνταποδόσεως πολυπλασιασμὸν τοῦ ταλάντου.

Ἐκεῖνοι οἱ τρισμακάριοι ἄνθρωποι, ὅσοι πολυπλασιάζουσι τὸ τάλαντον, ἢ ψυχικῶς, σοφίζοντες τοὺς ἀμαθεῖς, ἐπιστρέφοντες τοὺς πεπλανημένους, στηρίζοντες τοὺς πιστούς, σώζοντες ψυχὰς ἐκ θανάτου, καὶ ἁρπάζοντες αὐτὰς ἐκ τοῦ στόματος τοῦ ᾅδου· ἢ σωματικῶς, ὑπηρετοῦντες τοὺς χρείαν ἔχοντας, ἐλεοῦντες τοὺς πτωχούς, φιλοξενοῦντες τοὺς ξένους, ἐπισκεπτόμενοι τοὺς ἀσθενεῖς, προστατεύοντες τοὺς ἀδικουμένους, ἀντιλαμβανόμενοι τοῦ ὀρφανοῦ καὶ τῆς χήρας, εὐεργετοῦντες γένη, καὶ λαούς, καὶ πόλεις, ἐκεῖνοι λαμβάνουσι τὸν ἑκατονταπλάσιον πολυπλασιασμὸν τῶν ταλάντων αὐτῶν. Τοὺς τοιούτους πολυπλασιαστὰς πάντες οἱ ἄνθρωποι τιμῶσι, πάντες περιποιοῦνται, πάντες σέβονται, πάντες ἕως ἐδάφους τῆς γῆς προσκυνοῦσι· τοὺς τοιούτους ἀνθρώπους, ἄλλος μὲν τῶν εὐεργετηθέντων ὀνομάζει πατέρας, ἄλλος δέ, ἀδελφούς, καὶ ἄλλος, εὐεργέτας καὶ σωτῆρας· τοὺς τοιούτους ἀνθρώπους, οὐ μόνον ζῶντας, ἀλλὰ καὶ ἀποθανόντας τιμῶσιν οἱ ἄνθρωποι, καὶ σπεύδουσιν ἀντευεργετῆσαι, τὰς εἰκόνας αὐτῶν ἀναζωγραφοῦντες, καὶ στήλας ἀνυψοῦντες, καὶ τοὺς ἀνδριάντας αὐτῶν κατασκευάζοντες καὶ ἀναστηλοῦντες εἰς δόξαν καὶ μνημόσυνον τῆς ἀρετῆς, καὶ τοῦ ἀξιομνημονεύτου αὐτῶν ὀνόματος.

Βλέπε δέ, πῶς ὁ πονηρὸς καὶ ὀκνηρὸς δοῦλος, ὅστις κρύπτει τοῦ Θεοῦ τὸ τάλαντον, στερεῖται καὶ ἐκείνου τοῦ ταλάντου, ὅπερ ἔλαβε. Τὸν πλούσιον τὸν ἀμετάδοτον οὐδεὶς τιμᾷ, πάντες φεύγουσιν αὐτὸν καὶ κακολογοῦσιν ὡς φιλάργυρον καὶ ἄσπλαγχνον· τὸν σοφόν, ὅταν κρύπτῃ τῆς σοφίας τὸ χάρισμα, κατακρίνουσιν ἢ ὡς φθονερόν, ἢ ὡς ὀκνηρόν, ἢ ὡς ἀμαθῆ· ἀπὸ τοῦ ἱερωμένου, τοῦ ἀμελοῦντος τὴν ἐκπλήρωσιν τοῦ χρέους τῆς ἱερωσύνης, αἴρουσι τὸ πρέπον σέβας καὶ τὴν εὐλάβειαν· τὸν πτωχόν, ὅταν οὐδεμίαν ἐκτελῇ ὑπηρεσίαν, περιφρονοῦσιν ἢ ὡς ὑπερήφανον, ἢ ὡς ὀκνηρὸν καὶ ῥᾴθυμον· μένει οὖν τὸ τάλαντον νεκρόν, ἀνενέργητον, καὶ ἀνωφελὲς εἰς τὸν λαβόντα αὐτό, καὶ μὴ μεταδόντα, ἀλλὰ κρύπτοντα· τοιουτρόπως δὲ ἐκπληροῦται καὶ εἰς τὴν παροῦσαν ζωὴν τοῦ Κυρίου τὸ πρόσταγμα· Ἄρατε οὖν ἀπ' αὐτοῦ τὸ τάλαντον. Ματ. κέ. 28.

Ἀδελφοί, ταῦτα εἶσιν ἐπίγεια καὶ πρόσκαιρα, διὰ τοῦτο μὴ προσηλώσητε τὸν νοῦν εἰς ταῦτα μόνα, ἀλλ' ὑψώσατε αὐτὸν εἰς τὰ οὐράνια καὶ αἰώνια· ἐκεῖ βλέπετε καὶ τῆς ἀνταποδόσεως τὸν πολυπλασιασμόν, καὶ τῆς κατακρύψεως τοῦ ταλάντου τὴν κατάκρισιν.

Ἔρχεται ὥρα, ὅταν ὁ φοβερὸς Κριτὴς καθίσῃ ἐπὶ θρόνου δόξης αὐτοῦ; πάντες δὲ οἱ ἅγιοι Ἄγγελοι, καὶ πάντες οἱ ἀπ' αἰῶνος ἄνθρωποι ἐνώπιον αὐτοῦ παρίστανται, καὶ αἱ βίβλοι ἀνοίγονται, καὶ τὰ μὲν φανερὰ θεατρίζονται, τὰ δὲ κρυπτὰ δημοσιεύονται. Τότε ἐκεῖ ὁ πονηρὸς καὶ ὀκνηρὸς τρέμει, βλέπων, ὅτι κατέκρυψε τὸ δοθὲν αὐτῷ τάλαντον· τότε ἐλέγχεται ἡ πονηρία αὐτοῦ, καὶ ἡ ὀκνηρία· Πονηρὲ δοῦλε καὶ ὀκνηρέ, λέγει αὐτῷ ὁ φοβερὸς Κριτής· τότε γυμνοῦται πάσης θείας χάριτος· Ἄρατε οὖν ἀπ' αὐτοῦ τὸ τάλαντον· τότε χωρίζεται τῆς θείας δόξης· Καὶ τὸν ἀχρεῖον δοῦλον ἐκβάλετε· τότε καταδικάζεται εἰς τὸ σκότος τὸ ἐξώτερον, ὅπου ὁ κλαυθμός, καὶ ὁ βρυγμὸς τῶν ὀδόντων. Ὢ οὐαί, ἀδελφοί, εἰς ἐκεῖνον, ὅστις οὐ φροντίζει παντὶ τρόπῳ, ἵνα διὰ τῆς πρὸς τὸν πλησίον εὐεργε-

γενίας πολυπλασιάσῃ τὸ δοθὲν αὐτῷ τάλαντον! Τότε δὲ ἐκεῖ, ἐν τῷ μέσῳ τοῦ Θείου συμφώνου, ἐν ταῖς λαμπρότησι τῶν ἁγίων, ἐν ταῖς χοροστασίαις τῶν Ἀγγέλων, λάμπουσιν ὡς φωστῆρες οἱ τὸ τάλαντον αὐτῶν πολυπλατιάσαντες· λάμπουσιν ἐκεῖ τῆς ἐλεημοσύνης καὶ πασῶν τῶν εὐεργεσιῶν αὐτῶν αἱ ἀστραπαί· ἐκεῖ αὐτοὶ ἀκούουσι τῆς μακαρίας φωνῆς· Εὖ δοῦλε ἀγαθὲ καὶ πιστέ· ἐκεῖ εἰς αὐτοὺς δίδοται ἡ ὑπὲρ τοῦ πολυπλασιασμοῦ τοῦ ταλάντου ἀνταπόδοσις, ἤγουν ἡ κληρονομία τῆς αἰωνίου βασιλείας· Εἴσελθε εἰς τὴν χαρὰν τοῦ Κυρίου σου. Μακάριος ἐκεῖνος ὁ ἄνθρωπος, ὅστις πολυπλασιάσῃ τὸ τάλαντον αὐτοῦ, ἐλεῶν τὸν πλησίον αὐτοῦ, καὶ εὐεργετῶν αὐτὸν, καὶ παντοιοτρόπως περιποιούμενος.

# ΕΡΜΗΝΕΙΑ

ΕΙΣ ΤΟ ΚΑΤΑ

# ΜΑΤΘΑΙΟΝ

## ΕΥΑΓΓΕΛΙΟΝ ΤΗΣ ΙΖʹ. ΚΥΡΙΑΚΗΣ.

Ἔχει πᾶς ἔπαινος ὅρους καὶ μέτρα· ἐὰν δὲ ὁ ἐγκωμιαστὴς ὑπερέβῃ ταῦτα, ἢ μείνῃ ὀπίσω αὐτῶν, κιβδηλεύει τὴν ἀλήθειαν. Ἐπειδὴ δὲ οἱ ἄνθρωποι καὶ συλλογιζόμενοι, καὶ λαλοῦντες, καὶ συγγράφοντες, εὔκολα ἢ ὑπὸ τῆς ἀσθενείας τοῦ νοὸς, ἢ ὑπὸ τῆς βίας τῶν παθῶν ἀπατῶνται, διὰ τοῦτο, ὅταν ἐπαινῶσιν, εὐκολόν ἐστιν ἢ νὰ ἀνέβωσιν εἰς τὰς ὑπερβολὰς, ἢ νὰ πέσωσιν εἰς τὰς ἐλλείψεις· ὅθεν ὕποπτα πάντοτε εἰσὶ τὰ ὑπὸ τῶν ἀνθρώπων λεγόμενα ἔπαινα. Ἀλλ᾽ ὅτε ἐπαινέτης ἐστὶν ὁ Θεὸς, ὁ ἀλάνθαστος καὶ ἀπαθὴς καὶ πανυπερτέλειος, τότε μωρός ἐστι καὶ ἀσύνετος, ὅστις ἀμφιβάλλει περὶ τῆς ἀληθείας τῶν ἐγκωμίων. Τοῦ Θεοῦ τὸ στόμα μεγάλους ἐπαίνους ἔπλεξεν εἰς τὴν πρὸς αὐ-
Ματ. ιέ. 28. τὸν προσελθοῦσαν Χαναναίαν· Ὦ γύναι, ἐξεφώνησε, μεγάλη σου ἡ πίστις· οὐδεμία οὖν ἀμφιβολία ἔχει τόπον περὶ τῆς πίστεως καὶ ἀρετῆς ταύτης τῆς θαυμασίας γυναικός. Εὐσεβέστατοι Χριστιανοὶ, προσηλώσατε τὸν νοῦν εἰς τὴν ἑρμηνείαν τῆς σήμερον ἀναγνωσθείσης Εὐαγγελικῆς ἱστορίας, ἵνα μάθητε πόσον μεγάλη ἦν ἡ πίστις τῆς Χαναναίας, καὶ ἡ προθυμία, δι᾽ ἧς ὑπήντησε τὸν Ἰησοῦν Χριστὸν, καὶ ἡ σύνεσις εἰς τὰς πρὸς αὐτὸν ἀποκρίσεις, καὶ ἡ ἔμμονος αὐτῆς διάθεσις εἰς τὴν δέησιν· ἔτι δὲ καὶ τὸν θεῖον τρόπον, δι᾽ οὗ ὁ Θεάνθρωπος εἰς φῶς ἐξήγαγε καὶ ἐδημοσίευσε τὰς ἀρετὰς αὐτῆς· πρὸς τούτοις δὲ καὶ τὸ τοῦ Κυρίου ἐπὶ τὴν θυγατέρα αὐτῆς εὔσπλαγχνον θαυματούργημα.

Τῷ καιρῷ ἐκείνῳ, ἐξῆλθεν ὁ Ματ. ιέ. 21.
Ἰησοῦς εἰς τὰ μέρη Τύρου καὶ Σιδῶνος.

Διατί ὁ Θεάνθρωπος, ὅστις πα- Αὐτ. ι'.
ρήγγειλεν εἰς τοὺς μαθητὰς αὐτοῦ· Εἰς 5, 6.

ὁδὸν ἐθνῶν μὴ ἀπέλθητε, καὶ εἰς πόλιν Σαμαρειτῶν μὴ εἰσέλθητε· πορεύεσθε δὲ μᾶλλον πρὸς τὰ πρόβατα τὰ ἀπολωλότα οἴκου Ἰσραήλ· οὐκ ἐφύλαξε τὴν ἰδίαν ἐντολὴν, ἀλλ᾽ ἐγκατέλειπε μὲν τὰ ἀπολωλότα πρόβατα οἴκου Ἰσραὴλ, ἦλθε δὲ εἰς ὁδὸν ἐθνῶν, ἤγουν εἰς τὰ μέρη Τύρου καὶ Σιδῶνος; Οὐδὲ τὴν ἐντολὴν, ἣν ἔδωκε τοῖς μαθηταῖς αὐτοῦ, παρέβη, οὐδὲ τὸν λαὸν τοῦ Ἰσραὴλ ἐγκατέλειπε· διότι ἡ ἐντολὴ οὐ λέγει, Μὴ πορευθῆτε παντελῶς πρὸς τοὺς ἐθνικοὺς, ἀλλὰ προτιμᾷ μόνον τοὺς Ἰσραηλίτας· Πορεύεσθε δὲ μᾶλλον πρὸς τὰ πρόβατα τὰ ἀπολωλότα οἴκου Ἰσραήλ. Ἔδωκε δὲ εἰς αὐτοὺς τὴν προτίμησιν, ἐπειδὴ αὐτοὶ, λαβόντες τὸν νόμον καὶ τὴν Διαθήκην, καὶ ἀκούσαντες τὰς περὶ αὐτοῦ προφητείας, εἶχον ἀρκετὸν φῶς καὶ διδασκαλίαν πρὸς ὑποδοχὴν αὐτοῦ. Ἀληθῶς δὲ οἱ Ἰσραηλῖται ἔλαβον τὴν προτίμησιν, διότι οὐ μόνον ὁ Ἰησοῦς Χριστὸς πρῶτον αὐτοὺς ἐδίδαξεν, ἀλλὰ καὶ οἱ θεῖοι Ἀπόστολοι, τὴν ἐντολὴν ταύτην παρ᾽ αὐτοῦ λαβόντες, πρῶτον εἰς αὐτοὺς ἐκήρυξαν τὴν εἰς Χριστὸν πίστιν, ἔπειτα, ἐπειδὴ ἐκεῖνοι οὐκ ἐδέξαντο τὸ κή-
Πράξ. ιγ΄. 46. ρυγμα, ἐστράφησαν εἰς τὰ ἔθνη· Ὑμῖν ἦν ἀναγκαῖον, εἶπεν ὁ Παῦλος καὶ ὁ Βαρνάβας, πρῶτον λαλῆσαι τὸν λόγον· ἐπειδὴ δὲ ἀπωθεῖσθε αὐτὸν, καὶ οὐκ ἀξίους κρίνετε ἑαυτοὺς τῆς αἰωνίου ζωῆς, ἰδοὺ στρεφόμεθα εἰς τὰ ἔθνη· τοῦτο αὐτὸ δὲ ἐποίησε πρῶτος ὁ Κύριος. Ἐδίδαξε τοὺς Γραμματεῖς καὶ Φαρισαίους, ἵνα μὴ, διὰ τὰς παραδόσεις αὐτῶν, καταφρονῶσι τὴν ἐντολὴν τοῦ Θεοῦ· αὐτοὶ δὲ οὐκ ἐδέξαντο τὸν λόγον αὐτοῦ, ἀλλ᾽ ἐσκανδαλίσθη-
Μάρκ. ζ΄. 24. σαν· διὰ τοῦτο ἐπορεύθη εἰς τὰ μέρη, ἢ εἰς τὰ μεθόρια, ὡς λέγει ὁ Εὐαγγελιστὴς Μάρκος, Τύρου καὶ Σιδῶνος. Εἰσελθὼν δὲ εἰς οἰκίαν τινὰ, ἔκρυπτεν ἑαυτὸν ἐκεῖ, ἴσως ἐπειδὴ οὐκ εἶχε σκοπὸν, ἵνα κηρύξῃ, ἀλλὰ μόνον, ἵνα ἐλεήσῃ τὴν πιστεύσασαν αὐτῷ Χαναναίαν· κἂν δὲ ἐκρύπτετο, ἤκουσεν ὅμως ὁ λαὸς, ὅτι ἦλθεν ἐκεῖ.

Καὶ ἰδοὺ γυνὴ Χαναναία ἀπὸ τῶν ὁρίων ἐκείνων ἐξελθοῦσα, ἐκραύγασεν αὐτῷ, λέγουσα· Ἐλέησόν με, Κύριε, υἱὲ Δαβίδ· ἡ θυγάτηρ μου κακῶς δαιμονίζεται. Ματ. ιε΄. 22.

Ἦν δὲ ἡ γυνὴ, λέγει ὁ Εὐαγγελιστὴς Μάρκος, Συροφοίνισσα τῷ γένει, ἤγουν Ἑλληνὶς κατὰ τὴν θρησκείαν, Σύρα κατὰ τὴν διάλεκτον, καὶ Φοινίκισσα κατὰ τὸ γένος· Φοίνικας δὲ ὠνόμαζον τοὺς Χαναναίους. Κἂν δὲ τοιαύτη ἦν ἡ γυνὴ, ἐγίνωσκεν ὅμως, ὡς φαίνεται, τὰ περὶ τοῦ Ἰησοῦ Χριστοῦ, διότι οὐ μόνον ὠνόμασεν αὐτὸν Κύριον, ἀλλὰ καὶ Υἱὸν Δαβίδ. Βλέπε δὲ πρῶτον τὴν πίστιν, εἶτα καὶ τὸ φιλότεκνον αὐτῆς. Τοσοῦτον ἐπίστευεν, ὅτι ἀπολαμβάνει τὴν ἰατρείαν τῆς θυγατρὸς αὐτῆς, ὥστε, καταφρονήσασα τὸν κόπον τῆς ὁδοιπορίας, ἐξῆλθεν ἐκ τῶν ὁρίων ἐκείνων, τουτέστιν ἐκ τῶν ὁρίων τῆς Χαναναίας, τῆς πατρικῆς γῆς αὐτῆς, ἵνα συναντήσῃ τῷ Κυρίῳ, καὶ παρακαλέσῃ αὐτὸν περὶ τῆς θυγατρὸς αὐτῆς. Τὸ δὲ φιλότεκνον φαίνεται ἐκ τῶν λόγων τῆς δεήσεως αὐτῆς· οὐκ εἶπεν, Ἐλέησον τὴν θυγατέρα μου, οὐδὲ βοήθησον τῇ θυγατρί μου, ἀλλ᾽ ἐπαναλαβοῦσα τὸ πρόσωπον τῆς θυγατρὸς αὐτῆς, τῆς μὴ δυναμένης διὰ τὴν σφοδρότητα τοῦ πάθους παρακαλέσαι τὸν ἰατρὸν καὶ Σωτῆρα, Ἐλέησόν με, εἶπε, καὶ βοήθει μοι· τοῦτο

Μάρκ. ζ΄. 26.

Χρυσ. εἰς τὴν Σειρ.

*δὲ ἴδιον μόνον τῶν φιλοστόργων γονέων, οἵτινες οἰκειοποιοῦνται τὰ τῶν τέκνων αὐτῶν παθήματα, ὁμοίως καὶ τὰς τούτων εὐτυχίας.*

Ματ. ιέ. 23. Ὁ δὲ οὐκ ἀπεκρίθη αὐτῇ λόγον. Καὶ προσελθόντες οἱ μαθηταὶ αὐτοῦ, ἠρώτων αὐτὸν, λέγοντες· Ἀπόλυσον αὐτὴν, ὅτι κράζει ὄπισθεν ἡμῶν.

Λουκ. ζ. *Καὶ τῆς χήρας τὸν υἱὸν ἐπὶ τὴν*
11, 12. *πύλην τῆς πόλεως Ναῒν ἐκ νεκρῶν ἀνέ-*
Μάρκ. έ. *στησε, καὶ τῆς αἱμορῤῥοούσης τὴν πηγὴν*
29. *τοῦ αἵματος ἔστησε, καὶ εἰς τὸν ἐκ γε-*
Ἰωάν. θ'. *νετῆς τυφλὸν τὸ φῶς ἐχαρίσατο, καὶ τοῦ*
6, 7. *ἐπὶ τῆς προβατικῆς κολυμβήθρας πα-*
Αυτ. έ. 6. *ραλύτου τὰ μέλη συνέσφιγξε, καὶ τὰς ποικίλας νόσους πολλῶν ἀσθενῶν χωρίς τινος ἱκεσίας ἢ παρακλήσεως ἐθεράπευσεν ὁ φιλανθρωπότατος Ἰησοῦς· διατί οὖν οὐδὲ λόγον ἀπεκρίθη εἰς τὴν τεθλιμμένην μητέρα, τὴν Χαναναίαν, ἥτις μετὰ τοσαύτης πίστεως καὶ εὐλαβείας παρεκάλει, μεγαλοφώνως κραυγάζουσα· Ἐλέησόν με Κύριε, υἱὲ Δαβίδ; Περὶ τῆς σιωπῆς ταύτης καὶ οἱ Μαθηταὶ αὐτοῦ ἐξηπόρησαν· ὅθεν, προσελθόντες πρὸς αὐτὸν, παρεκάλουν, λέγοντες· Ἀπόλυσον αὐτὴν, ὅτι κράζει ὄπισθεν ἡμῶν· ἐὰν οὐ θέλῃς ἐλεῆσαι αὐτὴν, ἐπικαλουμένην τὸ ἔλεός σου, κἂν ἀπόλυσον αὐτὴν, ἵνα μὴ μάτην ἀκολουθῇ ὀπίσω ἡμῶν, καὶ ἀνωφελῶς κραυγάζῃ· ταῦτα δὲ ἔλεγον, ἐλπίζοντες, ὅτι διὰ τῶν λόγων τούτων πείσουσι τὸν Φιλάνθρωπον ἐλεῆσαι τὸ πλάσμα αὐτοῦ. Ἐὰν ὁ Θεάνθρωπος ἀπεκρίνετο τῇ Χαναναίᾳ, καὶ εἰσήκουε τὴν δέησιν αὐτῆς, πρεπόντως οἱ Μαθηταὶ αὐτοῦ, καὶ ὁ ἐκεῖ λαὸς ἐσκανδαλίζοντο, εἰδότες μὲν τὸ ἀλλογενὲς τῆς γυναικὸς καὶ ἀλλόπιστον, ἀγνοοῦντες δὲ τὴν πίστιν αὐτῆς, καὶ τὴν ἀρετήν· οἰκονομικῶς οὖν οὐκ ἀπεκρίθη αὐτῇ ὁ Ἰησοῦς οὐδένα λόγον, ἵνα, ἀναγκασθεῖσα ὑπὸ τῆς σιωπῆς αὐτοῦ, παῤῥησιάσῃ καὶ τὴν πίστιν, καὶ τὴν ἀρετὴν αὐτῆς· ὥστε ἡ σιωπὴ τρόπος ἦν, δι' οὗ φανερωθεῖσα ἡ πίστις καὶ ἡ εὐλάβεια τῆς γυναικὸς, ἔπαυσε τὸ σκάνδαλον· τοῦτο δὲ φανερόν ἐστιν ἐκ τῶν ἑξῆς λόγων.*

Ὁ δὲ ἀποκριθεὶς, εἶπεν· Οὐκ ἀπεστάλην, εἰ μὴ εἰς τὰ πρόβατα τὰ ἀπολωλότα οἴκου Ἰσραήλ. Ματ. ιέ. 24.

*Ἀληθῶς αὐτὸς μὲν ὁ Ἰησοῦς Χριστὸς, κατὰ τὰς τοῦ Θεοῦ ἐπαγγελίας, τὰς διὰ τῶν Προφητῶν κηρυχθείσας, πρὸς τὸ γένος τοῦ Ἰσραὴλ ἀπεστάλη, καὶ πρὸς αὐτὸ ἐκήρυξε καὶ εὐηγγελίσατο· οἱ δὲ θεῖοι Ἀπόστολοι, οἱ ἐξ αὐτοῦ τοῦ Ἰσραηλιτικοῦ γένους καταγόμενοι, ἐκήρυξαν εἰς τὰ ἔθνη τὸ Εὐαγγέλιον. Ἀπεκρίθη δὲ ὁ Ἰησοῦς Χριστὸς πρὸς αὐτοὺς τὸ, Οὐκ ἀπεστάλην, εἰ μὴ εἰς τὰ πρόβατα τὰ ἀπολωλότα οἴκου Ἰσραὴλ, ἵνα διὰ τούτων τῶν λόγων δείξῃ, ὅτι οὐ θέλει εἰσακούσει τῆς Χαναναίας τὴν δέησιν, καὶ οὕτω φανερωθῇ ἡ πίστις, καὶ ἡ ἀρετὴ αὐτῆς εἰς ἔλεγχον τῶν Ἰουδαίων, οἵτινες, ἐπαγγελλόμενοι, ὅτι πιστεύουσιν εἰς τὸν Θεὸν, ἠπίστουν εἰς τὰ ῥηθέντα ὑπὸ Θεοῦ περὶ τοῦ Ἰησοῦ Χριστοῦ. Βλέπε οὖν τί ἐποίησεν ἡ Χαναναία μετὰ τὴν ἀπόκρισιν ταύτην.*

Ἡ δὲ ἐλθοῦσα προσεκύνησεν αὐτῷ, λέγουσα· Κύριε, βοήθει μοι. Ματ. ιέ. 25.

Κἂν οὐδὲν ἴσχυσεν ἡ τῶν Ἀποστόλων δέησις, αὐτὴ ὅμως, διὰ τὸ ἔνθερμον τῆς πίστεως αὐτῆς, οὐδὲ ἀπελπίσθη, οὐδὲ ἔφυγεν, ἀλλ' ἔλαβε θάῤῥος περισσότερον, καὶ ἐπλησίασεν ἐγγύτερον εἰς τὸν Ἰησοῦν Χριστόν· καὶ πρῶτον μὲν ἔκραζεν ἀκολουθοῦσα ὀπίσω, καὶ μὴ τολμῶσα κατὰ πρόσωπον αὐτοῦ σταθῆναι, ἔπειτα ἦλθεν ἔμπροσθεν αὐτοῦ,
Μάρκ. ζ'. 25. καὶ προσπεσοῦσα πρὸς τοὺς πόδας αὐτοῦ, προσεκύνησεν αὐτὸν, καὶ εἶ-
Χρυσ. εἰς τὴν Συρ. πε, Κύριε, βοήθει μοι· οὐδὲ παρακάλεσον, εἶπε, τὸν Θεὸν, οὐδὲ δεήθητι ὑπὲρ ἐμοῦ, ἀλλὰ βοήθει μοι· αὐτὴ, ὡς φαίνεται, ἐπίστευσεν, ὅτι ὁ Ἰησοῦς 'στὶ Θεὸς ἀληθινὸς, καὶ παντοδύναμος.

Ματ. ιε. 26. Ὁ δὲ ἀποκριθεὶς, εἶπεν· Οὐκ ἔστι καλὸν λαβεῖν τὸν ἄρτον τῶν τέκνων, καὶ βαλεῖν τοῖς κυναρίοις.

Χρυσ. Αὐτ. Κυνάρια καλεῖ τοὺς ἐθνικοὺς, διὰ τὸ ἀκάθαρτον τῆς ζωῆς αὐτῶν, καὶ τὴν τῶν εἰδώλων λατρείαν· τέκνα δὲ, τοὺς Ἰουδαίους διὰ τὴν θεοσέβειαν, καὶ τὴν εἰς αὐτοὺς δοθεῖσαν νομοθεσίαν· ἄρτον δὲ, τὴν διὰ θαύματος εὐεργεσίαν· Σὺ, λέγει, ζητεῖς εὐεργεσίαν, ἀλλ' οὐκ ἔστι καλὸν λαβεῖν τὰς εὐεργεσίας, τὰς διωρισμένας διὰ τοὺς πιστεύοντας εἰς τὸν Θεὸν, καὶ βαλεῖν αὐτὰς ἔμπροσθεν τῶν ἀπίστων. Ταῦτα δὲ τὰ λόγια, κἂν ὑβριστικὰ ἦσαν, οὐκ εἶχεν ὅμως σκοπὸν ὁ Ἰησοῦς ὑβρίσαι αὐτὴν, ἀλλὰ παῤῥησιάσαι, καὶ ἀνακαλύψαι τὴν πίστιν, καὶ τὴν ἀγαθὴν προαίρεσιν αὐτῆς, καθὼς ἄλλοτε, εἰπὼν πρὸς τὸν Ἑκατόνταρχον·
Ματ. η. 7, 8. Ἐγὼ ἐλθὼν θεραπεύσω αὐτὸν, ἐφανέρωσε τὴν πίστιν αὐτοῦ, καὶ τὴν εὐλάβειαν, καὶ τὴν ταπεινοφροσύνην διὰ τῆς τούτου ἀποκρίσεως· Κύριε, οὐκ εἰμὶ ἱκανὸς, ἵνα μου ὑπὸ τὴν στέγην εἰσέλθῃς, ἀλλὰ εἰπὲ λόγον, καὶ ἰαθήσεται ὁ παῖς μου· ὁμοίως καὶ τὴν τῆς αἱμοῤῥοούσης πίστιν ἐφανέρωσεν, εἰπών· Ἐγὼ οἶδα δύναμιν ἐξελθοῦσαν ἀπ' ἐμοῦ. Λουκ. η. 46. Τί δὲ πρὸς ταῦτα ἀπεκρίθη ἡ Χαναναία;

Ματ. ιε. 27. Ἡ δὲ εἶπε· Ναὶ, Κύριε· καὶ γὰρ τὰ κυνάρια ἐσθίει ἀπὸ τῶν ψιχίων τῶν πιπτόντων ἀπὸ τῆς τραπέζης τῶν κυρίων αὐτῶν.

Βλέπε πίστεως θερμότητα· ἀποδιώκεται ὡς σκυλάκιον, καὶ ὅμως ἔτι πιστεύει, ὅτι εἰσακούεται. Βλέπε ταπείνωσιν· συντάσσεται εἰς τὴν τάξιν τῶν σκυλακίων, καὶ μετὰ μεγάλης γενναιότητος δέχεται τὴν περιφρόνησιν. Ἄκουε δὲ καὶ τὴν φρόνησιν, μεθ' ἧς πρὸς τὰ λεγόμενα ἀποκρίνεται· Ναὶ, Κύριε, λέγει, σκυλάκιόν εἰμι ἀκάθαρτον· ἀλλὰ καθὼς ἐκεῖνα τρώγουσιν ἀπὸ τῶν ψιχίων, τῶν πιπτόντων ἀπὸ τῆς τραπέζης τῶν κυρίων αὐτῶν, οὕτω δὸς κἀμοὶ τὴν χάριν ταύτην, ἥτις παρὰ σοὶ μὲν μικρά ἐστιν, ὡς ἓν τῶν ψιχίων, τῶν ἀπὸ τῆς τραπέζης πιπτόντων, παρ' ἐμοὶ δὲ μεγάλη, ὡς θεραπευτικὴ τοῦ ἐλεεινοῦ πάθους τῆς φιλτάτης μου θυγατρός. Ὅτε οὖν τοιουτοτρόπως ἐπαῤῥησίασεν ὁ Ἰησοῦς καὶ εἰς τοὺς παρόντας, καὶ εἰς τοὺς ἀπόντας, καὶ εἰς τὸν κόσμον ἅπαντα τὰς φιλαρέτους διαθέσεις τῆς γυναικὸς, καὶ ἔδειξεν, ὅτι, κἂν ἀλλογενὴς ἦν, καὶ εἰδωλολάτρις, ἀξία ὅμως ἦν, διὰ τὴν πίστιν καὶ ἀρετὴν αὐτῆς, τῆς ζητουμένης χάριτος, ἅμα δὲ καὶ ἀναπολογήτους κατέστησε τοὺς εἰς αὐτὸν μὴ πιστεύοντας Ἰουδαίους, τότε,

Τό-

Ματ. ιε'. 28. Τότε ἀποκριθεὶς ὁ Ἰησοῦς, εἶπεν αὐτῇ· Ὦ γύναι, μεγάλη σου ἡ πίστις· γενηθήτω σοι ὡς θέλεις. Καὶ ἰάθη ἡ θυγάτηρ αὐτῆς ἀπὸ τῆς ὥρας ἐκείνης.

Μεγάλη ἀληθῶς ἡ πίστις αὐτῆς! Γυνὴ εἰδωλολάτρις, καὶ μὴ διδαχθεῖσα τὰ περὶ τῆς εὐσεβείας, τρέχουσα ἐξέρχεται καὶ αὐτῶν τῶν ὁρίων τῆς πατρίδος αὐτῆς, καὶ κραυγάζει ὄπισθεν τοῦ Ἰησοῦ καὶ τῶν μαθητῶν αὐτοῦ· Ἐλέησόν με Κύριε, υἱὲ Δαβίδ· κἂν δὲ οὐδεμίαν ἀπόκρισιν λαμβάνῃ, κἂν ἀποβάλληται, καὶ περιφρονῆται, ἐπιμένει ὅμως πιστεύουσα· διὰ τοῦτο οὖν ἐπιχορηγεῖ αὐτῇ ὁ Θεάνθρωπος πλουσίας τὰς δωρεὰς αὐτοῦ· Γενηθήτω σοι ὡς θέλεις. Τί δὲ ἤθελε; Τὴν ἰατρείαν τῆς θυγατρὸς αὐτῆς· τοῦτο οὖν καὶ ἐγένετο, διότι κατ' ἐκείνην τὴν ὥραν, ἐν ᾗ ὁ Ἰησοῦς Χριστὸς ἐξεφώνησε τὸ, Γενηθήτω σοι ὡς θέλεις, ἡ θυγάτηρ αὐτῆς ἰατρεύθη.

# ΟΜΙΛΙΑ

### ΜΕΤΑ ΤΟ ΚΑΤΑ

# ΜΑΤΘΑΙΟΝ

## ΕΥΑΓΓΕΛΙΟΝ ΤΗΣ ΙΖ'. ΚΥΡΙΑΚΗΣ.

Εἶχεν ἀληθῶς ἡ Χαναναία πίστιν, εἶχε φρόνησιν, εἶχε ταπεινοφροσύνην, πλὴν, ἐὰν ἔλειπεν ἀπὸ τῆς καρδίας αὐτῆς ἡ ἐπιμονὴ, οὐκ ἐθεραπεύετο ἡ θυγάτηρ αὐτῆς· ἐπέμεινε στερεὰ καὶ ἀσάλευτος εἰς τὸν σκοπὸν αὐτῆς, κἂν πολλὴν καὶ μεγάλην εὗρε τὴν ἐναντιότητα, καὶ διὰ τοῦτο ἐνίκησε, καὶ ἀπέλαβε τοῦ ποθουμένου, καθὼς ἤθελε, καὶ ἐπεθύμει· Γενηθήτω σοι ὡς θέλεις.

Βλέπω δὲ, ὅτι ἡ ἐπιμονὴ εἰς τὰ καλὰ ἔργα ἐστὶν ἀρετὴ τοσοῦτον ἀναγκαία, ὥστε χωρὶς αὐτῆς οὐδεὶς ἀπολαμβάνει τῆς ποθουμένης σωτηρίας. Ἡμεῖς ἐδιδάχθημεν, καὶ πιστεύομεν, ὅτι ἐκεῖνος μόνον φθάνει εἰς τοῦ παραδείσου τὴν κατοίκησιν, ὅστις περιπατεῖ τῆς ἀρετῆς τὸν δρόμον. Τοῦτον τὸν δρόμον ἐ-
Γεν. κη'. 12. σήμαινεν ἡ κλίμαξ τοῦ Πατριάρχου Ἰακὼβ, ἡ ἐστηριγμένη ἐν τῇ γῇ, καὶ φθάνουσα εἰς τὸ ὕψος τοῦ οὐρανοῦ· δι' αὐτῆς οἱ Ἄγγελοι καταβαίνουσι πρὸς τοὺς ἀνθρώπους, φέροντες τοῦ Θεοῦ τὴν χάριν, καὶ οἱ ἄνθρωποι, ὅμοιοι γενόμενοι τοῖς Ἀγγέλοις, ἀναβαίνουσιν εἰς τὴν αἰώνιον βασιλείαν. Ἡ πίστις, ἡ ἀγάπη, ἡ ἐλπὶς, ἡ δικαιοσύνη, ἡ ταπείνωσις, ἡ ὑπακοὴ, ἡ σωφροσύνη, ἡ προσευχὴ, ἡ νηστεία, ἡ ἀγρυπνία, αἱ λοιπαὶ ἀρεταί εἰσιν αἱ βαθμίδες ταύτης τῆς οὐρανίου κλίμακος· ἐάν τις ἀπὸ τούτου τοῦ ἀνωφεροῦς δρόμου ἢ ἐπιστρέψῃ εἰς τὰ κάτω, ἢ μὴ τρέχῃ ἀόκνως ἐπὶ τὰ ἄνω, ἐκπίπτει τῆς σωτηρίας αὐτοῦ, κἂν πολλὰς βαθμίδας ἀνέβη, ὅπερ ἐστὶ, κἂν πολλὰς ἀρετὰς ἐκατώρθωσε. Τοῦτο διδάσκει ἡμᾶς ὁ Θεὸς διὰ τοῦ προ-
φήτου Ἰεζεκιὴλ, λέγων· Εἶπον πρὸς Ἰεζ. λγ'. 12.

τοὺς υἱοὺς τοῦ λαοῦ σου, δικαιοσύνη δικαίου οὐ μὴ ἐξελεῖται αὐτὸν, ἐν ᾗ ἂν ἡμέρᾳ πλανηθῇ· τοῦτο αὐτὸ ἐδίδαξε καὶ ὁ Σωτὴρ τοῦ κόσ-
Λουκ. θ'. μου, εἰπών· Οὐδεὶς ἐπιβαλὼν τὴν
62. χεῖρα αὐτοῦ ἐπ' ἄροτρον, καὶ βλέπων εἰς τὰ ὀπίσω, εὔθετός ἐστιν εἰς τὴν βασιλείαν τοῦ Θεοῦ. Ἐπειδὴ δὲ ὁ θεῖος οὗτος δρόμος ἐστὶν αἰωφερὴς, ἡ δὲ τοῦ ἀνθρώπου προαίρεσις, ἐκ νεότητος ἄχρι τοῦ ἐσχάτου γήρατος αὐτοῦ, κλίνει εἰς τὸ κάταντες, διὰ τοῦτο πολλοὶ μὲν προθύμως ἄρχονται τῆς ἀναβάσεως, ἐκεῖνοι δὲ μόνοι οὐ κατακρημνίζονται, ἀλλὰ διαπαντὸς ἀναβαίνουσιν, ὅσοι ἐπιμένουσι στερεοὶ εἰς τὴν πρώτην αὐτῶν προθυμίαν καὶ ἀκλόνητοι.

Εἰς τοῦτον τὸν οὐράνιον δρόμον συναντᾷς ἐπιβούλους, ἀόκνως ἐπιβουλεύοντας, συναντᾷς πολεμίους, νύκτωρ καὶ μεθ' ἡμέραν πολεμοῦντας, συναντᾷς λῃστὰς, βέλη πεπυρωμένα κατὰ σοῦ δια-
Σειρ. β'. παντὸς ῥίπτοντας· Τέκνον, λέγει ὁ
1. σοφὸς Σειρὰχ, εἰ προσέρχῃ δουλεύειν τῷ Κυρίῳ, ἑτοίμασον τὴν ψυχήν σου εἰς πειρασμόν. Νηστεύεις, ἵνα καταδαμάσῃς τὴν ἐπιβουλὴν τῆς σαρκός σου· ἀρκετὸν ὅπλον κατὰ τῶν κακῶν τῆς σαρκὸς ἐπιθυμιῶν ἡ νηστεία· ἐὰν οὖν ἐπιμείνῃς νηστεύων, νικᾷς καὶ θριαμβεύεις κατὰ τῆς τυραννούσης σε σαρκός· ἐὰν δὲ, ἐπὶ προφάσει ἀδυναμίας καὶ ἀτονίας, μὴ ἐπιμείνῃς εἰς τὴν νηστείαν, ἐκπίπτεις τῆς σωφροσύνης. Φεύγεις τῶν κακῶν ἀνθρώπων τὰς συναναστροφὰς, φεύγεις τὰ θέατρα, τοὺς χοροὺς, τὰς πανηγύρεις, τὰ παίγνια· ἰσχυρὸν ὅπλον ἐστὶ κατὰ τῆς πολεμούσης τοῦ κόσμου ματαιότητος ἡ φυγή· ἐὰν οὖν ἐπιμείνῃς φεύγων τὰ τοιαῦτα διαπαντὸς, νικᾷς καὶ θριαμβεύεις κατὰ πάσης κοσμικῆς ἐμπαθείας· ἐὰν δὲ, ἐπὶ προφάσει φίλων, ἢ συγγενῶν, ἢ ἀρχόντων, σταθῇς, καὶ ἐγκαταλείπῃς τὴν φυγὴν, γίνεσαι ἐμπαθὴς καὶ ματαιόφρων. Προσεύχεσαι μετὰ πίστεως καὶ εὐλαβείας· καλὴ πανοπλία ἡ προσευχὴ κατὰ τῶν πεπυρωμένων τοῦ Διαβόλου βελῶν· ἐὰν ἀδιαλείπτως προσεύχεσαι, Α'. Θεσ. ε'.
κατὰ τὴν ἀποστολικὴν ἐντολὴν, νικᾷς καὶ 17.
θριαμβεύεις κατὰ τῶν Δαιμόνων, τῶν θανατηφόρων ἐχθρῶν σου· ἐὰν δὲ, ἐπὶ προφάσει ἀναγκαίων ὑποθέσεων, μὴ ἐπιμείνῃς προσευχόμενος, ἀλλὰ παύσῃς, δέξαι τότε τραύματα, καὶ πληγὰς τοῦ Διαβόλου, καὶ μώλωπας ἐλεεινούς.

Ὁ θεῖος Ἀπόστολος Παῦλος προ- Β'. Τιμ. β'.
βάλλει εἰς τὸν Χριστιανὸν παράδειγμα 3.
τὸν καλὸν στρατιώτην· Σὺ οὖν, γράφει πρὸς τὸν Τιμόθεον, κακοπάθησον ὡς καλὸς στρατιώτης. Ποῖος οὖν ἐστὶν ὁ καλὸς στρατιώτης; ὁ ἐπίμονος, ἢ ὁ ἀνεπίμονος; ἐκεῖνος, ὅστις ἐπιμένει εἰς τὸ πολεμικὸν στάδιον ἕως τέλους, καὶ πολεμεῖ ἀφόβως, καὶ μάχεται ἀνδρείως· ἢ ἐκεῖνος, ὅστις ἢ ἐν τῇ ἀρχῇ τῆς πάλης, ἢ μετὰ τὸν πρῶτον καὶ δεύτερον συγκρουσμὸν, ἔμφοβος γενόμενος, στρέφει τὰ νῶτα, καὶ φεύγει; Οὐδεὶς, Αὐτόθι.
λέγει, στρατευόμενος ἐμπλέκεται 4.
ταῖς τοῦ βίου πραγματείαις, ἵνα τῷ στρατολογήσαντι ἀρέσῃ· τί δὲ ἄλλο σημαίνουσι τὰ λόγια ταῦτα, εἰμὴ, ὅτι ὁ στρατιώτης τοῦ Ἰησοῦ Χριστοῦ εἰς ἕνα καὶ μόνον σκοπὸν ἐπιβλέπει, καὶ εἰς αὐτὸν χωρίς τινος ἄλλης φροντίδος διαπαντὸς ἐπιμένει, εἰς τὴν διὰ τῆς ἀρετῆς δηλαδὴ εὐαρέστησιν τοῦ Ἰησοῦ Χριστοῦ, τοῦ κατατάξαντος αὐτὸν εἰς τὴν θείαν αὐτοῦ στρατιάν;

Ἵνα δὲ μὴ ἀποκάμωμεν ἀναβαίνοντες ταύτην τὴν μακαρίαν ὁδὸν, προβάλλει ἡμῖν ὁ αὐτὸς Ἀπόστολος πλῆθος ἀνδρῶν μαρτυρούντων, ὅτι διὰ τῆς ἐπιμονῆς εἰς τὰ καλὰ ἔργα ἐτέλεσαν θεα- Ἑβρ. ιβ'.
ρέστως τὸν τῆς ἀθλήσεως ἀγῶνα· Τοι- 1.

γα-

γαροῦν, λέγει, καὶ ἡμεῖς, τοσοῦτον ἔχοντες περικείμενον ἡμῖν νέφος μαρτύρων, ὄγκον ἀποθέμενοι πάντα, καὶ τὴν εὐπερίστατον ἁμαρτίαν, δι' ὑπομονῆς τρέχομεν τὸν προκείμενον ἡμῖν ἀγῶνα. Μαρτυρεῖ ἡ ἱστορία τοῦ Ἰὼβ τὸ ἐπίμονον
Ἰώβ. α'. 1. αὐτοῦ εἰς τὴν ἀρετήν. Ὁ Ἰὼβ, ἐν καιρῷ τῆς εὐτυχίας αὐτοῦ, ἄνθρωπος ἀληθινὸς, ἄμεμπτος, δίκαιος, θεοσεβὴς, ἀπεχόμενος ἀπὸ παντὸς πονηροῦ πράγματος· τὸν αὐτὸν δὲ Ἰὼβ βλέπεις καὶ εἰς τὸν καιρὸν τῆς δυστυχίας αὐτοῦ. Φθορὰ ὁλόῤῥιζος πάντων τῶν ὑπαρχόντων, θάνατος αἰφνίδιος πάντων ὁμοῦ τῶν φιλτάτων αὐτοῦ τέκνων, πτωχεία ἐσχάτη, ἀσθένεια ἐλεεινὴ, πλη-
Αὐτόθι. 22. γαὶ ὀδυνηραὶ περιέσχον αὐτόν· Ἐν τούτοις δὲ πᾶσι τοῖς συμβεβηκόσιν αὐτῷ οὐδὲν ἥμαρτεν Ἰὼβ ἐναντίον τοῦ Κυρίου· καὶ οὐκ ἔδωκεν ἀφροσύνην τῷ Θεῷ. Στερεὸς ἵσταται καὶ οὐδόλως σαλεύει ἀπὸ τῆς ἀρετῆς καὶ ἐν τῷ καιρῷ τῶν συμφορῶν αὐτοῦ· φιλοσοφεῖ μὲν τότε περὶ τῆς εὐτελείας τῆς ἀν-
Αὐτ. 21. θρωπίνης φύσεως· Αὐτὸς γυμνὸς ἐξῆλθον ἐκ κοιλίας μητρός μου, γυμνὸς καὶ ἀπελεύσομαι ἐκεῖ· προσφέρει δὲ τῷ Θεῷ τὴν θυσίαν τῆς ὑπακοῆς καὶ εὐγνωμοσύνης· Ὁ Κύριος ἔδωκεν, ὁ Κύριος ἀφείλετο· ὡς τῷ Κυρίῳ ἔδοξεν, οὕτως ἐγένετο· εὐλογεῖ δὲ μετὰ πίστεως καὶ εὐλαβείας τὸν Θεόν· Εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον.

Μαρτυρεῖ ἡ περὶ τοῦ Μωϋσέως ἱστορία τὴν ἐπιμονὴν αὐτοῦ εἰς τὴν ἀρετήν. Οὐδὲ ὁ φόβος τοῦ Βασιλέως Φαραὼ, οὐδὲ ἡ τεσσαρακονταετὴς περιήγησις ἐν γῇ ἐρήμῳ καὶ ἀνύδρῳ, οὐδὲ ἡ ἐν αὐτῇ πεῖνα καὶ ἡ δίψα, οὐδὲ οἱ ἀπροσδόκητοι τῶν ἐχθρῶν πόλεμοι, οὐδὲ αἱ πυκναὶ τοῦ λαοῦ αὐτοῦ ἐπαναστάσεις B'. Μακκ. ϛ'. 19.
ἐσάλευσαν τὸ ἐπίμονον καὶ στερέμνιον
τῆς ψυχῆς αὐτοῦ. Μαρτυρεῖ τὴν ἐπιμο- Δ'. Βασ. β'. 23.
νὴν εἰς τὰ καλὰ ἔργα ὁ Ἐλεάζαρ τυμ- Ἱερ. κ'. 2.
πανιζόμενος, ὁ Ἐλισσαῖος περιπαιζόμε-
νος, ὁ Ἱερεμίας τυπτόμενος καὶ φυλακι- Γ'. Βασ. κβ'. 24.
ζόμενος, ὁ Μιχαίας ῥαπιζόμενος καὶ B'. Παραλ. κδ'. 21.
καθειργνύμενος, ὁ Ζαχαρίας ὁ καὶ Ἀ-
ζαρίας λιθαζόμενος, ὁ Ἡσαΐας πριονι- Ὠριγ. ἐν τῆς πρὸς Ἀφρικ. ἐπιστ.
ζόμενος, πάντες οἱ ἐν νόμῳ δίκαιοι, οἵ-
τινες ἐπέμενον εἰς τὸν προκείμενον αὐ-
τοῖς ἀγῶνα, ὑστερούμενοι, θλιβό- Ἑβρ. ια'. 37, 38.
μενοι, κακουχούμενοι· ἐν ἐρημίαις πλανώμενοι, καὶ ὄρεσι, καὶ σπηλαίοις, καὶ ταῖς ὀπαῖς τῆς γῆς· ὁμοίως καὶ πάντες οἱ μετὰ τὴν εὐαγγελικὴν χάριν ἅγιοι, οἵτινες ἐπέμειναν εἰς
τὸν προκείμενον ἀγῶνα, πεινῶντες, δι- Α'. Κορ. δ'. 11.
ψῶντες, γυμνητεύοντες, κολαφιζόμενοι, ἀ-
στατοῦντες, κοπιῶντες, ἐργαζόμενοι Αὐτ. 12.
ταῖς ἰδίαις χερσὶ, λοιδορούμενοι,
διωκόμενοι, βλασφημούμενοι, ὡς Αὐτ. 13.
περικαθάρματα, καὶ περίψημα πάντων λογιζόμενοι. Μαρτυροῦσιν οἱ ἅγιοι Μάρτυρες περὶ τῆς εἰς τὴν ἀρετὴν ἐπιμονῆς· τούτους οὐδὲ τὸ πῦρ, οὐδὲ τὰ ἀρθρέμβολα, οὐδὲ αἱ σοῦβλαι, οὐδὲ τὰ τήγανα, οὐδὲ αἱ ἐκδάρσεις τοῦ δέρματος, οὐδὲ αἱ ἐκριζώσεις τῶν ὀδόντων καὶ ὀνύχων, οὐδὲ τῶν ὀμμάτων αἱ ἐξορύξεις, οὐδὲ τὰ ἄλλα ὀδυνηρότατα βασανιστήρια, ὅσα ἐφεύρηκεν ἡ ἀσπλαγχνία τῶν ὠμοτάτων τυράννων, ἐδυνήθησαν νὰ σαλεύσωσιν αὐτοὺς ὁλοτελῶς ἀπὸ τοῦ προκειμένου ἀγῶνος. Τοιαύτη ἐπιμονὴ καὶ σταθερότης ἀναγκαία ἐστὶν εἰς τὸν δρόμον τῆς σωτηρίας.

Τί οὖν ἐλπίζομεν ἡμεῖς, γυμνοὶ ὄντες τῆς εἰς τὰ καλὰ ἔργα ἐπιμονῆς; Ἡμεῖς σήμερον νηστεύομεν, καὶ αὔριον ὑπερκόρως χορταζόμεθα, καὶ ἄχρι μέθης πίνομεν, καὶ κραιπαλῶμεν· σήμερον

προ-

προσευχόμεθα, καὶ μετὰ τρεῖς ἡμέρας,
ἢ τέσσαρας μόλις ἐνθυμούμεθα τῆς προ-
σευχῆς τὸ ἔργον· σήμερον σωφρονοῦμεν,
καὶ ἄυριον ἀσελγοῦμεν· σήμερον ἐλεοῦ-
μεν τὸν πτωχὸν, καὶ ἄυριον ἀποστρέφο-
μεν τὸ πρόσωπον ἡμῶν ἀπ᾿ αὐτοῦ· σή-
μερον περιπατοῦμεν τῆς ἀρετῆς τὸν δρό-
μον, ἄυριον, διὰ ἕνα μικρότατον πειρα-
σμὸν, στρέφομεν εἰς τὰ ὀπίσω.

Ἡ ἁμαρτία ἐστὶν εὐπερίστατος· ὅ-
που καὶ ἂν σταθῇς, καὶ ὅπου καὶ ἂν
στρέψῃς τὰ ὄμματα, ἐκεῖ βλέπεις ἁμαρ-
τίας ἀφορμήν· πᾶσα ὑπόθεσις καὶ πᾶν
ἔργον περικεκυκλωμένον ἐστὶν ὑπὸ τῶν
περιστάσεων τῆς ἁμαρτίας. Καὶ οἱ μὲν
ἅγιοι ἄνθρωποι, ἐπειδὴ εἶχον τὴν ἀρε-
Ῥωμ. ή. τὴν τῆς ἐπιμονῆς, οὐδὲ θλίψις, οὐδὲ
35, 38. στενοχωρία, οὐδὲ διωγμὸς, οὐδὲ
λιμὸς, οὐδὲ γυμνότης, οὐδὲ κίνδυ-
νος, οὐδὲ μάχαιρα, οὐδὲ θάνατος,
οὐδὲ ζωὴ, οὐδὲ Ἄγγελοι, οὐδὲ Δαίμο-
νες, οὐδὲ ἄλλη τίς ὁποιαδήποτε περί-
Αυτ. 37. στασις ἐσάλευεν αὐτοὺς ἀπὸ τοῦ ἀγῶ-
νος τῆς ἀρετῆς, ἀλλ᾿ ἐν πᾶσι τούτοις ἐ-
νίκων διὰ τῆς χάριτος τοῦ ἀγαπήσαν-
τος αὐτούς· ἡμεῖς δὲ οἱ ἄθλιοι, ἐστερη-
μένοι ὄντες τοῦ χαρίσματος τῆς ἐπιμο-
νῆς, καὶ μηδόλως περὶ τῆς κτήσεως αὐ-
τοῦ φροντίζοντες, διὰ μικρὰν θλίψιν, ἢ
διὰ ὀλίγην στενοχωρίαν, ἢ διὰ εὐκατα-
φρόνητον πειρασμὸν, φεύγομεν εὐθὺς ἀπὸ
τοῦ σταδίου τῶν ἀρετῶν, ἐκκλίνομεν εὐ-
θὺς ἀπὸ τοῦ δρόμου τῆς ἀρετῆς, καὶ
κατακρημνιζόμεθα εἰς τῆς ἁμαρτίας τοὺς
χάνδακας.

Ἐκεῖνοι ἦσαν, λέγετε, ἄνθρωποι ἐκ-
λεκτοὶ, ἐκεῖνοι εἶχον χάριν Θεοῦ κατ᾿ ἐ-
ξοχὴν, καὶ διὰ τοῦτο, ἐπιμείναντες ἕως
τέλους εἰς τῆς ἀρετῆς τὸν ἀγῶνα, εὐη-
ρέστησαν τῷ Θεῷ. Ἀδελφοὶ, μὴ πλανῶ-
μεν ἑαυτούς· ἐκεῖνοι ἦσαν ἄνθρωποι ὥ-
σπερ καὶ ἡμεῖς, τὴν αὐτὴν εἶχον φύσιν,
τὰς αὐτὰς ἀδυναμίας, τὰ αὐτὰ πάθη,
τοὺς αὐτοὺς, μᾶλλον δὲ καὶ πολλῷ πε-
ρισσοτέρους πειρασμούς· ἐκεῖνοι ἦσαν
ἄνθρωποι ἐκλεκτοὶ, ἀλλὰ καὶ ἡμεῖς ἐ-
πίσης ἐσμὲν ἐκλεκτοί· ὁ λόγος τοῦ Κυ-
ρίου, ἐγὼ ἐξελεξάμην ὑμᾶς ἐκ τοῦ
κόσμου, οὐ μόνον περὶ ἐκείνων ἐῤῥέ-
θη, ἀλλὰ καὶ περὶ πάντων τῶν διὰ Ἰωάν. ιέ. 19.
τοῦ λόγου αὐτῶν πιστευσάντων εἰς τὸν
Ἰησοῦν Χριστόν· διὰ τοῦτο καὶ ὁ μακά- Ἀυτ. ιζ. 20.
ριος Πέτρος ἐκλεκτὸν ὠνόμασε τῶν Χρι- Α΄. Πέτ.
στιανῶν τὸ γένος· Ὑμεῖς δὲ, γένος β΄. 9.
ἐκλεκτὸν, βασίλειον ἱεράτευμα,
ἔθνος ἅγιον, λαὸς εἰς περιποίη-
σιν. Ἐὰν ἐκεῖνοι εἶχον χάριν Θεοῦ κατ᾿
ἐξοχὴν, τὴν αὐτὴν χάριν, ἐὰν θέλωμεν,
ἔχομεν καὶ ἡμεῖς, διότι Ἰησοῦς Χρι- Ἑβρ. ιγ΄ 8.
στὸς χθὲς καὶ σήμερον ὁ αὐτὸς,
καὶ εἰς τοὺς αἰῶνας. Ὁ Θεὸς οὐκ
ἔστι προσωπολήπτης, ἐπίσης πάντας ἀ-
γαπᾷ, ἐπίσης εἰς πάντας δωρεῖται τὴν
χάριν· Δόξα καὶ τιμὴ καὶ εἰρήνη Ῥωμ. β 10. 11,
παντὶ τῷ ἐργαζομένῳ τὸ ἀγα-
θὸν, Ἰουδαίῳ τε πρῶτον, καὶ Ἕλ-
ληνι· οὐ γάρ ἐστι προσωποληψία
παρὰ τῷ Θεῷ.

Ἡ ἐπιμονὴ, λέγεις, εἰς τὴν ἀρετὴν
ἀπ᾿ ἀρχῆς τῆς ζωῆς ἕως θανάτου ἐστὶ
κατόρθωμα δύσκολον. Ἀληθῶς δύσκο-
λον· διὰ τοῦτο δὲ ὁ νομίμως ἀθλήσας
στεφανοῦται· διὰ τοῦτο οἱ νικηταὶ λαμ- Β΄. Τιμ. β΄. 5.
βάνουσι στέφανον ἄφθαρτον, καὶ δόξαν
ἀμάραντον, καὶ βασιλείαν αἰώνιον. Ἀλ-
λὰ τίς δύναται, εἰς ὅλον τὸ διάστημα
τῆς ζωῆς αὐτοῦ, ἀναμέσον τοσούτων μα-
ταιοτήτων τοῦ κόσμου, καὶ τοσούτου πυ-
ρὸς τῆς σαρκὸς, καὶ τοσούτων παγίδων
καὶ βελῶν τοῦ Διαβόλου, νὰ φυλάξῃ
τὸν αὐτὸν τόνον εἰς τὴν ψυχὴν, καὶ τὴν
αὐτὴν προθυμίαν εἰς τὴν καρδίαν, καὶ
νὰ μείνῃ ἄτρωτος, καὶ ἀναμάρτητος;
Τίς δύναται; Δύναται ὅστις θέλει, οὐ-

χὶ

χὶ ἰδίᾳ, ἀλλὰ θείᾳ δυνάμει, ἥτις πλουσία καὶ δαψιλὴς δίδοται εἰς τοὺς τοιούτους ἀγωνιστάς· κἂν δὲ τραυματισθῇ ὁ ἀγωνιζόμενος, ἐὰν μὴ ἐκκλίνῃ ἀπὸ τῆς ὁδοῦ, ἀλλὰ θεραπεύσας τὴν πληγὴν αὐτοῦ, ἐπιμείνῃ εἰς τὴν ὁδὸν τῆς ἀρετῆς, πάλιν τρέχει, καὶ ἀγωνίζεται τὸν καλὸν ἀγῶνα, καὶ λαμβάνει τὸν αὐτὸν τῆς νίκης στέφανον.

Εἰς τοῦ κοσμικοῦ πολέμου τὸ στάδιον τραυματίζονται πολλάκις οἱ στρατιῶται· καὶ οἱ μὲν ἐπίμονοι, συνδέοντες, καὶ θεραπεύοντες τὰς αὐτῶν πληγάς, πάλιν ἵστανται εἰς τὸ στάδιον, πολεμοῦσι καθὼς καὶ πρότερον, καὶ στεφανοῦνται· οἱ δὲ ἀνεπίμονοι, ὅταν τραυματισθῶσιν, ἐγκαταλείπουσιν εὐθὺς τὸ στρατόπεδον, καὶ, φεύγοντες, ἐκπίπτουσι τῆς στρατιωτικῆς τάξεως καὶ τῶν τῆς νίκης βραβείων. Τοῦτο βλέπομεν καὶ εἰς τοὺς πνευματικοὺς ἀγῶνας· ἄλλοι μὲν τῶν τοῦ Χριστοῦ στρατιωτῶν, τραυματιζόμενοι, θεραπεύουσι τὰς πληγὰς αὐτῶν, καὶ πάλιν ἐπιμένουσιν εἰς τὸν αὐτὸν ἀγῶνα, ἄλλοι δὲ μετὰ τὸ τραῦμα φεύγουσι, καὶ ἀπολοῦνται.

Δύω ἄνδρες γίνονται στρατιῶται τοῦ Ἰησοῦ Χριστοῦ, ὁ Πέτρος, καὶ ὁ Ἰούδας· καὶ οἱ δύω, ἀκολουθοῦντες αὐτῷ, ἀκούουσι τὴν οὐράνιον αὐτοῦ διδασκαλίαν, βλέπουσι τὰ θαύματα, ἀξιοῦνται τῆς ἀποστολικῆς χάριτος, τρέχουσι τὸν αὐτὸν τῆς σωτηρίας δρόμον. Τοῦ Πέτρου τραυματίζει τὴν ψυχὴν ἡ ἄρνησις, τοῦ
Ματ. κς'. 75. Ἰούδα ἡ προδοσία· ἀλλ' ὁ Πέτρος πλύνει τὴν πληγὴν αὐτοῦ διὰ τῶν πικρῶν δακρύων, καὶ βάλλει ἐπάνω εἰς αὐτὴν τῆς μετανοίας τὸ βάλσαμον· ὅθεν πάλιν ἐπιστηρίζεται, πάλιν μετὰ προθυμίας τρέχει τὸν αὐτὸν δρόμον, καὶ ἄξιος κρίνεται τῆς ἀποστολικῆς χάριτος, καὶ τῆς ἐπουρανίου βασιλείας· ὁ Ἰούδας φεύγει ἀπὸ τοῦ χοροῦ τῶν Ἀποστόλων, ῥίπτει τὰ τριάκοντα ἀργύρια
ἐν τῷ Ναῷ, ἀπελπίζεται· Καὶ ἀπελ- Ματ. κζ'. 5.
θὼν ἀπήγξατο. Βλέπε καὶ τὸν προφητάνακτα Δαβίδ. Αὐτὸς ἀνέβη εἰς τὸν κορυφαῖον βαθμὸν τῆς τῶν ἀρετῶν κλίμακος· ἔπεσεν ὅμως ἐκεῖθεν πτῶμα ἐλεεινόν, ἀλλὰ πάλιν ἀνέστη τοῦ πτώματος· ἐσαλεύθη, ἀλλὰ πάλιν ἐστηρίχθη· ἐτραυματίσθη, ἀλλὰ πάλιν ἰατρεύθη· ἥμαρτεν, ἀλλὰ πάλιν ἐδικαιώθη, ἔστησε πάλιν τοὺς πόδας αὐτοῦ ἐπὶ τὴν πέτραν τῶν ἐντολῶν τοῦ Κυρίου, καὶ ἀνέβη ἐπὶ τὰ ὑψηλὰ τῆς ἀρετῆς ὄρη.

Ἐὰν οὖν, τρέχων τὸ πνευματικὸν στάδιον, ὀλισθήσῃς, στήριξον εὐθὺς ἐπὶ τὴν πέτραν τῆς ἐπιμονῆς τοὺς πόδας σου· ἐὰν πέσῃς, ἀνάστα πάλιν εὐθύς, καὶ περιπάτει· ἐὰν τραυματισθῇς, βάλε εὐθὺς εἰς τὴν πληγήν σου τῆς μετανοίας τὸ ἔμπλαστρον· μὴ μαράνῃ τῆς καρδίας σου τὴν προθυμίαν ἡ ἁμαρτία, μὴ νεκρώσῃ τῆς διανοίας σου τὸν τόνον ἡ πληγή· μὴ σβέσῃς τὴν ἀγάπην τοῦ Θεοῦ, τὴν ἐκχυθεῖσαν ἐν τῇ καρδίᾳ σου, μὴ φύγῃς ἀπὸ τῆς ἀρετῆς τὸν δρόμον, ἐπίμεινον ἐν αὐτῷ στερεός, ἀνδρίζου καὶ πολέμει τοὺς τραυματίσαντάς σε, ἐργάζου πάλιν τῆς ἀρετῆς τὰ κατορθώματα· διότι, ἐὰν μὴ ἐπιμεληθῇς εὐθὺς τὴν ἰατρείαν τῆς ψυχῆς σου, καὶ μὴ ἐπιμείνῃς εἰς τὴν ἐργασίαν τῶν καλῶν ἔργων, τότε, συνήθειαν λαβοῦσα ἡ ἁμαρτία, ἕλκει σε εἰς παντελῆ ἀπώλειαν, τότε μένεις ἀπηλπισμένος τῆς σωτηρίας· ἐὰν δὲ ἀναστηθῇς εὐθύς, καὶ ἀκολουθήσῃς πάλιν τῆς ἀρετῆς τὰ ἔργα, ὁ αὐτὸς πάλιν στέφανος ἀπόκειταί σοι, πάλιν λέ-
γεις καὶ σὺ μετὰ τοῦ Παύλου· Τὸν ἀ- Β'. Τιμ. δ'. 7, 8.
γῶνα τὸν καλὸν ἠγώνισμαι, τὸν δρόμον τετέλεκα, τὴν πίστιν τετήρηκα· λοιπὸν ἀπόκειταί μοι ὁ τῆς δικαιοσύνης στέφανος· διότι

τοῦ-

τοῦτον τὸν στέφανον λαμβάνει οὐ μόνον ὁ Παῦλος, ἀλλὰ καὶ πάντες οἱ ἀγαπήσαντες τὴν δευτέραν τοῦ Κυρίου παρουσίαν. Ἀνάβαινε οὖν διὰ τῆς ἱερᾶς κλίμακος εἰς τῆς ἀρετῆς τὸ ὕψος, καὶ ἐπίμενε ἀναβαίνων ἕως τέλους ζωῆς σου· διότι ὁ ὑπομείνας εἰς τέλος, οὗτος σωθήσεται· ἐπίμενον, καὶ κράτει ὃ ἔχεις, ἵνα μηδεὶς λάβῃ τὸν στέφανόν σου. Ματ. ι. 22. Ἀποκ. γ. 11.

---

# ΠΙΝΑΞ

*Τῶν τε Ἑρμηνειῶν, καὶ Ὁμιλιῶν, τῶν ἐν τῷ Παρόντι τόμῳ Περιεχομένων.*


Ἑρμηνεία εἰς τὸ κατὰ Ἰωάννην Εὐαγγέλιον τῆς Κυριακῆς τοῦ Πάσχα. Σελ. 1
Ὁμιλία μετὰ τὸ ῥηθὲν Εὐαγγέλιον. Περὶ Ἑορτῆς . . . . . . „ 17
Ἑρμηνεία εἰς τὸ κατὰ Ἰωάννην Εὐαγγέλιον τῆς Κυριακῆς τοῦ Ἀντιπάσχα . . . . . . . . . . . . . . . . „ 20
Ὁμιλία μετὰ τὸ ῥηθὲν Εὐαγγέλιον. Περὶ Πίστεως. . . . . . „ 29
Ἑρμηνεία εἰς τὸ κατὰ Μάρκον Εὐαγγέλιον τῆς Κυριακῆς τῶν Μυροφόρων . . . . . . . . . . . . . . . . . „ 31
Ὁμιλία μετὰ τὸ ῥηθὲν Εὐαγγέλιον. Περὶ Μεγαλοψυχίας . . . . „ 40
Ἑρμηνεία εἰς τὸ κατὰ Ἰωάννην Εὐαγγέλιον τῆς Κυριακῆς τοῦ Παραλύτου. „ 44
Ὁμιλία μετὰ τὸ ῥηθὲν Εὐαγγέλιον. Περὶ Ἁμαρτίας . . . . „ 50
Ἑρμηνεία εἰς τὸ κατὰ Ἰωάννην Εὐαγγέλιον τῆς Κυριακῆς τῆς Σαμαρείτιδος. „ 55
Ὁμιλία μετὰ τὸ ῥηθὲν Εὐαγγέλιον. Περὶ Προορισμοῦ . . . . „ 69
Ἑρμηνεία εἰς τὸ κατὰ Ἰωάννην Εὐαγγέλιον τῆς Κυριακῆς τοῦ Τυφλοῦ. „ 74
Ὁμιλία μετὰ τὸ ῥηθὲν Εὐαγγέλιον. Περὶ προσκαίρου τῶν ἁμαρτωλῶν τιμωρίας . . . . . . . . . . . . . „ 87
Ἑρμηνεία εἰς τὸ κατὰ Ἰωάννην Εὐαγγέλιον τῆς Κυριακῆς τῶν Ἁγίων Πατέρων τῆς Α΄. Συνόδου . . . . . . . . . . „ 91
Ὁμιλία μετὰ τὸ ῥηθὲν Εὐαγγέλιον. Περὶ Προσευχῆς . . . . „ 102
Ἑρμηνεία εἰς τὸ κατὰ Ἰωάννην Εὐαγγέλιον τῆς Κυριακῆς τῆς Ἁγίας Πεντηκοστῆς . . . . . . . . . . . . . . . „ 107
Ὁμιλία μετὰ τὸ ῥηθὲν Εὐαγγέλιον. Περὶ Παθῶν δεσποτείας . „ 116
Ἑρμηνεία εἰς τὸ κατὰ Ματθαῖον Εὐαγγέλιον τῆς Α΄. Κυριακῆς. . „ 122
Ὁμιλία μετὰ τὸ ῥηθὲν Εὐαγγέλιον. Περὶ Ἀρετῆς . . . . . . „ 129
Ἑρμηνεία εἰς τὸ κατὰ Ματθαῖον Εὐαγγέλιον τῆς Β΄. Κυριακῆς. . „ 136
Ὁμιλία μετὰ τὸ ῥηθὲν Εὐαγγέλιον, κατὰ τῶν μὴ μεριμνώντων περὶ τῆς ψυχῆς . . . . . . . . . . . . . . . . „ 141
Ἑρμηνεία εἰς τὸ κατὰ Ματθαῖον Εὐαγγέλιον τῆς Γ΄. Κυριακῆς. . „ 147
Ὁμιλία μετὰ τὸ ῥηθὲν Εὐαγγέλιον. Περὶ Φιλαργυρίας. . . . „ 155
Ἑρμηνεία εἰς τὸ κατὰ Ματθαῖον Εὐαγγέλιον τῆς Δ΄. Κυριακῆς. . „ 160

Ὁμιλία μετὰ τὸ ῥηθὲν Εὐαγγέλιον. Περὶ τῆς Θείας Μεταλήψεως. „ 165
Ἑρμηνεία εἰς τὸ κατὰ Ματθαῖον Εὐαγγέλιον τῆς Ε΄. Κυριακῆς. „ 173
Ὁμιλία μετὰ τὸ ῥηθὲν Εὐαγγέλιον. Περὶ τοῦ μὴ ζητεῖν ἀνταπόδοσιν παρὰ τῶν εὐεργετηθέντων . . . . . . . . . „ 178
Ἑρμηνεία εἰς τὸ κατὰ Ματθαῖον Εὐαγγέλιον τῆς ς΄. Κυριακῆς . „ 183
Ὁμιλία μετὰ τὸ ῥηθὲν Εὐαγγέλιον. Κατὰ τοῦ Ψεύδους . . . „ 187
Ἑρμηνεία εἰς τὸ κατὰ Ματθαῖον Εὐαγγέλιον τῆς Ζ΄. Κυριακῆς. . „ 193
Ὁμιλία μετὰ τὸ ῥηθὲν Εὐαγγέλιον. Κατὰ τῆς Κενοδοξίας . . . „ 198
Ἑρμηνεία εἰς τὸ κατὰ Ματθαῖον Εὐαγγέλιον τῆς Η΄. Κυριακῆς. . „ 203
Ὁμιλία μετὰ τὸ ῥηθὲν Εὐαγγέλιον. Περὶ Ἐλπίδος. . . . . „ 208
Ἑρμηνεία εἰς τὸ κατὰ Ματθαῖον Εὐαγγέλιον τῆς Θ΄. Κυριακῆς. . „ 212
Ὁμιλία μετὰ τὸ ῥηθὲν Εὐαγγέλιον. Περὶ Ὀλιγοπιστίας . . . „ 218
Ἑρμηνεία εἰς τὸ κατὰ Ματθαῖον Εὐαγγέλιον τῆς Ι΄. Κυριακῆς. . „ 222
Ὁμιλία μετὰ τὸ ῥηθὲν Εὐαγγέλιον. Περὶ τῶν πειρασμῶν τοῦ Διαβόλου, καὶ τῶν κατ᾽ αὐτοῦ ὅπλων. . . . . . . . „ 227
Ἑρμηνεία εἰς τὸ κατὰ Ματθαῖον Εὐαγγέλιον τῆς ΙΑ΄. Κυριακῆς . „ 231
Ὁμιλία μετὰ τὸ ῥηθὲν Εὐαγγέλιον. Περὶ Μνησικακίας. . . . „ 237
Ἑρμηνεία εἰς τὸ κατὰ Ματθαῖον Εὐαγγέλιον τῆς ΙΒ΄. Κυριακῆς . „ 242
Ὁμιλία μετὰ τὸ ῥηθὲν Εὐαγγέλιον. Περὶ τοῦ ὅτι οὐχ ὁ πλοῦτος, ἀλλ᾽ ἡ τούτου χρῆσις σώζει, ἢ κολάζει τὸν ἄνθρωπον . . „ 247
Ἑρμηνεία εἰς τὸ κατὰ Ματθαῖον Εὐαγγέλιον τῆς ΙΓ΄. Κυριακῆς . „ 251
Ὁμιλία μετὰ τὸ ῥηθὲν Εὐαγγέλιον. Περὶ Θείας Μακροθυμίας. . „ 256
Ἑρμηνεία εἰς τὸ κατὰ Ματθαῖον Εὐαγγέλιον τῆς ΙΔ΄. Κυριακῆς. „ 260
Ὁμιλία μετὰ τὸ ῥηθὲν Εὐαγγέλιον. Περὶ τῆς αἰωνίου Κολάσεως. „ 267
Ἑρμηνεία εἰς τὸ κατὰ Ματθαῖον Εὐαγγέλιον τῆς ΙΕ΄. Κυριακῆς . „ 271
Ὁμιλία μετὰ τὸ ῥηθὲν Εὐαγγέλιον. Περὶ Ἀγάπης. . . . . „ 275
Ἑρμηνεία εἰς τὸ κατὰ Ματθαῖον Εὐαγγέλιον τῆς Ις΄. Κυριακῆς . „ 279
Ὁμιλία μετὰ τὸ ῥηθὲν Εὐαγγέλιον. Περὶ τοῦ ὅτι οὐδεὶς ἐστιν ὁ μὴ ἔχων τάλαντον. . . . . . . . . . . . . „ 285
Ἑρμηνεία εἰς τὸ κατὰ Ματθαῖον Εὐαγγέλιον τῆς ΙΖ΄. Κυριακῆς . „ 289
Ὁμιλία μετὰ τὸ ῥηθὲν Εὐαγγέλιον. Περὶ τῆς εἰς τὰ καλὰ ἔργα ἐπιμονῆς . . . . . . . . . . . . . . . . „ 293

ΤΕΛΟΣ ΤΟΥ Α΄. ΤΟΜΟΥ.

# ΠΙΝΑΞ

*Τῶν ἐν τε τῷ πρώτῳ καὶ δευτέρῳ τόμῳ Περιεχομένων τῆς παλαιᾶς καὶ νέας γραφῆς ῥήσεων, τῶν μὴ καθ᾽ αὐτὸ διερμηνευομένων.*

## ΓΕΝΕΣΙΣ.


| Κεφ. | Στίχ. | | Α'. Σελ. | Β'. Σελ. |
|---|---|---|---|---|
| Α'. | 2 | Πνεῦμα Θεοῦ ἐπεφέρετο . . . . . . . | | 318 |
| | 3 | Γεννηθήτω φῶς . . . . . . . . . . . . | 2, 4, 165, 194 | 140 |
| | 5 | Καὶ ἐγένετο ἑσπέρα . . . . . . . . | 1 | |
| | 6 | Γεννηθήτω στερέωμα . . . . . . . . . | 4, 48, 165 | |
| | 26 | Ποιήσωμεν ἄνθρωπον κατ᾽ εἰκόνα ἡμετέραν . | 97 | |
| | 28 | Καὶ εὐλόγησεν αὐτοὺς ὁ Θεός . . . . . . | | 228 |
| | 31 | Καὶ εἶδεν ὁ Θεὸς τὰ πάντα ὅσα ἐποίησε . . | 251 | |
| Β'. | 2 | Καὶ κατέπαυσε τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ . . . | | 294 |
| | 7 | Καὶ ἐνεφύσησεν ὁ Θεός . . . . . . . . | 6, 13, 23 | 228 |
| | 8 | Κατὰ ἀνατολάς . . . . . . . . . . . | | 320 |
| | 15 | Καὶ ἔλαβε Κύριος ὁ Θεός . . . . . . . | 150 | |
| | 16 | Καὶ ἐνετείλατο Κύριος ὁ Θεός . . . . . | | 195 |
| | 17 | Ἧ δ᾽ ἂν ἡμέρᾳ φάγητε . . . . . . . . | 23, 219 | 107, 103, -- |
| Γ'. | 4 | Οὐ θανάτῳ ἀποθανεῖσθε . . . . . . . | -- | 103 |
| | 5 | Ἤδει γὰρ ὁ Θεός . . . . . . . . . . | | 194 |
| | 6 | Καὶ λαβοῦσα ἡ Εὔα ἀπὸ τοῦ καρποῦ . . | | 195 |
| | 14 | Ἐπικατάρατος σύ . . . . . . . . . . | | 143 |
| | 16 | Πληθύνων πληθυνῶ . . . . . . . . . | | 298 |
| | 17 | Ἐπικατάρατος ἡ γῆ ἐν τοῖς ἔργοις σου . . . | 208 | -- |
| | 19 | Ἐν ἱδρῶτι τοῦ προσώπου σου . . . . . | 150, -- | 30, 74 |
| Δ'. | 4 | Ἀπὸ τῶν πρωτοτόκων τῶν προβάτων αὐτοῦ . | 103 | 126 |
| | 11 | Ἐπικατάρατος σύ . . . . . . . . . . | | 86 |
| | 12 | Στένων καὶ τρέμων ἔσῃ ἐπὶ τῆς γῆς . . . | | -- |
| | 15 | Καὶ ἔθετο Κύριος ὁ Θεὸς σημεῖον τῷ Κάϊν . | | -- |
| Ε'. | 1 | Αὕτη ἡ Βίβλος γενέσεως ἀνθρώπων . . . | | 289 |
| ΣΤ'. | 2 | Ἰδόντες δὲ οἱ υἱοὶ τοῦ Θεοῦ . . . . . . | | 272 |
| | 3 | Διὰ τὸ εἶναι αὐτοὺς σάρκας . . . . . | | -- |
| | 7 | Καὶ εἶπεν ὁ Θεός· Ἀπαλείψω . . . . . . | | 90 |
| | 8 | Εὗρε χάριν ἐναντίον Κυρίου . . . . . . | | 126 |
| | 13 | Καὶ εἶπε Κύριος ὁ Θεὸς τῷ Νῶε . . . . | | 91, 272 |
| Η'. | 7 | Καὶ ἐξελθὼν οὐκ ἀνέστρεψε . . . . . . | 81, 274 | 297 |
| | 20 | Ἀπὸ πάντων τῶν κτηνῶν τῶν καθαρῶν . . | 103 | 126 |
| | 21 | Ἔγκειται ἐπιμελῶς ἐπὶ τὰ πονηρά . . . | 54 | 165, 223, 272 |
| Θ'. | 1 | Καὶ εὐλόγησεν ὁ Θεὸς τὸν Νῶε . . . . | | 126 |
| | 13 | Τὸ τόξον μου τίθημι ἐν τῇ νεφέλῃ . . . | | 318 |
| ΙΒ'. | 1 | Ἔξελθε ἐκ τῆς γῆς σου . . . . . . . . | 262 | 7, 229 |
| | 2 | Καὶ ποιήσω σε εἰς ἔθνος μέγα . . . . | -- | |
| | 3 | Καὶ εὐλογήσω τοὺς εὐλογοῦντάς σε κ. τ. λ. . | | 290 |

| Κεφ. | Στίχ. | | Α'. Σελ. | Β'. Σελ. |
|---|---|---|---|---|
| ΙΓ'. | 2 | Ἄβραμ δὲ ἦν πλούσιος σφόδρα | 250 | 7 |
| | 9 | Εἰ σὺ εἰς ἀριστερὰ, ἐγὼ εἰς δεξιά | | 230 |
| | 16 | Καὶ ποιήσω τὸ σπέρμα σου | | 126 |
| ΙΔ'. | 15 | Καὶ κατεδίωξεν αὐτοὺς ἕως Χοβά | | 7 |
| | 16 | Καὶ ἀπέστρεψε πᾶσαν τὴν ἵππον | | - |
| | 21 | Εἶπε δὲ Βασιλεὺς Σοδόμων | | 230 |
| | 22 | Εἶπε δὲ Ἄβραμ πρὸς τὸν Βασιλέα Σοδόμων | | -- |
| | 23 | Ἀπὸ σπαρτίου ἕως σφαιρωτῆρος | 250 | -- |
| ΙΕ'. | 5 | Ἀρίθμησον τοὺς ἀστέρας | | 7 |
| | 6 | Ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην | 250 | |
| ΙΖ'. | 10 | Καὶ αὕτη ἡ διαθήκη | | 196 |
| | 19 | Ἰδοὺ Σάῤῥα ἡ γυνή σου | | 7 |
| ΙΗ'. | 3 | Κύριε εἰ ἄρα εὗρον χάριν | | 230 |
| | 17 | Ὁ δὲ Κύριος εἶπε, Μὴ κρύψω | | 91 |
| | 27 | Ἐγὼ δὲ εἰμὶ γῆ καὶ σποδός | | 230, 248 |
| | 32 | Ἐὰν εὑρεθῶσιν ἐκεῖ δέκα, οὐ μὴ ἀπολέσω | 72 | 91 |
| Κ'. | 12 | Ἐκ πατρὸς, ἀλλ' οὐκ ἐκ μητρός | 191 | |
| ΚΑ'. | 19 | Καὶ εἶδε φρέαρ ὕδατος ζῶντος | 59 | |
| ΚΒ'. | 12 | Νῦν γὰρ ἔγνων, ὅτι φοβῇ σὺ τὸν Θεόν | | 339 |
| | 13 | Ἐν φυτῷ Σαβέκ | | 326 |
| ΚΕ'. | 8 | Ἐν γήρᾳ καλῷ | | 101 |
| | 27 | Ἄγροικος | | 274 |
| | 28 | Ἠγάπησε δὲ Ἰσαὰκ τὸν Ἡσαῦ | | -- |
| ΚΣΤ'. | 12 | Ἔσπειρε δὲ Ἰσαὰκ ἐν τῇ γῇ ἐκείνῃ | | 33 |
| | 19 | Καὶ εὗρον ἐκεῖ φρέαρ | 59 | |
| | 24 | Καὶ εὐλογήσω σε, καὶ πληθυνῶ τὸ σπέρμα σου | | 126 |
| | 25 | Ἐν τῇ φάραγγι Γεράρων | | -- |
| ΚΗ'. | 12 | Ἐστηριγμένη ἐν τῇ γῇ | 293 | |
| | 15 | Ἰδοὺ ἐγὼ εἰμὶ μετὰ σοῦ | | 126 |
| | 17 | Ὡς φοβερὸς ὁ τόπος οὗτος | | 107 |
| | 18 | Ἔστησε στήλην | 103 | |
| | 20 | Καὶ ηὔξατο εὐχὴν | -- | |
| ΛΒ'. | 10 | Ἱκανούσθω μοι ἀπὸ πάσης δικαιοσύνης | | 7 |
| ΛΓ'. | 11 | Λάβε τὰς εὐλογίας μου | | 164 |
| | 19 | Ἐκτήσατο τὴν μερίδα | | 126 |
| | 20 | Καὶ ἐπεκαλέσατο τὸν Θεὸν | | -- |
| ΛΕ'. | 1 | Εἶπε δὲ ὁ Θεὸς πρὸς Ἰακώβ | | 127 |
| ΛΘ'. | 3 | Ἤδει δὲ ὁ Κύριος αὐτοῦ | 130 | |
| | 6 | Καὶ ἐπέστρεψε πάντα ὅσα ἦν αὐτῷ | 129 | |
| | 7 | Κοιμήθητι μετ' ἐμοῦ | 219 | |
| | 9 | Καὶ πῶς ποιήσω τὸ ῥῆμα τὸ πονηρὸν τοῦτο | -- | 110 |
| | 22 | Καὶ ἔδωκεν ὁ Ἀρχιδεσμοφύλαξ | 130 | |
| | 23 | Οὐκ ἦν ὁ Ἀρχιδεσμοφύλαξ | -- | |
| Μ'. | 8 | Οὐχὶ διὰ τοῦ Θεοῦ | 6 | |
| ΜΑ'. | 41 | Εἶπε δὲ Φαραὼ τῷ Ἰωσὴφ | 130 | |
| ΜΗ'. | 21 | Ἰδοὺ ἐγὼ ἀποθνήσκω | | 101 |

| Κεφ. | Στίχ. | | Α'. Σελ. | Β'. Σελ. |
|---|---|---|---|---|
| ΜΘ'. | 9 | Σκύμνος λέοντος Ἰούδα | | 290 |
| | 10 | Καὶ αὐτὸς προσδοκία ἐθνῶν | 68 | |
| Ν'. | 1 | Ἐπιπεσὼν ἐπὶ πρόσωπον τοῦ πατρὸς αὐτοῦ | | 25 |
| | 10 | Ἑπτὰ ἡμέρας | | -- |
| | 21 | Μὴ φοβεῖσθε, ἐγὼ διαθρέψω ὑμᾶς | | 230 |
| | 24 | Υἱοὺς τῶν υἱῶν | | 101 |
| | | **ΕΞΟΔΟΣ.** | | |
| Α'. | 20 | Εὖ δὲ ἐποίει ὁ Θεὸς ταῖς μαίαις | 191 | |
| Γ'. | 6 | Ἐγὼ εἰμὶ ὁ Θεὸς τοῦ πατρός σου | 97, 162 | |
| | 10 | Καὶ ἐξάξεις τὸν Λαόν μου | 18 | |
| Δ'. | 22 | Σὺ δὲ ἐρεῖς τῷ Φαραὼ | 164 | |
| Ε'. | 1 | Ἐξαπόστειλον τὸν Λαόν μου | 18 | |
| Ζ'. | 20 | Καὶ μετέβαλε πᾶν τὸ ὕδωρ | 167 | |
| Η'. | 1 | Ἐξαπόστειλον τὸν Λαόν μου | | 235 |
| | 10 | Ὁ δὲ εἶπεν, Αὔριον | | -- |
| Θ'. | 27 | Ἀποστείλας δὲ Φαραὼ | | 153 |
| | 28 | Καὶ ἐξαποστελῶ ὑμᾶς | | -- |
| | 35 | Καὶ ἐσκληρύνθη ἡ καρδία Φαραὼ | | -- |
| Ι'. | 16 | Κατέσπευδε δὲ Φαραὼ | | -- |
| | 17 | Προσδέξασθέ μου τὴν ἁμαρτίαν | | -- |
| | 20 | Καὶ οὐκ ἐξαπέστειλε | | -- |
| ΙΒ'. | 7 | Ἐν τοῖς οἴκοις, ἐν οἷς ἐὰν φάγωσιν αὐτά | 167 | |
| | 16 | Πᾶν ἔργον λατρευτὸν | 19 | |
| ΙΔ'. | 22 | Τεῖχος ἐκ δεξιῶν | 214 | |
| | 28 | Ἐπαναστραφὲν τὸ ὕδωρ | 189 | |
| ΙΘ'. | 10 | Καταβὰς, διαμάρτυρε τῷ Λαῷ | 169 | |
| | 11 | Καὶ ἔστωσαν ἕτοιμοι | -- | |
| | 12 | Προσέχετε δὲ ἑαυτοῖς | 170 | |
| | 13 | Πᾶς ὁ ἁψάμενος τοῦ ὄρους | -- | |
| | 16 | Φωναὶ καὶ ἀστραπαὶ | -- | |
| | 21 | Μήποτε ἐγγίσωσι πρὸς τὸν Θεὸν | 73 | |
| Κ'. | 10 | Τῇ δὲ ἡμέρᾳ τῇ ἑβδόμῃ | 48 | |
| | 12 | Τίμα τὸν Πατέρα σου | | 15, 120 |
| | 15 | Οὐ φονεύσεις | | 279 |
| | 16 | Οὐ ψευδομαρτυρήσεις | 188 | |
| ΚΒ'. | 1 | Ἐὰν δέ τις κλέψῃ μόσχον | | 150 |
| | 4 | Ἐὰν δὲ καταλειφθῇ | | -- |
| ΚΓ'. | 4 | Ἐὰν δὲ συναντήσῃς τῷ βοῒ | | 16 |
| | 5 | Ἐὰν δὲ ἴδῃς τὸ ὑποζύγιον | | -- |
| Λ'. | 18 | Ἀνὰ μέσον τῆς σκηνῆς τοῦ μαρτυρίου | | 318 |
| ΛΒ'. | 29 | Ἐπληρώσατε τὰς χεῖρας ὑμῶν | 202 | |
| | 32 | Καὶ νῦν εἰ μὲν ἀφῇς αὐτοῖς | | 275 |
| ΛΓ'. | 11 | Ἐνώπιος ἐνωπίῳ | | -- |

| Κεφ. | Στίχ. | | Α'. Σελ. | Β'. Σελ. |
|---|---|---|---|---|
| | | **ΛΕΥΙΤΙΚΟΝ.** | | |
| β'. | 13 | Καὶ πᾶν δῶρον θυσίας ὑμῶν ἁλὶ ἁλισθήσεται. | | 73, 125, 274 |
| ιγ'. | 46 | Κεχωρισμένος καθήσεται . . . . . . . | | 122 |
| ιθ'. | 36 | Ζυγὰ δίκαια καὶ σταθμία δίκαια . . . . | | 268 |
| κγ'. | 15 | Καὶ ἀριθμήσετε ὑμεῖς. . . . . . . . . | 107 | |
| | 16 | Ἕως τῆς αὔριον . . . . . . . . . . | 108 | |
| | 34 | Τῇ πεντεκαιδεκάτῃ τοῦ μηνός . . . . . . | -- | |
| | 35 | Καὶ ἡ ἡμέρα ἡ πρώτη . . . . . . . . | -- | |
| | 36 | Ἑπτὰ ἡμέρας προσάξετε . . . . . . . | -- | |
| κε'. | 8 | Καὶ ἐξαριθμήσεις ἑαυτῷ . . . . . . . | | 159 |
| κστ'. | 19 | Καὶ θήσω τὸν οὐρανὸν ὑμῖν . . . . . . | 143 | 10 |
| | 20 | Καὶ οὐ δώσει ἡ γῆ ὑμῶν. . . . . . . | -- | |
| | 30 | Πᾶσα δεκάτη τῆς γῆς . . . . . . . . | | 159 |
| | | **ΑΡΙΘΜΟΙ.** | | |
| ε'. | 7 | Ἐξαγορεύσει τὴν ἁμαρτίαν ἣν ἐποίησε. . . | | 150 |
| ια'. | 26 | Καὶ κατελείφθησαν δύο ἄνδρες . . . . . | 24 | |
| | 29 | Καὶ τίς δῴη πάντα τὸν λαὸν . . . . . | 25 | |
| ιβ'. | 2 | Μωϋσῇ μόνῳ λελάληκε Κύριος . . . . . | 90 | |
| | 6 | Ἐὰν γένηται προφήτης ὑμῶν . . . . . . | | 331 |
| | 7 | Οὐχ οὕτως ὁ θεράπων μου . . . . . . | | -- |
| | 8 | Στόμα κατὰ στόμα. . . . . . . . . | | -- |
| ιε'. | 3 | Ἐν ταῖς ἑορταῖς ὑμῶν . . . . . . . . | 19 | |
| | 35 | Θανατούσθω ὁ ἄνθρωπος. . . . . . . . | 89 | |
| κ'. | 10 | Μὴ ἐκ τῆς πέτρας ταύτης. . . . . . . | | 332 |
| | 11 | Ἐπάταξε τὴν πέτραν . . . . . . . . | | -- |
| | 12 | Καὶ εἶπε Κύριος πρὸς Μωϋσῆν . . . . . | | 332, 333 |
| κα'. | 8 | Καὶ ἔσται ἐὰν δάκῃ ὄφις ἄνθρωπον . . . | | 261 |
| | 9 | Καὶ ἐποίησε Μωϋσῆς ὄφιν χαλκοῦν . . . | | -- |
| κβ'. | 6 | Ὅτι οἶδα οὓς ἂν εὐλογήσῃς σύ . . . . . | | 302 |
| κδ'. | 17 | Ἀνατελεῖ ἄστρον ἐξ Ἰακὼβ . . . . . . | 68 | -- |
| κε'. | 17 | Ἐχθραίνετε τοῖς Μαδιναίοις . . . . . | | 16 |
| | 18 | Ὅτι ἐχθραίνουσι αὐτοὶ ὑμῖν . . . . . | | -- |
| | | **ΔΕΥΤΕΡΟΝΟΜΙΟΝ.** | | |
| δ'. | 9 | Πρόσεχε σεαυτῷ. . . . . . . . . . | 120 | |
| στ'. | 5 | Ἀγαπήσεις Κύριον τὸν Θεόν σου. . . . . | | 73 |
| | 6 | Καὶ ἔσται τὰ ῥήματα ταῦτα . . . . . | 141 | 266 |
| | 7 | Καὶ προβιβάσεις αὐτὰ τοὺς υἱούς σου . . . | 142 | -- |
| | 12 | Πρόσεχε σεαυτῷ, μὴ ἐπιλάθῃ . . . . | | -- |
| ζ'. | 2 | Ἀφανιεῖς αὐτούς. . . . . . . . . | | 16 |
| ι'. | 12 | Καὶ νῦν Ἰσραὴλ, τί Κύριος ὁ Θεός σου . . | | 60 |
| ια'. | 29 | Καὶ δώσεις τὴν εὐλογίαν . . . . . . . | 61 | |

| Κεφ. | Στίχ. | | Α'. Σελ. | Β'. Σελ. |
|---|---|---|---|---|
| ΙΒ'. | 14 | Πρόσεχε σεαυτῷ, μὴ ἀνενέγκῃς . . . . . | 61 | |
| ΙΓ'. | 6 | Ἐὰν δὲ παρακαλέσῃ σε ὁ ἀδελφός σου . . . | 125 | |
| | 8 | Οὐ συνθελήσεις αὐτῷ . . . . . . . . | -- | |
| ΙΔ'. | 22 | Δεκάτην ἀποδεκατώσεις . . . . . . . | | 159 |
| | 23 | Οἴσετε τὰ ἐπιδέκατα . . . . . . . . | | -- |
| ΙΕ'. | 11 | Ἀνοίγων ἀνοίξεις τὰς χεῖράς σου . . . . | | 47 |
| ΙΣΤ'. | 5 | Οὐ δυνήσῃ θύσαι τὸ Πάσχα. . . . . . | | 254 |
| | 6 | Ἀλλ᾽ ἢ εἰς τὸν τόπον . . . . . . . . | | -- |
| | 14 | Καὶ εὐφρανθήσῃ σὺ καὶ ὁ υἱός σου. . . . | 19 | |
| ΙΗ'. | 15 | Προφήτην ὑμῖν ἀναστήσει Κύριος ὁ Θεός σου . αὐτοῦ ἀκούσεσθε . . . . . . . . . | 11, 64, 68, 83, 111 | 112 |
| | 18 | Προφήτην ἀναστήσω αὐτοῖς . . . . . . | | 24 |
| | 19 | Ὁ ἄνθρωπος, ὃς ἐὰν μὴ ἀκούσῃ . . . . | 83 | |
| ΚΓ'. | 6 | Οὐ προσαγορεύσεις εἰρηνικὰ αὐτοῖς . . . | | 16 |
| ΚΕ'. | 4 | Οὐ φιμώσεις βοῦν ἀλοῶντα . . . . . . | | 142 |
| ΚΖ'. | 26 | Ἐπικατάρατος πᾶς ἄνθρωπος . . . . . . | 114 | |
| ΛΑ'. | 7 | Ἀνδρίζου καὶ ἴσχυε . . . . . . . . | 41 | |
| ΛΒ'. | 1 | Πρόσεχε οὐρανὲ, καὶ λαλήσω . . . . . | | 61 |
| | 6 | Ταῦτα Κυρίῳ ἀνταποδίδοτε . . . . . . | | -- |
| | 15 | Ἔφαγεν Ἰακὼβ, καὶ ἀπελάκτισεν ὁ ἠγαπημένος. | | -- |
| | 19 | Καὶ εἶδε Κύριος καὶ ἐζήλωσεν . . . . . | | -- |
| | 20 | Καὶ εἶπεν, Ἀποστρέψω τὸ πρόσωπόν μου. . | | -- |
| | 21 | Αὐτοὶ παρεζήλωσάν με. . . . . . . . | | 62 |
| | 22 | Πῦρ ἐκκέκαυται ἐκ τοῦ θυμοῦ μου . . . . | | 65 |
| | 23 | Συνάξω εἰς αὐτοὺς κακὰ . . . . . . . | | -- |


## ΙΗΣΟΥΣ ΤΟΥ ΝΑΥΗ.


| | | | | |
|---|---|---|---|---|
| Α'. | 7 | Ἴσχυε καὶ ἀνδρίζου . . . . . . . . | 41 | |
| | 8 | Καὶ οὐκ ἀποστήσεται ἡ βίβλος τοῦ νόμου . | | 266 |
| Η'. | 1 | Μὴ φοβηθῇς μηδὲ δειλιάσῃς . . . . . . | 41 | |
| ΙΘ'. | 25 | Ἐλκάθ. . . . . . . . . . . . . . | 115 | |


## ΚΡΙΤΑΙ.


| | | | | |
|---|---|---|---|---|
| ΙΓ'. | 22 | Θανάτῳ ἀποθανούμεθα . . . . . . . . | | 207 |


## ΡΟΥΘ.


| | | | | |
|---|---|---|---|---|
| Β'. | 2 | Πορευθῶ δὴ εἰς ἀγρόν. . . . . . . . | | 220 |
| | 7 | Ἀπὸ πρωΐθεν καὶ ἕως ἑσπέρας. . . . . . | | -- |
| | 19 | Ἐσρὼμ ἐγέννησε τὸν Ἀράμ . . . . . . | | 290 |
| | -- | Ἀμιναδὰβ ἐγέννησε τὸν Ναασών. . . . . . | | -- |


## ΠΡΩΤΗ ΒΑΣΙΛΕΙΩΝ.


| | | | | |
|---|---|---|---|---|
| Α'. | 10 | Προσηύξατο πρὸς Κύριον . . . . . . . | 105 | |

| Κεφ. | Στίχ. | | Α΄. Σελ. | Β΄. Σελ. |
|---|---|---|---|---|
| Α΄. | 14 | Καὶ εἶπεν αὐτῇ τὸ παιδάριον | | 141 |
| | 15 | Οἶνον καὶ μέθυσμα οὐ πέπωκα | | -- |
| Β΄. | 6 | Θανατοῖ καὶ ζωογονεῖ | | 10 |
| | 7 | Πτωχίζει καὶ πλουτίζει | | 10, 27, 51 |
| | 8 | Ἀνιστᾷ ἀπὸ γῆς πένητα | | 10 |
| | 10 | Μὴ καυχάσθω ὁ φρόνιμος ἐν τῇ φρονήσει αὐτοῦ | | -- |
| | 30 | Μηδαμῶς ἐμοί | 96, 203 | |
| Γ΄. | 4 | Σαμουὴλ, Σαμουήλ | 143 | |
| | 6 | Διατί κέκληκάς με | -- | |
| Δ΄. | 11 | Ἔπεσον ἀμφότεροι | 171 | |
| ΙΣΤ΄. | 14 | Πνεῦμα πονηρὸν | 118 | |
| ΙΖ΄. | 37 | Κύριος ὃς ἐξείλετό με ἐκ χειρὸς τῆς ἄρκτου | | 267 |
| | 45 | Σὺ ἔρχῃ πρός με ἐν ῥομφαίᾳ καὶ ἐν δόρατι | | -- |
| ΚΔ΄. | 6 | Μηδαμῶς μοι παρὰ Κυρίου, εἰ ποιήσω τὸ ῥῆμα | | -- |
| ΚΣΤ΄. | 9 | Μὴ ταπεινώσῃς αὐτὸν | | -- |
| | 10 | Ζῇ Κύριος, ἐὰν μὴ Κύριος παίσῃ αὐτὸν | | -- |
| | 11 | Μηδαμῶς μοι παρὰ Κυρίου ἐπενεγκεῖν χεῖρά μου | | -- |
| | | **ΔΕΥΤΕΡΑ ΒΑΣΙΛΕΙΩΝ.** | | |
| ΣΤ΄. | 7 | Ἐπλήγη καὶ ἀπέθανεν ἐκεῖ | 90, 171 | |
| ΙΑ΄. | 15 | Ἐξ ἐναντίας τοῦ πολέμου | | 86 |
| ΙΒ΄. | 5 | Υἱὸς θανάτου | 101 | |
| | 13 | Ἡμάρτηκα τῷ Κυρίῳ | 105 | 87, 152 |
| ΙΓ΄. | 36 | Κλαυθμὸν μέγαν σφόδρα | | 25 |
| ΙΗ΄. | 33 | Υἱέ μου Ἀβεσσαλώμ | | -- |
| ΙΘ΄. | 33 | Καὶ εἶπεν ὁ Βασιλεὺς Βερζελλί | | 237 |
| | 34 | Καὶ εἶπε Βερζελλὶ πρὸς τὸν Βασιλέα | | -- |
| | 35 | Υἱὸς ὀγδοήκοντα ἐτῶν ἐγώ | | -- |
| | 37 | Καθισάτω δὴ ὁ δοῦλός σου | | -- |
| | | **ΤΡΙΤΗ ΒΑΣΙΛΕΙΩΝ.** | | |
| ΙΑ΄. | 1 | Καὶ ὁ Βασιλεὺς Σολομών | | 52 |
| | 5 | Καὶ τῇ Ἀστάρτῃ | 118 | |
| | 7 | Ὠκοδόμησεν ὑψηλὸν | -- | |
| ΙΖ΄. | 16 | Καὶ ἡ ὑδρία τοῦ ἀλεύρου | 287 | |
| | 23 | Καὶ ἔδωκεν αὐτὸ τῇ μητρὶ αὐτοῦ | | 24 |
| ΙΘ΄. | 8 | Τεσσαράκοντα ἡμέρας | | 199 |
| | 10 | Ζηλῶν ἐζήλωσα τῷ Κυρίῳ | 275 | |
| | 11 | Καὶ συντρίβον πέτρας | 170 | |
| | 20 | Καταφιλήσω τὸν Πατέρα μου | | 5 |
| ΚΒ΄. | 24 | Σεδεκίας υἱὸς Χαναὰν | 253 | |
| | | **ΤΕΤΑΡΤΗ ΒΑΣΙΛΕΙΩΝ.** | | |
| Δ΄. | 36 | Καὶ εἶπεν Ἐλισσαιέ | | 24 |

| Κεφ. | Στίχ. | | A'. Σελ. | B'. Σελ. |
|---|---|---|---|---|
| Ε'. | 15 | Καὶ νῦν λάβε τὴν εὐλογίαν τοῦ δούλου σου . | 180 | |
| | 16 | Καὶ εἶπεν Ἐλισσαιὲ, Κύριος. . . . . . . | -- | |
| | 25 | Καὶ εἶπε Γιεζὶ, Οὐ πεπόρευται ὁ δοῦλός σου. | 190 | |
| | 27 | Καὶ ἡ λέπρα Νεεμὰν . . . . . . . . . | -- | |
| ΙΖ'. | 26 | Τὰ ἔθνη, ἃ ἀπῴκισας. . . . . . . . . | 62 | |
| | 41 | Καὶ ἦσαν τὰ ἔθνη ταῦτα. . . . . . . . | 55, -- | |
| ΙΗ'. | 5 | Ἐν Κυρίῳ Θεῷ Ἰσραὴλ ἤλπισε . . . . . | 210 | |
| Κ'. | 1 | Τάδε λέγει Κύριος, Ἔντειλε τῷ οἴκῳ σου. . | -- | |
| | 5 | Ἤκουσα τῆς προσευχῆς σου . . . . . . | -- | |
| | 6 | Καὶ προσθήσω ἐπὶ τὰς ἡμέρας σου . . . | -- | |
| ΚΑ'. | 16 | Ἐξέχεεν αἷμα . . . . . . . . . . . | 258 | 87 |


ΠΡΩΤΗ ΠΑΡΑΛΕΙΠΟΜΕΝΩΝ.


| Κεφ. | Στίχ. | | A'. Σελ. | B'. Σελ. |
|---|---|---|---|---|
| Γ'. | 15 | Καὶ υἱοὶ Ἰωσία . . . . . . . . . . . | | 292 |
| | 16 | Καὶ υἱοὶ Ἰωακὶμ . . . . . . . . . . | | -- |
| ΚΗ'. | 20 | Ἴσχυε, ἀνδρίζου καὶ ποίει, μὴ φοβοῦ . . . | 41 | |


ΔΕΥΤΕΡΑ ΠΑΡΑΛΕΙΠΟΜΕΝΩΝ.


| Κεφ. | Στίχ. | | A'. Σελ. | B'. Σελ. |
|---|---|---|---|---|
| Θ'. | 22 | Καὶ ἐμεγαλύνθη Σαλομὼν . . . . . . . | 152 | |
| ΙΓ'. | 18 | Καὶ κατίσχυσαν υἱοὶ Ἰούδα. . . . . . . | 210 | |
| ΚΣΤ'. | 19 | Ἡ λέπρα ἀνέτειλεν ἐν τῷ μετώπῳ αὐτοῦ. . | 171 | |
| ΛΓ'. | 3 | Καὶ προσεκύνησε πάσῃ τῇ στρατιᾷ. . . . | 258 | |
| | 5 | Καὶ ᾠκοδόμησε θυσιαστήρια . . . . . . | -- | |
| | 10 | Καὶ ἐλάλησε Κύριος ἐπὶ Μανασσῆ . . . | 259 | |
| | 11 | Τοῦ Βασιλέως Ἀσσοὺρ . . . . . . . . | | 87 |
| | 13 | Καὶ ἐπήκουσεν αὐτοῦ . . . . . . . . | 105 | |
| ΛΣΤ'. | 2 | Φαραὼ Νεχαὼ . . . . . . . . . . . | | 292 |


ΙΩΒ.


| Κεφ. | Στίχ. | | A'. Σελ. | B'. Σελ. |
|---|---|---|---|---|
| Α'. | 1 | Καὶ ἦν ὁ ἄνθρωπος ἐκεῖνος . . . . . . . | 250, 295 | |
| | 3 | Εὐγενὴς τῶν ἀφ' ἡλίου ἀνατολῶν . . . . | 250 | |
| | 5 | Πάσας τὰς ἡμέρας . . . . . . . . . . | | 129 |
| | 8 | Προσέσχες τῇ διανοίᾳ σου . . . . . . . | 89, 250 | |
| | 12 | Ἰδοὺ πάντα ὅσα ἐστὶν αὐτῷ δίδωμί σοι . . | -- | |
| | 21 | Αὐτὸς γυμνὸς ἐξῆλθον . . . . . . . . | 295 | 94, 129 |
| | 22 | Καὶ οὐκ ἔδωκεν ἀφροσύνην τῷ Θεῷ. . . . | 276, 295 | |
| Β'. | 6 | Εἶπε δὲ ὁ Κύριος τῷ Διαβόλῳ . . . . . | 230 | |
| | 7 | Ἕλκει πονηρῷ . . . . . . . . . . . | | 102 |
| | 9 | Μέχρι τίνος καρτερήσῃς . . . . . . . | 229 | 146 |
| | 10 | Ὥσπερ μία τῶν ἀφρόνων. . . . . . . . | | -- |
| ΙΔ'. | 4 | Τίς γὰρ καθαρὸς ἔσται ἀπὸ ῥύπου . . . | 172 | |
| | 5 | Ἐὰν καὶ μία ἡμέρα ὁ βίος αὐτοῦ . . . . | -- | |
| ΜΒ'. | 10 | Διπλᾶ . . . . . . . . . . . . . . | 230 | |
| | 12 | Τὰ ἔσχατα μᾶλλον ἢ τὰ ἔμπροσθεν . . . | | 11 |

## ΨΑΛΜΟΙ.


| Ψαλ. | Στίχ. | | Α'. Σελ. | Β'. Σελ. |
|---|---|---|---|---|
| Α'. | 3 | Τὸ ξύλον τὸ πεφυτευμένον . . . . . . . | | |
| Δ'. | 3 | Υἱοὶ ἀνθρώπων, ἕως πότε βαρυκάρδιοι . . | 127 | |
| | 9 | Ἐν εἰρήνῃ ἐπὶ τὸ αὐτὸ κοιμηθήσομαι . . . | | 99 |
| Ε'. | 4 | Ὅτι οὐχὶ Θεὸς θέλων ἀνομίαν . . . . . | | |
| | 6 | Ἐμίσησας πάντας τοὺς ἐργαζομένους . . . | 191 | 170, 210 |
| ΣΤ'. | 6 | Ἐκοπίασα ἐν τῷ στεναγμῷ μου . . . . . | | 154 |
| | 8 | Ἀπόστητε ἀπ' ἐμοῦ . . . . . . . . . | | 137 |
| Ζ'. | 10 | Ἐτάζων καρδίας καὶ νεφρούς . . . . . . | 185 | |
| | 13 | Ἐὰν μὴ ἐπιστραφῆτε . . . . . . . . | | 91 |
| | 14 | Καὶ ἐν αὐτῷ ἡτοίμασεν . . . . . . . | | -- |
| Η'. | 6 | Ὑποκάτω τῶν ποδῶν αὐτοῦ . . . . . . | 51, 103 | |
| | 7 | Πρόβατα καὶ βόας ἁπάσας . . . . . . | -- -- | |
| | 8 | Τὰ πετεινὰ τοῦ οὐρανοῦ . . . . . . . | -- | |
| Θ'. | 31 | Ἐνεδρεύει ἐν ἀποκρύφῳ . . . . . . . . | 229 | |
| Ι'. | 8 | Δίκαιος Κύριος . . . . . . . . . . | 149 | 340 |
| ΙΓ'. | 4 | Πάντες ἐξέκλιναν . . . . . . . . . | | 63, 207 |
| ΙΔ'. | 7 | Ὁ ποιῶν ταῦτα, οὐ σαλευθήσεται . . . . | 134, 160 | |
| ΙΕ'. | 1 | Ὅτι τῶν ἀγαθῶν μου . . . . . . . . | | 60, 338 |
| | 4 | Οὐδ' οὐ μὴ μνησθῶ . . . . . . . . . | | 43 |
| | 8 | Προωρώμην τὸν Κύριον ἐνώπιόν μου διαπαντός . . . . . . . . . . . . . | 219 | 79, 137, 210, 211, 258 |
| ΙΗ'. | 1 | Οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ . . . . | | 60 |
| | 10 | Τὰ κρίματα Κυρίου ἀληθινά . . . . . | | 269 |
| | 11 | Ἐπιθυμητὰ ὑπὲρ χρυσίον . . . . . . . | | -- |
| | 14 | Ἐὰν μή μου κατακυριεύσωσι . . . . . . | 120 | |
| ΚΑ'. | 5 | Ἐπὶ σοὶ ἤλπισαν, καὶ οὐ κατῃσχύνθησαν . | 211 | |
| ΚΒ'. | 5 | Ἡ ῥάβδος σου καὶ ἡ βακτηρία σου . . . . | | 128 |
| ΚΔ'. | 2 | Αἰσχυνθήτωσαν οἱ ἀνομοῦντες . . . . . | 43 | |
| ΚΣΤ'. | 1 | Κύριος φωτισμός μου . . . . . . . . | -- | |
| | 16 | Ὁ πατήρ μου καὶ ἡ μήτηρ μου . . . . . | | 28 |
| ΚΖ'. | 10 | Καὶ ἀνέθαλεν ἡ σάρξ μου . . . . . . | . | 129 |
| ΚΘ'. | 1 | Ὑψώσω σε Κύριε, ὅτι ὑπέλαβές με . . . . | 102 | |
| | 5 | Καὶ ζωὴ ἐν τῷ θελήματι αὐτοῦ . . . . . | 162 | |
| ΛΑ'. | 5 | Τὴν ἀνομίαν μου ἐγνώρισα . . . . . . | 54 | |
| | 11 | Ἐν κημῷ καὶ χαλινῷ . . . . . . . . | 266 | |
| ΛΒ'. | 6 | Τῷ λόγῳ Κυρίου οἱ οὐρανοί . . . . . . | 4, 6 | |
| ΛΓ'. | 1 | Ἐν παντὶ καιρῷ . . . . . . . . . . | | 129 |
| | 8 | Γεύσασθε καὶ ἴδετε . . . . . . . . | | 132 |
| | 9 | Ὅτι οὐκ ἔστιν ὑστέρημα . . . . . . . | | 169 |
| | 10 | Οἱ δὲ ἐκζητοῦντες τὸν Κύριον . . . . . | | -- |
| | 14 | Ἔκκλινον ἀπὸ κακοῦ . . . . . . . . | 243 | 158 |
| | 21 | Θάνατος ἁμαρτωλῶν πονηρός . . . . . . | | 89, 100 |
| ΛΔ'. | 14 | Ἀνταπεδίδωσάν μοι πονηρά . . . . . . | | 61 |

| Ψαλ. | Στίχ. | | Α'. Σελ. | Β'. Σελ. |
|---|---|---|---|---|
| ΛΣΤ'. | 1 | Μὴ παραζήλου ἐν πονηρευομένοις | 53 | 11 |
| | 2 | Ὅτι ὡσεὶ χόρτος ταχὺ ἀποξηρανθήσονται | -- | -- |
| | 12 | Παρατηρήσεται ὁ ἁμαρτωλὸς τὸν δίκαιον | 270 | |
| | 21 | Οἱ ἁμαρτωλοὶ ἀπολοῦνται | 53 | 173 |
| | 35 | Εἶδον τὸν ἀσεβῆ ὑπερυψούμενον | | 11, 109 |
| | 38 | Καὶ παρῆλθον, καὶ ἰδοὺ οὐκ ἦν. | 54 | -- -- |
| ΛΗ'. | 7 | Ἰδοὺ παλαιστὰς ἔθου τὰς ἡμέρας μου | 43 | |
| | 14 | Ἐν ἐλεγμοῖς ὑπὲρ ἀνομίας | 43, 52, 132 | |
| | 18 | Ἄνες μοι, ἵνα ἀναψύξω, πρὸ τοῦ με ἀπελθεῖν. | 132 | |
| ΛΘ'. | 9 | Θυσίαν καὶ προσφορὰν οὐκ ἠθέλησας | | 309 |
| | 10 | Τότε εἶπον, ἰδοὺ ἥκω | | -- |
| | 21 | Καὶ τὸν νόμον σου ἐν μέσῳ τῆς κοιλίας μου. | 109 | -- |
| ΜΑ'. | 2 | Ἐδίψησεν ἡ ψυχή μου πρὸς τὸν Θεὸν τὸν ζῶντα | | 269 |
| ΜΔ'. | 11 | Ἐν ἱματισμῷ διαχρύσῳ | | 77 |
| ΜΗ'. | 5 | Ἵνα τί φοβοῦμαι ἐν ἡμέρᾳ πονηρᾷ; | 188 | |
| | 10 | Οἱ τάφοι αὐτῶν οἰκίαι αὐτῶν εἰς τὸν αἰῶνα. | 199 | |
| | 11 | Ἐπεκαλέσαντο τὰ ὀνόματα αὐτῶν | -- | |
| | 12 | Ἄνθρωπος ἐν τιμῇ ὤν, οὐ συνῆκε | | 231 |
| ΜΘ'. | 20 | Τὸ στόμα σου ἐπλεόνασε κακίαν. | 172 | |
| | 21 | Καθήμενος κατὰ τοῦ ἀδελφοῦ σου κατελάλεις. | -- | |
| | 22 | Ταῦτα ἐποίησας, καὶ ἐσίγησα | | 189 |
| Ν'. | 1 | Ἐλέησόν με ὁ Θεός. | 102 | |
| | 4 | Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω. | | 154 |
| | 5 | Ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου | | 93 |
| | 6 | Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην | 85 | |
| | 11 | Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοὶ ὁ Θεός | 106 | |
| | 13 | Ἀπόδος μοι τὴν ἀγαλλίασιν | | 8 |
| | 18 | Καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην | | 73, 165, 288 |
| ΝΒ'. | 3 | Ὁ Θεὸς ἐκ τοῦ οὐρανοῦ διέκυψεν. | 142 | |
| | 7 | Ὅτι ὁ Θεὸς διεσκόρπισεν ὀστᾶ ἀνθρωπαρέσκων. | 201 | |
| ΝΔ'. | 4 | Δειλεία θανάτου ἐπέπεσεν ἐπ' ἐμέ | | 249 |
| | 5 | Φόβος καὶ τρόμος ἦλθεν ἐπ' ἐμέ | | -- |
| | 6 | Τίς δώσει μοι πτέρυγας ὡσεὶ περιστερᾶς. | | 132, -- |
| | 24 | Ἡπαλύνθησαν οἱ λόγοι αὐτῶν ὑπὲρ ἔλαιον | | 106 |
| ΝΖ'. | 3 | Ἀπηλλοτριώθησαν ἀπὸ μήτρας | 99 | |
| | 4 | Θυμὸς αὐτοῖς κατὰ τὴν ὁμοίωσιν τοῦ ὄφεως. | -- | |
| ΝΘ'. | 4 | Ἔδωκας τοῖς φοβουμένοις σε σημείωσιν. | | 91 |
| ΞΑ'. | 9 | Μάταιοι οἱ υἱοὶ τῶν ἀνθρώπων | 127 | |
| | 10 | Μὴ ἐλπίζετε ἐπ' ἀδικίαν | | 268 |
| ΞΔ'. | 2 | Πρὸς σὲ πᾶσα σὰρξ ἥξει. | 13 | |
| ΞΕ'. | 17 | Ἀδικίαν εἰ ἐθεώρουν ἐν καρδίᾳ μου. | 84 | |
| ΞΖ'. | 17 | Πῖον | 151 | |
| | 18 | Τὸ ὄρος, ὃ εὐδόκησεν ὁ Θεός. | 213 | |
| ΟΑ'. | 14 | Καὶ ἔντιμον τὸ ὄνομα αὐτῶν. | | 43 |
| ΟΒ'. | 3 | Ὅτι ἐζήλωσα ἐπὶ τοῖς ἀνόμοις. | | 104 |

| Ψαλ. | Στίχ. | | Α'. Σελ. | Β'. Σελ. |
|---|---|---|---|---|
| ΟΒ'. | 26 | Οἱ μακρύνοντες ἑαυτοὺς ἀπὸ σοῦ ἀπολοῦνται. | | 169 |
| ΟΔ'. | 7 | Ὅτι ποτήριον ἐν χειρὶ Κυρίου | 162 | |
| | 8 | Καὶ ἔκλινεν ἐκ τούτου εἰς τοῦτο. | -- | |
| ΟΕ'. | 1 | Γνωστὸς ἐν τῇ Ἰουδαίᾳ ὁ Θεός | 97 | |
| ΟΣΤ'. | 2 | Τὸν Θεὸν ἐξεζήτησα ταῖς χερσί μου | 28 | |
| | 3 | Ἐμνήσθην τοῦ Θεοῦ, καὶ εὐφράνθην. | | 28, 211 |
| | 19 | Ἐν τῇ θαλάσσῃ αἱ ὁδοί σου | 217 | |
| ΟΖ'. | 2 | Ἀνοίξω ἐν παραβολαῖς τὸ στόμα μου | 231 | |
| | 75 | Ἐξόπισθεν τῶν λοχευομένων ἔλαβεν αὐτόν | | 8 |
| ΟΘ'. | 6 | Ποτιεῖς ἡμᾶς ἐν δάκρυσιν ἐν μέτρῳ. | | 28 |
| | 9 | Ἄμπελον ἐξ Αἰγύπτου μετῆρας. | 252 | |
| ΠΑ'. | 6 | Ἐγὼ εἶπα θεοί ἐστε καὶ υἱοὶ ὑψίστου πάντες. | 133 | |
| ΠΓ'. | 1 | Εἰς τὰς αὐλὰς τοῦ Κυρίου | 275 | 77, 269 |
| | 2 | Ἡ καρδία μου καὶ ἡ σάρξ μου ἠγαλλιάσαντο. | | -- -- |
| | 6 | Μακάριος ἀνήρ, οὗ ἐστὶν ἀντίληψις αὐτῷ | | -- |
| | 11 | Ἐξελεξάμην παραῤῥιπτεῖσθαι | | -- |
| | 13 | Μακάριος ἄνθρωπος ὁ ἐλπίζων ἐπὶ σέ | 212 | |
| ΠΣΤ'. | 3 | Μνησθήσομαι Ῥαὰβ καὶ Βαβυλῶνος | | 291 |
| ΠΗ'. | 10 | Ὁ δεσπόζων τοῦ κράτους τῆς θαλάσσης | 213 | |
| | 32 | Ἐπισκέψομαι ἐν ῥάβδῳ τὰς ἀνομίας αὐτῶν | 88, 91, 260 | |
| | 33 | Τὸ δὲ ἔλεός μου οὐ μὴ διασκεδάσω. | -- -- -- | |
| Ϟ'. | 5 | Οὐ φοβηθήσῃ ἀπὸ φόβου νυκτερινοῦ | 43, 229 | |
| | 6 | Ἀπὸ βέλους πετομένου ἡμέρας | -- -- | |
| | 7 | Πεσεῖται ἐκ τοῦ κλίτους σου χιλιάς | -- -- | |
| | 11 | Ὅτι τοῖς ἀγγέλοις αὐτοῦ ἐντελεῖται περὶ σοῦ. | 43, 133, -- | |
| | 12 | Ἐπὶ χειρῶν ἀροῦσί σε μήποτε προσκόψῃς | 43, 133 | |
| | 16 | Μακρότητα ἡμερῶν ἐμπλήσω αὐτόν. | | 7 |
| ϞΔ'. | 4 | Ὅτι ἐν τῇ χειρὶ αὐτοῦ τὰ πέρατα τῆς γῆς | 162, 209 | 10 |
| | 5 | Ὅτι αὐτοῦ ἐστὶν ἡ θάλασσα | -- -- | -- |
| Ρ'. | 1 | Ἔλεον καὶ κρίσιν ᾄσομαί σοι Κύριε | | 185, 220 |
| | 2 | Ψαλῶ, καὶ συνήσω ἐν ὁδῷ ἀμώμῳ | | -- |
| ΡΑ'. | 6 | Ἀπὸ φωνῆς τοῦ στεναγμοῦ μου | | 154 |
| ΡΒ'. | 1 | Εὐλόγει ἡ ψυχή μου τὸν Κύριον | | 129 |
| | 5 | Τὸν ἐμπιπλῶντα ἐν ἀγαθοῖς. | | -- |
| ΡΓ'. | 33 | Ὁ ἐπιβλέπων ἐπὶ τὴν γῆν | | 108 |
| ΡΔ'. | 5 | Μὴ ἅπτεσθε τῶν χριστῶν μου | 113 | · |
| ΡΕ'. | 30 | Καὶ ἔστη Φινεές, καὶ ἐξιλάσατο. | 191, 202 | |
| | 31 | Καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην | 191 | |
| | 34 | Ἐμίγησαν ἐν τοῖς ἔθνεσιν | 58 | |
| ΡΣΤ'. | 23 | Οἱ καταβαίνοντες εἰς θάλασσαν. | 212 | |
| | 24 | Αὐτοὶ εἶδον τὰ ἔργα Κυρίου. | -- | |
| | 43 | Τίς σοφὸς καὶ φυλάξει ταῦτα | | 284 |
| ΡΗ'. | 6 | Καὶ ἡ προσευχὴ αὐτοῦ | 106 | |
| | 7 | Γενηθήτωσαν αἱ ἡμέραι αὐτοῦ | 101 | |
| | 23 | Τὰ γόνατά μου ἠσθένησαν | | 154 |
| ΡΘ'. | 1,2 | Κάθου ἐκ δεξιῶν μου | 82, 273 | 297 |

| Ψαλ. | Στίχ. | | Α'. Σελ. | Β'. Σελ. |
|---|---|---|---|---|
| ΡΘ'. | 3 | Μετὰ σοῦ ἡ ἀρχὴ | 3 | |
| ΡΙ'. | 2 | Μεγάλα τὰ ἔργα Κυρίου | | 12 |
| ΡΙΑ'. | 9 | Ἁμαρτωλὸς ὄψεται, καὶ ὀργισθήσεται. | 270 | |
| ΡΙΒ'. | 4 | Ἐξανέτειλεν ἐν σκότει φῶς τοῖς εὐθέσιν | 21 | |
| | 8 | Ἐσκόρπισεν, ἔδωκε τοῖς πένησι | | 131 |
| ΡΙΓ'. | 9 | Μὴ ἡμῖν, Κύριε, μὴ ἡμῖν, ἀλλ' ἢ τῷ ὀνόματί σου | | 62 |
| ΡΙΣΤ'. | 10 | Ἐπίστευσα διὸ ἐλάλησα | 194 | |
| ΡΙΖ'. | 16 | Δεξιὰ Κυρίου ἐποίησε δύναμιν | 2, 195 | |
| | 18 | Παιδεύων ἐπαίδευσέ με ὁ Κύριος. | 260 | |
| | 22 | Παρὰ Κυρίου ἐγένετο αὕτη | 256 | |
| | 24 | Αὕτη ἐστὶν ἡ ἡμέρα, ἣν ἐποίησεν ὁ Κύριος | 2 | |
| ΡΙΗ'. | 2 | Μακάριοι οἱ ἐξερευνῶντες | 173, 212 | |
| | 9 | Ἐν τίνι κατορθώσει νεώτερος. | | 263 |
| | 24 | Καὶ γὰρ τὰ μαρτύριά σου μελέτη μου ἐστί | | 268 |
| | 37 | Ἀπόστρεψον τοὺς ὀφθαλμούς σου | 230 | |
| | 48 | Ἦρα τὰς χεῖράς μου | | 170 |
| | 60 | Ἡτοιμάσθην, καὶ οὐκ ἐταράχθην | | 99 |
| | 86 | Πᾶσαι αἱ ἐντολαί σου ἀλήθεια | 63 | |
| | 93 | Εἰς τὸν αἰῶνα οὐ μὴ ἐπιλάθωμαι | | 268 |
| | 97 | Ὡς ἠγάπησα τὸν νόμον σου, Κύριε | | 170, -- |
| | 104 | Λύχνος τοῖς ποσί μου ὁ νόμος σου | 51, 143, 148 | |
| | 111 | Ἔκλινα τὴν καρδίαν μου | | 171 |
| | 119 | Καθήλωσον ἐκ τοῦ φόβου σου. | | -- |
| | 141 | Ὁ νόμος σου ἀλήθεια | 63 | |
| ΡΚ'. | 2 | Παρὰ Κυρίου τοῦ ποιήσαντος τὸν οὐρανόν. | | 130 |
| | 6 | Ἡμέρας ὁ ἥλιος οὐ συγκαύσει σε | 228 | |
| ΡΚΒ'. | 3 | Ἕως. | 274 | |
| ΡΚΖ'. | 2 | Μακάριος εἶ καὶ καλῶς σοι ἔσται | 275 | |
| ΡΛΑ'. | 11 | Ὤμοσε Κύριος τῷ Δαβὶδ ἀλήθειαν. | 111 | 289 |
| ΡΛΔ'. | 1 | Αἰνεῖτε τὸ ὄνομα Κυρίου | 102 | |
| | 6 | Πάντα ὅσα ἠθέλησεν ἐποίησεν | 165 | |
| | 8 | Ὁ ἐξάγων ἀνέμους | 213 | 10 |
| ΡΛΗ'. | 5 | Ἐθαυμαστώθη ἡ γνῶσίς σου. | | 229, 263 |
| | 6 | Ποῦ πορευθῶ ἀπὸ τοῦ πνεύματός σου | | 79, 206 |
| | 7 | Ἐὰν ἀναβῶ εἰς τὸν οὐρανόν, σὺ ἐκεῖ εἶ | 218 | -- -- |
| | 8 | Ἐὰν ἀναλάβω τὰς πτέρυγάς μου κατ' ὄρθρον. | -- | -- |
| | 9 | Καὶ γὰρ ἐκεῖ ἡ χείρ σου | -- | -- |
| | 16 | Ἐμοὶ δὲ λίαν ἐτιμήθησαν. | 122 | |
| | 17 | Ἐξαριθμήσομαι αὐτούς. | -- | |
| ΡΜ'. | 4 | Μὴ ἐκκλίνῃς τὴν καρδίαν μου. | | 120 |
| ΡΜΓ'. | 1 | Εὐλογητὸς Κύριος ὁ Θεός μου. | | 62 |
| ΡΜΔ'. | 3 | Μέγας Κύριος καὶ αἰνετὸς σφόδρα | | 121 |
| | 17 | Ἀνοίγεις σὺ τὴν χεῖρά σου | 151 | 10, 27 |
| | 19 | Ἐγγὺς Κύριος | 85 | |
| | 20 | Θέλημα τῶν φοβουμένων αὐτόν | -- | |
| | 22 | Εὐλογείτω πᾶσα σάρξ. | 13 | |

| Ψαλ. | Στίχ. | | Α'. Σελ. | Β'. Σελ. |
|---|---|---|---|---|
| ΡΜΕ'. | 2 | Μὴ πεποίθατε ἐπ' ἄρχοντας . . . . . . | 209 | 28 |
| | 3 | Ἀπολοῦνται πάντες οἱ διαλογισμοί. . . . | | 89 |
| | 4 | Μακάριος οὗ ὁ Θεὸς Ἰακὼβ . . . . . . | 209, 210 | |
| | 5 | Ποιοῦντα κρίμα τοῖς ἀδικουμένοις . . . | -- | |
| | 6 | Κύριος σοφοῖ τυφλοὺς . . . . . . . . | 84, -- | |
| | 7 | Κύριος ἀνορθοῖ κατερραγμένους . . . . | -- | |
| | 8 | Ὀρφανὸν καὶ χήραν ἀναλήψεται. . . . . | -- | |
| ΡΜϚ'. | 10 | Διδόντι τοῖς κτήνεσι τροφὴν . . . . . . | 151 | |

ΠΑΡΟΙΜΙΑΙ.

| Κεφ. | | | | |
|---|---|---|---|---|
| Γ'. | 12 | Ὃν γὰρ ἀγαπᾷ Κύριος παιδεύει. . . . . | 88, 91, 260 | 64, 128 |
| | 34 | Ταπεινοῖς δὲ δίδωσι χάριν . . . . . . . | | 160, 162, 244 |
| Ε'. | 22 | Σειραῖς δὲ τῶν ἑαυτοῦ ἁμαρτημάτων . . . | 266 | |
| ΣΤ'. | 4 | Μὴ δῷς ὕπνον σοῖς ὀφθαλμοῖς . . . . . | | 335 |
| | 5 | Ἵνα σώζῃ ὥσπερ δορκάς . . . . . . . | | -- |
| Θ'. | 1 | Ἡ σοφία ᾠκοδόμησεν ἑαυτῇ οἶκον . . . . | | 277 |
| ΙΕ'. | 13 | Καρδίας εὐφραινομένης . . . . . . . . | | 192 |
| ΙΣΤ'. | 4 | Φυλάσσεται ὁ ἀσεβὴς εἰς ἡμέραν κακὴν . . | 54, 88, 91 | |
| ΚΒ'. | 2 | Πλούσιος καὶ πτωχὸς . . . . . . . . | 248, 251 | |
| ΚΓ'. | 26 | Δός μοι, υἱέ, σὴν καρδίαν . . . . . . . | | 258 |

ΕΚΚΛΗΣΙΑΣΤΗΣ.

| | | | | |
|---|---|---|---|---|
| Θ'. | 8 | Ἐν παντὶ καιρῷ ἔστωσαν ἱμάτιά σου λευκά. | 152 | |
| ΙΑ'. | 3 | Καὶ ἐὰν πέσῃ ξύλον ἐν τῷ νότῳ . . . . | | 96 |

ΑΣΜΑ.

| | | | | |
|---|---|---|---|---|
| Α'. | 6 | Μὴ ἐμβλέψητέ μοι, ὅτι ἐγὼ εἰμί . . . . | 36 | |

ΗΣΑΪΑΣ.

| | | | | |
|---|---|---|---|---|
| Α'. | 2 | Υἱοὺς ἐγέννησα καὶ ὕψωσα . . . . . . | 11, 164 | 61 |
| | 3 | Ἔγνω βοῦς τὸν κτησάμενον . . . . . . | 178 | 59 |
| | 4 | Οὐαὶ ἔθνος ἁμαρτωλὸν . . . . . . . | | -- |
| | 11 | Τί μοι πλῆθος τῶν θυσιῶν ὑμῶν . . . . | | 73 |
| | 12 | Τίς γὰρ ἐξεζήτησε ταῦτα . . . . . . | | -- |
| | 13 | Τὰς νουμηνίας ὑμῶν . . . . . . . | | -- |
| | 14 | Τὰς ἑορτὰς ὑμῶν . . . . . . . . | 18 | -- |
| | 15 | Ὅταν ἐκτείνητε τὰς χεῖρας . . . . . | 84 | |
| | 18 | Δεῦτε διαλεχθῶμεν . . . . . . . . | | 86, 155, 287 |
| | 19 | Ἐὰν θέλητε καὶ εἰσακούσητέ μου . . . . | 17, 73, 143 | 6 |
| | 20 | Ἐὰν δὲ μὴ θέλητε . . . . . . . | 17, -- | -- |
| Β'. | 2 | Ἥξουσιν ἐπ' αὐτὸ πάντα τὰ ἔθνη . . . . | 163 | |
| Ε'. | 7 | Ὁ γὰρ ἀμπελὼν Κυρίου Σαβαὼθ . . . . | 252 | |

| Κεφ. | Στίχ. | | Α'. Σελ. | Β'. Σελ. |
|---|---|---|---|---|
| ΣΤ'. | 1 | Τὸν Κύριον καθήμενον ἐπὶ θρόνου | 171 | |
| | 3 | Ἅγιος, ἅγιος, ἅγιος Κύριος Σαβαώθ | -- | 77 |
| Ζ'. | 14 | Διὰ τοῦτο δώσει Κύριος αὐτὸς σημεῖον | 109 | 296 |
| Θ'. | 2 | Ὁ λαὸς ὁ πορευόμενος ἐν σκότει | 7, 21, 115 | 325 |
| ΙΑ'. | 1 | Καὶ ἐξελεύσεται ῥάβδος ἐκ τῆς ῥίζης | | 308 |
| ΙΒ'. | 3 | Ἀντλήσατε ὕδωρ μετ' εὐφροσύνης | 58 | 319 |
| ΙΓ'. | 9 | Ἰδοὺ γὰρ ἡμέρα Κυρίου ἔρχεται | | 189 |
| ΙΔ'. | 13 | Εἰς τὸν οὐρανὸν ἀναβήσομαι | | 164 |
| | 14 | Ἀναβήσομαι ἐπάνω τῶν νεφῶν | | 164, 310 |
| ΚΣΤ'. | 9 | Διότι φῶς τὰ προστάγματά σου | 142 | |
| | 16 | Κύριε ἐν θλίψει ἐμνήσθημέν σου | 235 | 128 |
| | 20 | Βάδιζε λαός μου | | 303 |
| ΚΘ'. | 13 | Καὶ εἶπε Κύριος, Ἐγγίζει μοι ὁ λαὸς οὗτος | | 73 |
| ΛΗ'. | 1 | Τάξαι περὶ τοῦ οἴκου σου | 72 | 97 |
| | 21 | Λάβε παλάθην σύκων | | 220 |
| Μ'. | 3 | Φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ | | 314 |
| | 5 | Καὶ ὄψεται πᾶσα σὰρξ | 13 | |
| | 22 | Ὡσεὶ καμάραν | 102 | |
| ΜΒ'. | 3 | Λίνον τυφόμενον οὐ σβέσει | | 148 |
| ΜΣΤ'. | 4 | Ἕως | 274 | |
| ΜΘ'. | 6 | Ἰδοὺ δέδωκά σε εἰς διαθήκην | 115, 163 | |
| | 8 | Καιρῷ δεκτῷ ἐπήκουσά σου | | 238 |
| Ν'. | 5 | Ἡ παιδεία Κυρίου ἀνοίγει μου τὰ ὦτα | | 128 |
| ΝΓ'. | 7 | Ὡς πρόβατον ἐπὶ σφαγὴν | 167, 182 | |
| | 9 | Ἁμαρτίαν οὐκ ἐποίησε | 7 | |
| ΝΔ'. | 1 | Πολλὰ τὰ τέκνα τῆς ἐρήμου | 18 | |
| ΝΕ'. | 8 | Οὐ γάρ εἰσιν αἱ βουλαί μου | | 90 |
| | 9 | Ἀλλ' ὡς ἀπέχει ὁ οὐρανὸς | | -- |
| ΝΣΤ'. | 4 | Τάδε λέγει Κύριος τοῖς εὐνούχοις | | 136 |
| | 5 | Καὶ δώσω αὐτοῖς | | 136, 137 |
| | 6 | Καὶ πάντας τοὺς φυλασσομένους | | -- |
| | 7 | Εἰσάξω αὐτοὺς εἰς τὸ ὄρος | | 136, -- |
| ΝΗ'. | 5 | Οὐδ' ἂν κάμψῃς ὡς κρίκον | | 73, 199 |
| | 7 | Διάθρυπτε πεινῶντι τὸν ἄρτον σου | | 47 |
| | 8 | Τότε ῥαγήσεται πρώϊμον τὸ φῶς σου | | 200 |
| | 9 | Τότε βοήσῃ καὶ ὁ Θεὸς εἰσακούσηταί σου | | -- |
| | 10 | Τότε ἀνατελεῖ ἐν τῷ σκότει | 21 | |
| Ξ'. | 1 | Φωτίζου, φωτίζου Ἱερουσαλὴμ | 115 | |
| ΞΑ'. | 1 | Εὐαγγελίσασθαι πτωχοῖς ἀπέσταλκέ με | 22, 78 | 289 |
| | 2 | Καλέσαι ἐνιαυτὸν Κυρίου | 23 | |
| ΞΓ'. | 2 | Διατί σου ἐρυθρὰ τὰ ἱμάτια | 28 | |
| ΞΔ'. | 6 | Ὡς ῥάκος ἀποκαθημένης | | 217 |
| ΞΕ'. | 13 | Τάδε λέγει Κύριος | | 11, 106 |
| | 14 | Ἰδοὺ οἱ δουλεύοντές μοι | | 11 |
| ΞΣΤ'. | 1 | Ὁ οὐρανός μοι θρόνος | | 162 |
| | 2 | Πάντα γὰρ ταῦτα | | -- |

| Κεφ. | Στίχ. | | Α'. Σελ. | Β'. Σελ. |
|---|---|---|---|---|
| | | **ΙΕΡΕΜΙΑΣ.** | | |
| Γ'. | 5 | Ἰδοὺ ἐλάλησας | | 59 |
| Θ'. | 21 | Ἀνέβη θάνατος διὰ τῶν θυρίδων | 195 | 166 |
| ΙΑ'. | 20 | Κύριε κρίνων δίκαια | | 187 |
| ΙΒ'. | 1 | Τί ὅτι ὁδὸς ἀσεβῶν εὐοδοῦται | 53 | 104 |
| | 2 | Ἐγγὺς τοῦ στόματος αὐτῶν | -- | |
| | 3 | Ἅγνισον αὐτοὺς εἰς ἡμέραν | -- | |
| ΙΕ'. | 19 | Ἐὰν ἐξαγάγῃς τίμιον | | 342 |
| ΙΖ'. | 10 | Ἐγὼ Κύριος ἐτάζων | 185 | 209, 210 |
| | 21 | Μὴ αἴρετε βαστάγματα | 48 | |
| ΚΓ'. | 29 | Ὥσπερ πῦρ καὶ ὡς πέλυξ | 141 | |
| ΚΔ'. | 10 | Καὶ ἀποστελῶ εἰς αὐτοὺς | 162 | |
| ΚΘ'. | 22 | Καὶ λήψονται παράδειγμα | | 86 |
| Ν'. | 34 | Κύριος παντοκράτωρ | 162 | |
| | | **ΙΕΖΕΚΙΗΛ.** | | |
| Β'. | 3 | Εἶπε πρός με, υἱὲ ἀνθρώπου | 127 | |
| | 10 | Καὶ ἐγέγραπτο θρῆνος. | | 75 |
| Γ'. | 18 | Καὶ τὸ αἷμα αὐτοῦ | | 333 |
| ΙΔ'. | 6 | Τάδε λέγει Κύριος Κύριος | | 85 |
| ΙΗ'. | 2 | Οἱ πατέρες ἔφαγον ὄμφακας | 75 | |
| | 3 | Ζῶ ἐγὼ λέγει Κύριος | -- | |
| | 4 | Ἡ ψυχὴ ἡ ἁμαρτάνουσα | -- | |
| | 23 | Ὡς τὸ ἀποστρέψαι αὐτὸν | 144 | |
| ΛΓ'. | 11 | Ζῶ ἐγὼ, τάδε λέγει Κύριος. | 257 | 85 |
| | 12 | Εἶπον πρὸς τοὺς υἱοὺς Ἰσραὴλ | 293 | |
| | | **ΔΑΝΙΗΛ.** | | |
| Α'. | 15 | Ὑπὲρ τὰ παιδάρια | | 199 |
| Γ'. | 16 | Καὶ τίς ἐστι Θεὸς, ὃς ἐξελεῖται | | 164 |
| | 17 | Ἔστι γὰρ Θεὸς ἡμῶν ἐν οὐρανοῖς | | 208 |
| Δ'. | 35 | Οὐκ ἔστιν ὃς ἀντιποιήσεται | | -- |
| Ζ'. | 9 | Ἐθεώρουν ἕως ὅτου οἱ θρόνοι ἐτέθησαν | | 181 |
| | 10 | Ποταμὸς πυρὸς εἷλκεν | | 181, 187 |
| | 13 | Μετὰ τῶν νεφελῶν τοῦ οὐρανοῦ | 170 | |
| Θ'. | 24 | Καὶ τοῦ χρῖσαι ἅγιον ἁγίων | | 303 |
| Ι'. | 12 | Μὴ φοβοῦ, Δανιὴλ | | 207 |
| | 19 | Μὴ φοβοῦ, ἀνὴρ ἐπιθυμιῶν | | -- |
| | | **ΩΣΗΕ.** | | |
| Β'. | 23 | Καὶ ἀγαπήσω τὴν οὐκ ἠγαπημένην | 164, 252 | |
| Δ'. | 14 | Οὐ μὴ ἐπισκέψομαι | 88 | |

| Κεφ. | Στίχ. | | Α'. Σελ. | Β'. Σελ. |
|---|---|---|---|---|
| Η'. | 14 | Πῦρ εἰς τὰς πόλεις. . . . . . . . . . | | 10 |
| ΙΑ'. | 1 | Ὅτι νήπιος Ἰσραήλ. . . . . . . . . . | | 304 |

ΙΩΗΛ.

| Κεφ. | Στίχ. | | Α'. Σελ. | Β'. Σελ. |
|---|---|---|---|---|
| Β'. | 28 | Ἐκχεῶ ἀπὸ τοῦ πνεύματός μου . . . . . | 13 | |
| Γ'. | 2 | Καὶ συνάξω πάντα τὰ ἔθνη. . . . . . | | 180 |
| | 12 | Ἐξεγειρέσθωσαν, ἀναβαινέτωσαν . . . . | | -- |

ΑΜΩΣ.

| Κεφ. | Στίχ. | | Α'. Σελ. | Β'. Σελ. |
|---|---|---|---|---|
| Δ'. | 7 | Ἐπὶ πόλιν μίαν, ἐπὶ δὲ πόλιν μίαν . . . | | 10 |
| Ε'. | 21 | Μεμίσηκα, ἀπῶσμαι ἑορτὰς ὑμῶν . . . . | 18 | |

ΙΩΝΑΣ.

| Κεφ. | Στίχ. | | Α'. Σελ. | Β'. Σελ. |
|---|---|---|---|---|
| Γ'. | 4 | Ἔτι τρεῖς ἡμέραι . . . . . . . . . . | 72 | 91 |
| Δ'. | 10 | Σὺ ἐφείσω ὑπὲρ τῆς κολοκύνθης . . . . | | -- |
| | 11 | Ἐγὼ δὲ οὐ φείσομαι ὑπὲρ Νινευή; . . . | | -- |

ΜΙΧΑΙΑΣ.

| Κεφ. | Στίχ. | | Α'. Σελ. | Β'. Σελ. |
|---|---|---|---|---|
| Ε'. | 2 | Καὶ σὺ Βηθλεὲμ οἶκος Ἐφραθά. . . . . | 111 | |

ΑΓΓΑΙΟΣ.

| Κεφ. | Στίχ. | | Α'. Σελ. | Β'. Σελ. |
|---|---|---|---|---|
| Β'. | 6 | Τὸν οὐρανόν, καὶ τὴν γῆν, καὶ τὴν θάλασσαν. | | 10 |

ΖΑΧΑΡΙΑΣ.

| Κεφ. | Στίχ. | | Α'. Σελ. | Β'. Σελ. |
|---|---|---|---|---|
| Α'. | 3 | Ἐπιστρέψατε πρός με . . . . . . . . . | | 85, 116 |
| Β'. | 8 | Ὁ ἁπτόμενος ὑμῶν. . . . . . . . . . | 133 | |
| ΣΤ'. | 12 | Ἀνατολή . . . . . . . . . . . . . | | 320 |
| Η'. | 19 | Νηστεία ἡ τετάρτη . . . . . . . . . | | 197 |
| Θ'. | 9 | Χαῖρε σφόδρα θύγατερ Σιών. . . . . . | | 255, 259 |
| ΙΒ'. | 1 | Πλάσσων πνεῦμα ἀνθρώπου. . . . . . . | | 71, 228 |

ΜΑΛΑΧΙΑΣ.

| Κεφ. | Στίχ. | | Α'. Σελ. | Β'. Σελ. |
|---|---|---|---|---|
| Α'. | 11 | Διότι ἀπὸ ἀνατολῶν ἡλίου . . . . . . | 163 | |
| Γ'. | 1 | Ἰδοὺ ἐγὼ ἀποστέλλω τὸν ἄγγελόν μου . . | 8 | 262, 314, |
| Δ'. | 2 | Ἀνατελεῖ ὑμῖν τοῖς φοβουμένοις . . . . | 36 | |

ΕΣΔΡΑΣ Α'.

| Κεφ. | Στίχ. | | Α'. Σελ. | Β'. Σελ. |
|---|---|---|---|---|
| Ε'. | 19 | Καὶ τούτων ζητηθείσης τῆς γενικῆς . . . | 292 | |

| Κεφ. | Στίχ. | ΤΩΒΙΤ. | Α΄. Σελ. | Β΄. Σελ. |
|---|---|---|---|---|
| Β΄. | 10 | Ἀχιάχαρος δὲ ἔτρεφέ με | | 221 |
| | 11 | Καὶ ἡ γυνή μου Ἄννα ἠριθεύετο | | -- |
| | 12 | Καὶ ἀπέδωκαν αὐτῇ | | -- |
| | | **ΣΟΦΙΑ ΣΟΛΟΜΩΝΤΟΣ.** | | |
| Γ΄. | 4 | Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων | | 64 |
| | 5 | Ὀλίγα παιδευθέντες | | 11, -- |
| Ε΄. | 1 | Τότε στήσεται ἐν παῤῥησίᾳ | | 45 |
| | 2 | Ἰδόντες ταραχθήσονται φόβῳ | | -- |
| ΣΤ΄. | 13 | Φθάσει τοὺς ἐπιθυμοῦντας | | 148 |
| Ζ΄. | 17 | Αὐτὸς γάρ μοι ἔδωκας | 10 | |
| ΙΑ΄. | 17 | Οὐ γὰρ ἠπόρει | -- | |
| | | **ΣΕΙΡΑΧ.** | | |
| Β΄. | 1 | Τέκνον, εἰ προσέρχῃ | 294 | |
| Γ΄. | 21 | Χαλεπώτερά σου μὴ ζήτει | 73 | |
| | 22 | Οὐ γάρ ἐστί σοι χρεία τῶν κρυπτῶν | -- | |
| Ζ΄. | 14 | Μὴ δευτερώσῃς λόγον ἐν προσευχῇ σου | 107 | |
| ΙΕ΄. | 14 | Αὐτὸς ἐξ ἀρχῆς | 73 | 229 |
| | 16 | Προσέθηκέ σοι πῦρ καὶ ὕδωρ | -- | |
| ΛΗ΄. | 16 | Τέκνον, ἐπὶ νεκρῷ | | 25 |
| | | **ΠΡΟΣΕΥΧΗ ΜΑΝΑΣΣΗ.** | | |
| | 9 | Ἥμαρτον ὑπὲρ ἀριθμὸν ψάμμου | | 287 |
| | | **ΜΑΤΘΑΙΟΣ.** | | |
| Α΄. | 18 | Τοῦ δὲ Ἰησοῦ Χριστοῦ ἡ γέννησις | | 288 |
| | 20 | Ἰωσὴφ υἱὸς Δαβὶδ | | 298 |
| | 21 | Τέξεται δὲ υἱὸν | | 299 |
| | 25 | Οὐκ ἐγίνωσκεν αὐτὴν | 81, 274 | |
| Β΄. | 1 | Τοῦ Ἰησοῦ γεννηθέντος | 111 | |
| | 2 | Βασιλέως τῶν Ἰουδαίων | | 304 |
| | 11 | Τὸ παιδίον μετὰ Μαρίας | | 302 |
| | 12 | Μετὰ δὲ ταῦτα Ἄγγελος Κυρίου | | -- |
| | 12 | Δι' ἄλλης ὁδοῦ ἀνεχώρησαν | | -- |
| | 18 | Ῥαχὴλ κλαίουσα τὰ τέκνα αὐτῆς | | 27 |
| | 22 | Ἀνεχώρησεν εἰς τὰ μέρη | | 305 |
| Γ΄. | 2 | Μετανοεῖτε | | 38 |
| | 4 | Αὐτὸς δὲ ὁ Ἰωάννης εἶχε τὸ ἔνδυμα αὐτοῦ | | 316 |
| | 5 | Τότε ἐξεπορεύοντο πρὸς αὐτὸν | | 38 |

| | | | Α'. | Β'. |
|---|---|---|---|---|
| Κεφ. | Στίχ. | | Σελ. | Σελ. |
| Γ'. | 6 | Καὶ ἐβαπτίζοντο ἐν τῷ Ἰορδάνῃ | | 38 |
| | 8 | Ποιήσατε οὖν καρποὺς ἀξίους | | 152 |
| | 11 | Τὰ ὑποδήματα βαστάσαι | | 316 |
| | 17 | Οὗτός ἐστιν ὁ Υἱός μου | 8 | |
| Δ'. | 2 | Νηστεύσας ἡμέρας τεσσαράκοντα | | 197 |
| | 11 | Προσῆλθον καὶ διηκόνουν | | 206 |
| | 12 | Ἀνεχώρησεν εἰς τὴν Γαλιλαίαν | 138 | |
| | 13 | Καὶ καταλιπὼν τὴν Ναζαρέτ | 185 | |
| | 18 | Περιπατῶν ὁ Ἰησοῦς | | 6 |
| | 19 | Δεῦτε ὀπίσω μου | 138, 141 | -- |
| | 20 | Οἱ δὲ εὐθέως ἀφέντες τὰ δίκτυα | | -- |
| | 23 | Εὐαγγέλιον τῆς βασιλείας | 267 | |
| Ε'. | 4 | Μακάριοι οἱ πενθοῦντες | | 45 |
| | 6 | Μακάριοι οἱ πεινῶντες | 154 | |
| | 10 | Μακάριοι οἱ δεδιωγμένοι | -- | |
| | 14 | Ὑμεῖς ἐστὲ τὸ φῶς τοῦ κόσμου | 9 | |
| | 16 | Οὕτω λαμψάτω τὸ φῶς ὑμῶν | | 63, 340 |
| | 17 | Μὴ νομίσητε ὅτι ἦλθον καταλῦσαι τὸν νόμον | | 287 |
| | 19 | Ὃς ἐὰν οὖν λύσῃ | | 287, 337 |
| | 21 | Ἠκούσατε, ὅτι ἐῤῥέθη τοῖς ἀρχαίοις | | 278 |
| | 22 | Ἐγὼ δὲ λέγω ὑμῖν, ὅτι πᾶς ὁ ὀργιζόμενος | | 278, 279, 280 |
| | | τῷ ἀδελφῷ αὐτοῦ εἰκῆ | | 281, 282 |
| | 23 | Ἐὰν οὖν προσφέρῃς τὸ δῶρόν σου | 239 | -- |
| | 24 | Ἄφες τὸ δῶρόν σου | -- | -- |
| | 25 | Ἴσθι εὐνοῶν τῷ ἀντιδίκῳ σου | | 283 |
| | 26 | Ἀμὴν λέγω σοι | | -- |
| | 28 | Πᾶς ὁ βλέπων γυναῖκα | | -- |
| | 29 | Εἰ δὲ ὁ ὀφθαλμός σου | | 146, -- |
| | 30 | Καὶ εἰ ἡ δεξιά σου χεὶρ σκανδαλίζει σε | | -- -- |
| | 34 | Ἐγὼ δὲ λέγω ὑμῖν μὴ ὀμόσαι ὅλως | | 284 |
| | 35 | Μήτε ἐν τῇ γῇ, ὅτι ὑποπόδιόν ἐστι | | -- |
| | 36 | Μήτε ἐν τῇ κεφαλῇ σου ὀμόσῃς | | -- |
| | 37 | Ἔστω δὲ ὁ λόγος ὑμῶν | 188, 192 | 105, 108 |
| | 43 | Ἠκούσατε, ὅτι ἐῤῥέθη | | 16 |
| | 44 | Ἐγὼ δὲ λέγω ὑμῖν | 42, 220 | 15, 16, 19, 21, 59 |
| | 45 | Ἀνατέλλει τὸν ἥλιον αὐτοῦ | | 14, 17, 93, 168 |
| | 48 | Ἔσεσθε οὖν ὑμεῖς τέλειοι | | 136 |
| ΣΤ'. | 1 | Προσέχετε τὴν ἐλεημοσύνην ὑμῶν | 200 | |
| | 3 | Μὴ γνώτω ἡ ἀριστερά σου | 203 | 192, 193, 268 |
| | 5 | Ἀμὴν λέγω ὑμῖν, ἀπέχουσι τὸν μισθὸν | 200 | |
| | 6 | Σὺ δὲ ὅταν προσεύχῃ | 104, 106 | 193 |
| | 9 | Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς | -- 239 | 117 |
| | 10 | Γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ | | 121 |
| | 12 | Ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν | 85, 106, 239 | |
| | 13 | Ἀλλὰ ῥῦσαι ἡμᾶς | 106 | |
| | 14 | Ἐὰν γὰρ ἀφῆτε τοῖς ἀνθρώποις | 238, 241 | |

| Κεφ. | Στίχ. | | Α'. Σελ. | Β'. Σελ. |
|---|---|---|---|---|
| ΣΤ'. | 15 | Ἐὰν μὴ ἀφῆτε τοῖς ἀνθρώποις | 238, 239 | |
| | 17 | Σὺ δὲ νηστεύων, ἄλειψαί σου τὴν κεφαλὴν | | 117, 268 |
| | 18 | Ὅπως μὴ φανῇς τοῖς ἀνθρώποις | | -- |
| | 20 | Ὅπου οὔτε σὴς οὔτε βρῶσις ἀφανίζει | | 93 |
| | 25 | Μὴ μεριμνᾶτε τῇ ψυχῇ ὑμῶν | 159 | |
| | 33 | Ζητεῖτε πρῶτον | 136, -- | 7, 12 |
| Ζ'. | 7 | Αἰτεῖτε καὶ δοθήσεται ὑμῖν | 105 | |
| | 12 | Οὗτος γάρ ἐστιν ὁ νόμος | | 13 |
| | 19 | Ἐκκόπτεται καὶ εἰς πῦρ βάλλεται. | | 188 |
| Η'. | 4 | Ὅρα μηδενὶ εἴπῃς | 198 | |
| | 7 | Ἐγὼ ἐλθὼν θεραπεύσω αὐτόν | 165, 292 | |
| | 8 | Κύριε, οὐκ εἰμὶ ἱκανός | 165, 173, -- | 4 |
| | 13 | Ὕπαγε, καὶ ὡς ἐπίστευσας γενηθήτω σοι. | 198 | |
| | 18 | Ἰδὼν δὲ ὁ Ἰησοῦς πολλοὺς ὄχλους περὶ αὐτόν. | -- | |
| | 22 | Ἀκολούθει μοι, καὶ ἄφες τοὺς νεκρούς. | | 120, 281 |
| | 26 | Ἐγερθεὶς, ἐπετίμησε τοῖς ἀνέμοις. | 214, 217 | |
| | 27 | Ποταπός ἐστιν οὗτος; | -- | |
| | 30 | Ἦν δὲ μακρὰν ἀπ' αὐτῶν | | 56 |
| Θ'. | 2 | Ἀφέωνταί σοι αἱ ἁμαρτίαι σου | 188 | |
| | 4 | Καὶ ἰδὼν ὁ Ἰησοῦς τὰς ἐνθυμήσεις αὐτῶν | | 213 |
| | 9 | Ἀκολούθει μοι | | 33 |
| | 13 | Οὐ γὰρ ἦλθον καλέσαι δικαίους. | 95 | 150, 152 |
| | 21 | Ἔλεγε γὰρ ἐν ἑαυτῇ | | 69, 72 |
| | 22 | Θύγατερ, ἡ πίστις σου σέσωκέ σε | 198 | 124 |
| | 24 | Ἀναχωρήσατε, τὸ κοράσιον οὐκ ἀπέθανε | -- | |
| | 28 | Πιστεύετε, ὅτι δύναμαι τοῦτο ποιῆσαι; | 47 | |
| | 30 | Ὁρᾶτε μηδεὶς γινωσκέτω | 198 | |
| | 32 | Καὶ ἰδοὺ προσήνεγκαν αὐτῷ | 224 | |
| | 33 | Καὶ ἐκβληθέντος τοῦ δαιμονίου | -- | |
| | 34 | Ἐν τῷ ἄρχοντι τῶν δαιμονίων | | 38 |
| Ι'. | 1 | Ἐξουσίαν κατὰ πνευμάτων | 225 | |
| | 5 | Εἰς Πόλιν Σαμαρειτῶν | 55, 262, 289 | |
| | 6 | Πορεύεσθε δὲ μᾶλλον πρὸς τὰ πρόβατα τὰ ἀπολωλότα οἴκου Ἰσραήλ | --, 67, 262, 264, 289 | |
| | 16 | Γίνεσθε οὖν φρόνιμοι ὡς οἱ ὄφεις | | 163 |
| | 22 | Ὁ ὑπομείνας εἰς τέλος. | 298 | |
| | 23 | Ὅταν δὲ διώκωσιν ὑμᾶς | | 324 |
| | 26 | Μὴ οὖν φοβηθῆτε αὐτούς | 41 | |
| | 28 | Μὴ φοβηθῆτε ἀπὸ τῶν ἀποκτεινόντων | -- | |
| | 30 | Ὑμῶν δὲ καὶ αἱ τρίχες | 174 | 209 |
| | 34 | Μὴ νομίσητε, ὅτι ἦλθον | | 334 |
| | 35 | Ἦλθον γὰρ διχάσαι ἄνθρωπον | | -- |
| | 36 | Καὶ ἐχθροὶ τοῦ ἀνθρώπου οἱ οἰκιακοὶ αὐτοῦ | | 146, -- |
| | 37 | Ὁ φιλῶν πατέρα ἢ μητέρα | | 120, -- |
| | 38 | Καὶ ὃς οὐ λαμβάνει τὸν σταυρόν | | -- |
| | 41 | Ὁ δεχόμενος προφήτην | | 339 |

| Κεφ. | Στίχ. | | Α'. Σελ. | Β'. Σελ. |
|---|---|---|---|---|
| Ι'. | 42 | Καὶ ὃς ἐὰν ποτίσῃ | | 339 |
| ΙΑ'. | 11 | Ὁ δὲ μικρότερος | 129 | 316 |
| | 12 | Ἡ βασιλεία τῶν οὐρανῶν | | 80 |
| | 13 | Ἕως Ἰωάννου προεφήτευσαν | 58 | |
| | 27 | Πάντα μοι παρεδόθη | 22, 94, 98 | |
| | 28 | Δεῦτε πρός με πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι | 14, 138, 141 | 83, 89, 113, 117, 263 |
| | 29 | Μάθετε ἀπ' ἐμοῦ | 30, 135, 224 | 161, 247 |
| | 30 | Ὁ γὰρ ζυγός μου χρηστός | 52 | |
| ΙΒ'. | 8 | Κύριος γάρ ἐστι τοῦ σαββάτου | 79 | |
| | 16 | Καὶ ἐπετίμησεν αὐτοῖς | 198 | |
| | 20 | Λίνον τυφόμενον οὐ σβέσει | | 148 |
| | 22 | Τότε προσηνέχθη αὐτῷ | 224 | |
| | 24 | Βεελζεβούλ | 187 | |
| | 30 | Ὁ μὴ συνάγων μετ' ἐμοῦ | | 11 |
| | 36 | Λέγω δὲ ὑμῖν | | 187, 287 |
| | 40 | Ὥσπερ γὰρ ἦν Ἰωνᾶς | 32 | |
| | 42 | Ἐγερθήσεται ἐν τῇ κρίσει | 127 | |
| | 50 | Ὃς γὰρ ἐὰν ποιήσῃ | | 28 |
| ΙΓ'. | 5 | Ἄλλα δὲ ἔπεσεν ἐπὶ τὰ πετρώδη | | 32 |
| | 10 | Καὶ προσελθόντες οἱ μαθηταί | | 33 |
| | 11 | Ὅτι ὑμῖν δέδοται γνῶναι | | 34 |
| | 13 | Βλέποντες οὐ βλέπουσι | 260 | 34, 59 |
| | 16 | Ὑμῶν δὲ μακάριοι οἱ ὀφθαλμοί | 27 | |
| | 17 | Ἀμὴν γὰρ λέγω ὑμῖν | -- | 326 |
| | 19 | Παντὸς ἀκούοντος τὸν λόγον | | 34 |
| | 22 | Καὶ ἡ μέριμνα τοῦ αἰῶνος | | 35, 226 |
| | 27 | Προσελθόντες δὲ οἱ δοῦλοι | 235 | -- |
| | 38 | Ὁ δὲ ἀγρός ἐστιν ὁ κόσμος | | 104, 113 |
| | 55 | Οὐχ οὗτός ἐστιν ὁ τοῦ τέκτονος υἱός; | 84 | |
| | 56 | Καὶ αἱ ἀδελφαὶ αὐτοῦ | -- | |
| ΙΔ'. | 10 | Ἀπεκεφάλισε | | 324 |
| | 21 | Πεντακισχιλίους | 57 | |
| | 22 | Ἠνάγκασε τοὺς μαθητὰς αὐτοῦ | 198 | |
| | 23 | Εἰς τὸ ὄρος | 104 | |
| | 31 | Ὀλιγόπιστε, εἰς τί ἐδίστασας; | 221 | |
| ΙΕ'. | 14 | Ἄφετε αὐτούς | | 328, 335 |
| | 22 | Ἐλέησόν με, Κύριε | | 218 |
| | 25 | Κύριε, βοήθει μοι | | -- |
| | 26 | Οὐκ ἔστι καλόν | 161 | |
| | 27 | Ναί, Κύριε | -- | |
| | 28 | Γενηθήτω σοι ὡς θέλεις | 165, 198, 289 | 218 |
| | 38 | Τετρακισχιλίους | 57 | |
| | 39 | Ἦλθεν εἰς τὰ ὅρια Μαγδαλά | 198 | |
| ΙΣΤ'. | 7 | Ὅτι ἄρτους οὐκ ἐλάβομεν | | 139 |
| | 14 | Ἄλλοι δὲ Ἠλίαν | 109 | |

| Κεφ. | Στίχ. | | Α'. Σελ. | Β'. Σελ. |
|---|---|---|---|---|
| ΙΣΤ'. | 16 | Σὺ εἶ ὁ Χριστὸς ὁ Υἱὸς τοῦ Θεοῦ . . . . . | 26, 101 | 205 |
| | 17 | Μακάριος εἶ Σίμων . . . . . . . . . . | 12 | -- |
| | 18 | Καὶ ἐπὶ ταύτῃ τῇ πέτρᾳ . . . . . . . . | 256 | -- |
| | 19 | Καὶ δώσω σοι τὰς κλεῖς . . . . . . . . | 23 | |
| | 22 | Καὶ προσλαβόμενος αὐτὸν ὁ Πέτρος . . . | | 142 |
| | 23 | Ὁ δὲ στραφεὶς, εἶπε τῷ Πέτρῳ . . . . . | | 144, 146, 320 |
| | 24 | Εἴτις θέλει ὀπίσω μου ἐλθεῖν . . . . . | | 115 |
| | 27 | Μέλλει γὰρ ὁ Υἱὸς τοῦ ἀνθρώπου . . . . . | 29 | |
| ΙΖ'. | 2 | Ἔλαμψεν ὡς ὁ ἥλιος . . . . . . . . . | | 226 |
| | 5 | Οὗτός ἐστιν ὁ Υἱός μου ὁ ἀγαπητός . . . | 15, 199 | 48, -- |
| | 6 | Ἔπεσον ἐπὶ πρόσωπον . . . . . . . . | | -- |
| | 9 | Μηδενὶ εἴπητε τὸ ὅραμα . . . . . . . . | 199 | |
| | 19 | Διατί ἡμεῖς οὐκ ἠδυνήθημεν; . . . . . . | 221 | |
| | 20 | Ἐρεῖ τῷ ὄρει τούτῳ· Μετάβηθι . . . . . . | -- | |
| | 27 | Ἵνα δὲ μὴ σκανδαλίσωμεν αὐτούς . . . . | | 330 |
| ΙΗ'. | 6 | Ὃς δ' ἂν σκανδαλίσῃ . . . . . . . . . | | 333 |
| | 7 | Οὐαὶ τῷ ἀνθρώπῳ ἐκείνῳ . . . . . . . . | | -- |
| | 8 | Εἰ δὲ ἡ χείρ σου, ἢ ὁ πούς σου . . . . . . | | 334 |
| | 9 | Καὶ εἰ ὁ ὀφθαλμός σου σκανδαλίζει σε . . | | -- |
| | 18 | Ἀμὴν λέγω ὑμῖν, ὅσα ἂν δήσητε . . . . . | 23 | |
| | 21 | Κύριε, ποσάκις ἁμαρτήσει εἰς ἐμέ; . . . . | | 90 |
| | 22 | Λέγει αὐτῷ ὁ Ἰησοῦς . . . . . . . . . | | -- |
| | 23 | Ὡμοιώθη ἡ βασιλεία τῶν οὐρανῶν . . . . . | 281 | -- |
| | 24 | Ἀρξαμένου δὲ αὐτοῦ συναίρειν . . . . . . | | -- |
| | 27 | Σπλαγχνισθεὶς δὲ ὁ Κύριος . . . . . . | | -- |
| | 30 | Ἕως . . . . . . . . . . . . . . . | 274 | |
| | 34 | Καὶ παρέδωκεν αὐτὸν τοῖς βασανισταῖς . . | 268 | |
| ΙΘ'. | 6 | Ὃ οὖν ὁ Θεὸς συνέζευξεν . . . . . . . . | | 284 |
| | 8 | Ἀπ' ἀρχῆς . . . . . . . . . . . . . | | 283 |
| | 11 | Οὐ πάντες χωροῦσι τὸν λόγον τοῦτον . . . | 245 | |
| | 12 | Εἰσὶ γὰρ εὐνοῦχοι . . . . . . . . . . | | 15, 52 |
| | 17 | Εἰ δὲ θέλεις εἰσελθεῖν εἰς τὴν ζωὴν . . . | 52, 71 | |
| | 19 | Ἀγαπήσεις τὸν πλησίον σου . . . . . . . | | 245, 327 |
| | 20 | Πάντα ταῦτα ἐφυλαξάμην . . . . . . . . | 251 | |
| | 21 | Εἰ δὲ θέλεις τέλειος εἶναι . . . . . . . | 126, 247, 249 | 15, 286 |
| | 23 | Ἀμὴν λέγω ὑμῖν, ὅτι πλούσιος . . . . . | -- | |
| | 25 | Τίς ἄρα δύναται σωθῆναι; . . . . . . . | 242 | |
| | 26 | Παρὰ δὲ Θεῷ πάντα δυνατά ἐστι . . . . . | 249 | |
| | 27 | Ἰδοὺ ἡμεῖς ἀφήκαμεν πάντα . . . . . . | 276 | 134 |
| | 28 | Ἐπὶ δώδεκα θρόνους . . . . . . . . . | | 241 |
| | 29 | Ἑκατονταπλασίονα λήψεται, καὶ ζωὴν αἰώνιον κληρονομήσει . . . . . . . . | 129, 130, 134, 220, 287 | 20 |
| Κ'. | 6 | Περὶ τὴν ἑνδεκάτην ὥραν . . . . . . . . | | 237 |
| | 13 | Ἑταῖρε, οὐκ ἀδικῶ σε . . . . . . . . . | 265 | |
| | 14 | Θέλω δὲ τούτῳ τῷ ἐσχάτῳ δοῦναι . . . . | | 339 |
| | 15 | Ἢ οὐκ ἔξεστί μοι ποιῆσαι ὃ θέλω; . . . . | | -- |

| Κεφ. | Στίχ. | | Α΄. Σελ. | Β΄. Σελ. |
|---|---|---|---|---|
| κ΄. | 22 | Δύνασθε πιεῖν τὸ ποτήριον; | | 312 |
| | 23 | Ἀλλ' οἷς ἡτοίμασται | | 242 |
| | 25 | Οἱ Ἄρχοντες τῶν ἐθνῶν | | -- |
| | 30 | Καὶ ἰδοὺ δύο τυφλοί | | 138 |
| κα΄. | 8 | Κλάδους ἀπὸ τῶν δένδρων | | 250 |
| | 9 | Ὡσαννὰ τῷ Υἱῷ Δαβίδ, εὐλογ. ὁ ἐρχόμενος | | 250, 256 |
| | 15 | Ὡσαννὰ τῷ Υἱῷ Δαβίδ | | -- 258 |
| | 22 | Καὶ πάντα ὅσα ἂν αἰτήσητε | 230 | |
| κβ΄. | 11 | Εἰσελθὼν ὁ Βασιλεύς | | 186 |
| | 12 | Πῶς εἰσῆλθες ὧδε | 338 | |
| | 13 | Εἰς τὸ σκότος τὸ ἐξώτερον· ἐκεῖ ἔσται ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων | 238, 268, 269, 279 | 186, 219 |
| | 17 | Ἔξεστι δοῦναι Κῆνσον; | 274 | |
| | 19 | Νόμισμα Κήνσου | 234 | |
| | 21 | Ἀπόδοτε τὰ Καίσαρος Καίσαρι | 274 | |
| | 30 | Ὡς Ἄγγελοι | 127 | |
| | 33 | Ἀκούσαντες οἱ ὄχλοι | 274 | |
| | 37 | Ἀγαπήσεις Κύριον τὸν Θεόν σου | 272, 277 | 73, 276 |
| | 39 | Ἀγαπήσεις τὸν πλησίον σου ὡς σεαυτόν | | 15, 50, 275, 276 |
| | 40 | Ἐν ταύταις ταῖς δυσὶν ἐντολαῖς ὅλος ὁ νόμος καὶ οἱ προφῆται κρέμανται | 157 | 188, 276, 287, 327 |
| | 43 | Πῶς οὖν Δαβὶδ ἐν πνεύματι | 11 | |
| κγ΄. | 2 | Ἐπὶ τῆς Μωσέως καθέδρας | 185 | 39 |
| | 3 | Πάντα ὅσα ἂν εἴπωσιν ὑμῖν | | -- |
| | 5 | Πάντα τὰ ἔργα αὐτῶν ποιοῦσι | | 106, 157 |
| | 13 | Οὐαὶ ὑμῖν Γραμματεῖς καὶ Φαρισαῖοι ὑποκριταί | | 58, 110, 141, 174 |
| | 14 | Οὐαὶ ὑμῖν Γραμματεῖς καὶ Φαρισαῖοι ὑποκριταί | | 106 |
| | 27 | Οἵτινες ἔξωθεν μὲν φαίνονται | 201 | |
| | 35 | Μεταξὺ τοῦ Ναοῦ | 253 | |
| κδ΄. | 44 | Διὰ τοῦτο καὶ ὑμεῖς γίνεσθε ἕτοιμοι | | 101 |
| | 46 | Μακάριος ὁ δοῦλος ἐκεῖνος | | 20, -- |
| | 48 | Ἐὰν δὲ εἴπῃ ὁ κακὸς δοῦλος | | -- |
| | 49 | Καὶ ἄρξηται τύπτειν τοὺς συνδούλους | | -- |
| | 50 | Ἥξει ὁ Κύριος τοῦ δούλου ἐκείνου | | -- |
| | 51 | Διχοτομήσει | | -- |
| κε΄. | 6 | Ἰδοὺ ὁ νυμφίος ἔρχεται | | 235 |
| | 11 | Κύριε, Κύριε, ἄνοιξον ἡμῖν | | 219, -- |
| | 12 | Ὁ δὲ ἀποκριθεὶς, εἶπε | | -- |
| | 13 | Γρηγορεῖτε, ὅτι οὐκ οἴδατε | | 101, 238 |
| | 15 | Καὶ ᾧ μὲν ἔδωκε πέντε τάλαντα | | 337 |
| | 19 | Μετὰ δὲ χρόνον πολύν | 280 | |
| | 21 | Εἴσελθε εἰς τὴν χαράν | 261, 285, 287 | 20, 337 |
| | 25 | Ἔχεις τὸ σόν | | 219 |
| | 26 | Πονηρὲ δοῦλε καὶ ὀκνηρέ | | -- |

| Κεφ. | Στίχ. | | Α'. Σελ. | Β'. Σελ. |
|---|---|---|---|---|
| ΚΕ'. | 28 | Ἄρατε οὖν ἀπ' αὐτοῦ τὸ τάλαντον . . . . | 288 | |
| | 30 | Ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων . | | 219 |
| | 31 | Καθίσει ἐπὶ θρόνου . . . . . . . . | 30 | |
| | 34 | Ἀπὸ καταβολῆς κόσμου . . . . . . . . | 269 | 20, 44, 76 190, 194, 217 219, 242 |
| | 40 | Ἐφ' ὅσον ἐποιήσατε ἑνὶ τούτων τῶν ἐλαχίστων. . . . . . . . . . . . . . | 30, 220 | 194, 257 |
| | 41 | Πορεύεσθε ἀπ' ἐμοῦ οἱ κατηραμένοι εἰς τὸ πῦρ τὸ αἰώνιον. . . . . . . . . . . | | 30, 44, 76, 189 219 |
| ΚΣΤ'. | 8 | Ἠγανάκτησαν. . . . . . . . . . . | | 252 |
| | 12 | Βαλοῦσα γὰρ αὕτη τὸ μύρον. . . . . . | | 253 |
| | 13 | Ἀμὴν γὰρ λέγω ὑμῖν. . . . . . . . | | -- |
| | 14 | Πορευθεὶς εἷς τῶν δώδεκα. . . . . . . | | 240 |
| | 15 | Τί θέλετέ μοι δοῦναι; . . . . . . . . | | -- |
| | 16 | Καὶ ἀπὸ τότε ἐζήτει εὐκαιρίαν . . . . . | | -- |
| | 26 | Λάβετε, φάγετε, τοῦτό ἐστι τὸ σῶμά μου . | 16, 167, 169 | 257 |
| | 27 | Πίετε ἐξ αὐτοῦ πάντες . . . . . . . | -- | -- |
| | 28 | Τοῦτό ἐστι τὸ αἷμά μου . . . . . . . | | -- |
| | 31 | Πάντες ὑμεῖς σκανδαλισθήσεσθε . . . . . | 93 | |
| | 38 | Περίλυπός ἐστιν ἡ ψυχή μου . . . . . | | 99 |
| | 39 | Ἐπὶ πρόσωπον αὐτοῦ . . . . . . . . | | 99, 242 |
| | 41 | Γρηγορεῖτε καὶ προσεύχεσθε . . . . . . | 104, 216, 245 | |
| | 42 | Πάτερ μου, εἰ οὐ δυνατόν . . . . . . . | 96 | |
| | 50 | Ἑταῖρε, ἐφ' ᾧ πάρει; . . . . . . . . | 266 | |
| | 56 | Ἔφυγον . . . . . . . . . . . . | 24 | |
| | 59 | Οἱ Ἀρχιερεῖς καὶ οἱ πρεσβύτεροι . . . . | | 240 |
| | 66 | Ἔνοχος θανάτου ἐστί . . . . . . . . | | -- |
| | 67 | Ἐκολάφισαν αὐτόν . . . . . . . . . | | -- |
| | 75 | Ἔκλαυσε πικρῶς. . . . . . . . . . | 124 | |
| ΚΖ'. | 2 | Δήσαντες αὐτόν, ἀπήγαγον καὶ παρέδωκαν . | | 240 |
| | 3 | Μεταμεληθείς . . . . . . . . . . | 158 | |
| | 4 | Ἥμαρτον παραδοὺς αἷμα ἀθῷον . . . . | -- | |
| | 5 | Καὶ ῥίψας τὰ ἀργύρια ἐν τῷ ναῷ, ἀνεχώρησεν. | 158, 297 | 153 |
| | 28 | Χλαμύδα κοκκίνην . . . . . . . . . | | 240, 320 |
| | 29 | Χαῖρε ὁ Βασιλεὺς τῶν Ἰουδαίων . . . . | | 240 |
| | 30 | Ἔτυπτον εἰς τὴν κεφαλὴν αὐτοῦ. . . . . | | -- |
| | 52 | Καὶ πολλὰ σώματα . . . . . . . . | | 48 |
| | 53 | Καὶ ἐξελθόντες ἐκ τῶν μνημείων . . . . | | -- |
| | 54 | Ἀληθῶς Θεοῦ Υἱὸς ἦν οὗτος. . . . . . | 93 | |
| | 56 | Καὶ Ἰωσῆ . . . . . . . . . . . | 35 | |
| | 57 | Ἦλθεν ἄνθρωπος πλούσιος . . . . . . | 32 | |
| ΚΗ'. | 1 | Ὀψὲ δὲ σαββάτων . . . . . . . . . | 36 | 240 |
| | 2 | Ἀπεκύλισε τὸν λίθον . . . . . . . . | 28, 37 | |
| | 6 | Ἠγέρθη, οὐκ ἔστιν ὧδε . . . . . . . | 36 | |
| | 9 | Καὶ ἰδοὺ ὁ Ἰησοῦς ἀπήντησεν αὐταῖς . . . | 2 | |

| Κεφ. | Στίχ. | | Α'. Σελ. | Β'. Σελ. |
|---|---|---|---|---|
| κη'. | 10 | Ὑπάγετε, ἀπαγγείλατε | 38 | |
| | 12 | Ἀργύρια ἱκανὰ ἔδωκαν τοῖς στρατιώταις | | 48 |
| | 13 | Εἴπατε, ὅτι οἱ μαθηταὶ αὐτοῦ | | -- |
| | 17 | Καὶ ἰδόντες αὐτὸν, προσεκύνησαν αὐτῷ | | -- |
| | 18 | Ἐδόθη μοι πᾶσα ἐξουσία ἐν οὐρανῷ | 39 | 243 |
| | 19 | Βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ Πατρός | 97,255,264 | 321 |
| | 20 | Καὶ ἰδοὺ ἐγὼ μεθ' ὑμῶν εἰμί | 81 | 297 |

## ΜΑΡΚΟΣ.

| Κεφ. | Στίχ. | | Α'. Σελ. | Β'. Σελ. |
|---|---|---|---|---|
| α'. | 7 | Ἔρχεται ὁ ἰσχυρότερός μου ὀπίσω μου | 262 | |
| | 8 | Ἐγὼ μὲν ἐβάπτισα ὑμᾶς ἐν ὕδατι | -- | 315, 319 |
| | 10 | Καὶ εὐθέως ἀναβαίνων | | 321 |
| | 17 | Δεῦτε ὀπίσω μου, καὶ ποιήσω ὑμᾶς | | 5, 6 |
| β'. | 1 | Καὶ πάλιν εἰσῆλθεν εἰς Καπερναούμ | 177 | |
| | 5 | Τέκνον, ἀφέωνταί σοι αἱ ἁμαρτίαι σου | 257 | 213,215 |
| | 8 | Καὶ εὐθέως ἐπιγνοὺς ὁ Ἰησοῦς | | --,233 |
| | 11 | Σοὶ λέγω, ἔγειραι καὶ ἆρον τὸν κράββατόν σου | 257 | 215 |
| γ'. | 14 | Δώδεκα ἐποίησεν | 24 | |
| δ'. | 5 | Ὅπου οὐκ εἶχε γῆν πολλήν | | 32 |
| | 20 | Ἓν μὲν τριάκοντα | | 80 |
| | 39 | Καὶ ἐπέταξεν αὐτοῖς ἀνακλῖναι πάντας | 206 | |
| | 40 | Καὶ ἀνέπεσον πρασιαὶ πρασιαί | -- | |
| ε'. | 1 | Εἰς τὴν χώραν τῶν Γαδαρηνῶν | 198 | |
| | 15 | Καὶ ἐξῆλθον ἰδεῖν τὸ γεγονός | 177 | |
| | 22 | Ὁ Ἀρχισυνάγωγος | | 67 |
| | 23 | Ἵνα ἐλθὼν ἐπιθῇ αὐτῇ τὰς χεῖρας | | 71 |
| | 26 | Καὶ μηδὲν ὠφεληθεῖσα | | 67 |
| | 34 | Καὶ ἴσθι ὑγιής | | 69, 72 |
| | 37 | Οὐκ ἀφῆκεν οὐδένα | | 70 |
| | 40 | Ὁ δὲ ἐκβαλὼν ἅπαντας | | 71 |
| στ'. | 18 | Οὐκ ἔξεστί σοι | | 324 |
| | 45 | Ἠνάγκασε τοὺς μαθητάς | 218 | |
| ζ'. | 2 | Τί οὗτος οὕτω λαλεῖ βλασφημίας; | | 139 |
| | 24 | Εἰς τὰ μεθόρια Τύρου καὶ Σιδῶνος | 290 | |
| | 26 | Συροφοίνισσα τῷ γένει | -- | |
| η'. | 33 | Ὕπαγε ὀπίσω μου Σατανᾶ | | 270 |
| | 34 | Ὅς τις θέλει ὀπίσω μου ἐλθεῖν | | -- |
| | 35 | Ὃς γὰρ ἂν θέλῃ τὴν ψυχὴν αὐτοῦ σῶσαι | | -- |
| θ'. | 18 | Καὶ ὅπου ἂν αὐτὸν καταλάβῃ | 223 | |
| | 21 | Καὶ ἐπηρώτησε τὸν πατέρα αὐτοῦ | | 232,233 |
| | 22 | Εἴτι δύνασαι βοήθησον ἡμῖν | 224, 225 | |
| | 23 | Εἰ δύνασαι πιστεῦσαι | -- | |
| | 24 | Πιστεύω, Κύριε, βοήθει μου τῇ ἀπιστίᾳ | 222, -- | |
| | 25 | Τὸ πνεῦμα τὸ ἄλαλον καὶ κωφόν | -- | |

| Κεφ. | Στίχ. | | Α'. Σελ. | Β'. Σελ. |
|---|---|---|---|---|
| θ'. | 26 | Καὶ ἐγένετο ὡσεὶ νεκρός | 225 | |
| | 30 | Διὰ τῆς Γαλιλαίας | 227 | |
| | 35 | Εἴτις θέλει πρῶτος εἶναι | | 233 |
| | 50 | Ἔχετε ἐν ἑαυτοῖς ἅλας | | 274 |
| ι'. | 21 | Ἐμβλέψας αὐτῷ, ἠγάπησεν αὐτόν | 242 | 130 |
| | 22 | Ὁ δὲ, στυγνάσας | | 131 |
| | 30 | Ἐὰν μὴ λάβῃ ἑκατονταπλασίονα | 131 | 7 |
| | 38 | Δύνασθε πιεῖν τὸ ποτήριον; | | 241 |
| | 42 | Οἱ δοκοῦντες ἄρχειν τῶν ἐθνῶν | 154 | |
| | 43 | Οὐχ οὕτω δὲ ἔσται ἐν ὑμῖν | -- | |
| | 45 | Καὶ γὰρ ὁ Υἱὸς τοῦ ἀνθρώπου | | 244 |
| | 46 | Καὶ ἐκπορευομένου αὐτοῦ | | 138 |
| | 52 | Ἡ πίστις σου σέσωκέ σε | 77 | 124 |
| ια'. | 10 | Εὐλογημένη ἡ ἐρχομένη | | 250 |
| | 24 | Πάντα ὅσα ἂν προσευχόμενοι | 105 | |
| ιβ'. | 14 | Δηνάριον | 234 | |
| | 30 | Ἀγαπήσεις Κύριον τὸν Θεόν σου | 158 | |
| | 32 | Καλῶς, Διδάσκαλε | 271, 274 | |
| | 33 | Ἀμὴν λέγω ὑμῖν, ὅτι ἡ χήρα ἡ πτωχή | 286 | 339 |
| | 44 | Πάντες γὰρ ἐκ τοῦ περισσεύματος | -- | 340 |
| ιδ'. | 3 | Καὶ συντρίψασα τὸ ἀλάβαστρον | | 252 |
| | 4 | Ἦσαν δέ τινες ἀγανακτοῦντες | | -- |
| | 5 | Καὶ ἐνεβριμῶντο | | -- |
| | 6 | Τί αὐτῇ κόπους παρέχετε; | | 253 |
| | 7 | Πάντοτε γὰρ τοὺς πτωχοὺς ἔχετε | | -- |
| | 8 | Ὃ εἶχεν αὕτη ἐποίησεν | | -- |
| | 9 | Ἀμὴν γὰρ λέγω ὑμῖν | | -- |
| ιε'. | 25 | Ἦν δὲ ὥρα τρίτη | 33 | |
| | 43 | Ὃς καὶ αὐτὸς ἦν προσδεχόμενος | 32 | |
| ιστ'. | 6 | Ἰησοῦν ζητεῖτε τὸν Ναζαρηνόν; | | 324 |
| | 9 | Ἀναστὰς πρωῒ πρώτῃ σαββάτου | 2 | 159 |
| | 15 | Εἰς τὸν κόσμον ἅπαντα | 39, 46 | 327 |
| | 16 | Πᾶς ὁ πιστεύσας καὶ βαπτισθεὶς, σωθήσεται | 12,16,29,46, 221 | 326, -- |
| | 17 | Σημεῖα τοῖς πιστεύσασι | -- | |
| | 18 | Ὄφεις ἀροῦσιν | -- | |


## ΛΟΥΚΑΣ.


| Κεφ. | Στίχ. | | Α'. Σελ. | Β'. Σελ. |
|---|---|---|---|---|
| α'. | 22 | Διέμεινε κωφός | 196 | |
| | 28 | Χαῖρε Κεχαριτωμένη | | 298 |
| | 30 | Μὴ φοβοῦ Μαριάμ | | -- |
| | 32 | Οὗτος ἔσται μέγας | | 299 |
| | 35 | Διὸ καὶ τὸ γεννώμενον | | 163, -- |
| | 36 | Καὶ ἰδοὺ Ἐλισάβετ | 15 | |
| | 38 | Ἰδοὺ ἡ δούλη Κυρίου | | 163 |

| Κεφ. | Στίχ. | | Α'. Σελ. | Β'. Σελ. |
|---|---|---|---|---|
| Α'. | 43 | Καὶ πόθεν μοι τοῦτο; | | 163 |
| | 48 | Ὅτι ἐπέβλεψεν ἐπὶ τὴν ταπείνωσιν | | -- |
| | 52 | Δυνάστας ἀπὸ θρόνων | | 27 |
| | 62 | Ἐνένευον | 196 | |
| | 63 | Ἰωάννης ἔσται τὸ ὄνομα αὐτοῦ | -- | |
| | 78 | Ἐν οἷς ἐπεσκέψατο | 21 | 320 |
| | 79 | Ἐπιφᾶναι τοῖς ἐν σκότει | -- | |
| Β'. | 12 | Καὶ τοῦτο ὑμῖν τὸ σημεῖον | | 300 |
| | 14 | Δόξα ἐν ὑψίστοις Θεῷ | 21 | -- |
| | 23 | Καθὼς γέγραπται ἐν νόμῳ | | 305 |
| | 26 | Μὴ ἰδεῖν θάνατον | | 299 |
| | 29 | Νῦν ἀπολύεις τὸν δοῦλόν σου | | -- |
| | 34 | Σημεῖον ἀντιλεγόμενον | 15 | 300 |
| | 39 | Καὶ ὡς ἐτέλεσαν ἅπαντα τὰ κατὰ τὸν νόμον | | 307 |
| | 51 | Καὶ κατέβη μετ' αὐτῶν | | 309 |
| Γ'. | 15 | Προσδοκῶντος δὲ τοῦ λαοῦ | 9 | |
| | 19 | Ὁ δὲ Ἡρώδης | | 324 |
| | 20 | Προσέθηκε καὶ τοῦτο | | -- |
| | 38 | Υἱὸς τοῦ Ἐνὼς, τοῦ Σὴθ, τοῦ Ἀδάμ | | 288 |
| Δ'. | 8 | Ὕπαγε ὀπίσω μου, Σατανᾶ | | 320 |
| | 16 | Καὶ ἦλθεν εἰς Ναζαρὲτ | 111 | |
| | 17 | Ἐπεδόθη αὐτῷ βιβλίον | | 102 |
| | 18 | Εὐαγγελίσασθαι πτωχοῖς | | 263 |
| | 19 | Κηρύξαι ἐνιαυτὸν Κυρίου δεκτὸν | | -- |
| | 22 | Καὶ πάντες ἐμαρτύρουν αὐτῷ | | 204 |
| | 43 | Εὐαγγελίσασθαί με δεῖ | 95 | |
| Ε'. | 1 | Ἐγένετο δὲ ἐν τῷ τὸν ὄχλον | | 2, 5 |
| | 4 | Χαλάσατε τὰ δίκτυα | | 1, 6 |
| | 10 | Μὴ φοβοῦ | | -- |
| | 19 | Καὶ μὴ εὑρόντες | | 214 |
| ΣΤ'. | 21 | Μακάριοι οἱ πεινῶντες νῦν | | 64, 258 |
| | 25 | Οὐαὶ ὑμῖν οἱ ἐμπεπλησμένοι | | 45 |
| | 31 | Καθὼς θέλετε, ἵνα ποιῶσιν ὑμῖν | | 18 |
| | 35 | Ἀγαθοποιεῖτε καὶ δανείζετε | 182, 220 | 15, 20 |
| | 36 | Οἰκτίρμων ἐστί | | 53 |
| Ζ'. | 13 | Μὴ κλαῖε | | 25 |
| | 37 | Καὶ ἰδοὺ γυνὴ ἐν τῇ πόλει | | 251 |
| | 39 | Εἶπεν ἐν ἑαυτῷ | | 232 |
| | 40 | Ἔχω σοι τι εἰπεῖν | | -- |
| | 47 | Οὗ χάριν λέγω σοι | | 131 |
| | 48 | Ἀφέωνταί σοι αἱ ἁμαρτίαι σου | | 154 |
| | 50 | Ἡ πίστις σου σέσωκέ σε | | 124, -- |
| Η'. | 5 | Ἐξῆλθεν ὁ σπείρων | | 39 |
| | 10 | Ὑμῖν δέδοται γνῶναι τὰ μυστήρια | 261 | |
| | 22 | Εἰς τὸ πέραν τῆς λίμνης | | 57 |
| | 28 | Τί ἐμοὶ καὶ σοί, Ἰησοῦ Υἱὲ τοῦ Θεοῦ; | 8 | |

| Κεφ. | Στίχ. | | Α'. Σελ. | Β'. Σελ. |
|---|---|---|---|---|
| Η'. | 35 | Καὶ ἐξῆλθον ἰδεῖν τὸ γεγονός . . . . . . | 177 | |
| | 37 | Ὅτι φόβῳ μεγάλῳ συνείχοντο . . . . . . | -- | |
| | 38 | Ἐδέετο ὁ ἀνήρ . . . . . . . . . . . | | 58 |
| | 46 | Ἐγὼ οἶδα δύναμιν ἐξελθοῦσαν . . . . . . | 292 | |
| | 48 | Ἡ πίστις σου σέσωκέ σε . . . . . . . . | | 72 |
| | 52 | Μὴ κλαίετε . . . . . . . . . . . . | | 26 |
| | 53 | Καὶ κατεγέλων αὐτοῦ . . . . . . . . . | | -- |
| Θ'. | 16 | Λαβὼν τοὺς πέντε ἄρτους . . . . . . . | 206 | |
| | 35 | Οὗτός ἐστιν ὁ Υἱός μου ὁ ἀγαπητός . . . | 8, 14 | |
| | 39 | Καὶ ἰδοὺ πνεῦμα λαμβάνει αὐτον . . . . . | 223 | |
| | 42 | Ἔτι δὲ προσερχομένου αὐτοῦ . . . . . . . | 225 | |
| | 62 | Οὐδεὶς ἐπιβαλὼν τὴν χεῖρα αὐτοῦ . . . . . | 294 | |
| Ι'. | 16 | Ὁ ἀκούων ὑμῶν, ἐμοῦ ἀκούει . . . . . . | 133 | |
| | 27 | Ἐξ ὅλης τῆς καρδίας . . . . . . . . . | | 244 |
| | 42 | Τὴν ἀγαθὴν μερίδα . . . . . . . . . . | | 251 |
| ΙΑ'. | 1 | Ἐν τόπῳ τινί . . . . . . . . . . . | 104 | |
| | 39 | Τὸ ἔξωθεν τοῦ ποτηρίου . . . . . . . . | | 11 |
| | 41 | Πλὴν τὰ ἐνόντα δότε . . . . . . . . . | 220 | 257 |
| ΙΒ'. | 16 | Ἀνθρώπου τινὸς πλουσίου . . . . . . . | 249 | 98 |
| | 17 | Καὶ διελογίζετο ἐν ἑαυτῷ. . . . . . . . | 145 | |
| | 18 | Καὶ εἶπε, Τοῦτο ποιήσω. . . . . . . . | 145, 250 | 98 |
| | 19 | Ψυχή, ἔχεις πολλὰ ἀγαθά . . . . . . . | -- -- | 99 |
| | 20 | Ταύτῃ τῇ νυκτὶ τὴν ψυχήν σου ἀπαιτοῦσι . | 145, 250 | 96, 97, -- |
| | 21 | Οὕτως ὁ θησαυρίζων ἑαυτῷ . . . . . . . | 145 | |
| | 33 | Πωλήσατε τὰ ὑπάρχοντα ὑμῶν . . . . . . | | 193 |
| | 35 | Ἔστωσαν αἱ ὀσφύες ὑμῶν περιεζωσμέναι. . | 143 | 118 |
| | 42 | Τίς ἄρα ἐστὶν ὁ πιστὸς οἰκονόμος; . . . | | 51 |
| | 43 | Μακάριος ὁ δοῦλος ἐκεῖνος. . . . . . . . | | -- |
| | 46 | Καὶ διχοτομήσει αὐτόν. . . . . . . . . | | -- |
| | 50 | Βάπτισμα ἔχω βαπτισθῆναι. . . . . . . . | | 242 |
| ΙΓ'. | 7 | Ἰδοὺ τρία ἔτη ἔρχομαι. . . . . . . . . | 258 | |
| | 14 | Ὁ δὲ ἀρχισυνάγωγος . . . . . . . . . | 261 | 38 |
| | 16 | Ἔτη δέκα καὶ ὀκτώ. . . . . . . . . . | | 102 |
| | 26 | Τότε ἄρξεσθε λέγειν . . . . . . . . . | 171 | |
| | 27 | Καὶ ἐρεῖ· Λέγω ὑμῖν . . . . . . . . . | -- | 84, 225 |
| | 28 | Ὅπου ὁ κλαυθμός . . . . . . . . . . | | 210 |
| ΙΔ'. | 1 | Τῶν Ἀρχόντων καὶ Φαρισαίων . . . . . . | | 111 |
| | 12 | Ὅταν ποιῇς ἄριστον. . . . . . . . . . | 180 | |
| | 13 | Ἀλλ' ὅταν ποιῇς δοχήν. . . . . . . . . | -- | |
| | 14 | Μακάριος ἔσῃ· ὅτι οὐκ ἔχουσιν ἀποδοῦναί σοι. | -- | 111 |
| | 15 | Μακάριος ὅς φάγεται . . . . . . . . . | | -- |
| | 17 | Ἔρχεσθε, ὅτι ἤδη ἕτοιμά εἰσι . . . . . . | | 119 |
| | 24 | Λέγω γὰρ ὑμῖν . . . . . . . . . . . | | 116, 117, 118 |
| ΙΕ'. | 2 | Οὗτος ἁμαρτωλοὺς προσδέχεται . . . . . . | | 167 |
| | 7 | Χαρὰ ἔσται ἐν τῷ οὐρανῷ. . . . . . . . | | 173 |
| | 13 | Διεσκόρπισε τὴν οὐσίαν αὐτοῦ . . . . . . | | 169 |

| Κεφ. | Στίχ. | | Α'. Σελ. | Β'. Σελ. |
|---|---|---|---|---|
| ΙΕ'. | 17 | Πόσοι μίσθιοι τοῦ πατρός μου . . . . . . | | 176 |
| | 18 | Ἀναστὰς πορεύσομαι πρὸς τὸν πατέρα μου . | | 177, 179 |
| | 20 | Ἔτι δὲ αὐτοῦ μακρὰν ἀπέχοντος . . . . | | 173 |
| | 30 | Καταφαγὼν τὸν βίον αὐτοῦ . . . . . . . | | 169 |
| | 32 | Νεκρὸς ἦν, καὶ ἀνέζησε. . . . . . . . . | 88 | |
| ΙΣΤ'. | 9 | Ποιήσατε ἑαυτοῖς φίλους . . . . . . . . | 149 | |
| | 17 | Εὐκοπώτερόν ἐστι τὸν οὐρανὸν καὶ τὴν γῆν . | | 280 |
| | 19 | Ἄνθρωπός τις ἦν πλούσιος . . . . . . . | 249 | |
| | 24 | Πάτερ Ἀβραάμ . . . . . . . . . . . . | 146, 268 | |
| ΙΖ'. | 1 | Ἀνένδεκτόν ἐστι μὴ ἐλθεῖν τὰ σκάνδαλα . . | | 334 |
| | 9 | Μὴ χάριν ἔχει; . . . . . . . . . . | | 117 |
| | 10 | Ὅταν ποιήσετε πάντα . . . . . . . . . | | -- |
| | 13 | Ἰησοῦ ἐπιστάτα, ἐλέησον ἡμᾶς . . . . . | 178 | 118 |
| | 15 | Ὑπέστρεψε μετὰ φωνῆς μεγάλης . . . . . | | 127 |
| | 16 | Ἔπεσεν ἐπὶ πρόσωπον. . . . . . . . . | 178 | -- |
| | 17 | Οὐχὶ οἱ δέκα ἐκαθαρίσθησαν; . . . . . . | -- | 60 |
| | 18 | Οὐχ εὑρέθησαν . . . . . . . . . . . | -- | -- |
| | 19 | Ἀναστὰς, πορεύου . . . . . . . . . . | | 61, 127 |
| ΙΗ'. | 12 | Νηστεύω δὶς τοῦ Σαββάτου . . . . . . . | 20 | 164 |
| | 13 | Ὁ Θεὸς ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ . . . | 54, 106 | 166, 339 |
| | 14 | Ὅτι πᾶς ὁ ὑψῶν ἑαυτὸν ταπεινωθήσεται . . | | 163, 167, 244 |
| | 18 | Διδάσκαλε ἀγαθέ . . . . . . . . . . . | | 131 |
| | 21 | Ταῦτα πάντα ἐφυλαξάμην ἐκ νεότητός μου . | | 130 |
| | 22 | Ἔτι ἕν σοι λείπει . . . . . . . . . . | | 130, 133 |
| | 25 | Εὐκοπώτερόν ἐστι κάμιλον . . . . . . . | | -- |
| | 26 | Καὶ τίς δύναται σωθῆναι; . . . . . . . | | -- |
| | 27 | Τὰ ἀδύνατα παρὰ ἀνθρώποις . . . . . . | | 20, -- |
| | 35 | Ἐγένετο ἐν τῷ ἐγγίζειν . . . . . . . . | | 147 |
| | 38 | Ἰησοῦ Υἱὲ Δαβίδ . . . . . . . . . . | | 137, 140, 148 |
| | 39 | Καὶ οἱ προάγοντες ἐπετίμων αὐτόν. . . . | | 140, 147 |
| ΙΘ'. | 5 | Ζακχαῖε, σπεύσας κατάβηθι. . . . . . . | | 88, 339 |
| | 8 | Τὰ ἡμίση τῶν ὑπαρχόντων . . . . . . . | 121 | |
| | 9 | Σήμερον σωτηρία τῷ οἴκῳ τούτῳ . . . . . | | 88 |
| | 10 | Ἦλθε γὰρ ὁ Υἱὸς τοῦ ἀνθρώπου . . . . . | | 263 |
| | 35 | Καὶ ἤγαγον αὐτὸν πρὸς τὸν Ἰησοῦν . . . | | 255 |
| | 38 | Εὐλογημένος ὁ ἐρχόμενος . . . . . . . | | 250, 258 |
| Κ'. | 16 | Μὴ γένοιτο . . . . . . . . . . . . | 255 | |
| | 24 | Δηνάριον . . . . . . . . . . . . . | 234 | |
| ΚΑ'. | 12 | Ἐπιβαλοῦσιν ἐφ' ὑμᾶς . . . . . . . . . | 181 | |
| | 13 | Ἀποβήσεται δὲ ὑμῖν εἰς μαρτύριον. . . . | -- | |
| | 16 | Παραδοθήσεσθε δέ . . . . . . . . . . | -- | |
| | 17 | Καὶ ἔσεσθε μισούμενοι . . . . . . . . | -- | |
| | 34 | Προσέχετε δὲ ἑαυτοῖς . . . . . . . . . | 143 | |
| | 36 | Ἀγρυπνεῖτε οὖν ἐν παντὶ καιρῷ. . . . . | -- | |
| ΚΒ'. | 41 | Θεὶς τὰ γόνατα . . . . . . . . . . . | 93, 104 | |

| | | | Α'. | Β'. |
|---|---|---|---|---|
| Κεφ. | Στίχ. | | Σελ. | Σελ. |
| κβ'. | 44 | Ἐγένετο ὁ ἱδρὼς αὐτοῦ | | 99 |
| κγ'. | 28 | Θυγατέρες Ἱερουσαλὴμ | | 26, 30 |
| | 33 | Κρανίου | 254 | |
| | 34 | Πάτερ, ἄφες αὐτοῖς | 99, 104, 182, 240 | 19 |
| | 40 | Οὐδὲ φοβῇ σὺ τὸν Θεόν | | 207, 219 |
| | 41 | Καὶ ἡμεῖς μὲν δικαίως | | -- |
| | 42 | Μνήσθητί μου, Κύριε | 84, 105 | 88, 156, 219, 339 |
| | 43 | Ἀμὴν λέγω σοι, σήμερον ἔσῃ | | 88 |
| | 46 | Πάτερ, εἰς χεῖράς σου | 33, 104 | |
| | 48 | Ὑπέστρεφον, τύπτοντες αὐτῶν | 93 | |
| | 50 | Ἀνὴρ ἀγαθὸς καὶ δίκαιος | 32 | |
| | 55 | Καὶ ἡμέρα ἦν παρασκευὴ | 34 | |
| | 56 | Αἵτινες ἦσαν συνεληλυθυῖαι | -- | |
| κδ'. | 1 | Τῇ δὲ μιᾷ τῶν σαββάτων | 2, 35, 36 | 159 |
| | 6 | Μνήσθητε ὡς ἐλάλησεν ὑμῖν | 37 | |
| | 9 | Ὑποστρέψασαι ἀπὸ τοῦ μνημείου | 39 | |
| | 13 | Ἐμμαούς | 28 | |
| | 37 | Πτοηθέντες δὲ καὶ ἔμφοβοι | 27 | 48 |
| | 39 | Ἴδετε τὰς χεῖράς μου | -- | |
| | 40 | Καὶ τοῦτο εἰπὼν | -- | |
| | 45 | Τότε διήνοιξεν αὐτοῖς τὸν νοῦν | 16 | 243, 256 |
| | 47 | Καὶ κηρυχθῆναι ἐπὶ τῷ ὀνόματι αὐτοῦ | 185 | |

## ΙΩΑΝΝΗΣ.

| | | | | |
|---|---|---|---|---|
| α'. | 1 | Ἐν ἀρχῇ ἦν ὁ Λόγος | 2, 3 | |
| | 3 | Πάντα δι' αὐτοῦ ἐγένετο | 4 | |
| | 9 | Ἦν τὸ Φῶς τὸ ἀληθινόν | 7 | |
| | 12 | Ἔδωκεν αὐτοῖς ἐξουσίαν | 14, 184 | |
| | 14 | Καὶ ὁ Λόγος σὰρξ ἐγένετο | 2, 8 | |
| | 17 | Διὰ Ἰησοῦ Χριστοῦ | 140 | |
| | 18 | Ὁ ὢν εἰς τὸν κόλπον τοῦ Πατρὸς | 3 | |
| | 20 | Καὶ ὡμολόγησε, καὶ οὐκ ἠρνήσατο | | 316 |
| | 25 | Τί οὖν βαπτίζεις; | 111 | |
| | 29 | Ὁ ἀμνὸς τοῦ Θεοῦ | 98 | 326 |
| | 32 | Καὶ ἔμεινεν ἐπ' αὐτόν | | 319 |
| | 36 | Ἴδε ὁ ἀμνὸς τοῦ Θεοῦ | 9 | |
| | 43 | Σὺ εἶ Σίμων ὁ υἱὸς Ἰωνᾶ | 138 | 3 |
| | 47 | Ἐκ Ναζαρὲτ δύναταί τι; | | 324 |
| | 48 | Ἴδε ἀληθῶς Ἰσραηλίτης | | 207 |
| | 49 | Πρὸ τοῦ σε Φίλιππον φωνῆσαι | | 206, -- |
| | 52 | Ἀπ' ἄρτι ὄψεσθε τὸν οὐρανόν | 140 | 113 |
| γ'. | 1 | Ἄρχων τῶν Ἰουδαίων | 114 | |
| | 3 | Ἀμὴν ἀμὴν λέγω σοι | 59 | |

| Κεφ. | Στίχ. | | Α'. Σελ. | Β'. Σελ. |
|---|---|---|---|---|
| γ'. | 5 | Ἐὰν μήτις γεννηθῇ | | 321 |
| | 6 | Τὸ γεγεννημένον ἐκ τῆς σαρκὸς | | -- |
| | 10 | Διδάσκαλος | 114 | |
| | 15 | Ἵνα πᾶς ὁ πιστεύων εἰς αὐτὸν | 14 | |
| | 16 | Ὥστε τὸν υἱὸν αὐτοῦ | | 217, 247, 264 |
| | 17 | Οὐ γὰρ ἀπέστειλεν ὁ Θεὸς | 23 | 299 |
| | 18 | Ὁ δὲ μὴ πιστεύων ἤδη κέκριται | | 184, 301 |
| δ'. | 9 | Οὐ γὰρ συγχρῶνται Ἰουδαῖοι | 64 | |
| | 11 | Κύριε, οὔτε ἄντλημα ἔχεις | 56 | |
| | 15 | Δός μοι, Κύριε, τοῦτο τὸ ὕδωρ | 70 | |
| | 19 | Κύριε, θεωρῶ, ὅτι προφήτης εἶ σύ | -- | |
| | 20 | Οἱ πατέρες ἡμῶν ἐν τούτῳ τῷ ὄρει | | 74 |
| | 23 | Ἀλλ' ἔρχεται ὥρα | 61 | -- |
| | 24 | Πνεῦμα ὁ Θεός | 202 | -- |
| | 25 | Οἶδα, ὅτι Μεσίας ἔρχεται | 68, 70 | |
| | 32 | Ἐγὼ βρῶσιν ἔχω φαγεῖν | 59 | |
| ε'. | 7 | Κύριε, ἄνθρωπον οὐκ ἔχω | 45 | |
| | 13 | Ἐξένευσε | 198 | |
| | 14 | Μηκέτι ἁμάρτανε | 47 | |
| | 18 | Ὅτι οὐ μόνον ἔλυε τὸ σάββατον | 97 | |
| | 22 | Καὶ γὰρ οὔτε ὁ Πατὴρ κρίνει οὐδένα | 127 | |
| | 24 | Ἐκ τοῦ θανάτου εἰς τὴν ζωὴν | | 26 |
| | 28 | Ἔρχεται ὥρα | | 29 |
| | 29 | Ἐκπορεύσονται | 29, 73, 265 | 21, 188 |
| | 36 | Τὰ ἔργα, ἃ ἔδωκέ μοι ὁ Πατὴρ | 95 | |
| | 39 | Ἐρευνᾶτε τὰς γραφάς | 173 | |
| | 45 | Ἔστιν ὁ κατηγορῶν ὑμῶν | 83 | |
| | 46 | Εἰ γὰρ ἐπιστεύετε Μωσεῖ | 68, -- | 82, 113 |
| στ'. | 5 | Πόθεν ἀγοράσομεν ἄρτους | 204 | |
| | 9 | Ἔστι παιδάριον ἓν ὧδε | 205 | |
| | 20 | Ἐγώ, εἰμι μὴ φοβεῖσθε | 217 | |
| | 21 | Ἤθελον λαβεῖν αὐτὸν | 217, 218 | |
| | 44 | Οὐδεὶς δύναται ἐλθεῖν πρός με | 98 | 115 |
| | 51 | Ἐγώ εἰμι ὁ ἄρτος ὁ ζῶν | 167 | |
| | 52 | Καὶ πῶς δύναται οὗτος; | -- | |
| | 53 | Ἀμὴν ἀμὴν λέγω ὑμῖν | 167, 172 | |
| | 56 | Ὁ τρώγων μου τὴν σάρκα | 260, 262 | 257 |
| | 60 | Σκληρός ἐσ. | 167, 260 | 113 |
| | 63 | Τὰ ῥήματα, ἃ ἐγὼ λαλῶ | 23, 95 | |
| ζ'. | 2 | Ἦν δὲ ἐγγὺς ἡ ἑορτὴ | 108 | |
| | 10 | Τότε αὐτὸς ἀνέβη | -- | |
| | 14 | Ἀνέβη ὁ Ἰησοῦς εἰς τὸ Ἱερὸν | 109 | |
| | 30 | Ἐζήτουν οὖν αὐτὸν πιάσαι | 112 | |
| | 37 | Ἐάν τις διψᾷ, ἐρχέσθω πρός με | 111 | |
| | 38 | Ὁ πιστεύων εἰς ἐμέ | 58 | |
| | 39 | Τότε δὲ εἶπε περὶ τοῦ πνεύματος | -- | |

| Κεφ. | Στίχ. | | Α΄. Σελ. | Β΄. Σελ. |
|---|---|---|---|---|
| ζ΄. | 46 | Οὐδέποτε ἐλάλησεν ἄνθρωπος | 112 | 300 |
| | 53 | Ἐπορεύθησαν ἕκαστος εἰς τὸν οἶκον αὐτοῦ | 115 | |
| η΄. | 1 | Ἰησοῦς ἐπορεύθη εἰς τὸ ὄρος | -- | |
| | 2 | Ὄρθρου δὲ πάλιν παρεγένετο | -- | |
| | 12 | Ἐγώ εἰμι τὸ φῶς τοῦ κόσμου | 7 | |
| | 13 | Σὺ περὶ σεαυτοῦ μαρτυρεῖς | | 326 |
| | 21 | Ἐγὼ ὑπάγω καὶ ζητήσετέ με | | 259 |
| | 44 | Ὅτι ψεύστης ἐστί | 192 | |
| | 48 | Σαμαρείτης εἶ σύ | 187 | 83 |
| | 56 | Ἀβραὰμ ὁ πατὴρ ὑμῶν | 112,76,262 | 326 |
| θ΄. | 2 | Ῥαββὶ τίς ἥμαρτεν; | 85 | |
| | 3 | Οὔτε οὗτος ἥμαρτεν | 47 | |
| | 7 | Ὕπαγε, νίψαι | | 218 |
| | 10 | Πῶς ἀνεῴχθησάν σου οἱ ὀφθαλμοί; | 74 | |
| | 16 | Οὗτος ὁ ἄνθρωπος | 83 | 38 |
| | 17 | Ἤνοιξέ σου τοὺς ὀφθαλμούς | 74. -- | |
| | 22 | Ἵνα ἐάν τις ὁμολογήσῃ αὐτόν | | 38 |
| | 24 | Ἡμεῖς οἴδαμεν | 260 | -- |
| | 28 | Ἡμεῖς τοῦ Μωσέως ἐσμὲν μαθηταί | | 113 |
| | 29 | Ἡμεῖς οἴδαμεν | | -- |
| | 38 | Πιστεύω, Κύριε | 82 | |
| ι΄. | 10 | Ζωὴν ἔχωσι καὶ περισσὸν ἔχωσι | 96 | 75 |
| | 16 | Καὶ γενήσεται μία ποίμνη | 26 | |
| | 30 | Ἐγὼ καὶ ὁ Πατὴρ ἕν ἐσμέν | 97, 260 | 242 |
| | 31 | Ἐβάστασαν λίθους | -- | |
| | 38 | Ἵνα γνῶτε καὶ πιστεύσητε | 3 | |
| | 40 | Πέραν τοῦ Ἰορδάνου | | 232 |
| ια΄. | 11 | Λάζαρος ὁ φίλος ἡμῶν | 59 | 26 |
| | 14 | Λάζαρος ἀπέθανε | | 232 |
| | 15 | Καὶ χαίρω δι' ὑμᾶς | | -- |
| | 23 | Ἀναστήσεται ὁ ἀδελφός σου | | 25 |
| | 25 | Ἐγώ εἰμι ἡ ἀνάστασις | 7 | 26 |
| | 26 | Καὶ πᾶς ὁ ζῶν | | -- |
| | 41 | Ἦραν τὸν λίθον ἐκ τοῦ μνήματος | | 219 |
| | 43 | Λάζαρε, δεῦρο ἔξω | | 256 |
| | 47 | Τί ποιοῦμεν | 254 | 273 |
| | 48 | Ἐὰν ἀφῶμεν αὐτὸν οὕτω | -- | -- |
| | 50 | Συμφέρει ἡμῖν, ἵνα εἷς ἄνθρωπος ἀποθάνῃ | -- | |
| ιβ΄. | 7 | Εἰς τὴν ἡμέραν τοῦ ἐνταφιασμοῦ μου | | 252 |
| | 13 | Ὡσαννά, εὐλογημένος | | 250 |
| | 19 | Ἴδε ὁ κόσμος ὀπίσω αὐτοῦ | 10 | |
| | 25 | Ὁ φιλῶν τὴν ψυχὴν αὐτοῦ | | 224 |
| | 31 | Νῦν ὁ ἄρχων τοῦ κόσμου τούτου | 228 | 54 |
| | 35 | Ἔτι μικρὸν χρόνον | 76 | |
| | 42 | Ὅμως μέντοι | 114 | |
| | 50 | Ἡ ἐντολὴ αὐτοῦ ζωὴ αἰώνιός ἐστι | 95 | |

| Κεφ. | Στίχ. | | Α'. Σελ. | Β'. Σελ. |
|---|---|---|---|---|
| ιγ'. | 35 | Ἐν τούτῳ γνώσονται πάντες | 137 | |
| ιδ'. | 2 | Ἐν τῇ οἰκίᾳ τοῦ Πατρός μου. | 129,164,204 | |
| | 6 | Ἐγώ εἰμι ἡ ὁδός | 14,95,192 | |
| | 9 | Ὁ ἑωρακὼς ἐμὲ | 97 | |
| | 10 | Ἐγὼ ἐν τῷ Πατρὶ | -- | |
| | 13 | Καὶ ὅτι ἂν αἰτήσητε | 14 | |
| | 23 | Ἐάν τις ἀγαπᾷ με | 134,261,277 | |
| | 26 | Ὁ δὲ Παράκλητος, τὸ Πνεῦμα | 108 | |
| | 27 | Εἰρήνην ἀφίημι ὑμῖν. | 21,22 | |
| | 30 | Ἔρχεται γὰρ ὁ τοῦ κόσμου τούτου ἄρχων | 99 | |
| ιε'. | 5 | Χωρὶς ἐμοῦ οὐ δύνασθε | | 14,27,158 217 |
| | 11 | Ἵνα ἡ χαρὰ ἡ ἐμὴ ἐν ὑμῖν μένῃ | 101 | |
| | 13 | Μείζονα ταύτης ἀγάπην | | 132,247 |
| | 14 | Ὑμεῖς φίλοι μου ἐστὲ | | 28 |
| | 19 | Ἐγὼ ἐξελεξάμην ὑμᾶς | 136,296 | |
| | 26 | Τὸ Πνεῦμα τῆς ἀληθείας | 6, 97 | |
| ιστ'. | 7 | Συμφέρει ὑμῖν, ἵνα ἐγὼ ἀπέλθω | 111 | |
| | 13 | Ὅταν δὲ ἔλθῃ ἐκεῖνος | 60 | |
| | 15 | Πάντα ὅσα ἔχει ὁ Πατὴρ | 66 | |
| | 19 | Ἔγνω οὖν ὁ Ἰησοῦς | | 132 |
| | 22 | Πάλιν δὲ ὄψομαι ὑμᾶς | 22 | |
| ιζ'. | 1 | Καὶ ὁ Υἱός σου δοξάσῃ σε | 102 | 114 |
| | 2 | Ἔδωκας αὐτῷ ἐξουσίαν. | -- | |
| | 4 | Τὸ ἔργον ἐτελείωσα | | 114,294 |
| | 5 | Καὶ νῦν δόξασόν με σὺ Πάτερ παρὰ σεαυτῷ. | 102,110,274 | |
| | 9 | Ἐγὼ περὶ αὐτῶν ἐρωτῶ | 102 | |
| | 12 | Εἰ μὴ ὁ Υἱὸς τῆς ἀπωλείας. | | 84 |
| | 20 | Οὐ περὶ τούτων δὲ ἐρωτῶ μόνον | 99,102,296 | |
| ιη'. | 6 | Ἐγώ εἰμι | 112 | |
| | 20 | Ἐγὼ παῤῥησίᾳ ἐλάλησα τῷ κόσμῳ | 140 | |
| ιθ'. | 14 | Ἦν δὲ παρασκευὴ τοῦ Πάσχα | 33 | |
| | 15 | Ἆρον, ἆρον, σταύρωσον αὐτόν | 40 | |
| | 16 | Τότε οὖν παρέδωκαν αὐτὸν | 33 | |
| | 25 | Εἱστήκεισαν δὲ παρὰ τῷ σταυρῷ | 35 | |
| | 30 | Τετέλεσται | | 294 |
| | 37 | Ὄψονται εἰς ὃν ἐξεκέντησαν | 255 | 45,301 |
| | 38 | Ἰωσὴφ ὁ ἀπὸ Ἀριμαθαίας | 33 | |
| | 39 | Ἦλθε δὲ καὶ Νικόδημος | 34, 114 | |
| | 41 | Ἐν ᾧ οὐδέπω οὐδεὶς ἐτέθη | 34 | |
| κ'. | 1 | Τῇ δὲ μιᾷ τῶν σαββάτων. | 36 | |
| | 4 | Ἦλθε πρῶτος εἰς τὸ μνημεῖον | 15 | |
| | 12 | Ἐν λευκοῖς καθεζομένους | | 206 |
| | 19 | Οὔσης ὀψίας, τῇ ἡμέρᾳ ἐκείνῃ | 38 | |
| | 21 | Καθὼς ἀπέσταλκέ με ὁ Πατὴρ | 78 | |
| | 23 | Ἄν τινων ἀφῆτε τὰς ἁμαρτίας | | 323 |

| Κεφ. | Στίχ. | | Α'. Σελ. | Β'. Σελ. |
|---|---|---|---|---|
| κ'. | 26 | Καὶ μεθ' ἡμέρας ὀκτὼ | 38 | |
| | 29 | Μακάριοι οἱ μὴ ἰδόντες | 31, 168 | |
| | 31 | Ἵνα πιστεύοντες ζωὴν ἔχητε | 29 | |
| κα'. | 25 | Ἔστι δὲ καὶ ἄλλα πολλά | 28 | |
| | | **ΠΡΑΞΕΙΣ.** | | |
| Α'. | 3 | Ὀπτανόμενος αὐτοῖς | 39 | 48 |
| | 4 | Καὶ συναλιζόμενος | -- | |
| | 7 | Οὓς ὁ Πατὴρ ἔθετο | | 93, 233 |
| | 10 | Ἐν ἐσθῆτι λευκῇ | | 206 |
| Β'. | 2 | Ὥσπερ φερομένης πνοῆς βιαίας | 110 | |
| | 4 | Ἤρξαντο λαλεῖν | 108, -- | |
| | 41 | Οἱ μὲν οὖν ἀσμένως ὑποδεξάμενοι | | 36 |
| Γ'. | 6 | Ἀργύριον καὶ χρυσίον οὐχ ὑπάρχει μοι | 131 | |
| | 24 | Ὁμοίως καὶ πάντες οἱ Προφῆται | 11 | |
| Δ'. | 4 | Ὡσεὶ χιλιάδες πέντε | 67 | 36 |
| | 13 | Ἀγράμματοι καὶ ἰδιῶται | | 243 |
| | 17 | Ἀπειλῇ ἀπειλησόμεθα αὐτοῖς | | 142 |
| | 32 | Τοῦ πλήθους τῶν πιστευόντων | 100, 149 | |
| Ε'. | 15 | Ὥστε κατὰ τὰς πλατείας | 131 | |
| | 18 | Καὶ ἐπέβαλον τὰς χεῖρας αὐτῶν | | 142 |
| | 28 | Καὶ βούλεσθε ἐπαγαγεῖν | | 142, 273 |
| | 33 | Καὶ ἐβουλεύσαντο ἀνελεῖν αὐτούς | | 142 |
| | 40 | Καὶ προσκαλεσάμενοι | | -- |
| ΣΤ'. | 2 | Οὐκ ἀρεστόν ἐστι | 153 | |
| | 3 | Οὓς καταστήσομεν | -- | |
| | 4 | Ἡμεῖς δὲ τῇ προσευχῇ | -- | |
| | 10 | Οὐκ ἴσχυον ἀντιστῆναι τῇ σοφίᾳ | 109 | |
| Ζ'. | 60 | Κύριε, μὴ στήσῃς αὐτοῖς | 220, 241 | |
| Η'. | 7 | Πολλῶν τῶν ἐχόντων πνεύματα | | 37 |
| | 12 | Τὰ περὶ τῆς βασιλείας τοῦ Θεοῦ | | 36 |
| | 27 | Αἰθίοψ εὐνοῦχος, δυνάστης | | 37 |
| | 35 | Εὐηγγελίσατο αὐτῷ τὸν Ἰησοῦν | | -- |
| Ι'. | 35 | Ἐν παντὶ ἔθνει | | 104, 124 |
| | 38 | Διῆλθεν εὐεργετῶν | 182 | |
| ΙΑ'. | 20 | Κύπριοι καὶ Κυρηναῖοι | | 37 |
| | 21 | Πολύς τε ἀριθμὸς πιστεύσας | | -- |
| ΙΓ'. | 2 | Τότε νηστεύσαντες | | 197 |
| | 3 | Προσευξάμενοι μετὰ νηστειῶν | | -- |
| | 7 | Τὸν λόγον τοῦ Θεοῦ | | 273 |
| | 9 | Πλησθεὶς Πνεύματος ἁγίου | | 143 |
| | 10 | Ὦ πλήρης παντὸς δόλου | | -- |
| | 11 | Καὶ νῦν ἰδοὺ χεὶρ Κυρίου ἐπὶ σέ | | -- |
| | 22 | Εὗρον Δαβὶδ τὸν τοῦ Ἰεσσαί | | 268 |
| | 46 | Ὑμῖν ἦν ἀναγκαῖον πρῶτον | 264, 290 | |

| Κεφ. | Στίχ. | | A'. Σελ. | B'. Σελ. |
|---|---|---|---|---|
| ιγ'. | 48 | Ἔχαιρον καὶ ἐδόξαζον | | 37 |
| ιδ'. | 1 | Ἰουδαίων τε καὶ Ἑλλήνων | | 38 |
| | 17 | Οὐρανόθεν ἡμῖν ὑετούς | | 269 |
| ιστ'. | 31 | Πίστευσον ἐπὶ τὸν Κύριον | 29 | |
| ιζ'. | 3 | Ὅτι τὸν Χριστὸν ἔδει παθεῖν | 67 | |
| | 11 | Ἐδέξαντο τὸν λόγον | | 38 |
| | 12 | Πολλοὶ ἐξ αὐτῶν ἐπίστευσαν | | -- |
| | 31 | Ἔστησεν ἡμέραν | | 109, 263 |
| | 34 | Καὶ Διονύσιος ὁ Ἀρεοπαγίτης | | 38 |
| ιθ'. | 4 | Εἰς τὸν ἐρχόμενον μετ' αὐτόν | 9 | 315, 319 |
| | 5 | Ἀκούσαντες δὲ ἐβαπτίσθησαν | | -- |
| | 12 | Ὥστε ἐπὶ τοὺς ἀσθενοῦντας | 130 | 69 |
| κ'. | 28 | Ἣν περιεποιήσατο | 280 | |
| κγ'. | 5 | Οὐκ ᾔδειν, ἀδελφοὶ, ὅτι ἐστὶν | 191 | |
| κζ'. | 9 | Διὰ τὸ καὶ τὴν νηστείαν | | 197 |
| | 22 | Καὶ νῦν παραινῶ ὑμᾶς | | 215 |
| | 23 | Παρέστη γάρ μοι τῇ νυκτὶ | | -- |
| | 24 | Λέγων, Μὴ φοβοῦ Παῦλε | | -- |
| | 25 | Διὸ εὐθυμεῖτε, ἄνδρες | | 216 |
| | 26 | Εἰς νῆσον δέ τινα | | -- |
| | 31 | Εἶπεν ὁ Παῦλος | | -- |
| | 37 | Διακόσιαι ἑβδομήκοντα ἕξ | | -- |


## ΠΡΟΣ ΡΩΜΑΙΟΥΣ.


| Κεφ. | Στίχ. | | A'. Σελ. | B'. Σελ. |
|---|---|---|---|---|
| α'. | 20 | Τὰ γὰρ ἀόρατα αὐτοῦ | | 78, 208 |
| β'. | 4 | Ἢ τοῦ πλούτου; | 53, 171, 257 | 92, 99 |
| | 5 | Κατὰ δὲ τὴν σκληρότητά σου | 53, 57, 259 | |
| | 6 | Ἀποδώσει ἑκάστῳ | 17, 29, 73 171, 260 | 109, 218, 338 |
| | 10 | Δόξα καὶ τιμὴ | 43, 132, 134 296 | |
| | 11 | Οὐ γάρ ἐστι προσωποληψία | -- | |
| | 21 | Ὁ οὖν διδάσκων ἕτερον | | 38, 342 |
| | 22 | Ὁ λέγων μὴ μοιχεύειν, μοιχεύεις; | | -- -- |
| | 23 | Ὃς ἐν νόμῳ καυχᾶσαι | | -- |
| | 28 | Οὐ γὰρ ὁ ἐν τῷ φανερῷ Ἰουδαῖός ἐστιν | | 196 |
| | 29 | Ἀλλ' ὁ ἐν τῷ κρυπτῷ Ἰουδαῖός ἐστι | | -- |
| γ'. | 20 | Ἐξ ἔργων δὲ νόμου οὐ δικαιωθήσεται | 70 | |
| ε'. | 5 | Ὅτι ἡ ἀγάπη τοῦ Θεοῦ | 157, 211 | |
| | 7 | Μόλις γὰρ ὑπὲρ δικαίου τὶς ἀποθανεῖται | | 248 |
| | 8 | Συνίστησι δὲ τὴν ἑαυτοῦ ἀγάπην | | 247 |
| | 10 | Εἰ γὰρ ἐχθροὶ ὄντες | 17, 95 | 26 |
| | 11 | Οὐ μόνον δὲ, ἀλλὰ καὶ καυχώμενοι | 96 | |
| | 12 | Δι' ἑνὸς ἀνθρώπου ἡ ἁμαρτία | | 74 |
| | 19 | Ὥσπερ γὰρ διὰ τῆς παρακοῆς | | 195, 311 |

| Κεφ. | Στίχ. | | Α'. Σελ. | Β'. Σελ. |
|---|---|---|---|---|
| Ε'. | 20 | Οὗ δὲ ἐπλεόνασεν ἡ ἁμαρτία | 121 | |
| ΣΤ'. | 3 | Ὅσοι ἐβαπτίσθημεν εἰς Χριστὸν Ἰησοῦν | | 319 |
| | 5 | Εἰ γὰρ σύμφυτοι γεγόναμεν | | -- |
| | 6 | Παλαιὸς ἄνθρωπος | | 223 |
| | 23 | Τὰ γὰρ ὀψώνια τῆς ἁμαρτίας | 135 | |
| Η'. | 16 | Ὅτι ἐσμὲν τέκνα Θεοῦ | 144 | |
| | 17 | Εἰ δὲ τέκνα καὶ κληρονόμοι | 12 | |
| | 18 | Οὐκ ἄξια τὰ παθήματα | | 218, 338 |
| | 21 | Ὅτι καὶ αὐτὴ ἡ κτίσις | 127 | |
| | 29 | Ὅτι οὓς προέγνω, καὶ προώρισε | 70 | |
| | 30 | Οὓς προώρισε, τούτους καὶ ἐκάλεσε | 69 | |
| | 34 | Χριστὸς ὁ ἀποθανών | 62 | |
| | 35 | Τίς ἡμᾶς χωρίσει; | 276 | |
| | 37 | Ἀλλ' ἐν τούτοις πᾶσιν ὑπερνικῶμεν | -- | |
| Θ'. | 2 | Ὅτι λύπη μοι ἐστὶ μεγάλη | | 148 |
| | 3 | Ηὐχόμην γὰρ αὐτὸς ἐγώ | | -- |
| | 4 | Ἡ υἱοθεσία καὶ ἡ δόξα | 164, 251 | |
| | 5 | Ἐξ ὧν ὁ Χριστὸς κατὰ σάρκα | 11, 164 | |
| | 18 | Ἄρα οὖν ὃν θέλει ἐλεεῖ | 69 | |
| | 19 | Τῷ βουλήματι αὐτοῦ τίς ἀνθέστηκε; | -- | |
| Ι'. | 4 | Τέλος δὲ νόμου Χριστός | 58 | |
| | 9 | Ὅτι ἐὰν ὁμολογήσῃς ἐν τῷ στόματί σου | 123 | |
| | 10 | Καρδία γὰρ πιστεύεται | -- | |
| | 17 | Ἄρα ἡ πίστις ἐξ ἀκοῆς | 183 | |
| ΙΑ'. | 11 | Τῷ αὐτῶν παραπτώματι | 164 | |
| | 20 | Τῇ ἀπιστίᾳ ἐξεκλάσθησαν | -- | |
| | 33 | Ὦ βάθος πλούτου | 73, 87 | 64 |
| | 34 | Τίς ἔγνω νοῦν Κυρίου; | -- -- | |
| | 36 | Ὅτι ἐξ αὐτοῦ καὶ δι' αὐτοῦ | | 164 |
| ΙΒ'. | 10 | Τῇ τιμῇ ἀλλήλους ἡγούμενοι | | 246 |
| | 19 | Ἐμοὶ ἐκδίκησις | 220, 239 | |
| | 20 | Ἐὰν πεινᾷ ὁ ἐχθρός σου | 240 | |
| ΙΓ'. | 2 | Ἀντιτασσόμενος τῇ ἐξουσίᾳ | | 312 |
| | 10 | Πλήρωμα γὰρ νόμου | 52, 157 | 131 |
| | 12 | Ἀποθώμεθα | 7, 202 | 110, 117, 238 |
| | 13 | Μὴ κώμοις καὶ μέθαις | 19 | 97 |
| | 14 | Ἐνδύσασθε τὸν Κύριον Ἰησοῦν | | 118, 186 |
| ΙΕ'. | 4 | Ὅσα γὰρ προεγράφη | 270 | 58, 129 |
| | 19 | Ἀπὸ Ἱερουσαλὴμ καὶ κύκλῳ | | 248 |
| ΙΣΤ'. | 17 | Παρακαλῶ δὲ ὑμᾶς, ἀδελφοί | | 335 |


## ΠΡΟΣ ΚΟΡΙΝΘΙΟΥΣ Α'.


| Κεφ. | Στίχ. | | Α'. Σελ. | Β'. Σελ. |
|---|---|---|---|---|
| Α'. | 9 | Πιστὸς ὁ Θεός, δι' οὗ ἐκλήθημεν | 6 | 116 |
| | 23 | Ἡμεῖς δὲ κηρύσσομεν Χριστόν | | 328 |
| | 24 | Θεοῦ δύναμις καὶ Θεοῦ σοφία | | 264 |

| Κεφ. | Στίχ. | | Α'. Σελ. | Β'. Σελ. |
|---|---|---|---|---|
| Α'. | 27 | Τὰ μωρὰ τοῦ κόσμου ἐξελέξατο ὁ Θεός | 137 | |
| | 28 | Καὶ τὰ ἀγενῆ τοῦ κόσμου | -- | 114 |
| Β'. | 9 | Ἃ ἡτοίμασεν ὁ Θεός | | 44, 119, 286, |
| | 11 | Εἰμὴ τὸ πνεῦμα τοῦ ἀνθρώπου | 172 | 11 |
| | 14 | Τὰ τοῦ πνεύματος | | 26 |
| Δ'. | 11 | Ἄχρι τῆς ἄρτι ὥρας | 276 | |
| | 12 | Ταῖς ἰδίαις χερσί | 150, 220, 295 | |
| | 13 | Βλασφημούμενοι | 220, 241, -- | |
| Ε'. | 4 | Ἐν τῷ σώματι τοῦ Κυρίου ἡμῶν | 23 | |
| | 5 | Παραδοῦναι τὸν τοιοῦτον τῷ Σατανᾷ | -- | |
| | 6 | Ζύμη ὅλον τὸ φύραμα ζυμοῖ | | 109 |
| | 8 | Οὐκ ἐν ζύμῃ παλαιᾷ | 19 | |
| ΣΤ'. | 9 | Ἢ οὐκ οἴδατε, ὅτι ἄδικοι | | 187, 268 |
| | 10 | Οὔτε κλέπται, οὔτε μέθυσοι | | -- -- |
| | 15 | Πόρνης μέλη; | | 210 |
| | 18 | Ὁ πορνεύων εἰς τὸ ἴδιον σῶμα ἁμαρτάνει | | 169 |
| Ζ'. | 5 | Ἵνα σχολάζητε τῇ νηστείᾳ | | 197 |
| Η'. | 4 | Περὶ τῆς βρώσεως τῶν εἰδωλοθύτων | | 329 |
| | 7 | Ἀλλ' οὐκ ἐν πᾶσιν ἡ γνῶσις | | -- |
| | 8 | Βρῶμα δὲ ἡμᾶς οὐ παρίστησι | | -- |
| | 9 | Βλέπετε δέ, μήπως ἡ ἐξουσία | | -- |
| | 10 | Ἐὰν γάρ τις ἴδῃ σε | | -- |
| | 11 | Καὶ ἀπολεῖται ὁ ἀσθενῶν | | -- |
| | 12 | Οὕτω δὲ ἁμαρτάνοντες | | 329, 330 |
| | 13 | Διόπερ εἰ βρῶμα σκανδαλίζει | | 329, 331, 335 |
| Θ'. | 9 | Μὴ τῶν βοῶν μέλη τῷ Θεῷ; | | 142 |
| | 11 | Εἰ ἡμεῖς ὑμῖν τὰ πνευματικά | 181 | |
| | 12 | Εἰ ἄλλοι τῆς ἐξουσίας ἡμῶν | -- | |
| | 16 | Οὐαὶ δέ μοι ἐστίν | | 2 |
| | 28 | Πίνομεν τὸ ποτήριον | | 242 |
| Ι'. | 4 | Ἡ δὲ πέτρα ἦν ὁ Χριστός | 18, 256 | 304 |
| | 24 | Μηδεὶς τὸ ἑαυτοῦ ζητείτω | | 327 |
| | 27 | Εἰ δέ τις καλεῖ ὑμᾶς | | 329 |
| | 28 | Ἐὰν δέ τις ὑμῖν εἴπῃ | | -- |
| | 29 | Συνείδησιν δὲ λέγω | | 330 |
| ΙΑ'. | 1 | Μιμηταί μου γίνεσθε | 125 | |
| | 26 | Ἄχρις οὗ ἂν ἔλθῃ | | 46 |
| | 27 | Ὃς ἂν ἐσθίῃ τὸν ἄρτον τοῦτον | 165, 172 | |
| | 28 | Δοκιμαζέτω δὲ ἄνθρωπος | 171 | |
| | 29 | Ὁ ἐσθίων καὶ πίνων ἀναξίως | -- | |
| | 30 | Διὰ τοῦτο ἐν ὑμῖν | 166, -- | |
| ΙΒ'. | 6 | Καὶ διαιρέσεις ἐνεργημάτων | | 133 |
| | 27 | Ὑμεῖς ἐστὲ σῶμα Χριστοῦ | | 84 |
| ΙΓ'. | 2 | Ἀγάπην δὲ μὴ ἔχω, οὐδέν εἰμί | 238 | |
| | 7 | Πάντα στέγει, πάντα πιστεύει | 276 | 45 |
| | 8 | Ἡ ἀγάπη οὐδέποτε ἐκπίπτει | -- | |

| Κεφ. | Στίχ. | | Α'. Σελ. | Β'. Σελ. |
|---|---|---|---|---|
| ΙΓ'. | 12 | Βλέπομεν γὰρ ἄρτι | 268 | 269 |
| ΙΔ'. | 15 | Προσεύξομαι τῷ πνεύματι | 106 | |
| | 19 | Ἀλλ' ἐν ἐκκλησίᾳ θέλω | | 78 |
| | 40 | Πάντα εὐσχημόνως | 216 | |
| ΙΕ'. | 3 | Παρέδωκα γὰρ ὑμῖν ἐν πρώτοις | 32 | |
| | 4 | Καὶ ὅτι ἐτάφη | -- | |
| | 9 | Ἐγὼ γάρ εἰμι ὁ ἐλάχιστος | | 144, 248 |
| | 10 | Οὐκ ἐγὼ δὲ, ἀλλ' ἡ χάρις | | 164 |
| | 20 | Νυνὶ δὲ Χριστὸς ἐγήγερται | | 26 |
| | 30 | Τί καὶ ἡμεῖς κινδυνεύομεν; | 276 | |
| | 31 | Καθ' ἡμέραν ἀποθνήσκω | -- | |
| | 32 | Φάγωμεν καὶ πίωμεν | 154 | |
| | 47 | Ὁ πρῶτος ἄνθρωπος ἐκ γῆς χοϊκός | 13 | |
| | 52 | Σαλπίσει γάρ | 127 | |
| | 53 | Δεῖ γὰρ τὸ φθαρτὸν τοῦτο | -- | |
| | 55 | Ποῦ σου θάνατε τὸ κέντρον | | 26 |
| ΙΣΤ'. | 13 | Ἀνδρίζεσθε κραταιοῦσθε | 41 | |


ΠΡΟΣ ΚΟΡΙΝΘΙΟΥΣ Β'.


| Κεφ. | Στίχ. | | Α'. Σελ. | Β'. Σελ. |
|---|---|---|---|---|
| Α'. | 12 | Οὐκ ἐν σοφίᾳ σαρκικῇ | 12 | |
| Γ'. | 5 | Πεποίθησιν δὲ τοιαύτην ἔχομεν | | 53 |
| | 10 | Καὶ γὰρ οὐδὲ δεδόξασται | | 61 |
| | 15 | Ἀλλ' ἕως σήμερον | 4 | |
| | 16 | Ἡνίκα δ' ἂν ἐπιστρέψῃ | -- | |
| Δ'. | 13 | Καὶ ἡμεῖς πιστεύομεν | 194 | |
| Ε'. | 10 | Τοὺς γὰρ πάντας ὑμᾶς φανερωθῆναι δεῖ | | 181 |
| ΣΤ'. | 2 | Ἰδοὺ νῦν καιρὸς εὐπρόσδεκτος | 202 | 238 |
| | 10 | Ὡς μηδὲν ἔχοντες | 131 | |
| Θ'. | 7 | Ἕκαστος καθὼς προαιρεῖται | | 52 |
| ΙΑ'. | 2 | Ἡρμοσάμην γὰρ ὑμᾶς ἑνὶ ἀνδρί | 261 | |
| | 14 | Εἰς Ἄγγελον φωτός | 215, 228 | |
| | 27 | Ἐν νηστείαις πολλάκις | | 197 |
| ΙΒ'. | 2 | Ἕως τρίτου οὐρανοῦ | 155 | 64 |
| | 4 | Καὶ ἤκουσεν ἄρρητα ῥήματα | 155, 268 | 275 |
| | 9 | Ἡ γὰρ δύναμίς μου | 205, 249 | |


ΠΡΟΣ ΓΑΛΑΤΑΣ.


| Κεφ. | Στίχ. | | Α'. Σελ. | Β'. Σελ. |
|---|---|---|---|---|
| Γ'. | 24 | Παιδαγωγὸς γέγονεν εἰς Χριστόν | 58 | 82, 279 |
| | 25 | Ἐλθούσης δὲ τῆς πίστεως | -- | |
| | 27 | Ὅσοι γὰρ εἰς Χριστὸν ἐβαπτίσθητε | 12, 17 | 186, 322 |
| | 28 | Οὐκ ἔνι Ἰουδαῖος, οὐδὲ Ἕλλην | | 291 |
| Δ'. | 4 | Ὅτε ἦλθε τὸ πλήρωμα τοῦ χρόνου | | 65, 112, 162 263, 300 |
| | 6 | Ἀββᾶ ὁ πατήρ | 144 | |

| Κεφ. | Στίχ. | | Α'. Σελ. | Β'. Σελ. |
|---|---|---|---|---|
| Δ'. | 15 | Μαρτυρῶ γὰρ ὑμῖν | 131 | |
| Ε'. | 6 | Πίστις δι' ἀγάπης ἐνεργουμένη | 29 | 264 |
| | 22 | Ὁ δὲ καρπὸς τοῦ πνεύματος | 19 | 94 |
| | 24 | Σταυροῦσι τὴν σάρκα σὺν τοῖς παθήμασι | 43, 125 | 223 |
| ΣΤ'. | 7 | Θεὸς οὐ μυκτηρίζεται | | 100, 154, 156 |
| | 14 | Ἐμοὶ δὲ μὴ γένοιτο | 125 | |
| | | **ΠΡΟΣ ΕΦΕΣΙΟΥΣ.** | | |
| Β'. | 8 | Τῇ γὰρ χάριτι ἐστὲ σεσωσμένοι | 17 | 338 |
| | 9 | Οὐκ ἐξ ἔργων, ἵνα μήτις καυχήσηται | | -- |
| | 14 | Αὐτὸς γάρ ἐστιν ἡ εἰρήνη ἡμῶν | 21, 96 | |
| Δ'. | 3 | Σπουδάζοντες τηρεῖν τὴν ἑνότητα | 100 | |
| | 4 | Ἓν σῶμα καὶ ἓν πνεῦμα | -- | |
| | 22 | Τὸν παλαιὸν ἄνθρωπον | | 320 |
| | 24 | Τὸν καινὸν ἄνθρωπον | | -- |
| | 25 | Διὸ ἀποθέμενοι τὸ ψεῦδος | 191, 192 | |
| | 26 | Ὁ ἥλιος μὴ ἐπιδυέτω | 241 | |
| Ε'. | 8 | Ἦτε γάρ ποτε σκότος | 7 | |
| | 11 | Μὴ συγκοινωνεῖτε | -- | |
| | 14 | Ἔγειραι ὁ καθεύδων | 144, 172 | |
| | 15 | Βλέπετε οὖν πῶς ἀκριβῶς περιπατεῖτε | | 234 |
| | 16 | Ἐξαγοραζόμενοι τὸν καιρὸν | | -- |
| | 19 | Λαλοῦντες ἑαυτοῖς ψαλμοῖς | 19 | |
| | 21 | Πάντες ὑποτάγητε ἀλλήλοις | | 312 |
| | 29 | Οὐδεὶς γάρ ποτε | | 275 |
| ΣΤ'. | 11 | Πρὸς τὰς μεθοδίας | 228 | |
| | 12 | Ἀλλὰ πρὸς τὰς ἀρχὰς | 228, 274 | |
| | 16 | Θυρεὸν | 43, 228 | |
| | | **ΠΡΟΣ ΦΙΛΙΠΠΗΣΙΟΥΣ.** | | |
| Β'. | 6 | Ὃς ἐν μορφῇ Θεοῦ ὑπάρχων | | 247 |
| | 7 | Ἐκένωσεν ἑαυτὸν | | 247, 299 |
| | 8 | Καὶ σχήματι εὑρεθεὶς ὡς ἄνθρωπος | | 75, 183, 247 |
| | 9 | Ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα | | 299 |
| | 10 | Ἐν γὰρ τῷ ὀνόματι αὐτοῦ | 176 | |
| | 13 | Ὁ Θεός ἐστιν ὁ ἐνεργῶν ἐν ἡμῖν | 71, 121, 201 | 158, 164, 217, 302 |
| Γ'. | 8 | Καὶ ἡγοῦμαι πάντα σκύβαλα | | 8 |
| | 18 | Τοὺς ἐχθροὺς τοῦ σταυροῦ τοῦ Χριστοῦ | | 271 |
| | 19 | Ὧν τὸ τέλος ἀπώλεια | | -- |
| | 21 | Τῷ σώματι τῆς δόξης | 127 | |
| Δ'. | 3 | Ἐν βίβλῳ ζωῆς | | 43 |
| | 8 | Ὅσα ἐστὶν ἀληθῆ | 31 | |
| | 9 | Ἃ καὶ ἐμάθετε, καὶ παρελάβετε | -- | |

| Κεφ. | Στίχ. | | Α΄. Σελ. | Β΄. Σελ. |
|---|---|---|---|---|
| | | **ΠΡΟΣ ΚΟΛΑΣΣΑΕΙΣ.** | | |
| Α΄. | 15 | Πρωτότοκος πάσης κτίσεως . . . . . . . | | 298 |
| | 24 | Νῦν χαίρω . . . . . . . . . . . . . | 277 | 9, 65 |
| Β΄. | 9 | Ἐν αὐτῷ κατοικεῖ . . . . . . . . . . | | 214 |
| | 11 | Καὶ περιετμήθητε περιτομῇ . . . . . . | | 196 |
| | 12 | Συνταφέντες αὐτῷ . . . . . . . . . | | -- |
| Γ΄. | 9 | Μὴ ψεύδεσθε εἰς ἀλλήλους . . . . . . | 189 | |
| | 12 | Ἐνδύσασθε οὖν ὡς ἐκλεκτοὶ Θεοῦ . . . . | 265 | |
| | | **ΠΡΟΣ ΘΕΣΣΑΛΟΝΙΚΕΙΣ Α΄.** | | |
| Δ΄. | 13 | Οὐ θέλω δὲ ὑμᾶς ἀγνοεῖν . . . . . . . | | 26, 27 |
| | 16 | Ὅτι αὐτὸς ὁ Κύριος ἐν κελεύσματι. . . . | | 29 |
| | 17 | Ἔπειτα ἡμεῖς οἱ ζῶντες . . . . . . . | | -- |
| Ε΄. | 17 | Ἀδιαλείπτως . . . . . . . . . . . . | 103, 294 | |
| | 18 | Ἐν παντὶ εὐχαριστεῖτε . . . . . . . | | 127, 129 |
| | | **ΠΡΟΣ ΘΕΣΣΑΛΟΝΙΚΕΙΣ Β΄.** | | |
| Γ΄. | 10 | Εἴτις οὐ θέλει ἐργάζεσθαι . . . . . . . | 150 | |
| | | **ΠΡΟΣ ΤΙΜΟΘΕΟΝ Α΄.** | | |
| Α΄. | 15 | Ὅτι Χριστὸς Ἰησοῦς ἦλθεν . . . . . . | | 150, 299 |
| Β΄. | 4 | Πάντας ἀνθρώπους θέλει σωθῆναι . . . | 73 | 112 |
| Γ΄. | 7 | Παγίδα τοῦ Διαβόλου. . . . . . . . . | 228 | |
| | 16 | Ὁμολογουμένως μέγα ἐστὶ . . . . . . . | | 112 |
| ΣΤ΄. | 9 | Οἱ δὲ βουλόμενοι πλουτεῖν . . . . . . | 159 | |
| | 10 | Ῥίζα πάντων τῶν κακῶν . . . . . . . . | 157 | |
| | | **ΠΡΟΣ ΤΙΜΟΘΕΟΝ Β΄.** | | |
| Β΄. | 3 | Σὺ οὖν κακοπάθησον . . . . . . . . . | 43, 294 | |
| | 4 | Οὐδεὶς στρατευόμενος ἐμπλέκεται . . . . | -- | |
| | 26 | Τῆς τοῦ διαβόλου παγίδος . . . . . . . | 228 | |
| Γ΄. | 8 | Ἰαννῆς καὶ Ἰαμβρῆς . . . . . . . . | | 307 |
| Δ΄. | 7 | Τὸν ἀγῶνα τὸν καλὸν ἠγώνισμαι . . . . | 181, 297 | |
| | 8 | Λοιπὸν ἀπόκειταί μοι . . . . . . . . . | -- -- | |
| | | **ΠΡΟΣ ΤΙΤΟΝ.** | | |
| Β΄. | 11 | Ἐπεφάνη ἡ χάρις τοῦ Θεοῦ . . . . . . | 17, 58 | |
| | 12 | Παιδεύουσα ἡμᾶς . . . . . . . . . . | 17 | |
| Γ΄. | 5 | Οὐκ ἐξ ἔργων τῶν ἐν δικαιοσύνῃ . . . . | -- | 83 |

| Κεφ. | Στίχ. | | Α'. Σελ. | Β'. Σελ. |
|---|---|---|---|---|
| | | **ΠΡΟΣ ΕΒΡΑΙΟΥΣ.** | | |
| Α'. | 3 | Ἀπαύγασμα τῆς δόξης. . . . . . . . . | 93, 136 | |
| | 4 | Τοσούτῳ κρείττων . . . . . . . . . . | 96 | |
| | 14 | Οὐχὶ πάντες εἰσί; . . . . . . . . . | 133 | 102 |
| Β'. | 2 | Πᾶσα παράβασις καὶ παρακοὴ . . . . . | 90 | 20 |
| | 8 | Νῦν γὰρ οὔπω ὁρῶμεν. . . . . . . . | 26 | |
| | 9 | Βλέπομεν Ἰησοῦν διὰ τὸ πάθημα . . . . | 93 | |
| | 11 | Οὐκ ἐπαισχύνεται . . . . . . . . . | | 183 |
| | 12 | Ἀπαγγελῶ τὸ ὄνομά σου . . . . . . . | | -- |
| | 14 | Τὰ παιδία κεκοινώνηκε. . . . . . . . | | -- |
| | 16 | Οὐ γὰρ δήπου Ἀγγέλων . . . . . . . . | 251 | 44 |
| Γ'. | 1 | Κατανοήσατε τὸν Ἀπόστολον . . . . . | 78 | |
| Δ'. | 15 | Πεπειρασμένον δὲ κατὰ πάντα . . . . . | 7 | |
| Ε'. | 7 | Ὃς ἐν ταῖς ἡμέραις τῆς σαρκὸς αὐτοῦ . . | 92 | |
| | 8 | Καίπερ ὢν υἱὸς ἔμαθεν . . . . . . . . | -- | |
| Ζ'. | 3 | Ἀφωμοιωμένος τῷ Υἱῷ τοῦ Θεοῦ . . . . | 166 | |
| | 14 | Πρόδηλον γὰρ, ὅτι ἐξ Ἰούδα . . . . . . . | | 290 |
| | 19 | Οὐδὲν ἐτελείωσεν ὁ νόμος. . . . . . . | 97 | 7 |
| | 25 | Τοὺς προσερχομένους δι' αὐτοῦ τῷ Θεῷ . . | | 81 |
| Η'. | 1 | Ἐκάθισεν ἐν δεξιᾷ τοῦ θρόνου . . . . . | 110 | 112 |
| Ι'. | 1 | Σκιὰν γὰρ εἶχεν ὁ νόμος . . . . . . . | 11, 16, 244 | 81 |
| | 4 | Ἀδύνατον γὰρ αἷμα ταύρων . . . . . . | | 83 |
| | 11 | Χάρις ὁ νόμος . . . . . . . . . . | 17 | |
| | 13 | Ἕως. . . . . . . . . . . . . . | 274 | |
| | 28 | Χωρὶς οἰκτιρμῶν. . . . . . . . . . | | 20 |
| ΙΑ'. | 1 | Ἔστι γὰρ πίστις ἐλπιζομένων ὑπόστασις . | 168 | |
| | 6 | Χωρὶς δὲ πίστεως ἀδύνατον εὐαρεστῆσαι . . | | 81 |
| | 35 | Ἄλλοι δὲ ἐτυμπανίσθησαν . . . . . . | 30 | |
| | 36 | Ἕτεροι δὲ ἐμπαιγμῶν. . . . . . . . | -- | |
| | 37 | Ἐλιθάσθησαν, ἐπρίσθησαν . . . . . . | 30, 67, 295 | |
| | 38 | Ἐν ἐρημίαις πλανώμενοι . . . . . . | -- -- | |
| ΙΒ'. | 1 | Τοιγαροῦν καὶ ἡμεῖς . . . . . . . . . | 122, 181, 275, 294 | |
| ΙΓ'. | 2 | Ἀφορῶντες εἰς τὸν τῆς πίστεως. . . . . | 181, 240 | |
| | 4 | Πόρνους καὶ μοιχοὺς . . . . . . . . | | 210 |
| | 8 | Ἰησοῦς Χριστὸς χθὲς καὶ σήμερον ὁ αὐτὸς . | 141 | 135 |
| | | **ΙΑΚΩΒΟΣ.** | | |
| Α'. | 17 | Πᾶσα δόσις ἀγαθὴ. . . . . . . . . | | 201 |
| Β'. | 10 | Ὅστις γὰρ ὅλον τὸν νόμον τηρήσῃ . . . . | | 200 |
| | 13 | Κατακαυχᾶται ἔλεος κρίσεως. . . . . . | 224 | 91 |
| | 14 | Τί τὸ ὄφελος, ἀδελφοί μου; . . . . . . | 29, 31 | |
| | 17 | Ἡ πίστις ἐὰν μὴ ἔργα ἔχῃ . . . . . . | 29 | |
| | 18 | Δεῖξόν μοι τὴν πίστιν σου. . . . . . . | 219, 221 | 63 |

| Κεφ. | Στίχ. | | Α'. Σελ. | Β'. Σελ. |
|---|---|---|---|---|
| β'. | 19 | Σὺ πιστεύεις, ὅτι ὁ Θεὸς εἷς ἐστι . . . . | | 63, 264 |
| | 22 | Ἡ πίστις συνήργει τοῖς ἔργοις αὐτοῦ . . . | 31 | |
| | 26 | Ὥσπερ γὰρ τὸ σῶμα χωρὶς πνεύματος . . | 30, 199 | |
| γ'. | 1 | Μὴ πολλοὶ διδάσκαλοι γίνεσθε. . . . . | | 342 |
| | 2 | Πολλὰ γὰρ πταίομεν ἅπαντες . . . . . | | -- |
| | 6 | Φλογιζομένην ὑπὸ τῆς γεέννης . . . . . | | 76 |
| ε'. | 12 | Ἤτω δὲ ὑμῶν τὸ, ναὶ, ναί . . . . . . | 188 | 106 |
| | 17 | Προσευχῇ προσηύξατο . . . . . . . . | 105 | |
| | 18 | Καὶ πάλιν προσηύξατο . . . . . . . | -- | |
| | 20 | Ὁ ἐπιστρέψας ἁμαρτωλὸν . . . . . . | | 342 |
| | | **ΠΕΤΡΟΥ Α'.** | | |
| α'. | 24 | Πᾶσα δόξα ἀνθρώπου. . . . . . . . . | 202 | 166, 168 |
| β'. | 9 | Βασίλειον ἱεράτευμα . . . . . . . . | 256, 296 | |
| | 13 | Ὑποτάγητε πάσῃ ἀνθρωπίνῃ κτίσει . . . | | 312 |
| | 14 | Εἴτε Ἡγεμόσιν . . . . . . . . . . | | -- |
| | 19 | Τοῦτο γὰρ χάρις, εἰ διὰ συνείδησιν Θεοῦ. . | | 313 |
| | 21 | Χριστὸς ἔπαθεν ὑπὲρ ἡμῶν . . . . . . | 125, 240 | |
| | 23 | Λοιδορούμενος οὐκ ἀντελοιδόρει . . . . . | 181 | |
| ε'. | 8 | Ὡς λέων ὠρυόμενος περιπατεῖ . . . . . | 228 | |
| | | **ΠΕΤΡΟΥ Β'.** | | |
| α'. | 16 | Οὐ γὰρ σεσοφισμένοις μύθοις . . . . . | 14 | |
| | 17 | Λαβὼν γὰρ παρὰ Θεοῦ . . . . . . . | -- | |
| | 18 | Καὶ ταύτην τὴν φωνὴν . . . . . . . . | 14, 166 | 49 |
| | 19 | Οὗτος ἐστὶν ὁ Υἱός μου . . . . . . . | -- | 49, 210 |
| β'. | 4 | Εἰ γὰρ ὁ Θεός. . . . . . . . . . | 175 | |
| γ'. | 12 | Προσδοκῶντες καὶ σπεύδοντες . . . . . . | | 280 |
| | 13 | Καινοὺς δὲ οὐρανούς . . . . . . . | | -- |
| | | **ΙΩΑΝΝΟΥ Α'.** | | |
| α'. | 1 | Ὃ ἦν ἀπ' ἀρχῆς . . . . . . . . . . | 5 | |
| | 7 | Καὶ τὸ αἷμα Ἰησοῦ Χριστοῦ. . . . . . | 51 | |
| β'. | 11 | Ὁ μισῶν τὸν ἀδελφὸν αὐτοῦ. . . . . . | 238 | |
| γ'. | 10 | Τέκνα τοῦ Διαβόλου . . . . . . . . | 144 | |
| | 14 | Ἡμεῖς οἴδαμεν, ὅτι μεταβέβηκεν. . . . . | | 26 |
| | 15 | Πᾶς ὁ μισῶν τὸν ἀδελφὸν αὐτοῦ . . . . | 241 | |
| | 17 | Ὃς δ' ἂν ἔχῃ τὸν βίον τοῦ κόσμου. . . . | 157 | |
| | 18 | Τεκνία, μὴ ἀγαπῶμεν λόγῳ . . . . . . | | 50 |
| δ'. | 8 | Ὁ Θεὸς ἀγάπη ἐστί . . . . . . . . | 268 | |
| | 16 | Μένει ἐν τῷ Θεῷ . . . . . . . . . | 233 | 21 |
| | 20 | Ὁ γὰρ μὴ ἀγαπῶν τὸν ἀδελφὸν αὐτοῦ . . | 158, 270 | 282 |
| ε'. | 1 | Ὁ ἀγαπῶν τὸν γεννήσαντα . . . . . . | 272 | 82 |
| | 17 | Καὶ ἔστι ἁμαρτία οὐ πρὸς θάνατον . . . | | 28 |

| Κεφ. | Στίχ. | | Α'. Σελ. | Β'. Σελ. |
|---|---|---|---|---|
| | | ΙΟΥΔΑΣ. | | |
| | 6 | Ἀγγέλους τοὺς μὴ τηρήσαντας . . . . . | 175 | 56 |
| | | ΑΠΟΚΑΛΥΨΙΣ. | | |
| γ'. | 11 | Κράτει ὃ ἔχεις . . . . . . . . . . . | 298 | |
| ιβ'. | 1 | Καὶ σημεῖον μέγα ὤφθη . . . . . . . . | 36 | |
| | 4 | Καὶ ἡ οὐρὰ αὐτοῦ σύρει . . . . . . . . | | 164, 310 |
| ιδ'. | 4 | Οὗτοί εἰσι οἱ μετὰ γυναικῶν . . . . . | | 187 |
| | 5 | Καὶ ἐν τῷ στόματι αὐτῶν . . . . . . | | -- |
| κα'. | 8 | Δεύτερος θάνατος . . . . . . . . . . | | 26, 187 |
| | 9 | Νύμφην τοῦ ἀρνίου . . . . . . . . . . | 261 | |
| | 10 | τὴν πόλιν Ἱερουσαλὴμ . . . . . . . . . | | 76 |
| | 18 | Ἴασπις . . . . . . . . . . . . . . | | 77 |
| | 21 | Δώδεκα μαργαρῖται . . . . . . . . . . | | -- |
| | 22 | Ὁ γὰρ Κύριος ὁ Θεὸς ὁ παντοκράτωρ. . . | | -- |
| | 23 | Καὶ ὁ λύχνος αὐτῆς τὸ ἀρνίον . . . . . | | -- |
| κβ'. | 5 | Χρείαν οὐκ ἔχουσι λύχνου . . . . . . . | 269 | |
| | 11 | Ὁ ἀδικῶν, ἀδικησάτω ἔτι . . . . . . . . | | 328 |
| | 15 | Ἔξω οἱ κύνες καὶ οἱ φαρμακοί . . . . . | 192 | |


Τέλος τοῦ Πίνακος τῶν ῥητῶν.

# ΠΙΝΑΞ

## Ο ΠΡΑΓΜΑΤΙΩΔΗΣ

Ἐν ᾧ τὸ μὲν Α'. σημαίνει τὸν πρῶτον Τόμον, τὸ δὲ Β'. τὸν δεύτερον· οἱ δὲ Ἀραβικοὶ χαρακτῆρες, τὴν σελίδα· καὶ τὸ μὲν α, τὸν ἐν τοῖς ἀριστεροῖς τῆς σελίδος στύλον, τὸ δὲ β, τὸν ἐν τοῖς δεξιοῖς.

## Α'.


*Ἀαρών.*

Ἐκλελεγμένος ἐκ πάντων τῶν υἱῶν Ἰσραήλ . . . Β'. 331 β.
Διατί ἐστερήθη τῆς ἀπολαύσεως τῆς γῆς τῆς ἐπαγγελίας . . . „ 332 α.β.

*Ἄβελ.*

Πρῶτος ἔδειξε πρὸς τὸν Θεὸν εὐγνωμοσύνην . . . Β'. 125 β.
Τίνι τρόπῳ προσέφερε τὴν θυσίαν αὐτοῦ . . . „ 126 α.

*Ἀβραάμ.*

Ὁποίας εἶχεν ἀρετὰς καὶ προνόμια . . . Α'. 250 α.
Β'. 229 β.
Καὶ τῶν ἐπιγείων ἀπήλαυσεν ἀγαθῶν . . . „ 7 β.
Ὁ κόλπος αὐτοῦ τί σημαίνει „ 44 α.
Τρία ἔστησε θυσιαστήρια . „ 126 β.
Πολλὴν εἶχεν ἀγάπην καὶ ταπείνωσιν . . . „ 248 α.
Πότε εἶδε τὴν ἡμέραν τοῦ Κυρίου . . . „ 326 β.

*Ἀγαθὰ γήϊνα*

Ματαίως ἐλπίζουσιν οἱ τὰς ἐντολὰς τοῦ Θεοῦ παραβαίνοντες . . . Β'. 10 β.
Τίνι τρόπῳ ταῦτα κτώμεθα. „ 11 -
Τέσσαρα εἰσὶ τῷ εἴδει . . . „ 163 -
Τοῦ Θεοῦ εἰσὶ πάντα . . . „ 164 α.

*Ἀγαθός*

Φύσει οὐδὲ ἄνθρωπος, οὐδὲ ἄγγελος . . . Α'. 243 α.
Τίς ὁ ἀγαθός . . . „ 282 α.

*Ἀγάπη.*

Ῥίζα πάντων τῶν καλῶν . . Α'. 157 β.
Ἐφύτευσεν αὐτὴν ὁ Θεὸς εἰς τὰς καρδίας ἡμῶν . . . „ — -
Λαμπρὸν ἔνδυμα τοῦ θείου νυμφῶνος . . . „ 238 α.
Ἀρετὴ εὐκολωτάτη . . . „ 278 β.
Πρᾶγμα κοινόν . . . „ — -
Ὁ ταύτης γυμνὸς, ἀπροφάσιστος . . . „ 279 α.
Ἡ τῇ ταπεινώσει συνημμένη, διώκτης πάντων τῶν κακῶν, καὶ χορηγὸς πάντων τῶν ἀγαθῶν . . . Β'. 249 α.
Αὐτή τε καὶ ἡ ταπείνωσις εἰσὶν αἱ δύο τῆς περιστερᾶς πτέρυγες . . . „ 249 β.
Πόθεν περὶ αὐτῆς πᾶν ἐκκλησιαστικὸν βιβλίον διαλαμβάνει . . . „ 265 α.
Οὐδεὶς ἀγνοεῖ, ὅτι χωρὶς αὐτῆς οὐδεὶς σωθῆναι δύναται . . „ — -
Τίνι ὁμοία . . . „ 266 -
Πῶς καλλιεργεῖται . . . „ — α.β.
„ 267 α.
Ὅταν ἀθετῇς τοὺς νόμους αὐτῆς, τότε μισεῖς σεαυτόν . „ 275 β.
Δύω οἱ ὅροι αὐτῆς . . . „ 276 -

### 'Αγάπη ἡ πρὸς τὸν Θεόν.

Πότε ὑπάρχει ἐν ἡμῖν τελεία. Α'. 272 α.
Διατί ἡ περὶ αὐτῆς ἐντολὴ πρώτη . . . . . . . . . . . „ — -
Ποῖον τὸ μέτρον αὐτῆς . . . . „ — β
Περιέχουσιν αὐτὴν αἱ τέσσαρες πρῶται τοῦ Δεκαλόγου ἐντολαί. . . . . . . . . . . „ — -
Περὶ αὐτῆς ἐκήρυξαν οἱ Προφῆται. . . . . . . . . . . . „ — -
Ἐξ αὐτῆς κρέμανται πάντα τὰ θεῖα προστάγματα . . „ 275 α.
Πόσα τὰ ἐκ τῆς φυλακῆς αὐτῆς ἀκόλουθα . . . . . . . „ — β.
Ὁ ἔχων αὐτὴν καὶ ὑπὸ τῶν ἐναντίων ὠφελεῖται περιστάσεων . . . . . . . . . . „ 276 α.
Καί ἐστιν ὁ ἄνθρωπος ὁ πρὸ τῆς ἁμαρτίας. . . . . . . . „ 277 -
Καὶ ὁ ὑπὸ πάντων τῶν κτισμάτων τιμώμενος . . . . . „ — -
Νικᾷ τὰ πάντα. . . . . . . . „ 276 β.
Χορηγὸς τῆς εὐτυχοῦς προσκαίρου καταστάσεως . . . „ 277 α.
Διατί ὅλη ζητεῖται ὑπὸ τοῦ Θεοῦ . . . . . . . . . . . . . „ 278 α.β.
Τίς ὁ ὅρος αὐτῆς . . . . . . Β'. 245 β.

### 'Αγάπη ἡ πρὸς τὸν πλησίον

Ἐκ τῆς πρὸς τὸν Θεὸν γεννᾶται . . . . . . . . . . . Α'. 272 α.
Ποῖον τὸ μέτρον αὐτῆς . . . „ — β.
Περιέχουσιν αὐτὴν αἱ ἓξ μετὰ τὰς τέσσαρας πρώτας τοῦ Δεκαλόγου ἐντολαί . . . . „ — -
Περὶ αὐτῆς ἐκήρυξαν οἱ Προφῆται . . . . . . . . . . . „ — -
Τίς ὁ ὅρος αὐτῆς . . . . . . Β'. 245 -
Ἐὰν φύγῃ, φεύγει ἡ ταπείνωσις . . . . . . . . . . . . . „ 246 α.
Ὁ νόμος αὐτῆς ἐπὶ τὸν φυσικὸν στηρίζεται νόμον . . . „ 275 β.

### 'Αγάπη ἡ πρὸς τοὺς ἐχθρούς

Ἐντολή ἐστι, καὶ οὐ συμβουλή . . . . . . . . . . . Β'. 15 α.
Ἡ δευτέρα ἐντολή ἐστι τοῦ Δεκαλόγου . . . . . . . . . Β'. 15 β.
Διατί περὶ αὐτῆς οὐ λαλεῖ ἐκπεφασμένως ὁ Μωσαϊκὸς νόμος . . . . . . . . . . . „ 16 α.
Ὑπερεδόξασε τὴν εὐαγγελικὴν διδασκαλίαν . . . . . . . . „ — β.
Οὐδὲ δύσκολος, οὐδὲ ἐναντία τῇ τοῦ κόσμου γνώμῃ, οὐδὲ ἀντιμαχομένη τῇ φύσει . . . „ 17 α.
Εὐκολωτέρα τοῦ μίσους . . . „ — β.
Κατάλληλος τῇ ἀνθρωπίνῃ φύσει. . . . . . . . . . . . „ 19 α.
Πόθεν ἡ ἀθέτησις αὐτῆς . . „ — -
Κἂν δυσκατόρθωτος, ὁ Θεός, ὁ ἔχων δικαίωμα ταύτην ζητεῖν, εὔκολον ποιεῖ τὴν ἐκπλήρωσιν αὐτῆς . . . . . „ 19 β.
„ 20 α.
Ὁ μὴ ἔχων αὐτήν, ἀναπολόγητος . . . . . . . . . . „ — -
Διατί ὁ Θεὸς ἔδωκε τὴν περὶ αὐτῆς ἐντολήν . . . . . . . „ — β.
Εἰς τοὺς ἔχοντας αὐτὴν ὑπέσχετο ὁ Θεὸς τὴν υἱοθεσίαν. „ — -

### Ἄγγελοι

Φωτίζουσι τοὺς ἀνθρώπους . Α'. 9 β.
Κατὰ τί αὐτοί τε καὶ οἱ ἄνθρωποι εἰσὶ σύνδουλοι . . „ 235 α.
Κατὰ χάριν ἀγαθοί . . . . . „ 243 -
Καὶ πρὸς τιμωρίαν τῶν ἀνθρώπων ἀποστέλλονται. . „ 266 β.
Τῶν δικαίων τὰς ψυχὰς μετὰ θάνατον παραλαμβάνουσι . . . . . . . . . . . Β'. 44 α.

### Ἅγιοι.

Πῶς ἔλαβον ἐν τῷ παρόντι βίῳ τὰς ἑκατονταπλασίους ἀμοιβάς . . . . . . . . . . Α'. 128 α.β.
Τιμᾷ αὐτοὺς ὁ Δαβίδ. . . . „ 122 - -
Καὶ προτρέπει εἰς τὴν πρὸς αὐτοὺς εὐλάβειαν . . . . . „ — -
Τὴν τούτων μνήμην ὡς προτρεπτικὴν πρὸς τὴν ἀρετὴν προβάλλει ὁ Παῦλος . . . „ — -
Πόθεν καὶ τίνος ἕνεκα οἱ εὐσεβεῖς τὴν τούτων μνήμην

ἑορτάζουσι . . . . . . . . . Α'. 122 α.β.
Ποῖα τῶν εὐαγγελικῶν ῥημάτων διαλαμβάνουσι τὰ περὶ τῆς ἀρετῆς αὐτῶν, καὶ τῆς πρὸς αὐτοὺς ἀνταποδόσεως . . . . . . . . . . . . „ 126 α.
Ἀντιλαμβάνοντες πονηρὰ ἀντὶ ἀγαθῶν, οὐκ ἔπαυον εὐεργετοῦντες . . . . . . . . . „ 180 β.
Αὐτῶν τε καὶ ἡμῶν παράθεσις. „ 296 α.β.

Αἱμοῤῥοούσης

Τοῦ Εὐαγγελίου, τίς ἡ πατρὶς, τὸ γένος καὶ τὸ ὄνομα. Β'. 67 β.
Τίς συνέτριψε τὸν ὑπ' αὐτῆς ἀναστηλωθέντα ἀνδριάντα. „ — -
Αἱ τοῦ πάθους αὐτῆς περιστάσεις, τίνες . . . . . . . „ — -
Μεγάλη ἡ πίστις αὐτῆς . . . „ 69 α.
Αὐτῆς τε καὶ τῶν σὺν αὐτῇ ἀκολουθούντων τῷ Χριστῷ παράθεσις . . . . . . . . „ 72 α.β.

Αἰσθήσεις

Εἰσὶ θύραι . . . . . . . . . . Α'. 195 α.

Αἰώνιον.

Τί σημαίνει . . . . . . . . . . Β'. 184 β

Ἀλήθεια.

Ὅσον ἐξετάζεται, τοσοῦτον ἐπιλάμπει . . . . . . . . . Α'. 81 β.
Καὶ τῇ πολιτείᾳ καὶ τῇ Ἐκκλησίᾳ ὠφέλιμος . . . . . „ 189 -

Ἁμαρτία.

Σκοτία ἐστὶ . . . . . . . . . Α'. 7 β.
Αἰσχύνην προξενεῖ καὶ ὄνειδος. „ 43 α.
Ὑπὲρ τῆς συγχωρήσεως αὐτῆς ἀναγκαία ἡ συνδρομὴ τῆς θελήσεως . . . . . . . . . . „ 47 -
Πόθεν γνωρίζομεν τὸ βάρος αὐτῆς . . . . . . . . . . . „ 50 β.
Τί ἐστὶ . . . . . . . . . . . „ 51 α.
„ 157 -
„ 202 -
Β'. 238 β.
Εὐπερίστατος . . . . . . . . . Α'. 54 -
Τίνι λόγῳ εὐπερίστατος . . „ 296 α.
Ἡ ἀρχὴ αὐτῆς τίνι ὁμοία . Α'. 120 α.
Ἡ παλαιὰ, δυσθεράπευτος, ἀλλ' οὐκ ἀθεράπευτος . . . „ — β.
Τοῦ τῆς συνειδήσεως ἐλέγχου πρόξενος . . . . . . . . . . „ 132 -
Μήτηρ πάσης συμφορᾶς . . . „ 135 -
Πόσον ἀποστρέφεται αὐτὴν ὁ Θεός . . . . . . . . . . . „ 169 α.β.
Ἐξ αὐτῆς ἐνίοτε αἱ ἀσθένειαι. „ 185 α.
Ἡ ἄφεσις αὐτῆς οὐ μετὰ τὴν κρίσιν . . . . . . . . . . . „ 186 β.
Αἱ πηγαὶ αὐτῆς δύο . . . . „ 227 α.
Οὐδὲν τῶν ἐπιγείων δύναται αὐτὴν ἐξαγοράσαι . . . . . „ 232 β.
Ἑκάστη ἀντιφέρεται τῇ ἀγάπῃ. „ 238 α.
Φόβου πρόξενος . . . . . . . Β'. 4 β.
Ἡ πρὸ αὐτῆς τοῦ ἀνθρώπου κατάστασις, ὁποία . . . . „ 8 -
Ποσάκις συγχωρεῖται . . . . „ 90 α.
Ἡ σωματικὴ αἰσθητὴ, ἡ ψυχικὴ ἀνεπαίσθητος . . . . „ 157 -
Εἴδη αὐτῆς κολάζοντα, τίνα. „ 187 β.
Τί τὸ κατ' αὐτῆς προπύργιον. „ 210 -
Πῶς ἀπ' αὐτῆς ἀπαλλαγῆναι δύνασαι . . . . . . . . . . „ 221 α.
Κατὰ τί λέγεται σκιὰ θανάτου. „ 325 β.
Ἡ κρυπτὴ ἕνα μόνον βλάπτει, ἡ φανερὰ ἀναριθμήτους . . „ 331 α.

Ἁμαρτωλοί.

Διατί ἐνίοτε εὐτυχοῦσι . . . Α'. 53 α.
Περὶ τῆς τούτων εὐτυχίας ἐξηπόρησεν ὁ προφήτης Ἱερεμίας . . . . . . . . . . . . „ — -
Τίνες ἐν τῷ δε τῷ Κόσμῳ παιδεύονται, καὶ τίνες ἐγκαταλιμπάνονται ἀτιμώρητοι, καὶ διατί. . . . . . . . . . . . „ — β. Β'. 87 α.β.
Οὐκ ἐπιθυμητὴ ἡ τούτων εὐτυχία . . . . . . . . . . . Α'. 53 β.
Ἀναβάλλεται, ἀλλ' οὐκ ἀποβάλλεται ἡ τούτων τιμωρία. „ 54 -
Ποῖον τὸ τούτων καταφύγιον. „ — -
Τίνων ἐξ αὐτῶν ἡ δέησις εἰσακούεται . . . . . . . . „ 84 β.
Ἐνίοτε καὶ τὴν δύναμιν τῶν θαυμάτων λαμβάνουσι . . „ 85 α.
Διατί τινὲς ἐξ αὐτῶν παιδεύονται, τινὲς δὲ ἀποθνή-

σκουσιν ἐν εἰρήνῃ . . . . . Α΄. 87 α.β.
Οἱ παιδευόμενοι ὠφελοῦνται. „ 88 -
Αἱ τούτων ὀνομασίαι . . . . Β΄. 144 -
Αἱ μετὰ τὴν κρίσιν τιμωρίαι αὐτῶν τρεῖς . . . . . . . . „ 183 -
Διατί κολάζονται . . . . . . „ 184 α.

*Ἁμαρτωλός.*

Τίς καὶ ὁποῖος ἐστί . . . . Α΄. 52 α.
Ἀπροφάσιστος . . . . . . . . „ — β.
Τίνες αἱ τούτου τιμωρίαι . . „ — -
Διατί τὸ πάλαι εὐθὺς μετὰ τὴν ἁμαρτίαν ἐπαιδεύετο . „ 89 -
Αὐτοῦ τε καὶ τοῦ ἀνυποτάκτου τῷ ἰατρῷ ἀσθενοῦς παράθεσις . . . . . . . . . „ 144 -
Τίνι ὅμοιος . . . . . . . . . „ 257 α.

*Ἀμήν,*

Ἅπαξ, ἢ δὶς λεγόμενον, τί σημαίνει . . . . . . . . . . Β΄. 280 α.

*Ἀναβάσεις*

Τοῦ νοὸς εἰς τὸν Θεόν, τίνες. Β΄. 77 α.β.

*Ἀνάστασις νεκρῶν.*

Ἔργον μέγα καὶ δυσπαράδεκτον . . . . . . . . . . . . Α΄. 25 α.
Ἐνίοτε ἀνωφελὴς πρὸς μετάνοιαν, μᾶλλον δὲ καὶ ἐπιβλαβής . . . . . . . . . . Β΄. 48 α.β.
Ματαίως ζητεῖται πρὸς ἀπόδειξιν τῆς πίστεως . . . . „ — β.

*Ἀνδρεία.*

Μήτηρ πολλῶν ἀρετῶν . . . Α΄. 40 α.
Κατὰ τί διαφέρει τῆς μεγαλοψυχίας . . . . . . . . „ — -
Ὑπὸ Θεοῦ παραγγέλλεται . „ 41 β.
Δι' αὐτῆς οἱ Ἅγιοι κατώρθωσαν τὰς μεγάλας ἀρετὰς καὶ τὰ θαύματα . . . . . „ 42 α.

*Ἄνθρωπος.*

Φωτίζει τὸν ἄνθρωπον . . . Α΄. 9 β.
Κατὰ τίνα λόγον ἴδιος τοῦ Θεοῦ λέγεται . . . . . . . „ 11 α.
Πότε γίνεται εἰκὼν ζῶσα καὶ ὁμοία τῷ Θεῷ . . . . . . . „ 133 -
Πόθεν πρέπον ἐστίν, ἵνα ζητῇ τοῦ Κόσμου τὰ ἀγαθά. Α΄. 134 β.
Αὐτοῦ τε καὶ τῶν πετεινῶν παράθεσις . . . . . . . . . „ 151 -
Ὁποία ἡ τῆς φύσεως αὐτοῦ ἀσθένεια . . . . . . . . . . „ 216 α.
Τίς ὁ κατὰ τὴν ἀρετὴν τέλειος . . . . . . . . . . . „ 245 -
Ζῶον ὁμηγυρικόν ἐστι . . . . „ 248 -
Γίνεται τῶν κωφῶν ὀψαρίων κωφότερος . . . . . . . . . Β΄. 2 -
Τῆς φύσεως αὐτοῦ πρῶτον καὶ οὐσιῶδες ἰδίωμα ποῖον . . „ 18 β.
Πῶς γίνεται ἀληθινὸς τοῦ Θεοῦ προσκυνητής . . . . . „ 74 -
Πῶς ἀφιεροῖ ἑαυτὸν τῷ Θεῷ. „ 78 α.β.
Κτίσμα ἐστὶ πάντων τῶν κτισμάτων ἐξαίρετον . . . . . „ 262 β.

*Ἀνοησία,*

Ἐστὶ παρὰ φύσιν . . . . . . Β΄. 285 -

*Ἀπηλπισμένος,*

Τίς . . . . . . . . . . . . . . Β΄. 92 α.β.

*Ἄπιστος.*

Διατί ἀπαραμύθητος ἐν ταῖς θλίψεσι . . . . . . . . . . Β΄. 27 β.
„ 306 α.
Αὐτοῦ τε καὶ πιστοῦ μὴ βαπτισθέντος, καὶ πιστοῦ καὶ βαπτισθέντος διαφορά . Α΄. 12 α.

*Ἀπίστων*

Τὰ περὶ τῶν Δαιμόνων φρονήματα χλευάζονται . . . Β΄. 54 α.β.

*Ἁπλότης.*

Τί . . . . . . . . . . . . . . . Β΄. 110 β.

*Ἀποθανόντες*

Εὐσεβῶς, ἔχουσιν ἐλπίδα σωτηρίας ἄχρι τῆς ἡμέρας τῆς κρίσεως . . . . . . . . . . Β΄. 46 -
Πόθεν ἡ Ἐκκλησία παρέλαβε τὸ ὑπὲρ αὐτῶν πρεσβεύειν . „ — -

*Ἀπολινάριος*

Τίνας τῆς Γραφῆς ῥήσεις οὐκ

ἐσυλλογίσθη. . . . . . . . . Α'. 13 β.

'Αποπληξία.

Τί . . . . . . . . . . . . . . . Β'. 97 -

'Απόστολοι.

Μέγα ἔχουσιν ἀξίωμα . . . Α'. 22 -
Πηγαὶ νάματος θείου . . . . „ 60 α.
Γεωργοὶ τοῦ προφητικοῦ σπόρου. . . . . . . . . . . . „ 66 β.
Τίνες οἱ πρὸ αὐτῶν κοπιάσαντες . . . . . . . . . . . „ 67 -
Τίς ἡ πεπληρωμένη αὐτῶν χαρά. . . . . . . . . . . . „ 101 -
Τίνα χαρίσματα ἔλαβον διὰ τῆς καταβάσεως τοῦ ἁγίου Πνεύματος . . . . . . . . . „ 108 α.β.
Ἔδειξαν ἐκπεπληρωμένα τοῦ Κυρίου τὰ λόγια . . . . . „ 109 β.
Ποῖον τὸ ὑπερέχον τῆς δόξης αὐτῶν . . . . . . . . . . . „ 127 α.β.
Ὑπὸ τῆς προνοίας καὶ φιλανθρωπίας τοῦ Θεοῦ ἐκλελεγμένοι . . . . . . . . . . . „ 136 α.
Διατί οἱ Πρωτόκλητοι ἦσαν ἀδελφοί . . . . . . . . . . „ 137 β.
Διατί πτωχοί, καὶ ἁπλούστατοι, καὶ ἀγράμματοι . „ — α.
Προθυμότεροι τοῦ προφήτου Ἐλισσαίου . . . . . . . . „ 138 β.
Προσκαλούμεθα καὶ ἡμεῖς, ὥσπερ αὐτοί . . . . . . . „ — -
Δύο ἐξ αὐτῶν, Ἰάκωβοι καλούμενοι. . . . . . . . . . „ 139 α.
Πόθεν δήλη ἡ τούτων πτωχεία. . . . . . . . . . . . „ — -
Τίνι τρόπῳ ἐμερίμνων τὰ περὶ τῆς τροφῆς . . . . . . . „ 153 β.
Διατί οὐκ ἐζήτουν ἀνταπόδοσιν, κἂν εἶχον δικαίωμα ζητεῖν . . . . . . . . . . . „ 181 α.
Πόθεν ἐγνώσθη ἡ πνευματικὴ αὐτῶν μέριμνα. . . . . „ 205 β.
Τίνα τὰ τῆς θερμῆς αὐτῶν πίστεως ἔργα. . . . . . . „ 220 -
Ἐξέστησαν αὐτοὺς τὰ τῆς τελειότητος μαθήματα . . . „ 242 α.
Ἀνέλαβον τὴν ποιμαντικὴν φροντίδα τῆς τοῦ Κόσμου σωτηρίας . . . . . . . . . . Α'. 246 β.
Γεωργοὶ τῆς οἰκουμένης . . . „ 255 -
Διατί τὰ πρὸς τοὺς ἄλλους γινόμενα ἀφορμὴ ἁμαρτίας, πρὸς αὐτοὺς ἐγίνοντο ἀρετῆς παραίτια . . . . . . . „ 276 α.β.
Διατί οὐκ ἐσιώπησαν τὸ κήρυγμα, κἂν οἱ ἄπιστοι ἐσκανδαλίζοντο. . . . . . . Β'. 327 β.

'Αργολογία,

Τῶν ἁμαρτιῶν μικροτέρα, ὅμως καὶ ὑπὲρ αὐτῆς ἀποδίδομεν λόγον . . . . . . . Β'. 287 -

'Αρειανῶν

Στόματα διὰ τίνος ἐμφράττονται . . . . . . . . . . . . Α'. 3 α.

'Αρείου.

Πατρίς, ἀξία, ἔτος, αἵρεσις τίς. . . . . . . . . . . . . Α'. 91 α.
Ὑπὸ τίνος οὗτος καθῃρέθη καὶ ἀναθεματίσθη . . . . „ 92 α.
Ὑπὸ τίνος δὲ καταισχύνεται. „ 96 α.β.

'Αρεταί,

Εἰσὶν ἀλληλένδετοι . . . . . Β'. 200 α.
Πᾶσαι, ὡς πρὸς τὴν ὑπὲρ αὐτῶν διδομένην ἀμοιβήν, οὐδὲν εἰσί . . . . . . . . . . „ 218 -

'Αρετή,

Οὐδένα ἔχει φόβον. . . . . . Α'. 43 α.β.
Τίς ὁ χαρακτὴρ αὐτῆς . . . „ 87 -
Οἱ ἐργάται αὐτῆς καὶ ἐν τῷδε τῷ βίῳ ἔνδοξοι, καὶ ἐν τῷ μέλλοντι τρισμακάριοι. „ 129 α.
Καθησυχάζει τὴν συνείδησιν. „ 132 β.
Ὁ ἐργάτης αὐτῆς κατοικητήριον τοῦ Θεοῦ . . . . . . . „ 134 α.
Ὑπερτιμωμένη, καὶ περιφρονουμένη . . . . . . . . . „ — α.β.
Πηγὴ πάσης εὐτυχίας. . . . „ 135 -
Ὅσον κρύπτεται, τοσοῦτον φανεροῦται . . . . . . . . . . „ 195 β.
Ἔχει πνεῦμα καὶ σῶμα . . „ 201 -
Βλαστάνει ἐκ τῆς ἀγάπης . „ 237 -
Τί ἐστι . . . . . . . . . . . „ 273 α.

Ο' δρόμος αὐτῆς πολυκίνδυνος. Α'. 294 α.β.
Ἀνάγει τὸν ἄνθρωπον εἰς τὴν πρὸ τῆς ἁμαρτίας κατάστασιν . . . . . . . . . . Β'. 8 -
Τίς ἡ ἀληθὴς καὶ τῷ Θεῷ εὐπρόσδεκτος . . . . . . . „ 14 α.
Παλαιοτέρα τῆς κακίας . . . „ 168 -
Διατί ἡ ἀνθρώπινος ἐστὶν ἀτελής . . . . . . . . . . . „ 217 β.
Τί ἡμεῖς συνεισφέρομεν εἰς τὴν κατόρθωσιν αὐτῆς . . „ — -
Φῶς ἐστί . . . . . . . . . . . „ 238 -
Φυσική ἐστι, παρὰ φύσιν δὲ ἡ κακία . . . . . . . . . „ 265 -

Ἀριθμὸς ὁ ἑπτά,

Τί σημαίνει ἐν ταῖς τοῦ Εὐαγγελιστοῦ Ματθαίου τετραδεκάσι . . . . . . . . . . . Β'. 294 α.β.

Ἀρχή

Παντὸς ἔργου τίνι λόγῳ λογίζεται τὸ ἥμισυ . . . . . Β'. 222 -

Ἀσέλγεια.

Διὰ τίνων καταδαμάζεται τρόπων . . . . . . . . . . . . Β'. 53 -

Ἀσθένεια,

Ἀναγγέλλει τὰ δέοντα . . . Β'. 97 -
Τίνι λόγῳ ἐπιφορτίζει αὐτὴν ἐφ' ἡμᾶς ὁ Σατὰν . . . . . „ 102 -

Ἀσθενοῦντας

Τίνι λόγῳ δεῖ μετέρχεσθαι τὰ φάρμακα . . . . . . . . Β'. 220 -

Ἀχαριστία.

Ἁμαρτία μεγάλη . . . . . . Α'. 178 β.
Διατί γίνεται ἀφόρητος . . . „ 179 -
Ἡ τοῦ εὐεργετουμένου γίνεται εὐεργεσία τοῦ εὐεργέτου . . „ 181 -

Ἀχάριστοι

Πρὸς τὸν Θεὸν ἐσμὲν σχεδὸν πάντες . . . . . . . . . . . Β'. 62 α.β.
Ἀναπολόγητοι . . . . . . . . „ 65 -
Τρεῖς τάξεις εἰσὶ τῶν ἀχαρίστων . . . . . . . . . . . „ 58 -
Τίνες οἱ κατ' αὐτῶν τοῦ Θεοῦ ἔλεγχοι . . . . . . . . . . Β'. 61 α.β.

Ἀχάριστος.

Τίνας ἀθετεῖ νόμους . . . . Α'. 178 β.
Μίαν ἁμαρτάνει ἁμαρτίαν . . „ — -
Κατὰ τίνων ἁμαρτάνει. . . . Β'. 59 α.β.

## Β

Βαΐα.

Τίνος σύμβολα . . . . . . . Β'. 254 β.

Βαλαάμ

Ὁ μάντις τὴν ἐπὶ τῇ Χριστοῦ γεννήσει ἐμφάνειαν τοῦ ἀστέρος προεῖπε . . . . . . Β'. 302 α.
Μεγάλην εἶχον περὶ αὐτοῦ ὑπόληψιν οἱ Ἀνατολικοί . „ — -

Βάπτισμα τὸ τοῦ Ἰωάν.

Ὁποῖον ἦν . . . . . . . . . . . Β'. 315 α.

Βάπτισμα τὸ εἰς Χριστὸν δι' ὕδατος.

Ποῖα ἔσχε σύμβολα. . . . . Β'. 318 α.β.
Διατί δι' ὕδατος τελεῖται . . „ 319 β.
Ἑρμηνεία τῶν ἐν αὐτῷ τελουμένων . . . . . . . . . . . „ 320 α.β.
Ποῖα χαρίσματα λαμβάνει ὁ δι' αὐτοῦ βαπτισθείς . . . „ 322 -
Ποῖα ὁ τοῦτο μὴ μολύνας . . „ — -
Οὐ δευτεροῦται . . . . . . . . „ — -

διὰ μαρτυρίου.

Καὶ ὁ Χριστὸς αὐτὸ ἐβαπτίσθη . . . . . . . . . . . „ — β.
Πότε ἐξόχως ἦν ἀναγκαῖον . „ — -
Τῶν ἄλλων βαπτισμάτων σεβασμιώτερον . . . . . . . . „ — -

διὰ δακρύων.

Ἀναγκαιότατον εἰς πάντας . „ 322 β.
Πότε διετάγη . . . . . . . . . „ — -
Ἀποδεικτικὸν τῆς τοῦ Θεοῦ φιλανθρωπίας . . . . . . . „ 323 α.β.
Ὁ τούτου καταφρονητὴς οὐδεμίαν ἔχει ἐλπίδα σωτηρίας . . . . . . . . . . . „ — β.

Βασιλεία

Ἡ τοῦ Θεοῦ οὐδεμίαν ἀναλογίαν ἔχει τοῖς ἔργοις ἡμῶν. Β΄. 338 α.
Ἐλέει καὶ χάριτι δίδοται . . „ — β.
Τίς ὁ ἐν αὐτῇ μέγας . . . . „ 342 α.

Βασίλειος

Ὁ μέγας δι' ὁλοκλήρου λόγου μίαν διηρμήνευσεν εὐαγγελικὴν Παραβολὴν . . . . . Β΄. 92 α.

Βασιλεύς.

Τί ἐστι . . . . . . . . . . . Β΄. 86 β.

Βερζελλί.

Ὁποῖος τὸ ἦθος . . . . . . . Β΄. 237 α.β.

Βηθεσδά.

Τί σημαίνει . . . . . . . . . . Α΄. 45 α.

Βιβλία

Πέντε, ὁδηγοῦντα πρὸς τὴν ἐν πνεύματι καὶ ἀληθείᾳ προσκύνησιν τοῦ Θεοῦ, τίνα . Β΄. 74 β.

Βουρκολάκων

Ἡ Βρυκολάκων πέρι, πλάνη. Α΄. 174 β.

Βύσσος.

Τί ἐστί . . . . . . . . . . . Β΄. 42 β.

Γ

Γαδαρηνῶν

Πόλις διώνυμος . . . . . . . Α΄. 174 α.
Ἐν τῇ πόλει αὐτῶν Ἑβραῖοι καὶ Ἐθνικοὶ κατῴκουν . . „ 176 β.

Γαζοφυλάκιον.

Τί ἐστί . . . . . . . . . . . Β΄. 339 α.

Γαλιλαία.

Τίνων Προφητῶν Πατρίς . . . Α΄. 115 α.
Ἡ θάλασσα αὐτῆς καὶ λίμνη Γεννησαρὲτ λέγεται . . „ 137 -
Διὰ τῆς θαλάσσης αὐτῆς διέρχεται ὁ Ἰορδάνης . . . . . „ — -

Γεδεὼν,

Εὐχαριστίαν προσφέρων τῷ Θεῷ, οἰκοδομεῖ θυσιαστήριον . . . . . . . . . . . . Β΄. 127 α.

Γενεαλογίας

Χριστοῦ καὶ τῆς Ἰακὼβ κλίμακος παράθεσις . . . . . Β΄. 288 α.

Γεννηθήτω.

Φωνή ἐστι Θεοῦ δημιουργικὴ καὶ θαυματουργός . . . . Α΄. 165 β.

Γεννησαρέτ

Λίμνη, ποία . . . . . . . . . Β΄. 56 β.

Γέργεσα

Ἡ Γέρασα, ποῦ ἔκειτο . . . Α΄. 183 β.

Γεωργός

Ἀληθὴς τίς . . . . . . . . . Β΄. 32 α.

Γῆρας,

Φέρει τοῦ θανάτου τὰ μηνύματα . . . . . . . . . . . Β΄. 236 β.

Γῆς

Καρποὶ, τίνος ἀγαθὰ εἰσι . Β΄. 94 α.
Καρποφορία αὐτῆς ἑκατονταπλάσιος, ποῦ; . . . . . . „ 33 α.

Γραμματέων,

Καὶ φιλοκατηγόρων διαφορά. Α΄. 185 α.β.

Γραφαὶ

Αἱ θεῖαι, τίνας ἔχουσι χαρακτῆρας . . . . . . . . . . Β΄. 313 α.β.
Ἡ τούτων ἁπλότης ἀμίμητος. „ 314 -
Ἡ τούτων ἔρευνα σωτηριώδης. Α΄. 173 -
Ὁ τούτων λόγος πάσης μαρτυρίας βεβαιότερος . . . . Β΄. 48 β.
Διαφορὰ μεταξὺ αὐτῶν καὶ τῶν ἀνθρωπίνων συγγραμμάτων . . . . . . . . . . . „ 80 α.β.
Τίνι τρόπῳ ἀναγνωστέον αὐτάς . . . . . . . . . . . . „ 185 β.
Παράθεσις δύο τῶν ἐν αὐταῖς διηγημάτων . . . . . . . . „ 186 α.β.

Πόθεν ἡ διαφορὰ τῶν ὀνομάτων ἐν τοῖς τούτων καταλόγοις . . . . . . . . . . . Β'. 293 β.

*Γραφὴ ἡ Παλαιά*

Σύμφωνος τῷ Εὐαγγελίῳ . . Α'. 2 β.
Ὑπὸ τῆς νέας ἀναπτύσσεται. „ 4 α.
Οὐδὲν τῶν ἐν αὐτῇ περιττὸν ἢ ἀργὸν . . . . . . . . . . „ 6 -
Ἰδίωμα αὐτῆς . . . . . . . . . „ 13 β.
Τὰ ἐν αὐτῇ τύπος τῶν ἐν τῇ νέᾳ . . . . . . . . . . . . „ 24 -

*Γυναῖκες.*

Φύσει δειλαί . . . . . . . . . . Α'. 41 α.
Οὐ γενεαλογοῦνται . . . . . Β'. 293 -
Γυνὴ σύζυγος τί ἐστι . . . . „ 285 β.

## Δ

*Δαβίδ*

Ὁ Προφητάναξ μετὰ πολλῆς εὐλαβείας τιμᾷ τοὺς Ἁγίους. Α'. 122 α.
Καὶ προτρέπει πρὸς τὴν τούτων εὐλάβειαν . . . . . . . „ — -
Ὁρᾷ διαπαντὸς τὸν Θεὸν ἐνώπιον αὐτοῦ . . . . . . . . „ 219 -
Προεφήτευσε καὶ περὶ τῶν ἐσομένων μετὰ τὴν Χριστοῦ ἀνάληψιν . . . . . . . . . „ 273 β.
Καὶ πατὴρ καὶ δοῦλος τοῦ Χριστοῦ . . . . . . . . . . „ — -
Καὶ τῶν ἐπιγείων ἀγαθῶν μέτοχος . . . . . . . . . . . Β'. 8 α.
Πότε ᾐσθάνθη τῆς κατάρας τῆς γῆς . . . . . . . . . . „ — β.
Τίνα τὰ περιστατικὰ τῆς μοιχείας καὶ τοῦ φόνου, ὃν ἐποίησεν . . . . . . . . . . „ 86 -
Ἐν αὐτῷ ἐδείχθη ἡ τοῦ Θεοῦ εὐσπλαγχνία . . . . . . . „ 87 α.
Τίνες αἱ ὑπ' αὐτοῦ ζητούμεναι δύο πτέρυγες . . . . „ 131 β.
Ὁποῖα τὰ τῆς μετανοίας αὐτοῦ ἔργα . . . . . . . . . „ 154 -
Ἐφοβεῖτο τὴν ὥραν τοῦ θανάτου . . . . . . . . . . „ 249 α.β.
Καὶ ἐν ταῖς δειναῖς περιστάσεσι, καὶ διαπαντὸς ἐμνημόνευε τοῦ Θεοῦ . . . . . Β'. 267 α.β.

*Δαίμονες*

Οὐκ ἔλαβον ἄχρι τοῦ νῦν τὴν τελείαν κόλασιν, φρίττουσι δὲ αὐτὴν . . . . . . Α'. 175 β.
Ἄνευ παραχωρήσεως Θεοῦ βλάψαι οὐ δύνανται . . . „ 176 α.
Διὰ τίνος διώκονται . . . . . „ — -
Ποῦ ἀναπαύονται . . . . . . „ — β.
Οἱ ποιοῦντες τὸ θέλημα αὐτῶν, κωφοὶ γίνονται καὶ ἄλαλοι . . . . . . . . . . . „ 196 -
Πότε ἐξενευρίσθη ἡ τούτων δύναμις . . . . . . . . . . „ 228 α.
Β'. 54 -
Οὐ δύνανται νῦν ἐκτελέσαι ὅσα πρὸ τοῦ πάθους καὶ τῆς ἀναστάσεως τοῦ Χριστοῦ ἔπραττον . . . . . . . „ — -

*Δαιμονιζόμενοι*

Διατί κατῴκουν ἐν τοῖς μνημείοις; . . . . . . . . . . Α'. 174 β.

*Δακρύων*

Τίνων ἡ τιμὴ ἐστὶν ἀτίμητος. Β'. 258 α.

*Δανιὴλ*

Ὁ Προφήτης πότε καθ' ὑπερβολὴν ἐφοβήθη . . . . . . Β'. 207 β.

*Δέησις*

Τίνων χρήζει, ἵνα εἰσακουσθῇ . . . . . . . . . . . . . Β'. 67 α.

*Δειλίας*

Ἀποτελέσματα τίνα . . . . Α'. 42 β.

*Δηνάριον*

Τὸ καὶ Κῆνσος πόσου τιμᾶται . . . . . . . . . . . . . Α'. 234 α.

*Διά*

Πρόθεσις, οὐκ ὄργανον, ἀλλὰ συνέργειαν σημαίνουσα . . Α'. 5 β.

*Διάβολος.*

Ἀπ' ἀρχῆς ἔβλαψε, καὶ βλά-

πτειν οὐ παύεται . . . . . Α΄. 222 α.
Τρία τὰ κατ' αὐτοῦ ὅπλα . . „ — β.
Πρόξενος διαφόρων φυσικῶν ἀῤῥωστημάτων . . . . . . . „ 223 β.
Πειράζειν μόνον δύναται . . . „ 228 α.
Πῶς συγκοινωνεῖ τὰς πονηρὰς αὐτοῦ ἐννοίας . . . . . „ — β.
Μεθοδείας, παγίδος, βελῶν, μετασχηματισμοῦ αὐτοῦ παραδείγματα . . . . . . . . „ — -
Τὰ τῶν ἐπιβουλῶν αὐτοῦ σκάνδαλα . . . . . . . . . „ 229 α.
Διατί συγχωρεῖ αὐτῷ ὁ Θεὸς πειράζειν . . . . . . . . . „ — -
Ὁ Θεὸς θαῤῥύνει κατὰ τῶν τούτου πειρασμῶν . . . . . „ — α.β.
Διὰ τίνος μελέτης φεύγει ὁ ἐξ αὐτοῦ φόβος . . . . . . „ — β.
Νηπίων βέλη τὰ τούτου μηχανουργήματα . . . . . . . „ 230 α.
Δύο τὰ ὅπλα αὐτοῦ καθ' ἡμῶν, καὶ δύο τὰ ἡμέτερα κατ' αὐτοῦ . . . . . . . . . „ — α.β.
Ἐπεβούλευσε, καὶ ἀκόμη ἐπιβουλεύει . . . . . . . . . Β΄. 194 α.β.

### Διάκρισις.

Τί ἐστί . . . . . . . . . . . Β΄. 125 α.β.
Μείζων πασῶν τῶν ἀρετῶν ἐστὶ, καὶ ἄλας λέγεται . „ 273 β.

### Διδασκαλία.

Τίνος ἐστὶ καρπός . . . . . Β΄. 337 α.
Κατὰ δύο τρόπους γίνεται . „ 299 β.
Ἡ διὰ τῶν ἔργων ἰσχυροτέρα τῆς διὰ τῶν λόγων . . „ — -
Ἀρετή ἐστι μεγάλη καὶ δύσκολος . . . . . . . . . . . „ 342 α.β.

### Διδάσκαλος.

Ἀληθινὸς τίς . . . . . . . . Β΄. 32 α.
Τρισὶν ὑπόκειται κινδύνοις . „ 342 β.

### Δίκαιοι.

Ἐγνώρισαν τῆς ἐνσάρκου οἰκονομίας τὸ μυστήριον . . Α΄. 11 α.
Καὶ μετὰ θάνατον μένει ἐν αὐτοῖς ἡ ἀγάπη . . . . . Β΄. 45 β.
Τίνι λόγῳ βλέπουσι τοὺς κολαζομένους . . . . . . . . Β΄. 49 α.β.
Διατί τινὲς μὲν πάσχουσι, τινὲς δὲ δοξάζονται ἐν τῷδε τῷ κόσμῳ . . . . . . . . . Α΄. 89 α.

### Δικαιοσύνη.

Σημαίνουσα πᾶσαν ἀρετήν . Α΄. 154 β.
Κατὰ τίνα λόγον ἐστὶ τοῦ Θεοῦ . . . . . . . . . . . . „ — -

### Διωκτῶν

Τὴν καταδρομὴν φεύγειν ἐν τῇ τοῦ νόμου βάσει τεθεμελίωται . . . . . . . . . . . Β΄. 327 α.
Ὁ μὴ φεύγων αὐτοὺς, ἀποστολικὴν καὶ δεσποτικὴν ἐντολὴν ἀθετεῖ, καὶ ἀφορμὴ σκανδάλου γίνεται . . . . . „ — α.β.

### Δόξα

Θεία, ἄλλη τῶν σωζομένων, καὶ ἄλλη τῶν Ἁγίων . . Α΄. 244 β.
Βαθμοὺς ἔχει . . . . . . . . „ — -
Β΄. 341 β.
Παράθεσις αὐτῆς τε καὶ τοῦ φωτός . . . . . . . . . . . Α΄. 244 β.
Τίνες εἰσὶν οἱ ἄξιοι αὐτῆς . „ 96 -
Πολλὰ τὰ μέτρα αὐτῆς . . . „ 129 α.
„ 164 β.
Τὸ τέλειον αὐτῆς, ὁμοίως καὶ τὸ τῆς κολάσεως, οὐκ εὐθὺς μετὰ θάνατον δίδοται. Β΄. 44 α.β.

### Δοῦλος

Προθυμοποιεῖ ἡ παρουσία τοῦ Κυρίου αὐτοῦ . . . . . . . Β΄. 211 α.

### Δωρεά.

Τοῦ Θεοῦ, τίς . . . . . . . . Α΄. 58 α.

## Ε

### Ἑβραῖοι.

Τὰς περὶ Χριστοῦ προφητείας ἄλλοις ἐφαρμόζουσι, τὰ θαύματα αὐτοῦ ὅμοια τοῖς τῶν Προφητῶν λογίζονται,

τὴν ἐκ νεκρῶν ἀνάστασιν αὐτοῦ ἀρνοῦνται . . . . . . Α'. 20 α.
Σάββατα, ἢ Σάββατον τὴν ἑβδομάδα ὀνομάζουσι . . . „ — β.
„ 36 α.
Μίαν δὲ Σαββάτων, τὴν πρώτην τῆς ἑβδομάδος ἡμέραν. „ 20 β.
Διατί τὸ τούτων γένος ἀπεβλήθη, ἀντ' αὐτοῦ δὲ εἰσῆλθε τὸ τῶν ἐθνῶν . . . „ 252 α.
Πολλοὺς αἰῶνας ἐμακροθύμησεν ἐπ' αὐτοὺς ὁ Θεός. . . „ 253 -
Ἀληθῶς σκληροτράχηλοι . . „ — β.
Πότε, καὶ πῶς, καὶ ὑπὸ τίνων ἐπαιδεύθησαν . . . . . „ 255 α.
„ 263 β.
Διὰ τὴν χριστοκτονίαν ἀπεστράφη ὁ Θεὸς τὸ γένος αὐτῶν . . . . . . . . . . . „ 256 α.
Ποσάκις ὑπὸ Θεοῦ προσκληθέντες, οὐ μόνον οὐχ ὑπήκουσαν, ἀλλὰ καὶ τοὺς ἀποσταλέντας πρὸς αὐτοὺς ἐκακοποίησαν . . . . . . . „ 262 β.
Ὑπὸ τίνων προσεκλήθησαν, καὶ διατί γεγόνασιν ἀνάξιοι τῆς τοῦ Θεοῦ βασιλείας. . . . . . . . . . . „ 264 α.β.
Ἀπόκρισις πρὸς αὐτούς, δολιευομένους περὶ τοῦ ὀνόματος Παρθένου, καὶ Ἰησοῦ . . . . . . . . . . . . Β'. 297 α.

Εἰδωλόθυτον.

Τί ἐστί . . . . . . . . . . . Β'. 328 β.
Τίς ἡ περὶ τῆς τούτου βρώσεως ἀπόφασις τοῦ Παύλου. . . . . . . . . . . . . „ — -

Εἰδωλολάτραι.

Τίνι τρόπῳ ἑώρταζον . . . . Α'. 19 α.
Τὴν τύχην ἐθεοποίουν. . . . Β'. 147 -

Ἐθνικοί,

Φρονοῦντες ἄπρεπα τοῖς Χριστιανοῖς. . . . . . . . . . Α'. 154 α.
Ὑπὸ τίνων προεφητεύθη ἡ εἰς Χριστὸν αὐτῶν πίστις . . „ 163 β.
Ἀντεισείχθησαν εἰς τὴν βασιλείαν τοῦ Θεοῦ ἀντὶ τῶν Ἰσραηλιτῶν . . . . . . . . . Α'. 164 α.

Εἰκόνες

Αἱ τῶν Ἁγίων ἐξ ἀποστολικῆς παραδόσεως τιμῶνται. Β'. 201 α.
Ὑπὸ τίνος, καὶ πότε, καὶ διατί ὡρίσθη ἡ κατ' ἔτος ἀνάμνησις τῆς τούτων ἀναστηλώσεως . . . . . . . „ 202 α.β.
Οὐ λατρευτῶς, ἀλλὰ τιμητικῶς αὐτὰς προσκυνοῦμεν . „ 277 α.

Εἰκονομάχοι,

Τὴν τοῦ Χριστοῦ Ἐκκλησίαν συκοφαντοῦντες . . . . . . Β'. 201 α.
Ἐτόλμησαν τὰ ἀτόλμητα . . „ — β.
Διωγμοὺς κατὰ τῶν σεβομένων τὰς Εἰκόνας ἐκίνησαν. „ — -
Ὁ τούτων διωγμὸς πόσον διήρκεσε χρόνον . . . . . . „ 202 α.

Εἰρήνη.

Ἐξωτερικὴ καὶ ἐσωτερικὴ τίς. Α'. 132 α.β.
Δῶρον τῆς ἀρετῆς μέγα . . . „ — -

Ἑκατόνταρχος,

Ὁ τοῦ Εὐαγγελίου, τίς . . Α'. 160 β.
Ἡ εὐλάβεια αὐτοῦ ὁμοία τῇ τοῦ Μωϋσέως . . . . . . . „ 162 α.
Ἐπίστευσεν, ὅτι ὁ Χριστὸς ἐστὶ Θεὸς ἀληθινός. . . . „ — -
Παρέδωκε μάθημα σωτήριον. „ 165 -
Αὐτοῦ τε καὶ τῶν μεταλαμβανόντων τῆς Θείας Εὐχαριστίας παράθεσις . . . . „ — β.

Ἐκκλησία

Ἡ τοῦ Χριστοῦ τίνων παραδείγμασιν ἑπομένη συνέγραψε τὰς προσευχάς . . Α'. 102 β.
Πόθεν ἔμαθε σέβεσθαι καὶ τὰ ἱμάτια τῶν Ἁγίων . . Β'. 69 -
Διατὶ διέταξε προεόρτια καὶ μεθέορτα . . . . . . . . . „ 323 α.

Ἐλεήμονες.

Ἔχουσιν ἐν τῇ καρδίᾳ αὐτῶν τὴν πηγὴν τῆς σωτηρίας . Β'. 188 α.

Ἐλεημοσύνη.

Ὑπὸ τίνων Προφητῶν ἐξόχως ἐκηρύχθη . . . . . . . . . Β'. 47 β.
Ἐντολή ἐστι . . . . . . . . . „ 50 -
Χρέος ἐστί . . . . . . . . . „ — -
Τίνα τὰ πρὸς τὴν ἐργασίαν αὐτῆς προτρέποντα . . . . „ 52 α.
Τίς ἡ ἀληθὴς καὶ τῷ Θεῷ ἠγαπημένη . . . . . . . . „ — -
Διατί τὰ περὶ αὐτῆς μόνον ἐτάζονται ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως . . . . . . . . . . „ 188 α.

Ἔλεγχος.

Ὁ γενικὸς τοῦ εἰδικοῦ ἀνεκτότερος . . . . . . . . . . . . Α'. 224 β.

Ἐλπίς.

Τί . . . . . . . . . . . . . . . Α'. 208 α.
Οὐδέποτε ἐγκαταλείπει, ἀλλ' εἰς πᾶν ἔργον ἐνισχύει . „ — -
Ἀντίδοτον ἐστι καὶ βάλσαμον . . . . . . . . . . . „ — β.
Ἡ κατάχρησις αὐτῆς, ἐπιβλαβής . . . . . . . . . . „ 209 α.
Ἔσωσε τὸν Ἐζεκίαν . . . . „ 210 β.
Μέγα δῶρον καὶ θυγάτηρ τῆς πίστεως . . . . . . . . . „ 211 α.
Τίνα τὰ ὑπ' αὐτῆς τελούμενα . „ 212 -

Ἐλπίζοντες.

Οἱ μὲν ἐπ' ἀνθρώπους, πλανῶνται . . . . . . . . . . . Α'. 209 α.β.
Οἱ δὲ ἐπὶ τὸν Θεόν, σώζονται . . . . . . . . . . . . . „ 210 α.
Καὶ οὐδέποτε τῶν θείων δωρεῶν ὑστεροῦνται . . . . . „ 211 -

Ἐμμανουήλ.

Ταυτοσήμαντον τῷ Ἰησοῦ . . Β'. 297 α.

Ἔμπλαστρα.

Τίνι τρόπῳ θεραπεύουσι . . Β'. 68 β.

Ἐμποδίζοντες

Τὴν ἀρετήν, ἁμαρτίαν μεγάλην πράττουσι . . . . . . . Β'. 140 β.
Πολλὰ τὰ αἴτια, τὰ ὄργανα, καὶ οἱ καιροὶ τῆς ἁμαρτίας ταύτης . . . . . . . . . . . Β'. 140 β.
Οἱ χαρακτῆρες τῶν ποιούντων αὐτήν, καὶ ἡ κατάρα, εἰς ἣν οὗτοι καθυποβάλλονται . „ 143 α.
Τίνι λόγῳ εἰσὶν οὗτοι υἱοὶ τοῦ Διαβόλου . . . . . . . „ — β.
Καὶ ποῖον ὄνομα αὐτοῖς δίδοται . . . . . . . . . . . . „ 144 -

Ἐμπροσθόστοτος.

Τί ἐστί . . . . . . . . . . . . Β'. 103 α.

Ἐνάρετοι.

Τίνα ἔχουσιν ἐν τῷ δε τῷ κόσμῳ βραβεῖα . . . . . . Β'. 131 α.β.
Μετὰ πάσης ἀκριβείας ὑπερασπίζεται αὐτῶν ὁ Θεός. „ 133 - -
Ὑπηρετοῦσιν αὐτοὺς οἱ Ἄγγελοι . . . . . . . . . . . „ — β.
Λαμβάνουσι τὴν ἐξουσίαν ἐπὶ πάντα τὰ κτίσματα, καὶ ἐπ' αὐτὸν τὸν θάνατον. „ — -
Αἰσθάνονται τῶν ὑπερκοσμίων, πλὴν οὐκ ἐντελῶς . „ 268 α.

Ἐντολαὶ

Τοῦ Θεοῦ, αἱ περὶ τῆς τῶν κακῶν ἀποχῆς, διατί προτάττονται τῶν περὶ τῆς κατορθώσεως τῶν ἀρετῶν . . Α'. 243 β.
Ἡ τούτων φυλακὴ σώζει, ἀλλ' οὐκ ἀναβιβάζει εἰς τὴν εὐαγγελικὴν τελειότητα . . „ 244 α.
Χωρὶς τῆς τούτων φυλακῆς ἀδύνατον σωθῆναι . . . . . „ — β.
Οἱ τούτων περιφρονηταὶ μάτην ἐλπίζουσι τὴν τῶν ἐπιγείων ἀγαθῶν ἀπόλαυσιν . . . . Β'. 9 α.β.
Αἱ δέκα τίνι λόγῳ περίληψίς εἰσι πασῶν τῶν ἐντολῶν καὶ τῶν προφητικῶν λόγων. „ 188 β.

Ἐντολαὶ ἐλάχιστοι.

Ἐπαρίθμησις αὐτῶν . . . . . Β'. 282 α.
Ἡ τούτων παράβασις, καὶ οὐχὶ ἡ ἐκπλήρωσις δύσκολος . . . . . . . . . . . . . „ 286 -
Τίς λύει τὴν τούτων δυσκο-

λίαν . . . . . . . . . . . . . Β'. 286 β.
Αὐτῶν τε καὶ τῶν θείων συμβουλῶν παράθεσις . . . . „ — -
Αὗταί εἰσιν αὐταὶ αἱ τοῦ μωσαϊκοῦ νόμου ἐντολαί, ἀλλ' ἀπηρτισμέναι . . . . . . . „ 287 α.

'Εορταί.

Τίνος χάριν διετάγησαν. . . Α'. 18 α.
Τίς ὁ περὶ αὐτῶν νόμος. . . „ — -
Τίνας ἐξ αὐτῶν μισεῖ ὁ Θεός. „ — -
Τί ἐν αὐταῖς ποιητέον . . . „ — β.
Αἱ τῶν εἰδωλολατρῶν τίνι τρόπῳ ἐτελοῦντο . . . . . . . „ 19 α.
Θέλει ὁ Θεός, ἵνα ἐν αὐταῖς εὐφραινώμεθα . . . . . . . „ — β.
Τῶν νομικῶν ἑορτῶν τίς ὁ σκοπός . . . . . . . . . . . . Β'. 73 α.

'Εορτή.

Διατί εἰς τὴν ἔρημον, καὶ οὐχὶ εἰς τὴν Αἴγυπτον . . . Α'. 18 β.
Ἡ τοῦ ἀληθινοῦ Θεοῦ τίς . „ 19 α.
Ἐκ τίνων ἡ ἀληθὴς συνίσταται . . . . . . . . . . . . „ — β.

Ἔπαινος.

Ὁ τῶν ἀνθρώπων ὕποπτος, ὁ τοῦ Θεοῦ ἀλάνθαστος . Α'. 289 α.
Τίνα τὰ τούτου μέτρα . . . „ — -

Ἐπιθυμία.

Πότε ἐπιθυμεῖ τὰ οὐράνια . Α'. 275 β.
Ἡ σφοδρά ἐστι πῦρ φλογίζον. „ 156 -
Τί τὸ ταύτην μαραῖνον . . . „ — -
Διατί ἐνέθηκεν αὐτὴν ἐν ἡμῖν ὁ Θεός; . . . . . . . . . . „ 208 -
Αὐτῆς τε καὶ τῆς μαχαίρας παράθεσις. . . . . . . . . „ 209 α.

Ἐπιμονή.

Ἀναγκαία τοῖς ἔργοις τῆς σωτηρίας . . . . . . . . . . . Α'. 293 α.
Τίνες οἱ μαρτυροῦντες, ὅτι δι' αὐτῆς ἐτέλεσαν τὸν τῆς ἀθλήσεως ἀγῶνα . . . . . „ 295 α.β.
Δι' αὐτῆς εἰίκων τοὺς πειρασμοὺς οἱ Ἅγιοι . . . . . . „ 296 α.
Ἔργον δύσκολον . . . . . . . „ — β.

Ἐπιστάτης.

Τί σημαίνει . . . . . . . . . Β'. 3 α.

Εὔα

Ἡ προμήτωρ ἦν ὀλιγόπιστος. Α'. 219 β.

Εὐαγγελικὰ ῥήματα.

Ποῖα περιέχουσι τὰ θεμελιώδη τῆς πίστεως δόγματα. Α'. 2 β.
Ποῖά τε μαθήματα δυσπαράδεκτα τοῖς ἀνθρώποις . . Β'. 12 α.
Τίνος χρήζει ὁ διερμηνευτὴς καὶ οἱ ἀκροαταὶ τούτων . Α'. 2 β.

Εὐαγγελικὴ τελειότης.

Τί ἐστί . . . . . . . . . . . Α'. 244 β.

Εὐαγγέλιον,

Τὸ ἐν τῇ ἑορτῇ τοῦ Πάσχα ἀναγινωσκόμενον, διατί οὐκ ἀναστάσιμον . . . . . . . Α'. 1 α.β.

Εὐαγγελικῶν συμβουλῶν

Ὁ φύλαξ ὁποίων ἀξιοῦται ἀμοιβῶν. . . . . . . . . . . Β'. 15 α.
Ἡ τούτων φυλακὴ προαιρετή. „ — α.β.

Εὐαγγελίων

Τῶν πρὸς τὴν Παρθένον καὶ τῶν πρὸς τὸν Ἰωσὴφ παράθεσις . . . . . . . . . . Β'. 298 α.β.

Εὐαγγελιστῶν

Τίς πρῶτος, τίς δεύτερος, τίς τρίτος, καὶ τίς ἔσχατος τὸ ἴδιον συνέγραψεν Εὐαγγέλιον . . . . . . . . . . . . Α'. 160 α.
Ὁ ἕτερος τὰ ὑπὸ τοῦ ἑτέρου σιωπηθέντα ἱστόρησε . . . „ — -
Οὗτοι κατὰ τὰ οὐσιώδη τῶν ἱστοριῶν πάντες σύμφωνοι. „ — -

Εὐγνωμοσύνη.

Ἀρεστὴ τῷ Θεῷ . . . . . . . Β'. 126 α.β.
Τίνος ἐστὶν ἀπόδειξις . . . . „ — β.
Ζητουμένη ὑπὸ Θεοῦ παρ' ἡμῶν . . . . . . . . . . . . . „ — -
Ὁρωμένη καὶ ἐν τοῖς πρὸ νό-

μου καὶ ἐν τοῖς ἐν νόμῳ δικαίοις . . . . . . . . . . . Β'. 127 α.
Ὑψουμένη εἰς τὴν τῷ Θεῷ πρέπουσαν τελειότητα. . . » — α.β.
Τίς ὁ κανὼν αὐτῆς . . . . . » — β.
Ὀφείλεται τῷ Θεῷ καὶ ἐν ταῖς δυστυχίαις . . . . . . . . » 128 α.β.

*Εὐεργεσία*,

Ἡ μεγάλη ἀρετὴ, πότε μεταβάλλεται εἰς μεγάλην ἁμαρτίαν . . . . . . . . . . Α'. 179 α.
Διαφέρει δανείου καὶ πραγματείας . . . . . . . . . . . » — -
Εἰς τὸ σχολεῖον τοῦ Ἰησοῦ Χριστοῦ μανθάνεις τίς ἡ ἀληθὴς, καὶ τίς ἡ ψευδής. » — β.
Πότε μεγάλα τὰ ὑπὲρ αὐτῆς ἀνταποδόματα . . . . . . . » 180 α.
Ἔργον τῶν δικαίων . . . . . » — β.
Διαφορὰ τῆς τοῦ Θεοῦ καὶ τῶν ἀνθρώπων εὐεργεσίας. . . » 161 α.β.

*Εὐεργέτης*,

Ζητῶν ἀνταπόδοσιν, ὑποκριτὴς καὶ ἁμαρτωλὸς γίνεται. Α'. 178 α.
Αὐτοῦ τε καὶ τοῦ ἀχαρίστου παράθεσις . . . . . . . . . » 179 -

*Εὐεργετηθέντος*

Ἡ ἀχαριστία γίνεται τῷ εὐεργέτῃ εὐεργεσία . . . . Α'. 181 β.
Αὐτοῦ τε καὶ τοῦ εὐεργέτου χρέος ποῖον . . . . . . . . . Β'. 58 α.β.

*Εὐσπλαγχνία*

Θεοῦ ποῦ καθορᾶται . . . . Β'. 85 α.
Πλήρεις αἱ γραφαὶ λόγων καὶ παραδειγμάτων ἐμφαινόντων αὐτὴν . . . . . . . . . » — α.β.
» 86 α.β.
Οὐδεμία ἁμαρτία νικᾷ αὐτήν. » 87 α.
Τὰ ὅρια αὐτῆς ἀπέραντα . . » — -
Οἱ κατ' αὐτῆς αὐθαδιάζοντες λύουσι τὸν χαλινὸν τῆς ἁμαρτίας . . . . . . . . . . » 88 β.
Οἱ μὴ δυνάμενοι κατανοῆσαι πῶς μετὰ τῆς θείας συμβιβάζεται δικαιοσύνης, ἀπελπίζονται. . . . . . . . Β'. 88 β.
Ἑκάτερος τούτων ἐλέγχεται. » 89 α.β.
Τὸν μετὰ τῆς δικαιοσύνης συμβιβασμὸν αὐτῆς ὁρῶμεν . . . . . . . . . . . . . » 90 β.

*Εὔσπλαγχνος*

Πῶς δύναταί τις γενέσθαι . Β'. 53 α.β.

*Εὐσταθία*.

Ἀρεστὴ τῷ Θεῷ . . . . . . . Α'. 206 α.

*Εὐχαριστία*

Ἡ μυστηριώδης, διὰ τύπων, μεταβολῶν, λόγων, καὶ πραγμάτων ἀπεδείχθη . . . . . Α'. 166 β.
Τίνες οἱ πρὸ νόμου καὶ οἱ ἐν νόμῳ τύποι αὐτῆς . . . » 167 α.
Τίνες αἱ προτυπώσασαι αὐτὴν μεταβολαί . . . . . . » — α.
Τίνα τὰ πρὸ αὐτῆς, καὶ τὰ ἐν τῇ παραδόσει αὐτῆς λαληθέντα λόγια . . . . . . » — β.
Κατὰ τίνα λόγον ἄρτον ὁρῶντες ἐν αὐτῇ καὶ οἶνον, πιστεύομεν, ὅτι σῶμα Χριστοῦ ἐστὶ καὶ αἷμα . . . » — -
Διατὶ ἐν αὐτῇ καλύπτεται τὸ σῶμα τοῦ Χριστοῦ καὶ τὸ αἷμα διὰ τῶν τοῦ ἄρτου καὶ οἴνου συμβεβηκότων; . » 168 α.β.
Τὸ ἐν αὐτῇ κάλυμμα μυστηριῶδες . . . . . . . . . . » — β.
Τί περὶ αὐτῆς λέγει ὁ ἄπιστος, ὁ αἱρετικὸς, καὶ ὁ ὀρθόδοξος . . . . . . . . . . » — -
Τί πρέπον ἐστὶν, ἵνα συλλογιζώμεθα, ὅταν πρὸς αὐτὴν πλησιάζωμεν . . . . . » 169 α.
Ποίαν ἑτοιμασίαν ποιοῦμεν, πρὸς αὐτὴν προσερχόμενοι. » 170 -
Τί συνέβαινεν ἡμῖν, ἐὰν, ὅταν μεταλαμβάνωμεν αὐτῆς, ἐβλέπαμεν ἐκεῖνο, ὅπερ αὐτή ἐστι. . . . . . . » — β.
Ὁποῖαι αἱ παιδεῖαι τῶν ἀναξίως μεταλαμβανόντων αὐτῆς. . . . . . . . . . . . » 171 α.β.
Ἡ περὶ τοῦ πῶς μεταλαμ-

βάνειν αὐτῆς ἐντολή . . . Α΄. 171 α.β.
Τοὺς μεταλαμβάνοντας αὐτῆς ὁποίους δεῖ εἶναι . . . . . „ 172 α.
Ἡ μετάληψις αὐτῆς ἀναγκαία . . . . . . . . . . . . „ — β.
Πῶς δυνάμεθα μεταλαμβάνειν αὐτῆς ἀξίως . . . . . „ — -
Τί ἀπολαμβάνουσιν οἱ ἀξίως αὐτῆς μεταλαμβάνοντες . . „ 173 -

*Εὐτυχὴς*

Ὁ Αἱρετικὸς ποίᾳ αἱρέσει περιπέπτωκε . . . . . . . . Β΄. 336 α.β.
Δὶς καθῃρέθη καὶ ἀνεθεματίσθη μετὰ τῶν συνεργῶν καὶ ὁμοφρόνων αὐτῷ . . . „ — β.
Ποῦ ἐκάθηρε τὸν Πατριάρχην Φλαβιανὸν . . . . . . „ — -
Ἀπέκοψε μέρος τοῦ τρίτου ἄρθρου τοῦ συμβόλου τῆς πίστεως . . . . . . . . . . „ — -

*Εὐφροσύνη*

Ἀληθὴς τίς . . . . . . . . . . Α΄. 19 -

*Ἔχθρας*

Καρποί τίνες . . . . . . . . . . Β΄. 17 -

*Ἐχθροὺς,*

Τοὺς βλάψαντας πῶς δυνάμεθα συγχωρῆσαι . . . . Α΄. 239 β.
Τίνι τρόπῳ ἐκδικητέον αὐτούς. „ 240 α.

*Ἕως.*

Τί σημαίνει παρὰ τῇ θείᾳ Γραφῇ . . . . . . . . . . . . Α΄. 81 α.

Z

*Ζεβεδαίου*

Υἱοὶ διατί ἐγκατέλιπον τὸν πατέρα αὐτῶν . . . . . . . Α΄. 139 β.
Παράθεσις αὐτῶν τε καὶ τῶν ἀκολουθούντων καὶ τῶν μὴ ἀκολουθούντων τῷ Χριστῷ . „ — -

*Ζωγράφου*

Ἐπιτηδείου ποῖον τὸ ἔργον . Α΄. 231 α.
Αὐτοῦ τε καὶ συγγραφέων παράθεσις . . . . . . . . . . Α΄. 231 α.

*Ζώων*

Ἀλόγων, καὶ λογικῶν ἀνθρώπων διαφορά τίς . . . . . Β΄. 229 β.

H

*Ἡλὶ,*

Ὁ ἱερεὺς, ἀσυλλογίστως ἐλέγχων . . . . . . . . . . Β΄. 141 α.

*Ἡρώδης*

Κατὰ θείαν παραχώρησιν ἔπραξε τὴν νηπιοκτονίαν . . Β΄. 306 α.
Διὰ μυρίων ἀσθενειῶν βασανισθεὶς, τὴν ψυχὴν αὐτοῦ ἀπέρριψε . . . . . . . . . . „ — α.β.

*Ἡρώδου*

Τοῦ Τετράρχου τίς γίνεται μιμητής . . . . . . . . . . Β΄. 324 α.

Θ

*Θάμβους*

Πρόξενα, τὰ ἀσυνήθη . . . . Β΄. 4 β.

*Θάνατος*

Ὁ δεύτερος κατηργήθη, ὁ δὲ πρῶτος οὐκ ἔστι θάνατος. Β΄. 26 α.
Ὁ αἰφνίδιος τίς . . . . . . . „ 96 α.β.
Ἐν τῇ ὥρᾳ αὐτοῦ ὁποῖοι εὑρεθῶμεν, τοιοῦτοι διαμένομεν . . . . . . . . . . . . . „ — β.
Ποῖον ἔχει ὁ αἰφνίδιος αἴτιον κατὰ τοὺς ἰατροὺς . . . . „ 97 β.
Τίς ὁ καλὸς, καὶ τίς ὁ πονηρὸς . . . . . . . . . . . . „ 99 α.β.
Διατί καὶ ἡ ὥρα καὶ τὸ εἶδος αὐτοῦ ἐκρύβη ἀφ᾽ ἡμῶν. „ 100 β.
Εἰς τίνας ἔρχεται ὁ αἰφνίδιος. „ 101 α.
Καὶ πῶς δυνάμεθα φυγεῖν αὐτὸν . . . . . . . . . . . „ — α.β.

*Θαῦμα.*

Ἀληθὲς ποῖον . . . . . . . . Β΄. 66 α.
Ἕτερον τοῦ ἑτέρου διαφέρει . „ — -

*Θαύματα*

Μάτην τινὲς ἐπιζητοῦσι. . . A'. 183 α.
Διατί τὴν σήμερον ἔπαυσαν τὰ πρότερον γινόμενα . . . „ 221 β.
Πόθεν ἐμποδίζεται ἡ τούτων ἐνέργεια . . . . . . . . . . „ 226 α.
Ἄνευ τούτων πολλοὶ ἐπίστευσαν . . . . . . . . . . . B'. 37 β
Τινὲς κἂν εἶδον αὐτὰ, ὅμως οὐκ ἐπίστευσαν . . . . . . „ 38 α.

*Θαυματουργοὶ*

Οὐ πάντοτε θαυματουργοῦσι. A'. 226 α.

*Θέλησις*

Τοῦ ἀγαθοῦ τί ἐστι . . . . A'. 71 α.
Τίσιν ὁμοία . . . . . . . . . „ -- -
Ἀναγκαία τῇ σωτηρίᾳ . . . „ 243 -
Μόνη οὐ σώζει. . . . . . . . „ — -

*Θεοδώρα*

Η Βασιλὶς ὁποῖα ἐξεφώνησε λόγια ἅγια . . . . . . . . B'. 202 α.
Ἐζήτησε καὶ ἔλαβε τὴν τοῦ ἀνδρὸς αὐτῆς συγχώρησιν . „ — -

*Θεός.*

Ὡς ἀμοιβὴν τῶν πρὸς ἡμᾶς εὐεργεσιῶν αὐτοῦ ζητεῖ τῆς ψυχῆς ἡμῶν τὴν σωτηρίαν. A'. 50 α.
Πῶς ἐν πνεύματι καὶ ἀληθείᾳ προσκυνεῖται . . . . „ 63 -
Τίνι τρόπῳ ἐνεργεῖ ἐν ἡμῖν καὶ τὸ θέλειν καὶ τὸ ἐνεργεῖν . . . . . . . . . . . . „ 71 -
Ἡ πρόγνωσις αὐτοῦ οὐδὲ τῆς ἀρετῆς οὐδὲ τῆς κακίας πρόξενος. . . . . . . . . . . . „ — β.
Τῆς προγνώσεως αὐτοῦ καὶ τῆς τοῦ ἰατροῦ διαφορά. . „ 72 α.
Ποῖα τὰ ἐν τῷ τυφλῷ φανερωθέντα ἔργα αὐτοῦ . . . „ 75 β.
Τίνων εἰσακούει τὰς δεήσεις. „ 85 α.
Τίς ἡ κατ' ἐξοχὴν δόξα αὐτοῦ . . . . . . . . . . . . „ 94 -
Πῶς, δοξαζομένου τοῦ Υἱοῦ αὐτοῦ, καὶ αὐτὸς συνδοξάζεται . . . . . . . . . . . „ — α.β.
Πῶς ἐδόξασε τὸν Υἱὸν αὐτοῦ. A'. 94 β.
Φύσει ἄπειρον ἔχει τὴν δόξαν. „ 95 -
Τὸ ὄνομα Πατὴρ δόξα αὐτοῦ ὑπερτέρα τῆς δόξης τοῦ ὀνόματος Θεός . . . . . . . „ 97 -
Διατί πολλάκις οὐκ εἰσακούει τὴν δέησιν ἡμῶν. . . . . . „ 105 -
B'. 220 α.
Αὐτός ἐστι τὸ φῶς τοῦ κόσμου. . . . . . . . . . . . A'. 115 β.
Διατί ζητεῖ τὴν ἔμπροσθεν τῶν ἀνθρώπων ὁμολογίαν. „ 123 α.β.
Τελείαν πίστιν καὶ ἀγάπην ζητεῖ παρ' ἡμῶν . . . . . . „ 124 β.
Πηγὴ ἀρετῆς . . . . . . . . . „ 133 α.
Ὑπερασπίζεται τῶν ἐναρέτων. „ — α.β.
Πρόνοια καὶ φιλανθρωπία δύο τελειότητες αὐτοῦ εἰσί . . „ 136 α.
Τίνα μετέρχεται ὑπὲρ τῆς σωτηρίας τοῦ ἀνθρώπου . „ 143 β.
Προνοεῖ καὶ ὑπὲρ τῶν χόρτων . . . . . . . . . . . . „ 152 α.
Κύριος ζωῆς καὶ θανάτου. . „ 162 α.β.
Ἐφανέρωσε πόσον ἀποστρέφεται τὴν ἁμαρτίαν. . . . „ 169 - -
Ποίαν ζητεῖ κάθαρσιν παρὰ τῶν θελόντων πλησιάσαι πρὸς αὐτὸν . . . . . . . . „ — β.
Τίνες αἱ παιδεῖαι τῶν αναξίων πλησιαζόντων πρὸς αὐτὸν . . . . . . . . . . . „ 171 α.β.
Αὐτοαλήθεια. . . . . . . . . „ 188 α.
Ἡ τούτου πρόνοια καὶ τὸ ἔλεος ἐπίσης ἐπὶ πάντας ἐφαπλοῦται . . . . . . . . „ 197 β.
Πανταχοῦ πάρεστι . . . . . „ 218 -
Οἱ διαπαντὸς ὁρῶντες αὐτὸν φεύγουσι τὴν ἁμαρτίαν . . „ 219 α.
Τῷ κόσμῳ πειθόμεθα μᾶλλον ἢ αὐτῷ . . . . . . . . „ 220 -
Ἡ ὀργὴ αὐτοῦ φοβερά. . . . „ 236 -
Τῶν ἀσυμπαθῶν οὐκ ἔστι πατὴρ, ἀλλὰ κριτής . . . „ — β.
Πότε ἀποστρέφεται τὰ δῶρα ἡμῶν. . . . . . . . . . . . „ 238 β.
Ἐκδικητὴς τῶν ἀδικουμένων . „ 239 -
Φύσει ἀγαθὸς καὶ ἀμετάτρεπτος. . . . . . . . . . . „ 243 α.
Διατί οὐκ ἐποίησε πάντας

πλουσίους, ἢ πάντας πτωχούς . . . . . . . . . . . Α'. 248 α.β.
Θέλει τὴν σωτηρίαν, καὶ οὐχὶ τὴν κόλασιν τοῦ ἁμαρτωλοῦ . . . . . . . . . . . „ 257 - -
Διατί οὐ παιδεύει εὐθὺς μετὰ τὴν ἁμαρτίαν; . . . . „ — β.
Οὐδεμίαν ἔχει χρείαν τῆς ἀγάπης ἡμῶν. . . . . . . . „ 277 β.
Τὸ ἀγαπᾶν αὐτὸν, δίκαιον, συμφέρον, ἀναγκαῖον . . . „ 278 α.
Τὸ μόνον ἄξιον τῆς ἀγάπης ἡμῶν ὑποκείμενον . . . . . „ — β
Σφάλλομεν ὑπερβαλλόντως, μετροῦντες τὰς κρίσεις αὐτοῦ διὰ τῶν ἡμετέρων κρίσεων. „ 287 α.
Τῶν προσταγμάτων αὐτοῦ ἡ φυλακὴ οὐ μόνον τῶν ἐπουρανίων, ἀλλὰ καὶ τῶν ἐπιγείων ἀγαθῶν χορηγός . . Β'. 6 α.β.
Τοῖς ἀγαθοῖς δωρεῖται καὶ τὰ ἐπίγεια ἀγαθὰ . . . . „ 8 α.
Ἐλέγχει τοὺς ἀχαρίστους. . „ 59 -
Θέλει τὴν εὐγνωμοσύνην, καὶ παιδεύει τοὺς ἀγνώμονας . „ 60 -
Ζητεῖ τὴν εὐχαριστίαν, ἵνα πάλιν εὐεργετήσῃ . . . . . „ 61 -
Οὐδείς ἐστιν ὁ μὴ ὑπ' αὐτοῦ εὐεργετούμενος. . . . . . . „ 64 -
Καὶ αἱ μάστιγες αὐτοῦ εἰσὶν εὐεργεσίαι . . . . . . . . . „ — β.
Τὸν νοῦν ἡμῶν ζητεῖ καὶ τὴν ψυχὴν καὶ τὴν καρδίαν. . „ 73 -
Ποία ἡ ἀληθὴς προσκύνησις αὐτοῦ . . . . . . . . . . „ 74 α.
Διατί τῆς ψυχῆς μᾶλλον ἢ τοῦ σώματος ζητεῖ τὴν λατρείαν . . . . . . . . . . . „ — -
Τίνι λόγῳ ὁρῶμεν αὐτὸν πανταχοῦ . . . . . . . . . . . „ 78 α.β.
Πῶς δύναταί τις ἀφιερῶσαι ὅλον τὸν νοῦν πρὸς αὐτόν. „ 79 β.
Ὡς ὄργανα μετέρχεται τὰ κτίσματα αὐτοῦ, πρὸς εὐεργεσίαν καὶ πρὸς τιμωρίαν . „ 98 α.
Πόσα τὰ πρὸς τὸν ἄνθρωπον δικαιώματα αὐτοῦ. . . . . „ 120 α.β.
Τῶν τούτου προσταγμάτων καὶ τῶν τῶν ἀνθρώπων παράθεσις . . . . . . . . . . Β'. 120 β.
Τίνι λόγῳ ἡ εὐγνωμοσύνη ἡμῶν εὐπρόσδεκτος αὐτῷ. . „ 125 α.
Δέχεται τὰ προσφερόμενα αὐτῷ, ὡς καὶ τὰ τοῦ Ἄβελ. „ 126 α.β.
Πάντοτε καὶ ἐν πᾶσιν εὐεργετεῖ. . . . . . . . . . . . „ 129 -
Θέλει ἡμᾶς φρονίμους . . . . „ 163 α.β.
Τίνας εὐσπλαγχνίζεται . . . „ 178 β.
Διὰ πᾶσαν ἀμετανόητον ἁμαρτίαν κολάζει, δοξάζει δὲ διὰ πᾶσαν ἀρετήν . . . „ 187 -
Διατί ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως μόνον τὰ περὶ ἐλεημοσύνης ἐτάζει . . . . . . „ 188 α.
Τίνι τρόπῳ σκιωδῶς νοοῦμεν τὴν πανταχοῦ παρουσίαν αὐτοῦ . . . . . . . . . . . „ 207 -
Τῶν ἐννοιῶν γνώστης . . . . „ — α.β.
Ἡ φυγὴ τοῦ φόβου αὐτοῦ πτῶσις εἰς τὴν ἁμαρτίαν. . . „ — β.
Ἡ ὀργὴ αὐτοῦ ἄφευκτος. . . „ 208 α.β.
Ὅπου ἂν στραφῇς, βλέπεις αὐτὸν . . . . . . . . . . . „ 209 α.
Ἡ τούτου μνήμη παραμύθιον. „ 212 α.β.
Ὅταν πράξωμεν ὅσα δυνάμεθα, τότε πέμπει τὴν βοήθειαν αὐτοῦ . . . . . . . . „ 215 α.β.
Τὰ πρὸς αὐτὸν χρέη τοῦ ἀνθρώπου ἄμετρα. . . . . . „ 216 β.
Διατί ζητεῖ παρ' ἡμῶν τὰ καλὰ ἔργα. . . . . . . . . . „ 218 α.
„ 338 -
Τίνι τρόπῳ θέλει τὴν σωτηρίαν ἡμῶν. . . . . . . . . „ 219 -
Ὅσον ἐστὶν ἐλεήμων, τοσοῦτον καὶ δίκαιος . . . . . . „ — β.
Οὐ ζητεῖ τὰ ἀδύνατα. . . . „ 220 -
Διατί καθ' ὑπερβολὴν ἠγάπησε τὸν ἄνθρωπον . . . . . „ 262 -
Πῶς ἐγείρεται ἡ μνήμη ἡμῶν εἰς τὴν τούτου ἐνθύμησιν. „ 266 α.
Οὐδὲν ἐμποδίζει ἀπὸ τῆς διηνεκοῦς τούτου μελέτης. . . „ 267 -
Τίνι τρόπῳ δυνάμεθα μελετᾶν αὐτὸν διηνεκῶς . . . . „ 268 α.β.
Ἡ τελειοτέρα μελέτη αὐτοῦ φέρει τὴν πνευματικὴν αἴσθησιν. . . . . . . . . . „ 269 α.β.

Θέλει, ἵνα ἀγαπῶμεν αὐτὸν περισσότερον πάντων τῶν πραγμάτων . . . . . . . . Β'. 334 β.
Μόνων τῶν ταλάντων ὧν ἔδωκε ζητεῖ τὸν πολυπλασιασμόν . . . . . . . . . . „ 337 -
Ἐπίσης ἀνταμείβει τοὺς τὰ πολλὰ καὶ τοὺς τὰ ὀλίγα πολυπλασιάσαντας τάλαντα . . . . . . . . . . . . . „ — -
Οὐκ ἐπιβλέπει εἰς τὴν ποσότητα τῆς ἀρετῆς, ἀλλ' εἰς τὸν σκοπὸν καὶ εἰς τὴν προθυμίαν. . . . . . . . . . . „ 339 α.

Θεοτόκος

Διατί λέγεται Μαρία Ἰωσῆ, καὶ Μαρία Ἰακώβου . . . Α'. 34 β.
Αὐτῆς τε καὶ τῆς Εὔας παράθεσις . . . . . . . . . . Β'. 298 β.

Θυμός.

Τόνος καὶ νεῦρον τῆς ψυχῆς. Α'. 209 α.
„ 275 β.
Αὐτοῦ τε καὶ μαχαίρας παράθεσις . . . . . . . . . „ 209 α.
Υἱὸς τῆς ὑπερηφανείας. . . . Β'. 161 β.
Ἔργον δυσκολώτερον τῆς πραότητος. . . . . . . . . . . . „ 285 α.

Θυσιῶν

Καὶ δώρων νομικῶν τίς ὁ σκοπός . . . . . . . . . . . . Β'. 73 α.β.

Θωμᾶς

Χαλδαϊκὸν ὄνομα, τὸ δίδυμος σημαῖνον. . . . . . . . . . Α'. 24 α.
Ὁ Ἀπόστολος ποῦ ἦν, ὅτε ὁ Θεάνθρωπος ἦλθε πρὸς τοὺς μαθητὰς αὐτοῦ . . . „ — α.β.
Καὶ πῶς μὴ εὑρεθεὶς ἐκεῖ, μετέσχε τῆς χάριτος . . . „ 24 β.
Πόθεν ἐν αὐτῷ τοσαύτη ἀπιστία. . . . . . . . . . „ 25 α.β.
Ἡ ὁμολογία αὐτοῦ ὁμοία τῇ τοῦ Πέτρου . . . . . . . . „ 26 β.

# Ι

Ἰακώβ

Τοῦ Πατριάρχου τὸ φρέαρ διατί ὠνομάσθη πηγή; . . Α'. 56 α.
Ἡ κλίμαξ, ἣν εἶδε, τί σημαίνει . . . . . . . . . . . „ 293 α.β.
Καὶ τῶν ἐπιγείων ἀγαθῶν μέτοχος . . . . . . . . . . Β'. 7 β.
Ἔστησε θυσιαστήριον εἰς εὐχαριστίαν Θεοῦ . . . . . . „ 126 -
Φρόνιμος . . . . . . . . . . . „ 164 α.
Πότε ἐπάλαιξε. . . . . . . . „ 207 β.

Ἱεροκήρυκος

Ἔργον ποῖον . . . . . . . . . Α'. 137 β. / Β'. 2 α.

Ἱεροσολυμῖται,

Κρείττονες νομιζόμενοι τῶν λοιπῶν Ἰουδαίων. . . . . . . Β'. 315 β.

Ἱερωσύνη

Πρώτη τίς . . . . . . . . . . . Α'. 167 α.

Ἰησοῦς.

Τί σημαίνει . . . . . . . . . Α'. 28 β. / Β'. 296 α.

Ἰησοῦς ὁ τοῦ Ναυῆ,

Θυσιαστήριον οἰκοδομήσας, εὐχαρίστησε τῷ Θεῷ . . . . Β'. 127 α.

Ἱλαρὸς δότης

Τίς ἐστι . . . . . . . . . . . . Β'. 52 β.

Ἰνδῶν

Ἀσκηταί, τὴν σάρκα καταβασανίζοντες . . . . . . . Β'. 223 β.

Ἰουδαῖοι.

Εὐλόγως ἔλεγον, ὅτι ἐν Ἱεροσολύμοις δεῖ προσκυνεῖν. Α'. 61 α.
Διατί ἐξ αὐτῶν ἡ σωτηρία; „ 62 β.
Ἐπίστευον τῇ ἐν τῷ Ἰεζεκιὴλ Παραβολῇ . . . . . . . . . „ 75 α.
Τίνες οἱ τούτων ἄρχοντες . . „ 113 β.
Νόμον θεῖον ἐλογίζοντο τὸ μισεῖν τοὺς ἐχθρούς . . . Β'. 16 -

Αἱ κατ' αὐτῶν τιμωρίαι ἐν ταῖς ἡμέραις Οὐεσπασιανοῦ καὶ Τίτου . . . . . . . Β'. 61 β.
Τίνα ἐλογίζοντο πλησίον . . „ 82 α.β.
Τὸ σάββατον ἐν ταῖς Συναγωγαῖς ἀνεγίνωσκον, καὶ διηρμήνευον τὴν θείαν Γραφήν . . . . . . . . . . . „ 102 β.
Διατί δὶς τῆς ἑβδομάδος ἐνήστευον . . . . . . . . . . . . „ 159 α.
Ἡ ὑψηλοφροσύνη αὐτῶν καταργεῖται . . . . . . . . . Α'. 11 α.
Ποία ἡ τούτων πανουργία; . „ 49 -

Ἰούδας ὁ Ἰσκαριώτης.

Πόθεν ἀπώλετο . . . . . . . Α'. 101 α.
Τίνος ἕνεκα μαθητὴς ἐγένετο τοῦ Χριστοῦ . . . . . . . . „ 119 α.β.
Οὐκ ἄπιστος, ἀλλ' ὀλιγόπιστος . . . . . . . . . . . . „ 219 - -
Ὑπερέβη πάντας τοὺς ὑποκριτάς . . . . . . . . . . . Β'. 110 α.
Μετενόησεν, ἀλλ' οὐκ ὠφελήθη. „ 153 -

Ἰουλιανὸς

Ὁ παραβάτης ὁποίας ἐνόμιζε τὰς τοῦ Χριστοῦ παραγγελίας . . . . . . . . . Α'. 242 α.

Ἰσαὰκ

Δι' οἰκοδομῆς θυσιαστηρίου προσέφερε τῷ Θεῷ τὴν εὐχαριστίαν . . . . . . . . . Β'. 126 β.

Ἰωάννης.

Τί σημαίνει; . . . . . . . . . Α'. 8 α.

Ἰωάννης ὁ Βαπτιστής.

Μέγας τὸ ἀξίωμα . . . . . . Α'. 8 α.
Πλέον πάντων περὶ Χριστοῦ ἐμαρτύρησε . . . . . . . . „ — β.
Ἐνομίσθη Μεσσίας . . . . . „ 9 α.
Τίνι λόγῳ ἦν φῶς . . . . . . „ — -
Τί ἐμαρτύρησε περὶ τοῦ Χριστοῦ . . . . . . . . . . . . „ 15 α.β.
Πῶς καὶ πρῶτος καὶ ὕστερος Χριστοῦ . . . . . . . . . . „ — β.
Πῶς ἐφάνη φωνὴ βοῶντος . . Β'. 315 α.
Πόθεν συμπεραίνεται ὁ ἀγγελικὸς αὐτοῦ βίος . . . . Β'. 316 α.β.
Τίς ἡ ἀπόδειξις τῆς τελειότητος τῆς ψυχῆς αὐτοῦ . . „ — β.

Ἰωάννης ὁ Εὐαγγελιστής.

Πότε εἶδε τὴν δόξαν τοῦ Χριστοῦ . . . . . . . . . . . . Α'. 14 α.
Πόθεν ἤρξατο τοῦ Εὐαγγελίου αὐτοῦ . . . . . . . . Β'. 314 α.

Ἰὼβ.

Τίνας εἶχεν ἀρετάς . . . . . Α'. 250 β.
Πῶς ἔδειξε τὸ ἀδύνατον δυνατόν . . . . . . . . . . . . „ — -
Ἐν ταῖς ἐναντίαις περιστάσεσιν ὁ αὐτός . . . . . . . . „ 295 α.
Β'. 129 -
Ὑπὸ τῶν φίλων καὶ τῆς γυναικὸς πειραζόμενος, ἐνίκησε. „ 146 β.
Φαίνεται ἄσαρκος . . . . . . „ 230 -

Ἰωνᾶ

Τὸ σημεῖον προεμήνυσε δύο ἄρθρα τῆς πίστεως . . . . Α'. 31 α.β.

Ἰωσὴφ ὁ Πατριάρχης.

Ἔδειξε πόση τῆς ἀρετῆς ἡ δύναμις . . . . . . . . . . . Α'. 129 β.
Ὁποῖαι αἱ τούτου ἀρεταί . . „ 130 α.

Ἰωσὴφ ὁ Μνήστωρ.

Πόθεν κατάγεται κατὰ τὸν Ματθαῖον, καὶ πόθεν κατὰ τὸν Λουκᾶν . . . . . . Β'. 293 β.
Ἢ εἶχε δύο πατέρας, ἢ ὁ τούτου πατὴρ διώνυμος ἦν. „ — α.
Διατί ἐμνηστεύθη τὴν ἁγίαν Παρθένον . . . . . . . . . „ 295 -
Διατί προεκρίθη πρὸς ὑπηρεσίαν τοῦ γεννηθέντος Χριστοῦ . . . . . . . . . . . . „ — -
Ἐπαρίθμησις τῶν τούτου ἀρετῶν . . . . . . . . . . . . „ — β.
Διατί ὁ Ἄγγελος ὠνόμασεν αὐτὸν υἱὸν Δαβὶδ . . . . . „ 296 α.
Διατί εἶπε πρὸς αὐτὸν τό, Μὴ φοβηθῇς; . . . . . . . . „ — -
Πῶς οὐκ ἐδίστασεν, ἀκούσας παράδοξα πράγματα . . . „ 297 β.

Ὑπήκουσε προθύμως . . . . Β'. 303 β.
Ἐν τῇ ἀρετῇ τῆς ὑπακοῆς ἐξόχως ὑπερέλαμψε . . . . „ 308 α.

*Ἰωσὴφ ὁ Εὐσχήμων.*

Διατί ἐγράφη καὶ πατρὶς, καὶ ἦθος, καὶ ἀξίωμα, καὶ τύχη, καὶ πίστις αὐτοῦ. . . Α'. 32 β.
Διατί περὶ αὐτοῦ ἐῤῥέθη, ὅτι ἐτόλμησε; . . . . . . . . . „ 33 α.
Μεγαλόψυχος ἦν οὗτος . . . „ 40 β.

## Κ

*Καιρὸς.*

Ο τῆς μελλούσης ζωῆς τῷ τῆς ἐνεστώσης παρατίθεται. Α'. 146 α.
Οὐκ ἔστιν ὑπὸ τὴν ἡμετέραν ἐξουσίαν . . . . . . . . . . Β'. 233 β.
Οὐδὲ τὸ ἐλάχιστον αὐτοῦ μέρος καταφρονητέον . . . . . „ — -
Ἀναγκαῖος πᾶσι τοῖς ἐν κόσμῳ πράγμασι . . . . . . . „ — -
Ὁ ἁρμόδιος, ἀμελούμενος βλάπτει, ἐπιμελούμενος ὠφελεῖ . . . . . . . . . . . . „ 234 α.
Ὁ μίαν τῶν τούτου στιγμῶν περιφρονῶν κινδυνεύει τὴν ἰδίαν σωτηρίαν . . . . . . . „ — -
Διαιρεῖται ἐπ' ἄπειρον . . . . „ — β.
Ἀπατᾷ καὶ φεύγει . . . . . „ 235 α.β.
Ὁ τῆς νεότητος, ἁρμόδιος τοῖς ἐναρέτοις κατορθώμασι . . „ 236 α.
Ὁ τοῦ γήρατος, κατάλληλος τῇ μετανοίᾳ . . . . . . . . „ 237 -
Ὁ τῆς μετανοίας, τίς; . . . „ 238 -

*Κάμηλος.*

Τί σημαίνει, καὶ πῶς ἂν διὰ διὰ τῆς ῥαφίδος διέλθῃ. . Α'. 245 β.

*Καπερναούμ.*

Διατί λέγεται ἰδία τοῦ Χριστοῦ πόλις . . . . . . . . . Α'. 177 β.
„ 183 -

*Καρδία.*

Πόθεν σκληρύνεται. . . . . . Α'. 142 β.

*Κενοδοξία.*

Φθείρει τῶν καλῶν ἔργων τὴν δύναμιν. . . . . . . . . . . Α'. 199 α.
Πρώτη τῶν παθῶν πάντων ἀναφαίνεται, ἀκολουθεῖ δὲ καὶ μετὰ θάνατον . . . . „ — β.
Εὑρίσκει εἰς πάντας ὕλην, ἐν ᾗ γεννᾶται καὶ τρέφεται . „ — -
Βλάπτει τὴν φαντασίαν . . . „ 200 α.
Πάθος ἀπατηλόν. . . . . . . „ — -
Φανερὰ ἐλάλησεν ὁ Θεὸς κατ' αὐτῆς . . . . . . . . . . . „ — β.

*Κενόδοξος.*

Ἐστὶν ὁ ἀνθρωπάρεσκος. . . Α'. 201 α.
Τίνα ἀδικεῖ . . . . . . . . „ — -
Τὰ ἔργα αὐτοῦ τίνι ὅμοια . „ — β.
Τίς ὁ σκοπὸς τῆς ἀρετῆς αὐτοῦ . . . . . . . . . . . . „ 202 α.

*Κηδεία*

Τῶν πιστῶν, πότε πολλῶν δακρύων ἀξία . . . . . . . Β'. 29 β.
Πότε τὰ ἐν αὐτῇ θρηνολογήματα ἄτοπα καὶ παράλογα. „ — -
Καὶ πότε εὐλογοφανῆ καὶ δίκαια . . . . . . . . . . . . „ 30 α.

*Κήνσου*

Τιμὴ πόση . . . . . . . . . Α'. 234 α.

*Κλεπτῶν*

Κάτα, τίνες οἱ νόμοι . . . . Β'. 150 α.

*Κόλασις*

Ἡ μέλλουσα αἰώνιός ἐστι. . Α'. 236 β.
Τὸ βάρος αὐτῆς οὐ δυνάμεθα κατανοῆσαι. . . . . . . . . „ 267 α.
Τῶν βασανιστηρίων αὐτῆς ἐπαρίθμησις . . . . . . . . „ 268 β.
Πῶς ἄφθαρτοι γενόμενοι πάσχομεν ὑπὸ τῶν ἐν αὐτῇ βασάνων . . . . . . . . . . . „ 269 α.β.
Τίνι λόγῳ κατανοοῦμεν σαφέστερον τὰ ἐν αὐτῇ βασανιστήρια. . . . . . . . . „ — β.
Αἱ βάσανοι αὐτῆς, μόνον ἀκουόμεναι, φρίκην προξε-

γοῦσι. . . . . . . . . . . . . . Α΄. 270 β.
Ὅστις μελετᾷ αὐτὴν, φεύγει τὰς αἰωνίους αὐτῆς βασάνους. „ — -
Οἱ ἐν αὐτῇ γνωρίζουσι καὶ τοὺς ἀγνώστους δικαίους . Β΄. 45 α.
Τιμωρία ἐστὶν ὑπερβολικὴ . „ — -

Κολυμβήθρα.

Διατί ἐλέγετο Προβατική; . Α΄. 45 α.
Τί ἐσήμαινε . . . . . . . . . „ 46 -
Διατί ἕνα καὶ μόνον κατ᾽ ἔτος ἐθεράπευεν . . . . . . „ — -
Ἡ τοῦ Σιλωὰμ, ὁποία . . . „ 77 β.
Τί προετύπουν τὰ ἐν αὐτῇ ὕδατα . . . . . . . . . . . „ 78 α.

Κόσμος

Τίνας ἔχει σημασίας . . . . Α΄. 10 β.
Συμβουλεύει τὰ ἐναντία τῶν τοῦ Θεοῦ προσταγμάτων . „ 220 α.
Αὐτῷ μᾶλλον ἢ τῷ Θεῷ πειθόμεθα . . . . . . . . . . „ — -
Τίνι τρόπῳ τῶν τούτου ἀγαθῶν ἀπολαμβάνομεν . . Β΄. 9 -
Τίνες αἰσχύνη τούτου καὶ ὄνειδος. . . . . . . . . . . . „ 18 α.β.

Κορνήλιος

Ὁ Ἑκατοντάρχης, ὁποῖος ἦν; Α΄. 265 α.

Κράσης

Ὁ φιλόσοφος, ὁποῖος ἀνεδείχθη; . . . . . . . . . . Β΄. 131 α.β.

Κτύπος.

Τί ἐστί . . . . . . . . . . . Β΄. 1 α.

Κωνσταντῖνος

Ὁ ἰσαπόστολος τὴν πρώτην συνεκρότησεν οἰκουμενικὴν σύνοδον. . . . . . . . . . Α΄. 91 β.

Κωφὸς

Λέγεται καὶ ὁ ἄλαλος . . . Α΄. 196 α.

Λ

Λέπρα

Τί ἐστί. . . . . . . . . . . Β΄. 121 α.
Πότε ἀνίατος. . . . . . . . . Β΄. 121 α.
Τίνι λόγῳ ἐθεραπεύετο ἐν τοῖς τοῦ Μωϋσέως χρόνοις. „ — -

Λεπρῶν

Ἀναστροφὴν ἐκώλυεν ὁ Ἰουδαϊκὸς νόμος . . . . . . . Β΄. 122 α.
Τίνι τρόπῳ ἐπεσκέπτοντο αὐτοὺς οἱ τοῦ παλαιοῦ νόμου. „ — β.
Οἱ τοῦ Εὐαγγελίου λεπροὶ τίνος τύπος . . . . . . . . . „ 123 α.

Λεπτὸν

Τίνι ἰσοβαρές . . . . . . . . . Α΄. 286 β.

Λέων ὁ Ἴσαυρος,

Πρῶτος εἰκονομάχος . . . . . Β΄. 202 α.

Λῃστὴς

Ὁ ἐν τῷ σταυρῷ, πράξας πρῶτον ὅσα καλὰ ἐδυνήθη, ἔλαβεν ἔπειτα τὸν παράδεισον . . . . . . . . . . . Β΄. 219 α.

Λόγια

Τὰ εὐαγγελικὰ ὅσον ἀναγινώσκονται καὶ διερμηνεύονται, τοσοῦτον μᾶλλον καρποφοροῦσι . . . . . . . . . Α΄. 231 β.
Αὐτῶν τε καὶ τῆς γῆς παράθεσις . . . . . . . . . . . . „ 271 α.

Λόγον

Διττὸν ἔχει πᾶς ἄνθρωπος . Α΄. 107 α.

Λόγος ὁ τοῦ Θεοῦ.

Τὴν αὐτὴν ἔχει διαπαντὸς δύναμιν . . . . . . . . . . . Α΄. 141 α.
Διατί τὴν σήμερον οὐκ ἐνεργεῖ καθὼς τὸ πάλαι . . . „ — β.
Αὐτοῦ τε καὶ τοῦ ἡλιακοῦ φωτὸς παράθεσις . . . . . . „ 143 α.
Τοῦ ἐρευνῶντος αὐτὸν καὶ τοῦ βοτανικοῦ σύγκρισις. . . . „ 173 -
Καρποφορεῖ ἑκατονταπλασίως. Β΄. 32 -
Πόσον ἐνεργητικὸς τὸ πάλαι. „ 36 α.β.
Πόσον ἀνενέργητος τὴν σήμερον. . . . . . . . . . . . . „ 37 α.
Οὐκ ἔστιν αἴτιον τῆς ἀκαρ-

πίας αὐτοῦ ἡ ἀναξιότης τοῦ Ἱεροκήρυκος . . . . . . . . Β'. 38 β.
Τί ζητεῖται παρὰ τοῦ διδάσκοντος αὐτόν . . . . . . . „ 39 -
Τρία τῆς ἀκαρπίας, καὶ ἐν τῆς εὐκαρπίας αὐτοῦ τὸ αἴτιον . . . . . . . . . . . „ — -
Πῶς ὀνομάζονται μεταφορικῶς οἱ τοῦτον ἀκούοντες . . . . „ 40 α.
Πότε μένει ἀτελεσφόρητος . . „ — α.β.
Πότε ὠφελεῖ . . . . . . . . . „ — β.
Ἐὰν ἀπειθῶμεν αὐτῷ, οὐδεμία ἐλπὶς σωτηρίας . . . „ 41 -

Λόγου

Πολλὰ τὰ σημαινόμενα . . . Α'. 5 α.

# Μ

Μαγδαληνή.

Διατί ἤκουσε τό, Μή μου ἅπτου; . . . . . . . . . . Α'. 26 α.β.
Πόθεν οὕτως ὠνομάσθη; . . . „ 34 β.

Μάγους

Τίνας ὠνόμαζον οἱ Χαλδαῖοι. Β'. 303 α.

Μακροθυμία.

Ἐστὶ τελειότης Θεοῦ . . . . Α'. 256 β.
Αὐτῆς μεσιτευούσης, ἀργοῦσι τῆς θείας δικαιοσύνης τὰ ἀποτελέσματα . . . . . . . „ 257 α.
Ἄλλο αὐτή, καὶ ἄλλο ἡ εὐσπλαγχνία . . . . . . . . „ — β.
Αὐτῆς τε καὶ τῆς τῶν νεφῶν ἀθροίσεως ὁμοίωσις . . . „ 258 α.
Μετ' αὐτὴν ἡ τιμωρία, ἐὰν μὴ ἐπιστρέψωμεν . . . . . . . „ — α.β.
Μετ' αὐτὴν καὶ ἡ Ἐκκλησία συγκατατίθεται πρὸς τὴν τοῦ ἁμαρτωλοῦ τιμωρίαν . „ — β.
Ἐπίσημον παράδειγμα αὐτῆς τὸ τοῦ Μανασσῆ . . . . . „ — -
Καὶ τὸ τοῦ Ἰουδαϊκοῦ γένους. „ 259 α.β.
Πόση ἡ καταδίκη τῶν καταφρονούντων αὐτῆς . . . . . „ — β.

Μαμμωνᾶ.

Τί σημαίνει . . . . . . . . . Α'. 149 β.

Αὐτός τε καὶ ὁ Θεὸς ἀσυμβίβαστοι . . . . . . . . . . Α'. 149 β.

Μανασσῆς.

Πολὺ τῶν ἁμαρτημάτων αὐτοῦ τὸ πλῆθος . . . . . . Β'. 87 α.β.
Ἐν αὐτῷ ἐδείχθησαν ἀπέραντα τῆς θείας εὐσπλαγχνίας τὰ ὅρια . . . . . . . „ — -

Μάνεντος

Τοῦ Αἱρετικοῦ τὰ στόμα ἀποφράττεται . . . . . . . . Α'. 13 α.

Μανωέ.

Πότε ἕως θανάτου ἐφοβήθη. Β'. 207 β.

Μαργαρίτας

Τίνες ἐξάγουσι . . . . . . . Α'. 212 α.

Μαρία ἡ Θεοτόκος

Ἐστὶν ἡ ὄντως ταπεινή . . . Β'. 162 β.
Ἡ τοῦ Ἰωσῆ, ἀδελφὴ αὐτῆς κατά τινας . . . . . . . . Α'. 35 α.

Μάρκος

Ὁ Εὐαγγελιστὴς πόθεν τὴν ἀρχὴν ἐποίησεν ἐν τῷ Εὐαγγελίῳ αὐτοῦ . . . . . . . . Β'. 314 α.

Μάρτυρες

Οἱ ἅγιοι τίνος χάριν ὑπέμειναν πάθη καὶ θάνατον. Α'. 124 α.

Ματθαῖος

Ὁ Εὐαγγελιστὴς πόθεν τοῦ Εὐαγγελίου αὐτοῦ ἄρχεται . . . . . . . . . . . . Β'. 314 α.

Μεγαλοψυχίας

Ἔργα τίνα . . . . . . . . . . Α'. 41 α.β.

Μεθόδιος,

Ὁ ἐν ἁγίοις πατριάρχης καὶ οἱ σὺν αὐτῷ τὴν ἐτήσιον ἀνάμνησιν ὥρισαν τῆς τῶν ἁγίων εἰκόνων ἀναστηλώσεως . . . . . . . . . . . . Β'. 202 β.

*Μετάνοια.*

Καὶ ἡ ἐξ ἀνάγκης γινομένη ἰσχύει . . . . . . . . . . . Β΄. 87 β.
Κατὰ τῶν ἀναβαλλόντων αὐτὴν φοβερὸν παράδειγμα . „ 235 α.
Δύναμιν ἔχει μεγάλην . . . . „ 152 α.
Ἡ ἀληθὴς τίς . . . . . . . . „ — β.
Τὰ ἔργα αὐτῆς τίνα . . . . . „ — -
Οὐ πᾶσα σωτηριώδης ἐστί . „ 153 α.
Πόσον διαφέρει ἡ ἀληθὴς τῆς ψευδωνύμου . . . . . . . . „ 154 α.
Οὐδεμία ἁμαρτία νικᾷ τὴν δύναμιν αὐτῆς . . . . . . „ 155 β.
Τίς ὁ κανὼν καὶ τύπος αὐτῆς . . . . . . . . . . . . „ 176 α.
Τίς ἡ ἀρχὴ αὐτῆς . . . . . . „ — -
Παράθεσις τοῦ κανόνος αὐτῆς καὶ τῆς μετανοίας ἡμῶν . „ 177 α.β.
Ἡ χωρὶς ταπεινοφροσύνης, ἄπρακτος . . . . . . . . . . . „ 287 α.
Πότε εὐπρόσδεκτος . . . . . „ — β.

*Μῖσος.*

Τί ἐστι . . . . . . . . . . . . Α΄. 238 α.
Στερεοῦται τῇ τοῦ καιροῦ προόδῳ . . . . . . . . . . . . „ 241 α.

*Μνησικακία.*

Πόσα εἴδη ἔχει . . . . . . . Α΄. 237 α.β.
Ἁρπάζει τῆς σωτηρίας τὴν ἐλπίδα . . . . . . . . . . . . „ — β.
Ῥιζόθεν ἀνασπᾷ τὴν ἀγάπην . „ 238 α.

*Μνησίκακος.*

Τίς . . . . . . . . . . . . . . Α΄. 237 α.
Γυμνὸς οὐ μόνον τῆς τοῦ πλησίον, ἀλλὰ καὶ τῆς τοῦ Θεοῦ ἀγάπης . . . . . . . „ 238 α.
Ἀνθρωποκτόνος ἐστί . . . . „ 241 β.

*Μοιχεία.*

Μέγα ἁμάρτημα . . . . . . . Β΄. 86 α.
Ὁποῖα τὰ αὐτῆς ἀποτελέσματα . . . . . . . . . . . . . „ — -

*Μοιχοὺς*

Ὁποίαις τιμωρίαις ἐπαίδευον τινὲς τῶν ἐθνικῶν . . . . . Β΄. 86 α.

*Μυροφόροι.*

Τίνος χάριν ἐμύρισαν τοῦ Κυρίου τὸ σῶμα . . . . . . . Α΄. 35 β.
Εὐλόγως ἐξεθαμβήθησαν . . „ 37 β.
Κήρυκες τῆς ἀναστάσεως . . „ 38 α.
Διατί ἀπεστάλησαν εἰς τὴν Γαλιλαίαν . . . . . . . . „ — β.
Μεγαλόψυχοι . . . . . . . . „ 41 α.

*Μυστήρια.*

Διατί ἔχουσιν ὑλικὰ σημεῖα. Β΄. 318 α.

*Μωϋσῆς.*

Συνεσκιασμένως ἐδίδαξε τὰς τρεῖς ὑποστάσεις τῆς Θεότητος . . . . . . . . . . . Α΄. 97 α.
Ἐπίμονος ἐν τῇ ἀρετῇ . . . . „ 295 -
Ἐξόχως περὶ ἐλεημοσύνης ἐλάλησε . . . . . . . . . . . Β΄. 47 β.
Ὠκοδόμησε θυσιαστήριον πρὸς εὐχαριστίαν τοῦ Θεοῦ . . „ 127 α.
Κατ᾽ ἐξοχὴν ἀπέβαλε τὴν φιλαυτίαν . . . . . . . . . . „ 275 -
Ἐκλεκτὸς φίλος τοῦ Θεοῦ . . „ 331 β.
Διατί ἐστέρησεν αὐτὸν ὁ Θεὸς τῆς ἀπολαύσεως τῆς γῆς τῆς ἐπαγγελίας . . . . . „ 332 α.β.

N

*Ναβουχοδονόσορ.*

Μωρός . . . . . . . . . . . . Β΄. 164 α.

*Ναζωραῖος.*

Τί σημαίνει; . . . . . . . . Β΄. 308 α.

*Ναΐν,*

Πόλις, ποῦ ἔκειτο . . . . . . Β΄. 22 β.

*Ναυάτος,*

Τὴν μετάνοιαν ἀρνούμενος . . Β΄. 89 α.

*Νεκρῶν,*

Ἡ ψηλάφησις διατί ἐλογίζετο ἁμαρτία; . . . . . . . Β΄. 23 β.

*Νηστεία.*

Τίνος χάριν κατὰ καιροὺς ὡ-

ρισται . . . . . . . . . . . . A'. 170 α.
Μαραίνει τὴν κακὴν ἐπιθυμίαν . . . . . . . . . . . . „ 230 β.
Διατί μεταξὺ ἀμνησικακίας καὶ ἐλεημοσύνης ἐτέθη ἡ περὶ αὐτῆς διδασκαλία . . B'. 190 α.
Ἐντολὴ πρώτη . . . . . . . . „ 195 α.β.
Διατί αὐτή τε καὶ ἡ περιτομὴ οὐκ ἐγράφησαν εἰς τὸν Δεκάλογον . . . . . . . . . „ 196 β.
Ἐφύλαττον αὐτὴν καὶ οἱ ἐθνικοί . . . . . . . . . . . . „ 197 α.
Διατί οὐδὲ ὁ Χριστὸς, οὐδὲ οἱ Ἀπόστολοι ἐνομοθέτησαν αὐτήν . . . . . . . . . „ — -
Ἐλάλησαν περὶ αὐτῆς οἱ Προφῆται . . . . . . . . . . . „ — -
Ἐπεκύρωσεν αὐτὴν ὁ Χριστὸς καὶ οἱ Ἀπόστολοι . . . . „ — -
Τίς ἡ ἐπιβλαβής . . . . . . „ 198 -
Τίς ἡ ἐπωφελής . . . . . . . „ — -
Προξενεῖ ὑγιεινὴν ἀδυναμίαν . „ — β.
Πότε ἀποβάλλεις τὸν ἐκ τῆς βλάβης αὐτῆς φόβον . . . B'. 199 α.
Μεγάλην ἔχει δύναμιν . . . . „ 200 -
Τίς ἡ ἀληθὴς καὶ τῷ Θεῷ εὐπρόσδεκτος . . . . . . . „ — α.β.

Νηστειῶν

Τῶν νομικῶν ποῖος ὁ σκοπός. B'. 73 β.

Νηστευταί.

Χρείαν ἔχουσι μεγάλης προσοχῆς . . . . . . . . . . . . B'. 199 β.
Ὁποῖον τὸ δυστύχημα τῶν μὴ νηστευόντων τὴν ἀληθινὴν νηστείαν . . . . . . . . „ 200 α.

Νηστευτής,

Καὶ φάγος τίνι λόγῳ μεταβάλλουσι τὰ πρόσωπα αὐτῶν . . . . . . . . . . . . B'. 192 α.
Καὶ ποίοις βοηθήμασι . . . „ — β.

Νομικὸς,

Τίς . . . . . . . . . . . . . . A'. 271 β.
B'. 80 -
Ὁ αὐτὸς καὶ Γραμματεύς . . A'. 271 -

Νομοθεσία

Ἡ θεία δεικνύει τὴν ἄμετρον τοῦ Θεοῦ σοφίαν καὶ φιλανθρωπίαν . . . . . . . . . . A'. 275 α.

Νόμος.

Ὁ τοῦ Χριστοῦ, ὁποῖος . . . A'. 51 β.
Τί κερδαίνουσιν οἱ τοῦτον φυλάττοντες . . . . . . . . . „ — -
Ἐλαφρὸς καὶ εὔκολος . . . . „ 52 α.
Ὁ Μωσαϊκὸς διατί ἀπηγόρευε τὴν μετὰ τῶν ἐθνικῶν συναναστροφήν . . . . . . . . . „ 58 α.
Ὁ μὴ Μωσαϊκὸς ἐπικεκαλυμμένως, ὁ δὲ Εὐαγγελικὸς ἀνακεκαλυμμένως ἐδίδαξε τὸ τρισσὸν τῆς Θεότητος . . . „ 97 β.
Τίς δὲ ἡ διαφορὰ τῶν γενομένων, ὅτε ἑκάτερος τούτων ἐδόθη . . . . . . . . . „ 140 β.
Μελέτημά ἐστι τῆς καρδίας . „ 141 -
Μάθημα τῶν τέκνων. . . . . „ 142 α.
Διατί τινὲς τῶν φυλαττόντων αὐτὸν δυστυχοῦσι, τινὲς δὲ τῶν παραβαινόντων εὐτυχοῦσι . . . . . . . . . . . B'. 10 β.

Νοῦς

Πῶς κατανοῆσαι δύναται διὰ τίνα λόγον παιδεύονταί τινες ἐν τῷ κόσμῳ τούτῳ . . A'. 87 α.
Ὁποῖοι οἱ λογισμοὶ αὐτοῦ, τοιαῦτα καὶ τὰ ἔργα ἡμῶν. „ 148 β.

Νύκτωρ

Τίνες ἡμάρτανον . . . . . . . B'. 210 β.

Νῶε

Πρῶτος, μετὰ τὸν κατακλυσμὸν, προσέφερε τῷ Θεῷ εὐχαριστίαν . . . . . . . . . B'. 126 α.

Ξ

Ξένων,

Καὶ τῶν ἐν τῷ δὲ τῷ κόσμῳ ζώντων παράθεσις . . . . A'. 146 β.

# Ο

*Ὀλιγοπιστία*,

Ἁμαρτημάτων μήτηρ. . . . . Α'. 219 β.
Κωλύει τὴν τῶν θαυμάτων ἐνέργειαν . . . . . . . . . . „ 226 α.β.

*Ὄμματα*

Τὰ τῆς πίστεως τελειότερα τῶν τοῦ σώματος . . . . . Β'. 209 β.

*Ὁμολογία πίστεως*,

Ἡ μὲν τοῦ Πέτρου τελεία, ἡ δὲ τοῦ Ναθαναὴλ ἀτελής. Β'. 205 β.

*Ὀνόματα*

Τίνων ἐν γῇ, καὶ τίνων ἐν οὐρανῷ μνημονεύονται . . . . Β'. 43 α.

*Ὀπισθότονος*.

Τί ἐστί . . . . . . . . . . . . Β'. 103 α.

*Ὅρκοι*.

Εἰσὶ περιττοί . . . . . . . . . Β'. 286 α.

*Ὄφις ὁ χαλκοῦς*.

Τί ἐσήμαινε . . . . . . . . . Β'. 264 α.

*Ὀψάρια*.

Τίνι λόγῳ, κωφὰ ὄντα, φεύγουσιν, ὅταν συμβῇ κτύπος; Β'. 1 α.β.
Κἂν κωφά, ἤκουσαν τῆς δεσποτικῆς φωνῆς. . . . . . . „ — β.

# Π

*Πάθη*.

Εἰσὶ δυσαρίθμητα. . . . . . Α'. 117 β.
Πᾶς ἄνθρωπος αὐτοῖς ὑπόκειται . . . . . . . . . . . „ — -
Πόθεν εἰς ἓν ἐξ αὐτῶν μᾶλλον κλίνομεν. . . . . . . . „ — -
Επιβλαβέστατα σοφοῖς καὶ ἀμαθέσιν, ὀρθοποδοῦσί τε καὶ διεστραμμένοις . . . . „ 118 -
Ποῖον τὸ κατ' αὐτῶν ἰσχυρὸν ὅπλον . . . . . . . . . . . „ 120 α.
Τῆς ἀρετῆς ἐμπόδια . . . . . „ 193 -

Τὰ πολυχρόνια, δυσθεράπευτα . . . . . . . . . . . . . Α'. 225 α.

*Πάθος*

Τὸ κατακυριεῦον, ποῖα ποιεῖ ἀποτελέσματα. . . . . . . Α'. 118 α.
Ἡ τοῦ καιροῦ πρόοδος αὔξει τὴν τούτου δύναμιν . . . . „ 119 -
Σφοδρά τις ἐστὶ καὶ ἀσυνήθης τοῦ αἵματος κίνησις . . . „ 117 -
Τὸ τοῦ φθόνου, ἰσχυρότερον τοῦ τὸν Σαοὺλ πνίγοντος πνεύματος . . . . . . . . . „ 118 β.
Τὸ σαρκικὸν κατεκρήμνισε τὸν Σολομῶντα . . . . . . . . „ — -
Τὸ τῆς φιλαργυρίας ἀπώλεσε τὸν Ἰούδαν. . . . . . . „ 119 α.β.

*Παίδευσις Θεοῦ*

Ἡ πρόσκαιρος, ἔλεος αὐτοῦ ἐστί . . . . . . . . . . . . Α'. 260 α.β.

*Παραβολή*.

Τί ἐστί . . . . . . . . . . . Α'. 231 β.
Β'. 112 α.β.
„ 114 - -
„ 157 -
Οὐχ ἁρμόζουσι πάντα τὰ λόγια αὐτῆς τῷ προκειμένῳ σκοπῷ . . . . . . . . . . . Α'. 235 β.
Β'. 112 α.β.
„ 114 α.
Διατί χρείαν ἔχει ἀκριβεστέρας ἐξηγήσεως. . . . . . . Α'. 261 α.

*Παραδείγματα*.

Αὐξάνουσι τὴν πληροφορίαν . Β'. 7 β.
Τὰ κακὰ τῶν ἐπισήμων ἀνθρώπων ἐπιβλαβέστατα . „ 331 α.

*Παράλυτος*,

Ὁ τοῦ Εὐαγγελίου, πρᾷος . Α'. 47 α.β.
Ἡ τούτου παράλυσις τίνος ἐνδεικτική . . . . . . . . . „ — β.
Πότε γινόμεθα ὅμοιοι τοῖς κατακρίνασιν αὐτόν . . . . „ 48 -
Ἐλέγχει τοὺς Ἰουδαίους . . „ 49 α.
Ἡ τούτου θεραπεία τῆς εὐεργεσίας τὸ παράδειγμα . . „ — β.

Ὁποία ἡ τούτου φρόνησις . . Α'. 50 β.
Διατί ἐσιώπησεν ὁ Εὐαγγελιστὴς τὸ ὄνομα τῆς ἁμαρτίας αὐτοῦ . . . . . . . . „ — α.β.

Παρθενία.

Ὑπερυψοῖ τὸν ἄνθρωπον . . Β'. 187 α.

Πάσχα

Ἡμέρας, τὰ ὀνόματα . . . . Α'. 1 α.β.
Διατί καὶ κατὰ τί ἡ ἡμέρα αὐτοῦ πρώτη . . . . . . . „ — β
Ἐν τῇ Ἱερουσαλὴμ μόνον ἐτελεῖτο ὑπὸ τῶν Ἰουδαίων. Β'. 254 β.

Πατέρες,

Οἱ τῆς οἰκουμενικῆς ἑβδόμης Συνόδου πόσοι, ὑπὸ τίνος, ποῦ, καὶ διατί συνηθροίσθησαν, καὶ τί ὥρισαν. . Β'. 276 α.β.
Διατί τιμῶμεν αὐτούς. . . . „ 277 α.
Οἱ τῆς τετάρτης, πόσοι, τίνος χάριν, ὑπὸ τίνος, καὶ ποῦ συνηθροίσθησαν . . . „ 336 α.β.
Διατί τιμῶμεν αὐτούς; . . . „ 337 α.

Παῦλος ὁ Ἀπόστολος.

Πολλῇ τῇ εὐλαβείᾳ ὑπὸ τῶν πιστῶν τιμώμενος καὶ ἀγαπώμενος. . . . . . . . Α'. 131 α.β.
Διατί οὐκ ἐφανέρωσεν ἃ εἶδε καὶ ἤκουσεν, ἕως τρίτου οὐρανοῦ ἀναβάς . . . . . . „ 268 α.
Πότε ἔλεγε τό, χαίρω ἐν τοῖς παθήμασί μου . Β'. 9 α.
Κατηράσατο τὸν Ἐλύμαν, ὡς ὁ Θεὸς τὸν ὄφιν . . . . . „ 143 β.
Ὁποῖοι τῆς μετανοίας αὐτοῦ οἱ καρποί . . . . . . . . . „ 155 α.
Θαυμαστὴ ἡ τούτου φρόνησις. „ 164 -
Ἀγάπην εἶχε πολλὴν καὶ βάθος ταπεινώσεως . . . . . „ 248 β.
Κατ' ἐξοχὴν ἀπεκδύσατο τὴν φιλαυτίαν . . . . . . . . . „ 275 α.β.

Πεντηκοστῆς

Τῆς χριστιανικῆς ἡ προτύπωσις. . . . . . . . . . . . . Α'. 107 β.
Αὐτῆς τε καὶ τῆς Ἑβραϊκῆς παράθεσις. . . . . . . . . Α'. 108 α.

Περιέργεια

Ἡ ματαία, φευκτέα. . . . . Α'. 64 β.

Περιτομή.

Ἐντολή ἐστι, κἂν ἐν τῷ δεκαλόγῳ μὴ περιέχηται . . Β'. 196 α.β.
Τίς ἡ ἀληθής . . . . . . . . . „ — β.
Τίνες τῶν ἐθνικῶν περιετέμνοντο . . . . . . . . . . . „ 197 α.

Πέτρος ὁ Ἀπόστολος.

Διατί ὀνομαστὶ ἐμνημονεύθη ὑπὸ τοῦ Ἀγγέλου . . . . Α'. 38 β.
Τίνι λόγῳ, τὸν Χριστὸν ἀρνησάμενος, ἅγιος ἐγένετο . „ 124 α.
Πόσον ηὐλαβοῦντο αὐτὸν οἱ πιστοί . . . . . . . . . . . „ 131 -
Πότε ἔδωκε παράδειγμα ἅγιον. „ 216 α.β.
Οὐχ ὁ ἄνεμος, ἀλλ' ἡ ὀλιγοπιστία ἐφόβισεν αὐτόν . . „ — β.
Αὐτοῦ τε καὶ τοῦ Ἰούδα παράθεσις . . . . . . . . . . „ 297 α.
Τίς ἡ διαφορὰ μεταξὺ τοῦ λόγου αὐτοῦ, καὶ τοῦ ῥήματος τοῦ Ἑκατοντάρχου. Β'. 4 -
Τῆς μετανοίας αὐτοῦ οἱ καρποὶ τίνες . . . . . . . . . „ 155 -

Πιλᾶτος.

Διατί ἐθαύμασεν, ἀκούσας, ὅτι ὁ Ἰησοῦς ἀπέθανε . . Α'. 33 α.β.

Πίστις

Ἡ ὀρθόδοξος ποῖον ἔχει θεμέλιον . . . . . . . . . . . Α'. 5 α.
Μόνη ἡ εἰς Χριστὸν τέκνον Θεοῦ ποιεῖ τὸν ἄνθρωπον. „ 13 -
Εἰς θεωρητικὴν διαιρεῖται καὶ πρακτικήν, καὶ τί ἐστιν ἑκατέρα τούτων . . . . . . „ 29 β.
Τοὺς ἔχοντας αὐτὴν ἐπαινῶν ὁ Παῦλος, συνεπαινεῖ καὶ τὰ τούτων ἔργα . . . . . . „ — -
Ἡ σωτηριώδης τίς . . . . . . „ 30 α.
Συνεργεῖ εἰς ἐργασίαν τῶν καλῶν ἔργων, αὐτὰ δὲ εἰς τὴν τελειότητα αὐτῆς . . . „ 31 -

Τίς ἡ τελεία, καὶ τίς ἡ ἀτελὴς καὶ ὑποκριτικὴ ἀρετὴ αὐτῆς . . . . . . . . . . . Α΄. 123 β.
Δἰ οὐδεμιᾶς ἀνθρωπίνης δυνάμεως ἐφηπλώθη . . . . . „ 137 α.β.
Τὸ καύχημα αὐτῆς ὅλον θεῖον. „ — β.
Ὅσον τελειοτέρα, τοσοῦτον πλουσιώτερα τὰ θεῖα ἐλέη εἰς τὸν ἔχοντα αὐτήν . . . Α΄. 160 β.
Νικᾷ τὴν αἴσθησιν . . . . . „ 166 α.
Δἰ ἀκοῆς καὶ οὐχὶ δἰ ὁράσεως προσγίνεται . . . . . „ 183 α.β.
Δίδωσι τῆς υἱοθεσίας τὸ χάρισμα . . . . . . . . . . . . „ 184 β.
Χωρὶς αὐτῆς οὐδεμία χάρις . „ 194 -
Προηγεῖται τῆς γνώσεως . . . „ — -
Ὠφέλιμος καὶ εἰς τὴν πρόσκαιρον ζωήν . . . . . . . . „ 211 α.
Εἰς τὰ περὶ αὐτὴν ἡ ἀκοὴ ἰσχυροτέρα τῆς ὁράσεως . „ 215 -
Τὰ ἔργα εἰσὶν ἡ ἀπόδειξις αὐτῆς . . . . . . . . . . . . . „ 219 β.
Ἄλλο αὐτή, καὶ ἄλλο ἡ ὀλιγοπιστία . . . . . . . . „ 221 α.
Τίνα ὁ Κύριος ὠνόμασε πίστιν . . . . . . . . . . . . . „ — -
Πῶς θερμαίνεται . . . . . . . „ 222 -
Παραμυθεῖ τὰς θλίψεις . . Β΄. 28 -
Τίς ἡ ἰσχυροτέρα τῶν πολλῶν αὐτῆς ἀποδείξεων . . . „ 260 -

Πιστοῦ

Καὶ ἀπίστου παράθεσις . . Α΄. 211 α.β.
Αὐτοῦ τε καὶ ἀπίστου καὶ ὀλιγοπίστου σύγκρισις . . „ 218 - -

Πλεονέκτης.

Τῷ ὑδρωπικῷ ὅμοιος. . . . . Β΄. 94 α.

Πλεονεξία.

Τί . . . . . . . . . . . . . . . Β΄. 94 α.

ὁ Πλησίον.

Τί σημαίνει . . . . . . . . . . Β΄. 15 β.
Καὶ τίς ἐστι . . . . . . . . . „ 82 -
Τίνι τρόπῳ ἀγαπᾷν αὐτὸν δεῖ. „ 50 -

Πλούσιοι.

Τίνες κολάζονται . . . . . . Β΄. 46 α.

Πλούσιος.

Πολλοῦ χρήζει ἀγῶνος, ἵνα σωθῇ . . . . . . . . . . . Α΄. 246 α.
Αὐτοῦ τε καὶ πτωχοῦ παράθεσις . . . . . . . . . . . . „ 247 α.β.
Δυσκόλως ἀναβαίνει εἰς τῆς ἀρετῆς τὴν τελειότητα . . . „ — β.

Πλουσίων

Δύο τοῦ Εὐαγγελίου τίνα τὰ ἁμαρτήματα . . . . . . . . Α΄. 249 β.

Πλοῦτος.

Καθ᾿ αὑτὸν οὐδὲ καλός ἐστιν, οὐδὲ κακός . . . . . . . . . Α΄. 248 β.
Πολλὰ ποιεῖ καλὰ καὶ κακά, ὡς καὶ ἡ γλῶσσα . . . . „ — -
Ἐκνευρίζει τὰς τῆς θελήσεως δυνάμεις . . . . . . . . . . „ 249 α.
Οὐκ ἐνεπόδισε τὴν σωτηρίαν τοῦ εὐαγγελικοῦ νεανίσκου. „ 251 -
Ἡ χρῆσις αὐτοῦ σώζει ἢ κολάζει . . . . . . . . . . . . „ — -
Τίνος χάριν δίδωσιν αὐτὸν ὁ Θεὸς τοῖς ἀνθρώποις . . . Β΄. 51 α.β.

Πνεῦμα τὸ ἅγιον.

Ἄκτιστον, καὶ Θεὸς κατὰ φύσιν . . . . . . . . . . . . . Α΄. 6 α.
Ἦν διαπαντὸς σὺν τῷ Πατρὶ καὶ τῷ Υἱῷ . . . . . . . . „ 110 -
Ἐλάλησε καὶ διὰ τῶν ἐννόμων. „ — -
Διατί εἶπεν ὁ Εὐαγγελιστής, οὔπω γὰρ ἦν Πνεῦμα ἅγιον; . . . . . . . . . . „ — α.β.
Προσκαλεῖ εἰς μετάνοιαν . . „ 144 β.

Πολιτική.

Ὁποία νομίζεται, καὶ τί τῷ ὄντι ἐστί . . . . . . . . . . Β΄. 10 α.
Ἡ σημερινή, ὁποία . . . . . „ 107 -
Τί διδάσκει . . . . . . . . . . . „ — β.
Τίς ὁ πρῶτος εὑρετὴς αὐτῆς. „ — -
Ἔσβεσε τὴν ἀρετήν, καὶ ἀνάψε πάντα τὰ κακά . . . . „ 108 α.

Πολιτικός.

Τίς νομίζεται, καὶ τίς τῷ

ὄντι ἐστί . . . . . . . . . . . Β'. 9 β.
Τίς ὁ λεγόμενος . . . . . . . „ 107 α.
Τίς ὁ ἀληθινός . . . . . . . „ 109 -
Τίς ὁ ψευδώνυμος, καὶ ποῖον τὸ τούτου τέλος . . . . . . „ — α.β.

Πορφύρα.

Τί ἐστί, καὶ πόθεν ἔλαβε τὸ ὄνομα . . . . . . . . . . Β'. 42 β.

Πρόνοια θεία.

Περὶ αὐτῆς τί λέγουσιν οἱ ψευδοφιλόσοφοι . . . . . . Α'. 279 α.
Διδάσκει αὐτὴν ἡ εὐαγγελικὴ Παραβολὴ . . . . . . . . . „ — β.

Προορισμοῦ

Τὴν ἀπορίαν λύει ὁ Ἀπόστολος Παῦλος . . . . . . . . Α'. 69 β.
Οὐδεμίαν αὐτὸς φέρει ἀνάγκην εἰς τὴν θέλησιν . . . „ 72 α.
Τὸ τούτου ἀλάνθαστον, καὶ τὸ ἐλεύθερον τῆς ἀνθρωπίνης θελήσεως, ἀκατανόητα. „ — β.

Προσευχή.

Ἡ νοερὰ τίς . . . . . . . . . Α'. 63 β.
Ἡ τοῦ Χριστοῦ ἐστὶν ὁ κανὼν καὶ ὁ τύπος αὐτῆς . . „ 102 α.
Τρία τὰ εἴδη αὐτῆς . . . . . „ — -
Β'. 158 -
Δι' αὐτῆς πᾶσαν ὠφέλειαν ἐπικαρπούμεθα . . . . . . Α'. 102 β.
Χρέος ἀπαραίτητον . . . . . „ — -
Ἐγνώρισαν τὸ χρέος αὐτῆς οἱ πρὸ νόμου, οἱ ἐν νόμῳ, καὶ οἱ μετὰ τὴν χάριν Ἅγιοι . . . . . . . . . . . . „ 103 α.β.
Τὸ χρέος αὐτῆς ὑπερέχει πᾶν χριστιανικὸν χρέος . . . . „ 104 α.
Ἀναγκαία . . . . . . . . . . „ — α.β.
Ἡ μεταξὺ αὐτῆς καὶ τῆς πρὸς τοὺς ἀνθρώπους δεήσεως διαφορά τίς . . . . . . . . „ — β.
Εὐπρόσδεκτος καὶ ἡ ὑπὸ τῶν ἁμαρτωλῶν προσφερομένη . „ 105 α.β.
Τίνα τὰ ἀναγκάζοντα πρὸς τὴν ταύτης ἐκπλήρωσιν . . „ 106 α.
Τίς ἡ ἀληθής . . . . . . . . „ — -
Τίς ἡ γινομένη ἁμαρτία . . Α'. 106 α.
Πῶς τελεῖται ἡ πρὸς Θεὸν εὐπρόσδεκτος . . . . . . . „ — -
Τίς ἡ ἄπρακτος . . . . . . . „ 141 β.
Τίς ἡ εἰσακουομένη . . . . . „ 230 -
Ποία ἡ πρώτη καὶ θεμελιώδης. „ 239 α.

Πρόφασις.

Οὐδεμίαν ἔχει ἰσχὺν ἐνώπιον τοῦ Θεοῦ . . . . . . . . . Β'. 116κ.τ.λ.
Διατί οὐδὲ ἡ εὔλογος δικαιολογεῖ ἐνώπιον τοῦ Θεοῦ, κἂν εὔλογος ᾖ ἐνώπιον τῶν ἀνθρώπων; . . . . . . . . „ 120 α.
Πονηρία ἐστί, καὶ οὐ δικαιολογία . . . . . . . . . . . „ — β.

Προφῆται.

Ἔσπειραν τῆς εὐσεβείας τὰ σπέρματα . . . . . . . . . Α'. 67 α.
Τίνας μὲν ἔδειραν οἱ Ἰουδαῖοι, τίνας δὲ ἀπέκτειναν, καὶ τίνας ἐλιθοβόλησαν . . . . „ 253 β.
Πόσους αἰῶνας πρὸ Χριστοῦ προεφήτευσαν . . . . . . Β'. 260 α.
Πάντα τὰ περὶ Χριστοῦ προεῖπον . . . . . . . . . . . „ — -
Τὰ πρωτότυπα τῶν βιβλίων αὐτῶν ὑπὸ τίνων φυλάττονται . . . . . . . . . . . „ — β.
Κατέλιπον τοῖς Ἰουδαίοις τινὰς ῥήσεις ἀγράφους . . . „ 307 -

Πτωχείας

Ἡ χρῆσις ἀρετὴν προξενεῖ, ἢ κακίαν . . . . . . . . . . Α'. 251 α.β.

Πτωχοί.

Τίνες ὑπὸ Θεοῦ δοξάζονται . Β'. 46 α.
Οὐδὲν ἧττον τῶν πλουσίων τὰ ἑαυτῶν ἀγαπῶσι πράγματα . . . . . . . . . . „ 134 -
Τίνι τρόπῳ προσπορίζεσθαι δύνανται τὰ πρὸς τὴν χρείαν. „ 229 β.

Ρ

Ῥαμά.

Τί σημαίνει . . . . . . . . . . Β'. 305 β.

Ῥαχήλ.

Διατί ἀπαραμύθητος διὰ τὸν θάνατον τῶν τέκνων αὐτῆς . . . . . . . . . . . . Β'. 27 β.

Σ

Σάββατον,

Ἀντὶ τῆς ἑβδομάδος ἐκλαμβανόμενον . . . . . . . . . . Β'. 159 α.

Σαβέλλιος,

Καταισχυνόμενος . . . . . . . Α'. 4 β.
Συναλείφει εἰς ἓν τὰ τρία τῆς Θεότητος πρόσωπα . . . . „ 100 α.

Σαλώμη.

Τίς . . . . . . . . . . . . . . Α'. 35 α.

Σαμάρεια.

Πόθεν ὠνομάσθη . . . . . . Α'. 55 β.

Σαμαρεῖται,

Οἱ μετὰ τοὺς ἀρχαίους, τίνες Α'. 55 β.
Διατί ἀπεστρέφοντο αὐτοὺς οἱ Ἰουδαῖοι . . . . . . . . „ — -
„ 57 -
Κατέστησεν αὐτοὺς ὁ Χριστὸς ἀναπολογήτους . . . „ 55 -
Μόνην τὴν Πεντάβιβλον ἐδέχοντο . . . . . . . . . . . „ — -
Πόθεν ἀφορμὴν λαβόντες, προσεκύνουν ἐν τῷ ὄρει Γαριζίν . . . . . . . . . . . . . „ 61 -
Ἐπίστευον, ὅτι ὁ Θεός ἐστι περιγραπτός . . . . . . . . „ 62 -
Περιέμενον τὴν τοῦ Μεσσίου ἔλευσιν . . . . . . . . . . „ 64 -
Πόθεν ἐγίνωσκον, ὅτι ὁ Χριστός ἐστιν ὁ τοῦ Κόσμου Σωτήρ . . . . . . . . . . . „ 68 β.
Τίνι λόγῳ οὐκ ἦσαν ὁμογενεῖς τοῖς Ἰουδαίοις . . . . Β'. 124 α.

Σαμαρεῖτις,

Ἡ τοῦ Εὐαγγελίου, κατὰ θείαν οἰκονομίαν ἦλθεν ἐπὶ τὴν πηγὴν . . . . . . . . . . . . Α'. 56 β.
Πόθεν ἐγνώρισεν, ὅτι ὁ Χριστός ἐστιν Ἰουδαῖος . . . . Α'. 57 β.
Τίνι λόγῳ πατέρα ὠνόμασε τὸν Ἰακὼβ . . . . . . . . „ 59 α.
Ἔπαθεν ὅπερ καὶ ὁ Νικόδημος καὶ οἱ Ἀπόστολοι . . „ — -
Προφήτην ἐνόμισε τὸν Χριστόν. „ 61 -
Μεγάλου ἠξιώθη χαρίσματος. „ 64 -
Διατί προετιμήθη . . . . . . „ — -
Ἡ ταπείνωσις αὐτῆς ἐνίκησε τὴν φυσικὴν αἰσχύνην . . . „ 65 -
Ὁ λόγος αὐτῆς ἐνεργητικός . „ — -
Ποῖον κινεῖ ζήτημα ἡ περὶ αὐτῆς ἱστορία . . . . . . . „ 69 -
Μαρτυρικῷ ἐστέφθη στεφάνῳ . „ — -
Ἡ τῶν ἀρετῶν αὐτῆς ἐπαρίθμησις . . . . . . . . . . „ 70 α.β.

Σαμουήλ.

Ἐν τῇ τοῦ Θεοῦ προσκλήσει τρέχει πρὸς τὸν Ἠλί, ἡμεῖς δὲ εἰς ἄψυχα πράγματα . . . . . . . . . . . . Α'. 143 β.
Οἰκοδομεῖ θυσιαστήριον πρὸς εὐχαριστίαν τοῦ Θεοῦ . . . Β'. 127 α.

Σαρεπτία,

Πολυπλασιάσασα τὸ δοθὲν αὐτῇ τάλαντον, ἔλαβε τὴν ἀμοιβὴν . . . . . . . . . . Α'. 286 β.

Σεληνιαζόμενοι.

Πόθεν οὕτως ὠνομάσθησαν . Α'. 223 α.
Πότε πίπτουσι . . . . . . . . „ — β.

Σεληνιασμός.

Τῇ ἐπιληψίᾳ ὅμοιος . . . . . Α'. 223 β.
Πότερον ἀσθένεια φυσική ἐστιν, ἢ δαιμόνιον . . . . . „ — -
Ἄλλο τι δοκεῖ, καὶ οὐκ ἐπιληψία . . . . . . . . . . . . „ — -

Σιχάρ.

Τίς . . . . . . . . . . . . . . Α'. 56 α.

Σκάνδαλον.

Ἁμαρτία μεγάλη . . . . . . Β'. 329 β.
Ποῖον τὸ ἀληθές . . . . . . . „ 330 α.
Τὸ ἐξ αὐτοῦ ἁμάρτημα εὐκό-

λως μεταδίδοται . . . . . . B'. 331 α.
Καὶ μέγα νομίζεται, κἂν αὐτὸ καθ' ἑαυτὸ μὴ τοιοῦτον . . . . . . . . . . . . . „ — β.
Μεγαλύνει τὴν ἁμαρτίαν. . . „ 333 -
Διὰ τίνων ἐδείχθη τὸ τούτου βάρος καὶ τὸ μέγεθος . . „ — -
Ἡ ἀπ' αὐτοῦ ἀποχὴ οὐκ ἔστι δύσκολος . . . . . . . . . . „ 335 α.β.
Πότε περιφρονητόν ἐστι . . . „ — -
Παρατηρητέον ποῖόν ἐστι τὸ ἀληθές . . . . . . . . . . . „ — -

Σκανδαλοποιός.

Ἄξιος θανάτου . . . . . . . B'. 333 β.
Διατί μύλος ὀνικὸς ἐπὶ τὸν τράχηλον αὐτοῦ; . . . . . „ — -
Διατί συμφέρει ὁ τούτου καταποντισμός; . . . . . . . „ — -
Οἱ μὴ φεύγοντες αὐτὸν ὑπόδικοι κολάσει . . . . . . . „ 334 α.
Τίνι τρόπῳ δυνάμεθα φεύγειν αὐτόν . . . . . . . . . . „ — β.

Σκοπός.

Μεταβάλλει τὴν ἀρετὴν εἰς κακίαν, καὶ τὸ ἀνάπαλιν. A'. 201 β.

Σολομών.

Ἠγάπα τὰ λευκὰ ἱμάτια . A'. 152 β.

Σοφία Θεοῦ.

Θαυμαστὰ ποιεῖ οἰκονομήματα . . . . . . . . . . . . . A'. 2 α.
Δῶρον ἐπουράνιον . . . . . . B'. 341 -
Τίνος ἕνεκα δίδοται τοῖς ἀνθρώποις . . . . . . . . . . . „ — -

Σοφοῦ

Ἔργα ὁποῖα . . . . . . . . . . B'. 341 -

Σπόρου

Καὶ λόγου θείου ὁμοιότης . B'. 31 -
Ἡ δύναμις τοῦ ἐπὶ τὴν πετρώδη γῆν σπαρέντος διατί πρὸς τὰ ἄνω ἐνεργεῖ . „ 32 β.
Εἷς κόκκος δύναται καρποφορῆσαι ἑκατόν . . . . . . . „ 33 α.

Σταυρὸν αἴρειν.

Τί σημαίνει . . . . . . . . . . A'. 125 α.β.
Ὁ τύπος αὐτοῦ πόσον ἰσχύει. „ 176 α.

Στοαί.

Τί . . . . . . . . . . . . . . . A'. 45 α.

Συμφορά

Ἡ αἰφνίδιος τῆς προεγνωσμένης πολλῷ βαρυτέρα . . . B'. 99 α.

Συναγωγαί

Ἑβραίων τίνες. . . . . . . . A'. 140 α.
Διατί ἐν αὐταῖς ἐδίδασκεν ὁ Χριστός . . . . . . . . . . „ — -
Συναγωγῆς ἄρχων, τίς . . . B'. 67 α.

Συνείδησις

Ἐλέγχουσα μάστιξ ἐστί . . A'. 132 α.
Ἡ ἀρετὴ καθησυχάζει αὐτήν. „ — β.
Φωνὴ τοῦ ἁγίου Πνεύματός ἐστι . . . . . . . . . . . . . „ 144 -
Πότε γίνεται κριτὴς δίκαιος καὶ αὐστηρός . . . . . . . B'. 150 α.

Σύνοδοι

Αἱ ἑπτὰ οἰκουμενικαὶ ἑπτὰ στύλοι εἰσὶν . . . . . . . B'. 277 α.
Ἡ ἑβδόμη καὶ ὡς τοῦ ἑπτὰ ἀριθμοῦ πλήρωμα σεβαστή. „ — -
Εἰς τὴν πρώτην οἱ συνελθόντες τίνες ἦσαν, καὶ ποῖον ἐξέθεντο δόγμα . . . . . . A'. 91 β.
Ὁποίους λογίζεται ἡ Ἐκκλησία τοὺς ἐν αὐτῇ συνελθόντας . . . . . . . . . . . „ 92 α.

Σωτηρία.

Οὐ τύχη, ἀλλὰ Θεοῦ προνοίᾳ ἐνεργεῖται . . . . . . A'. 56 β.
Τὰ ὑπὲρ τῆς ἐπιτεύξεως αὐτῆς σαφῆ καὶ δῆλα . . . . „ 73 α.β.
Πῶς ἂν αὐτῆς ἐπιτύχοιμεν . B'. 221 - -

T

Τάλαντα

Τὰ εὐαγγελικὰ τί σημαίνουσι. B'. 187 α.

Τίνι λόγῳ ὑπὸ Θεοῦ διανέμονται . . . . . . . . . . . Β'. 337 β.

*Τάλαντον.*

Ὄργανόν ἐστι, δι' οὗ ἐκπληροῦται ἡ ἀγάπη . . . . . Α'. 286 α.
Διατί δίδωσιν αὐτὸ ὁ Θεὸς τοῖς ἀνθρώποις . . . . . . „ — -
Πᾶς ἄνθρωπος ἔχει τάλαντον. „ — α.β.
Πολυπλασιάζει αὐτὸ ὁ πτωχὸς ὑπὲρ τὸν πλούσιον . „ — α.
Διαφόροις πολυπλιάασζεται τρόποις . . . . . . . . . . „ 287 α.β.
Ὁρατὴ ἡ ὑπὲρ αὐτοῦ ἀνταπόδοσις. . . . . . . . . . . „ — β.
Ὁ ἀμετάδοτος στερεῖται τούτου, κἂν ἔλαβεν αὐτό . . . „ 288 α.β.

*Ταλάντου*

Τοῦ ἑβραϊκοῦ ἡ τιμὴ . . . . Α'. 232 α.
Τὸ περὶ τοῦ εὐαγγελικοῦ σφαλερὸν σύστημα ποῖον, καὶ ὁποίας ἔχει συνεπείας . . „ 285 -

*Ταπεινός.*

Τῷ ὑπερηφάνῳ συγκρίνεται. Β'. 161 α.β.
Ὁποῖα τὰ τούτου χαρίσματα. „ — β.
Ἡ καρδία αὐτοῦ Θεοῦ κατοικητήριον . . . . . . . . . . „ 162 α.
Αὐτός ἐστιν ὁ φρόνιμος . . . „ 163 β.

*Ταπείνωσις.*

Τί . . . . . . . . . . . . . . Β'. 157 α.
Διατί προτετιμημένη καὶ ὑψοποιός . . . . . . . . . „ 163 α.β.
„ 165 α.
Κατακρατεῖ πάντα τὰ λογικὰ κτίσματα ἐν τῇ τοῦ Θεοῦ ὑπακοῇ . . . . . . . „ 164 β.
Χωρὶς αὐτῆς οὐκ ἔστι μετάνοια . . . . . . . . . . . . „ 165 α.
Τίνι τρόπῳ γινόμεθα ἄξιον αὐτῆς κατοικητήριον . . . . „ — β.
Διαμένει καὶ μετὰ θάνατον. „ 182 -
Ποῖον τὸ κατ' ἐξοχὴν παράδειγμα αὐτῆς . . . . . . . „ 245 α.
Ἐὰν αὐτὴ φύγῃ, φεύγει καὶ ἡ ἀγάπη . . . . . . . . . . „ 246 -
Ἐξ αὐτῆς ἡ ἀμοιβαία γεννᾶται προτίμησις . . . . . Β'. 246 α.β.
Πῶς γίνεται διώκτης τῶν κακῶν, καὶ χορηγὸς τῶν ἀγαθῶν. . . . . . . . . . . . „ 249 α.
Αὐτή τε καὶ ἡ ἀγάπη εἰσὶν αἱ δύω τῆς περιστερᾶς πτέρυγες. . . . . . . . . . . . „ — β.

*Τελειότης*

Ἀρετῆς ποῦ ἵσταται. . . . . Β'. 131 β.
Τί τὸ εἰς αὐτὴν ἀναβιβάζον. „ — -
Τοῦ κτησαμένου αὐτὴν ὁποῖα τὰ κατορθώματα . . . . . „ 132 α.β.
Δυσκατόρθωτον, ἀλλ' οὐκ ἀδύνατον τὸ ἔργον αὐτῆς. . „ 133 - -
Πολλοὶ τῶν εἰς αὐτὴν ἀναβάντων ὀνομαστὶ μνημονεύονται . . . . . . . . . . „ 134 - -
Προαιρετὴ, καὶ οὐκ ἀναγκαία πρὸς τὴν σωτηρίαν . . . . „ 135 β.

*Τελῶναι.*

Τίνες, καὶ διατί τοῖς Ἰουδαίοις ἀποτρόπαιοι; . . . Β'. 158 α.

*Τέχνη.*

Μιμεῖται, ἀλλ' οὐχ ὑπερβάλλει τὴν φύσιν . . . . . . . Α'. 152 β.
Τὰ ἔργα αὐτῆς χειρὸς ἀνθρώπων, τὰ δὲ τῆς φύσεως Θεοῦ δυνάμεως. . . . . . . „ 153 -

*Τιμωρία Θεοῦ.*

Τί, καὶ τίνα ἀποτελεῖ . . . Β'. 128 α.β.
Οὐ τῆς αὐτῆς μετέχουσιν οἱ ἐν τῷ ᾅδῃ . . . . . . . . . Α'. 164 β.

*Τραπεζῖται.*

Τίνες, καὶ παράθεσις αὐτῶν τε καὶ τῶν εὐεργετουμένων. . . . . . . . . . . . Α'. 282 β.

*Τριάδος*

Τῆς παναγίας ἑνὸς προσώπου δοξαζομένου, τὰ τρία συνδοξάζονται . . . . . . . Α'. 93 β.
Ἐν αὐτῇ πάντα κοινὰ τοῖς τρισὶ προσώποις, πλὴν τῶν προσωπικῶν ἰδιοτήτων . . „ 99 -

### Τρόπος,

Συνήθης τοῖς Προφήταις λαλεῖν, καὶ τοῖς Ἰουδαίοις ἀκούειν, ποῖος . . . . . . . Α'. 15 β.
Τίς ὁ δι' οὗ φεύγομεν τὴν ἁμαρτίαν, κατορθοῦμεν τὴν ἀρετὴν, παραμυθοῦμεν πᾶσαν συμφορὰν . . . . . . . Β'. 212 β.

### Τυφλὸς,

Ὁ ἐκ γενετῆς, μικρόν τι ζημιωθεὶς, μεγάλως ὠφελήθη . . . . . . . . . . . . Α'. 75 β.
Αὐτοῦ τε καὶ τοῦ Νεεμὰν σύγκρισις . . . . . . . . . „ 77 -
Ἡ ἐπ' αὐτὸν ἐπίσκεψις τοῦ Χριστοῦ τί διδάσκει . . . „ 78 -
Ἄφοβος ἦν καὶ ἀμετάβλητος. „ 80 -
Κατήσχυνε τοὺς Φαρισαίους . „ 83 α.
Ἀπεκρίθη ἐμφρόνως . . . . . „ — -
Ἤλεγξε τοὺς δοκοῦντας σοφούς . . . . . . . . . . . . „ 84 α.β.
Ἰσχυρὸν προέτεινεν ἐπιχείρημα . . . . . . . . . . „ 85 β.
Ἠτιμάσθη ὑπὸ τῶν ἀνθρώπων, ἐτιμήθη ὑπὸ τοῦ Θεοῦ. „ 86 α.

### Τυφλῶν

Καὶ κακοπροαιρέτων παράθεσις . . . . . . . . . . . . Α'. 10 α.β.
Ὁποῖα τὰ τούτων εἴδη . . . „ 74 β.

### Τύχη.

Τί ἐστι . . . . . . . . . . . Β'. 147 α.
Τὰ περὶ ταύτης λείψανα καὶ παρὰ τοῖς Χριστιανοῖς σώζεται . . . . . . . . . . „ — -
Ὁ περὶ αὐτῆς λαλῶν οὐκ οἶδε τί λέγει . . . . . . . . „ — α.β.
Οὐδείς ποτε ἐξηγήσατό τί ἐστι . . . . . . . . . . . . „ — β.

## Υ

### Ὕδωρ ζῶν.

Τί . . . . . . . . . . . . . . Α'. 58 α.β.
Οἱ ποταμοὶ αὐτοῦ τίνες . . „ 109 β.

### Υἱὸς ὁ τοῦ Θεοῦ,

Καὶ ὁ Πατὴρ ἅμα τὴν ὕπαρξιν ἔχουσι . . . . . . . . . Α'. 3 α.β.
Διατί ὠνομάσθη Λόγος . . . „ — β.
Αὐτοῦ τε καὶ τοῦ προφορικοῦ λόγου παράθεσις . . . . . „ — -
Θεὸς ὑπὸ τίνος κηρύττεται . „ 5 α.
Κυριότητα ἔχει, ἐξουσίαν, παντοδυναμίαν, καθὼς καὶ ὁ Πατὴρ . . . . . . . . . . . „ — β.
Ποῖοι οἱ τῆς Θεότητος αὐτοῦ χαρακτῆρες . . . . . . . . „ 6 α.β.
Ζωή ἐστι καὶ φῶς . . . . . . „ 7 α.

### Υἱοθεσίας

Θείας χάριν οὐδεὶς ἔλαβε πρὸ Χριστοῦ . . . . . . . . . . Α'. 11 β.
Πότε λαμβάνομεν τὸ τέλειον αὐτῆς δικαίωμα καὶ χάρισμα . . . . . . . . . . . . „ 12 -
Τὸ χάρισμα αὐτῆς πηγὴ πάντων τῶν χαρισμάτων . . . „ 17 α.
Χωρὶς αὐτῆς οὐδὲν τῶν θείων δώρων λαμβάνομεν . . . . „ — α.β.

### Ὑπακοή.

Ὑπερβαίνει πᾶσαν θυσίαν . Β'. 309 α.
Αὐτὴ μόνη ἐξιλέωσε τὸν Θεόν. „ — -
Δι' αὐτὴν ὑπερεδοξάσθη ἡ ἀνθρώπινος φύσις τοῦ Ἰησοῦ Χριστοῦ . . . . . . . . . „ — β.
Ἡ ἀθέτησις αὐτῆς ἐτάραξε τὸν οὐρανὸν . . . . . . . . „ 310 α.
Καὶ ἐπλήρωσε συμφορῶν τὸν ἄνθρωπον . . . . . . . . . „ — α.β.
Ὅπου αὐτὴ πάρεστι, ἐκεῖ πᾶσα εὐτυχία, ὅθεν δὲ ἀπέχει, ἐκεῖ πᾶσα δυστυχία . . . . . . . . . . . . „ — β.
Πόθεν προέρχεται ἡ περιφρόνησις αὐτῆς . . . . . . . . „ 311 -
Πηγὴ αὐτῆς ἡ ταπείνωσις . . „ 312 α.
Οὐχ ἡ ἀναγκαστὴ, ἀλλ' ἡ προαιρετή ἐστιν ἀρετή . . „ — β.

### Ὑπερηφάνεια.

Τί ἐστι . . . . . . . . . . . Β'. 157 α.

**Ὑπερήφανος**

Ἐστὶ μωρός . . . . . . . . . . Β'. 163 β.

**Ὑπόκρισις.**

Τί . . . . . . . . . . . . . . Β'. 105 α.
Τίς ἡ ῥίζα καὶ οἱ καρποὶ αὐτῆς . . . . . . . . . . . „ — -
Μετέβαλον τὸ ὄνομα αὐτῆς . „ 106 β.
Τίνι λόγῳ ἐστὶ ζύμη . . . . „ 109 -
Διαφθείρει ὅλον τὸν ἄνθρωπον. „ — -
Ὄργανόν ἐστι τῶν φρικτοτέρων ἁμαρτημάτων . . . . . „ 110 β.

**Ὑποκριτής.**

Τίς. . . . . . . . . . . . . . Β'. 106 α.
Τίς ὁ σκοπὸς αὐτοῦ . . . . „ — -
Κυριεύει τῆς τῶν ἀνθρώπων καρδίας . . . . . . . . . . „ — α.β.
Κατ' αὐτοῦ πολλάκις ἐξεβόησεν ὁ Χριστὸς τὸ Οὐαί. . „ 110 α.
Προτίθεται τῶν κολασθησομένων παράδειγμα . . . . „ — -
Ἐδηλώθη τὸ τῆς βασάνου αὐτοῦ εἶδος. . . . . . . . . . „ — -

**Ὑπομονῆς**

Οἱ ἅρπαγες τίνες . . . . . . Α'. 275 β.

## Φ

**Φάντασμα.**

Τί . . . . . . . . . . . . . . Α'. 214 β.
Ἐνίοτε ἐκ δαιμονικῆς φαίνεται συνεργείας. . . . . . . „ 215 α.

**Φαραώ.**

Δὶς μετενόησε καὶ ἐξωμολογήσατο, ὅμως ἀπώλετο. . Β'. 153 α.β.

**Φαρισαῖοι.**

Τὸ περὶ τῆς μετεμψυχώσεως σύστημα δεχόμενοι . . . . Α'. 75 α.
Ὁ ἔλεγχος τῆς τούτων πανουργίας . . . . . . . . . . „ 81 β.
Δολερῶς ἐπανελάμβανον τὰ αὐτὰ ἐρωτήματα . . . . . „ 83 α.
Οὐδέποτε κατ' ὄνομα ἀνέφερον τὸν Ἰησοῦν Χριστόν. . . . „ — β.
Μάτην ἐκαυχῶντο, ὅτι εἰσὶ Μαθηταὶ τοῦ Μωϋσέως. . Α'. 85 β.
Ἐψεύδοντο . . . . . . . . . . „ 84 α.
„ 114 -
Ἡ ἀπόδειξις τῆς τούτων κακίας . . . . . . . . . . . . „ 113 α.β.
Τίνες καὶ ὁποῖοι ἦσαν . . . „ — β.
Τῶν ἄλλων σοφώτεροι. . . . „ 116 α.
Διατί οὐκ ἐπίστευσαν τῷ Χριστῷ . . . . . . . . . . . . „ — -
Δίκαιοι ὑπὸ πάντων τῶν τότε ἐνομίζοντο . . . . . . . Β'. 158 α.

**Φαρισαῖος,**

Ὁ τῷ Τελώνῃ συμπροσευχόμενος ἦν μωρός . . . . . . Β'. 164 α.β.

**Φθόνος**

Ἐξάπτεται ὑπὸ τῆς τοῦ φθονουμένου παρουσίας. . . . Α'. 49 β.
Τὰ τούτου ἀποτελέσματα ἐν τῷ Σαοὺλ τίνα . . . . . . „ 118 α.β.
Σκοτίζει τὸν νοῦν τῶν σοφῶν καθάπερ καὶ τῶν ἀμαθῶν. „ 197 α.
Πόθεν γεννᾶται . . . . . . . Β'. 272 β.
Πατὴρ τοῦ φόνου. . . . . . . „ — -

**Φιλαργυρία**

Καὶ Θεός, εἰσὶν ἐναντία. . . Α'. 155 α.
Ποῖα τὰ ἐξ αὐτῆς προϊόντα τρία κακά . . . . . . . . . „ — β.
Πῶς αὐτὴ ῥίζα τῶν κακῶν . „ 157 α.
Ποῖον τὸ θεραπευτικὸν αὐτῆς βότανον . . . . . . . . . . „ 159 α.β.

**Φιλάργυροι,**

Τίνι λόγῳ περιπείρουσιν ἑαυτοὺς πολλαῖς ὀδύναις . . . Α'. 156 α.β.
Πῶς ἀποπλανῶνται τῆς πίστεως . . . . . . . . . . . . „ — β.

**Φιλάργυρος,**

Ὁποῖον ἔχει πολίτευμα. . . Α'. 156 α.
Αὐτοῦ τε καὶ τοῦ ὑδρωπικοῦ παράθεσις . . . . . . . . . „ — β.
Τῶν ἁμαρτιῶν αὐτοῦ ἐπαρίθμησις . . . . . . . . . . „ 157 α.
Ἐκριζοῖ ἐκ τῆς καρδίας αὐτοῦ τὴν ἀγάπην . . . . . „ — β.

Πάντα τὰ τούτου ἔργα πονηρά . . . . . . . . . . . . . Α΄. 158 α.
Τίνος χάριν ἀπέχει ἀπό τινων ἁμαρτημάτων . . . . . „ — α.β.
Οὐδέποτε ἐφάνη μετανενοημένος „ — β.
Ἡ μετάνοια οὐκ ὠφελεῖ αὐτόν. „ — -

Φιλαρέστων,

Ἀμελῶν κάτα, φοβερὸν παράδειγμα . . . . . . . . . . . Β΄. 235 α.β.

Φιλαυτία.

Πόθεν γεννᾶται, καὶ τί ἐστί. Β΄. 271 α.
Αἴτιον πάσης ἁμαρτίας . . . „ — β.
Πρόξενος τοῦ παγκοσμίου κατακλυσμοῦ . . . . . . . . „ 272 β.
Ἐμπόδιον τῆς ἀρετῆς . . . . „ 273 α.β.
Καὶ τῆς κοινῆς ἀγαθοεργίας καὶ σωτηρίας . . . . . . . „ — β.
Ἅρπαξ τῆς διακρίσεως . . . „ 274 α.
Πρῶτον ἐσωτερικὸν αἴτιον τῶν ἁμαρτημάτων . . . . . . . „ — -
Ἐὰν μὴ ἀποβάλωμεν αὐτὴν, σωθῆναι οὐ δυνάμεθα . . „ 275 α.
Τίνες τῶν Ἁγίων κατ' ἐξοχὴν ἀπέθεντο αὐτὴν . . . „ — α.β.
Πῶς ἐκδιώκομεν αὐτήν. . . . „ — β.

Φίλαυτοι.

Τίς. . . . . . . . . . . . . . Β΄. 271 α.
Μαθητὴς τοῦ Χριστοῦ οὐ γίνεται. . . . . . . . . . . . „ — -
Πότε διακρίνεις, ὅτι οὐκ ἔστι Χριστοῦ μαθητής . . . . . „ — β.

Φιλόσαρκοι,

Τίνες, καὶ τίνες φιλόθεοι. . Β΄. 272 β.

Φόβος

Διώκει ἐκ τοῦ στόματος τὴν ἀλήθειαν . . . . . . . . . Α΄. 82 α.
Σκοτίζει, καθάπερ καὶ τὰ ἄλλα πάθη . . . . . . . . „ 177 β.
Ὁ τοῦ μέλλοντος κακοῦ οὐκ ἐμποδίζει τὸ ἔργον τῆς ἀγαθότητος τοῦ Θεοῦ . . . „ 285 -

Φυλακὴ

Τῆς νυκτὸς τί . . . . . . . . Α΄. 214 α.
Ἡ τετάρτη, ποία ὥρα ἐστί. Α΄. 214 α.

Φύσις.

Ἐὰν θέλωμεν, ὑποτάσσεται τῇ χάριτι . . . . . . . . . Β΄. 52 β.
Διδάσκαλος τῆς εὐγνωμοσύνης. . . . . . . . . . . . „ 59 α.
Τὴν ταύτης ἔλλειψιν ἀναπληροῖ ἡ χάρις . . . . . . . . Α΄. 249 β.

# Χ

Χαρακτὴρ

Τῶν σωζομένων ὁ ὁλομερὴς τίς, καὶ τίς ὁ μονομερής. Β΄. 186 β.

Χαρις

Ἡ εὐαγγελικὴ τίνι λόγῳ ὑπερβαίνει τὴν νομικήν. . . Α΄. 16 β.
Ζητεῖ τὴν τῆς θελήσεως συνδρομήν . . . . . . . . . . „ 17 -
Ἡ τοῦ δεσμεῖν τε καὶ λύειν τὰς ἁμαρτίας πᾶσι τοῖς Ἀποστόλοις ἐδόθη . . . . „ 23 -
Καὶ τοῖς τούτων διαδόχοις . „ — -
Τὴν διπλῆν αὐτῆς ἐξουσίαν ἔδειξεν ὁ Παῦλος . . . . . „ — -
Πηγή ἐστι διδασκαλίας . . . „ 60 α.
Ἐκεῖ ἐνεργεῖ, ὅπου ἡ φύσις ἀτονεῖ . . . . . . . . . . . „ 205 -

Χρέος

Τὸ πρὸς τὸν Θεὸν ὑπερέχει ἀσυγκρίτως τὸ πρὸς τοὺς ἀνθρώπους. . . . . . . . . Α΄. 234 α.

Χριστιανοί.

Στρατιῶταί εἰσι τοῦ Χριστοῦ. Α΄. 43 α.
Ἀληθινοὶ προσκυνηταί . . . „ 63 -
Πότε καὶ χαίρουσι καὶ κλαίουσι δικαίως. . . . . . . . . „ 91 α.β.
Πᾶς τις αὐτῶν δύναται εἰπεῖν τὸ, ἰδοὺ ἀφῆκα πάντα . . „ 126 β.
Πάντες εἰσὶν ὑπὸ Θεοῦ κεκλημένοι. . . . . . . . . . Β΄. 116 β.

Χριστιανοῦ

Παράδειγμα ὁ καλὸς στρατιώτης. . . . . . . . . . . . . Α΄. 294 β.

*Χριστιανῶν*

Γένος ἐστὶ τὸ ἐκλεκτόν . . . Α΄. 256 α.β.
„ 296 β.
Αὐτῶν τε καὶ στρατιωτῶν ὁμοιότης . . . . . . . . . . „ 297 α.

*Χριστός*,

Ὁ τοῦ Θεοῦ Υἱὸς ἔχρῃζε μαρτυρίας . . . . . . . . . . . Α΄. 8 α.β.
Τίνες οἱ τὴν τούτου Θεότητα μαρτυρήσαντες. . . . . . . „ - β.
Καὶ τίνες τὴν ἀνθρωπότητα. „ — -
Τίνι λόγῳ ἦν φῶς . . . . . . „ 9 -
„ 76 -
Πῶς φωτίζει . . . . . . . . . „ 9 -
Διατί οὐ πάντες φωτίζονται ὑπὸ τοῦ φωτὸς αὐτοῦ. . . „ 10 α.
Πῶς καὶ ἦν ἐν τῷ Κόσμῳ, καὶ ἦλθε . . . . . . . . . „ — β.
Πάντες οἱ εἰς αὐτὸν πιστεύσαντες τῆς υἱοθεσίας ἠξιώθησαν . . . . . . . . . . . „ 11 -
Αὐτὸς μόνος ἐδωρήσατο τῆς υἱοθεσίας τὸ χάρισμα . . „ — -
Ἐν μιᾷ τῇ ὑποστάσει δύο ἔχει ἀναλλοιώτους τὰς φύσεις . . . . . . . . . . . „ 13 -
Κατὰ τί πλήρης χάριτος καὶ ἀληθείας . . . . . . . . . „ 14 α.
Οὐδεὶς ἐποίησε θαύματα, ὅσα αὐτός . . . . . . . . . . . „ 15 -
Τίνα χαρίσματα ἔλαβον ἐξ αὐτοῦ οἱ ἄνθρωποι . . . . „ 16 -
Ἡ ἐκ νεκρῶν ἀνάστασις αὐτοῦ πληροφορία ἐστὶ τῆς ἑαυτοῦ Θεότητος. . . . . . „ 20 -
Πολυτρόπως ἀπέδειξεν, ὅτι ἀνέστη ἐκ νεκρῶν . . . . . . „ — -
Διατί τὴν νύκτα ἀνέστη, καὶ ὀψίας οὔσης ἦλθε πρὸς τοὺς μαθητὰς αὐτοῦ; . . . . . „ — β.
Διατί εἰσῆλθε τῶν θυρῶν κεκλεισμένων. . . . . . . . . „ 21 α.
„ 25 β.
Καὶ πῶς δι' αὐτῶν διῆλθε, σωματοφόρος ὤν; . . . . . „ 21 α.
Διατί ἔστη εἰς τὸ μέσον καὶ εἶπεν, Εἰρήνη ὑμῖν;. . „ — β.
Διατί ἔδειξε τὰς χεῖρας καὶ τὴν πλευράν; . . . . . . . Α΄. 21 β.
Διατί καὶ πρὸ τοῦ πάθους καὶ μετὰ τὴν ἀνάστασιν αὐτοῦ δὶς εἶπεν, Εἰρήνη ὑμῖν; . . . . . . . . . . . „ 22 α.
Διατί πρῶτον ἐνεφύσησεν, ἔπειτα ἔδωκε τὴν χάριν; . „ 23 β.
Ἕτοιμος ἦν πάντα ὑπομεῖναι καὶ διὰ τὴν ἑνὸς μόνου σωτηρίαν . . . . . . . . . . . „ 26 α.
Τίνι λόγῳ ἐν τῷ ἀφθάρτῳ αὐτοῦ σώματι ἐφαίνοντο οἱ τύποι τῶν ἥλων καὶ τῆς λόγχης; . . . . . . . . . . „ 27 β.
Οἰκονομικῶς μετὰ πολλῆς ἀσφαλείας ἐτάφη τὸ σῶμα αὐτοῦ . . . . . . . . . . . „ 34 α.β.
Ἥλιος ὑπὸ τῶν Γραφῶν ὠνομάσθη. . . . . . . . . . . „ 36 β.
Ἐξεμάνησαν κατ' αὐτοῦ οἱ Ἰουδαῖοι. . . . . . . . . . . . „ 40 α.
Διατί ἤρχετο εἰς τὰς ἑορτάς . „ 44 β.
Διατί ἠρώτησε τὸν Παράλυτον ἐὰν θέλῃ ὑγιὴς γενέσθαι. „ 47 α.
Καὶ διατί τῷ Σαββάτῳ ἐθεράπευσεν αὐτόν, ὁμοίως καὶ πολλοὺς ἀῤῥώστους . . . . „ 48 -
„ 79 β.
Καὶ διατί μετὰ τὴν τούτου θεραπείαν ἐξένευσε. . . . „ 49 -
Διατί ἦλθεν εἰς τὴν Σαμάρειαν . . . . . . . . . . . „ 56 α.
Ὁ ἐκ τῆς ὁδοιπορίας αὐτοῦ κόπος τί διδάσκει. . . . . „ — α.β.
Διατί ἠγόραζε τροφάς. . . . „ 57 α.
Κἂν τῇ Σαμαρείτιδι ἐλάλησεν, ὅμως τὸν νόμον οὐ παρέβη. „ 58 -
Καὶ διατί μετ' αὐτῆς ἐλάλησεν ἀλληγορικῶς. . . . . . „ — β.
Οἱ εἰς αὐτὸν πιστεύοντες πανταχοῦ προσκυνοῦσι . . . . „ 61 -
Οὐκ εἶχε συνήθειαν λαλεῖν μετὰ γυναικὸς κατὰ μόνας. „ 64 -
Αὐτῷ τε καὶ τῷ Πατρὶ αὐτοῦ ἓν θέλημά ἐστι. . . . . . „ 66 α.
Ποῦ ἐστήριζε τὴν διδασκαλίαν αὐτοῦ; . . . . . . . . . . „ 68 -
Καὶ τὴν φαρισαϊκὴν καὶ τὴν

Ἰουδαϊκὴν πλάνην κατήργησε . . . . . . . . . . . . . Α'. 75 β.
Ὁποῖά εἰσι τὰ μετὰ τὸν θάνατον καὶ τὴν ἀνάστασιν ἔργα αὐτοῦ . . . . . . . . „ 76 β.
Διατί διὰ πηλοῦ ἔχρισε τὸν τυφλὸν, καὶ ἀπέστειλεν αὐτὸν εἰς τὴν κολυμβήθραν. „ 77 α.β.
Παραμυθεῖ ἡμᾶς, ὅταν δι' ἀγάπην αὐτοῦ πάσχωμεν . „ 86 α.
Διατί ἀπεκρίθη τῷ τυφλῷ πλαγίως . . . . . . . . . . „ — β.
Ἡ προσευχὴ αὐτοῦ θεολογίας πλήρης καὶ κανὼν προσευχῆς . . . . . . . . . . „ 92 -
Διατί προσευχόμενος, ὕψωσεν εἰς τὸν οὐρανὸν τὰ ὄμματα, καὶ ἔκλινεν εἰς τὴν γῆν τὰ γόνατα. . . . . . . . . „ 93 α.
Διατί ἐζήτησεν, ἵνα δοξασθῇ ἐν τῇ ὥρᾳ τοῦ πάθους αὐτοῦ . . . . . . . . . . . . „ — -
Τί τὸ σβέσαν τοῦ πάθους καὶ τοῦ σταυροῦ αὐτοῦ τὸ σκάνδαλον . . . . . . . . . „ — β.
Πότε ἐλάλησε μετωνυμικῶς . „ 95 α.
Ποῖα τὰ ἔργα, ὑπὲρ ὧν ἐστάλη. „ — β.
Ποίαν δόξαν ἐζήτησε καὶ ἔλαβε παρὰ τοῦ Πατρὸς αὐτοῦ. „ 96 α.β.
Τίνι λόγῳ ἐφανέρωσε τὸ ὄνομα τοῦ Θεοῦ τοῖς ἀνθρώποις . . . . . . . . . . . . „ 97 - -
Πότε ἐπῄνεσε τοὺς ἰδίους μαθητάς . . . . . . . . . . . „ 98 α.
Καὶ ἐδεήθη ἰδικῶς περὶ αὐτῶν. „ — β.
Καὶ εἰσηκούσθη . . . . . . . „ 100 -
Τίνα τὰ δεικνύοντα αὐτὸν ὁμοούσιον τῷ Πατρί . . . . „ 99 -
Πῶς ἐδοξάσθη ἐν τοῖς μαθηταῖς αὐτοῦ. . . . . . . . . „ 100 α.
Καὶ διὰ λόγου καὶ δι' ἔργου ἐδίδαξε τὴν προσευχὴν . . „ 104 -
Ὁποία ἡ σάρξ αὐτοῦ πρὸ καὶ μετὰ τὸ πάθος . . . . . . „ 110 β.
Τὰ περὶ τοῦ γένους καὶ τῆς πατρίδος αὐτοῦ προφητευθέντα τίνα . . . . . . . . „ 111 -
Οἱ ἀποσταλέντες δῆσαι αὐτὸν ἐδέθησαν . . . . . . . . . . „ 113 α.
Διατί ἡ διδασκαλία αὐτοῦ τοὺς Ἀρχιερεῖς καὶ Γραμματεῖς οὐκ ὠφέλησε, τοὺς δὲ δούλους αὐτῶν ἐφώτισε; . . . . Α'. 113 α.
Πῶς ἀκολουθοῦμεν αὐτῷ . . „ 125 β.
Διατί εἶπεν ἑαυτὸν υἱὸν ἀνθρώπου . . . . . . . . . . . „ 127 α.
„ 186 β.
Συνημμένα ἔδειξε τῆς φιλανθρωπίας καὶ προνοίας αὐτοῦ τὰ ἔργα. . . . . . . . „ 136 α.
Διατί πρῶτον δύο ἀδελφοὺς ἐξελέξατο Ἀποστόλους; . „ 137 β.
Διατί ἐδίδασκεν ἐν ταῖς Συναγωγαῖς; . . . . . . . . . „ 140 α.
Διατί προσέταξε τὸ, Μὴ μεριμνᾶτε; . . . . . . . . „ 150 β.
Καὶ πόσα περὶ τούτου προτείνει ἐπιχειρήματα . . . . „ 151 α.β.
Διατί προβάλλει τὰ κρίνα παράδειγμα; . . . . . . . „ 152 α.
Διὰ τῶν ἐναντίων ᾠκονόμει τὴν σωτηρίαν . . . . . . . . . „ 161 β.
Καὶ ὡς ἄνθρωπος τὰ πάντα ἠπίστατο . . . . . . . . . „ 163 α.
Προεφήτευσε τὴν τῶν ἐθνῶν ἐπιστροφὴν . . . . . . . . „ — β.
Καὶ οἱ Δαίμονες ἐγνώρισαν αὐτὸν Υἱὸν Θεοῦ . . . . . „ 175 α.
Τίς τῆς παρουσίας αὐτοῦ ἡ ἐνέργεια; . . . . . . . . . „ 176 -
Διατί ἐπέτρεψε τοῖς Δαίμοσιν εἰσελθεῖν εἰς τοὺς χοίρους; . . . . . . . . . . . „ — α.β.
Ὁποίας ἀμοιβὰς ἐλάμβανεν ἀντὶ τῶν εὐεργεσιῶν αὐτοῦ. „ 182 α.
Ἐξέπνευσεν εὐεργετῶν . . . . „ — -
Ἐνδείκνυται ὁ τῆς Θεότητος αὐτοῦ χαρακτὴρ . . . . . . „ 185 β.
Ἀπέδειξε τὴν ἀόρατον αὐτοῦ ἐξουσίαν . . . . . . . . . . „ 186 -
Φύσει ἔχει τὸ κράτος . . . . „ — -
Διατί ἐζήλωσεν, ὅτε ἤκουσεν, ὅτι βλασφημεῖ; . . . . . . „ 187 α.β.
Διατί ἐκάλουν αὐτὸν Υἱὸν Δαβίδ; . . . . . . . . . . . „ 194 α.
Διατί ἐψηλάφησε τοὺς τῶν τυφλῶν ὀφθαλμούς; . . . . . „ — β.
Ἔφευγε τῶν ἀνθρώπων τοὺς

ἐπαίνους . . . . . . . . . . A΄. 195 β.
Οὐδεὶς ἐποίησε τοσαῦτα καὶ τοιαῦτα θαύματα ὅσα αὐτός . . . . . . . . . . „ 196 -
Διατί ἔκρυπτε τὰ θαύματα. „ 198 α.β.
Ἐπαρίθμησις τῶν θαυμάτων αὐτοῦ . . . . . . . . . . „ 203 α.
Τί ἐδίδαξεν, ὅτε ἀναβὰς εἰς τὸ ὄρος προσηύξατο; . . . „ 213 -
Ὁ ἐπὶ τῆς θαλάσσης περίπατος αὐτοῦ θαῦμα ἀκατάληπτον . . . . . . . . . „ 214 α.β.
Ὅπου ἂν εἰσέλθῃ, παύει τῶν παθῶν τὴν ζάλην. . . . . „ 217 α.
Προεῖπε τὰ περὶ τοῦ πάθους καὶ τῆς ἀναστάσεως αὐτοῦ. „ 227 β.
Διατί ἐλάλησε παραβολικῶς. „ 231 -
„ 260 α.
B΄. 34 -
Ποίας ἐντολὰς ἐξέθετο πρῶτον . . . . . . . . . . . A΄. 243 β.
Κατὰ τί λίθος ἐστὶν ἀκρογωνιαῖος; . . . . . . . . . „ 255 -
Πότε ἐλάλησε προφητικῶς. . „ 264 α.
Ἀρκετὰ ἐφανέρωσε πρὸς κατανόησιν τῆς κολάσεως . . „ 268 α.β.
Ἐπιτηδείως ἔπειθεν, ὅτι αὐτός ἐστι Θεός . . . . . . . „ 273 - -
Τίνες τῶν προφητικῶν ῥήσεων ἀποδεικτικαί εἰσιν ἑκατέρας τῶν φύσεων αὐτοῦ . . „ — β.
Πότε ὡς ἄνθρωπος ἐκάθισεν ἐν δεξιᾷ τῆς Μεγαλωσύνης. „ 274 α.
Ὁ θάνατος αὐτοῦ ἀπήλλαξεν ἡμᾶς ἀπὸ τῆς ἐξουσίας τῶν Δαιμόνων καὶ τοῦ θανάτου . . . . . . . . . . . . „ — -
Οὐκ ἠρνήσατο, ὅτι υἱὸς τοῦ Δαβίδ ἐστιν. . . . . . . . „ — -
Τίνας ἐπεστόμισε . . . . . . „ — β.
Διατί προετίμησε τοὺς Ἰσραηλίτας τῶν Ἐθνικῶν; . . . „ 290 α.
Τὰ ἔργα ἡμῶν μετ' αὐτοῦ καρποφόρα, χωρὶς αὐτοῦ ἄκαρπα. . . . . . . . . . . . . B΄. 4 α.
Ἀπὸ τῶν ἁπλουστέρων ἐπὶ τὰ ὑψηλότερα προάγει . . „ 12 β.
Διατί ἥψατο τῆς σοροῦ τοῦ νεανίσκου; . . . . . . . . „ 23 -
Καὶ διατί παρέδωκεν αὐτόν, ἀναστάντα, τῇ μητρί αὐτοῦ . . . . . . . . . . . . B΄. 24 α.β.
Καὶ διατί εἶπε πρὸς αὐτήν, Μὴ κλαῖε; . . . . . . . . „ 26 α.
Διατί οὐκ ἐδήλωσε τίς ἐστιν ὁ σπορεὺς τοῦ λόγου; . . „ 31 β.
Ἐλάλησε περὶ τῶν μελλόντων ὡς περὶ ἐνεστώτων . . . . „ 46 -
Ἐτύπωσε τῆς ἀληθινῆς προσκυνήσεως τὸν κανόνα. . . „ 74 α.
Τοῦ μιμητοῦ αὐτοῦ καὶ τοῦ ζωγράφου σύγκρισις . . . „ 132 -
Διατί ἠρώτησε τὸν τυφλόν, τί θέλει; . . . . . . . . . . „ 139 α.β.
Ἐδίδαξε τὴν τῆς φιλοδοξίας φυγήν . . . . . . . . . . . „ 140 β.
Τίνι τρόπῳ ἐνδυόμεθα αὐτόν. „ 187 α.
Διατί οὐκ εὐθέως ἐθεράπευσε τὸν Παράλυτον; . . . . „ 215 α.β.
Τὰ πάντα ἐγίνωσκε. . . . . „ 232 - -
Ἡ περὶ τοῦ πάθους καὶ τῆς ἀναστάσεως αὐτοῦ προφητεία ἐπ' ἀκριβὲς πεπλήρωται . . . . . . . . . . . . „ 240 - -
Διατί συνῆψε τὴν ταπεινοφροσύνην μετὰ τῆς ἀγάπης; . „ 245 β.
Πόθεν ἐχαρακτήρισεν ἑαυτόν. „ 247 α.
Ἡ ταπείνωσις αὐτοῦ καρπὸς τῆς ἀγάπης . . . . . . . . „ — β.
Ἔδειξε τὸ ὑπερβάλλον τῆς ταπεινώσεως καὶ τῆς ἀγάπης . . . . . . . . . . . . „ — -
Τί βλέπεις ἐν τῇ εἰς τὴν Ἱερουσαλὴμ εἰσόδῳ αὐτοῦ. „ 250 α.β.
Πόθεν ἠκολούθησε τὸ πάθος αὐτοῦ . . . . . . . . . . „ — β.
Τρόποις διαφόροις ὑπεδέχθησαν αὐτὸν εἰς τὴν Ἱερουσαλὴμ ἐλθόντα . . . . . . „ 256 α.β.
Διατί ἐτησίως γίνεται ἡ τῶν παθῶν αὐτοῦ ἀνάμνησις . „ 257 α.
Πότε παρέδωκε τῆς Εὐχαριστίας τὸ μυστήριον . . . . „ — α.β.
Τίνι λόγῳ ὑποδεχόμεθα αὐτόν, ὡς ὁ Σίμων καὶ ἡ Μαρία . . . . . . . . . . . . „ — β.
Καὶ ὡς οἱ βαϊοφόροι, καὶ οἱ μαθηταί, καὶ οἱ παῖδες . „ 258 α.β.

| | | | |
|---|---|---|---|
| Ὅση ἡ εὐσπλαγχνία, τόση καὶ ἡ δικαιοσύνη αὐτοῦ . . | Β'. | 259 | α. |
| Εἰς τίνας ἔρχεται πραῢς καὶ σώζων, καὶ εἰς τίνας δίκαιος . . . . . . . . . . . | „ | — | - |
| Καὶ οἱ μὴ δεχόμενοι αὐτὸν, καὶ οἱ ἀναξίως δεχόμενοι, ἀναπολόγητοι εἰσίν . . . . | „ | — | α.β. |
| Οὐ μόνον τὰ λόγια, ἀλλὰ καὶ τὰ σύμβολα τὰ περὶ αὐτοῦ πολλάκις προέτεινε. | „ | 260 | β. |
| Διὰ τίνων λόγων ἐφανέρωσεν, ὅτι ἐστὶ Θεὸς καὶ ἄνθρωπος . . . . . . . . . . . | „ | 261 | α.β. |
| Ποῖον τὸ σύμβολον τῆς ἐν σταυρῷ ὑψώσεως αὐτοῦ . | „ | 262 | α. |
| Τίνι τρόπῳ οὐ κατέλυσεν, ἀλλ' ἐπλήρωσε τὸν νόμον . | „ | 279 | α. |
| Καὶ τὰ τούτου σύμβολα . . | „ | — | β. |
| Τῆς γενεαλογίας αὐτοῦ καὶ τῆς τοῦ Ἰακὼβ κλίμακος παράθεσις. . . . . . . . . | „ | 288 | α. |
| Αἱ τούτου γεννήσεις δύο. . . | „ | — | - |
| Ἡ τῶν ὀνομάτων αὐτοῦ σημασία τίς. . . . . . . . . | „ | 289 | - |
| Ἑβδομηκοστὸς ἕβδομος ἀπὸ Ἀδάμ . . . . . . . . . . . | „ | 294 | - |
| Τί σημαίνουσιν αἱ ἐν τῇ γενεαλογίᾳ αὐτοῦ τρεῖς τετραδεκάδες . . . . . . . . . | „ | — | α.β. |
| Τίνες οἱ λαμπροὶ αὐτοῦ χαρακτῆρες . . . . . . . . . . | „ | 299 | - - |
| Τίνι λόγῳ ἐστὶ σημεῖον ἀντιλεγόμενον . . . . . . . . | „ | 300 | α. |
| Πῶς ὁ αὐτὸς κεῖται εἰς πτῶσιν καὶ ἀνάστασιν πολλῶν. | „ | — | - |
| Ποῖα τὰ ἀποδεικτικὰ φῶτα τῆς Θεότητος αὐτοῦ . . . . | „ | — | β. |
| Εἰς τίνας ἡ ἔνσαρκος αὐτοῦ οἰκονομία γίνεται ἀνάστασις, καὶ εἰς τίνας πτῶσις. | „ | 301 | α. |
| Ἡ εἰς τὴν Αἴγυπτον φυγὴ αὐτοῦ τί διδάσκει . . . . | „ | 303 | α.β. |
| Ἅγιος τῶν Ἁγίων. . . . . . | „ | 308 | β. |
| Ἔδειξε τῆς ὑπακοῆς τὴν τελειότητα . . . . . . . . . . | „ | 309 | - |
| Διὰ τῆς ὑπακοῆς αὐτοῦ πάντες κατεστάθημεν δίκαιοι. | „ | 311 | - |
| Διατί φεύγει. . . . . . . . . | „ | 324 | α.β. |
| Πόθεν ἐνομίσθη Ναζαρηνός. | Β'. | 324 | β. |
| Διατί ἤρξατο καρύττειν ἐξότου ὁ Πρόδρομος αὐτοῦ παρεδόθη. . . . . . . . . . . | „ | 326 | α. |
| Ἵνα μὴ σκανδαλίσῃ, ἐθαυματούργησε. . . . . . . . . . | „ | 330 | α.β. |


## Ψ

### Ψεῦδος.


| | | | |
|---|---|---|---|
| Ἡ ἁμαρτία τῆς πτέρνης . . | Α'. | 188 | α.β. |
| Πολυειδές ἐστι καὶ πολύμορφον . . . . . . . . . . . . | „ | — | β. |
| Ποῖα τὰ τούτου εἴδη . . . . | „ | — | - |
| Ἐκτείνεται σφόδρα. . . . . . | „ | — | - |
| Βλάπτει καὶ τὸν λέγοντα αὐτὸ καὶ τὸν ἀκούοντα . . . | „ | 189 | α. |
| Τίνες αἱ ἐξ αὐτοῦ προερχόμεναι βλάβαι . . . . . . . | „ | — | - |
| Τίνες οἱ τοῦτο μετελθόντες καὶ μὴ κατακριθέντες . . | „ | 191 | α.β. |
| Ἡ ἀπ' αὐτοῦ ἀποχὴ ἔργον δυνατὸν . . . . . . . . . . | „ | 192 | α. |
| Τίς ὁ πρῶτος τούτου εὑρετής. | „ | — | β. |


### Ψεῦσται


| | | | |
|---|---|---|---|
| Τίνες ἐλογίσθησαν, κἂν μὴ ἦσαν . . . . . . . . . . . . | Α'. | 191 | α.β. |
| Μετὰ τίνων συναριθμοῦνται. | „ | 192 | β. |


### Ψεύστης.


| | | | |
|---|---|---|---|
| Μισητός ἐστι καὶ ἀποτρόπαιος . . . . . . . . . . . | Α'. | 189 | α. |
| Καὶ ἀληθεύων οὐ πιστεύεται. | „ | — | - |
| Αὐτοῦ τε καὶ τοῦ φιλαλήθους παράθεσις. . . . . . . . . | „ | 192 | α. |


### Ψευστῶν


| | | | |
|---|---|---|---|
| Κατὰ αἱ φρικταὶ τιμωρίαι τίνες. . . . . . . . . . . . | Α'. | 189 | β. |
| Διατί τὸ πάλαι αὐστηρῶς ὑπὸ Θεοῦ ἐπαιδεύθησαν . . | „ | 190 | - |


### Ψυχαί,


| | | | |
|---|---|---|---|
| Αἱ μὲν τῶν δικαίων ἐν χειρὶ Θεοῦ τίθενται, αἱ δὲ τῶν ἀδίκων ὑπὸ τῶν Δαιμόνων βιαίως ἁρπάζονται. | Β'. | 94 | β. |

### Ψυχή.

Λόγου καὶ φωτὸς καὶ ζωῆς παρεκτική . . . . . . . . . . Α'. 7 α.
Ὁποῖα τὰ ἔργα αὐτῆς . . . „ 19 α.β.
Β'. 228 β.
Τὰ τοῦ σώματος ὄργανα μετέρχεται εἰς σύστασιν τῶν συλλογισμῶν αὐτῆς. . . . „ 117 α.
Πότε παραφρονεῖ . . . . . . . „ — β.
Οἱ μηδόλως περὶ αὐτῆς φροντίζοντες βαρέως τιμωροῦνται . . . . . . . . . . . . „ 145 α.β.
Ἔχει κατὰ φύσιν τῆς ἐλπίδος τὴν δύναμιν . . . . . . „ 208 α.
Αὐτῆς τε ἐν σώματι οὔσης, καὶ τοῦ ἐπικεκαλυμμένους ἔχοντος τοὺς ὀφθαλμοὺς παρομοίωσις. . . . . . . . „ 267 α.β.
Τίς ὁ θάνατος αὐτῆς . . . „ 74 β.
Τίνες οἱ καρποὶ αὐτῆς . . . „ 94 α.β.
Μέγα ἐδείχθη τὸ ὕψος αὐτῆς ὑπὸ τοῦ Θεανθρώπου. „ 226 α.
Τίνες αἱ περὶ αὐτῆς τῶν παλαιῶν φιλοσόφων δόξαι . . Β'. 226 α.β.
Ἀθάνατος καὶ κατὰ τὴν τῶν ἀρχαίων φιλοσόφων δόξαν. „ 227 α.
Κικέρωνος καὶ Σωκράτους γνῶμαι περὶ αὐτῆς . . . . . . „ — α.β.
Τίνα περὶ αὐτῆς διδάσκει ὁ τοῦ Θεοῦ λόγος . . . . . . „ — β.
Τί ἐστί . . . . . . . . . . . „ 228 α.
Ποῦ νῦν πλάττεται . . . . . „ — -
Τίνας μὲν αὐτῇ, τίνας δὲ τῷ σώματι δυνάμεις ἔδωκεν ὁ Θεός . . . . . . . . . . . . „ — β.
Ἔλαβε τὴν ἐξουσίαν τοῦ σώματος, καὶ τὸ αὐτεξούσιον. „ 229 β.
Ποῖον τὸ κύριον ἔργον αὐτῆς. „ — -
Πόθεν δήλη ἡ εὐγένεια αὐτῆς. „ 230 -
Ὅταν δουλωθῇ ὑπὸ τοῦ σώματος, τότε ὁποῖος γίνεται ὁ ἄνθρωπος . . . . . . . . „ 231 α.

## Ω

### Ὡσαννά.

Τί σημαίνει . . . . . . . . . . Β'. 254 β.

Τέλος τοῦ Πραγματιώδους Πίνακος.

# ΚΥΡΙΑΚΟΔΡΟΜΙΟΝ

ΗΤΟΙ

ΕΡΜΗΝΕΙΑ ΚΑΙ ΜΕΤ' ΑΥΤΗΝ ΗΘΙΚΗ ΟΜΙΛΙΑ ΕΙΣ ΤΟ ΚΑΤΑ ΠΑΣΑΝ ΚΥΡΙΑΚΗΝ ΕΝ ΤΑΙΣ ΑΓΙΑΙΣ ΤΩΝ ΟΡΘΟΔΟΞΩΝ ΕΚΚΛΗΣΙΑΙΣ ΑΝΑΓΙΝΩΣΚΟΜΕΝΟΝ ΕΥΑΓΓΕΛΙΟΝ ΣΥΝΤΕΘΕΝ ΥΠΟ ΤΟΥ ΠΑΝΙΕΡΩΤΑΤΟΥ ΠΡΩΗΝ

ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΑΣΤΡΑΧΑΝΙΟΥ

ΚΑΙ ΣΤΑΥΡΟΥΠΟΛΕΩΣ

## ΝΙΚΗΦΟΡΟΥ ΤΟΥ ΘΕΟΤΟΚΗ

Τυπωθὲν πρῶτον ἐν Μόσχᾳ 1796. δαπάνῃ

ΤΗΣ ΑΔΕΛΦΟΤΗΤΟΣ ΖΩΣΙΜΑΔΩΝ

ΚΑΙ ΑΦΙΕΡΩΘΕΝ

ΤΗ͂Ι ΠΑΝΣΕΠΤΩ͂Ι ΤΕΤΡΑΚΤΥΙ

ΤΩΝ ΑΓΙΩΤΑΤΩΝ ΠΑΤΡΙΑΡΧΩΝ

Νῦν δὲ καὶ δεύτερον παρὰ τῆς αὐτῆς Ἀδελφότητος ἐκδοθὲν, τοῦ διανέμεσθαι δωρεὰν ταῖς Ἐκκλησίαις καὶ τοῖς Μοναστηρίοις τῶν ἐν τῇ Ἑλλάδι Ὀρθοδόξων Ἑλλήνων, διὰ τῆς ἀγρύπνου φιλογενείας τοῦ ἐξοχωτάτου Κυβερνήτου

ΚΟΜΗΤΟΣ Ι. Α. ΚΑΠΟΔΙΣΤΡΙΑ

ΤΟΜΟΣ Β'.

ΕΝ ΒΕΝΕΤΙᾼ

Τύποις Φραγκίσκου Ανδρεόλα.

1831.

Η ΔΗΛΩΣΙΣ ΤΩΝ ΛΟΓΩΝ ΣΟΥ ΦΩΤΙΕΙ ΚΑΙ ΣΥΝΕΤΙΕΙ ΝΗΠΙΟΥΣ.

ΨΑΛΜΩ ΡΙΗ'. ΣΤΙΧΩ 129.



# ΕΡΜΗΝΕΙΑ

ΕΙΣ ΤΟ ΚΑΤΑ

# ΛΟΥΚΑΝ

## ΕΥΑΓΓΕΛΙΟΝ ΤΗΣ ΠΡΩΤΗΣ ΚΥΡΙΑΚΗΣ.

Πολλοί, βλέποντες τὰ ἐν τῇ θαλάσσῃ ὀψάρια φεύγοντα, κἂν μικρότατος συνέβη κτύπος, πείθονται, ὅτι αὐτὰ ἔχουσιν ὀξυτάτην ἀκοήν· αὐτὰ ὅμως, ἐπειδὴ ἐστερημένα εἰσὶ τῶν ὀργάνων τῆς ἀκουστικῆς δυνάμεως, οὐδεμίαν αἴσθησιν ἀκοῆς ἔχουσιν, ἀλλ' εἰσὶ παντελῶς κωφά· πόθεν οὖν κινοῦνται καὶ φεύγουσιν, ὅταν ἀκουσθῇ κτύπος; Ὁ ὁποιοσδήποτε κτύπος οὐδὲν ἄλλο ἐστὶν, εἰμὴ κίνησις τοῦ ἀέρος, ὑπὸ τοῦ κτυποῦντος σώματος γινομένη· ὁ δὲ ἀὴρ, κινούμενος, καὶ κυματιζόμενος, συγκινεῖ καὶ συγκυματίζει τὸ ἐφαπτόμενον αὐτοῦ ὕδωρ. Τὰ ὀψάρια ἐστερημένα μὲν εἰσι τῆς ἀκοῆς, ἔχουσιν ὅμως αἰσθητικωτάτην τῆς ἀφῆς τὴν αἴσθησιν· ὅθεν τὴν κίνησιν τοῦ ὕδατος, τὴν ὑπὸ τοῦ κτύπου γινομένην, αἰσθανόμενα, μεταβαίνουσιν εὐθὺς εἰς ἄλλον τόπον. Κωφὰ ἦσαν τὰ ὀψάρια τῆς λίμνης Γεννησαρὲτ, καθὼς καὶ πάντα τὰ ἄλλα ὀψάρια· πλὴν, ὅταν, ἐλθὼν ὁ Ἰησοῦς εἰς τὴν λίμνην ἐκείνην, εἶπε τοῖς Μαθηταῖς αὐτοῦ· Χαλάσατε τὰ δίκτυα ὑμῶν εἰς ἄγραν, τότε ἤκουσαν, κἂν κωφὰ ἦσαν, τῆς δεσποτικῆς αὐτοῦ φωνῆς, καὶ ἀκούσαντα ὑπήκουσαν τὸ ἐξουσιαστικὸν αὐτοῦ πρόσταγμα· ὅθεν οὐκ

Λουκ. ε'. 4.

οὐκ ἔφυγον, ἀλλὰ ἦλθον· οὐ διεσκορπίσθησαν, ἀλλὰ συνήχθησαν, καὶ ἐκλείσθησαν εἰς τὸ δίκτυον· τοσοῦτον δὲ πλῆθος συνήχθη, ὥστε τὸ μὲν δίκτυον ἐσχίζετο, οἱ δὲ ἁλιεῖς ἐγέμισαν δύω πλοῖα. Ἡμεῖς ἔχομεν τῆς ἀκοῆς τὰ ὄργανα, ἔχομεν ὠτία, ἀκούομεν καθ' ἑκάστην ἡμέραν τὴν δεσποτικὴν τοῦ Εὐαγγελίου φωνὴν, πλὴν, μηδόλως ὑπακούοντες τοῖς θείοις αὐτοῦ προστάγμασι, γινόμεθα τῶν ἀλόγων καὶ κωφῶν ὀψαρίων ἀλογώτεροι καὶ κωφότεροι. Ἐφαπλοῦσι τὴν σήμερον οἱ ἱεροκήρυκες διὰ τῆς ἑρμηνείας τὸν εὐαγγελικὸν λόγον, καθὼς τότε οἱ Ἀπόστολοι τὰ δίκτυα διὰ τῆς ἁλιευτικῆς τέχνης· πλὴν οἱ ἄνθρωποι, ἀκούοντες τοῦ Θεοῦ τὸ πρόσταγμα, οὐχ ὑπακούουσιν, οὐδὲ συνάγονται ὑποκάτω εἰς τὸν ἐλαφρότατον τοῦ Κυρίου ζυγὸν, καθὼς τότε τὰ ὀψάρια εἰς τὰ δίκτυα, ἀλλὰ παρακούουσι καὶ φεύγουσι. Τί ἄλλο λοιπὸν μένει εἰς τοὺς ἱεροκήρυκας, εἰ μὴ ἡ σιωπή; Οὐχὶ τοῦτο, διότι περὶ τούτου ἐκήρυξεν ὁ Παῦλος τὸ οὐαί·
Α'. Κορ. θ'. 16. Οὐαὶ δέ μοι ἐστὶν, ἐὰν μὴ εὐαγγελίζωμαι. Ὁ ἁλιεὺς ἐκπληροῖ ὅλον τὸ χρέος αὐτοῦ, ὅταν καὶ ἁπλώσῃ ἐπιτήδεια, καὶ σύρῃ ὡς πρέπει τὰ δίκτυα· ὁμοίως καὶ ὁ ἱεροκήρυξ, ὅταν εὐσεβῶς διδάξῃ τῆς θείας Γραφῆς τὸν λόγον, καὶ διερμηνεύσῃ αὐτὸν θεοπρεπῶς, τότε ὅλον τὸ χρέος αὐτοῦ ἐπλήρωσεν. Ἡμεῖς οὖν σπουδάσομεν, τῇ τοῦ Θεοῦ χάριτι πᾶσαν τὴν ἐλπίδα ἀναθέμενοι, καὶ διδάξαι καὶ διερμηνεῦσαι τὸν σημερινὸν εὐαγγελικὸν λόγον· ἔργον δὲ ὑμέτερόν ἐστι καὶ ἡ εὐλαβὴς τοῦ λόγου ἀκρόασις, καὶ ἡ πρόθυμος εἰς τὸν Θεὸν ὑπακοή.

Λουκ. έ. 1, 2. **Τῷ καιρῷ ἐκείνῳ, ἑστὼς ὁ Ἰησοῦς παρὰ τὴν λίμνην Γεννησαρὲτ, εἶδε δύω πλοῖα ἑστῶτα παρὰ τὴν λίμνην· οἱ δὲ ἁλιεῖς, ἀποβάντες ἀπ' αὐτῶν, ἀπέπλυναν τὰ δίκτυα.**

Πλησίον τῆς λίμνης Γεννησαρὲτ ἐδίδασκεν ὁ Ἰησοῦς Χριστὸς τὸν λόγον τοῦ Θεοῦ· τοσοῦτον δὲ πλῆθος ἀνθρώπων συνήχθη ἐκεῖ, ὥστε ἔπιπτον ἐπάνω αὐτοῦ, σπουδάζοντες ἀκοῦσαι τὴν ἐπουράνιον αὐτοῦ διδασκαλίαν· Ἐγένετο δὲ, λέγει ἀνωτέρω ὁ θηγόρος Λουκᾶς, ἐν τῷ τὸν ὄχλον ἐπικεῖσθαι αὐτῷ τοῦ ἀκούειν τὸν λόγον τοῦ Θεοῦ, καὶ αὐτὸς ἦν ἑστὼς παρὰ τὴν λίμνην Γεννησαρέτ. Ἐν ἐκείνῃ δὲ τῇ λίμνῃ εἶδε δύω πλοῖα, τὸ μὲν τοῦ Πέτρου, τὸ δὲ τῶν υἱῶν τοῦ Ζεβεδαίου· εἶδε δὲ καὶ τοὺς ἁλιεῖς, οἵτινες, ἐξελθόντες ἀπὸ τῶν πλοιαρίων, ἔπλυναν τὰ δίκτυα αὐτῶν. Λουκ. έ. 1.

**Ἐμβὰς δὲ εἰς ἓν τῶν πλοίων, ὃ ἦν τοῦ Σίμωνος, ἠρώτησεν αὐτὸν ἀπὸ τῆς γῆς ἐπαναγαγεῖν ὀλίγον· καὶ καθίσας, ἐδίδασκεν ἐκ τοῦ πλοίου τοὺς ὄχλους.** Αὐτόθι. 3.

Τὰ πλοῖα, ὡς φαίνεται, ἦσαν πολλὰ πλησίον εἰς τὴν γῆν· ὅθεν ὁ Ἰησοῦς Χριστὸς, βλέπων, ὅτι ὁ λαὸς, ἐπιπίπτων ἐπ' αὐτὸν καὶ καταστενοχωρῶν, καὶ τὴν φωνὴν αὐτοῦ διεσκέδαζε, καὶ τὴν ἀκρόασιν τοῦ λαοῦ συνέχεεν, ἵνα μὴ παρακοπῇ τοῦ Θεοῦ τὸ ἔργον, εἰσέβη εἰς τὸ τοῦ Πέτρου πλοῖον, καὶ παρεκάλεσεν αὐτὸν, ἵνα ἀπομακρύνῃ αὐτὸ ὀλίγον ἀπὸ τῆς γῆς, ὅπως ἂν ἐκ τοῦ πλοίου ἀπαρεμποδίστως διδάσκῃ. Καθίσας οὖν ἐν τῷ πλοίῳ τοῦ Πέτρου, ἐξ αὐτοῦ ἐπέτιζε

ζει τοὺς διψῶντας λαοὺς τῆς διδασκαλίας αὐτοῦ τὰ σωτήρια νάματα.

Λουκ. ἑ. 4. Ὡς δὲ ἐπαύσατο λαλῶν, εἶ-
πε πρὸς τὸν Σίμωνα· Ἐπα-
νάγαγε εἰς τὸ βάθος, καὶ
χαλάσατε τὰ δίκτυα ὑμῶν
εἰς ἄγραν.

Ὅτε ἐτελείωσε τὸ πνευματικὸν ἔργον, τότε ἐφρόντισε καὶ περὶ τῶν ἀναγκαίων τῷ σώματι· τότε εἶπε τῷ μὲν Πέτρῳ· Ἐπανάγαγε εἰς τὸ βάθος, ἤγουν ἀπομάκρυνον ἔτι τὸ πλοῖον, καὶ φέρε αὐτὸ εἰς τὸ βαθὺ μέρος τῆς λίμνης· αὐτῷ δὲ τῷ Πέτρῳ, καὶ τοῖς σὺν αὐτῷ εἶπε· Χαλάσατε τὰ δίκτυα ὑμῶν εἰς ἄγραν, ἤγουν ἁπλώσατε τὰ δίκτυα, ἵνα ἁλιεύσητε. Τοῦτο δὲ τὸ παράδειγμα διδάσκει καὶ λέγει σοι· Μηδέποτε ἐγκαταλείψῃς τὸ ἔργον τοῦ Θεοῦ διὰ τὴν σωματικήν σου ὑπηρεσίαν, ἀλλὰ τελείωσον πρῶτον τὸ θεῖον ἔργον, ἔπειτα φρόντισον καὶ περὶ τῆς τοῦ σώματος χρείας. Πρὸς δὲ τὴν προσταγὴν τοῦ Σωτῆρος ἀποκριθεὶς ὁ Πέτρος, εἶπε τὰ ἑξῆς·

Αὐτόθι. 5. Καὶ ἀποκριθεὶς ὁ Σίμων, εἶ-
πεν αὐτῷ· Ἐπιστάτα, δι' ὅ-
λης τῆς νυκτὸς κοπιάσαντες,
οὐδὲν ἐλάβομεν· ἐπὶ δὲ τῷ
ῥήματί σου χαλάσω τὸ δί-
κτυον.

Τὸ, ἐπιστάτης, σημαίνει τὸν προεστῶτα καὶ διοικητὴν τοῦ ἔργου· ὅθεν ὁ Πέτρος, τιμῆσαι θέλων τὸν Κύριον, ὠνόμασεν αὐτὸν ἐπιστάτην· Ὦ ἐπιστάτα, λέγει, ἡμεῖς μὲν ἐκοπιάσαμεν ὅλην



τὴν νύκτα, καθ' ἣν ἐστὶν ὁ ἁρμόδιος τῆς ἁλείας καιρὸς, ἀλλ' οὐδὲ ἓν ὀψάριον ἐπιάσαμεν· ὅμως ἐπὶ τῷ ῥήματί σου, ἤγουν πιστεύων εἰς τὸν λόγον σου, πειθόμενος εἰς τὴν προσταγήν σου, ῥίπτω τὸ δίκτυον εἰς τὴν θάλασσαν. Τοσαύτην δὲ εὐλάβειαν καὶ ὑπακοὴν ἔδειξεν ὁ Πέτρος, ἐπειδὴ, κἂν οὐκ ἠκολούθει τότε τῷ Ἰησοῦ Χριστῷ, ἐγνώριζεν ὅμως αὐτὸν ἐξότου ὁ αὐτάδελφος αὐτοῦ Ἀνδρέας παρέστησεν αὐτὸν ἐνώπιον αὐτοῦ, καὶ ἤκουσε παρ' αὐτοῦ τὸ, Σὺ εἶ Σίμων ὁ υἱὸς Ἰωάν. ά.
Ἰωνᾶ· σὺ κληθήσῃ Κηφᾶς, ὃ ἑρ- 43.
μηνεύεται Πέτρος. Οὐ μόνον δὲ εἶπεν ὁ Πέτρος· Ἐπὶ δὲ τῷ ῥήματί σου χαλάσω τὸ δίκτυον, ἀλλὰ καὶ ἔρριψεν αὐτὸ μετὰ τῶν σὺν αὐτῷ ἁλιέων εἰς τὴν θάλασσαν.

Καὶ τοῦτο ποιήσαντες, συνέ- Λουκ. ἑ. 6.
κλεισαν πλῆθος ἰχθύων πο-
λύ· διεῤῥήγνυτο δὲ τὸ δίκτυον
αὐτῶν. Καὶ κατένευσαν τοῖς 7.
μετόχοις, τοῖς ἐν τῷ ἑτέρῳ
πλοίῳ, τοῦ ἐλθεῖν καὶ συλ-
λαβέσθαι αὐτοῖς· καὶ ἦλθον,
καὶ ἔπλησαν ἀμφότερα τὰ
πλοῖα, ὥστε βυθίζεσθαι αὐτά.

Ἰδὼν ὁ Πέτρος καὶ οἱ σὺν αὐτῷ ἁλιεύοντες τὸ πλῆθος τῶν ὀψαρίων, καὶ τὸ δίκτυον σχιζόμενον, διὰ νεύματος ἐκάλεσαν τοὺς μετόχους, ἤγουν τοὺς συντρόφους αὐτῶν, τοὺς υἱοὺς τοῦ Ζεβεδαίου, ἵνα, ἐλθόντες, συμβοηθήσωσιν αὐτοῖς· ἦλθον οὖν ἐκεῖνοι· τοσοῦτον δὲ ἐγέμισαν καὶ τὰ δύω πλοῖα, ἤγουν καὶ τὸ τοῦ Πέτρου, καὶ τὸ τῶν υἱῶν τοῦ Ζεβεδαίου, ὥστε ὑπὸ τοῦ βάρους ἐβυθίζοντο. Βλέπε δὲ πρῶτον τῆς ἁγίας ὑπακοῆς τὸν

καρ-

καρπὸν, εἶτα σημείωσον, ὅτι, ὅταν μὲν ἀπέχῃ ἀφ' ἡμῶν ὁ Ἰησοῦς, τότε ἄκαρποι μένουσιν οἱ κόποι ἡμῶν, κοπιάζομεν δὲ ματαίως· ὅταν δὲ ἔλθῃ ὁ Ἰησοῦς πρὸς ἡμᾶς, τότε οἱ κόποι ἡμῶν καρποφόροι γίνονται, θερίζομεν δὲ πολὺ κέρδος. Τοῦτο τὸ θαῦμα ἰδὼν ὁ Πέτρος,

Λουκ. ε. 8. Ἰδὼν δὲ Σίμων Πέτρος, προ-
σέπεσε τοῖς γόνασι τοῦ Ἰη-
σοῦ, λέγων· Ἔξελθε ἀπ' ἐ-
μοῦ, ὅτι ἀνὴρ ἁμαρτωλός εἰ-
μι, Κύριε.

Ἐὰν παραβάλῃς τοῦ Ἑκατοντάρ-
Ματ. η. 8. χου τὸν λόγον, Κύριε, οὐκ εἰμὶ ἱκανὸς, ἵνα μου ὑπὸ τὴν στέγην εἰσέλθῃς, τῷ λόγῳ τοῦ Πέτρου, Ἔξελθε ἀπ' ἐμοῦ, ὅτι ἀνὴρ ἁμαρτωλός εἰμι, Κύριε, εὑρίσκεις μεταξὺ ἐκείνου καὶ τούτου διαφορὰν μεγάλην· διότι τὸ μὲν εἰπεῖν πρὸς τὸν θέλοντα εἰσελθεῖν εἰς τὸν οἶκόν σου, Κύριε, οὐκ εἰμὶ ἄξιος, ἵνα εἰσέλθῃς εἰς τὸν οἶκόν μου, οὐκ εἰμὶ ἄξιος τοσαύτης τιμῆς, ταπείνωσιν σημαίνει ὁ λόγος σου, καὶ εὐλάβειαν πολλὴν, καὶ σέβας· τὸ δὲ εἰπεῖν πρὸς τὸν ἤδη εἰσελθόντα εἰς τὸν οἶκόν σου, Ἔξελθε ἀπ' ἐμοῦ, ὅτι ἀνὴρ ἁμαρτωλός εἰμι, Κύριε, ἔκστασιν ψυχῆς σημαίνει, καὶ δειλίαν, καὶ φόβον, ὅτι δὲ ὁ Πέτρος τότε καὶ ἐθαμβήθη, καὶ ἐφοβήθη, φανερόν ἐστιν ἐκ τῶν ἑξῆς λόγων·

Λουκ. 9. Θάμβος γὰρ περιέσχεν αὐ-
τὸν, καὶ πάντας τοὺς σὺν αὐ-
τῷ ἐπὶ τῇ ἄγρᾳ τῶν ἰχθύων,
10. ᾗ συνέλαβον· ὁμοίως δὲ καὶ
Ἰάκωβον καὶ Ἰωάννην, υἱοὺς
Ζεβεδαίου, οἳ ἦσαν κοινωνοὶ
τῷ Σίμωνι. Καὶ εἶπε πρὸς
τὸν Σίμωνα ὁ Ἰησοῦς· Μὴ
φοβοῦ· ἀπὸ τοῦ νῦν ἀνθρώ-
πους ἔσῃ ζωγρῶν.

Τὰ ἀσυνήθη πράγματα προξενοῦσι θάμβος καὶ ἔκστασιν. Αὐτοὶ, ἁλιεῖς ὄντες, οὐδέποτε εἶδον τοσοῦτον πλῆθος ἰχθύων, ἐν τῷ ἅμα συγκλεισθὲν εἰς τὸ δίκτυον· διὸ πρεπόντως ὁ Πέτρος, ὁμοίως καὶ ὁ Ἰάκωβος, καὶ ὁ Ἰωάννης, καὶ πάντες ὅσοι ἦσαν μετ' αὐτῶν, ἰδόντες τοσοῦτον πλῆθος ὀψαρίων, ἐθαύμασαν· ὁ δὲ Πέτρος οὐ μόνον ἐθαύμασεν, ἀλλὰ καὶ ἐφοβήθη, διότι, ἐὰν οὐκ ἐφοβεῖτο, οὐκ ἔλεγεν αὐτῷ ὁ Ἰησοῦς τὸ, Μὴ φοβοῦ. Ἀλλὰ διατί ἐφοβήθη; τὸ μὲν θάμβος ἔχει τόπον· εἶδε πρᾶγμα θαυμαστὸν, καὶ ἐθαμβήθη· ὁ δὲ φόβος τίνα ἔχει λόγον; Ἐφοβήθη, λέγει, ἐπειδὴ ἦν ἁμαρτωλός· Ὅτι ἀνὴρ ἁμαρτωλός εἰμι· ἀληθῶς δὲ ἡ ἁμαρτία φόβου πρόξενος. Ἀλλὰ τί ἐφοβήθη; Καὶ τί ἄλλο, εἰμὴ τὴν διὰ τὰς ἁμαρτίας τιμωρίαν; ἐγνώρισε διὰ τοῦ θαύματος τῶν ὀψαρίων τοῦ Ἰησοῦ Χριστοῦ τὴν παντοδυναμίαν, ὅθεν, βλέπων αὐτὸν ἔμπροσθεν αὐτοῦ, ἐφοβήθη τὴν τιμωρίαν· διὸ καὶ ἔσπευδεν ἐκβαλεῖν αὐτὸν ἀπὸ προσώπου αὐτοῦ· Ἔξελθε ἀπ' ἐμοῦ. Τοῦτο αὐτὸ
βλέπομεν καὶ εἰς τοὺς Γαδαρηνούς. Αὐ- Λευϊτ. ιε. 7.
τοὶ παρέβαινον τὸν νόμον, βόσκοντες χοί-
ρους πρὸς τροφὴν αὐτῶν· ὅτε οὖν ἤκου- Δευτ. ιδ. 8.
σαν, ὅτι τοὺς μὲν δαιμονιζομένους ἐθε-
ράπευσεν ὁ Ἰησοῦς Χριστὸς, τοὺς δὲ
χοίρους κατεπόντισεν ἐν τῇ θαλάσσῃ, Μάρκ. ε. 15, 17.
τότε, φοβηθέντες τὴν τιμωρίαν τῆς ἁμαρτίας, παρεκάλουν αὐτὸν, ἵνα ἀναχωρήσῃ ἀπὸ τῶν ὁρίων αὐτῶν. Τοῦτον τοῦ Πέτρου τὸν φόβον ἐθεράπευσεν ὁ Ἰησοῦς διὰ

διὰ τοῦ παντοδυνάμου αὐτοῦ λόγου· Μὴ
φοβοῦ· ἔπειτα ἀπεκάλυψεν αὐτῷ τὸν
σκοπὸν τῆς θείας προνοίας περὶ τῆς ἀ-
ποστολῆς αὐτοῦ· Ἀπὸ τοῦ νῦν ἀν-
θρώπους ἔσῃ ζωγρῶν· μὴ φοβηθῇς,
λέγει, τὴν τιμωρίαν τῆς δικαιοσύνης μου,
ἀλλὰ περίμενε τὴν εὐεργεσίαν τῆς εὐ-
σπλαγχνίας μου· ἀπὸ τοῦ νῦν καὶ εἰς
τὸ ἑξῆς ἁλιεύσεις οὐχὶ ὀψάρια ἀπὸ τῆς
θαλάσσης, ἀλλὰ ἀνθρώπους ἀπὸ τοῦ
βυθοῦ τῆς ἀπιστίας.

Λουκ. ε'. 11. **Καὶ καταγαγόντες τὰ πλοῖα ἐπὶ τὴν γῆν, ἀφέντες ἅπαντα, ἠκολούθησαν αὐτῷ.**

Τίνες ἦσαν οὗτοι, οἵτινες, ἀκούσαν-
τες τὸ, Μὴ φοβοῦ, ἀπὸ τοῦ νῦν ἀν-
θρώπους ἔσῃ ζωγρῶν, ἔσυραν τὰ
πλοῖα αὐτῶν εἰς τὴν γῆν, ἔπειτα, ἀφέν-
τες ἅπαντα, ἠκολούθησαν τῷ Ἰησοῦ Χρι-
στῷ; Οὗτοι ἦσαν ὁ Πέτρος, καὶ ὁ ἀδελ-
φὸς αὐτοῦ Ἀνδρέας, καὶ ὁ Ἰάκωβος, καὶ
ὁ Ἰωάννης, υἱοὶ τοῦ Ζεβεδαίου. Τοῦτο
δὲ φανερόν ἐστιν ἐκ τῆς διηγήσεως τῶν
Εὐαγγελιστῶν Ματθαίου καὶ Μάρκου,
οἵτινες συμφώνως διηγοῦνται, ὅτι, τού-
Ματ. δ'. τους εὑρὼν ὁ Χριστὸς παρὰ τὴν θάλασ-
19, 20. σαν τῆς Γαλιλαίας, ἐκάλεσεν αὐτοὺς,
Μάρκ. α'. εἰπών· Δεῦτε ὀπίσω μου, καὶ ποιή-
17, 18. σω ὑμᾶς ἁλιεῖς ἀνθρώπων. Οἱ δὲ
εὐθέως ἀφέντες τὰ δίκτυα, ἠκο-
λούθησαν αὐτῷ. Ἀλλὰ τρεῖς περὶ
τούτου προκύπτουσι δυσκολίαι. Πρώτη
ἡ τῆς ὀνομασίας τοῦ τόπου, διότι ὁ μὲν
Ματ. δ'. Ματθαῖος, καὶ ὁ Μάρκος λέγουσι· Πε-
18. ριπατῶν ὁ Ἰησοῦς παρὰ τὴν θά-
Μάρκ. α'. λασσαν τῆς Γαλιλαίας· ὁ δὲ Λου-
16. Λουκ. ε'. 10. κᾶς λέγει· Καὶ αὐτὸς ἦν ἑστὼς πα-
ρὰ τὴν λίμνην Γεννησαρέτ. Δευτέ-
ρα, ἡ τῆς ἐργασίας διαφορά, διότι ὁ μὲν
Ματθαῖος, καὶ ὁ Μάρκος λέγουσιν, ὅτι
εὗρεν αὐτοὺς ὁ Κύριος, βάλλοντας Ματ. δ'.
ἀμφίβληστρον εἰς τὴν θάλασσαν· 18.
ὁ δὲ Λουκᾶς λέγει· Ἀποβάντας ἀπὸ Μάρκ. α'. 16.
τῶν πλοίων, καὶ ἀποπλύνοντας τὰ δί- Λουκ. ε'.
κτυα. Τρίτη, ἡ σιωπὴ τοῦ θαύματος, 2.
διότι οὐδὲ ὁ Ματθαῖος, οὐδὲ ὁ Μάρκος
ἐδιηγήθησαν τὰ περὶ τῆς ἄγρας τοῦ πλή-
θους τῶν ὀψαρίων. Ἀλλὰ τὴν μὲν πρώ-
την δυσκολίαν εὔκολα λύεις, ἐὰν στοχα-
σθῇς, ὅτι ἡ θάλασσα τῆς Γαλιλαίας,
δι' ἧς διέρχεται ὁ Ἰορδάνης, ἐστὶν αὐτὴ
ἡ λίμνη Γεννησαρέτ, δύω ἔχουσα ὀνομα-
σίας. Εἰς δὲ τὴν δευτέραν ἀπαντᾶς, λέ-
γων· Ὅτι, ἐπειδὴ ἦσαν καὶ μισθωτοὶ
σὺν τῷ Πέτρῳ καὶ τοῖς υἱοῖς Ζεβεδαίου Μάρκ. α'.
ἁλιεύοντες, τινὲς μὲν ἐξ αὐτῶν ἔπλυνον 20.
τὰ δίκτυα, τινὲς δὲ ἔβαλλον ἀμφίβλη-
στρον, ἐλπίζοντες ἀγρεῦσαι τότε ὀψά-
ρια, κἂν ὅλην τὴν νύκτα κοπιάσαντες,
οὐδὲν ἔλαβον. Ἡ δὲ τρίτη δυσκολία ἔ-
χει γενικὴν τὴν λύσιν· διότι φανερόν ἐ-
στιν, ὅτι πολλὰ, σιωπηθέντα ὑπὸ τοῦ
Ματθαίου καὶ Μάρκου, συνεγράφησαν ὑ-
πὸ τοῦ Λουκᾶ καὶ Ἰωάννου· ἔγραψεν
ὅμως ὁ Ματθαῖος, ὁμοίως καὶ ὁ Μάρ-
κος τὴν οὐράνιον πρόσκλησιν τῶν Ἀπο-
στόλων, καὶ τὴν πρόθυμον αὐτῶν ὑπα-
κοήν. Ἀληθῶς δὲ μεγάλη ἡ προθυμία
τῆς καρδίας αὐτῶν, ὑπερβαίνουσα καὶ
αὐτὴν τὴν τοῦ προφήτου Ἐλισσαίου προ-
θυμίαν· διότι αὐτὸς, καλεσθεὶς ὑπὸ
τοῦ προφήτου Ἡλιοῦ, ἀπεκρίθη· Κατα- Γ'. Βασιλ.
φιλήσω τὸν πατέρα μου πρῶτον, ιθ'. 20.
εἶτα ἀκολουθήσω ὀπίσω σου· οἱ
δὲ θεῖοι Ἀπόστολοι, εὐθὺς ἀφέντες ἅ-
παντα, τὸ πλοῖον, τὰ δίκτυα, τοὺς συν-
τρόφους, τοὺς φίλους, τοὺς συγγενεῖς,
καὶ τὸν πατέρα αὐτῶν τὸν Ζεβεδαῖον,
ἠκολούθησαν τῷ Ἰησοῦ Χριστῷ.

# ΟΜΙΛΙΑ

ΜΕΤΑ ΤΟ ΚΑΤΑ

# ΛΟΥΚΑΝ

## ΕΥΑΓΓΕΛΙΟΝ ΤΗΣ Α΄. ΚΥΡΙΑΚΗΣ.

Δύω προστάγματα τοῦ Θεοῦ ἀκούει ὁ Πέτρος, καὶ οἱ σὺν αὐτῷ μαθηταὶ τοῦ
Λουκ. έ. 4. Ἰησοῦ Χριστοῦ· Χαλάσατε τὰ δίκτυα ὑμῶν εἰς ἄγραν· τοῦτό ἐστι τὸ
Αὐτόθι. 10. πρῶτον· Μὴ φοβοῦ, ἀπὸ τοῦ νῦν ἀνθρώπους ἔσῃ ζωγρῶν, ἢ, ὡς λέγου-
Ματ. δ'. 19. σιν ὁ Ματθαῖος καὶ ὁ Μάρκος, Δεῦτε
Μάρκ. ά. 17. ὀπίσω μου, καὶ ποιήσω ὑμᾶς ἁλιεῖς ἀνθρώπων· τοῦτό ἐστι τὸ δεύτερον. Οἱ μαθηταὶ, προθύμως μὲν ὑπακούσαντες εἰς τὸ πρῶτον, εὐτύχησαν, πιάσαντες πλῆθος ἀναρίθμητον ὀψαρίων· ὑπακούσαντες δὲ εὐθὺς καὶ εἰς τὸ δεύτερον, σύνθρονοι γεγόνασι τοῦ Ἰησοῦ Χριστοῦ· τοῦτο ἀρκετὰ ἀποδεικνύει, ὅτι ὅσοι ὑποτάσσονται εἰς τὰ θεῖα προστάγματα, οὐ μόνον κληρονομοῦσι τὴν αἰώνιον βασιλείαν, ἀλλὰ καὶ εὐτυχεῖς γίνονται εἰς ταύτην τὴν πρόσκαιρον ζωήν. Ἐπειδὴ ὅμως τινὲς, στοχαζόμενοι, ὅτι τὸ ἀνθρώπινον γένος, διὰ τὴν ἁμαρτίαν τοῦ προπάτορος, ἐξωρίσθη εἰς τὴν γῆν ταύτην, ἵνα ἐν αὐτῇ διαπαντὸς πάσχῃ καὶ τιμωρῆται, νομίζουσιν, ὅτι πάντες οἱ νόμοι καὶ τὰ προστάγματα τοῦ Θεοῦ οὐδόλως ἐπιβλέπουσιν εἰς τὴν ἐν τῷ κόσμῳ τούτῳ εἰρηνικὴν καὶ εὐτυχῆ τοῦ ἀνθρώπου κατάστασιν, ἀλλ᾽ εἰς μόνην καὶ μόνην ἀφορῶσι τὴν ψυχικὴν ἡμῶν σωτηρίαν· διὰ τοῦτο ὠφέλιμόν ἐστιν, ἵνα λαλήσωμεν σήμερον κατὰ τῆς πεπλανημένης ταύτης ὑπολήψεως, καὶ δείξωμεν, ὅτι αὐτὴ ἐναντιοῦται οὐ μόνον εἰς τὴν διδασκαλίαν τῶν θείων Γραφῶν, καὶ εἰς τὰ ἱστορούμενα καὶ βλεπόμενα παραδείγματα, ἀλλὰ καὶ εἰς αὐτὸν τὸν ὀρθὸν λόγον.

Ἀναρίθμητά εἰσι τὰ ῥητὰ τῶν θείων Γραφῶν, τὰ ἐπαγγελλόμενα εἰς τοὺς ἐργάτας τῶν θείων ἐντολῶν ἀμοιβὰς ἐπουρανίους, ἅμα δὲ καὶ ἐπιγείους· ἵνα δὲ μὴ περιβαρύνω ὑμᾶς, καὶ πέραν λόγου τὸν λόγον παρεκτείνω, σιωπῶ τὰ περὶ τῆς γῆς τῆς ἐπαγγελίας, καὶ ὅσα διαλαμβάνουσι διὰ τὸν ὑετὸν τὸν πρώϊμον καὶ ὄψιμον, καὶ τὴν καρποφορίαν τῆς γῆς, καὶ ὅσα δηλοῦσι τὸν πληθυσμὸν τοῦ γένους, καὶ τὰς κατὰ τῶν ἐχθρῶν νίκας, καὶ ὅσα περιέχονται εἰς τὰς εὐλογίας τοῦ Ἰακὼβ καὶ τοῦ Μωϋσέως, καὶ εἰς τὰ βιβλία τῶν ἁγίων Προφητῶν, δύω δὲ προβάλλω ἐκ τῆς παλαιᾶς, ὁμοίως δύω ἐκ τῆς νέας Διαθήκης, ἱκανὰ πρὸς πληροφορίαν παντὸς ἀνθρώπου, ὑγιεῖς ἔχοντος τὰς φρένας. Τὸ μὲν πρῶτον τούτων ἀνήγγειλεν ὡς ἐκ στόματος Θεοῦ ὁ μεγαλοφωνότατος προφήτης Ἡσαΐας, ὅτε ἀπεστάλη, ἵνα κηρύξῃ τὴν θείαν ἀπόφασιν· Ἐὰν θέλη- Ἡσ. ά.
τε, εἶπε, καὶ εἰσακούσητέ μου, τὰ 19, 20.
ἀγαθὰ τῆς γῆς φάγεσθε. Ἐὰν δὲ μὴ θέλητε, μηδὲ εἰσακούσητέ μου, μάχαιρα ὑμᾶς κατέδεται· τὸ γὰρ στόμα Κυρίου ἐλάλησε ταῦτα. Τὸ δὲ δεύτερον ἐκήρυξεν ὁ ἅγιος προφήτης καὶ Βασιλεὺς Δαβίδ· αὐτὸς

τός, λαλῶν περὶ τῶν ἀνταποδόσεων, τῶν
διδομένων τῷ δικαίῳ ἀνθρώπῳ, τελειοῖ
τὸν λόγον, δηλοποιῶν πρῶτον τὴν ἐπί-
Ψαλ. ϟ'. γειον ἀμοιβήν· Μακρότητα ἡμερῶν
16. λέγει, ἐμπλήσω αὐτόν· εἶτα καὶ τὴν
ἐπουράνιον· Καὶ δείξω αὐτῷ τὸ σω-
τήριόν μου.

Ὁ Ἰησοῦς Χριστὸς, ὅστις ἦλθεν
εἰς τὸν κόσμον, οὐχ ἵνα καταλύσῃ, ἀλ-
Ματ. ε'. 17. λ' ἵνα πληρώσῃ τὸν νόμον, τουτέστιν,
ἵνα διδάξῃ τῆς τελειότητος τὰ μαθήμα-
τα, τὰ μὴ ἐν τῷ νόμῳ περιεχόμενα·
Εβρ. ζ'. 19. Οὐδὲν γὰρ ἐτελείωσεν ὁ νόμος,
διὰ τὴν ἀσθένειαν τῶν τότε δεξαμένων
αὐτόν· ὑπεσχέθη φανερὰ εἰς ὅσους διὰ
τῆς δικαιοσύνης καὶ ἀρετῆς ζητοῦσι τὴν
κληρονομίαν τῆς βασιλείας τοῦ Θεοῦ,
Ματ. ς'. 33. καὶ πάντα τὰ ἀγαθὰ τῆς γῆς· Ζητεῖ-
τε, εἶπε, πρῶτον τὴν βασιλείαν
τοῦ Θεοῦ καὶ τὴν δικαιοσύνην αὐ-
τοῦ, καὶ ταῦτα πάντα προστεθή-
σεται ὑμῖν. Λαλῶν δὲ περὶ ἐκείνων,
οἵ τινες, διὰ τὴν ἀγάπην αὐτοῦ, καταλιμ-
πάνουσιν ὑπάρχοντα καὶ συγγενεῖς, ἐκή-
ρυξε, καὶ ἀποφασιστικῶς ἐβεβαίωσεν, ὅτι
οἱ τοιοῦτοι καὶ εἰς τοῦτον τὸν κόσμον
Μάρκ. ί. λαμβάνουσι τὰς ἀμοιβάς· Ἀμὴν, λέ-
29, 30. γω ὑμῖν· Οὐδείς ἐστιν ὃς ἀφῆκεν
οἰκίαν, ἢ ἀδελφοὺς, ἢ ἀδελφὰς, ἢ
πατέρα, ἢ μητέρα, ἢ γυναῖκα, ἢ
τέκνα, ἢ ἀγροὺς, ἕνεκεν ἐμοῦ καὶ
τοῦ Εὐαγγελίου, ἐὰν μὴ λάβῃ ἑκα-
τονταπλασίονα νῦν ἐν τῷ καιρῷ
τούτῳ, οἰκίας, καὶ ἀδελφοὺς, καὶ
μητέρας, καὶ τέκνα, καὶ ἀγροὺς,
μετὰ διωγμῶν, καὶ ἐν τῷ ἐρχομέ-
νῳ ζωὴν αἰώνιον. Ὅστις πιστεύει
τῷ Θεῷ, καὶ πεπεισμένος ἐστὶν, ὅτι τὰ
λόγια τῶν θείων Γραφῶν εἰσὶ λόγια
Θεοῦ, ἐκεῖνος, ταῦτα ἀκούων, οὐδεμίαν
ἀμφιβολίαν ἔχει, ὅτι, διὰ τὴν ὑπακοὴν
εἰς τὰ θεῖα προστάγματα, διπλῆν λαμ-
βάνομεν τὴν μισθαποδοσίαν, ἐπίγειον
καὶ οὐράνιον, πρόσκαιρον καὶ αἰώνιον.
Ἐπειδὴ δὲ τὰ παραδείγματα αὐξάνουσι
τὴν περὶ τῆς ἀληθείας ταύτης πληροφο-
ρίαν, οὐδὲ ταῦτα ἐγκαταλείψομεν.

Προστάσσει ὁ Θεὸς τὸν Ἀβραὰμ,
λέγων· Ἔξελθε ἐκ τῆς γῆς σου, Γεν. ιβ'. 1.
καὶ ἐκ τῆς συγγενείας σου, καὶ
ἐκ τοῦ οἴκου τοῦ πατρός σου· καὶ
δεῦρο εἰς γῆν, ἣν ἄν σοι δείξω.
Ὁ Ἀβραὰμ, πιστεύσας, ὑπήκουσεν εἰς
τὸν Θεόν· ὁ δὲ Θεὸς ἔδωκεν εἰς αὐτὸν
πλοῦτον πολύν· Ἄβραμ δὲ ἦν πλού- Αὐτ. ιγ'. 2.
σιος σφόδρα, κτήνεσι, καὶ ἀργυ-
ρίῳ, καὶ χρυσίῳ· τοῦτό ἐστιν ἀγα-
θὸν ἐπίγειον. Ἔδωκεν αὐτῷ νίκην κα-
τὰ τῶν ἐχθρῶν μεγάλην καὶ θαυ-
μασίαν· Ἐπάταξε τέσσαρας Βασι- Αὐτ. ιδ'. 15, 16.
λεῖς, καὶ κατεδίωξεν αὐτοὺς ἕως
Χοβὰ, ἥ ἐστιν ἐν ἀριστερᾷ Δα-
μασκοῦ. Καὶ ἀπέστρεψε πᾶσαν
τὴν ἵππον Σοδόμων· καὶ Λὼτ τὸν
ἀδελφιδοῦν αὐτοῦ ἀπέστρεψε, καὶ
πάντα τὰ ὑπάρχοντα αὐτοῦ, καὶ
τὰς γυναῖκας, καὶ τὸν λαόν· τοῦ-
τό ἐστιν ἀγαθὸν ἐπίγειον. Ἔδωκεν αὐτῷ
υἱὸν ἐκ τῆς Σάρρας τῆς στείρας γυναι-
κὸς αὐτοῦ, καὶ ἐπλήθυνε τὸ σπέρμα
αὐτοῦ ὡς τοὺς ἀστέρας τοῦ οὐρανοῦ·
Ἰδοὺ Σάρρα ἡ γυνή σου τέξεταί Αὐτ. ιζ'. 19.
σοι υἱὸν, καὶ καλέσεις τὸ ὄνομα
αὐτοῦ Ἰσαάκ. Ἀρίθμησον τοὺς Αὐτ. ιέ. 5.
ἀστέρας, εἰ δυνήσῃ ἐξαριθμῆσαι
αὐτούς· καὶ εἶπεν, Οὕτως ἔσται
τὸ σπέρμα σου· ταῦτά εἰσιν ἀγαθὰ
ἐπίγεια. Βλέπε τὸν Ἰακὼβ· αὐτὸς ἀνα-
χωρεῖ ἀπὸ τῆς πατρικῆς οἰκίας, μηδὲν
ἕτερον ἔχων, εἰμὴ τὴν ῥάβδον αὐτοῦ,
ἀλλ' ἀνεγείρει στήλην, καὶ προσεύχεται, Αὐτ. κη'. 18.
καὶ ὑπόσχεται τῷ Θεῷ τὸ δέκατον πάν-
των τῶν μελλόντων κτημάτων αὐτοῦ.
Ὁ δὲ Θεὸς ἔδωκεν αὐτῷ βόας, καὶ ὄ-
νους, καὶ πρόβατα, καὶ παῖδας, καὶ
παιδίσκας· Ἱκανούσθω μοι, ἔλεγεν, Αὐτ. λβ'. 10.
ὅτι

ὅτε εὐχαρίστει τῷ Θεῷ, ἀπὸ πάσης δικαιοσύνης, καὶ ἀπὸ πάσης ἀληθείας, ἧς ἐποίησας τῷ παιδί σου· ἐν γὰρ τῇ ῥάβδῳ μου ταύτῃ διέβην τὸν Ἰορδάνην τοῦτον· νυνὶ δὲ γέγονα εἰς δύο παρεμβολάς· τίς δὲ ἀμφιβάλλει, ὅτι ταῦτα πάντα εἰσὶν ἀγαθὰ ἐπίγεια; Βλέπε τὸν Δαβὶδ, τὸν
Α΄. Βασιλ. ιγ΄. 14. ἄνδρα κατὰ τὴν καρδίαν τοῦ Θεοῦ.
Πράξ. ιγ΄. 22. Αὐτὸν ἐξελέξατο ὁ Θεὸς, αὐτὸν ἀνέλαβεν ἐκ τῶν ποιμνίων τῶν προ-
Ψαλ. οζ΄. 75. βάτων, ἐξόπισθεν τῶν λοχευομένων ἔλαβεν αὐτὸν, καὶ ἔστεψε τῷ βασιλικῷ διαδήματι, καὶ ὕψωσεν εἰς τὸν θρόνον τῆς βασιλείας τοῦ Ἰσραήλ· τοῦτο δὲ τί ἄλλο ἐστὶν, εἰμὴ ἀγαθὸν ἐπίγειον; Περὶ δὲ τοῦ, ὅτι καὶ ὁ Ἀβραὰμ, καὶ ὁ Ἰακὼβ, καὶ ὁ Δαβὶδ κληρονόμοι εἰσὶ τῆς ἐπουρανίου βασιλείας, ἀμφιβάλλει οὐδείς.

Μετὰ τὰ λόγια τῶν θείων Γραφῶν, καὶ τὰ ἀληθῆ παραδείγματα, ἀναγκάζει ἡμᾶς καὶ ὁ λόγος πιστεῦσαι, ὅτι ἀληθές ἐστι τὸ προκείμενον· διότι, ἐὰν ὁ Θεὸς οὐ χαρίζῃ τὰ ἀγαθὰ τῆς γῆς εἰς τοὺς φίλους αὐτοῦ, τοὺς φυλάσσοντας τὰς ἐντολὰς, καὶ ποιοῦντας τὸ θέλημα αὐτοῦ, εἰς τίνας χαρίζει αὐτά; εἰς τοὺς ἐχθροὺς αὐτοῦ; εἰς τοὺς παραβάτας τῶν νόμων καὶ περιφρονητὰς τοῦ θείου αὐτοῦ θελήματος; Οὐχί· τοῦτό ἐστιν ἀδύνατον, ἐπειδή ἐστιν ἄδικον. Ἐὰν δὲ μηδὲ οἱ φίλοι, μηδὲ οἱ ἐχθροὶ ἀπολαμβάνωσι τῶν ἐπιγείων ἀγαθῶν, εἰς μάτην λοιπὸν ὁ Θεὸς ἐδημιούργησε τόσα ἄνθη, τόσους καρποὺς, τόσα ζῶα, τόσον χρυσίον καὶ ἀργύριον, τόσους πολυτίμους λίθους, τόσα πολυποίκιλα καὶ ἀμέτρητα κτίσματα· εἰς μάτην ἔδωκε τῷ ἀνθρώπῳ τόσην σοφίαν εἰς τὸν νοῦν, καὶ τόσας τέχνας εἰς τὰς χεῖρας, πρὸς κατασκευὴν τοσούτων ἀναριθμήτων πραγμάτων, πᾶσαν ἄνεσιν, καὶ ἀσφάλειαν προξενούντων καὶ τέρψιν· ἀλλὰ τίς ποτε πεισθήσεται, ὅτι ὁ Θεὸς, πάνσοφος ὢν καὶ προνοητικώτατος, ἐδημιούργησε πράγματα ἄχρηστα, καὶ ἐποίησε τοσαῦτα καὶ τοιαῦτα κτίσματα εἰς μάτην;

Ἀληθῶς ἡ ἁμαρτία τοῦ προπάτορος κατέστησεν ἡμᾶς φθαρτοὺς, καὶ ἐξώρισεν ἐκ τοῦ παραδείσου. Ἀληθῶς, διὰ τὴν ἁμαρτίαν τοῦ προπάτορος, κατηράσατο ὁ Θεὸς τὴν γῆν, καὶ εἶπεν,
Ἐπικατάρατος ἡ γῆ ἐν τοῖς ἔρ- Γεν. γ΄.
γοις σου· εἶπεν, Ἐν λύπαις φαγῇ 17, 18.
αὐτὴν πάσας τὰς ἡμέρας τῆς ζωῆς σου· εἶπεν, Ἀκάνθας καὶ τριβόλους ἀνατελεῖ σοι· ναὶ, ἀληθῶς· ἀλλὰ διατί ταῦτα; φανερὸν, ὅτι διὰ τὴν ἁμαρτίαν. Ἐὰν οὖν λείψῃ ἡ ἁμαρτία, καὶ ἀντ' αὐτῆς ἔλθῃ ἡ ἀρετὴ, ἆρά γε πάλιν καὶ μετὰ τὴν ἀρετὴν ἡ γῆ ἐπικατάρατος, καὶ λῦπαι, καὶ ἄκανθαι, καὶ τρίβολοι; Οὐχί· ἡ ἀρετὴ ἀναβιβάζει τὸν ἄνθρωπον εἰς τὴν κατάστασιν τοῦ προπάτορος, τὴν πρὸ τῆς ἁμαρτίας· ἐκείνη δὲ ἡ κατάστασις ἐστὶν ἡ κατάστασις τῆς εὐλογίας, τῆς χαρᾶς, καὶ τῆς ἀνέσεως· εἰς αὐτὴν τὴν κατάστασιν εὑρίσκετο ὁ Δαβὶδ, ὅταν ἐποίει τοῦ Θεοῦ τὸ θέλημα· ὅταν δὲ ἔπραξε τὴν ἁμαρτίαν, τότε ᾐσθάνθη τὴν κατάραν τῆς γῆς, καὶ τὰς λύπας, καὶ τὰς ἀκάνθας, καὶ τοὺς τριβόλους αὐτῆς, διὰ τοῦ-
το, μετὰ δακρύων δεόμενος, ἔλεγεν· Ἀ- Ψαλ. ν΄.
πόδοςμοι τὴν ἀγαλλίασιν τοῦ 13.
σωτηρίου σου, καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με. Αὐτὸ τὸ ἡγεμονικὸν πνεῦμα, τὸ ὁποῖον εἶχεν ὁ ἄνθρωπος πρὸ τῆς ἁμαρτίας, ἔρχεται πάλιν εἰς τὴν καρδίαν αὐτοῦ μετὰ τὴν ἀρετήν· αὐτὸ δὲ ποιεῖ αὐτὸν ἀνώτερον πάντων τῶν ἐν τῇ γῇ πραγμάτων, αὐτὸ πείθει αὐτὸν, ἵνα νομίζῃ πάντα τὰ ἐν
τῇ γῇ σκύβαλα· Καὶ ἡγοῦμαι πάν- Φιλιπ. γ΄. 8.

τα σκύβαλα εἶναι, ἔλεγεν ὁ τοῦ Θεοῦ ἄνθρωπος, ἵνα Χριστὸν κερδίσω· αὐτὸ τὸ πνεῦμα τὸ ἡγεμονικὸν τοσοῦτον στηρίζει, ὥστε καὶ ἡ κατάρα τῆς γῆς, καὶ αἱ λῦπαι, καὶ αἱ ἄκανθαι, καὶ οἱ τρίβολοι αὐτῆς χαρὰν προξενοῦσι· Νῦν, ἔλεγεν ὁ αὐτὸς τοῦ Θεοῦ
Κολ. α΄. 24. ἄνθρωπος, ὁ Παῦλος, Νῦν, ὅτε ἔφθασα εἰς τῆς ἀρετῆς τὴν τελειότητα, χαίρω ἐν τοῖς παθήμασί μου.

Ἐπειδὴ λοιπὸν οὕτως ἔχουσι τὰ πράγματα, φανερόν ἐστιν, ὅτι ὅστις θέλει τοῦ κόσμου τούτου τὰ ἀγαθὰ, ἐκεῖνος πρέπον ἐστὶν, ἵνα περιπατῇ τῆς ἀρετῆς τὸν δρόμον. Ἡμεῖς δὲ οἱ ἄθλιοι πιστεύομεν καὶ πειθόμεθα, ὅτι, τρέχοντες τοὺς κρημνοὺς τῆς ἀπωλείας, εὑρίσκομεν ἐκεῖ τὴν ἀπόλαυσιν τῶν ἀγαθῶν τῆς παρούσης ζωῆς. Ὁ πανάγαθος Θεὸς ἔδωκεν εἰς τοὺς ἀνθρώπους τὸν νόμον αὐτοῦ, ὁδηγὸν πρὸς τὴν εὐτυχῆ αὐτῶν κατάστασιν, διαμερίσας αὐτὸν εἰς δέκα ἐντολάς· Λάτρευε, λέγει, καὶ ἀγάπα μόνον τὸν ἀληθινὸν Θεὸν, μηδέποτε δὲ προσκυνήσῃς, μηδὲ λατρεύσῃς τῇ κτίσει· ἡμεῖς ἀμνημονοῦμεν τοῦ Θεοῦ, καὶ ἀφιεροῦμεν τὴν καρδίαν ἡμῶν εἰς τὰ κτίσματα, ἤγουν εἰς τοὺς ἀγροὺς, εἰς τοὺς ἀμπελῶνας, εἰς τοὺς κήπους, εἰς τὰ κειμήλια· ἡμεῖς προσκυνοῦμεν ὡς Θεὸν τὸ χρυσίον καὶ τὸ ἀργύριον. Μὴ ὀμνύῃς, λέγει ὁ Θεὸς, τὸ ὄνομά μου· ἡμεῖς σχεδὸν, κατὰ πᾶσαν ὥραν, καὶ διὰ πράγματα εὐτελέστατα, ποιοῦμεν ὅρκους, καὶ φυλαττομένους καὶ ἀθετουμένους, καὶ ἀληθεῖς καὶ ψευδεῖς. Φύλαττε τὴν ἑορτὴν, λέγει ὁ Θεός· ἡμεῖς δὲ, ἐν ταῖς ἡμέραις τῶν ἑορτῶν, οὐ μόνον οὐκ ἐρχόμεθα εἰς τὴν Ἐκκλησίαν, ἵνα ἀκούσωμεν τὸν λόγον τοῦ Θεοῦ, καὶ ζητήσωμεν τὴν συγχώρησιν τῶν ἁμαρτιῶν ἡμῶν, καὶ δοξολογήσωμεν αὐτὸν διὰ τὰς ἀμέτρους αὐτοῦ εὐεργεσίας, οὐ μόνον καὶ πωλοῦμεν, καὶ ἀγοράζομεν καὶ ἐργοχειροῦμεν ἐν ταῖς ἡμέραις τῶν ἑορτῶν, ἀλλὰ περιμένομεν τὰς ἑορτὰς, ἵνα, λύσαντες τῆς ἐγκρατείας καὶ τῆς σωφροσύνης τὸν χαλινὸν, ἐκτελέσωμεν πᾶσαν ἁμαρτίαν. Τίμα τὸν πατέρα σου, προστάττει ὁ Θεὸς, καὶ τὴν μητέρα σου· ἡμεῖς δὲ, καὶ κατ' αὐτῆς τῆς φύσεως ἐπανιστάμενοι, παραβλέπομεν τοὺς γονεῖς ἡμῶν, κἂν χρείαν ἔχωσι τῆς βοηθείας ἡμῶν· πολλάκις δὲ καὶ εἰς τοσαύτην ἀπανθρωπίαν καταντῶμεν, ὥστε καὶ περιφρονοῦμεν αὐτούς. Μὴ μοιχεύσῃς, κελεύει ὁ Θεὸς, Μὴ κλέψῃς, Μὴ φονεύσῃς, Μὴ ψευδομαρτυρήσῃς, Μὴ ἐπιθυμήσῃς τὸ ξένον πρᾶγμα· ἡμεῖς δὲ καὶ τὴν ξένην κλίνην μιαίνομεν, καὶ τὴν περιουσίαν τῶν ἄλλων ἁρπάζομεν, καὶ τὰς χεῖρας εἰς τὸ αἷμα τοῦ ἀδελφοῦ ἡμῶν βάπτομεν, καὶ ψευδομαρτυροῦμεν, καὶ τὰ ξένα πράγματα ἐπιβουλεύομεν· τοιουτοτρόπως δὲ παροργίζοντες τὸν Βασιλέα τῆς δόξης, ἐλπίζομεν μακρότητα ἡμερῶν, καὶ πλοῦτον πολὺν, καὶ δόξαν μεγαλοπρεπῆ, καὶ τὰ λοιπὰ ἀγαθὰ τῆς γῆς· ὦ πλάνη σατανική!

Ἄλλη δὲ πλάνη ταύτης χείρων κατακυριεύει πολλούς. Πολλοὶ πιστεύουσιν, ὅτι ὁ πολιτικὸς ἄνθρωπος ἀπολαμβάνει τοῦ κόσμου τὰ ἀγαθά· Ὁ πολιτικὸς, λέγουσι, γίνεται εἰς τοῦτον τὸν κόσμον εὐτυχής. Γίνομαι δὲ πολιτικὸς, ὅταν μισῶ, καὶ σχηματίζωμαι, ὅτι ἀγαπῶ· ὅταν ἔχω τὴν ἔχθραν εἰς τὴν καρδίαν μου, καὶ τὰ γλυκὰ καὶ φιλικὰ λόγια εἰς τὰ χείλη μου· ὅταν ὑπάρχω ἐχθρὸς θανατηφόρος, καὶ φαίνομαι φίλος ἠγαπημένος. Γίνομαι πολιτικὸς, ὅταν, ἵνα ἀρέσω εἰς τοὺς ἀνθρώπους, λέγω τὸ πικρὸν γλυκὺ, καὶ τὸ γλυκὺ πικρόν· ὅταν λέγω τὸ σκότος φῶς, καὶ τὸ φῶς σκότος· ὅταν διὰ ψεύδους, ἢ δόλου, ἢ δι' ἄλλων διαφόρων τρόπων πλανήσω τὸν ἀδελ-

ἀδελφόν μου, καὶ κερδίσω τοὺς σκοποὺς μου, τότε εἰμὶ πολιτικός· ὅταν ἄλλο στοχάζωμαι, καὶ ἄλλο λέγω, ἄλλο θέλω, καὶ ἄλλο ζητῶ, τότε εἰμὶ πολιτικός· ὥστε, ἵνα λαλήσωμεν τὴν ἀλήθειαν φανερά, πολιτικός ἐστιν ὁ ὑποκριτὴς, ὁ κόλαξ, ὁ δόλιος, ὁ ψεύστης, ὁ πανοῦργος καὶ πονηρός· ἡ δὲ ἐπιστήμη, ἡ καλουμένη πολιτικὴ, καὶ τοσοῦτον ἐπαινουμένη ὑπὸ τῶν ἀνθρώπων καὶ θαυμαζομένη, ἐστὶ τέχνη διαβολικὴ φανερά.

Ἀκούσατε καὶ ἄλλην τρίτην πλάνην, χείρονα τῶν πρώτων. Πολλοὶ πείθονται, ὅτι ἡ ἀκριβὴς τοῦ νόμου παρατήρησις ἐμποδίζει τὴν ἀπόλαυσιν τῶν ἐπιγείων ἀγαθῶν· Πῶς δύναται, λέγουσιν, ὁ Ἡγεμὼν, ἢ ὁ Ἄρχων νὰ εὐτυχῇ εἰς τὴν διοίκησιν τοῦ κράτους αὐτοῦ, ἐὰν μὴ ἐνίοτε καὶ ψεύδηται, καὶ ἀδικῇ, ὑπὸ τῶν περιστάσεων προτρεπόμενος; ἐὰν ὁ πραγματευτὴς φεύγῃ τοὺς ὅρκους, τὸ ψεῦδος, τὴν ἀπάτην, οὐδὲ κερδαίνει, οὐδὲ πλουτεῖ· ἐὰν ὁ τεχνίτης ἀπέχῃ ἀπὸ τῆς δολιότητος, γίνεται πένης καὶ δυστυχής· ὁ κόσμος, λέγουσιν, ἐπὶ τὸ πονηρὸν κεῖται, ἐὰν μὴ δολιευθῇς, καὶ ἀπατήσῃς, καὶ ψευσθῇς, οὐδὲ νὰ πολιτευθῇς δύνασαι, οὐδὲ νὰ ζήσῃς· τὸ πνεῦμα, ὁ νοῦς, ἡ ἐπιτηδειότης, οὐχὶ δὲ ἡ ἀκριβὴς τοῦ νόμου φύλαξις, φέρει τὴν εὐτυχίαν εἰς τὴν παροῦσαν ζωήν.

Ἄνθρωπε πεπλανημένε, καὶ πῶς
οὐ καταλαμβάνεις τὴν ἀπάτην σου, καὶ
Ἡσ. ε'. 6. τοὺς παραλογισμούς σου; Τίς ἐντέλλε-
ται ταῖς νεφέλαις τοῦ μὴ βρέχειν;
Ἀμώς. δ'. 7. Τίς βρέχει ἐπὶ πόλιν μίαν, ἐπὶ δὲ
πόλιν μίαν οὐ βρέχει; Τίς συντρίβων
τὴν ὕβριν τῆς ὑπερηφανίας, ποιεῖ
Λευϊτ. κς'. 19. ὑμῖν τὸν οὐρανὸν σιδηροῦν, καὶ
τὴν γῆν ὑμῶν ὡσεὶ χαλκῆν; Τίς
Ψαλ. ρλδ'. 8. ἐξάγει ἀνέμους ἐκ θησαυρῶν αὐ-
Ὡσ. η'. 14. τοῦ; Τίς ἐξαποστέλλει πῦρ εἰς τὰς
πόλεις πρὸς ἀφανισμὸν τῶν θεμελίων
αὐτῶν; Τίς μεταβάλλει τοῦ πυρὸς τὴν Δαν. γ'. 23.
δύναμιν εἰς δρόσον; Τίς σείει τὸν οὐ-
ρανὸν, καὶ τὴν γῆν, καὶ τὴν θά- Ἀγγ. β'. 6.
λασσαν; Τίς ἐξουσιάζει τὸν ἥλιον,
τὴν σελήνην, τὰ ἄστρα, τὸ φῶς, τὰ στοι-
χεῖα, πάντα τὰ κτίσματα; Καὶ τίς ἄλ-
λος, εἰμὴ εἷς ὁ Θεός; Αὐτὸς ἐποίησε
τὰ πάντα, ὑπὸ τὴν ἐξουσίαν αὐτοῦ εἰ-
σὶ τὰ σύμπαντα· Ὅτι ἐν τῇ χειρὶ Ψαλ. ϟδ'. 4, 5.
αὐτοῦ τὰ πέρατα τῆς γῆς, καὶ τὰ
ὕψη τῶν ὀρέων αὐτοῦ εἰσίν· ὅτι
αὐτοῦ ἐστὶν ἡ θάλασσα, καὶ αὐ-
τὸς ἐποίησεν αὐτήν, καὶ τὴν ξη-
ρὰν αἱ χεῖρες αὐτοῦ ἔπλασαν.
Αὐτὸς ἔθηκε νόμους εἰς πάντα τὰ κι-
νήματα τῆς φύσεως, καὶ αὐτὸς μεταβάλ-
λει, ὡς θέλει, τὰ ἰδιώματα πάντων τῶν
πραγμάτων. Αὐτὸς ἀνοίγει τὴν χεῖρα Ψαλ. ρμδ'. 17.
αὐτοῦ, καὶ ἐμπιπλᾷ πᾶν ζῶον εὐδο-
κίας. Αὐτὸς θανατοῖ καὶ ζωογο- Α'. Βασ. β'. 6, 8.
νεῖ, κατάγει εἰς ᾅδου καὶ ἀνάγει·
πτωχίζει καὶ πλουτίζει, ταπει-
νοῖ καὶ ἀνυψοῖ· ἀνιστᾷ ἀπὸ γῆς πένητα, καὶ ἀπὸ κοπρίας ἐγείρει πτωχὸν, καθίσαι μετὰ δυναστῶν λαοῦ. Σὺ δὲ ὁ σκώληξ τῆς γῆς, διὰ τῆς παραβάσεως τῶν ἐντολῶν, παροργίζεις τὸν Βασιλέα καὶ Ἐξουσιαστὴν πάντων τῶν ἐν τῷ οὐρανῷ καὶ ἐν τῇ γῇ, καὶ ἔπειτα ἐλπίζεις τὴν ἀπόλαυσιν τῶν ἐπιγείων αὐτοῦ ἀγαθῶν; Σὺ, μετερχόμενος τὴν πολιτικήν σου, καὶ δι' αὐτῆς πράττων τοῦ Διαβόλου τὰ τεχνουργήματα, παραπικραίνεις τὸν Παντοκράτορα, ἔπειτα πιστεύεις, ὅτι διὰ τούτων γίνεσαι εὐτυχής; Σὺ, διὰ τῆς ὑπερηφανίας καὶ τῶν ἄλλων ἁμαρτιῶν, διεγείρεις κατὰ σοῦ τὴν θείαν ἀγανάκτησιν, ἔπειτα πείθεσαι, ὅτι ὁ Θεὸς δίδωσί σοι τὰ ἀγαθὰ, τὰ ὁποῖα ὑπεσχέθη εἰς τοὺς ποιοῦντας τὸ θέλημα αὐτοῦ;

Ἀλλ' ἡμεῖς βλέπομεν, λέγετε, ὅτι τινὲς μὲν φυλάττουσι τοὺς νόμους τοῦ Θεοῦ,

Θεοῦ, καὶ ὅμως δυστυχοῦσι· πολλοὶ δὲ
παραβαίνουσιν αὐτοὺς, καὶ ὅμως ζῶσιν
ἐν εὐτυχίᾳ. Περὶ μὲν τῶν πρώτων ἀ-
ποκρίνεται πρὸς ὑμᾶς ὁ θεῖος Ἀπόστο-
Α'.Κορ.β'. λος Παῦλος, λέγων· Τίς γὰρ οἶδεν
11. ἀνθρώπων τὰ τοῦ ἀνθρώπου, εἰ-
μὴ τὸ πνεῦμα τοῦ ἀνθρώπου τὸ
ἐν αὐτῷ; οὐδεὶς εἶδε τὰ ἀπόκρυφα τοῦ
ἀνθρώπου. Μήπως δὲ ἐκεῖνος, τὸν ὁ-
ποῖον σὺ νομίζεις δίκαιον καὶ ἅγιον,
ἐστὶν ὑποκριτὴς καὶ ψεύστης, καὶ κα-
Λουκ. ια'. θαρίζει, ὥσπερ οἱ Φαρισαῖοι, τὸ
39. ἔξωθεν τοῦ ποτηρίου καὶ τοῦ πί-
νακος, τὸ δὲ ἔσωθεν γέμει ἁρπα-
γῆς καὶ ἀδικίας; Μήπως αὐτός ἐστιν
ἄλλος Ἰὼβ, ὑπὸ Θεοῦ δοκιμαζόμενος, καὶ
διὰ τῆς δοκιμῆς μακαριζόμενος, καὶ εὐλο-
Ἰώβ. μβ'. γούμενος τὰ ἔσχατα τὰ ἀόρατα, μᾶλ-
12. λον ἢ τὰ ἔμπροσθεν τὰ ὁρατά; διό-
Σοφ. γ'. τι δοκιμάζει ὁ Θεὸς τοὺς δικαίους ὡς
6. χρυσὸν ἐν χωνευτηρίῳ· οὗτοι δὲ, ὀ-
Αὐτ. 5. λίγα παιδευθέντες, μεγάλα εὐερ-
γετηθήσονται· διότι εὑρὼν αὐτοὺς ὁ
Θεὸς ἀξίους ἑαυτοῦ, στέφει αὐτοὺς Βα-
σιλεῖς τῆς ἐπουρανίου Ἱερουσαλὴμ, ὅπου
ἀναλάμψουσιν ὡς φωστῆρες. Περὶ δὲ
τῶν δευτέρων ἀποκρίνεταί σοι ὁ Προ-
Ψαλ. λς'. φητάναξ, λέγων· Μὴ παραζήλου ἐν
1, 2. πονηρευομένοις, μηδὲ ζήλου τοὺς
ποιοῦντας τὴν ἀνομίαν· διατί;
Ὅτι ὡσεὶ χόρτος ταχὺ ἀποξη-
ρανθήσονται, καὶ ὡσεὶ λάχανα
χλόης ταχὺ ἀποπεσοῦνται. Ὁ ἄ-
δικος πλοῦτος ὡς ὁ χόρτος ταχέως
φθείρεται· ἡ εὐτυχία ἡ ἄνομος ὡς ὁ
καπνὸς διασκεδάζεται· σήμερον βλέπεις
τὸν παράνομον εὐτυχοῦντα, ὑπερυψούμε-
νον ὡς τὰς κέδρους τοῦ λιβάνου, ἄυριον
ἐκλείπει ἀπὸ τῶν ὀφθαλμῶν σου αὐ-
τός τε καὶ πᾶσα ἡ εὐτυχία αὐτοῦ· ζη-
τεῖς αὐτὸν, καὶ οὐδὲ τὸ κατοίκημα αὐ-
Αὐτόθι. τοῦ εὑρίσκεις· Εἶδον τὸν ἀσεβῆ ὑ-
37, 38. περυψούμενον, καὶ ἐπαιρόμενον
ὡς τὰς κέδρους τοῦ Λιβάνου. Καὶ
παρῆλθον, καὶ οὐκ ἦν, καὶ ἐζή-
τησα αὐτὸν, καὶ οὐχ εὑρέθη ὁ τό-
πος αὐτοῦ. Τοιαύτας μεταβολὰς βλέ-
πομεν καθ' ἑκάστην ἡμέραν· βλέπομεν
τινὰς πίπτοντας ἀπὸ τοῦ ὕψους τῆς εὐ-
τυχίας εἰς τὴν ἄβυσσον τῶν δυστυ-
χημάτων· ἀκούομεν δὲ καὶ τὴν φωνὴν
τοῦ Παντοκράτορος κηρύττουσαν· Ὁ μὴ Ματ. ιβ'.
συνάγων μετ' ἐμοῦ, σκορπίζει· 30.
καὶ ὅμως, ὡς τυφλοὶ καὶ κωφοὶ, ἀπονέ-
μομεν τὰς τοιαύτας μεταβολὰς εἰς τὴν
τύχην, εἰς τὰ συμβεβηκότα, εἰς τὴν κα-
κὴν διοίκησιν, καὶ πάλιν ἐξακολουθοῦ-
μεν, παραβαίνοντες τὰς ἐντολὰς τοῦ
Θεοῦ, καὶ ἐλπίζοντες τὴν ἀπόλαυσιν
τῶν ἀγαθῶν αὐτοῦ.

Χριστιανοὶ, περὶ τῆς ὑποθέσεως
ταύτης τοσοῦτον καθαρὰ ἐλάλησεν ὁ
Θεὸς, ὥστε οὐδεὶς δύναται ἀμφιβάλλειν·
ἀκούσατε τί λέγει· Τάδε λέγει Κύ- Ἡσ. ξέ.
ριος, Ἰδοὺ οἱ δουλεύοντές μοι φά- 13. 14.
γονται, ὑμεῖς δὲ πεινάσητε· Ἰδοὺ
οἱ δουλεύοντές μοι πίονται, ὑμεῖς
δὲ διψήσητε· Ἰδοὺ οἱ δουλεύον-
τές μοι ἀγαλλιάσονται ἐν εὐφρο-
σύνῃ, ὑμεῖς δὲ κεκράξετε διὰ τὸν
πόνον τῆς καρδίας ὑμῶν, καὶ ἀπὸ
συντριβῆς πνεύματος ὑμῶν ὀλο-
λύξετε· ποῖα ἄλλα λόγια ἢ καθαρώ-
τερα τούτων, ἢ ἀποφασιστικώτερα; Ἐὰν
οὖν ἀμφιβάλλῃς, ὅτι τὰ λόγια ταῦτα
εἶσι λόγια Θεοῦ, ἢ ὅτι ὁ Θεὸς ὑπόσχε-
ται, ἀλλ' οὐκ ἀναπληροῖ, οὐδεμία μένει
σοι ἐλπίς· χωρίσθητι ἀπὸ τῆς ὁμηγύ-
ρεως τῶν Χριστιανῶν, φύγε ἐκ τῆς Ἐκ-
κλησίας, ἀπελπίσθητι παντελῶς. Ἐὰν
δὲ πιστεύῃς, ὅτι εἰσὶ λόγια Θεοῦ, καὶ
ὅτι ὁ Θεὸς ὅσα ὑπόσχεται, ἐκπληροῖ ὑ-
περεκπερισσοῦ, ἄκουσον καὶ τὰ ἑξῆς.

Ἐὰν θέλῃς πλοῦτον, ἐὰν ἐπιθυμῇς
τιμὴν, ἐὰν ζητῇς εὐτυχίαν, ἐὰν ὀρέγεσαι
τὰ ἀγαθὰ τοῦ κόσμου τούτου, πρῶτον

μὲν δούλευε διαπαντὸς τῷ Κυρίῳ, ἤγουν φύλαττε μετὰ πάσης προσοχῆς καὶ ἐπιμελείας πάσας τὰς ἐντολὰς αὐτοῦ, καὶ μηδέποτε μηδεμίαν παρέβης· δεύτερον δὲ, ὅταν βάλλῃς ἀρχὴν εἰς ἐπάγγελμα, ἢ πολιτικὸν, ἢ δικαστικὸν, ἢ στρατιωτικὸν, ἢ ἱερατικὸν, ἢ ἡγεμονικὸν, ἢ εἰς πραγματείαν, ἢ εἰς τέχνην, ἢ εἰς πᾶν ἄλλο ἔργον, μὴ θαῤῥήσῃς, μηδὲ καυχηθῇς μηδὲ εἰς τὴν φρόνησίν σου, μηδὲ εἰς τὴν δύ-
Α΄. Βασ. β΄. 10. ναμίν σου, μηδὲ εἰς τὸν πλοῦτόν σου· Μὴ καυχάσθω ὁ φρόνιμος ἐν τῇ φρονήσει αὐτοῦ, καὶ μὴ καυχάσθω ὁ δυνατὸς ἐν τῇ δυνάμει αὐτοῦ, καὶ μὴ καυχάσθω ὁ πλούσιος ἐν τῷ πλούτῳ αὐτοῦ· ἀλλ᾽ ἔχε πᾶσαν τὴν ἐλπίδα καὶ τὴν πεποίθησίν σου εἰς τὴν φιλανθρωπίαν καὶ τὸ ἔλεος τοῦ Θεοῦ· κατὰ τοῦτο καυχήθητι, καθὸ γνωρίζεις, ὅτι παρὰ Θεοῦ τὰ πάντα· καὶ αὐτός ἐστιν ὁ δοτὴρ καὶ τῶν ἐπιγείων καὶ τῶν ἐπουρανίων ἀγαθῶν τοῖς δουλεύουσιν αὐτῷ· Ἀλλ᾽ ἢ ἐν τούτῳ καυχάσθω ὁ καυχώμενος, ἐν τῷ συνιεῖν, καὶ γινώσκειν τὸν Κύριον, καὶ ποιεῖν κρίμα καὶ δικαιοσύνην ἐν μέσῳ τῆς γῆς. Ζήτει διαπαντὸς ἐξ ὅλης ψυχῆς καὶ καρδίας τὴν βασιλείαν τοῦ Θεοῦ, καὶ τὴν κατόρθωσιν τῆς ἀρετῆς, καὶ μηδόλως ἀμφίβαλλε, ὅτι, ταῦτα ζητῶν, ἀπολαμβάνεις καὶ τὰ ἐπίγεια ἀγαθά· τοῦτο ὑπόσχεταί σοι ὁ ἀψευδέστατος Θεὸς, λέγων· Ζητεῖτε πρῶτον τὴν Ματ. ϛ΄. 33.
βασιλείαν τοῦ Θεοῦ, καὶ τὴν δικαιοσύνην αὐτοῦ, καὶ ταῦτα πάντα προστεθήσεται ὑμῖν.

# ΕΡΜΗΝΕΙΑ

ΕΙΣ ΤΟ ΚΑΤΑ

# ΛΟΥΚΑΝ

## ΕΥΑΓΓΕΛΙΟΝ ΤΗΣ Β΄. ΚΥΡΙΑΚΗΣ.

Ψαλ. ρι΄. 2. Μεγάλα τὰ ἔργα Κυρίου, ἐξεζητημένα εἰς πάντα τὰ θελήματα αὐτοῦ! Τοιαύτην τάξιν καὶ ἔκθεσιν ἔχουσι τοῦ ἀναγνωσθέντος Εὐαγγελίου τὰ λόγια, ὥστε, ὅταν βάψωμεν τὸν νοῦν ἡμῶν εἰς τῶν ἐννοιῶν τὸ βάθος, ὑπερθαυμάζομεν τῆς ἀπείρου σοφίας τοῦ Θεοῦ τὴν οἰκονομίαν. Διδάσκει τὸ σημερινὸν Εὐαγγέλιον μαθήματα δυσπαράδεκτα εἰς τοὺς σαρκικοὺς ἀνθρώπους· τοιοῦτόν ἐστιν ἡ ἀγάπη τῶν ἐχθρῶν, καὶ τὸ δάνειον πρὸς ἐκείνους, παρ᾽ ὧν οὐκ ἐλπίζομεν τὴν ἀνταπόδοσιν. Ὅταν δὲ ταῦτα ἐξεφώνησεν ὁ Θεάνθρωπος, τοιουτοτρόπως ἐπροοιμίασεν, ὥστε ἀπέδειξεν εὐπαράδεκτα τὰ δυσπαράδεκτα, καὶ τοιουτοτρόπως παρέστησε τὸ, ὅτι δίκαια καὶ εὐλογοφανῆ εἰσὶν, ὥστε ἀναπολογήτους κατέστησε τοὺς μὴ ταῦτα δεχομένους. Καθὼς δὲ ὁ σοφὸς διδάσκαλος ἄρχεται τῆς πρὸς τοὺς μαθητὰς αὐτοῦ παραδόσεως ἀπὸ τῶν ἁπλουστέρων καὶ αἰσθητῶν πραγμάτων, ἔπειτα διὰ τούτων προγυμνάσας αὐτοὺς, προάγει ἐπὶ τὰ δεινότερα, καὶ τὰ ὑπὲρ τὴν αἴσθησιν μαθήματα· οὕτω καὶ ὁ πάνσοφος Διδάσκαλος, καὶ τοῦ κόσμου Σωτὴρ, πρῶτον μὲν ἐξέθετο τὸν φυσικὸν καὶ τὸν ὑπὸ τὴν αἴσθησιν νόμον, δι᾽ αὐτῶν δὲ προετοιμάσας τὸν νοῦν καὶ τὰς

δια-

διαθέσεις τῶν ἀνθρώπων, ἐδίδαξεν ἔπειτα τὰ ὑψηλότερα καὶ τελειότερα μαθήματα, τὰ λογιζόμενα ὑπὸ τῶν ἀσθενεστέρων ἐναντία εἰς τὰ ἰδιώματα τῆς φύσεως. Ὅστις προσηλώσῃ τὸν νοῦν εἰς τὴν ἑξῆς ἑρμηνείαν, ἐκεῖνος βλέπει καθαρὰ ὅσα εἴπομεν.

Λουκ. ϛ'. 31. Εἶπεν ὁ Κύριος· Καθὼς θέλετε, ἵνα ποιῶσιν ὑμῖν οἱ ἄνθρωποι, καὶ ὑμεῖς ποιεῖτε αὐτοῖς ὁμοίως.

Νόμος ἐστὶν οὗτος, εἰς αὐτὴν τὴν λογικὴν φύσιν ἐμπεφυτευμένος, τοσοῦτον δίκαιος, εὔλογος, καὶ καταπειστικὸς, ὥστε οὐδεὶς, οὐδὲ πιστὸς, οὐδὲ ἄπιστος, δύναται κατὰ τούτου ἀντειπεῖν, ἢ ἀντιστάθηναι. Καθὼς θέλεις, ἵνα ποιῶσιν οἱ ἄνθρωποι πρὸς σὲ, ποίει καὶ σὺ αὐτοῖς ὁμοίως· θέλεις, ἵνα ἄλλος τὶς ἁρπάξῃ τὰ ὑπάρχοντά σου, ἢ ἐξουδενώσῃ τὴν τιμήν σου, ἢ προξενήσῃ σοι μικράν τινα βλάβην; οὐχὶ, ἀναμφιβόλως· λοιπὸν ποίει καὶ σὺ ὁμοίως, ἤγουν μηδὲ ἅρπαζε, μηδὲ ἀτίμαζε, μηδὲ βλάπτε τὸν ἄλλον. Τί θέλεις ἀπὸ τῶν ἄλλων; θέλεις βέβαια, ἵνα πάντες καὶ ἀγαπῶσι, καὶ τιμῶσι, καὶ κατὰ πάντα τρόπον γίνωνται εὐεργέται σου, λοιπὸν ποίει καὶ σὺ πρὸς πάντας ὁμοίως, πάντας ἀγάπα, πάντας τίμα, μετάδιδε εἰς πάντας τὰς εὐεργεσίας σου. Ποία ἀπόκρισις, ἢ ποία ἀντιλογία εἰς τοῦτο; οὐδεμία. Ἐπειδὴ δὲ ὁ θεῖος Εὐαγγελιστὴς Ματθαῖος, τὸν αὐτὸν νόμον τοῦ Θεοῦ γράψας, εἶπεν, ὅτι ὁ Κύριος, ὅτε τοῦτον τὸν νόμον ἐξεφώνησε, τότε προσέθηκε καὶ τό· Οὗτος γάρ
Ματ. ζ. 12. ἐστιν ὁ νόμος καὶ οἱ Προφῆται· φανερὸν ἐστιν, ὅτι ὅσα ὁ Μωσαϊκὸς νόμος καὶ οἱ Προφῆται καὶ τὸ Εὐαγγέλιον διδάσκουσι, τοσοῦτον δίκαιά εἰσιν, ὅσον καὶ οὗτος ὁ δικαιότατος νόμος. Διὰ τούτου δὲ τοῦ νόμου προκατασκευάσας ὁ Θεάνθρωπος τοὺς ἀκροατὰς, προβιβάζει αὐτοὺς ἐπὶ τὰ ὑψηλότερα καὶ τελειότερα μαθήματα, λέγων·

Καὶ εἰ ἀγαπᾶτε τοὺς ἀγαπῶντας ὑμᾶς, ποία ὑμῖν χάρις ἐστί; καὶ γὰρ οἱ ἁμαρτωλοὶ τοὺς ἀγαπῶντας αὐτοὺς Λουκ. ϛ'. 32.
ἀγαπῶσι. Καὶ ἐὰν ἀγαθοποιῆτε τοὺς ἀγαθοποιοῦντας ὑμᾶς, ποία ὑμῖν χάρις ἐστί; καὶ γὰρ οἱ ἁμαρτωλοὶ τὸ αὐ- 33.
τὸ ποιοῦσι. Καὶ ἐὰν δανείζητε παρ' ὧν ἐλπίζετε λαβεῖν, ποία ὑμῖν χάρις ἐστί; καὶ γὰρ οἱ ἁμαρτωλοὶ ἁμαρτωλοῖς δανείζουσιν, ἵνα ἀπολάβωσι τὰ ἴσα. 34.

Ἁμαρτωλοὺς ἐνταῦθα καλεῖ οὐ μόνον τοὺς παραβάτας τοῦ νόμου τοῦ Θεοῦ, ὅστις ἐπαγγέλλεται μεγάλας ἀμοιβὰς εἰς τοὺς τὸν νόμον φυλάσσοντας, ἀλλὰ καὶ τοὺς ἀνόμους καὶ ἀπίστους, οἵτινες οὐκ ἔχουσι νόμον, ὑποσχόμενον διὰ τὴν ἀρετὴν οὐρανίους ἀνταποδόσεις. Οἱ τοιοῦτοι οὖν ἁμαρτωλοὶ, οὐ δι' ἀγάπην Θεοῦ, ἀλλὰ δι' ἰδίαν ὠφέλειαν, οὐ δι' ἀρετὴν, ἀλλὰ δι' ἀμοιβὴν, ἀγαπῶσι μόνον τοὺς φίλους, καὶ εὐεργετοῦσι μόνους τοὺς εὐεργετοῦντας, καὶ δανείζουσιν εἰς μόνους ἐκείνους, παρ' ὧν ἐλπίζουσιν ἀπολαβεῖν τὰ ἴσα. Ποῖος λοιπὸν μισθὸς, ἢ ποία παρὰ Θεοῦ ἀνταπόδοσις πρέπει εἰς αὐτούς; Οὐδεμία, διότι αὐτοὶ λαμβάνουσι τὴν ἀνταπόδοσιν παρὰ τῶν ὑπ' αὐτῶν εὐερ-

εὐεργετηθέντων· ἀντὶ τῆς πρὸς τοὺς φίλους αὐτῶν ἀγάπης λαμβάνουσιν ἀγάπην καὶ φιλίαν, ἀντὶ τοῦ δανείου δάνειον, ἢ ἴσην ἀνταπόδοσιν. Τοιουτοτρόπως δὲ ἐξευτελίσας ὁ Κύριος τὴν ὑπὸ τῶν ἐθνικῶν καὶ ἁμαρτωλῶν νομιζομένην ἀρετὴν, παραδίδωσι τῆς ἀληθινῆς καὶ ἀξιομίσθου εὐεργεσίας καὶ ἀρετῆς τὰ ἅγια μαθήματα.

Λουκ. ς΄. 35. Πλὴν ἀγαπᾶτε τοὺς ἐχθροὺς ὑμῶν, καὶ ἀγαθοποιεῖτε, καὶ δανείζετε, μηδὲν ἀπελπίζοντες· καὶ ἔσται ὁ μισθὸς ὑμῶν πολὺς, καὶ ἔσεσθε υἱοὶ Ὑψίστου· ὅτι αὐτὸς χρηστός ἐστιν ἐπὶ τοὺς ἀχαρίστους καὶ πονηρούς.

Ἰδοὺ ἡ ἀρετὴ ἡ ἀληθινὴ, ἡ τῷ Θεῷ εὐπρόσδεκτος, καὶ τοῖς ἀνθρώποις ἀξιοθαύμαστος, ἡ ἀρετὴ, ἡ ἀξία πολλῶν καὶ μεγάλων μισθῶν καὶ ἀνταποδόσεων. Ὅταν ἀγαπᾷς καὶ εὐεργετῇς οὐ μόνον τοὺς φίλους σου, ἀλλὰ καὶ τοὺς ἐχθρούς σου· ὅταν δανείζῃς οὐ μόνον εἰς ἐκείνους, παρ᾽ ὧν ἐλπίζεις λαβεῖν τὰ ἴσα, ἀλλὰ καὶ εἰς τοὺς ἀπόρους καὶ πτωχοὺς, κἂν δὲ παρ᾽ αὐτῶν μὴ ἐλπίζῃς τὴν ἀμοιβὴν, οὐκ ἀπελπίζεσαι ὅμως ἀπ᾽ αὐτῆς, ἀλλ᾽ ἐλπίζεις, ὅτι ὁ Θεὸς ἀνταποδώσει σοι πολυπλάσιον τὸ ἀνταπόδομά σου· τότε τὸ ἔργον σου ἐστὶν ἀληθινὴ ἀρετὴ, τότε ὁ μισθός σου πολὺς, τότε γίνεσαι κατὰ χάριν καὶ καθ᾽ ὁμοίωσιν υἱὸς τοῦ Θεοῦ τοῦ Ὑψίστου· διότι καθὼς αὐτὸς ἀγαθός ἐστι καὶ ἐπὶ τοὺς ἀχαρίστους καὶ πονηροὺς, καὶ ἀνατέλ- Ματ. ε΄.
λει τὸν ἥλιον αὐτοῦ ἐπὶ πονηροὺς 45.
καὶ ἀγαθοὺς, καὶ βρέχει ἐπὶ δικαίους καὶ ἀδίκους· οὕτω καὶ σὺ τῇ αὐτοῦ χάριτι ἀγαπᾷς καὶ εὐεργετεῖς καὶ φίλους καὶ ἐχθροὺς, καὶ δανείζεις οὐ μόνον εἰς τοὺς εὐπόρους, ἀλλὰ καὶ εἰς τοὺς ἀπόρους, οἵτινες ἔχουσι χορηγὸν τῆς ἀνταποδόσεως τὸν Θεόν. Ἐπειδὴ δὲ καὶ ἡ ἀγάπη τῶν ἐχθρῶν, καὶ ἡ πρὸς αὐτοὺς εὐεργεσία, καὶ τὸ δάνειον εἰς τοὺς ἀπόρους, οἰκτιρμὸς καὶ ἔλεός ἐστι, καὶ ταῦτα ὡς τοιαῦτα παρὰ τῷ Θεῷ λογίζονται, διὰ τοῦτο, εἰπὼν ὁ Θεάνθρωπος τὰ προειρημένα, ἐπάγει καὶ τὰ ἑξῆς·

Γίνεσθε οὖν οἰκτίρμονες, κα- Λουκ. ς΄. 36.
θὼς καὶ ὁ Πατὴρ ὑμῶν οἰκτίρμων ἐστί.

Περὶ μὲν τοῦ Πατρὸς καὶ Θεοῦ εἶπε τὸ, Ἐστὶν οἰκτίρμων· περὶ δὲ τῶν ἀνθρώπων, Γίνεσθε οἰκτίρμονες, διότι ὁ μὲν Θεὸς ἐστὶ κατὰ φύσιν οἰκτίρμων καὶ ἐλεήμων, ἄπειρον ἔχων ἀφ᾽ ἑαυτοῦ τὸ ἔλεος καὶ τοὺς οἰκτιρμοὺς, ὁ δὲ ἄνθρωπος, ἐὰν θέλῃ, γίνεται οἰκτίρμων καὶ ἐλεήμων διὰ τῆς χάριτος καὶ βοηθείας τοῦ Θεοῦ· ὁ Θεὸς κατὰ φύσιν ἀφ᾽ ἑαυτοῦ ἐστὶν οἰκτίρμων, ὁ ἄνθρωπος, χωρὶς τῆς τοῦ Θεοῦ χάριτος καὶ βοηθείας, οὐδόλως γίνεται οἰκτίρμων· Χω- Ἰωάν. ιε΄.
ρὶς ἐμοῦ, εἶπεν αὐτὸς ὁ Θεὸς, οὐ δύ- 5.
νασθε ποιεῖν οὐδέν.

# ΟΜΙΛΙΑ

### ΜΕΤΑ ΤΟ ΚΑΤΑ

# ΛΟΥΚΑΝ

## ΕΥΑΓΓΕΛΙΟΝ ΤΗΣ Β'. ΚΥΡΙΑΚΗΣ.

Λουκ. ς'. Ἐντολὴ ἄραγε τοῦ Θεοῦ ἐστὶ τὸ, Ἀγα-
35. πᾶτε τοὺς ἐχθροὺς ὑμῶν, καθὼς
Ἐξ. κ'. καὶ τὸ, Τίμα τὸν πατέρα καὶ τὴν
12. μητέρα σου· ἡ συμβουλὴ ἐστι, καθὼς
Ματ. ιθ'. καὶ τὸ, Εἰ θέλεις τέλειος εἶναι, ὕ-
21. παγε, πώλησόν σου τὰ ὑπάρχοντα,
καὶ δὸς πτωχοῖς; Ἐὰν ὡς συμβουλὴν
Ὀρ. τὸν εἶπε τοῦτο ὁ Θεὸς, ὅστις μὲν ἤκουεν αὐτὴν,
Ναζιανζ. ἐγίνετο τέλειος, καὶ ἠξιοῦτο ἐν τῇ βα-
ἐν τῷ α'. σιλείᾳ τῶν οὐρανῶν τόπου ὀνομαστοῦ,
στηλιτ. καὶ δόξης ὑπερτέρας τῶν υἱῶν καὶ θυ-
λόγ. Ἡσ. ί. γατέρων τοῦ Θεοῦ· ὅστις δὲ ταύτης μὲν
56. τῆς συμβουλῆς παρήκουεν, ἐφύλαττε δὲ
τὰς ἐντολὰς, ἐκεῖνος ἔμενε μὲν ἀτελὴς,
καὶ ἀμέτοχος τῆς ὑπερβαλλούσης τιμῆς
καὶ δόξης, ἐσυντάσσετο ὅμως μετὰ τῶν
σωζομένων, καὶ ἀπελάμβανε τῆς θείας
μακαριότητος. Ἀλλὰ τὸ, Ἀγαπᾶτε
τοὺς ἐχθροὺς ὑμῶν οὐχ ὡς συμ-
βουλεύων εἶπεν ὁ Κύριος, ἀλλ' ὡς προσ-
τάττων, οὐχ ὡς συμβουλὴν εἶπε τοῦτο,
ἀλλ' ὡς ἐντολήν· ὅθεν ὅστις μὴ φυλάξῃ
ταύτην τὴν ἐντολὴν αὐτοῦ, κατακρίνεται,
καθὼς καὶ οἱ παραβάται τῶν λοιπῶν
ἐντολῶν αὐτοῦ.

Τόσον δὲ φανερόν ἐστιν, ὅτι οὐκ ἔστι συμβουλὴ, ἀλλ' ἐντολὴ, ὥστε οὐδὲ ἔχει χρείαν τὸ πρᾶγμα ἀποδείξεως· πρῶτον μὲν, ἐπειδὴ βλέπομεν, ὅτι ὁσάκις ὁ Κύριος Ἰησοῦς ἔδωκε τὰς ἁγίας αὐτοῦ συμβουλὰς, οὐ μόνον οὐκ ἐλάλησε προστακτικῶς, ἀλλὰ καὶ ἀφῆκε τὸν καθένα εἰς τὴν ἐξουσίαν αὐτοῦ, ἵνα ὑ-
πακούσῃ, ἢ μὴ, τὴν συμβουλήν· Εἰ θέ- Ματ. ιθ'.
λῃς, εἶπε, τέλειος εἶναι, ὕπαγε, 21.
πώλησόν σου τὰ ὑπάρχοντα, καὶ
δὸς πτωχοῖς· καὶ, ὁ δυνάμενος Αὐτ. ιθ'.
χωρεῖν, χωρείτω· περὶ δὲ τῆς ἀγά- 12.
πης τῶν ἐχθρῶν οὐ μόνον ἐλάλησε προ-
στακτικῶς, λέγων, Ἀγαπᾶτε τοὺς
ἐχθροὺς ὑμῶν, ἀλλὰ καὶ μετὰ πολ-
λῆς ἐμφάσεως τοῦτο προστάξας, εἶπεν·
Ἐγὼ δὲ λέγω ὑμῖν, Ἀγαπᾶτε τοὺς Αὐτ. ε'.
ἐχθροὺς ὑμῶν. Δεύτερον δὲ, ἐπειδὴ 44.
τοῦτο τὸ πρόσταγμα ἐστὶ μία τῶν δέ-
κα ἐντολῶν, ἤγουν ἡ δευτέρα τοῦ Δεκα-
λόγου ἐντολὴ, ἥτις ὁμοία ἐστὶ τῇ ἐντο-
λῇ τῇ πρώτῃ· Ἀγαπήσεις, λέγει ἡ Αὐτ. κβ'.
δευτέρα ἐντολὴ, τὸν πλησίον σου ὡς 39.
σεαυτόν· τὸ δὲ ὄνομα πλησίον σημαίνει ἐπίσης πάντα ἄνθρωπον, καὶ τὸν συγγενῆ καὶ τὸν ξένον, καὶ τὸν φίλον καὶ τὸν ἐχθρὸν, καὶ τὸν εὐεργέτην καὶ τὸν ἐπίβουλον· πᾶς ἄνθρωπος ἐστὶ πλησίον ἡμῶν, ἐπειδὴ πάντες οἱ ἄνθρωποι τὴν αὐτὴν ἔχομεν φύσιν, τὸν αὐτὸν προπάτορα, τὸν αὐτὸν δημιουργόν. Ἀληθῶς ἡ μὲν φιλία πλησιάζει τὸν ἄνθρωπον εἰς τὸν ἄνθρωπον, ἡ δὲ ἔχθρα μακρύνει τὸν ἄνθρωπον ἀπὸ τοῦ ἀνθρώπου, ἀλλ' ὁ μακρυσμὸς οὗτος ὁ σχετικὸς οὐδὲ ἀναιρεῖ, οὐδὲ μεταβάλλει τὸν φυσικὸν τοῦ ἀνθρώπου πλησιασμὸν εἰς τὸν ἄνθρωπον· ὁ φυσικὸς χαρακτὴρ τοῦ πλησίον μένει ἀναλλοίωτος, κἂν μεσολαβῇ ἡ ἔχθρα, ὅθεν πλησίον ἐστὶ

τοῦ ἀνθρώπου καὶ ὁ ἐχθρὸς αὐτοῦ, κἂν ἡ ἔχθρα τοῦτον ἀπομακρύνῃ, κἂν πλησίον ὀνομάζωμεν μόνον τὸν φίλον.

Ὅταν ὁ Θεὸς ἔγραψεν εἰς τὰς πλάκας τοῦ νόμου τὸ, Ἀγαπήσεις τὸν πλησίον σου ὡς σεαυτὸν, τοῦτο ἐσκόπησε, καὶ τοῦτο ἐνομοθέτησεν, ἤγουν τὸ, ἀγαπήσεις πάντα ἄνθρωπον, καὶ τὸν φίλον σου, καὶ τὸν ἐχθρόν σου. Τοῦτο βέβαιόν ἐστι καὶ ἀναντίῤῥητον, ἐπειδὴ διὰ τοῦ αὐτοῦ Μωσαϊκοῦ νόμου παρήγγειλεν ὁ Θεὸς, ἵνα καὶ τοὺς ἐχθροὺς ἡμῶν
Ἐξόδ. κγ΄. 4, 5. εὐεργετῶμεν· Ἐὰν δὲ συναντήσῃς, λέγει, τῷ βοῒ τοῦ ἐχθροῦ σου, ἢ τῷ ὑποζυγίῳ αὐτοῦ πλανωμένοις, ἀποστρέψας ἀποδώσεις αὐτῷ. Ἐὰν δὲ ἴδῃς τὸ ὑποζύγιον τοῦ ἐχθροῦ σου πεπτωκὸς ὑπὸ τὸν γόμον, ἤγουν ὑποκάτω τοῦ φορτίου, αὐτοῦ, οὐ παρελεύσῃ αὐτὸ, ἀλλὰ συναρεῖς αὐτὸ μετ᾽ αὐτοῦ. Οὐκ εἶπε δὲ τότε ὁ Θεὸς ἐκπεφασμένως τὸ, Ἀγαπᾶτε τοὺς ἐχθροὺς ὑμῶν, πρῶτον μὲν, ἐπειδὴ ἡ καρδία τῶν Ἰσραηλιτῶν, τῶν γεννηθέντων καὶ ἀνατραφέντων μετὰ τῶν Αἰγυπτίων, τῶν πολλὰ ἐφθαρμένων κατὰ τὰ ἤθη, ἦν πολλὰ σαρκικὴ καὶ παχυλὴ, καὶ ἑπομένως οὐκ ἠδύνατο χωρῆσαι τότε εὐθὺς ταύτην τὴν διδασκαλίαν· δεύτερον δὲ, ἐπειδὴ, ἵνα μὴ πέσωσιν εἰς τὴν ἀσέβειαν καὶ εἰδωλολατρείαν τῶν πλησιαζόντων αὐτοὺς ἐθνῶν, παραστήσας αὐτὰ ὡς ἄξια θανάτου, καὶ ὡς ἐχθροὺς αὐτῶν, ἐδίδαξεν
Δευτ. ζ΄. 1, 2. αὐτοὺς τὸ κατ᾽ αὐτῶν μῖσος· Πατάξεις αὐτοὺς, εἶπεν, ἤγουν τοὺς Χετταίους, καὶ Γεργεσαίους, καὶ Ἀμοῤῥαίους, καὶ Φερεζαίους, καὶ Εὐαίους, καὶ Ἰεβουσαίους· Ἀφανιεῖς αὐτούς.
Αὐτ. κγ΄. 6. Οὐ προσαγορεύσεις, εἶπε περὶ τῶν Ἀμμωνιτῶν καὶ Μωαβιτῶν, εἰρηνικὰ αὐτοῖς, καὶ συμφέροντα αὐτοῖς πάσας τὰς ἡμέρας εἰς τὸν αἰῶνα. Ἐχθραίνετε, εἶπε, τοῖς Μαδιηναίοις, καὶ πατάξατε αὐτοὺς, ὅτι ἐχθραίνουσιν αὐτοὶ ὑμῖν ἐν δολιότητι. Ἀριθ. κέ. 17, 18.

Ἐκ τούτων οἱ Ἰουδαῖοι ἐλογίζοντο νόμον Θεοῦ οὐ μόνον τὴν πρὸς τοὺς φίλους καὶ ὁμογενεῖς αὐτῶν ἀγάπην, ἀλλὰ καὶ τὸ πρὸς τοὺς ἐχθροὺς καὶ ἀλλογενεῖς αὐτῶν μῖσος· διὸ καὶ ὁ Σωτὴρ ἡμῶν εἶπεν· Ἠκούσατε, ὅτι ἐῤῥέθη· Ἀγαπήσεις τὸν πλησίον σου, καὶ μισήσεις τὸν ἐχθρόν σου. Ματ. έ. 43. Αὐτὸς δὲ ὁ Σωτὴρ ἡμῶν, ὅστις ἦλθεν εἰς τὸν κόσμον, οὐχ ἵνα καταλύσῃ τὸν Μωσαϊκὸν νόμον, ἀλλ᾽ ἵνα αὐτὸν πληρώσῃ, Αὐτόθι. 17. σαφηνίσας τὴν δευτέραν τοῦ Θεοῦ ἐντολὴν, καὶ διὰ τῆς ἐξηγήσεως ἀναπληρώσας τὸ ἀτελὲς αὐτῆς, ἐνετείλατο φανερὰ, καὶ εἶπεν ἐκπεφασμένως· Ἐγὼ δὲ λέγω ὑμῖν, Ἀγαπᾶτε τοὺς ἐχθροὺς ὑμῶν, Αὐτόθι. 44. εὐλογεῖτε τοὺς καταρωμένους ὑμᾶς, καλῶς ποιεῖτε τοὺς μισοῦντας ὑμᾶς, καὶ προσεύχεσθε ὑπὲρ τῶν ἐπηρεαζόντων ὑμᾶς καὶ διωκόντων ὑμᾶς.

Αὕτη δὲ ἡ ἐντολὴ ὑπερύψωσε καὶ ὑπερεδόξασε τὴν εὐαγγελικὴν διδασκαλίαν. Ταύτην τὴν ἐντολὴν ἐθαύμασαν οἱ Ἕλληνες οἱ εἰδωλολάτραι, ταύτην ἄχρι τῆς σήμερον ἐπαινοῦσι, καὶ μὴ θέλοντες, οἱ ἄπιστοι. Αὐτὴ ἔδειξεν, ὅτι ἀληθῶς Θεοῦ ἔργον ἐστὶν ἡ ἠθικὴ τοῦ Εὐαγγελίου διδασκαλία· αὐτὴ ἐστιν ἡ δόξα καὶ τὸ καύχημα τοῦ χριστιανικοῦ νόμου. Οὐδεὶς πρὸ Χριστοῦ νομοθέτης ἐδίδαξε τοσαύτην τελειότητα, οὐδείς ποτε ἐνομοθέτησεν, ἵνα ἀγαπῶμεν, καὶ εὐεργετῶμεν τοὺς ἐχθρούς. Αὕτη ἡ ἐντολὴ φυλαττομένη παύει πάντα τὰ ἐν τῷ κόσμῳ κακὰ, φέρει τὴν εἰρήνην τοῦ οὐρανοῦ εἰς τὴν γῆν, καὶ μεταβάλλει τὴν γῆν εἰς οὐρανόν. Αὕτη ἡ ἐντολὴ φυλαττομένη ἀναβιβάζει τὸν ἄνθρωπον εἰς τὰ

ὕψη

ὕψη τῆς ἐνδεχομένης αὐτῷ τελειότητος· αὐτὴ ποιεῖ τὸν ἄνθρωπον ὅμοιον τῷ
Ματ. ε΄. 45. Θεῷ, ὅστις ἀνατέλλει τὸν ἥλιον αὐτοῦ ἐπὶ πονηροὺς καὶ ἀγαθοὺς, καὶ βρέχει ἐπὶ δικαίους καὶ ἀδίκους.

Ναὶ, λέγεις, ταῦτα πάντα εἰσὶν ἀληθῆ, καὶ βέβαια· ἀλλ᾽ αὕτη ἡ ἐντολὴ ἐστὶ πολλὰ δύσκολος, ἐστὶν ἐναντία εἰς τὴν γνώμην τοῦ κόσμου, ἐναντία καὶ εἰς αὐτὰ τὰ ἰδιώματα τῆς ἀνθρωπίνης φύσεως. Ἐὰν ἀγαπῶ καὶ εὐεργετῶ ἐκεῖνον, ὅστις μὲ καταφρονεῖ, καὶ ἐπιβουλεύει τὰ ὑπάρχοντά μου, καὶ τὴν τιμήν μου, καὶ τὴν ζωήν μου, νομίζουσί με μωρὸν, γίνομαι ὄνειδος ὅλου τοῦ κόσμου· τὸν ἐχθρόν μου καὶ ἡ καρδία μου μισεῖ, καὶ ἡ ψυχή μου ἀποστρέφεται, καὶ ὁ νοῦς μου πείθει με, ἵνα ἀναλάβω τὴν κατ᾽ αὐτοῦ ἐκδίκησιν. Ἀδελφὲ, ὅσα εἶπες, εἰσὶ προλήψεις ἀδιάκριτοι, εἰσὶ διαλογισμοὶ σφαλεροὶ, εἰσὶν ἀνθρώπων ἀμαθῶν καὶ διεφθαρμένων γνῶμαι. Ὅστις ἐξετάσῃ τὸ πρᾶγμα ὡς πρέπει, ἐκεῖνος βλέπει, ὅτι αὕτη ἡ ἐντολὴ οὐκ ἔστι δύσκολος, οὐδὲ ἐναντία εἰς τὴν γνώμην τοῦ κόσμου, οὐδὲ ἀντιμαχομένη εἰς τὰ ἰδιώματα τῆς ἀνθρωπίνης φύσεως.

Ὁ ἐχθρός σου, μισούμενος ὑπὸ σοῦ, δυσφημίζει πανταχοῦ τὸ ὄνομά σου· τοῦτο προξενεῖ σοι λύπην. Ὁ ἐχθρὸς, μισούμενος, ἐπιβουλεύει τὴν τιμήν σου· τοῦτο προξενεῖ σοι ἀγανάκτησιν. Ὁ ἐχθρὸς, μισούμενος, ἐμποδίζει παντὶ τρόπῳ τὴν αὔξησιν τῶν ὑπαρχόντων σου, καὶ τὴν εὐτυχῆ σου κατάστασιν· τοῦτο προξενεῖ σοι θυμὸν, θλίψιν, ταραχήν. Ὅταν μισῇς τὸν ἐχθρόν σου, ἀνάγκη ἐστὶν, ἵνα ἐπαγρυπνῇς νύκτα τε καὶ ἡμέραν, ἵνα προκαταλαμβάνῃς τὰς ἐπιβουλὰς αὐτοῦ· ἀνάγκη ἐστὶν, ἵνα προσηλώσῃς τὸ περισσότερον μέρος τῆς προσοχῆς σου, ἵνα μὴ βλάψῃ τὴν γυναῖκά σου, τὰ τέκνα σου, τοὺς συγγενεῖς σου, τοὺς δούλους σου, τὸν οἶκόν σου· πρέπει νὰ τρέχῃς ἔνθεν κἀκεῖθεν, παρακαλῶν τοῦτον, καὶ προσκυνῶν ἐκεῖνον, ἵνα, ὑπέρμαχοί σου γενόμενοι, ἀντισταθῶσι, καὶ ἀπαλλάξωσί σε τῆς καταδρομῆς αὐτοῦ· κάθεσαι εἰς τὴν τράπεζαν; ὁ ἄρτος σου γίνεταί σοι πικρὸς, διότι φοβεῖσαι τὸν διωγμὸν τοῦ ἐχθροῦ σου· πίπτεις εἰς τὴν κλίνην σου; ὁ ὕπνος σου ἐστὶ παρακεκομμένος καὶ ἀνήσυχος, διότι ὀνειροπωλεῖς τοῦ ἐχθροῦ σου τὰ ἔνεδρα· οὐδὲ τὴν ἡμέραν ἔχεις εἰρήνην, οὐδὲ τὴν νύκτα ἡσυχίαν, οὐδὲ τὸν νοῦν σου δύνασαι νὰ προσηλώσῃς, ὡς πρέπει, εἰς τὰς ὑποθέσεις σου. Ἐὰν ἐκδικηθῇς τὸν ἐχθρόν σου, καὶ παιδεύσῃς αὐτὸν, χαίρεις μὲν πρὸς ὀλίγον, ἔπειτα ἀκολουθεῖ σοι ὁ ἔλεγχος καὶ ἡ βάσανος τῆς συνειδήσεως· ἐὰν μὴ ἐκδικηθῇς αὐτὸν, ἡ ἐπιθυμία τῆς ἐκδικήσεως γίνεται σκώληξ εἰς τὴν καρδίαν σου, καὶ πῦρ εἰς τὰ σπλάγχνα σου· οἱ καρποὶ λοιπὸν τῆς ἔχθρας εἰσὶ λύπη, ἀγανάκτησις, θυμὸς, ὀργὴ, φόβος, φροντίδες, ἀγῶνες, βία τοῦ νοός σου, ταραχὴ τῆς ψυχῆς σου, βάσανος τῆς καρδίας σου. Ἄραγε δὲ ταῦτα τὰ κακὰ εἰσὶ μικρὰ, ὑποφερτὰ, εὔκολα; τούτων τῶν κακῶν ἡ ἀπαλλαγὴ ἵσταται εἰς μόνην τὴν θέλησίν σου· κρέμαται ὅλη ἐκ μιᾶς μόνης σταθερᾶς ἀποφάσεώς σου. Ἐὰν ἀποφασίσῃς νὰ ἀγαπήσῃς τὸν ἐχθρόν σου, λυτροῦσαι ἐκ πάντων τῶν εἰρημένων κακῶν· ἐὰν ἐκριζώσῃς τὴν ἔχθραν ἀπὸ τῆς καρδίας σου, γίνεσαι περιχαρὴς, ἀόργητος, πρᾶος, ἄφοβος, ἀνεπιβούλευτος, ἥσυχος, εἰρηνικὸς, ἀτάραχος. Βάλλε ἔμπροσθέν σου ὅλα τὰ κακὰ ὅσα ἐπισωρεύει σοι τὸ μῖσος τοῦ ἐχθροῦ σου, καὶ ὅλα τὰ καλὰ, ὅσα προξενεῖ σοι τοῦ ἐχθροῦ σου ἡ ἀγάπη, καὶ τότε βλέπεις ποῖόν ἐστι τὸ εὐκολώτερον, ἡ ἀγάπη, ἢ τὸ μῖσος.

Σὺ λέγεις, ὅτι ὅστις ἀγαπᾷ καὶ εὐερ-

εὐεργετεῖ τὸν ἐχθρὸν αὐτοῦ, νομίζεται μωρὸς, καὶ γίνεται ὄνειδος ὅλου τοῦ κόσμου· λοιπὸν, κατὰ τοῦτόν σου τὸν λόγον, ὁ ἅγιος προφήτης Δαβὶδ, ὅστις ἠγάπα καὶ εὐηργέτει τὸν ἐχθρὸν αὐτοῦ
Α΄. Βασ. ιϛ΄. 25. τὸν Σαοὺλ, ψάλλων ἐν κινύρᾳ, καὶ καταπραΰνων τὴν δαιμονικὴν αὐτοῦ ζάλην, νομίζεται μωρὸς, καὶ ἐστὶν ὄνειδος ὅλου τοῦ κόσμου· λοιπὸν, κατὰ τοῦτόν σου τὸν λόγον, ὁ ἅγιος Ἀπόστολος, πρωτο-
Πραξ. ζ΄. 60. μάρτυς, καὶ πρωτοδιάκονος, ὁ Στέφανος, ὅστις κλίνας τὰ γόνατα παρεκάλεσε τὸν Θεὸν ὑπὲρ τῶν ἐχθρῶν αὐτοῦ, τῶν λιθαζόντων αὐτὸν, νομίζεται μωρὸς, καὶ ἐστὶν ὄνειδος ὅλου τοῦ κόσμου· λοιπὸν, κατὰ τοῦτόν σου τὸν λόγον, οἱ θεοφόροι
Α΄. Κορ. δ΄. 12, 13. Ἀπόστολοι, οἵτινες λοιδορούμενοι εὐλόγουν, διωκόμενοι ὑπέφερον, βλασφημούμενοι παρεκάλουν τοὺς ἐχθροὺς αὐτῶν, ἦσαν μωροὶ, καὶ ὄνειδος ὅλου τοῦ κόσμου· λοιπὸν, κατὰ τοῦτόν σου τὸν λόγον, ὁ Ἀθανάσιος, ὁ Βασίλειος, ὁ Γρηγόριος, ὁ Χρυσόστομος, οἱ λοιποὶ ἅγιοι, ὅσοι ἠγάπησαν καὶ εὐεργέτησαν τοὺς ἐχθροὺς αὐτῶν, νομίζονται μωροὶ, καὶ εἰσὶν ὄνειδος ὅλου τοῦ κόσμου· ἡμεῖς ὅμως βλέπομεν, ὅτι ὅλος ὁ κόσμος νομίζει αὐτοὺς φρονιμωτέρους πάντων τῶν ἀνθρώπων, λογίζεται αὐτοὺς ἥρωας, καὶ δόξαν καὶ καύχημα τῆς ἀνθρωπίνης φύσεως, καὶ ψάλλει καθ' ἑκάστην τὰ ἐγκώμια καὶ ἔπαινα τῆς ἁγιωσύνης αὐτῶν, εὐχόμενος, ἵνα γένηται μέτοχος τῆς τιμῆς καὶ δόξης αὐτῶν. Βλέπεις λοιπὸν, ὅτι ἀδίκως συκοφαντεῖς ὅλον τὸν κόσμον; δύω, ἢ τρεῖς, ἢ δέκα, ἢ καὶ περισσότεροι ἀμαθεῖς καὶ διεφθαρμένοι, ἀσυλλόγιστοι καὶ δοῦλοι τῶν παθῶν αὐτῶν, οἵτινες λέγουσιν, ὅτι, ἐὰν μὴ ἐκδικηθῇς τὸν ἐχθρόν σου, νομίζεσαι μωρὸς, καὶ ὄνειδος ὅλου τοῦ κόσμου, αὐτοὶ εἰσιν ὅλος ὁ κόσμος; οὐχί· αὐτοὶ οὐκ εἰσὶν ὅλος ὁ κόσμος, ἀλλ' ἡ μωρία καὶ τὸ ὄνειδος ὅλου τοῦ κόσμου, καὶ ἡ αἰσχύνη πάσης τῆς ἀνθρωπίνης φύσεως.

Ἔρχομαι καὶ εἰς τὴν ἐξέτασιν τῶν ἰδιωμάτων τῆς ἀνθρωπίνης φύσεως. Ἰδίωμα πρῶτον, καὶ κύριον, καὶ οὐσιῶδες τῆς ἀνθρωπίνης φύσεώς ἐστι τὸ εἰς αὐτὴν δοθὲν ὑπὸ Θεοῦ λογικόν· τοῦ λογικοῦ ἴδιόν ἐστιν ἡ ὀρθὴ κρίσις· τῆς ὀρθῆς κρίσεως ἴδιον ἡ ἐκλογὴ τοῦ δικαίου· ὅ, τι λοιπὸν ἐστὶ δίκαιον, ἐκεῖνο οὐκ ἔστιν ἐναντίον εἰς τὰ ἰδιώματα τῆς ἀνθρωπίνης φύσεως, ἀλλὰ προσφυὲς, οἰκεῖον, κατάλληλον καὶ φυσικόν. Ἐπειδὴ δὲ ἡ πρὸς τοὺς ἐχθροὺς ἀγάπη ἐστὶν ἔργον δίκαιον, φανερόν ἐστιν, ὅτι οὐκ ἔστιν ἐναντίον, ἀλλὰ οἰκεῖον τῷ ἀνθρώπῳ καὶ φυσικόν. Ἀλλ' ἡ πρὸς τοὺς ἐχθροὺς ἀγάπη, λέγεις, ἐστὶν ἔργον δίκαιον; Ναί· μὴ ταράττεσαι, πρὶν ἢ ἀκούσῃς τὴν ἀπόδειξιν· τάδε λέγει Κύριος· Καθὼς θέλετε, ἵνα ποιῶσιν Λουκ. ϛ΄. 31.
ὑμῖν οἱ ἄνθρωποι, καὶ ὑμεῖς ποιεῖτε αὐτοῖς ὁμοίως· τί λέγεις; ὁμολογεῖς, ὅτι τοῦτό ἐστι δίκαιον; ἐὰν ἀμφιβάλλῃς, ἐρώτησον πάσης θρησκείας ἀνθρώπους· ἐρώτησον Χριστιανοὺς, Ἑβραίους, Μωαμεθίτας, Εἰδωλολάτρας, ἐρώτησον πάντας, καὶ αὐτοὺς τοὺς ἀπίστους καὶ ἀθέους· πάντες ἑνὶ στόματι ἀποκριθήσονταί σοι, ὅτι ὁ νόμος οὗτος ἐστὶ δίκαιος, καὶ τῷ ἀνθρώπῳ κατάλληλος. Εἰπὲ οὖν, τί θέλεις, καὶ τί ζητεῖς παρὰ τοῦ ἐχθροῦ σου; εὐεργεσίαν, ἢ καταδρομήν; ὠφέλειαν, ἢ βλάβην; τί θέλεις; ἵνα σε ἀγαπᾷ, ἢ ἵνα σε κατατρέχῃ; καθὼς θέλεις, ἵνα ποιήσῃ ὁ ἐχθρός σου ἐπὶ σοὶ, ποίησον καὶ σὺ τῷ ἐχθρῷ σου ὁμοίως· Καθὼς θέλετε, ἵνα ποιῶσιν ὑμῖν οἱ ἄνθρωποι, καὶ ὑμεῖς ποιεῖτε αὐτοῖς ὁμοίως. Σὺ θέλεις ἀναμφιβόλως, ἵνα ὁ ἐχθρός σου παύσῃ τὸν διωγμὸν, τὴν καταδρομὴν, τὰς ἐπιβουλὰς, τὴν ἔχθραν, θέλεις

λεις, ἐνὶ λόγῳ, ἵνα ἀγαπήσῃ σε· παῦσαι λοιπὸν σὺ τὴν δυσμένειαν, λύσον τὸν δεσμὸν τῆς ἔχθρας, καὶ ἀγάπησον αὐτόν. Βλέπετε πόσον ἡ ἐντολὴ τῆς πρὸς τοὺς ἐχθροὺς ἀγάπης μακρὰν ἀπέχει ἀπὸ τῆς ἐναντιότητος τῶν φυσικῶν ἰδιωμάτων, καὶ πόσον δικαία, ἑπομένως οἰκεία καὶ κατάλληλός ἐστιν εἰς τὴν ἀνθρώπινον φύσιν;

Ἀλλ' ἐὰν ἡ ἐντολὴ αὕτη ὑπάρχῃ οἰκεία καὶ κατάλληλος εἰς τὴν φύσιν, διατί ἡ καρδία μου σφαδάζει ἐναντίον τοῦ ἐχθροῦ μου, καὶ ὁρμῶ, ἵνα θύσω καὶ ἀπολέσω αὐτόν; Διότι ἡ καρδία μου οὐκ ἔχει τὴν ὑγειϊνὴν καὶ φυσικὴν αὐτῆς κατάστασιν, ἀλλ' ἐστὶν ἄῤῥωστος καὶ διεφθαρμένη ὑπὸ τῆς κακίας μου. Διατί ἡ ψυχή μου τοσοῦτον βιαίως ζητεῖ τὴν ἐκδίκησιν κατὰ τοῦ ἐχθροῦ μου; Διότι ἐστὶ γυμνὴ πάσης ἀρετῆς, καὶ ἔρημος τῆς θείας χάριτος. Διατί ὁ νοῦς μου πείθει με τοσοῦτον ἰσχυρῶς, ἵνα μισῶ τὸν ἐχθρόν μου; Διότι ἐστὶν ἐσκοτισμένος ὑπὸ τῶν παθῶν μου· διότι τὰ ἁμαρτήματά μου ἀμβλύνουσι τὴν διακριτικὴν αὐτοῦ δύναμιν· κατ' ἐκείνας τὰς ὥρας, εἰς τὰς ὁποίας ἡσυχάζουσιν ὀλίγον τῶν παθῶν μου τὰ κύματα, τότε ὁ νοῦς μου διδάσκει με, λέγων· Ἡ ἔχθρα βλάπτει τὴν ψυχὴν καὶ τὸ σῶμα, ἡ ἔχθρα ἐξαφανίζει σε, καταλλάγηθι τῷ πολεμίῳ σου, μετάβαλε τὸν ἐχθρόν σου εἰς φίλον· τοῦτο ὠφελεῖ τὴν ψυχήν σου, τοῦτο εἰρηνεύει τὴν ζωήν σου· ἀλλ' ἕως οὗ νὰ ἀποφασίσω, ἐγείρεται τῶν παθῶν μου τὸ κῦμα, τὸ ὁποῖον τὸν μὲν νοῦν μου σκοτίζει, τὴν δὲ θέλησίν μου διαστρέφει, ἐμὲ δὲ καταποντίζει.

Ἀλλ', ὦ ἄνθρωπε, ἵνα πληροφορηθῇς, ὅτι, μὴ θέλων ἀγαπῆσαι τὸν ἐχθρόν σου, οὐδεμίαν ἔχεις ἀπολογίαν, ἔστω ἐξ ὑποθέσεως, ὅτι τοῦτο τὸ ἔργον ἐστὶ δύσκολον, ἐναντιοῦται εἰς τὴν γνώμην τοῦ κόσμου, καὶ μάχεται τὰ ἰδιώματα τῆς φύσεως. Ὁ Θεὸς, ὁ Δημιουργὸς τοῦ οὐρανοῦ καὶ τῆς γῆς, καὶ πάντων τῶν ὁρατῶν καὶ ἀοράτων κτισμάτων· ὁ Θεὸς, ὁ Πλάστης καὶ Κύριος καὶ Δεσπότης τοῦ ἀνθρώπου· ὁ Θεὸς, ὅστις δίδωσιν εἰς τὸν ἄνθρωπον τὴν ὕπαρξιν, τὴν ζωὴν, τὴν τροφὴν, καὶ ὅ, τι ἄλλο ἔχει ὁ ἄνθρωπος· ὁ Θεὸς, ὅστις δι' ἡμᾶς τοὺς ἀνθρώπους, καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν, κατῆλθεν ἀπὸ τοῦ ὕψους τῆς θείας αὐτοῦ δόξης εἰς τὴν εὐτέλειαν τῆς ἀνθρωπίνης καταστάσεως, καὶ ἐταπείνωσεν ἑαυτὸν μορφὴν δούλου λαβὼν, καὶ γενόμενος ἄνθρωπος· ὁ Θεὸς, ὅστις διὰ τὴν ἀγάπην τοῦ ἀνθρώπου, ὡς βρέφος ἐκλαυθμήρισεν εἰς τὸ ἐν Βηθλεὲμ σπήλαιον, ὡς ἄνθρωπος ἔχυσε δάκρυα ἐπὶ τὴν Ἱερουσαλὴμ, καὶ εἰς τὸ μνημεῖον τοῦ Λαζάρου, ὡς δοῦλος ἔπλυνε τοὺς πόδας τῶν μαθητῶν· ἐκεῖνος, ὅστις δι' ἀγάπην τοῦ ἀνθρώπου παρέθηκεν εἰς τὰ θυσιαστήρια τὸ πανάγιον αὐτοῦ σῶμα καὶ τὸ αἷμα, ἵνα, μεταλαμβάνοντες αὐτὸ, μένωμεν διαπαντὸς συνενωμένοι μετ' αὐτοῦ· ἐκεῖνος, ὅστις διὰ τὴν σωτηρίαν τοῦ ἀνθρώπου ἔπαθεν ἐπὶ Ποντίου Πιλάτου, ἐσταυρώθη ἐν μέσῳ δύω λῃστῶν, ἐγεύθη ὄξους καὶ χολῆς, ἀπέθανε κρεμάμενος ἐπὶ σταυροῦ· ἐκεῖνος, ὅστις πάλιν ἔρχεται κρῖναι ζῶντας καὶ νεκρούς· ἐκεῖνος, ὅστις πρὸ καταβολῆς κόσμου ἡτοίμασε βασιλείαν αἰώνιον εἰς τοὺς ὑπακούοντας τὰ θεῖα αὐτοῦ προστάγματα· ἐκεῖνος, ὅστις, ἐπὶ σταυροῦ κρεμάμενος, εὐχήθη ὑπὲρ τῶν ἐχθρῶν αὐτοῦ, δικαιολογήσας αὐτοὺς, καὶ εἰπών· Πάτερ, ἄφες αὐτοῖς· οὐ γὰρ οἴδασι τί ποιοῦσιν· αὐτός ἐστιν ἐκεῖνος, ὅστις προστάττει, ἵνα ἀγαπῶμεν τοὺς ἐχθροὺς ἡμῶν· Ἐγὼ δὲ λέγω ὑμῖν, Ἀγαπᾶτε τοὺς ἐχθροὺς ὑμῶν. Ἄραγε αὐτὸς οὐκ ἔχει ἐξουσίαν, οὐκ ἔχει δι-

Λουκ. κγ'. 34.

Ματ. έ. 44.

δικαίωμα, οὐκ ἔχει λόγον ζητῆσαι παρ'
ἡμῶν, διὰ τὸ συμφέρον ἡμῶν, καὶ τὸ δύ-
σκολον, καὶ τὸ ἀντιμαχόμενον εἰς τὸν
κόσμον, καὶ εἰς τὰ φυσικὰ ἰδιώματα;
ἔχομεν δὲ ἄραγε ἡμεῖς ἐξουσίαν, ἢ δι-
καίωμα, ἢ λόγον, πρὸς τὸ μὴ ὑπακού-
ειν εἰς τὸ Θεῖον αὐτοῦ πρόσταγμα, κἂν
δύσκολον, κἂν ἐναντίον ἡμῖν, καὶ ταῦτα
πρὸς βλάβην καὶ ἀφανισμὸν ἡμῶν; Ἐὰν
δύσκολον, αὐτὸς ὁ τοῦτο προστάξας,
παντοδύναμος ὤν, ποιεῖ οὐ μόνον τὸ δύ-
σκολον εὔκολον, ἀλλὰ καὶ τὸ ἀδύνατον
Λουκ. ιη'. 27. δυνατόν· Τὰ ἀδύνατα, εἶπεν αὐτὸς,
παρὰ ἀνθρώποις, δυνατά ἐστι
παρὰ τῷ Θεῷ. Ἐὰν ἐναντίον τῆς γνώ-
μης τοῦ κόσμου, αὐτὸς ἔδωκεν εἰς τὰς
χεῖρας τοῦ εἰς αὐτὸν πιστεύοντος τὴν νί-
Α'. Ἰωάν. ε'. 5. κην τοῦ κόσμου, διότι τίς ἐστιν ὁ νι-
κῶν τὸν κόσμον, εἰ μὴ ὁ πιστεύων,
ὅτι Ἰησοῦς ἐστὶν ὁ Υἱὸς τοῦ Θεοῦ;
Ἐὰν ἐναντίον τῶν ἰδιωμάτων τῆς φύ-
σεως, αὐτὸς, ὁ δοὺς τὰ ἰδιώματα εἰς
τὴν φύσιν, μεταβάλλει αὐτὰ ὡς βούλε-
ται· ἢ ἀγνοεῖς, ὅτι καὶ τὸ φῶς τοῦ ἡ-
λίου μετέβαλεν εἰς σκότος, καὶ τὸ σκό-
τος τῶν τυφλῶν μετέβαλεν εἰς φῶς, δοὺς
εἰς αὐτοὺς ὄμματα; ἢ οὐκ οἶδας, ὅτι
καὶ τὴν κώφωσιν μετέβαλεν εἰς εὐηκοΐαν,
ἀνοίξας τὰ ὦτα τῶν κωφῶν, καὶ τὴν ἀ-
κινησίαν εἰς κίνησιν, δοὺς εὐκινησίαν εἰς
τοὺς παραλύτους, καὶ τὸν θάνατον εἰς
ζωὴν, ἀναστήσας ἐκ νεκρῶν καὶ αὐτοὺς
τοὺς τεταρταίους καὶ ὀδωδότας; Αὐτὸς,
ὅταν μόνον θελήσωμεν, ἐπειδὴ οὕτως ἐ-
πρόσταξεν, εὐκολύνει τὸ δύσκολον, δίδω-
σι τὴν κατὰ τῆς γνώμης τοῦ κόσμου νί-
κην, μεταβάλλει τῆς φύσεως τὸ ἰδίωμα
ἀπὸ τῆς ἀνυποταξίας εἰς τὴν ὑπακοήν.
Ποίαν λοιπὸν νόμιμον ἀπολογίαν, ἢ κἂν
πρόφασιν εὐλογοφανῆ ἔχει ἐκεῖνος, ὅστις,
παρακούων τοῦ Θεοῦ τὸ πρόσταγμα, μι-
σεῖ τὸν ἐχθρὸν αὐτοῦ;

Ὁ φιλανθρωπότατος Θεὸς, ὅστις
προνοεῖ οὐ μόνον διὰ τὴν αἰώνιον σωτη-
ρίαν τῆς ψυχῆς ἡμῶν, ἀλλὰ καὶ διὰ τὴν
πρόσκαιρον τῆς ζωῆς ἡμῶν εὐτυχῆ κα-
τάστασιν, θέλων ἀπαλλάξαι ἡμᾶς ἀπὸ
τοῦ πλήθους τῶν μεγάλων κακῶν, ὅσα
προξενεῖ ἡ ἔχθρα, ἔδωκεν ἐντολὴν ἁγίαν
καὶ σωτήριον· Ἀγαπᾶτε, εἶπε, τοὺς Λουκ. ς'.
ἐχθροὺς ὑμῶν, καὶ ἀγαθοποιεῖ- 35.
τε. Εἰς τοὺς φύλακας τῶν ἐντολῶν αὐ-
τοῦ ὑπεσχέθη ἀνταπόδοσιν ἑκατοντα-
πλάσιον· Ἑκατονταπλασίονα λή- Ματ. ιθ'.
ψεται· εὐλογίαν πατρικήν· Δεῦτε οἱ 29. Αὐτ. κε'.
εὐλογημένοι τοῦ Πατρός μου· βα- 34.
σιλείαν αἰώνιον· Κληρονομήσατε τὴν
ἡτοιμασμένην ὑμῖν βασιλείαν
ἀπὸ καταβολῆς κόσμου· ὑπεσχέθη
χαρὰν δεσποτικὴν καὶ ἀνεκλάλητον· Εἴ- Αὐτόθι.
σελθε εἰς τὴν χαρὰν τοῦ Κυρίου 21.
σου· ὑπεσχέθη μακαριότητα ἀτελεύτη-
τον· Μακάριος ὁ δοῦλος ἐκεῖνος, Αὐτ. κδ'.
ὃν, ἐλθὼν ὁ Κύριος αὐτοῦ, εὑρήσει 46.
ποιοῦντα οὕτως. Εἰς δὲ τοὺς ἀγα-
πῶντας τοὺς ἐχθροὺς οὐ μόνον ταῦτα
πάντα ὑπεσχέθη, εἰπών· Καὶ ἔσται Λουκ. ς'.
ὁ μισθὸς ὑμῶν πολὺς, ἀλλὰ καὶ 35.
ἄλλοτι ὑπέσχετο ἀνώτερον τούτων καὶ
ὑπέρτερον, ἤγουν τὴν υἱοθεσίαν· Καὶ
ἔσεσθε υἱοὶ Ὑψίστου· ποία δὲ
γλῶσσα ἀνθρώπινος δύναται νὰ παρα-
στήσῃ εἰς πόσην δόξαν καὶ τιμὴν, εἰς
πόσην χάριν καὶ ὕψος ἀναβαίνει ὁ κα-
ταξιωθεὶς γενέσθαι υἱὸς τοῦ Θεοῦ; Τί
λοιπὸν ἀποφασίζετε, ἀδελφοί; ὑπακούε-
τε τὸ πρόσταγμα τοῦ παντοδυνάμου
Θεοῦ, ἢ μένετε στερεοὶ εἰς τὴν ὀλέθριον
καὶ ψυχοφθόρον παράβασιν τῆς ἐντολῆς
αὐτοῦ, μισοῦντες διαπαντὸς τοὺς ἐχθροὺς
ὑμῶν;

Πᾶσα παράβασις καὶ παρα- Ἑβρ. β'.
κοὴ ἔλαβεν ἔνδικον μισθαποδο- 2.
σίαν· ἐὰν δὲ ἀθετήσας τις τὸν νό- Αὐτ. ι'.
μον Μωσέως, χωρὶς οἰκτιρμῶν 28.
ἐπὶ δυσὶν ἢ τρισὶ μάρτυσιν ἀπο-
θνή-

θνήσκει. Ὁ καταπατήσας τὸ πρόσταγμα τοῦ Υἱοῦ τοῦ Θεοῦ οὐχὶ ἐπὶ δυσὶν ἢ τρισὶ μάρτυσιν, ἀλλ' ἐνώπιον πάντων τῶν ἀνθρώπων, πόσης τιμωρίας
Ματ. έ. ἐστὶν ἄξιος; Ὁ νόμος οὗτος· Ἐγὼ δὲ
44. λέγω ὑμῖν, ἀγαπᾶτε τοὺς ἐχθροὺς ὑμῶν, ἐστὶ τοσοῦτον σαφὴς καὶ ἐκπεφασμένος, ὥστε οὐδὲ ἐξήγησιν ἐπιδέχεται, οὐδὲ κἂν παραμικρὰν ἀμφιβολίαν ἐπιφέρει· ἡ τούτου ἐκπλήρωσις οὐκ ἔστι δύσκολος, οὐδὲ ἀντίκειται εἰς τὰ ἰδιώματα τῆς φύσεως, ἐπαινεῖ δὲ ὁ κόσμος τοὺς ἀγαπήσαντας τοὺς ἐχθροὺς, καὶ διὰ πολλῶν ἐγκωμιάζει ἐπαίνων· τοὺς παραβάτας τῶν ἐντολῶν τοῦ Θεοῦ οὐδὲν ἕτερον περιμένει, εἰμὴ πῦρ αἰώνιον, βρυγμὸς ὀδόντων, σκώληξ ἀκοίμητος, κόλασις ἀτελεύτητος· τοῦτό ἐστιν εὐαγγελικὴ ἀπόφασις· τί λοιπὸν ἀποφασίζομεν ὅσοι μισοῦμεν τοὺς ἐχθρούς;

Ἐὰν πιστεύητε, ὅτι ὁ Ἰησοῦς Χριστὸς ἐστὶν ὁ Υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος· ἐὰν πιστεύητε, ὅτι αὐτὸς ἔρχεται πάλιν κρῖναι ζῶντας καὶ νεκρούς· ἐὰν πιστεύη-
Ἰωάν. έ. τε, ὅτι οἱ τὰ ἀγαθὰ ποιήσαντες
29. ἀνίστανται, ἵνα ἀπολαύσωσι τὴν μακαρίαν ζωὴν, οἱ δὲ τὰ φαῦλα πράξαντες, ἵνα κατακριθῶσιν εἰς τὴν αἰώνιον κόλασιν· ἐὰν πιστεύητε, ὅτι ὅσοι ἀποθάνωσιν ἔχοντες τὴν ἔχθραν εἰς τὴν καρδίαν αὐτῶν, ἐκεῖνοι οὐ δύνανται στῆ-
Α'. Ἰωάν. ναι ἐνώπιον τοῦ Θεοῦ, ἐπειδὴ ὁ Θεὸς
δ'. 16. ἀγάπη ἐστί· μόνοι δὲ ἐκεῖνοι βλέπουσι τὸ θεῖον αὐτοῦ πρόσωπον, καὶ μένουσι διαπαντὸς μετ' αὐτοῦ, ὅσοι ἐκριζώσωσι τὴν ἔχθραν ἀπὸ τῆς καρδίας αὐτῶν, καὶ φυτεύσωσι πάλιν τὴν ἀγάπην· Δεῦτε καὶ προσπέσωμεν ἐπὶ τοὺς πόδας τοῦ παντελεήμονος καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, μετὰ κατανύξεως καὶ δακρύων ἐκβοῶντες πρὸς αὐτόν· Πανοικτίρμων Κύριε, Δέσποτα φιλάνθρωπε, ἡμάρτομεν ἐνώπιόν σου· σὺ μὲν, διὰ τὴν ψυχικὴν ἡμῶν σωτηρίαν, καὶ τὴν εἰρηνικὴν κατάστασιν τῆς προσκαίρου ζωῆς ἡμῶν, ἔδωκας ἐντολὴν καὶ εἶπας· Ἀγαπᾶτε τοὺς ἐχθροὺς ὑμῶν· ἡμεῖς δὲ, πονηροὶ καὶ ἀνόητοι, περιφρονήσαντες τὸ θεῖον καὶ σωτηριῶδές σου πρόσταγμα, ἐμισήσαμεν τοὺς ἐχθροὺς ἡμῶν· Μακρόθυμε, δεῖξον εἰς ἡμᾶς τὰ ἐλέη σου· Πολυεύσπλαγχνε, σπλαγχνίσθητι ἐπὶ τὴν ἀσθένειαν ἡμῶν, ἐλέησον ἡμᾶς, Κύριε, ἐλέησον ἡμᾶς· ἡμεῖς δὲ ὑποσχόμεθά σοι, ὅτι καταλλαγὴν ποιήσομεν μετὰ τῶν ἐχθρῶν ἡμῶν, καὶ ἀπὸ τοῦ νῦν καὶ εἰς τὸ ἑξῆς ἀγαπήσομεν ἀλλήλους ὡς μέλη ἑνὸς καὶ τοῦ αὐτοῦ σώματος, σοῦ τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος Ἰησοῦ Χριστοῦ. Ἐάντις εὑρίσκηται, ὅστις μηδὲ νὰ ἀκούσῃ θέλει τὴν προσευχὴν ταύτην, μηδὲ νὰ ὑποσχεθῇ ταύτην τὴν ὑπόσχεσιν, ἡμεῖς μὲν κλαίομεν νῦν καὶ θρηνοῦμεν ἐπὶ τῷ ἀπελπισμῷ τῆς ψυχῆς αὐτοῦ, καὶ τῇ αἰωνίῳ αὐτοῦ καταδίκῃ· ἐκεῖνος δὲ, ὅταν ἔλθῃ ἡ φοβερὰ ὥρα τοῦ πικροῦ θανάτου αὐτοῦ, βλέπων ὅσα νῦν ἤκουσε, μετανοήσει ἀνωφελῶς, καὶ κλαύσει ματαίως ἐπὶ τῇ ἀπωλείᾳ αὐτοῦ. Μὴ γένοιτο Κύριε.

# ΕΡΜΗΝΕΙΑ

ΕΙΣ ΤΟ ΚΑΤΑ

# ΛΟΥΚΑΝ

## ΕΥΑΓΓΕΛΙΟΝ ΤΗΣ Γ'. ΚΥΡΙΑΚΗΣ.

Ζωγράφος ὑπῆρχεν, ὡς λέγουσιν οἱ ἱστορικοὶ, ὁ θεηγόρος Ἀπόστολος καὶ Εὐαγγελιστὴς Λουκᾶς· ἡμεῖς δὲ βλέπομεν, ὅτι καὶ ἱστοριογράφος ὑπῆρχεν ὁ τρισμακάριος, ἄριστος καὶ σοφώτατος. Τοσοῦτον εὐτάκτως καὶ συντόμως περιγράφει τὰ ἱστορούμενα, καὶ τοσοῦτον καθαρὰ διηγεῖται πάσας τὰς ἀναγκαίας περιστάσεις, ὥστε φαίνεταί σοι, ὅτι οὐκ ἀναγινώσκεις βιβλίον, ἀλλὰ βλέπεις εἰκόνα, ἐν ᾗ ἐζωγραφημένα εἰσὶν αὐτὰ τὰ ἱστορούμενα πράγματα. Ἐπιβεβαιοῖ τὸν λόγον μου καὶ ἡ σήμερον ἀναγνωσθεῖσα περὶ τῆς ἐν Ναῒν χήρας ἱστορία. Διὰ χρωμάτων τοσοῦτον ζώντων ἐζωγράφησεν ὁ ἅγιος Εὐαγγελιστὴς καὶ τῆς χήρας τὸ μέγα δυστύχημα, καὶ τοῦ Κυρίου Ἰησοῦ τὴν ἄμετρον εὐσπλαγχνίαν, καὶ τῆς Θεότητος αὐτοῦ τὸ ἐξαίσιον θαῦμα, ὥστε ἡ ἱστορία αὕτη, μόνον ἀναγινωσκομένη, κατάνυξιν φέρει εἰς τὴν ψυχὴν, καὶ δάκρυα εἰς τὰ ὄμματα· διὸ ἐλπίζομεν, ὅτι καὶ ἡ ἑρμηνεία αὐτῆς, ἣν εἰς ἡμᾶς προβάλλομεν, καρποφόρος ἔσεται καὶ ψυχοσωτήριος.

Λουκ. ζ'. 11. Τῷ καιρῷ ἐκείνῳ, ἐπορεύετο ὁ Ἰησοῦς εἰς πόλιν, καλουμένην Ναῒν· καὶ συνεπορεύοντο αὐτῷ οἱ μαθηταὶ αὐτοῦ ἱκανοὶ, καὶ ὄχλος πολύς.

Πλησίον τοῦ Θαβωρίου ὄρους ἔκειτο ἡ πόλις, ἡ ὀνομαζομένη Ναΐν. Ἐξελθὼν δὲ ὁ Ἰησοῦς ἐκ τῆς Καπερναοὺμ, καὶ ἰατρεύσας τὸν δοῦλον τοῦ Ἑκατοντάρχου, τῇ ἐφεξῆς ἡμέρᾳ ἐπορεύετο εἰς τὴν πόλιν Ναΐν· ἠκολούθουν δὲ αὐτῷ πολλοὶ τῶν μαθητῶν αὐτοῦ, καὶ πλῆθος πολὺ λαοῦ. Μαθητὰς δὲ ἐνταῦθα λέγει οὐ μόνον τοὺς δώδεκα Ἀποστόλους, καὶ τοὺς ἑβδομήκοντα μαθητὰς, οὓς μετὰ ταῦτα ἀνέδειξεν ὁ Κύριος, ἀλλὰ καὶ ἐκείνους, οἵτινες, κατ' ἀρχὰς μὲν ἀκολουθοῦντες αὐτῷ, ἤκουον μετ' εὐλαβείας τὴν διδασκαλίαν αὐτοῦ, ἔπειτα ἀπελθόντες εἰς τὰ ὀπίσω, κατέλιπον τὸν διδάσκαλον. Ὁ δὲ πολὺς ὄχλος ἠκολούθει αὐτῷ διαπαντὸς, ἵνα ἄλλοι μὲν ἐξ αὐτῶν βλέπωσιν, ἄλλοι δὲ ἀπολαμβάνωσι τῆς τῶν θαυμάτων χάριτος. Τὰ δὲ ἑξῆς τῆς διηγήσεως δηλοποιοῦσιν ἡμῖν, ὅτι οὐ κατὰ τύχην, ἀλλὰ κατὰ θείαν πρόνοιαν ἐπορεύετο ὁ Θεάνθρωπος εἰς τὴν πόλιν Ναΐν, ἦλθε δηλαδὴ ἐκεῖ, ἵνα καὶ τὸν νεκρὸν ἀναστήσῃ, καὶ τὴν χήραν παρηγορήσῃ, καὶ φωτίσῃ τὸν λαὸν εἰς τὴν πρὸς αὐτὸν πίστιν.

Εὐσέβ. εἰς τὸ περὶ τοπικ. ὀνομάτων. Λουκ. ζ'. 6. Ἀυτ. ἰ. 1. Ἰωάν. ς'. 66.

Ὡς δὲ ἤγγισε τῇ πύλῃ τῆς πόλεως, καὶ ἰδοὺ, ἐξεκομίζετο τεθνηκὼς, υἱὸς μονογενὴς τῇ μητρὶ αὐτοῦ· καὶ αὕτη ἦν χήρα· Λουκ. ζ'. 12.

ρα· καὶ ὄχλος τῆς πόλεως ἱκανὸς σὺν αὐτῇ.

Ἐπειδὴ, κατὰ τὸν Ἰουδαϊκὸν νόμον,
'Αριθ. ιθ'. 11. ἀκάθαρτοι ἐλογίζοντο, ὅσοι ἐψηλάφων τὰ ἀνθρώπινα νεκρὰ σώματα, διὰ τοῦτο οἱ Ἰουδαῖοι, ἔξω τῶν πόλεων ἔχοντες τὰ νεκροτάφια αὐτῶν, ἐκεῖ ἔθαπτον τοὺς νεκρούς. Ὅταν οὖν ἐπλησίασεν ὁ Θεάνθρωπος εἰς τὴν πύλην τῆς πόλεως Ναΐν, ἰδοὺ ἐξεκόμιζον τότε ἔξω τῆς πόλεως
Λουκ. ζ'. 14. νεκρὸν, ἵνα ἐνταφιάσωσιν αὐτόν· ἦν δὲ ὁ νεκρὸς υἱὸς γυναικὸς χήρας, πολλὰ νέος, καὶ μονογενὴς τῇ μητρὶ αὐτοῦ. Ὡς φαίνεται δὲ, πλουσία καὶ ἔνδοξος ἦν ἡ χήρα ἐκείνη, διότι ἀρκετὸν πλῆθος τῶν πολιτῶν, ἀκολουθοῦντες σὺν αὐτῇ, ἐσυνόδευον τὸν ἐκκομιζόμενον αὐτῆς υἱόν. Σημείωσον δὲ, ὅτι ἡ μὲν νομικὴ παρατήρησις, ἡ περὶ τῆς ἀκαθαρσίας τῶν νεκρῶν σωμάτων, κατηργήθη, μετὰ τὴν ἐν κόσμῳ παρουσίαν τοῦ Ἰησοῦ Χριστοῦ, παρὰ τοῖς Χριστιανοῖς, καθὼς καὶ ἡ περιτομὴ, καὶ τὸ σάββατον, καὶ τ' ἄλλα τοῦ νόμου παρατηρήματα· ἡ δὲ συνήθεια τοῦ συνοδεύειν τοὺς νεκροὺς εἰς τὸν τάφον, ὡς ἔργον ἀγάπης καὶ ἐπιεικείας, ἐπεκράτησε, καὶ ἐπικρατεῖ ἄχρι τῆς σήμερον· διότι διὰ τοῦ ἔργου τούτου καὶ οἱ συγγενεῖς παρηγοροῦνται, καὶ ὁ νεκρὸς τιμᾶται, καὶ ἡ ἀγάπη ἐνεργεῖται. Τί δὲ ἐποίησεν ὁ Σωτὴρ τοῦ κόσμου, συναντήσας τὸν νεκρὸν, καὶ ἰδὼν τὴν μητέρα αὐτοῦ θρηνολογοῦσαν, καὶ κλαίουσαν;

'Αυτόθι. 13. Καὶ ἰδὼν αὐτὴν ὁ Κύριος, ἐσπλαγχνίσθη ἐπ' αὐτῇ, καὶ εἶπεν αὐτῇ· Μὴ κλαῖε.

Οὐδὲ ἡ μήτηρ τοῦ νεκροῦ παρεκάλεσεν, οὐδὲ ἄλλος τὶς ἐμεσίτευσεν, ἀλλ' ἀφ' ἑαυτοῦ ὁ Πολυεύσπλαγχνος, δεικνύων, ὅτι φύσει ἐστὶν ἐλεήμων, ἐσπλαγχνίσθη, ἰδὼν αὐτὴν ὀλολύζουσαν καὶ θρηνῳδοῦσαν τὸν υἱὸν αὐτῆς· καὶ πρῶτον μὲν ἐπαρηγόρησεν αὐτὴν διὰ λόγου, εἰπὼν αὐτῇ· Μὴ κλαῖε, ἔπειτα καὶ δι' ἔργου, ἀναστήσας τὸν μονογενῆ αὐτῆς υἱόν. Διὰ τούτου ἐδίδαξεν ἡμᾶς ὁ Σωτὴρ τῆς ἀληθινῆς εὐσπλαγχνίας τὴν ἀρετήν· ἵνα καὶ ἡμεῖς, ὅταν βλέπωμεν τὰ δάκρυα τῶν στενοχωρουμένων καὶ καταθλιβομένων, μὴ ἀναμένωμεν ἱκεσίας, καὶ δεήσεις, καὶ μεσιτείας· τίς ἡ χρεία λόγων, ὅταν λαλῶσι τὰ πράγματα; ἀλλ' αὐτοπροαιρέτως ἐκτείνωμεν εὐθὺς χεῖρα βοηθείας. Ἀκούσατε δὲ καὶ τὸν τρόπον, δι' οὗ ὁ τῶν ἁπάντων Δεσπότης εὐηργέτησε τὴν κατατεθλιμμένην μητέρα.

Καὶ προσελθὼν, ἥψατο τῆς Λουκ. ζ'. 14.
σοροῦ, (οἱ δὲ βαστάζοντες ἔστησαν,) καὶ εἶπε· Νεανίσκε, σοὶ λέγω, ἐγέρθητι.

Διατί ὁ Θεάνθρωπος, παραβλέψας τὸν Ἰουδαϊκὸν νόμον, ὅστις ἐκήρυττεν ἀ- 'Αριθ. ιθ'. 14, 15.
κάθαρτον τὸν ἁπτόμενον τοῦ νεκροῦ σώματος, ἢ τῆς οἰκίας, ἢ τῶν σκευῶν αὐτοῦ, ἐπλησίασεν εἰς τὸν νεκρὸν, καὶ ἥψατο τῆς σοροῦ, ἤγουν τοῦ λεγομένου ξυλοκραββάτου; Σκοπὸν εἶχεν ὁ νόμος τὴν τελείαν ἀποχὴν πάντων τῶν νεκρῶν ἔργων τῆς ἁμαρτίας, καὶ μάλιστα τοῦ φόνου· διότι, ἐὰν ἡ μόνη ψηλάφησις τοῦ νεκροῦ, ἢ τῆς οἰκίας καὶ τῶν σκευῶν αὐτοῦ, ἐλογίζετο ἁμαρτία, πόσῳ μείζων ἁμαρτία ἐκρίνετο ὁ φόνος; Καθὼς οὖν ὁ Θεάνθρωπος ἐθεράπευσε τὴν συγ- Λουκ. ιγ'. 11.
κύπτουσαν, καὶ τὸν ξηρὰν ἔχοντα τὴν χεῖρα ἐν τῇ ἡμέρᾳ τοῦ σαββάτου, ἐξελέγξας ἅμα τὴν περὶ τοῦ σαββάτου

Ἰου-

Λουκ. ς'. 6. Ἰουδαϊκὴν δεισιδαιμονίαν· οὕτω, μέλλων ἀναστῆσαι τὸν υἱὸν τῆς χήρας, παρέβλεψεν ἀνυποστόλως τὴν περὶ τῆς ἀκαθαρσίας διαταγὴν, διδάσκων, ὅτι ὑπερέχει τὸ ἔλεος τὴν νομικὴν παρατήρησιν. Ἐπλησίασεν οὖν παῤῥησίᾳ εἰς τὸν νεκρὸν, καὶ ἔθηκε τὰς χεῖρας αὐτοῦ ἐπὶ τοῦ κραββάτου· καὶ οἱ μὲν βαστάζοντες τὸν νεκρὸν, καὶ περιπατοῦντες, ἐστάθησαν, θείᾳ δυνάμει τοῦ Κυρίου Ἰησοῦ ἐμποδισθέντες· αὐτὸς δὲ ἐξεβόησε τὴν παντοδύναμον καὶ παντεξούσιον φωνήν· Νεανίσκε, σοὶ λέγω, ἐγέρθητι· ἐλάλησε πρὸς τὸν νεκρὸν, καθὼς λαλοῦμεν μετὰ τῶν ζώντων· ἐφώνησε τὸν ἄπνουν, καθὼς φωνοῦμεν τοὺς ὑπνοῦντας καὶ κοιμωμένους· Νεανίσκε, εἶπε, σοὶ λέγω, πρὸς σὲ τὸν νεκρὸν, καὶ οὐχὶ πρὸς ἄλλον ζῶντα λαλῶ, ἐξέγειρε, ἀνάστα ἐκ τῶν νεκρῶν.

Αὐτ. ζ'. 15. **Καὶ ἀνεκάθισεν ὁ νεκρὸς, καὶ ἤρξατο λαλεῖν· καὶ ἔδωκεν αὐτὸν τῇ μητρὶ αὐτοῦ.**

Ὢ τοῦ παραδόξου θαύματος! Ἤκουσεν ὁ νεκρὸς τὴν δεσποτικὴν φωνήν· ἐπέστρεψεν εὐθὺς ἡ ψυχὴ εἰς τὸ νεκρὸν σῶμα, ἔλαβον εὐθὺς τὴν συνήθη κίνησιν τὸ αἷμα καὶ τὸ ζωτικὸν πνεῦμα, ἐκινήθησαν πάντα τὰ μέλη καὶ μέρη τοῦ σώματος, καὶ ὅλη ἡ ἐσωτερικὴ τοῦ σώματος οἰκονομία· ἀνέστη εὐθὺς ὁ νεανίσκος ἐκ τῶν νεκρῶν, ἐκάθισεν ἐπάνω εἰς τὴν νεκροφόρον κλίνην, καὶ ἐλάλει πρὸς τοὺς περιεστῶτας. Τοῦτο δὲ τὸ ἐξαίσιον θαῦμα ἐτέλεσεν ὁ Ἰησοῦς οὐ
Γ'. Βασ. ιζ'. 21. διὰ ἐμφυσημάτων καὶ ἐπικλήσεως Θεοῦ,
Δ'. Βασ. ὥσπερ ὁ Ἠλίας, οὐδὲ διὰ προσευχῆς καὶ
34, 35. συγκάμψεως, ὥσπερ ὁ Ἐλισσαῖος, ἀλλὰ διὰ μόνης προστακτικῆς φωνῆς· Νεανίσκε, σοὶ λέγω, ἐγέρθητι. Ἀναστήσας δὲ αὐτὸν, παρέδωκεν αὐτὸν τῇ μητρὶ αὐτοῦ, ἵνα δείξῃ, ὅτι διὰ τὰ δάκρυα αὐτῆς ἀνέστησεν αὐτὸν, καὶ παραστήσῃ τὸ μητρικὸν δικαίωμα, καὶ διδάξῃ πάντας τὴν πρὸς τοὺς γονεῖς χρεωστουμένην εὐλάβειαν, καὶ ὑπακοήν. Τοῦτο δὲ αὐτὸ ἔπραξε καὶ ὁ Ἠλίας, ὅτε ἀνέστησε τῆς Σαρεπτίας τὸ παιδάριον· Καὶ Γ'. Βασ.
ἔδωκεν, λέγει ἡ θεία Γραφὴ, αὐτὸ τῇ ιζ'. 23.
μητρὶ αὐτοῦ· ὁμοίως καὶ ὁ Ἐλισσαῖος, ὅτε ἀνέστησε τὸν υἱὸν τῆς Σω- Δ'. Βασ.
μανίτιδος· Καὶ εἶπεν Ἐλισσαιὲ, δ'. 36.
Λάβε τὸν υἱόν σου. Τί δὲ ἔλεγον οἱ περιεστῶτες ὄχλοι, ἰδόντες τὸν νεκρὸν, διὰ μόνου λόγου ἀναστάντα ἐκ τῶν νεκρῶν, καὶ ἀνακαθίσαντα, καὶ λαλοῦντα;

**Ἔλαβε δὲ φόβος πάντας, καὶ** Λουκ. ζ'. 16.
**ἐδόξαζον τὸν Θεὸν, λέγοντες· ὅτι Προφήτης μέγας ἐγήγερται ἐν ἡμῖν, καὶ ὅτι ἐπεσκέψατο ὁ Θεὸς τὸν λαὸν αὐτοῦ.**

Τῆς παντοδυναμίας καὶ παντεξουσιότητος τοῦ Θεοῦ ἰδόντες τὸ ἔργον οἱ περιεστῶτες λαοὶ, ἐφοβήθησαν πάντες τὸ κράτος καὶ τὴν κυριότητα τοῦ Ἰησοῦ Χριστοῦ, καὶ δοξολογίαν προσέφερον εἰς τὸν Θεὸν, λέγοντες· Μέγας Προφήτης ἐφάνη ἐν μέσῳ ἡμῶν· ἐπεσκέφθη, καὶ ἠλέησεν ὁ Θεὸς τὸν λαὸν αὐτοῦ, ἤγουν τὸ γένος τοῦ Ἰσραήλ. Ἐπειδὴ δὲ τὰ λόγια τῆς δοξολογίας αὐτῶν ὅμοιά εἰσι τοῖς τοῦ Προφήτου Μωϋσέως, ὅστις, προκαταγγέλλων τοῖς υἱοῖς Ἰσραὴλ τὴν πρὸς αὐτοὺς θείαν ἐπίσκεψιν, τὴν ἐσομένην διὰ τῆς ἐν κόσμῳ παρουσίας τοῦ Υἱοῦ τοῦ Θεοῦ, ἔλεγεν αὐτοῖς ἐκ προσώπου
τοῦ Θεοῦ· Προφήτην ἀναστήσω αὐ- Λευϊτ. ιη'.
τοῖς ἐκ τῶν ἀδελφῶν αὐτῶν, ὥσ- 18.

περ

περ σέ· καὶ δώσω τὰ ῥήματα ἐν τῷ στόματι αὐτοῦ, καὶ λαλήσει αὐτοῖς καθ' ὅ,τι ἂν ἐντείλωμαι αὐτῷ· διὰ τοῦτο πιθανόν ἐστιν, ὅτι αὐτοὶ τότε ἐγνώρισαν, ὅτι ὁ Ἰησοῦς Χριστός ἐστιν ὁ προσδοκώμενος Μεσσίας, ὁ ὑπὸ τοῦ Μωϋσέως καὶ τῶν λοιπῶν Προφητῶν προκαταγγελθεὶς σωτὴρ καὶ λυτρωτὴς τοῦ γένους αὐτῶν, καὶ πάντων τῶν ἐπὶ γῆς ἀνθρώπων.

# ΟΜΙΛΙΑ

## ΜΕΤΑ ΤΟ ΚΑΤΑ

# ΛΟΥΚΑΝ

## ΕΥΑΓΓΕΛΙΟΝ ΤΗΣ Γ'. ΚΥΡΙΑΚΗΣ.

Ὁ δεσποτικὸς λόγος τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, πρὸς τὴν μητέρα τοῦ νεκροῦ, ἀνοίγει ὑπόθεσιν παρηγορητικὴν πρὸς τοὺς κλαίοντας, διὰ τὸν θάνατον τῶν συγγενῶν αὐτῶν καὶ φίλων. Ἰδὼν ὁ Κύριος, λέγει ὁ Εὐαγγελιστής, τὴν μητέρα τοῦ νεκροῦ, ἐσπλαγχνίσθη ἐπ'
Λουκ. ζ'. 13. αὐτῇ, καὶ εἶπε πρὸς αὐτήν, Μὴ κλαῖε· ἀληθῶς δὲ εὐσπλαγχνίᾳ κινούμενος ὁ Φιλάνθρωπος, εἶπε πρὸς αὐτήν, Μὴ κλαίῃς. Ἀλλ' ἄρά γε δύναται μήτηρ καὶ χήρα, βλέπουσα νεκρὸν ἕνα καὶ μόνον φίλτατον υἱόν, τὸν ὁποῖον εἶχε σύστασιν τοῦ οἴκου αὐτῆς, γηροκομίαν τοῦ γήρους, ἐλπίδα τῆς κληρονομίας, χαρὰν τῆς καρδίας, καὶ φῶς τῶν ὀφθαλμῶν αὐτῆς, δύναται, λέγω, ἐμποδίσαι τὰ δάκρυα, βλέπουσα αὐτὸν κείμενον νεκρὸν καὶ ἄπνουν; μεγάλη, ναί, ἡ ἀγάπη καὶ τοῦ φίλου πρὸς τὸν φίλον, καὶ τοῦ ἀδελφοῦ πρὸς τὸν ἀδελφόν, καὶ τοῦ πατρὸς πρὸς τὸν υἱόν, καὶ τοῦ ἀνδρὸς πρὸς τὴν γυναῖκα, ἀλλ' ἡ ἀγάπη τῆς μητρὸς τῆς χήρας πρὸς τὸν υἱὸν αὐτῆς τὸν μονογενῆ ὑπερέχει πᾶσαν κοσμικὴν ἀγάπην· πῶς λοιπὸν ἠδύνατο νὰ κλείσῃ τὰ σπλάγχνα αὐτῆς, καὶ νὰ ξηράνῃ τοὺς ὀχετοὺς τῶν δακρύων; Μὴ κλαῖε. Ἐὰν ὁ Θεάνθρωπος ἔλεγε πρὸς αὐτήν, Ἀναστήσεται ὁ υἱός σου, καθὼς εἶπεν εἰς τὴν
Μάρθαν, Ἀναστήσεται ὁ ἀδελφός Ἰωάν. ιά. 23.
σου, τότε εἶχε τόπον τό, Μὴ κλαῖε, τότε ὁ λόγος οὗτος ἠδύνατο νὰ μεταβάλῃ τὰ δάκρυα εἰς χαράν, καὶ τὸν θρῆνον εἰς εὐφροσύνην· ἀλλ' ὁ Κύριος, μηδὲν εἰπὼν περὶ τῆς ἀναστάσεως τοῦ υἱοῦ αὐτῆς, εἶπε, Μὴ κλαῖε· ἀλλὰ διατί τοῦτο; Καὶ ὁ Πατριάρχης Ἰωσήφ,
ἐπιπεσὼν ἐπὶ πρόσωπον τοῦ πα- Γεν. ν. 1.
τρὸς αὐτοῦ, ἔκλαυσεν αὐτόν, καὶ ἐφίλησεν αὐτόν, ἔπειτα πάντες οἱ ἀδελφοὶ αὐτοῦ καὶ συγγενεῖς πένθος ἐ-
ποίησαν ἑπτὰ ἡμέρας. Καὶ ὁ προφή- Αὐτ. 10.
της Δαβὶδ ἔκλαυσε κλαυθμὸν μέγαν
σφόδρα διὰ τὸν θάνατον τοῦ υἱοῦ αὐτοῦ Β'. Βασιλ. ιγ'. 13.
Ἀμνών· ἔκλαυσε καὶ ἐπένθησε τὸν νεκρὸν υἱὸν αὐτοῦ Ἀβεσσαλώμ, καὶ ἐθρη-
νολόγησε καὶ εἶπεν· Υἱέ μου Ἀβεσ- Αὐτ. ιή. 33.
σαλώμ, υἱέ μου, υἱέ μου Ἀβεσσαλώμ· τίς δώσει τὸν θάνατόν μου ἀντὶ σοῦ; ἐγὼ ἀντὶ σοῦ, Ἀβεσσαλὼν υἱέ μου υἱέ μου. Καὶ ὁ σοφὸς δὲ Σειρὰχ παρήγγειλε τῷ υἱῷ αὐτοῦ,
λέγων· Τέκνον, ἐπὶ νεκρῷ κατά- Σειρ. λή. 16.
γαγε δάκρυα.

Διὰ ποῖον λόγον λοιπὸν εἶπεν ὁ Θεάνθρωπος εἰς τὴν μητέρα, Μὴ κλαῖε; Τὸν λόγον ἐφανέρωσεν ἄλλοτε, ἤγουν, ὅτε ἐκ τῶν νεκρῶν ἀνέστησε τὴν τοῦ Ἰαείρου θυγατέρα. Ἔκλαιον τότε πάντες οἱ ἐν τῇ οἰκίᾳ αὐτοῦ, ὁ δὲ Ἰησοῦς, στραφεὶς πρὸς αὐτοὺς, καὶ εἰπὼν, Μὴ κλαίετε, προσέθηκε τὸν λόγον, Μὴ κλαίετε, εἶπε, διότι αὐτὴ οὐκ ἀπέθανεν,
Λουκ. η'. 52, 53. ἀλλὰ κοιμᾶται· Μὴ κλαίετε· οὐκ ἀπέθανεν, ἀλλὰ καθεύδει. Καὶ οἱ
Α'. Κορ. β'. 14. μὲν περιεστῶτες, σαρκικοὶ ὄντες, καὶ μὴ δυνάμενοι χωρῆσαι τὰ τοῦ Πνεύματος,
Λουκ. η'. 53. κατεγέλων αὐτοῦ, εἰδότες, ὅτι ἀπέθανεν· ὅμως ὁ λόγος τοῦ Κυρίου ἐστὶν ἀληθινὸς καὶ βέβαιος· διότι, πρὸ τοῦ πάθους καὶ τοῦ θανάτου τοῦ Ἰησοῦ Χριστοῦ, οἱ ἄνθρωποι, ἐχθροὶ ὄν-
Ῥωμ. ε'. 10. τες τοῦ Θεοῦ, μετὰ θάνατον ἐπορεύοντο εἰς τὸν ᾅδην· τοῦτο δὲ ὑπῆρχεν ἄλλος θάνατος, θάνατος μετὰ τὸν θάνατον,
Ἀποκ. κα'. 8. ἢ δεύτερος θάνατος, ὡς λέγει ὁ ἐπιστήθιος Ἰωάννης· μετὰ δὲ τὸ πάθος καὶ τὸν θάνατον τοῦ Σωτῆρος, ἐπειδὴ
Ρωμ. ε'. 10. κατηλλάγημεν τῷ Θεῷ διὰ τοῦ θανάτου αὐτοῦ, ὁ μὲν δεύτερος θάνατος κατηργήθη, ὁ δὲ πρῶτος οὐκ ἔστι θάνατος, ἀλλὰ ὕπνος. Διὸ ὁ μὲν Σωτὴρ ἔλεγε περὶ τοῦ θανάτου τοῦ Λαζάρου·
Ἰωάν. ια'. 11. Λάζαρος ὁ φίλος ἡμῶν κεκοίμηται· ὁ δὲ Παῦλος ἔγραφε περὶ πάντων
Α'. Θεσ. δ'. 13. τῶν ἐν πίστει ἀποθανόντων· Οὐ θέλω δὲ ὑμᾶς ἀγνοεῖν, ἀδελφοὶ, περὶ τῶν κεκοιμημένων· καὶ ἀλλαχοῦ·
Α'. Κορ. ιε'. 20. Νυνὶ δὲ, Χριστὸς ἐγήγερται ἐκ νεκρῶν· ἀπαρχὴ τῶν κεκοιμημένων ἐγένετο. Ἡ ἐν τῷ σταυρῷ θυσία τοῦ ζωοποιοῦ αἵματος, καὶ τοῦ ζωηφόρου θανάτου τοῦ Ἰησοῦ Χριστοῦ κατήργησε τὸν
Β'. Τιμ. α'. 10. θάνατον, καὶ μετέβαλεν αὐτὸν εἰς ζωήν·
Α'. Κορ. ιε'. 55. διὸ ὁ μὲν Παῦλος βοᾷ· Ποῦ σου, θάνατε, τὸ κέντρον; ποῦ σου, ᾅδη τὸ νῖκος; ὁ δὲ ἐπιστήθιος Ἰωάννης μαρτυρεῖ· Ἡμεῖς οἴδαμεν, ὅτι μεταβεβήκαμεν ἐκ τοῦ θανάτου εἰς Α'. Ἰωάν. α'. 14.
τὴν ζωήν.

Ἐὰν λοιπὸν εἶχον φωνὴν οἱ νεκροὶ, ὅσοι δηλαδὴ, ὀρθόδοξοι Χριστιανοὶ ὄντες, ἀπέθανον ἐν μετανοίᾳ καὶ ἐξομολογήσει, συνηνωμένοι τῷ Χριστῷ διὰ τῆς μεταλήψεως τῶν θείων μυστηρίων, ἔλεγον βέβαια πρὸς τοὺς κλαίοντας ἐπ' αὐτούς· Μὴ κλαίετε· ἔλεγεν ὁ νεκρὸς πρὸς τὸν ζῶντα· Μὴ κλαῖε· τί κλαίεις; ἐγὼ οὐκ ἀπέθανον, ἀλλὰ καθεύδω. Μὴ κλαῖε· οὐκ ἀκούεις τοῦ Δεσπότου σου τὴν φωνὴν, τὴν λέγουσαν· Ὁ πιστεύων Ἰωάν. ια'. 25.
εἰς ἐμὲ, κἂν ἀποθάνῃ, ζήσεται; ἐγὼ οὐκ ἀπέθανον, ἀλλὰ ζῶ· οὐκ ἀκούεις τί λέγει ὁ Δημιουργὸς καὶ Πλάστης ἡμῶν; Καὶ πᾶς ὁ ζῶν, καὶ πι- Αὐτόθι. 26.
στεύων εἰς ἐμὲ, οὐ μὴ ἀποθάνῃ εἰς τὸν αἰῶνα· ἐγὼ οὐκ ἀπέθανον, ἀλλὰ μεταβέβηκα ἐκ τοῦ θανάτου Αὐτ. ε'. 24.
εἰς τὴν ζωήν. Διατί κλαίεις; διὰ τὴν εὐτυχίαν μου; διὰ τὴν αἰώνιον δόξαν μου; διὰ τὴν ἀνεκλάλητον χαράν μου; διὰ τὴν βασιλείαν, ἣν ἐκληρονόμησα; Ἐὰν οἱ νεκροὶ εἶχον φωνὴν, ἔλεγεν ὁ νεκρὸς πρὸς τοὺς ζῶντας καὶ κλαίοντας ἐπ' αὐτὸν ἐκεῖνα τὰ λόγια, τὰ ὁποῖα εἶπεν ὁ Κύριος πρὸς τὰς ἐν Ἱερουσαλὴμ γυναῖκας, ὅτε ἔκλαιον διὰ τὸν θάνατον αὐτοῦ· Θυ- Λουκ. κγ'. 28.
γατέρες, εἶπεν, Ἱερουσαλὴμ, μὴ κλαίετε ἐπ' ἐμὲ, πλὴν ἐφ' ἑαυτὰς κλαίετε, καὶ ἐπὶ τὰ τέκνα ὑμῶν· Μὴ κλαίετε ἐπ' ἐμέ· ἐγὼ ἔφυγον τὴν πολυτάραχον τοῦ βίου θάλασσαν, καὶ τὰ ἄγρια τοῦ κόσμου κύματα, καὶ πορεύομαι εἰς τοὺς τοῦ Ἀβραὰμ τοὺς γαληνοὺς καὶ ἀκυμάντους κόλπους· πορεύομαι εἰς τοὺς χοροὺς τῶν Ἀγγέλων, εἰς τὰς πανηγύρεις τῶν ἁγίων, εἰς τὴν δόξαν τοῦ Θεοῦ· πορεύομαι ὅπου τὸ φῶς τὸ αἰέσπερον, ὅπου ἡ εἰρήνη ἡ ἀτάραχος, ὅπου ἡ χαρὰ ἡ ἀνεκλάλητος καὶ αἰώνιος·

νιος. Κλαίετε δὲ ἐφ' ὑμᾶς, οἵτινες ἐμείνατε εἰς τοὺς καθημερινοὺς κινδύνους, εἰς τὰς ἀλλεπαλλήλους θλίψεις, εἰς τὰς συνεχεῖς ἀῤῥωστίας, εἰς τὰς ἀξιοδακρύτους ταραχὰς, εἰς τοὺς δριμυτάτους πειρασμούς· ἐγὼ ἔφθασα εἰς τὸν ἀκύμαντον καὶ πανεύδιον λιμένα, ὑμεῖς εὑρίσκεσθε εἰς τὴν πολυκύμαντον καὶ πολυτάραχον τοῦ βίου θάλασσαν· τί κλαίετε;

Ἀκούσατε πῶς ἐξηγεῖ τὸ, Μὴ κλαῖε, ὁ θεηγόρος Ἀπόστολος Παῦλος· Οὐ θέλω δὲ, λέγει, ὑμᾶς ἀγνοεῖν, ἀδελφοὶ, περὶ τῶν κεκοιμημένων, ἵνα μὴ λυπῆσθε, καθὼς καὶ οἱ λοιποὶ, οἱ μὴ ἔχοντες ἐλπίδα. (Α'.Θεσ.δ'. 13.) Τίνες εἰσὶν οἱ λοιποὶ, οἱ μὴ ἔχοντες ἐλπίδα; Οὗτοί εἰσιν οἱ ἄπιστοι· αὐτοὶ οὐδεμίαν ἐλπίδα ἔχουσιν εἰς τὸν Θεὸν, ἐπειδὴ οὐ πιστεύουσιν, ὅτι ἐστὶ Θεός· αὐτοὶ οὐκ ἔχουσιν ἐλπίδα οὐδὲ ζωῆς αἰωνίου, οὐδὲ ἀναστάσεως νεκρῶν, ἐπειδὴ παραλόγως πείθονται, ὅτι εἰσὶ θνητόψυχοι, καὶ ὅτι μετὰ θάνατον διαλύεται καὶ φθείρεται ἡ ψυχὴ, καθὼς καὶ τὸ σῶμα. Ὁ ἄπιστος λοιπὸν, ἐπειδὴ οὐ πιστεύει, ὅτι ἐκ Θεοῦ εἰσὶ τὰ πάντα, καὶ ὅτι ὁ Θεὸς πτωχίζει, καὶ πλουτίζει, ταπεινοῖ καὶ ἀνυψοῖ, (Α'.Βασ.β'. 7. Λουκ. α'. 52, 53.) καθαιρεῖ δυνάστας ἀπὸ θρόνων, καὶ ὑψοῖ τοὺς ταπεινοὺς, τοὺς πεινῶντας ἐμπίπλησιν ἀγαθῶν, καὶ τοὺς πλουτοῦντας ἐξαποστέλλει κενοὺς, καὶ ὅτι αὐτός ἐστιν, ὅστις ἀνοίγει τὴν χεῖρα αὐτοῦ, καὶ ἐμπιπλᾷ πᾶν ζῶον εὐδοκίας· (Ψαλ.ρμδ'. 17.) ἐπειδὴ, λέγω, ὁ ἄπιστος εἰς οὐδὲν τούτων πιστεύει, διὰ τοῦτο ἔχει ἀφιερωμένην πᾶσαν τὴν ἐλπίδα αὐτοῦ εἰς τὰ ἀνθρώπινα πράγματα· διὸ, ὅταν ἀποθάνῃ ἐκεῖνος ὁ συγγενὴς αὐτοῦ, ἢ ὁ φίλος, ὅστις ἔτρεφεν αὐτὸν, ὅστις ἦν ἡ τιμὴ τοῦ οἴκου αὐτοῦ, καὶ ὁ ὑπερασπιστὴς πάντων τῶν ὑπαρχόντων αὐτοῦ, ἐκεῖνος, ἐξ οὗ ἐκρέμετο ὅλη ἡ κυβέρνησις αὐτοῦ, καὶ ἡ κατάστασις, τότε, ὅπου ἂν προσηλώσῃ τὸν νοῦν αὐτοῦ, οὐχ εὑρίσκει σταθερὰν ἐλπίδα, ὅπου ἂν στρέψῃ τὰ ὄμματα, οὐδὲ ἴχνος βλέπει ἐκείνων, τῶν ὁποίων ἐστερήθη· ἐκ τούτου οἱ ἀπαραμύθητοι ἀναστεναγμοὶ, καὶ οἱ ὑπερβολικοὶ θρῆνοι καὶ οἱ κοπετοὶ, καὶ τὰ ἀπηλπισμένα καὶ ἀπαρηγόρητα δάκρυα. Ἀληθῶς δὲ, οὐδὲ αὐτὸς ἀφ' ἑαυτοῦ, οὐδὲ ἄλλος δύναται παρηγορῆσαι αὐτόν· ἡ πίστις μόνη παρηγορεῖ· ἐὰν πιστεύσῃ εἰς τὸν Ἰησοῦν Χριστὸν, εὑρίσκει παρηγορίαν τῆς θλίψεως αὐτοῦ· ἀλλὰ τοῦτο οὐκ ἔστιν εὐκατόρθωτον· ἐὰν δὲ εἴπῃς πρὸς αὐτὸν, ὅτι εὑρίσκει ἄλλον ἄνθρωπον ὅμοιον τῷ ἀποθανόντι, ψυχρά ἐστιν ἡ τοιαύτη παρηγορία· διότι αὐτὸς βλέπει, ὅτι ἡ εὕρεσις τοιούτου ἀνθρώπου ἐστὶν ἔργον ἀβέβαιον, καὶ δυσκολώτατον, μᾶλλον δὲ ἀδύνατον.

Ἡ Ῥαχὴλ, λέγει ὁ Εὐαγγελιστὴς Ματθαῖος, ὅταν ἔκλαιε διὰ τὸν θάνατον τῶν τέκνων αὐτῆς, ἐθρηνολόγει ἀπαρηγόρητα· Ῥαχὴλ κλαίουσα τὰ τέκνα αὐτῆς· καὶ οὐκ ἤθελε παρακληθῆναι· (Ματ. β'. 18.) διατί δὲ οὐκ ἤθελε παρακληθῆναι; Διότι ἐνόμιζεν, ὅτι τὰ σφαγέντα αὐτῆς τέκνα ἐξέλειπον παντελῶς· Καὶ οὐκ ἤθελε παρακληθῆναι, ὅτι οὐκ εἰσίν. Οἱ ἄπιστοι, ἐπειδὴ, πλανῶντες ἑαυτοὺς, νομίζουσιν, ὅτι ἡ ψυχή ἐστι θνητὴ, καὶ ἀρνοῦνται τὴν ἐκ νεκρῶν ἀνάστασιν οἱ ἄφρονες, ὅταν ἀποθάνῃ ὁ ἠγαπημένος καὶ φίλτατος αὐτῶν, οὐχ εὑρίσκουσι παρηγορίαν, ἐπειδὴ πιστεύουσιν, ὅτι ὁ ἀποθανὼν ἐξέλειπεν εἰς τὸ παντελὲς, καὶ οὐκ ἔτι ὑπάρχει, ἀλλὰ διεφθάρη ἐξ ὁλοκλήρου.

Ὁ Χριστιανὸς πιστεύει, ὅτι ὁ Θεὸς ἐστὶν ὁ χορηγὸς πάντων τῶν ἀγαθῶν, ὁ δὲ ἄνθρωπος, χωρὶς τῆς τοῦ Θεοῦ βοηθείας, οὐ δύναται ποιῆσαι οὐδέν· (Ἰωάν. ιε'. 5.) αὐ-

αὐτὸς ἔχει πᾶσαν τὴν ἐλπίδα καὶ τῆς
συστάσεως, καὶ τῆς κυβερνήσεως, καὶ
τῆς εὐτυχοῦς καταστάσεως αὐτοῦ, οὐχὶ
Ψαλ. ρμϛ'. 2. εἰς τοὺς ἀνθρώπους, οἷς οὐκ ἔστι σω-
τηρία, ἀλλ' εἰς τὸν Θεὸν τὸν παντοδύ-
ναμον καὶ Σωτῆρα· αὐτὸς, πιστεύων, ὅτι
Ἡσ. μθ'. 15. τοσοῦτον ἀγαπᾷ ὁ Θεὸς τὸν ἄνθρωπον,
ὥστε εὐκολώτερόν ἐστι νὰ ἀμνημονήσῃ
ἡ μήτηρ τὰ τέκνα αὐτῆς, ἤπερ ὁ Θεὸς
τὸν ἄνθρωπον, λυπεῖται, ναὶ, ὅταν ἀπο-
θάνῃ ὁ συγγενὴς, ἢ ὁ φίλος αὐτοῦ,
κλαίει, ναὶ, βλέπων κείμενον νεκρὸν τὸν
ἠγαπημένον καὶ φίλτατον αὐτοῦ, τὸν
τροφέα, τὸν κυβερνήτην, τὸν εὐεργέτην,
ἐκεῖνον, ἐξ οὗ ἐκρέμετο καὶ ἡ τιμὴ, καὶ
ἡ κατάστασις αὐτοῦ, ἀλλ' οὐ λυπεῖται
ὡς ὁ ἄπιστος, οὐδὲ κλαίει ὡς ὁ ἀπηλ-
πισμένος, οὐδὲ θρηνολογεῖ, οὐδὲ κόπτε-
ται ὡς ἐκεῖνος, ὁ μηδεμίαν ἔχων εἰς τὸν
Θεὸν ἐλπίδα. Τοῦτο δέ ἐστι τὸ, Μὴ
κλαῖε, τὸ ῥηθὲν ὑπὸ τοῦ Κυρίου εἰς
τὴν ἐν Ναῒν χήραν· Μὴ κλαῖε, ἤγουν
μὴ κλαίῃς ὑπερβολικὰ καὶ ἄμετρα, μὴ
κλαίῃς ὥσπερ οἱ ἄπιστοι, οἱ μὴ ἔχον-
τες ἐλπίδα. Οὐδὲ ὁ Κύριος εἶπε πρὸς
τὴν χήραν, Μὴ κλαῖε παντελῶς, οὐδὲ ὁ
Ἀπόστολος εἶπεν ἁπλῶς, ἵνα μὴ λυ-
πῆσθε, ἀλλὰ προσέθηκε τὸ, καθώς·
Ἵνα μὴ λυπῆσθε, καθὼς καὶ οἱ
λοιποὶ, οἱ μὴ ἔχοντες ἐλπίδα.
Κλαῦσον τὸν νεκρὸν, ἀλλ' ἐν μέτρῳ· ὁ
Θεὸς, διὰ τὴν σωτηρίαν τῆς ψυχῆς, ἀπο-
στέλλει τὴν θλίψιν καὶ τὰ δάκρυα,
ἀλλ' ἀποστέλλει αὐτὰ, λέγει ὁ Προφή-
Ψαλ. οθ'. 6. της, μέτρια· Ποτιεῖς ἡμᾶς ἐν δά-
κρυσιν ἐν μέτρῳ. Ἡ φύσις φέρει δά-
κρυα, ἀλλ' ἡ πίστις ἀναχαιτίζει τοὺς
κρουνοὺς τῶν δακρύων. Ἀπέθανεν ὁ πα-
Αὐτ. κς'. 16. τήρ μου καὶ ἡ μήτηρ μου· Ὁ πατήρ
μου, καὶ ἡ μήτηρ μου ἐγκατέλει-
πόν με· ἔμεινα ὀρφανὸς καὶ ἔρημος· διὰ
τοῦτο ἡ φύσις φέρει δάκρυα, ἀλλ' ἡ πί-
στις ἀντεπιφέρει παρηγορίαν· ὁ πατήρ
σου, λέγει μοι, καὶ ἡ μήτηρ σου ἐγκατέ-
λειπόν σε, ὁ δὲ Κύριος προσελάβετό σου.
Ὁ ἀδελφός μου καὶ ἡ ἀδελφή μου καὶ
οἱ συγγενεῖς μου ἀπέθανον, ἔμεινα ἄπο-
ρος, καὶ συγγενῶν ἐστερημένος· διὰ τοῦ-
το ἡ φύσις φέρει δάκρυα, ἀλλ' ἡ πίστις
σπογγίζει τὰ δάκρυά μου, λέγουσα· Ἔ-
χεις ἀδελφὸν, καὶ ἀδελφὴν, καὶ μητέρα
τὸν Κύριον Ἰησοῦν, διότι αὐτὸς εἶπεν·
Ὅστις γὰρ ἂν ποιήσῃ τὸ θέλημα Ματ. ιβ'. 50.
τοῦ Πατρός μου, τοῦ ἐν οὐρανοῖς,
αὐτός μου ἀδελφὸς, καὶ ἀδελφὴ,
καὶ μήτηρ ἐστίν. Ἀπέθανεν ὁ ἠγα-
πημένος μου φίλος, ὁ εὐεργέτης μου, ὁ
ὑπερασπιστής μου, ἔμεινα πτωχὸς, δυ-
στυχὴς, ἄθλιος· ἡ φύσις φέρει δάκρυα,
ἀλλ' ἡ πίστις βάλλει μέτρον εἰς τὰ δά-
κρυά μου· Ἔχεις, λέγει, φίλον, καὶ εὐ-
εργέτην, καὶ ὑπερασπιστὴν τὸν Παντο-
δύναμον· διότι αὐτὸς εἶπεν· Ὑμεῖς φί- Ἰωάν. ιε'. 14.
λοι μου ἐστὲ, ἐὰν ποιῆτε ὅσα ἐ-
γὼ ἐντέλλομαι ὑμῖν. Λυπεῖται, ναὶ,
καὶ κλαίει καὶ ὁ πιστὸς, ἀλλ' οὐχ ὡς
ὁ ἄπιστος· ἀληθῶς καὶ ὁ πιστὸς ἄν-
θρωπος, ἐν ὅσῳ βλέπει κάτω εἰς τὴν
γῆν, ἀποστρέφεται πᾶσαν παρηγορίαν·
Ἀπηρνήσατο, ἔλεγεν ὁ Προφητάναξ, ἡ Ψαλ. οϛ'. 3.
ψυχή μου τοῦ παρακληθῆναι· ἀλ-
λ' ὅταν ὑψώσῃ τοὺς ὀφθαλμοὺς εἰς τὸν
οὐρανὸν, καὶ ἐνθυμηθῇ τοῦ Θεοῦ, εὐθὺς
κατέρχεται ἐκεῖθεν ἡ παρηγορία· Ἐμ-
νήσθην τοῦ Θεοῦ, καὶ εὐφράνθην.

Πόσην δὲ παρηγορίαν λαμβάνει ὁ
πιστὸς ἄνθρωπος, ὅταν, κλαίων διὰ τὸν
νεκρὸν συγγενῆ, ἢ φίλον, τὸν προκείμε-
νον ἐνώπιον τῶν ὀφθαλμῶν αὐτοῦ, βλέ-
πῃ διὰ τῶν ὀμμάτων τῆς πίστεως, ὅτι
αὐτὸς οὐκ ἐξέλειπεν, ἀλλ' ὑπάρχει, καὶ
ζῇ! Πόσην παρηγορίαν λαμβάνει, ὅταν,
βλέπων τὸ σῶμα νεκρὸν, ἄπνουν, ἐν τά-
φῳ, καὶ ἐν διαφθορᾷ, πιστεύει, ὅτι ἡ
ψυχὴ τοῦ σώματος ἐκείνου ζῇ, καὶ κι-
νεῖται, καὶ ἀναβαίνει εἰς τὸν οὐρανὸν,

καὶ

καὶ συναυλίζεται εἰς τὰ ἄφθαρτα καὶ ἀγαπητὰ σκηνώματα τοῦ Κυρίου αὐτῆς! Πόσην παρηγορίαν λαμβάνει, ὅταν, λυπούμενος διὰ τὸν χωρισμὸν τοῦ συγγενοῦς ἢ τοῦ φίλου, πιστεύει, ὅτι ὁ χωρισμός ἐστι πρόσκαιρος, καὶ ὅτι ἔρχεται ὥρα, ἐν ᾗ πάλιν ὄψεται αὐτὸν, καὶ ἀπολαύσει, καὶ συζήσει μετ' αὐτοῦ πάντοτε ἐν Κυρίῳ! Ἡ χαρὰ διὰ τὴν δόξαν καὶ ἀνάπαυσιν τῆς ψυχῆς σμικρύνει τὴν λύπην, τὴν διὰ τὸν θάνατον καὶ τὴν φθορὰν τοῦ σώματος· ἡ ἐλπὶς τῆς ἀπολαύσεως γλυκαίνει τοῦ χωρισμοῦ τὴν πικρίαν· διότι πάντες οἱ πιστοὶ καὶ πιστεύομεν,
Α'.Θεσ.δ'. 16, 17. καὶ ἐλπίζομεν, ὅτι αὐτὸς ὁ Κύριος ἐν κελεύσματι, ἐν φωνῇ Ἀρχαγγέλου, καὶ ἐν σάλπιγγι Θεοῦ καταβήσεται ἀπ' οὐρανοῦ, καὶ οἱ νεκροὶ ἐν Χριστῷ ἀναστήσονται πρῶτον. Ἔπειτα ἡμεῖς οἱ ζῶντες οἱ περιλειπόμενοι, ἅμα σὺν αὐτοῖς ἁρπαγησόμεθα ἐν νεφέλαις εἰς ἀπάντησιν τοῦ Κυρίου εἰς ἀέρα· καὶ οὕτω πάντοτε σὺν Κυρίῳ ἐσόμεθα.

Ματ. β'. 18. Οὐδὲ ἡ φωνὴ, ἡ ἐν Ῥαμᾷ ἀκουσθεῖσα, οὐδὲ τῆς Ῥαχὴλ ὁ θρῆνος καὶ ὁ κλαυθμὸς καὶ ὁ ὀδυρμὸς ὁ πολὺς, ἔχουσι τόπον εἰς τὰς κηδείας καὶ τὰ ἐξόδια τῶν κεκοιμημένων πιστῶν, οἵτινες ἐτέλεσαν τὸν βίον ἐν πίστει, καὶ μετανοίᾳ, καὶ ἐξομολογήσει, καὶ εὑρέθησαν, καὶ κατ' αὐτὴν τὴν ἐσχάτην ὥραν τῆς ζωῆς αὐτῶν, συνηνωμένοι διὰ τῆς μεταλήψεως τῶν μυστηρίων τῷ Ἰησοῦ Χριστῷ, τῷ Σωτῆρι τῶν ψυχῶν ἡμῶν. Διατί ὑπερβολικοὶ θρῆνοι καὶ κλαυθμοί; διότι ἀπέθανεν; ἀλλὰ τὸ μὲν σῶμα κοιμᾶται,
Ἰωάν. ε'. 28. ἡ δὲ ψυχὴ ζῇ, καὶ ἐγρηγορεῖ· Ἔρχεται δὲ ὥρα, ἐν ᾗ πάντες οἱ ἐν τοῖς μνημείοις ἀκούσονται τῆς φωνῆς τοῦ Υἱοῦ τοῦ Θεοῦ, καὶ ἀναστήσονται, καὶ ζήσονται τὴν ζωὴν τὴν δεδοξασμένην καὶ μακαρίαν. Ἐὰν ἀπέθανεν ἀνεξομολόγητος, καὶ ἀδιόρθωτος, τότε ἀληθῶς πρέπουσι στεναγμοὶ καὶ πολλὰ δάκρυα· μάλιστα, ἐὰν τοῦτο συνέβη ἢ διὰ τὴν ἀμέλειαν, ἢ, ὡς συχνάκις συμβαίνει, διὰ τὴν τυφλὴν καὶ ἀδιάκριτον ἀγάπην, καὶ τὴν δεισιδαιμονίαν τῶν συγγενῶν, οἵτινες, ἀντὶ νὰ πιστεύωσιν, ὅτι, μετὰ τὴν ἐξομολόγησιν καὶ τὴν τῶν μυστηρίων μετάληψιν, πολλάκις ὁ Θεὸς, εὐσπλαγχνιζόμενος, χαρίζει εἰς τὸν ἀσθενοῦντα ζωὴν, πείθονται παραλόγως, ὅτι, ἐὰν ἐξομολογηθῇ, καὶ μεταλάβῃ τῶν μυστηρίων, ἀποθνήσκει· τότε, λέγω, ἔχουσι τόπον οἱ θλιβεροὶ στεναγμοὶ, καὶ τὰ πικρὰ δάκρυα. Αὐτὰ ὅμως, οὐ μόνον ὑπὸ τῶν συγγενῶν καὶ φίλων, ἀλλὰ καὶ ὑπὸ τῆς Ἐκκλησίας, μετὰ δεήσεων καὶ τῆς ἀναιμάκτου θυσίας, πρέπει νὰ προσφέρωνται εἰς τὸν ἀπειροεύσπλαγχνον Θεὸν, ἵνα δείξῃ πρὸς τὸν τεθνεῶτα τὸ ἄπειρον αὐτοῦ ἔλεος, καὶ τὴν εὐσπλαγχνίαν.

Πολλὰ δὲ ἄτοπα καὶ παράλογά εἰσι τὰ θρηνολογήματα ἐκείνων τῶν ἀνθρώπων, οἵτινες, ἔχοντες πρὸ ὀφθαλμῶν τὸ νεκρὸν σῶμα τοῦ συγγενοῦς, στενάζουσι, καὶ κτυπῶνται, καὶ ὀλοφύρονται, λέγοντες· Καὶ τί νὰ πράξω εἰς τὸ ἑξῆς; καὶ ποῦ νὰ καταφύγω; καὶ τίς ἔσεται βοηθός μου; τίς νὰ θρέψῃ τὰ ὀρφανά μου; Ἐὰν οἱ ἄπιστοι, οἱ μὴ πιστεύοντες, ὅτι ἐστὶ Θεὸς, ταῦτα λέγωσιν, οὐδὲν παράδοξον· σὺ δὲ, ὅστις πιστεύεις, ὅτι ἐστὶ Θεὸς πανταχοῦ παρὼν καὶ τὰ πάντα πληρῶν καὶ βλέπων, προνοητὴς τοῦ παντὸς, καὶ τροφεὺς πάντων τῶν ἀνθρώπων, πατὴρ τῶν ὀρφανῶν, καὶ τῶν χηρῶν ἀντιλήπτωρ, ἐλεήμων πρὸς πάντας, καὶ φιλανθρωπότατος, παντοδύναμος, καὶ ποιῶν ὅσα βούλεται, σὺ τολμᾷς, καὶ λέγεις ταῦτα; τί νὰ πράξῃς; τοῦτο πρᾶξον, πρόστρεξον

ξον εἰς τὸν Θεόν· ὁ Θεὸς καταφύγιόν σου, ὁ Θεὸς βοήθειά σου, ὁ Θεὸς πατὴρ τῶν ὀρφανῶν σου. Μακρὰν ἀπὸ τοῦ στόματος τῶν Χριστιανῶν τοιαῦτα θρηνολογήματα, μακρὰν ἀπὸ τὰ ὄμματα τῶν Χριστιανῶν τοιαῦτα παράλογα, ἄδικα, καὶ βλαβερὰ δάκρυα.

Βούλομαι δὲ ἐγὼ κατὰ ταύτην τὴν ὥραν νὰ φανερώσω, πότε τὰ δάκρυα, τὰ χεόμενα ἐπὶ τοὺς νεκροὺς, εἰσὶν εὐλογοφανῆ, καὶ δίκαια, καὶ ὠφέλιμα. Ἐάν, ὅταν βλέπω τὸ νεκρὸν σῶμα τοῦ συγγενοῦς, ἢ τοῦ φίλου μου ἄπνουν, ἀνενέργητον, ἀκίνητον, ὀδωδὸς, εἰς γῆν μεταβαλλόμενον, καὶ βρῶμα τῶν σκωλήκων γινόμενον, συλλογίζομαι, ὅτι ἡ ἁμαρτία ταῦτα προεξένησε, καὶ ὅτι ταῦτα πάντα ἀποτελέσματά εἰσι τῆς διὰ τὴν ἁμαρτίαν τιμωρίας, καὶ ἐκπλήρωσις τοῦ διὰ τὴν ἁμαρτίαν θείου προστάγματος·
Γεν. γ'. 19. Ὅτι γῆ εἶ, καὶ εἰς γῆν ἀπελεύσῃ· ἐάν, ὅταν βλέπω τὴν ἀθλιωτάτην κατάστασιν τοῦ νεκροῦ ἀνθρωπίνου σώματος, στενάζω ἐκ καρδίας, καὶ ὀλοφύρομαι σφόδρα, καὶ χέω θερμὰ δάκρυα, τότε οἱ στεναγμοί μου ἔχουσιν εὐλογοφανῆ λόγον, τότε οἱ ὀλοφυρμοί μου εἰσὶ δίκαιοι, τότε ὁ θρῆνός μου καὶ τὰ δάκρυά μου πολλὴν ὠφέλειαν προξενοῦσιν εἰς τὴν ψυχήν μου· διότι ταῦτα τὰ δάκρυα ἀποστρέφουσίμε ἀπὸ τῆς ἁμαρτίας, καὶ ὁδηγοῦσί με εἰς τὴν μετάνοιαν· ταῦτα τὰ δάκρυα πλύνουσι τὴν ψυχήν μου ἀπὸ τοῦ βορβόρου τῶν ἁμαρτιῶν μου, καὶ καρποφοροῦσιν ἐν ἐμοὶ τῆς ἀρετῆς τὴν ἁγιότητα.

Ἐάν, ὅταν βλέπητε τὸν νεκρὸν, ἀναβιβάζητε τὸν νοῦν ὑμῶν εἰς τὸν τόπον, ὅπου ἡ ψυχὴ αὐτοῦ πορεύεται, καὶ συλλογίζησθε, ὅτι, ἐὰν ὁ ἄνθρωπος ἐκεῖνος, ὅστις κεῖται ἔμπροσθεν ὑμῶν νεκρὸς, ἔπραξε πονηρὰ ἔργα, καὶ ἀπέθανεν ἀμετανόητος, εὐθὺς μετὰ τὸν αὐτοῦ θάνατον παραλαμβάνουσι τὴν ψυχὴν αὐτοῦ οἱ σκοτεινοὶ καὶ ἄσπλαγχνοι Δαίμονες, ἐλέγχοντες, ὀνειδίζοντες, ὑβρίζοντες αὐτήν· ἐὰν συλλογίζησθε, ὅτι τότε ἡ ψυχὴ ἐκείνη οὐ πιστεύει, ἀλλὰ βλέπει ὅσα ἡ πίστις ἐδίδασκε, βλέπει δὲ πάσας τὰς πράξεις, τοὺς λόγους, τὰς ἐνθυμήσεις αὐτῆς, ὥσπερ ἐν εἰκόνι ἐζωγραφημένας μετὰ πασῶν τῶν περιστάσεων, καὶ σχημάτων, καὶ χαρακτήρων, ὅθεν φοβερὰ καὶ ἀπερίγραπτος αἰσχύνη περικαλύπτει αὐτήν· ἡ δὲ συνείδησις αὐτῆς τότε οὐκ ἔστι συνείδησις, ἀλλὰ κάμινος φλογίζουσα καὶ κατακαίουσα αὐτήν· ἐὰν συλλογίζησθε, ὅτι τότε ζητεῖ τὴν μετάνοιαν, ἣν πολλάκις εἰς τὴν πρόσκαιρον ζωὴν κατεφρόνησε, καὶ θέλει τὴν κατόρθωσιν τῆς ἀρετῆς, τὴν ὁποίαν οὐδέποτε ἠθέλησε· βλέπουσα δὲ, ὅτι ἐκεῖ οὐδὲ μετάνοιά ἐστιν, οὐδὲ ἀρετῆς κατόρθωμα· συναισθανομένη δὲ τῆς αἰωνίου κολάσεως, τῆς περιμενούσης αὐτὴν, ὅταν ὁ φοβερὸς καὶ ἀδέκαστος Κριτὴς ἐκφωνήσῃ τὴν ἀπόφασιν, λέγων· Πορεύεσθε ἀπ' ἐμοῦ οἱ κατηραμένοι εἰς τὸ πῦρ τὸ αἰώνιον, τὸ ἡτοιμασμένον τῷ Διαβόλῳ καὶ τοῖς Ἀγγέλοις αὐτοῦ· Ματ. κέ. 41. ἐὰν ταῦτα συλλογίζησθε, ὅταν βλέπητε τὸν νεκρὸν, καὶ, ἐνθυμούμενοι τὰς ἁμαρτίας ὑμῶν, κατανύγεσθε καὶ μετανοεῖτε, καὶ χύνετε ποταμοὺς δακρύων, τότε τὰ δάκρυα ὑμῶν εἰσὶν εὔλογα, δίκαια, καὶ ψυχοσωτήρια. Τοῦτο δὲ ἐσήμαινεν ὁ λόγος τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὃν εἶπε πρὸς τὰς διὰ τὸν θάνατον αὐτοῦ κλαιούσας γυναῖκας· Θυγατέρες Ἱερουσαλήμ, μὴ κλαίετε ἐπ' ἐμὲ, πλὴν ἐφ' ἑαυτὰς κλαίετε, καὶ ἐπὶ τὰ τέκνα ὑμῶν. Λουκ. κγ'. 28.

# ΕΡΜΗΝΕΙΑ

ΕΙΣ ΤΟ ΚΑΤΑ

# ΛΟΥΚΑΝ

## ΕΥΑΓΓΕΛΙΟΝ ΤΗΣ Δ'. ΚΥΡΙΑΚΗΣ.

Θεοπρεπῶς τῷ ὄντι ὁ Θεάνθρωπος Ἰησοῦς, διὰ τῆς σήμερον ἀναγνωσθείσης Παραβολῆς, ἐξωμοίωσε τὸ Εὐαγγελικὸν κήρυγμα τῷ σπόρῳ, ὃν σπείρει ὁ γεωργός. Βλέπε δὲ τὰς ὁμοιότητας τοῦ σπόρου καὶ τοῦ λόγου. Ὁ γεωργὸς, ἀνοίγων τὴν χεῖρα αὐτοῦ, ῥίπτει τὸν σπόρον εἰς τὴν γῆν· ὁ Ἱεροκήρυξ, ἀνοίγων τὸ στόμα αὐτοῦ, ἐκχέει τὸν λόγον εἰς τὰς τῶν ἀκροατῶν ἀκοάς. Ὁ σπόρος γίνεται ἄκαρπος, ἢ κάρπιμος, κατὰ ἀναλογίαν τῆς ποιότητος τῆς γῆς, ἐν ᾗ σπείρεται· ὁ λόγος γίνεται ἀργὸς, ἢ ἐνεργὸς, κατὰ ἀναλογίαν τῆς διαθέσεως τοῦ διδασκομένου ἀνθρώπου. Ὁ σπόρος, εἰς μὲν τὴν ὁδὸν πεσὼν, ἀπολεῖται κατὰ κράτος· εἰς δὲ τὴν πετρώδη γῆν, παῤῥησιάζει μὲν τὸ φυτὸν αὐτοῦ, ἀλλὰ τοῦτο μετ᾽ ὀλίγον ξηραίνεται· εἰς δὲ τὴν ἀκανθηφόρον γῆν βλαστάνει, ἀλλ᾽ ὑπὸ τῶν ἀκανθῶν πνίγεται· εἰς μόνην δὲ τὴν ἀγαθὴν γῆν σπαρεὶς, πολὺν καρποφορεῖ τὸν καρπόν. Ὁ λόγος τοῦ Θεοῦ, διδασκόμενος, ἀπὸ μὲν τῶν μὴ προσεχόντων, μηδὲ κατανοούντων διασκεδάζεται, καὶ διαφθείρεται παντελῶς· εἰς δὲ τοὺς μὴ ἔχοντας μηδὲ ῥανίδα καλῆς διαθέσεως, ἐνεργεῖ πρὸς τὸ ἀγαθὸν, ἀλλ᾽ οὐ τελεσφορεῖ· τοὺς δὲ πολυμερίμνους καὶ φιληδόνους κινεῖ πρὸς τὴν ἀρετὴν, ἀλλ᾽ ἡ κίνησις αὐτοῦ μένει ἄπρακτος· εἰς μόνους δὲ τοὺς καλοδιαθέτους καρποφορεῖ πλουσίως τοὺς τῆς εὐσεβείας καρποὺς καὶ τῆς ἀρετῆς. Ὁ καρπὸς τοῦ σπόρου τρέφει τὸ σῶμα· ὁ καρπὸς τοῦ λόγου σώζει τὴν ψυχήν. Ἀκούσατε, εὐλογημένοι Χριστιανοὶ, περὶ τούτου αὐτὰ τὰ τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ ψυχοσωτήρια λόγια.

Εἶπεν ὁ Κύριος τὴν Παραβο- Λουκ. η'. 4, 5.
λὴν ταύτην. Ἐξῆλθεν ὁ σπείρων τοῦ σπεῖραι τὸν σπόρον αὐτοῦ· καὶ ἐν τῷ σπείρειν αὐτὸν, ὃ μὲν ἔπεσε παρὰ τὴν ὁδὸν, καὶ κατεπατήθη, καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ κατέφαγεν αὐτό.

Διατί ἆρά γε ὁ Κύριος ἐφανέρωσε μὲν τί σημαίνουσι τῆς Παραβολῆς ταύτης τὰ λόγια, ἐσιώπησε δὲ τὸ, τίς ἐστιν ὁ σπορεὺς, καὶ γεωργὸς τοῦ λόγου; Ἐπειδὴ πρῶτος γεωργὸς τοῦ σπόρου, ἤγουν πρῶτος κήρυξ καὶ διδάσκαλος τοῦ εὐαγγελικοῦ κηρύγματος, ἐστὶν αὐτὸς ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς, ὁ καὶ τῆς Παραβολῆς ταύτης ποιητής· διὰ τοῦτο, ἵνα μὴ εἴπῃ, Ἐγὼ ἐξῆλθον τοῦ σπεῖραι τὸν ἐμὸν σπόρον, καὶ οὕτω φανῇ φιλόδοξος, καὶ ἀφορμὴν παράσχῃ κατηγορίας εἰς τοὺς ἀφορμὴν ζητοῦντας φθονεροὺς Φαρισαίους καὶ Γραμματεῖς, ἐσχημάτισεν εἰς τρίτον πρόσωπον ἀνώνυμον τὸν λόγον, εἰπών· Ἐξῆλθεν ὁ σπεί-

ρων

ρων τοῦ σπεῖραι τὸν σπόρον αὐτοῦ. Ἀυτὸς δέ ἐστιν, ὅστις τοὺς πατρικοὺς κόλπους μὴ καταλιπὼν ὡς Θεὸς, ἐξῆλθεν εἰς τὴν γῆν, ἄνθρωπος γενόμενος δι' ἡμᾶς, καὶ κηρύξας ἡμῖν τῆς σωτηρίας τὰ μαθήματα. Οὕτω δὲ σχηματίσας τὸν παραβολικὸν λόγον, ἐφανέρωσε κήρυκα τοῦ Ἐυαγγελίου οὐ μόνον ἑαυτὸν, ἀλλὰ καὶ τοὺς θεηγόρους Ἀποστόλους, καὶ τοὺς ἁγίους Ἱεράρχας καὶ Διδασκάλους, καὶ πάντα ἄλλον τῆς εὐσεβείας καὶ ὀρθοδοξίας κήρυκα. Σημείωσον δὲ, ὅτι οὐκ εἶπεν, ἐξῆλθεν ὁ γεωργὸς, ἀλλ' ἐξῆλθεν ὁ σπείρων, ἵνα διὰ τούτου φανερώσῃ, ὅτι καθὼς γεωργὸς ἀληθινός ἐστιν οὐχ ὅστις ἔχει μὲν σπόρον, ἀλλ' οὐ σπείρει, ἀλλ' ὅστις καὶ ἔχει σπόρον, καὶ σπείρει· οὕτω καὶ διδάσκαλος ἀληθής ἐστιν οὐχὶ ἐκεῖνος, ὅστις ἔχει μὲν τὴν δύναμιν τοῦ διδάσκειν, ὅμως οὐ διδάσκει, ἀλλ' ὅστις, ἔχων τῆς διδασκαλίας τὸ χάρισμα, πράγματι καὶ ἀληθείᾳ διδάσκει. Βλέπε δὲ πρῶτον ὅσα συμβαίνουσιν εἰς τὸν σπειρόμενον σπόρον, ἔπειτα ἀκούεις, ὅτι τὰ ὅμοια συμβαίνουσι καὶ εἰς τὸν διδασκόμενον λόγον. Ὅτε, λέγει, ὁ γεωργὸς ἔσπειρε τὸν σπόρον, ὃ μὲν, ἤγουν μέρος μὲν τοῦ σπόρου, ἔπεσεν εἰς τὴν ὁδὸν· ὅθεν καὶ οἱ διερχόμενοι κατεπάτησαν, καὶ τὰ πετεινὰ δὲ, τὰ εἰς τὸν ἀέρα πετώμενα, κατέφαγον αὐτόν.

Λουκ. η'. 6. **Καὶ ἕτερον ἔπεσεν ἐπὶ τὴν πέτραν, καὶ φυὲν ἐξηράνθη, διὰ τὸ μὴ ἔχειν ἰκμάδα.**

Ἄλλο δὲ τοῦ σπόρου μέρος ἔπεσεν ἐπὶ τὴν πέτραν, καὶ ἐβλάστησε, πλὴν, ἐπειδὴ ἡ πέτρα οὐκ εἶχεν ὑγρασίαν, ἐξηράνθη. Μὴ νοήσῃς δὲ πέτραν γυμνὴν, καὶ ξηρὰν, διότι ἐπάνω εἰς αὐτὴν οὐδόλως βλαστάνει ὁ σπόρος· ἄκουσον δὲ, πῶς πλατύτερον τοῦτο περιγράφουσιν οἱ δύω ἄλλοι Ἐυαγγελισταὶ, ὁ Ματθαῖος δηλαδὴ καὶ ὁ Μάρκος· Ἄλλα δὲ ἔπεσεν ἐπὶ τὰ πετρώδη, ὅπου οὐκ Ματ. ιγ'. 5.
εἶχε γῆν πολλὴν, καὶ εὐθέως ἐ- Μάρκ. δ'. 5.
ξανέτειλε, διὰ τὸ μὴ ἔχειν βάθος. Ὅπου ἡ γῆ ὀλίγη ἐστὶ, καὶ βάθος οὐκ ἔχει, ἐκεῖ ἡ δύναμις τοῦ σπόρου, μὴ δυναμένη ἐνεργῆσαι πρὸς τὰ κάτω, καὶ αὐξῆσαι τὴν ῥίζαν διὰ τὸ ἐμπόδιον τῶν πετρῶν, τῶν ἐν τῷ βάθει τῆς γῆς, ἡ δύναμις τοῦ σπόρου οὐκ ἐνεργεῖ πρὸς τὰ κάτω, οὐδὲ αὐξάνει τὴν ῥίζαν, ἀλλὰ φέρεται ὅλη πρὸς τὰ ἄνω, καὶ χωρὶς ἀργοπορίας συνιστᾷ τὸ φυτόν· ὅθεν ὁ σπόρος, ὁ εἰς τὴν πετρώδη γῆν πεσὼν, βλαστάνει μὲν ταχέως, μὴ ἔχων δὲ ἀνάλογον ῥίζαν, ἥτις ἐστὶ τοῦ φυτοῦ τὸ στόμα, μηδὲ εὑρίσκων ἰκμάδα εἰς τὴν ὑποκειμένην πέτραν, ἵνα ἐξ αὐτῆς τραφῇ, ὅταν ἀνατείλῃ ὁ ἥλιος, καυματίζεται, λέγουσιν οἱ αὐτοὶ Ἐυαγγε- Ματ. ιγ'. 6.
λισταὶ, καὶ διὰ τὸ μὴ ἔχειν ῥίζαν, ἤγουν, ἐπειδὴ οὐκ ἔχει τὴν ἀνάλογον ῥί- Μάρκ. δ'. 5.
ζαν, ξηραίνεται.

**Καὶ ἕτερον ἔπεσεν ἐν μέσῳ τῶν ἀκανθῶν, καὶ συμφυεῖσαι αἱ ἄκανθαι, ἀπέπνιξαν αὐτό.** Λουκ. η'. 7.

Ἄλλο δὲ μέρος σπόρου ἔπεσεν εἰς τὴν ἀκανθηφόρον γῆν, βλαστήσασαι δὲ αἱ ἄκανθαι ὁμοῦ σὺν τῷ φυτῷ τοῦ σπόρου, ἀπέπνιξαν αὐτό. Σημείωσαι δὲ τὸ, Συμφυεῖσαι αἱ ἄκανθαι, ὅπερ σημαίνει, ὅτι καθὼς ἐν τῇ ἀκανθώδει γῇ βλαστάνει καὶ τὸ ἥμερον φυτὸν καὶ αἱ ἄγριαι ἄκανθαι, πνίγουσι δὲ αἱ ἄκανθαι τὸ φυτὸν, ἐὰν μὴ ἐν καιρῷ τῷ προσήκοντι ἐκβληθῶσιν· οὕτω καὶ ἐν τῇ

φύ-

φύσει τοῦ ἀνθρώπου, μετὰ τὴν προπατορικὴν ἁμαρτίαν, βλαστάνουσι καὶ οἱ βλαστοὶ τῆς σωτηριώδους ἀρετῆς, καὶ τὰ φυτὰ τῆς ψυχοβλαβοῦς ἁμαρτίας· ἐὰν δὲ μὴ ἐκριζωθῇ ἡ ἁμαρτία, ἀλλὰ συναυξήσῃ μετὰ τῆς ἀρετῆς, ἐξαφανίζει ἡ κακία τῆς ἀρετῆς τὰ βλαστήματα.

Λουκ. η'. 8. **Καὶ ἕτερον ἔπεσεν ἐπὶ τὴν γῆν τὴν ἀγαθὴν, καὶ φυὲν ἐποίησε καρπὸν ἑκατονταπλασίονα.**

Καὶ ἄλλο μέρος σπόρου ἔπεσεν ἐπὶ τὴν γῆν τὴν ἀγαθὴν, ἤγουν τὴν καρποφόρον, τὴν περιέχουσαν καὶ ὑγρασίαν, καὶ ἔλαια, καὶ ἅλατα, καὶ ὅσα ἄλλα ἀναγκαῖά εἰσι πρὸς διατροφὴν καὶ αὔξησιν τοῦ φυτοῦ, καὶ πρὸς πλουσίαν καρποφορίαν· ἐν τῇ τοιαύτῃ δὲ γῇ οὐ μόνον ἐβλάστησεν ὁ σπόρος, ἀλλὰ καὶ ἐποίησε καρπὸν ἑκατονταπλάσιον. Κἂν δέ τινες ἀμφιβάλλωσι περὶ τοῦ, ὅτι εἷς κόκκος δύναται καρποφορῆσαι κόκκους ἑκατὸν, τοῦτο ὅμως βέβαιόν ἐστιν, οὐ μόνον διὰ τὰς μαρτυρίας τῶν φυσιολόγων,
Βαρῥών. περὶ Γεωργ. Πλίν. β'. 18. κ. 10. περὶ σίτ. οἵτινες ἱστοροῦσιν, ὅτι ἡ τῶν Συβαριτῶν γῆ, καὶ ὁ ἐν τῇ Ἀφρικῇ Βυζάκιος ἀγρὸς, καὶ οἱ ἐν Σικελίᾳ λεγόμενοι Λεόντιοι ἀγροὶ, ἐξόχως δὲ ἡ τῆς Αἰγύπτου γῆ ἀποδίδωσι καρπὸν ἐπέκεινα τοῦ ἑκατονταπλασίου· ἀλλὰ καὶ διὰ τὴν μαρτυρίαν τῆς θείας Γραφῆς, λεγούσης περὶ
Γεν. κς'. 12. τῆς γῆς Γεράρων· Ἔσπειρε δὲ Ἰσαὰκ ἐν τῇ γῇ ἐκείνῃ· καὶ εὗρεν ἐν τῷ ἐνιαυτῷ ἐκείνῳ ἑκατοστεύουσαν κριθήν. Ἐὰν δὲ στοχασθῇς πόσας ἀρετὰς καρποφορεῖ ὁ λόγος τοῦ Θεοῦ, ὅταν πέσῃ εἰς τὴν καρδίαν τοῦ ἀγαθοῦ ἀνθρώπου, βλέπεις τὸ ἑκατονταπλάσιον τοῦ καρποῦ· διότι πολλάκις εἷς μόνος λόγος μυρίας ἀρετὰς ἐκαρποφόρησε· μαρτυροῦσι τοῦτο αἱ πολλαὶ τοῦ Εὐαγγελιστοῦ Ματθαίου ἀρεταὶ, καρποὶ ἑνὸς λόγου του, Ἀκολούθει μοι. Ματ. θ'. 9.
Ταύτην δὲ τὴν Παραβολὴν ἀκούσαντες οἱ Μαθηταὶ τοῦ Κυρίου Ἰησοῦ, καὶ μὴ κατανοήσαντες τοῦ λόγου τὴν ἔννοιαν, ἐζήτησαν παρ' αὐτοῦ τὴν ἐξήγησιν.

**Ἐπηρώτων δὲ αὐτὸν οἱ Μαθηταὶ αὐτοῦ, λέγοντες· Τίς εἴη ἡ Παραβολὴ αὕτη;** Λουκ. η'. 9.
**Ὁ δὲ εἶπεν· Ὑμῖν δέδοται γνῶναι** 10.
**τὰ μυστήρια τῆς βασιλείας τοῦ Θεοῦ· τοῖς δὲ λοιποῖς ἐν Παραβολαῖς, ἵνα βλέποντες μὴ βλέπωσι, καὶ ἀκούοντες μὴ συνιῶσιν.**

Τὸ μὲν ἐρώτημα τῶν Μαθητῶν σαφὲς καὶ εὐκατανόητον, ἡ δὲ ἀπόκρισις τοῦ διδασκάλου ἀσαφὴς, καὶ ἀπορίας πρόξενος. Ἀσαφὴς, ἐπειδὴ ἀκατάλληλος τῷ ἐρωτήματι· οἱ μὲν Μαθηταὶ ἐρωτῶσι, τίς ὁ σκοπὸς καὶ ἡ ἔννοια τῆς Παραβολῆς, Τίς εἴη ἡ Παραβολὴ αὕτη; ὁ δὲ Διδάσκαλος ἀποκρίνεται πρὸς αὐτοὺς, οὐχὶ ἐξηγῶν τῆς Παραβολῆς τὸ νόημα, ἀλλὰ λέγων πρὸς αὐτούς· Ὑμῖν δέδοται γνῶναι τὰ μυστήρια. Ἀπορίαν δὲ προξενεῖ τὸ, ἵνα· διότι τὸ, ἵνα, ἐκλαμβανόμενον κατὰ τὴν κοινὴν χρῆσιν, σημαίνει, ὅτι ἐπίτηδες ἐλάλει ὁ Ἰησοῦς παραβολικῶς, ἵνα, βλέποντες καὶ ἀκούοντες, μὴ κατανοῶσι, καὶ ἑπομένως μηδὲ πιστεύωσιν εἰς αὐτόν· τοῦτο δὲ πάντῃ ἀνάρμοστον, μᾶλλον δὲ ἐναντίον εἰς τὴν ἄπειρον αὐτοῦ εὐσπλαγχνίαν. Ἀλλ' ἐὰν θεωρήσωμεν τὴν αὐτὴν περικοπὴν εἰς τὸ κατὰ Ματθαῖον Εὐαγγέλιον, καὶ ἡ ἀσάφεια σαφηνίζεται, καὶ ἡ
ἀπορία παντελῶς λύεται. Καὶ προσελ- Ματ. ιγ'. 10.

σελθόντες, λέγει ὁ ἱερὸς Ματθαῖος, οἱ Μαθηταὶ, εἶπον αὐτῷ· Διατί ἐν Παραβολαῖς λαλεῖς αὐτοῖς; ἐκ τούτου οὖν φανερόν ἐστιν, ὅτι δύω ἦσαν τὰ ἐρωτήματα τῶν Μαθητῶν· τούτων δὲ τὸ πρῶτον, ἤγουν τὸ, Διατί ἐν Παραβολαῖς λαλεῖς αὐτοῖς; ἔγραψεν ὁ Ματθαῖος· τὸ δὲ δεύτερον, τὸ σιωπηθὲν ὑπὸ τοῦ Ματθαίου, ἤγουν τὸ, Τίς εἴη ἡ Παραβολὴ αὕτη, ἔγραψεν ὁ Λουκᾶς. Πρῶτον οὖν ἀπεκρίθη ὁ Ἰησοῦς εἰς τὸ πρῶτον ζήτημα, εἰπών· Λαλῶ ἐν Παραβολαῖς, διότι εἰς ὑμᾶς, τοὺς εἰς ἐμὲ πιστεύσαντας, ἔδωκεν ὁ Θεὸς τὴν χάριν τῆς γνώσεως τῶν μυστηρίων, εἰς ἐκείνους δὲ τοὺς μὴ πιστεύσαντας οὐκ ἔδωκε τοιαύτην χάριν, διὰ
Αὐτ. ιγ΄. 11. τὴν ἀπιστίαν αὐτῶν· Ὁ δὲ ἀποκριθεὶς, εἶπεν αὐτοῖς· Ὅτι ὑμῖν δέδοται γνῶναι τὰ μυστήρια τῆς βασιλείας τῶν οὐρανῶν, ἐκείνοις δὲ οὐ δέδοται. Λαλῶ, λέγει, ἐν Παραβολαῖς, διότι ἐκεῖνοι, βλέποντες τὰ θαύματα διὰ τῶν αἰσθητῶν ὀμμάτων, οὐ βλέπουσιν αὐτὰ διὰ τῶν ὀφθαλμῶν τῆς ψυχῆς, καὶ ἀκούοντες διὰ τῶν σωματικῶν ὠτίων καὶ αὐτὰ τὰ φανερῶς καὶ ἄνευ Παραβολῆς λεγόμενα, οὐκ ἀκούουσι διὰ τῶν ψυχικῶν ἀκοῶν, οὐδὲ κατανοοῦσιν αὐτά· διὰ τοῦτο ἐν Παρα-
Αὐτόθι. 13. βολαῖς λαλῶ πρὸς τοὺς λοιπούς· Ὅτι βλέποντες οὐ βλέπουσι, καὶ ἀκούοντες οὐκ ἀκούουσιν, οὐδὲ συνιοῦσιν· ἵνα οὖν μὴ κολάζωνται, ὡς μὴ θέλοντες κατανοῆσαι καὶ τὰ ἄνευ Παραβολῆς λεγόμενα, διὰ τοῦτο λαλῶ ἐν Παραβολαῖς. Ὁ πανεύφημος οὖν Ματθαῖος, φανερώσας τὸ πρῶτον ἐρώτημα τῶν Μαθητῶν τοῦ Χριστοῦ, καὶ εἰπὼν τὸ, Ὅτι ὑμῖν δέδοται, ἐσαφήνισε τὴν ἀσάφειαν· γράψας δὲ τὸ, ὅτι, ἀντὶ τοῦ ἵνα· Ὅτι βλέποντες οὐ βλέπουσιν, ἔλυσε τὴν ἀπορίαν. Τοιουτοτρόπως δὲ ἀπαντήσας ὁ Κύριος εἰς τὸ πρῶτον ἐρώτημα, ἤγουν εἰς τὸ, διατί ἐν Παραβολαῖς λαλεῖ, ἀποκρίνεται ἔπειτα καὶ εἰς τὸ δεύτερον, ἤγουν εἰς τὸ, Τίς εἴη ἡ Παραβολὴ αὕτη, ἐξηγῶν τῆς Παραβολῆς τὸ νόημα.

Ἔστι δὲ αὕτη ἡ Παραβολή· Λουκ. η΄. 11, 12.
Ὁ σπόρος ἐστὶν ὁ λόγος τοῦ Θεοῦ· οἱ δὲ παρὰ τὴν ὁδὸν, εἰσὶν οἱ ἀκούοντες· εἶτα ἔρχεται ὁ Διάβολος, καὶ αἴρει τὸν λόγον ἀπὸ τῆς καρδίας αὐτῶν, ἵνα μὴ πιστεύσαντες σωθῶσιν.

Ἔστι δὲ αὕτη ἡ Παραβολὴ, ἤγουν αὕτη ἐστὶν ἡ ἐξήγησις τῆς Παραβολῆς· Ὁ σπόρος ἐστὶν ὁ λόγος τοῦ Θεοῦ· ὁδὸς δὲ, οἱ παρὰ τὴν ὁδὸν ὄντες ἄνθρωποι, καὶ ἀκούοντες· πετεινὰ δὲ τοῦ οὐρανοῦ, τὰ ἐναέρια τῆς πονηρίας πνεύματα, τουτέστιν ὁ Διάβολος. Ἀλλὰ τίνες εἰσὶν οἱ ἐν τῇ ὁδῷ ἀκούοντες τὸν λόγον; Οὗτοί εἰσιν οἱ ἀνευλαβεῖς ἄνθρωποι, οἱ μὴ προσέχοντες, καὶ ἐπομένως μηδὲ κατανοοῦντες τὰ λεγόμενα· ἐπιβεβαιοῖ τοῦτο ὁ θεηγόρος Ματθαῖος, λέγων· Παντὸς ἀκούοντος τὸν λόγον τῆς βασιλείας, καὶ μὴ Ματ. ιγ΄. 19.
συνιέντος, ἤγουν μὴ καταλαμβάνοντος αὐτὸν, ἔρχεται ὁ πονηρὸς, καὶ ἁρπάζει τὸ ἐσπαρμένον ἐν τῇ καρδίᾳ αὐτοῦ· οὗτός ἐστιν ὁ παρὰ τὴν ὁδὸν σπαρείς. Πρὸς τοὺς τοιούτους ἀνθρώπους, διὰ τὴν ἀνευλάβειαν καὶ ἀπροσεξίαν αὐτῶν, τολμᾷ καὶ ἔρχεται ὁ Διάβολος, καὶ αἴρει ἀπὸ τῆς καρδίας αὐτῶν, ἤγουν διασκεδάζει καὶ ἐξαλείφει ἀπὸ τῆς μνήμης αὐτῶν τὸν
λό-

λόγον, ὃν ἤκουσαν, καὶ οὐ κατενόησαν, ἵνα μὴ, μνημονεύοντες αὐτοῦ, κατανοήσωσιν αὐτὸν, κατανοήσαντες δὲ πιστεύσωσι, καὶ πιστεύσαντες σωθῶσιν.

Λουκ. ή. 13. **Οἱ δὲ ἐπὶ τῆς πέτρας, οἳ, ὅταν ἀκούσωσι, μετὰ χαρᾶς δέχονται τὸν λόγον· καὶ οὗτοι ῥίζαν οὐκ ἔχουσιν, οἳ πρὸς καιρὸν πιστεύουσι, καὶ ἐν καιρῷ πειρασμοῦ ἀφίστανται.**

*Πέτρα εἰσὶν ἐκεῖνοι οἱ ἄνθρωποι, οἵ τινες, ὅταν ἀκούσωσι τὸν λόγον τοῦ Θεοῦ, δέχονται αὐτὸν μετὰ χαρᾶς· ἀλλὰ, καθὼς ὁ σπόρος, ὁ πεσὼν ἐπὶ τὴν πετρώδη γῆν, βλαστάνει μὲν, ἀλλ' ἐπειδὴ οὐκ ἐῤῥίζωσε, διὰ τὴν ἀνυδρίαν καὶ σκληρότητα τῆς πέτρας, ξηραίνεται· οὕτω καὶ ὁ λόγος τοῦ Θεοῦ βλαστάνει μὲν εἰς αὐτοὺς τὸν βλαστὸν τῆς πίστεως, πιστεύουσι δηλαδὴ οἱ τοιοῦτοι, ἀλλ' ἐπειδὴ, διὰ τὴν ἀμέλειαν καὶ ῥαθυμίαν αὐτῶν, ὁ λόγος τοῦ Θεοῦ οὐκ ἐῤῥίζωσεν, οὐδὲ ἐστηρίχθη εἰς τὴν καρδίαν αὐτῶν, διὰ τοῦτο, εἰς καιρὸν μὲν εἰρήνης καὶ ἡσυχίας παντὸς πειρασμοῦ, διαμένουσι πιστοὶ, ἐν καιρῷ δὲ πειρασμοῦ, ἤγουν, ὅταν συνέβη διωγμὸς, ἢ ἄλλη τὶς κινδυνώδης καὶ θλιβερὰ περίστασις, τότε ἀθετοῦσι τὴν πίστιν. Τοῦτο συνέβη μὲν εἰς τοὺς παλαιοὺς καιροὺς, συμβαίνει δὲ καὶ εἰς τὰς καθ' ἡμᾶς ἡμέρας· τινὲς δηλαδὴ τῶν πιστῶν ἢ διὰ τὸν φόβον τῶν τυράννων, ἢ διὰ φιλοζωΐαν, ἢ διὰ φιλοχρηματίαν, ἢ διὰ φιληδονίαν, ἢ διὰ φιλοδοξίαν, ἠρνήθησαν τότε, καὶ ἄχρι τῆς σήμερον τινὲς ἀρνοῦνται οἱ τρισάθλιοι τὴν εὐσέβειαν καὶ τὴν ὀρθοδοξίαν τῆς πίστεως.*

**Τὸ δὲ εἰς τὰς ἀκάνθας πεσὸν, οὗτοί εἰσιν οἱ ἀκούσαντες, καὶ ὑπὸ μεριμνῶν καὶ πλούτου καὶ ἡδονῶν τοῦ βίου πορευόμενοι, συμπνίγονται, καὶ οὐ τελεσφοροῦσι.** Λουκ. ή. 14.

*Ὁ εἰς τὰς ἀκάνθας πεσὼν σπόρος ἐστὶν ὁ λόγος τοῦ Θεοῦ, ὃν ἀκούουσιν οἱ πολυμέριμνοι, καὶ φιλόπλουτοι, καὶ φιλήδονοι· τούτου δὲ τοῦ λόγου τὴν δύναμιν καὶ τὴν ἐνέργειαν θανατοῦσιν αἱ κοσμικαὶ μέριμναι, καὶ ἡ ἀπάτη τοῦ πλούτου, καὶ ἡ ἡδονὴ τῆς σαρκὸς, καθὼς πνίγουσιν αἱ ἄκανθαι τὸν τοῦ σπόρου βλαστόν· Καὶ ἡ μέριμνα, λέγει ὁ Εὐαγγελιστὴς Ματθαῖος, τοῦ αἰῶνος τούτου, καὶ ἡ ἀπάτη τοῦ πλούτου συμπνίγει τὸν λόγον, καὶ ἄκαρπος γίνεται. Ἐκ τούτων δὲ φανερόν ἐστιν, ὅτι οὐ πᾶσα μέριμνα, ἀλλ' ἡ μέριμνα τῶν κοσμικῶν ματαιοτήτων· οὐχ ὁ πλοῦτος, ἀλλ' ἡ ἀπάτη τοῦ πλούτου, οὐχ ἡ ἡδονὴ ἡ πνευματικὴ καὶ ἁγία, ἡ θυγάτηρ τῆς ἀρετῆς, ἀλλ' ἡ ἡδονὴ ἡ σαρκικὴ καὶ παμβέβηλος, ἡ μήτηρ τῆς ἁμαρτίας, βλάπτει τὴν τοῦ ἀνθρώπου ψυχήν.* Ματ. ιγ'. 22.

**Τὸ δὲ ἐν τῇ καλῇ γῇ, οὗτοί εἰσιν, οἵτινες ἐν καρδίᾳ καλῇ καὶ ἀγαθῇ ἀκούσαντες τὸν λόγον, κατέχουσι, καὶ καρποφοροῦσιν ἐν ὑπομονῇ.** Λουκ. ή. 15.

*Ἰδοὺ ποία ἐστὶν ἡ καρποφόρος γῆ· ἐκεῖνοί εἰσιν, οἵ τινες, ἔχοντες καρδίαν καλὴν καὶ ἀγαθὴν, ἤγουν ἀγαθωτάτην, ἀκούσαντες τὸν λόγον τοῦ Θεοῦ, κατέχουσιν αὐτὸν, τουτέστι μνημονεύουσι καὶ μελε-*

μελετῶσιν αὐτὸν διαπαντὸς, κἂν δὲ ὁποιοσδήποτε πειρασμὸς συμβῇ εἰς αὐτοὺς, μετὰ καρτερίας καὶ ὑπομονῆς καρποφοροῦσι τῆς ἀρετῆς τοὺς καρπούς.

Λουκ. η΄. 8. Ταῦτα λέγων, ἐφώνει· Ὁ ἔχων ὦτα ἀκούειν, ἀκουέτω.

Πάντες μὲν ἔχομεν ὠτία σωματικὰ, οὐ πάντες δὲ ψυχικά· καὶ διὰ μὲν τῶν σωματικῶν ἀκούομεν καθὼς καὶ τὰ ἄλογα ζῶα, διὰ δὲ τῶν ψυχικῶν κατανοοῦμεν ὡς λογικοὶ, καὶ διακρίνομεν τὰ λεγόμενα. Περὶ τῶν ψυχικῶν δὲ ὠτίων ἐνταῦθα λαλεῖ ὁ Θεάνθρωπος, δι' ὧν ὁ ἀκούων, καὶ ἀκούει, καὶ κατανοεῖ, καὶ σώζεται.

# ΟΜΙΛΙΑ

ΜΕΤΑ ΤΟ ΚΑΤΑ

# ΛΟΥΚΑΝ

## ΕΥΑΓΓΕΛΙΟΝ ΤΗΣ Δ΄. ΚΥΡΙΑΚΗΣ.

Παράδοξον πρᾶγμα βλέπομεν τὴν σήμερον, ἀδελφοὶ, συμβαῖνον εἰς τὸ κήρυγμα τοῦ λόγου τοῦ Θεοῦ, πάντῃ διαφέρον τοῦ συμβαίνοντος εἰς τὴν ἀρχὴν τῆς χριστιανικῆς πίστεως. Ὅτε τὸ πρῶτον ἐν Ἱερουσαλὴμ ἤνοιξεν ὁ Πέτρος τὸ στόμα αὐτοῦ, ἐνώπιον τοῦ λαοῦ, καὶ συντόμως τε καὶ ἁπλῶς ἐδίδαξε τοῦ Θεοῦ τὸν λόγον, ἐπίστευσαν εὐθὺς, καὶ ἐβαπτίσθησαν τρεῖς σχεδὸν χιλεάδες ἀνθρώ-
Πράξ. β΄. 41. πων· Οἱ μὲν οὖν ἀσμένως ἀποδεξάμενοι τὸν λόγον αὐτοῦ, ἐβαπτίσθησαν· καὶ προσετέθησαν τῇ ἡμέρᾳ ἐκείνῃ ψυχαὶ ὡσεὶ τρισχίλιαι. Ἄλλοτε πάλιν ὁ αὐτὸς Ἀπόστολος ἐκήρυξεν ἐν τῇ καλουμένῃ Στοᾷ τοῦ Σολομῶντος, ἐπίστευσαν δὲ ἐκ τῶν ἀκουσάντων τὴν διδαχὴν αὐτοῦ
Αὐτόθι. δ΄. 4. σχεδὸν χιλιάδες πέντε· Πολλοὶ δὲ τῶν ἀκουσάντων τὸν λόγον ἐπίστευσαν, καὶ ἐγενήθη ὁ ἀριθμὸς τῶν ἀνδρῶν ὡσεὶ χιλιάδες πέντε. Ἔρχεται ὁ Φίλιππος εἰς τὴν Σαμάρειαν, κηρύττει ἐκεῖ τὰ περὶ τῆς βασιλείας Πράξ. η΄. 12.
τοῦ Θεοῦ, καὶ τοῦ ὀνόματος τοῦ Ἰησοῦ Χριστοῦ· πιστεύουσι δὲ εὐθὺς, καὶ βαπτίζονται ἄνδρες τε καὶ γυναῖκες. Ἔρχονται ὁ Βαρνάβας καὶ ὁ Παῦλος εἰς τὴν Πάφον, διδάσκουσιν ἐκεῖ τοῦ Θεοῦ τὸν λόγον, πιστεύει δὲ
εὐθὺς ὁ Ἀνθύπατος, Σέργιος ὁ Παῦλος. Αὐτ. ιγ΄. 6, 12.
Σημειώσατε δὲ τὸ τί ἐδίδασκον τότε οἱ θεῖοι Ἀπόστολοι τοὺς ἀκροατὰς αὐτῶν· ἐδίδασκον αὐτοὺς, ἵνα ἀθετήσωσι τὴν πατροπαράδοτον αὐτῶν πίστιν, καὶ δεχθῶσιν ἄλλην, τὴν εἰς Χριστόν· ἐδίδασκον αὐτοὺς, ἵνα ὑποταχθῶσιν εἰς ἄλλον νόμον, τὸν Εὐαγγελικὸν, ὅστις ἦν ἐναντίος τοῦ ἰδίου αὐτῶν νόμου· προέτρεπον αὐτοὺς, ἵνα ἐγκαταλείπωσι τὰ συνειθισμένα αὐτῶν ἤθη, καὶ ἐναγκαλισθῶσιν ἄλλα, τὰ χριστιανικὰ, ἄλλον βίον, ἄλλας συνηθείας, ἄλλο πολίτευμα, τὸ πνευματικὸν ἀντὶ τοῦ σαρκικοῦ, τὸ οὐράνιον ἀντὶ τοῦ ἐπιγείου. Καὶ ὅμως, ἀκούοντες τὸ εὐαγγελικὸν κήρυγμα, ἠρ-

ἠρνοῦντο τὴν παλαιὰν καὶ πάτριον αὐτῶν θρησκείαν, καὶ ἐδέχοντο τὴν νέαν καὶ ξένην πίστιν· κατεφρόνουν τὴν ἐλευθερίαν τὴν ἐκ τῶν νόμων αὐτῶν, καὶ ἔβαλλον τὸν τράχηλον αὐτῶν ὑποκάτω εἰς τὸν εὐαγγελικὸν τοῦ Κυρίου ζυγόν· ἀπεστρέφοντο τὰς ἡδονὰς τῆς σαρκὸς, καὶ πᾶσαν σωματικὴν τρυφὴν καὶ ἀνάπαυσιν, καὶ ἔτρεχον εἰς τοὺς διωγμοὺς, εἰς τοὺς ἀγῶνας, εἰς τοὺς κινδύνους, εἰς τὸν θάνατον.

Τὴν σήμερον καὶ διδάσκεται ὁ λόγος τοῦ Θεοῦ, καὶ ἀναγινώσκεται, καὶ ὅμως καρπὸς σχεδὸν οὐδείς. Διδάσκουσι δὲ τὴν σήμερον οἱ ἱεροκήρυκες, οὐχ ἵνα ἀθετήσωμεν τὴν πατροπαράδοτον πίστιν, ἀλλ' ἵνα φυλάξωμεν αὐτὴν ἀμόλυντον καὶ ἀμώμητον· διδάσκουσιν, οὐχ ἵνα δεχθῶμεν ἄλλον νόμον νεοφανῆ, ἀλλ' ἵνα φυλάξωμεν τὸν χριστιανικὸν νόμον, ὃν ὑπὸ τῶν πατέρων ἡμῶν παρελάβομεν· διδάσκουσιν, οὐχ ἵνα ἀκολουθήσωμεν ἄλλα ἤθη καὶ συνηθείας, ἀλλ' ἵνα ζῶμεν κατὰ τὰ παλαιὰ ἤθη καὶ ἔθιμα τῶν Χριστιανῶν, καὶ ὅμως τὴν σήμερον καρπὸς σχεδὸν οὐδείς. Καθεὶς εὔκολα κατανοεῖ, πόσην δυσκολίαν εἶχε τότε, καὶ πόσην εὐκολίαν ἔχει τὴν σήμερον ἡ ὑπακοὴ εἰς τὸ εὐαγγελικὸν κήρυγμα, καὶ ὅμως τὴν σήμερον καρπὸς σχεδὸν οὐδείς. Τοῦτο ἀληθῶς θαυμασμοῦ καὶ ἀπορίας ἄξιον.

Τότε, λέγουσι τινὲς, ἐκαρποφόρει ὁ λόγος τοῦ Θεοῦ, ἐπειδὴ ἐστήριζον αὐτὸν
Πράξ. β'. 7. τὰ θαύματα· ἐπίστευσαν σχεδὸν τρεῖς χιλιάδες ψυχαὶ εἰς τὴν πρώτην διδαχὴν τοῦ Πέτρου, ἐπειδὴ ἐθαύμασαν, καὶ ἐξέστησαν, ἀκούσαντες τοὺς Ἀποστόλους, αἰφνιδίως λαλοῦντας διαφόρους γλώσσας·
Ἀυτ. γ'. 2, 8. ἐπίστευσαν εἰς τὴν δευτέραν διδαχὴν τοῦ αὐτοῦ Ἀποστόλου σχεδὸν πέντε χιλιάδες, ἐπειδὴ εἶδον τὸν ἐκ κοιλίας μητρὸς αὐτοῦ χωλὸν καὶ βασταζόμενον, περιπατοῦντα καὶ πηδῶντα· ἐπίστευσαν ἐν τῇ Σαμαρείᾳ ἄνδρες καὶ γυναῖκες εἰς τὸ κήρυγμα τοῦ Ἀποστόλου Φιλίππου, ἐπειδὴ, πολλῶν τῶν ἐχόντων πνεύ- Πράξ. η'. 7.
ματα ἀκάθαρτα, βοῶντα μεγάλῃ φωνῇ, ἐξήρχετο· πολλοὶ δὲ παραλελυμένοι καὶ χωλοὶ ἐθεραπεύθησαν· ἐπίστευσεν ὁ Ἀνθύπατος εἰς τὴν διδαχὴν τοῦ Παύλου, ἐπειδὴ εἶδεν, ὅτι ἡ κατάρα αὐτοῦ ἐτύφλωσεν εὐθὺς τὸν Ἐλύμαν τὸν μάγον. Ναὶ, ἀλη- Ἀυτ. ιγ'. 11.
θέστατόν ἐστιν, ὅτι τὰ σημεῖα καὶ θαύματα συνήργουν καὶ ἐβεβαίουν τὸ κήρυγμα, ὡς μαρτυρεῖ ὁ Εὐαγγελιστὴς Μάρκος, λέγων· Ἐκεῖνοι δὲ ἐξελ- Μάρκ. ιϛ'. 20.
θόντες ἐκήρυξαν πανταχοῦ, τοῦ Κυρίου συνεργοῦντος, καὶ τὸν λόγον βεβαιοῦντος διὰ τῶν ἐπακολουθούντων σημείων.

Ἀλλὰ πρῶτον μὲν βλέπομεν, ὅτι πολλοὶ ἐπίστευσαν, μὴ ἰδόντες θαύματα. Ποῖον θαῦμα εἶδεν ὁ Αἰθίοψ Πράξ. η'. 27, 35. 38.
εὐνοῦχος, δυνάστης Κανδάκης τῆς Βασιλίσσης Αἰθιόπων, ὅταν ὁ πανεύφημος Φίλιππος, ἀνοίξας τὸ στόμα αὐτοῦ, καὶ ἑρμηνεύσας τὴν ῥῆσιν τοῦ Προφήτου Ἡσαΐου, εὐηγγελίσατο αὐτῷ τὸν Ἰησοῦν; οὐδὲν θαῦμα εἶδε, καὶ ὅμως, ἀκούσας τὴν τοῦ Φιλίππου ἑρμηνείαν, ἐπίστευσεν εὐθὺς, καὶ ἐβαπτίσθη. Ποῖον θαῦμα εἶδον οἱ Ἀντιο-
χεῖς, ὅτε Ἄνδρες τινὲς Κύπριοι καὶ Ἀυτ. ια'. 20, 21.
Κυρηναῖοι ἐλάλουν πρὸς τοὺς ἐκεῖ Ἑλληνιστὰς, εὐαγγελιζόμενοι τὸν Κύριον Ἰησοῦν; θαῦμα οὐδὲν εἶδον, καὶ ὅμως πολὺς ἀριθμὸς πιστεύσας, ἐπέστρεψαν ἐπὶ τὸν Κύριον. Ποῖον θαῦμα εἶδον οἱ ἐν Ἀντιοχείᾳ τῆς Πισιδίας, ὅτε ὁ Παῦλος καὶ ὁ Βαρνάβας παῤῥησιασάμενοι ἐδίδαξαν αὐτοὺς τὴν εἰς Χριστὸν πίστιν; οὐδὲν, καὶ ὅμως οἱ ἐκεῖ ἐθνικοὶ, ἀκούοντες τὸ
κήρυγμα, ἔχαιρον καὶ ἐδόξαζον τὸν Πράξ. ιγ'. 48.

λό-

λόγον τοῦ Κυρίου, καὶ ἐπίστευσαν, ὅσοι ἦσαν τεταγμένοι εἰς ζωὴν αἰώνιον. Οὐδὲν θαῦμα εἶδον οἱ ἐν Ἰκονίῳ, ὅτε οἱ αὐτοὶ Παῦλος καὶ Βαρνάβας, εἰσελθόντες εἰς τὴν ἐκεῖ Συναγωγὴν, ἐλάλησαν τοῦ Θεοῦ τὸν λόγον· καὶ ὅμως πολὺ πλῆθος Ἰουδαίων
Πράξ. ιδ'. 1. τε καὶ Ἑλλήνων ἐπίστευσε. Θαῦμα οὐκ εἶδον οἱ κατοικοῦντες τὴν Βέῤῥοιαν, καὶ ὅμως, ὅταν ὁ Παῦλος καὶ ὁ Σίλας ἐδίδαξαν εἰς τὴν ἐν αὐτῇ Συναγωγὴν τῶν
Αὐτ. ιζ'. 11, 12. Ἰουδαίων, ἐδέξαντο τὸν λόγον μετὰ πάσης προθυμίας, καὶ πολλοὶ ἐξ αὐτῶν ἐπίστευσαν, καὶ τῶν Ἑλληνίδων τῶν εὐσχημόνων, καὶ ἀνδρῶν οὐκ ὀλίγοι. Θαῦμα οὐδὲν εἶδον οἱ Ἀθηναῖοι, καὶ ὅμως ἐπίστευσαν εἰς τὸ κήρυγμα τοῦ Παύλου
Αὐτ. ιζ'. 34. καὶ Διονύσιος ὁ Ἀρεοπαγίτης, καὶ γυνὴ ὀνόματι Δάμαρις, καὶ ἕτεροι σὺν αὐτοῖς. Ποῖον θαῦμα ἐποίησεν ὁ Ἰωάννης ὁ Βαπτιστὴς, ὅταν
Ματ. γ'. 2, 5, 6. ἐκήρυττε, καὶ ἔλεγε· Μετανοεῖτε· ἤγγικε γὰρ ἡ Βασιλεία τῶν οὐρανῶν; οὐδέν, καὶ ὅμως τότε ἐξεπορεύετο πρὸς αὐτὸν Ἱεροσόλυμα, καὶ πᾶσα ἡ περίχωρος τοῦ Ἰορδάνου, καὶ ἐβαπτίζοντο ἐν τῷ Ἰορδάνῃ ὑπ' αὐτοῦ, ἐξομολογούμενοι τὰς ἁμαρτίας αὐτῶν.

Δεύτερον δὲ, ἐὰν τὰ θαύματα εἶχον τὴν δύναμιν τοῦ πείθειν καὶ ἐπιστρέφειν, ἔπρεπε πάντες ὅσοι εἶδον θαύματα νὰ ἐπιστρέψωσι· καὶ ὅμως ὁ Φαραὼ εἶδε θαύματα καὶ πολλὰ καὶ μεγάλα, ἀλλ' ἀντὶ νὰ πιστεύσῃ, ἐσκληρύνθη. Ἐὰν τὰ θαύματα εἶχον τῆς ἐπιστροφῆς τὴν δύναμιν, ἔπρεπεν ὅσοι εἶδον τὰ θαύματα τοῦ Ἰησοῦ Χριστοῦ νὰ πιστεύσωσιν εἰς αὐτόν· ἡμεῖς δὲ βλέπομεν, ὅτι οἱ μὲν Φαρισαῖοι, ἰδόντες τὸν ἄλαλον καὶ δαιμονιζόμενον, θεραπευθέντα ὑπὸ τοῦ Ἰησοῦ Χριστοῦ, ἔλεγον· Ἐν
τῷ ἄρχοντι τῶν Δαιμονίων ἐκ- Ματ. θ'. 34.
βάλλει τὰ Δαιμόνια· ὁ δὲ Ἀρχισυνάγωγος, ἰδὼν τὴν συγκύπτουσαν ἠνωρ- Λουκ. ιγ'. 14.
θωμένην, ἀντὶ νὰ πιστεύσῃ, ἠγανάκτει. Πάλιν τινὲς μὲν τῶν Φαρισαίων, ἰδόντες τὸν ἐκ γενετῆς τυφλὸν βλέποντα, οὐκ ἐπίστευσαν, ἀλλ' ἔλεγον περὶ τοῦ Ἰησοῦ Χριστοῦ· Οὗτος ὁ ἄνθρωπος οὐκ Ἰωάν. θ'. 16.
ἔστι παρὰ τοῦ Θεοῦ, ὅτι τὸ σάββατον οὐ τηρεῖ· οἱ δὲ Ἰουδαῖοι, οἱ ἰδόντες τὸ αὐτὸ θαῦμα, οὐκ ἐπίστευσαν, ἀλλ' ἔλεγον· Ἡμεῖς οἴδαμεν, ὅτι ὁ Αὐτ. 24.
ἄνθρωπος οὗτος ἁμαρτωλός ἐστι· καὶ συνεφώνησαν, ἵνα, ἐάν τις αὐτὸν Αὐτ. 22.
ὁμολογήσῃ Χριστὸν, ἀποσυνάγωγος γένηται.

Τινὲς πάλιν λέγουσιν, ὅτι ὁ λόγος τοῦ Θεοῦ τὴν σήμερον οὐ καρποφορεῖ, ἐπειδὴ τὰ ἔργα τοῦ Ἱεροκήρυκος εἰσὶν ἀνάξια τοῦ κηρύγματος, καὶ ἐναντία τῆς διδασκαλίας αὐτοῦ· τοῦτο φαίνεται, ὅτι ἐπιβεβαιοῖ καὶ ὁ μακάριος Παῦλος, λέγων· Ὁ οὖν διδάσκων ἕτερον, σε- Ῥωμ. β'.
αυτὸν οὐ διδάσκεις; ὁ κηρύττων μὴ 21, 22.
κλέπτειν, κλέπτεις; ὁ λέγων μὴ μοιχεύειν, μοιχεύεις; ὁ βδελυσσόμενος τὰ εἴδωλα, ἱεροσυλεῖς; Ὁ μὲν Ἀπόστολος Παῦλος οὐκ εἶπεν, ὅτι ὁ λόγος τοῦ Θεοῦ μένει ἄκαρπος, ἐπειδὴ ὁ διδάσκων αὐτὸν ἐστὶν ἀνάξιος, καὶ ἔχει ἔργα ἐναντία τῆς διδασκαλίας αὐτοῦ, ἀλλὰ μόνον ἐξήλεγξε καὶ κατῄσχυνε τὸν φαυλόβιον διδάσκαλον, τὸν διδάσκοντα μὲν τοὺς ἄλλους, μὴ φροντίζοντα δὲ περὶ τῆς ἰδίας διορθώσεως· ὁ δὲ Κύριος καὶ Δεσπότης τῶν ἁπάντων ἐλάλησε περὶ τῆς ὑποθέσεως ταύτης καθαρῶς καὶ ἐκπεφασμένως. Οἱ Γραμματεῖς καὶ οἱ Φαρισαῖοι ἦσαν πονηροὶ, ψεῦσται, φθονεροὶ, δόλιοι· πολλάκις ἐκφωνήσας κατ' αὐτῶν ὁ Θεάνθρωπος τὸ, Οὐαὶ ὑ- Ματ. κγ'.
μῖν Γραμματεῖς καὶ Φαρισαῖοι, 13, 16.
κατέκρινεν αὐτοὺς ὡς ὑποκριτὰς, καὶ μω-

ροὺς

ρούς καὶ τυφλούς· ὅμως οὐ μόνον οὐκ εἶπεν, Ὁ λόγος ὁ ὑπ᾽ αὐτῶν κηρυττόμενος ἐστὶν ἀνωφελὴς καὶ ἄκαρπος διὰ τὴν ἀναξιότητα αὐτῶν, ἀλλὰ καὶ παρήγγειλε, καὶ προέτρεψε τοὺς Ἰουδαίους, ἵνα ἀκούωσι τὸν ὑπ᾽ αὐτῶν διδασκόμενον λόγον, καὶ φυλάττωσι πάντα ὅσα αὐτοὶ διδάσκουσιν, ἀπέχωσι δὲ, καὶ ἀ-
Ματ. κγ'. 3. ποστρέφωνται τὰς τούτων πράξεις· Πάντα ὅσα ἂν εἴπωσιν ὑμῖν τηρεῖν, τηρεῖτε καὶ ποιεῖτε· κατὰ δὲ τὰ ἔργα αὐτῶν μὴ ποιεῖτε· λέγουσι γὰρ, καὶ οὐ ποιοῦσιν.

Οὐκ ἀρνούμεθα ἡμεῖς, ὅτι, ὅταν ὁ Ἱεροκήρυξ ἔχῃ ἀρετὴν καὶ ἁγιότητα, τότε ὁ λόγος αὐτοῦ, καὶ διὰ τὴν χάριν, ἣν αὐτὸς ἔχει παρὰ Θεοῦ, καὶ διὰ τὴν ὑπόληψιν, ἣν οἱ ἄνθρωποι ἔχουσι πρὸς αὐτὸν, καὶ συνεργεῖ πρὸς τὴν ἐπιστροφὴν τοῦ πεπλανημένου, καὶ ὠφελεῖ πρὸς τὴν διόρθωσιν τοῦ ἁμαρτωλοῦ, ἀλλὰ λέγομεν, ὅτι οὐδὲ ἡ ἁγιωσύνη τοῦ Ἱεροκήρυκος ἐστὶ τὸ αἴτιον, οὐδὲ ἡ κακία αὐτοῦ τὸ ἐμπόδιον τῆς καρποφορίας τοῦ κηρύγματος· καθὼς οὐδὲ τῆς καρποφορίας τοῦ σπόρου ἡ εὐμορφία καὶ τὸ κάλλος τοῦ γεωργοῦ, οὐδὲ τῆς ἀκαρπίας, ἡ δυσμορφία καὶ τὸ ἄσχημον τοῦ προσώπου αὐτοῦ. Ἐὰν ὁ λόγος τῶν ἁγίων μόνος εἶχε δύναμιν ἐπιστρέφουσαν τοὺς ἀπίστους, καὶ ἐπανορθοῦσαν τοὺς ἁμαρτωλοὺς, ἐπίστευεν ὅλος ὁ κόσμος, ὅταν ἐδίδασκον αὐτὸν οἱ ἅγιοι Πατέρες, ἐπίστευεν ὅλος ὁ κόσμος, ὅταν ἐκήρυττον αὐτὸν οἱ ἅγιοι τοῦ Θεοῦ Ἀπόστολοι, ἐπίστευεν ὅλος ὁ κόσμος, ὅταν ἐκήρυξεν αὐτὸν ὁ Ἅγιος τῶν ἁγίων, ὁ Υἱὸς καὶ Λόγος τοῦ Θεοῦ τοῦ ζῶντος, ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός. Ἡμεῖς δὲ βλέπομεν, ὅτι πολλοὶ καὶ ἐξ αὐτῶν τῶν ἀκουσάντων ἀπὸ τοῦ στόματος αὐτοῦ τοῦ Κυρίου Ἰησοῦ Χριστοῦ τῆς ἀληθείας τὸ κήρυγμα, οὐδόλως ὠφελήθησαν.

Ἀλλὰ διατί περὶ ταύτης τῆς ὑποθέσεως ἐνστάσεις καὶ ἀπορίαι, καὶ ἀπαντήματα καὶ λύσεις; Ἀπήντησεν εἰς πᾶσαν ἔνστασιν, καὶ ἔλυσε πᾶσαν περὶ τούτου ἀπορίαν ἡ σήμερον ἀναγνωσθεῖσα τοῦ ἁγίου Εὐαγγελίου Παραβολὴ, καὶ ἡ ἐξήγησις αὐτῆς, ἣν οὐδὲ ἄνθρωπος, οὐδὲ Ἄγγελος ἐποίησεν, ἀλλ᾽ αὐτὴ ἡ ἐνυπόστατος τοῦ Θεοῦ σοφία καὶ δύναμις, ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός. Αὐτὸς, ἀρχόμενος τῆς Παραβολῆς, εἶπε
πρῶτον· Ἐξῆλθεν ὁ σπείρων τοῦ Λουκ. η'. 5.
σπεῖραι τὸν σπόρον αὐτοῦ· οὐκ εἶπεν, Ἐξῆλθεν ὁ δίκαιος, ἢ ἐξῆλθεν ὁ ζηλωτὴς καὶ ἐνάρετος, ἀλλ᾽ εἶπεν ἁπλῶς, Ἐξῆλθεν ὁ σπείρων τοῦ σπεῖραι τὸν σπόρον αὐτοῦ. Ἐὰν οὖν ὁ διδάσκαλος σπείρῃ ἀληθινὸν σπόρον, καὶ οὐχὶ φθοροποιὰ ζιζάνια, ἤγουν ἐὰν διδάσκῃ τὰ ὀρθὰ δόγματα καὶ τοὺς θείους νόμους, οὐχὶ δὲ τὰ αἱρετικὰ φρονήματα, καὶ τὰς τῶν ἀνθρώπων δεισιδαιμονίας, τοῦτο ἀρκεῖ ἐκ μέρους τοῦ διδάσκοντος πρὸς τὴν καρποφορίαν τοῦ λόγου, καὶ οὐδεμία ἀνάγκη ἐστὶν, ἵνα ἐξετάζωμεν τὸν βίον καὶ τὴν πολιτείαν αὐτοῦ· τοῦτο δὲ μόνον ὑπέθετο ὁ Κύριος περὶ τῶν πονηρῶν καὶ διεστραμμένων Γραμματέων
καὶ Φαρισαίων, ὅθεν εἶπεν· Ἐπὶ τῆς Ματ. κγ'. 2.
Μωσέως καθέδρας ἐκάθισαν οἱ Γραμματεῖς καὶ οἱ Φαρισαῖοι· ἐπειδὴ, λέγει, αὐτοὶ μὲν διδάσκουσι τὰ δόγματα καὶ τοὺς νόμους τοῦ Μωϋσέως, διὰ τοῦτο πάντα ὅσα διδάσκωσι, φυλάττετε αὐτὰ καὶ ποιεῖτε· ἐπειδὴ δὲ διδάσκουσιν, ἀλλ᾽ οὐ ποιοῦσιν ἔργα κατὰ τὴν διδασκαλίαν αὐτῶν, διὰ τοῦτο ὑμεῖς μὴ ποιῆτε κατὰ τὰ ἔργα αὐτῶν.

Μετὰ δὲ ταῦτα ἐφανέρωσεν ὁ Κύριος τρία μὲν τῆς ἀκαρπίας τοῦ λόγου τὰ αἴτια, τὴν ἀπροσεξίαν, τὴν ὀκνηρίαν, καὶ τὴν τοῦ παρόντος βίου ἀπάτην· ἓν δὲ τὸ αἴτιον τῆς εὐκαρπίας, τὴν καλο-

κά-

*κἀγαθίαν· διὸ καὶ διαμερίσας τοὺς ἀκροατὰς τοῦ λόγου εἰς τέσσαρας τάξεις, ἔθηκεν αὐτοῖς μεταφορικὰ ὀνόματα, καλέσας αὐτοὺς ὁδὸν, πέτραν, ἄκανθαν, καὶ γῆν καλὴν καὶ ἀγαθήν· ταῦτά εἰσι τὰ ἀληθινὰ τῆς ἀκαρπίας καὶ εὐκαρπίας τοῦ λόγου αἴτια, καὶ οὐχὶ ἄλλα, ὅσα ἡμεῖς φανταζόμεθα. Ἐπειδὴ δὲ τὴν σήμερον σχεδὸν πάντες ἐσμὲν ἢ ὁδὸς, πεπατημένη ὑπὸ τῶν παθῶν καὶ τῶν Δαιμόνων· ἢ πέτρα, κατάξηρος καὶ ἄμοιρος ἰκμάδος, ἤγουν γυμνοὶ πάσης καλῆς διαθέσεως· ἢ ἄκανθα, ἤγουν πλήρεις κοσμικῶν καὶ σωματικῶν μεριμνῶν καὶ πάσης ματαιότητος, ἥτις καταπνίγει πᾶν ψυχοσωτήριον νόημα, πάνυ δὲ ὀλίγοι καὶ σπανιώτατοί εἰσιν οἱ ἔχοντες καλὴν καὶ ἀγαθὴν διάθεσιν, διὰ τοῦτο ὀλίγον βλέπομεν καὶ σπανιώτατον τὸν καρπὸν τοῦ λόγου.*

*Χριστιανὲ λοιπὸν, ἐὰν, ὅταν διδάσκηται ὁ λόγος τοῦ Θεοῦ, ὁ νοῦς σου οὐδόλως προσέχῃ, ἵνα κατανοήσῃ τὰ λεγόμενα, ἀλλ' ἔνθεν κἀκεῖθεν περισπαζόμενος, προσηλοῦται εἰς ἄλλα νοήματα· ἢ ἐὰν, ὅταν διδάσκηται ὁ λόγος τοῦ Θεοῦ, τότε ἀμελῇς καὶ νυστάζῃς, τότε σὺ ὑπάρχεις ὁδός· τότε, ὁρῶν ὁ ἐχθρός σου ὁ Διάβολος, ὅτι διὰ τὴν ἀπροσεξίαν σου ὁ λόγος οὐκ εἰσέρχεται εἰς τὸν νοῦν σου, ἀλλὰ πίπτει μόνον εἰς τὰ ὦτά σου, εὐθὺς ἁρπάζει αὐτὸν καὶ διασκεδάζει, ἵνα, μὴ εἰσελθὼν εἰς τὸν νοῦν σου, ἔπειτα καὶ εἰς τὴν καρδίαν σου, καρποφορήσῃ τὴν ἐπιστροφήν σου· ἐκ τούτου δὲ μένεις ἄκαρπος, καὶ ἀδιόρθωτος. Ἐὰν, ἐρχόμενος, ἵνα ἀκούσῃς τὸν λόγον τοῦ Θεοῦ, οὐκ ἔχῃς σκοπὸν, ἵνα διορθώσῃς τὰ ἤθη σου, ἀλλ' ἵνα ἀνακρίνῃς τοῦ διδασκάλου τὴν μάθησιν· οὐκ ἔχῃς σκοπὸν, ἵνα ὠφελήσῃς τὴν ψυχήν σου, ἀλλ' ἵνα παρατηρήσῃς τὴν ῥητορικὴν τοῦ λόγου τέχνην, ἢ ἵνα περιεργασθῇς τοὺς ἀκροατάς, ἢ ἵνα ἐκπληρώσῃς τὴν συνήθειαν, τότε, κἂν προσέχῃς, κἂν κατανοῇς τὰ λεγόμενα, σὺ ὑπάρχεις πέτρα· ὅθεν προκύπτει εἰς τὴν καρδίαν σου τὸ τρυφερὸν τοῦ λόγου φυτὸν, ἤγουν ὀλίγη κατάνυξις, ἀλλ' ἐπειδὴ ἡ καρδία σου οὐκ ἔχει διάθεσιν πρὸς ὑπακοὴν τοῦ λόγου, ξηραίνεται, καὶ διασκεδάζεται εὐθὺς ἡ κατάνυξίς σου, καὶ μένει ἀκαρποφόρητος. Ἐὰν δὲ, ὅταν ἀκούῃς τὸν λόγον τοῦ Θεοῦ, ἔχῃς μὲν διάθεσιν διορθώσεως, καὶ προσέχῃς, καὶ κατανοῇς τὰ λεγόμενα, ἐξελθὼν δὲ τῆς Ἐκκλησίας, ἀντὶ νὰ ἀναμελετήσῃς ὅσα ἤκουσας, καταβυθίζεις εὐθὺς τὸν νοῦν σου εἰς τὰς ματαιότητας τοῦ κόσμου, καὶ καταποντίζεσαι εἰς τὰς ἡδονὰς τῆς σαρκός σου, τότε σὺ ὑπάρχεις γῆ ἀκανθηφόρος· ὅθεν τότε ὁ μὲν λόγος τοῦ Θεοῦ βλαστάνει ἐν σοὶ τὰ ἁπαλὰ αὐτοῦ βλαστήματα, κατανύγει δηλαδὴ τὴν καρδίαν σου, φέρει δάκρυα εἰς τοὺς ὀφθαλμούς σου, καὶ σκοπὸν διορθώσεως εἰς τὴν ψυχήν σου, ἀλλ' αἱ ἄκανθαι τῶν ματαίων φροντίδων σου, καὶ τῶν σαρκικῶν ἡδονῶν σου πνίγουσι καὶ ἐξαλείφουσι καὶ τὴν κατάνυξιν, καὶ τὰ δάκρυα, καὶ τὸν σκοπὸν τῆς μετανοίας καὶ ἐπιστροφῆς σου· καὶ οὕτως ὁ λόγος τοῦ Θεοῦ γίνεται ἐν σοὶ ἀτελεσφόρητος.*

*Ἐὰν δὲ, ὅταν ἀκούῃς τὸν λόγον τοῦ Θεοῦ, καὶ ὁ σκοπός σου ἐστὶν ὀρθὸς, καὶ ἡ προσοχή σου μεγάλη, καὶ ἡ εὐλάβειά σου πολλὴ, ἀκούσας δὲ τὸν λόγον καὶ κατανοήσας αὐτὸν, μελετᾷς αὐτὸν συνεχῶς, καὶ συλλογίζεσαι διαπαντὸς τοῦ λόγου τὰ νοήματα, τότε ὁ λόγος τοῦ Θεοῦ γίνεταί σοι ὠφέλιμος, τότε ἐκριζοῖς ἀπὸ τῆς καρδίας σου τῆς ἁμαρτίας τὰ φυτὰ, καὶ καρποφορεῖς τῆς ἀρετῆς τὰ καρποφορήματα.*

*Λοιπὸν, ἀδελφοί μου, ὅταν ἔρχησθε εἰς τὴν Ἐκκλησίαν, ἵνα ἀκούσητε τὸν*

λόγον τοῦ Θεοῦ, ἢ ὅταν ἀναγινώσκητε αὐτὸν εἰς τὰ βιβλία, μὴ γίνεσθε μηδὲ ὁδὸς, μηδὲ πέτρα, μηδὲ ἄκανθα, ἀλλὰ καταστήσατε τὴν καρδίαν ὑμῶν γῆν καλὴν καὶ ἀγαθὴν, γινώσκοντες, ὅτι ὁ Θεὸς, ὁ πλάσας τὸν ἄνθρωπον ἐλεύθερον, θέλει μὲν πάντας σωθῆναι, εὔσπλαγχνος ὢν, οὐδένα δὲ βιάζει, δίκαιος ὑπάρχων. Εὗρε δὲ ἡ εὐσπλαγχνία αὐτοῦ τρόπον καὶ μέσον, διὰ τοῦ ὁποίου οὐδὲ βιάζει, οὐδὲ ἀναγκάζει, ἀλλὰ προσκαλεῖ καὶ προτρέπει· ὁ δὲ τρόπος καὶ τὸ μέσον ἐστὶ τὸ κήρυγμα τοῦ λόγου. Τὸν λόγον ὁ Θεὸς ἀπ' ἀρχῆς μετῆλθε πρὸς σωτηρίαν τῶν ἀνθρώπων, δι' αὐτοῦ προσκαλέσας καὶ προτρέψας τοὺς πρὸ τοῦ νόμου, τοὺς ἐν νόμῳ, τοὺς μετὰ τὸν νόμον, τοὺς κατὰ τὸν καιρὸν τῆς ἐνσάρκου παρουσίας αὐτοῦ, τοὺς μετὰ τὴν ἔνσαρκον αὐτοῦ ἐπιφάνειαν· ἐλάλησε δὲ καὶ διὰ τοῦ προφορικοῦ καὶ διὰ τοῦ γραπτοῦ λόγου, καὶ ἀμέσως αὐτὸς, καὶ ἐμμέσως διὰ τῶν Προφητῶν, διὰ τῶν Ἀποστόλων, διὰ τῶν ἁγίων Πατέρων· διὰ τοῦ λόγου προεφήτευσε τὰ μέλλοντα, προεῖπε τὴν σάρκωσιν τοῦ μονογενοῦς Υἱοῦ αὐτοῦ, ἐδίδαξε τῆς πίστεως τὰ δόγματα, παρέδωκε τὰ σωτηριώδη μυστήρια, ἐφανέρωσε τοὺς θείους νόμους, ἔδωκε τὰς ἁγίας παραδόσεις· ὁ λόγος αὐτοῦ ἔδειξε τὴν ὁδὸν τῆς σωτηρίας, περιέγραψε τῆς ἀπωλείας τὸν κρημνὸν, ὑπεσχέθη τὴν οὐράνιον βασιλείαν, ἐφοβέρισε κόλασιν αἰώνιον. Τὸ αὐτὸ μέσον, ἤγουν τὸν λόγον, μετέρχεται ὁ Θεὸς ἄχρι τῆς σήμερον, λαλῶν διὰ τῶν ποιμένων, διὰ τῶν διδασκάλων, διὰ τῶν πνευματικῶν πατέρων, διὰ τῶν βιβλίων· διὸ ἄχρι τῆς σήμερον ὁ λόγος τοῦ Θεοῦ ἔχει τὴν δύναμιν τῆς ἐπιστροφῆς τῶν ἀπίστων, τῆς διορθώσεως τῶν ἁμαρτωλῶν, τῆς ἐπιστηρίξεως τῶν ἐναρέτων· διὰ τοῦ λόγου ἄχρι τῆς σήμερον ἡ χάρις ἐνεργεῖ τὸ ἔλεος αὐτῆς ἐφ' ἡμᾶς· ὥστε, ἀγαπητοί μου, ἐὰν ἀπειθῶμεν εἰς τὸν λόγον τοῦ Θεοῦ, καὶ οὐδεμίαν ἐξ αὐτοῦ λαμβάνωμεν ὠφέλειαν, οὐδεμίαν ἐλπίδα ἔχομεν σωτηρίας. Ἀνάγκη λοιπόν ἐστι προθυμίας μὲν καὶ σπουδῆς ὑπὲρ τῆς ἀκροάσεως τοῦ λόγου, προσοχῆς δὲ καὶ εὐλαβείας ἐν τῇ ἀκροάσει τοῦ λόγου, μελέτης καὶ ἀναμνήσεως μετὰ τὴν ἀκρόασιν τοῦ λόγου· οὕτω γίνεται ἡ καρδία ἡμῶν γῆ καλὴ καὶ ἀγαθή· τοιουτοτρόπως ὁ λόγος καρποφορεῖ ἐν ἡμῖν τῆς ἀρετῆς τοὺς καρποὺς, καὶ γίνεται πρόξενος τῆς σωτηρίας, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

# ΕΡΜΗΝΕΙΑ

### ΕΙΣ ΤΟ ΚΑΤΑ

# ΛΟΥΚΑΝ

## ΕΥΑΓΓΕΛΙΟΝ ΤΗΣ Ε'. ΚΥΡΙΑΚΗΣ.

Τερτ. περὶ Ψυχ. κ. 7. Εἰρην. β. 4. κ. 4. Ἀμβρ. β. 8. εἰς τὸν Λουκ. Γρηγ. Ὁμιλ. 40. Χρυσ. περὶ τοῦ Πλουσ. καὶ τοῦ Λαζάρου. Κύριλ. εἰς τὴν Σειρ. εἰς τὸ κατὰ Λουκ.

Ὁ μὲν Τερτυλλιανὸς, καὶ οἱ ἅγιοι, Εἰρηναῖος Λουγδούνων, καὶ Ἀμβρόσιος Μεδιολάνων, καὶ Γρηγόριος ὁ Ῥώμης, ὁ καλούμενος Διάλογος, καὶ ἄλλοι, ἱστορίαν ἐνόμισαν τὴν σημερινὴν τοῦ Εὐαγγελίου διήγησιν. Ὁ δὲ θεῖος Ἰωάννης ὁ Χρυσόστομος, καὶ ὁ ἐν ἁγίοις Ἀλεξανδρείας Κύριλλος, καὶ ὁ Βουλγαρίας Θεοφύλακτος, καὶ ἄλλοι, Παραβολὴν τὴν αὐτὴν διήγησιν ἀνεκήρυξαν. Ἀληθῶς δὲ, ἐὰν στοχασθῇς τὴν φαινομένην ὀλιγότητα τῶν μεταφορῶν καὶ τῶν ἀλληγοριῶν, τὸν τρόπον τῆς ἱστορικῆς διηγήσεως, τὸ κατ' ὄνομα τοῦ Λαζάρου πρόσωπον, σχεδὸν πείθεσαι, ὅτι ἡ διήγησις ἐστὶν ἱστορία. Ἐὰν δὲ πάλιν συλλογισθῇς ὅσας ἔχει μεταφορὰς, καὶ ἀλληγορίας, καὶ τὸν πλούσιον εἰσαγόμενον χωρὶς ὀνόματος, διὰ τοῦ Ἄνθρωπός τις, ἔτι δὲ καὶ τὸ, ὅτι πρὸ τῆς κρίσεως παρίστησι τὸν μὲν Λάζαρον εἰς τοῦ Ἀβραὰμ τοὺς κόλπους, τὸν δὲ πλούσιον εἰς τὸν ᾅδην, ἀποφασίζεις, ὅτι Παραβολικῶς ἐλάλησεν ὁ Θεάνθρωπος τὰ σήμερον ἀναγνωσθέντα λόγια. Ἀλλὰ τὴν ἀπορίαν ταύτην κατὰ κράτος ἔλυσαν τὰ ἀναφανέντα τοῦ Εὐαγγελίου παλαιὰ χειρόγραφα, ἐν οἷς πρὸ τοῦ, Ἄνθρωπός τις ἦν πλούσιος, κεῖνται ταῦτα τὰ λόγια· Εἶπε δὲ καὶ ἑτέραν Παραβολήν· Ἄνθρωπός τις ἦν πλούσιος, κτλ. Σκοπὸς δὲ τῆς Παραβολῆς ἐστὶν ἡ παράστασις τῆς καταδίκης τῶν φιληδόνων καὶ ἀσπλάγχνων πλουσίων, καὶ τῆς δόξης ἐκείνων, οἵ τινες καρτερικῶς ὑποφέρουσι τὴν πτωχείαν καὶ τὴν ἀσθένειαν. Ὅστις μετὰ πίστεως καὶ εὐλαβείας ἀκούσῃ ταύτην τὴν οὐράνιον διδασκαλίαν, ἐὰν μὲν πλούσιος ὑπάρχῃ, γίνεται ἐγκρατὴς καὶ ἐλεήμων· ἐὰν δὲ πτωχὸς καὶ ἀσθενὴς, γίνεται ἀνδρεῖος καὶ ὑπομονητικός.

Ὅρα τὴν ἔτ. 1711. ἐν Ἀμστ. τῆς νέας Διαθ. ἔκδ.

**Εἶπεν ὁ Κύριος· Ἄνθρωπός τις ἦν πλούσιος, καὶ ἐνεδιδύσκετο πορφύραν καὶ βύσσον, εὐφραινόμενος καθ' ἡμέραν λαμπρῶς.** Λουκ. ιϛ'. 19.

Ἔβαπτον τοὺς παλαιοὺς καιροὺς διὰ βαφῆς, ἐκ τῶν κογχυλίων κατεσκευασμένης, τὰ ἐνδύματα, καὶ ὠνόμαζον αὐτὰ πορφύρας ἐκ τοῦ πορφυροῦ χρώματος τῆς κογχύλης· βύσσος δὲ ἐλέγοντο τὰ ἐξ Ἰνδίας λινὰ ἱμάτια· ἦσαν δὲ ἐν τοῖς καιροῖς ἐκείνοις πολυτιμώτατα τὰ τοιαῦτα ἐνδύματα. Οὗτος οὖν ὁ πλούσιος, ὅστις σημαίνει πάντα φιλήδονον καὶ ἄσπλαγχνον πλούσιον, ἐνεδύετο ἱμάτια πορφυρᾶ καὶ βύσσινα, καὶ εὐφραίνετο οὐχὶ ἐνίοτε, ἀλλὰ καθ' ἑκάστην ἡμέραν, λαμπρῶς, ἤγουν μεγαλοπρεπῶς, καὶ πολυτελῶς, καὶ πλουσιοπαρόχως, τράπεζαν ἔχων πολλῶν καὶ ποικίλων βρωμάτων καὶ ποτῶν πλήρη, καὶ μουσικὰ ὄργανα, καὶ ᾄσματα, καὶ

χο-

χορούς, καὶ παίγνια, καὶ ἄλλα τοιαῦτα, ὅσα ἄχρι τῆς σήμερον βλέπομεν εἰς τὰς αὐλὰς τῶν φιληδόνων καὶ φιλοδόξων πλουσίων, τῶν θεοποιούντων τὴν γαστέρα, καὶ δουλευόντων ταῖς ἡδοναῖς τῆς σαρκὸς αὐτῶν.

Λουκ. ις'. 20. Πτωχὸς δέ τις ἦν, ὀνόματι Λά-
ζαρος, ὃς ἐβέβλητο πρὸς τὸν
21. πυλῶνα αὐτοῦ ἡλκωμένος· καὶ
ἐπιθυμῶν χορτασθῆναι ἀπὸ
τῶν ψιχίων, τῶν πιπτόντων ἀπὸ
τῆς τραπέζης τοῦ πλουσίου·
ἀλλὰ καὶ οἱ κύνες ἐρχόμενοι,
ἀπέλειχον τὰ ἕλκη αὐτοῦ.

Διὰ ποίαν ἄραγε αἰτίαν ἐσιώπησε μὲν τὸ τοῦ πλουσίου ὄνομα, ἐφανέρωσε δὲ τὸ τοῦ πτωχοῦ; Ἵνα δείξῃ ἀνάξια τῆς τοῦ Θεοῦ μνήμης τὰ ὀνόματα τῶν πονηρῶν ἀνθρώπων, οἷος ἦν ὁ τῆς Παραβολῆς ταύτης πλούσιος, ἄξια δὲ μνήμης θείας τὰ τῶν δικαίων, οἷος ἦν ὁ πτωχὸς Λάζαρος. Τῶν ἁμαρτωλῶν τὰ ὀνόματα μόνον ἐν τῇ γῇ μνημονεύονται καὶ
Ψαλ. μη'. 11. ἐν τοῖς τάφοις αὐτῶν γράφονται· Ἐπεκαλέσαντο τὰ ὀνόματα αὐτῶν ἐπὶ τῶν γαιῶν αὐτῶν· τὰ δὲ ὀνόμα-
Λουκ. ι'. 20. τα τῶν δικαίων γεγραμμένα εἰσὶν ἐν
Φιλιπ. δ'. 3. τοῖς οὐρανοῖς, καὶ ἐν βίβλῳ ζωῆς. Τῶν πονηρῶν τὰ ὀνόματα οὐδὲ τῆς διὰ στόματος προφορᾶς ἄξια ἔκρινεν ὁ προ-
Ψαλ. ις'. 4. φητάναξ Δαβίδ· Οὐδ' οὐ μὴ μνησθῶ, ἔλεγε, τῶν ὀνομάτων αὐτῶν διὰ χειλέων μου· τὰ δὲ τῶν ἀγαθῶν ὀνόματα ἄξια μνήμης καὶ τιμῆς παρὰ τῷ
Αὐτ. οα'. 14. Θεῷ ἐκήρυττε· Καὶ ἔντιμον τὸ ὄνομα αὐτῶν ἐνώπιον αὐτοῦ. Βλέπε δὲ πῶς εἰς τὸ πρόσωπον τοῦ Λαζάρου συνάπτει πολλὰ καὶ σφοδρὰ πάθη, εἰς δὲ τὸ τοῦ πλουσίου τὸν πλοῦτον καὶ τὰς καθ' ἡμέραν τρυφάς, ἵνα, καὶ τοῦ πτωχοῦ τὴν ὑπομονήν, καὶ τοῦ πλουσίου τὴν σκληρότητα μαθόντες, τοῦ μὲν μιμησώμεθα τὸ καρτερόψυχον, τοῦ δὲ φύγωμεν τὸ σκληροκάρδιον. Πτωχὸς ὁ Λάζαρος, ἀλλὰ τοσοῦτον πτωχός, ὥστε ἐπεθύμει τῶν ψιχίων, τῶν πιπτόντων ἀπὸ τῆς τραπέζης τοῦ πλουσίου· πτωχός, ἀλλὰ καὶ ἄπορος, ὥστε, μὴ ἔχων μηδὲ οἰκίαν, μηδὲ στέγην, κατέκειτο εἰς τὴν αὐλὴν τοῦ πλουσίου· πτωχὸς καὶ ἀσθενής, οὐ μόνον δὲ ἀσθενής, ἀλλὰ καὶ τετραυματισμένος, καὶ ἀκίνητος, ὥστε οἱ σκύλακες ἐρχόμενοι ἔλειχον τὰ τραύματα αὐτοῦ· τοσαῦτα δὲ πάσχων, οὐδὲ ἐβλασφήμησεν, οὐδὲ ἐμέμφθη τῆς θείας προνοίας, οὐδὲ κατηγόρησε τοῦ πλουσίου τὴν ἀσπλαγχνίαν, ἀλλ' ὡς ἄλλος Ἰὼβ ὑπέμεινε καρτερικῶς καὶ ἀνδρειοφρόνως· τοῦτο δὲ φανερόν ἐστι, διότι, ἐὰν μὴ ὑπῆρχε τοιοῦτος, οὐκ ἐσυνώδευον τὴν ψυχὴν αὐτοῦ οἱ Ἄγγελοι ἕως τῶν κόλπων τοῦ Ἀβραάμ· ὁ δὲ πλούσιος, τὰ πορφυρᾶ καὶ βύσσινα ἐνδεδυμένος, καὶ ἁβροδιαίτοις τραπέζαις καθ' ἡμέραν εὐφραινόμενος, βλέπων τὸν Λάζαρον πάσχοντα τοσαῦτα ἐλεεινὰ πάθη, οὐδὲ εἰσήγαγεν αὐτὸν εἰς τὸν οἶκον αὐτοῦ, οὐδὲ ἔδωκεν αὐτῷ ποτὲ ἱμάτιον ἢ τροφήν, οὐδὲ ἀνέλαβε μικρὰν φροντίδα περὶ τῆς ἀσθενείας αὐτοῦ, οὐδὲ κἂν ἐδίωξεν ἀπὸ τῆς αὐλῆς αὐτοῦ τοὺς σκύλακας, τοὺς λείχοντας τὰς πληγὰς αὐτοῦ.

Ἐγένετο δὲ ἀποθανεῖν τὸν Λουκ. ις'. 22.
πτωχόν, καὶ ἀπενεχθῆναι αὐτὸν ὑπὸ τῶν Ἀγγέλων εἰς τὸν κόλπον τοῦ Ἀβραάμ. Ἀπέθανε δὲ καὶ ὁ πλούσιος, καὶ ἐτάφη.

Ἀπέθανεν ὁ πτωχός, ἀπέθανε καὶ



ὁ

ὁ πλούσιος· καὶ τὸν μὲν πτωχὸν παραλαβόντες οἱ Ἄγγελοι, ἔφερον εἰς τὸν κόλπον τοῦ Ἀβραάμ, ὁ δὲ πλούσιος ἐτάφη. Τί σημαίνει δὲ ὁ κόλπος τοῦ Ἀβραάμ; καὶ διατί οὐκ εἶπε καὶ περὶ τοῦ πτωχοῦ τό, ἐτάφη, καθὼς καὶ περὶ τοῦ πλουσίου; Ὁ κόλπος τοῦ Ἀβραὰμ σημαίνει τὴν περιοχὴν τῶν ἀγαθῶν, ἃ

Α΄. Κορ. β΄. 9. ἡτοίμασεν ὁ Θεὸς τοῖς ἀγαπῶσιν αὐτόν· κόλπον δὲ ταῦτα ὠνόμασεν, ἐπειδὴ καθὼς ἡ ναῦς, φθάσασα εἰς τὸν λιμένα, ἡσυχάζει ἀπὸ τῆς ταραχῆς τῆς πολυκυμάντου θαλάσσης, οὕτω καὶ ὁ δίκαιος, καταντήσας εἰς τὰ ἀγαπητὰ τοῦ Κυρίου σκηνώματα, ἀναπαύεται ἀπὸ τῆς ζάλης τοῦ πολυταράχου βίου. Τοῦ Ἀβραὰμ δὲ κόλπος λέγεται ἡ θεία μακαριότης, ἐπειδὴ ἡ ἐν τῷ σταυρῷ θυσία τοῦ σώματος τοῦ Ἰησοῦ Χριστοῦ ἤνοιξε τὴν θύραν αὐτῆς εἰς τοὺς δικαίους· τὸ δὲ τοῦ Κυρίου Ἰησοῦ σῶμα ἐκ τοῦ σπέρματος τοῦ Ἀβραάμ, ἤγουν ἐκ τῆς ἁγίας

Ἑβρ. β΄. 16. Παρθένου, συνέστη· Οὐ γὰρ δήπου Ἀγγέλων ἐπιλαμβάνεται, ἀλλὰ σπέρματος Ἀβραὰμ ἐπιλαμβάνεται. Εἶπε δὲ τό, ἐτάφη, περὶ τοῦ πλουσίου, καὶ οὐχὶ περὶ τοῦ πτωχοῦ, ἐπειδὴ μετὰ θάνατον ἡ μὲν ψυχὴ τοῦ πλουσίου κατέβη εἰς τὸν ᾅδην, οὗτινος σύμβολον ὁ τάφος, ὡς τόπος ὑπόγειος, καὶ σκοτεινός, καὶ ζοφώδης· ἡ δὲ τοῦ πτωχοῦ οὐ κατῆλθεν εἰς τὸν ᾅδην, ἀλλ' ἀνέβη εἰς τὸν κόλπον τοῦ Ἀβραάμ, ὅστις σημαίνει τὸ αἰώνιον φῶς καὶ τὴν θείαν μακαριότητα. Ἐκ τῶν λόγων τούτων μανθάνομεν, ὅτι μετὰ θάνατον τὰς μὲν τῶν δικαίων ψυχὰς παραλαμβάνουσιν οἱ ἅγιοι Ἄγγελοι, καὶ κατατάσσουσιν αὐτὰς εἰς τόπον ἀνέσεως, καθὼς τὴν τοῦ Λαζάρου· αἱ δὲ τῶν ἁμαρτωλῶν ψυχαὶ καταβιβάζονται εἰς τόπον βασάνου, καθὼς ἡ τοῦ πλουσίου. Σημείωσαι δέ, ὅτι οὐδὲ ὁ κόλπος τοῦ Ἀβραὰμ σημαίνει τὸ τέλειον τῆς θείας δόξης, οὐδὲ ὁ ᾅδης τὸ τέλειον τῆς κολάσεως· διότι μόνον, μετὰ τὴν δευτέραν τοῦ Κυρίου παρουσίαν, καὶ τὴν παγκόσμιον κρίσιν, καὶ τὴν δεσποτικὴν ἀπόφασιν, ἀπολαμβάνουσιν, οἱ μὲν δίκαιοι τῆς τελειότητος τῆς θείας μακαριότητος, οἱ δὲ ἁμαρτωλοὶ τῆς τελείας κολάσεως, τότε δηλαδή, ὅταν ἐκφωνήσῃ ὁ Κύριος τῆς δόξης εἰς μὲν τοὺς δικαίους· Δεῦτε οἱ εὐλογημένοι τοῦ Πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου· εἰς δὲ τοὺς ἁμαρτωλούς· Πορεύεσθε ἀπ' ἐμοῦ οἱ κατηραμένοι εἰς τὸ πῦρ τὸ αἰώνιον, τὸ ἡτοιμασμένον τῷ Διαβόλῳ καὶ τοῖς Ἀγγέλοις αὐτοῦ. Ἀκούσωμεν νῦν τί πράττει ὁ ἐλεεινὸς πλούσιος ἐν τῷ ᾅδῃ εὑρισκόμενος.

(Ματ. κέ. 34. — Αὐτ. κέ. 41.)

Καὶ ἐν τῷ ᾅδῃ, ἐπάρας τοὺς ὀφθαλμοὺς αὐτοῦ, ὑπάρχων ἐν βασάνοις, ὁρᾷ τὸν Ἀβραὰμ ἀπὸ μακρόθεν, καὶ Λάζαρον ἐν τοῖς κόλποις αὐτοῦ. Καὶ αὐτὸς φωνήσας, εἶπε· Πάτερ Ἀβραάμ, ἐλέησόν με, καὶ πέμψον Λάζαρον, ἵνα βάψῃ τὸ ἄκρον τοῦ δακτύλου αὐτοῦ ὕδατος, καὶ καταψύξῃ τὴν γλῶσσάν μου· ὅτι ὀδυνῶμαι ἐν τῇ φλογὶ ταύτῃ. Λουκ. ιϛ΄. 23. 24.

Ὁ πλούσιος, ὑπὸ τῶν τοῦ ᾅδου βασάνων τυραννούμενος, ὑψώσας τοὺς ὀφθαλμοὺς αὐτοῦ ἄνω, βλέπει τὸν Ἀβραὰμ μακρόθεν αὐτοῦ ἑστῶτα, βλέπει δὲ

δὲ καὶ τὸν Λάζαρον ἐν τοῖς τοῦ Ἀβραὰμ κόλποις· καὶ τὸν μὲν Ἀβραὰμ βλέπει ὡς ἄνδρα φιλόξενον, τὸν δὲ Λάζαρον ὡς πτωχὸν, ὑπ' αὐτοῦ μὴ ἐλεηθέντα, ἵνα ἡ ὅρασις ἑκατέρου αὐξάνῃ τὴν αἰσχύνην, καὶ τῆς ἀσπλάγχνου καρδίας αὐτοῦ τὴν βάσανον. Τί δὲ σημαίνουσιν αἱ φωναὶ τοῦ πλουσίου, καὶ ἡ οἰκτρὰ δέησις, καὶ ἡ δίψα; Τὴν ὑπερβολικὴν καὶ ἀφόρητον βάσανον τῶν κολαζομένων· διὰ τοῦτο καὶ οὐχὶ πολὺ ὕδωρ ἐζήτησεν, ἀλλὰ ῥανίδα, ἵνα τὸ ὑπερβάλλον τοῦ πάθους παραστήσῃ· διότι, ὅταν καθ' ὑπερβολὴν πάσχωμεν, καὶ ἡ μικροτάτη παρηγορία, μεγίστη λογίζεται. Ἐκ τούτων δὲ μανθάνομεν, ὅτι ὑπερβολικὴ καὶ ἄμετρός ἐστιν ἡ τῶν κολαζομένων τιμωρία, καὶ ὅτι αὐτοὶ βλέπουσι, καὶ γνωρίζουσι τοὺς δικαίους, οὐ μόνον τοὺς γνωστοὺς, ἀλλὰ καὶ τοὺς ἀγνωρίστους· βλέπουσι δὲ καὶ αὐτοὺς τοὺς ὑπ' αὐτῶν ἀδικηθέντας, πλὴν μακρόθεν· διότι πολλὰ μακρὰν ἀπέχουσιν ἀπὸ τῆς ἀπολαύσεως τῆς αἰωνίου βασιλείας καὶ δόξης. Βλέπει ὁ μὲν πλούσιος ὁ ἀνελεήμων καὶ τὸν Ἀβραὰμ τὸν φιλόξενον, καὶ τὸν μὴ ὑπ' αὐτοῦ ἐλεηθέντα Λάζαρον· ἡ δὲ ἀσελγὴς Αἰγυπτία, καὶ τὴν Σωσάνναν τὴν σώφρονα, καὶ τὸν Ἰωσὴφ, ὃν ἐπείραξε, καὶ ἐσυκοφάντησεν· ἡ δὲ ἄδικος Ἰεζάβελ, καὶ τὸν Ἠλίαν τὸν δίκαιον, καὶ τὸν Ναβουθαὶ, ὃν ἠδίκησεν· ὁ δὲ Νέρων ὁ τύραννος, καὶ τὸν Κωνσταντῖνον τὸν ἰσαπόστολον, καὶ τὸν Πέτρον καὶ Παῦλον, καὶ τοὺς λοιποὺς ἁγίους, τοὺς ὑπ' αὐτοῦ φονευθέντας. Ἐπιβεβαιοῖ τὴν ἔννοιαν ταύτην τοῦ Κυρίου
Ἰωάν. ιθ'. 37. ὁ λόγος· Ὄψονται εἰς ὃν ἐξεκέντησαν· τοῦτο δὲ πλατύτερον ἐκφράζει
Σοφ. ε'. 1, 2. ὁ σοφὸς Σολομὼν, λέγων· Τότε στήσεται ἐν παῤῥησίᾳ πολλῇ ὁ δίκαιος κατὰ πρόσωπον τῶν θλιψάντων αὐτὸν, καὶ τῶν ἀθετούντων τοὺς πόνους αὐτοῦ. Ἰδόντες, ταραχθήσονται φόβῳ δεινῷ, καὶ ἐκστήσονται ἐπὶ τῷ παραδόξῳ τῆς θεωρίας. Ἀλλὰ μετὰ τὰς ἐλεεινὰς φωνὰς καὶ δεήσεις, ἐπέτυχεν ἆρά γε ὁ βασανιζόμενος πλούσιος τῆς ζητουμένης ὑπ' αὐτοῦ μικροτάτης παρηγορίας; Οὐχί. Ἀκούσατε τί πρὸς αὐτὸν ἀπεκρίθη ὁ Ἀβραάμ.

Εἶπε δὲ Ἀβραάμ· Τέκνον, μνήσθητι, ὅτι ἀπέλαβες σὺ τὰ ἀγαθά σου ἐν τῇ ζωῇ σου, καὶ Λάζαρος ὁμοίως τὰ κακά· νῦν δὲ ὅδε παρακαλεῖται, σὺ δὲ ὀδυνᾶσαι. Λουκ. ιϛ'. 25.

Τέκνον ὠνόμασεν ὁ Ἀβραὰμ τὸν πλούσιον, κἂν, διὰ τὴν σκληρότητα τῆς καρδίας αὐτοῦ, ἀνάξιος ἦν τῆς τοιαύτης ὀνομασίας, ἵνα φανερώσῃ, ὅτι καὶ μετὰ θάνατον ἡ ἀγάπη καὶ τὸ ἔλεος μένει εἰς τὴν ψυχὴν τῶν δικαίων· Ἡ γὰρ ἀγάπη οὐδέποτε ἐκπίπτει· Α'. Κορ. ιγ'. 8.
ὅθεν οὐ κακίζουσιν, οὐδὲ μισοῦσιν ἐκεῖνοι τοὺς ἁμαρτωλοὺς, ἀλλ' οἰκτείρουσιν αὐτοὺς καὶ ἐλεοῦσι· τοῦτο δὲ δηλοῦσι ταῦτα τὰ ἡμερώτατα καὶ συμπαθέστατα λόγια· Τέκνον ἐνθυμήθητι, ὅτι σὺ ἀπέλαβες τὰ ἀγαθά σου ἐν τῇ ζωῇ σου, καὶ ὁ Λάζαρος ὁμοίως τὰ κακά· διὸ δικαίως ὁ μὲν Λάζαρος νῦν εὐφραίνεται, σὺ δὲ βασανίζεσαι· τὰ αὐτὰ δὲ ἀλλαχοῦ ἐδίδαξεν ὁ Σωτὴρ ἡμῶν, εἰπών· Μακάριοι οἱ πενθοῦντες, ὅτι αὐτοὶ Ματ. ε'. 4.
παρακληθήσονται· καὶ, Οὐαὶ ὑμῖν οἱ ἐμπεπλησμένοι, ὅτι πενθήσετε καὶ κλαύσετε. Ἀλλ' ἄραγε Λουκ. ϛ'. 25.
πάντες οἱ ἀπολαμβάνοντες τὰ ἐπίγεια ἀγαθὰ, κολάζονται εἰς τὴν μέλλουσαν ζωὴν, πάντες δὲ οἱ ἐν τῷ κόσμῳ πάσχον-

χοντες, δοξάζονται ἐν οὐρανῷ; Οὐχί· ἐκεῖνοι μόνοι οἱ πλούσιοι καὶ εὐτυχεῖς κολάζονται, ὅσοι, καθὼς ὁ πλούσιος τοῦ σημερινοῦ Εὐαγγελίου, νομίζοντες τὰ δοθέντα αὐτοῖς ἀγαθὰ ἴδια, καὶ μηδὲν μεταδιδόντες τοῖς πτωχοῖς, καταδαπανῶσιν αὐτὰ εἰς τὰς ἰδίας τρυφάς, καὶ ἀπολαύσεις· τοῦτο δὲ ἐφανέρωσεν, ἐπειδὴ οὐκ εἶπεν, Ἀπέλαβες τὰ ἀγαθά, ἀλλ' Ἀπέλαβες τὰ ἀγαθά σου, ἤγουν ἐκεῖνα, ὅσα ὡς ἴδια ἀγαθά, καὶ ὡς σοὶ μόνῳ δοθέντα, κατηνάλωσας, οὐδὲν δὲ τοῖς πτωχοῖς μετέδωκας. Ὁμοίως ἐκεῖνοι μόνοι οἱ πτωχοί, καὶ ἀσθενεῖς δοξάζονται ἐν οὐρανοῖς, ὅσοι, ὡς ὁ Λάζαρος, μετὰ ὑπομονῆς καὶ καρτερίας δι' ἀγάπην Θεοῦ καὶ τὴν πτωχείαν ὑπομένουσι καὶ τὴν ἀσθένειαν. Διὰ τούτων δὲ τῶν λόγων δείξας, ὅτι οὐκ ἔστι δίκαιον τὸ τοῦ πλουσίου ζήτημα, προστίθησι τό, ὅτι καὶ ἡ τούτου ἐκπλήρωσις ἐστὶν ἔργον ἀδύνατον, λέγων·

Λουκ. ιϛ'. 26. Καὶ ἐπὶ πᾶσι τούτοις, μεταξὺ ἡμῶν καὶ ὑμῶν χάσμα μέγα ἐστήρικται, ὅπως οἱ θέλοντες διαβῆναι ἐντεῦθεν πρὸς ὑμᾶς, μὴ δύνανται, μηδὲ οἱ ἐκεῖθεν πρὸς ἡμᾶς διαπερῶσιν.

Πρὸς τούτοις δὲ πᾶσι, λέγει, τοῖς δικαίοις λόγοις, καὶ ἄλλος λόγος ἐστίν, ὅςτις ἐμποδίζει τὴν ἐκπλήρωσιν τοῦ ζητήματός σου. Μέγα χάσμα, ἤγουν μέγα καὶ βαθύτατον κενὸν διάστημα, στερεῶς κατεσκευασμένον, κεῖται μεταξὺ ἡμῶν τῶν ἐν τῇ θείᾳ δόξῃ, καὶ ὑμῶν τῶν ἐν βασάνοις· τοῦτο δὲ γέγονεν, ἵνα μηδὲ οἱ μακάριοι δύνωνται, κἂν θέλωσι, διαπεράσαι εἰς τὸν τόπον τῶν καταδίκων, μηδὲ οἱ κατάδικοι εἰς τὸν τόπον τῶν μακαρίων. Σημείωσαι δὲ πρῶτον, ὅτι διὰ τῆς Παραβολῆς ταύτης ἐλάλησεν ὁ Κύριος περὶ τῶν μελλόντων γενέσθαι, μετὰ τὴν τελευταίαν αὐτοῦ παγκόσμιον κρίσιν καὶ ἀπόφασιν, ὡς περὶ ἐνεστώτων πραγμάτων. Σημείωσαι δὲ δεύτερον, ὅτι εἰπὼν τό, ὅπως οἱ θέλοντες, καὶ σιωπήσας τό, ἐὰν θέλῃ ὁ Θεός, ἔδωκεν ἀφορμὴν εἰς τὸν καθ' ἕνα, ἵνα νοήσῃ, ὅτι, ἰδίᾳ μὲν θελήσει οὐδεὶς δύναται μεταβῆναι ἐκ τοῦ τόπου τῆς βασάνου εἰς τὸν τόπον τῆς μακαριότητος, ἐὰν δὲ ὁ Θεὸς θέλῃ, καταστήσας διὰ τῆς τῶν ἁμαρτημάτων συγχωρήσεως ἄξιον τοῦ παραδείσου τὸν ἀνάξιον, ποιεῖ τὴν τοιαύτην μετάθεσιν. Τοῦτο τὸ ἔργον, ἄχρι τῆς ἡμέρας τῆς κρίσεως, τῇ μὲν δικαιοσύνῃ αὐτοῦ οὐκ ἔστιν ἐναντίον, εἰς δὲ τὴν εὐσπλαγχνίαν αὐτοῦ ἐστὶ κατάλληλον· ἄχρι τῆς σήμερον οὐδὲ ὁ Υἱὸς τοῦ Θεοῦ κατέβη ἐξ οὐρανοῦ κρῖναι ζῶντας καὶ νεκρούς, οὐδὲ οἱ νεκροὶ ἀνεστάθησαν, οὐδὲ τὰ σώματα, δι' ὧν ἔπραξαν τὴν ἀρετήν, ἢ τὴν κακίαν, ταῖς ἰδίαις ψυχαῖς ἡνώθησαν, οὐδὲ ἡ κρίσις γέγονεν, οὐδὲ ἡ ἀπόφασις ἐξεφωνήθη· ὁ δὲ Ἀμνὸς τοῦ Θεοῦ, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου, θύεται καθ' ἑκάστην ἡμέραν ἐπάνω εἰς τῶν ὀρθοδόξων τὰ θυσιαστήρια, Ἄχρις Α'. Κορ. ια'.
οὗ ἂν ἔλθῃ, ἤγουν ἕως τῆς δευτέρας 26.
παρουσίας αὐτοῦ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. Αὐτὴ οὖν ἡ θυσία, ἥτις, ἐν τῷ σταυρῷ προσενεχθεῖσα, κατήλλαξε τὸν ἄνθρωπον μετὰ τοῦ Θεοῦ, διηνεκῶς ἕως τῆς συντελείας προσφερομένη, κάμπτει τὸν Πανεύσπλαγχνον εἰς οἶκτον καὶ διὰ τὰς ἁμαρτίας τῶν κεκοιμημένων. Ἐπὶ ταύτῃ δὲ τῇ πίστει καὶ τῇ ἐλπίδι οἱ μὲν Χριστιανοί, ἔχοντες καὶ
τὸ τῶν Μακκαβαίων παράδειγμα, προσ- Β'. Μακ.
φέρουσι τὰς ὑπὲρ τῶν κεκοιμημένων συγ- ιβ'. 43.
γενῶν καὶ φίλων ἱκεσίας καὶ προσφο- 45.
ράς, ἡ δὲ ἁγία τοῦ Θεοῦ Ἐκκλησία, ἀ-

ποστο-

ποστολικαῖς ἀκολουθοῦσα παραδόσεσιν, ἐκτείνει τὰς χεῖρας αὐτῆς, ἀκαταπαύστως πρεσβεύουσα καὶ κατ' ὄνομα, καὶ ἀνωνύμως ὑπὲρ πάντων τῶν κεκοιμημένων ὀρθοδόξων Χριστιανῶν, καὶ αὐτὴν δὲ προσφέρει τὴν ἀναίμακτον θυσίαν εἰς ἐξιλέωσιν τῆς κατὰ τῶν ἀποθανόντων ἁμαρτωλῶν θείας ἀγανακτήσεως. Ἐπανέλθωμεν νῦν ἐπὶ τὸ προκείμενον, καὶ ἀκούσωμεν τί ἀπεκρίθη ὁ ἀσυμπαθὴς πλούσιος, ἀκούσας ὅσα εἶπεν αὐτῷ ὁ Ἀβραάμ.

Λουκ. ιϛ'. 27. Εἶπε δέ· Ἐρωτῶ οὖν σε, πάτερ, ἵνα πέμψῃς αὐτὸν εἰς
28. τὸν οἶκον τοῦ πατρός μου· ἔχω γὰρ πέντε ἀδελφούς· ὅπως διαμαρτύρηται αὐτοῖς, ἵνα μὴ καὶ αὐτοὶ ἔλθωσιν εἰς τὸν τόπον τοῦτον τῆς βασάνου.

Τί τοῦτο; ὁ ἀσυμπαθέστατος γίνεται συμπαθής; ἐλεεῖ καὶ προνοεῖ ὑπὲρ τῶν ἀδελφῶν αὐτοῦ, ὁ μὴ ἐλεήσας τὴν ψυχὴν αὐτοῦ, μηδὲ προνοήσας ὑπὲρ τῆς σωτηρίας αὐτῆς; Ναί· παρακαλεῖ τὸν Ἀβραάμ, ἵνα ἐκ νεκρῶν ἀναστήσῃ τὸν Λάζαρον, καὶ πέμψῃ αὐτὸν εἰς τὸν οἶκον τοῦ πατρὸς αὐτοῦ, ἵνα μαρτυρήσῃ τοῖς ἀδελφοῖς αὐτοῦ πόσην καταδίκην καὶ βάσανον προξενεῖ ἡ ἁμαρτία, πόσην ἀνάπαυσιν καὶ δόξαν ἡ ἀρετή. Καὶ ἡ τοιαύτη δὲ μεταβολὴ τῆς ἀσυμπαθείας τοῦ πλουσίου τὴν ὑπερβολικὴν σημαίνει δριμύτητα τῆς βασάνου· τόση ἡ βάσανος, ὥστε ἐδυνήθη καταστῆσαι συμπαθῆ τὸν ἄσπλαγχνον, καὶ προνοητικὸν ὑπὲρ τῶν ἄλλων τὸν ὑπὲρ τῆς ψυχῆς αὐτοῦ ἀπρονόητον. Τίνα δὲ ἄρα σκοπὸν ἔχει ἡ Παραβολή, εἰσάγουσα τὸν πλούσιον ζητοῦντα παρὰ τοῦ Ἀβραὰμ τοιαῦτα ζητήματα; Σκοπὸν ἔχει ἐλέγξαι τοὺς μὴ πειθομένους εἰς τὰς θείας Γραφάς, ἀλλὰ ζητοῦντας θαύματα· τοῦτο δὲ φανερόν ἐστιν ἐκ τῶν ἑξῆς.

Λέγει αὐτῷ Ἀβραάμ· Ἔχουσι Μωσέα, καὶ τοὺς προφήτας· ἀκουσάτωσαν αὐτῶν. Λουκ. ιϛ' 29.

Οὐδεμία, λέγει, χρεία ἐστὶ τῆς ἀποστολῆς τοῦ Λαζάρου εἰς τὸν οἶκον τοῦ πατρός σου· ἔχουσι τὰ βιβλία τοῦ Μωϋσέως, καὶ τῶν Προφητῶν· ἀκουσάτωσαν τὴν διδασκαλίαν αὐτῶν, ἥτις ὁδηγεῖ αὐτοὺς πρὸς κατόρθωσιν πάσης ἀρετῆς. Ἀληθῶς δὲ καὶ ὁ Προφήτης Μωϋσῆς περὶ πάσης ἀρετῆς ἐλάλησεν, ἐξόχως δὲ καὶ περὶ τῆς πρὸς τοὺς πτωχοὺς συμπαθείας ἐνετείλατο, λέγων, Ἀνοίγων ἀνοίξεις τὰς χεῖράς σου τῷ ἀδελφῷ σου τῷ πένητι, καὶ τῷ ἐπιδεομένῳ, τῷ ἐπὶ τῆς γῆς σου· Δευτ. ιέ. 11.
καὶ οἱ Προφῆται δὲ πάντες τοῦτο ἐκήρυξαν τὸ μάθημα, μάλιστα ὁ Προφήτης Ἡσαΐας, ὅστις, ἐξελέγχων τοὺς Ἰουδαίους, τοὺς εἰς μόνας τὰς νηστείας αὐτῶν θαῤῥοῦντας, εἶπε· Διάθρυπτε πεινῶντι τὸν ἄρτον σου, πτωχοὺς ἀστέγους εἰσάγαγε εἰς τὸν οἶκόν σου· ἐὰν ἴδῃς γυμνὸν περίβαλε, καὶ ἀπὸ τῶν οἰκείων τοῦ σπέρματός σου μὴ ὑπερόψει. Τί δὲ πρὸς ταῦτα ἀπεκρίθη ὁ πλούσιος; Ἡσ. νή. 7.

Ὁ δὲ εἶπεν· Οὐχὶ πάτερ Ἀβραάμ· ἀλλ' ἐάν τις ἐκ νεκρῶν πορευθῇ πρὸς αὐτούς, μετανοήσουσιν. Λουκ. ιϛ'. 30.

Ὁ πλούσιος οὗτος, ὅταν ἤκουε τὰ λόγια τῆς θείας Γραφῆς, οὐκ ἐπείθετο·

το· ὅθεν τῷ ἰδίῳ μέτρῳ καὶ τοὺς ἄλλους μετρῶν, ἔλεγε πρὸς τὸν Ἀβραάμ· Οὐχὶ, πάτερ Ἀβραὰμ, οὐδὲ εἰς τὰ λόγια τοῦ Μωϋσέως ὑπακούουσιν, οὐδὲ εἰς τὴν διδασκαλίαν τῶν Προφητῶν πείθονται, ἀλλ' ἐάν τις ἐκ νεκρῶν ἀναστῇ, καὶ, πορευθεὶς πρὸς αὐτοὺς, κηρύξῃ μετάνοιαν, τότε ἐπιστρέψουσιν ἀπὸ τῶν ἁμαρτιῶν αὐτῶν. Ὁ δὲ Ἀβραὰμ ἀπαντᾷ πρὸς ταῦτα οὕτως.

Λουκ. ις'. 31. Εἶπε δὲ αὐτῷ· Εἰ Μωσέως καὶ τῶν Προφητῶν οὐκ ἀκούουσιν, οὐδὲ ἐάν τις ἐκ νεκρῶν ἀναστῇ, πεισθήσονται.

Ὅστις οὐ πιστεύει, οὐδὲ πείθεται εἰς τὰ λόγια τῆς θείας Γραφῆς, ἐκεῖνος οὐ πιστεύσει, οὐδὲ πεισθήσεται, οὐδὲ ἐάν τις ἀναστῇ ἐκ τῶν νεκρῶν· αὕτη ἐστὶν ἡ ἀπόκρισις τοῦ Ἀβραὰμ πρὸς τὸ δεύτερον ζήτημα τοῦ πλουσίου. Ἔστι δὲ ἡ ἀπόκρισις αὕτη ἀλήθεια ἀποδεδειγμένη, καὶ ὑπὸ τῶν πραγμάτων ἐπιβεβαιωμένη· διότι καὶ ὁ Λάζαρος, ὁ τῆς Μάρθας καὶ Μαρίας ἀδελφὸς, ἀνέστη ἐκ τῶν νεκρῶν, καὶ ὅμως οἱ Ἀρχιερεῖς οὐδὲ ἐπίστευσαν, οὐδὲ μετενόησαν,
Ἰωάν. ιβ'. 10. ἀλλ' ἐβουλεύσαντο ἀποκτεῖναι τὸν Λάζαρον· Καὶ πολλὰ σώματα τῶν
Ματ. κζ'. 52, 53. κεκοιμημένων ἁγίων ἠγέρθησαν εἰς τὸν καιρὸν τοῦ σωτηρίου πάθους τοῦ Χριστοῦ, καὶ ἐξελθόντες ἐκ τῶν μνημείων, μετὰ τὴν ἔγερσιν αὐτοῦ, εἰσῆλθον εἰς τὴν ἁγίαν πόλιν, καὶ ἐνεφανίσθησαν πολλοῖς· καὶ ὅμως οἱ Ἰουδαῖοι οὐκ ἐπίστευσαν, οὐδὲ μετενόησαν, ἀλλ' ἐδίωκον, καὶ ἀπέκτεινον τοὺς Ἀποστόλους καὶ μαθητὰς τοῦ Ἰησοῦ Χριστοῦ. Ἀνέστη ἐκ τῶν νεκρῶν καὶ αὐτὸς ὁ ἀρχηγὸς τῆς

σωτηρίας, ὁ Ἰησοῦς Χριστὸς, καὶ παρέστησεν ἑαυτὸν ζῶντα μετὰ τὸ παθεῖν αὐτὸν, ἐν πολλοῖς τεκμηρίοις, δι' ἡμερῶν τεσσαράκοντα ὀπτανόμενος αὐτοῖς, καὶ λέγων τὰ περὶ τῆς βασιλείας τοῦ Θεοῦ· Πραξ. α'. 3.
καὶ ὅμως οἱ Ἀρχιερεῖς καὶ οἱ πρεσβύτεροι τῶν Ἰουδαίων οὐκ ἐπίστευσαν, οὐδὲ μετενόησαν, ἀλλ' ἀργύρια ἱκανὰ ἔδωκαν τοῖς στρατιώταις, λέγοντες· Εἴπατε, ὅτι οἱ Μαθηταὶ αὐτοῦ, νυκτὸς ἐλθόντες, ἔκλεψαν αὐτὸν, ὑμῶν κοιμωμένων. Ματ. κη'. 12, 13.
Ἐὰν δὲ καὶ τὴν σήμερον εἷς ἐκ τῶν νεκρῶν ἀνίστατο, ἐγίνετο δὲ τοῦτο κατὰ ἀκολουθίαν, πόσαι ἀμφιβολίαι, πόσαι ἔρευναι, πόσαι συκοφαντίαι, πόσοι δισταγμοὶ, μήτι ὑποκριτής ἐστι καὶ ψεύστης ὁ λέγων, ὅτι ἀνέστη ἐκ νεκρῶν, μήτι ἐστὶ πνεῦμα· διότι καὶ ἐξ αὐτῶν τῶν Ἀποστόλων, ὅτε πρῶτον εἶδον τὸν Ἰησοῦν Χριστὸν ἀναστάντα, ἄλλοι μὲν ἠπίστησαν, ἄλλοι δὲ ἐδίστασαν, ἄλλοι δὲ ἐδόκουν πνεῦμα θεωρεῖν. Ἰωάν. κ'. 25. Ματ. κη'. 17. Λουκ. κδ'. 37.
Πρὸς τούτοις, ἐὰν κατὰ καιροὺς ἀνίστατό τις ἐκ τῶν νεκρῶν, ὁ Διάβολος, ὅστις ἐπιτηδεύθη φαντασιώδη θαύματα εἰς τὸν καιρὸν τοῦ Φαραὼ, ἐπιτηδεύετο καὶ φαντασιώδεις νεκρῶν ἀναστάσεις, καὶ, δι' αὐτῶν διδάσκων ὅσα ἤθελεν, ἐπλάνα πολλούς. Μάτην λοιπὸν ζητεῖται νεκρῶν ἀνάστασις εἰς βεβαίωσιν τῶν πιστευομένων, καὶ διόρθωσιν τῶν ἁμαρτιῶν· ὁ λόγος τῶν θείων Γραφῶν ἐστὶ βεβαιότερος τῆς μαρτυρίας τῶν ἐκ νεκρῶν ἀναστάντων· διότι ἐστὶ πιστότερος καὶ αὐτῶν τῶν αἰσθήσεων ἡμῶν, ὡς πανσόφως ἐδίδαξεν ὁ θεηγόρος Πέτρος, ὅστις, κἂν εἶδε πάντα τὰ θαύματα τοῦ Ἰησοῦ Χριστοῦ, κἂν εἶδε τὴν μεταμόρφωσιν αὐτοῦ, καὶ ἤκουσε τὴν ἐξ οὐρανοῦ φωνὴν, λέγουσαν· Οὗτός ἐστιν ὁ Υἱός μου Ματ. ιζ'. 5.
ὁ ἀγαπητὸς, ἐν ᾧ εὐδόκησα, αὐτοῦ

Β'. Πέτ. α. 18, 19. τοῦ ἀκούετε· ἔλεγεν ὅμως· Καὶ ταύτην τὴν φωνὴν ἠκούσαμεν ἐξ οὐρανοῦ ἐνεχθεῖσαν, σὺν αὐτῷ ὄντες ἐν τῷ ὄρει τῷ ἁγίῳ· καὶ ἔχομεν βεβαιότερον τὸν προφητικὸν λόγον.

Σημείωσαι δὲ, ὅτι ἡ Παραβολὴ αὕτη παρίστησιν οὐ μόνον τοὺς κολαζομένους, βλέποντας καὶ ἀναγνωρίζοντας τοὺς δικαίους, ἀλλὰ καὶ τὸ ἐναντίον, ἤγουν τοὺς δικαίους, βλέποντας καὶ ἀναγνωρίζοντας τοὺς καταδίκους. Καὶ τὸ μὲν πρῶτον ἔχει προφανῆ τὸν λόγον, διότι τῶν καταδίκων ἡ βάσανος αὐξάνει, ὅταν βλέπωσι τῶν δικαίων τὴν δόξαν· τὸ δὲ δεύτερον ἀπορίαν προξενεῖ, διότι, ἐὰν οἱ δίκαιοι βλέπωσι, καὶ ἀναγνωρίζωσι τοὺς καταδίκους, ἀκολουθεῖ τὸ, ὅτι θλίβονται, εὔσπλαγχνοι ὄντες καὶ φιλάνθρωποι· ἡ δὲ θλίψις σμικρύνει τὴν τελειότητα τῆς χαρᾶς καὶ τῆς μακαριότητος αὐτῶν. Ἡ ἀπορία αὕτη δύω λύσεις δέχεται· ἰδοὺ ἡ πρώτη. Οἱ δίκαιοι οὐ βλέπουσιν ὅλως τοὺς ἐν τῷ ᾅδῃ ἁμαρτωλοὺς, ἐῤῥέθη δὲ τοῦτο διὰ τὴν ἀκολουθίαν τοῦ παραβολικοῦ λόγου, κἂν μὴ ἁρμόζῃ εἰς τὸν σκοπὸν τῆς Παραβολῆς, καθὼς καί τινα λόγια τῶν ἄλλων Παραβολῶν οὐχ ἁρμόζουσιν εἰς τὸν παραβολικὸν σκοπὸν, ὡς ἀλλοθίπου εἴπομεν. Ἰδοὺ καὶ ἡ δευτέρα. Ἡ Παραβολὴ λαλεῖ περὶ τῶν συμβαινόντων πρὸ τῆς δευτέρας παρουσίας, καὶ τῆς κρίσεως καὶ ἀποφάσεως τοῦ Θεοῦ, καθ' ὃν καιρὸν οὐδὲ οἱ ἅγιοι ἀπολαμβάνουσι τὸ τέλειον τῆς μακαριότητος, οὐδὲ οἱ ἁμαρτωλοὶ τὸ τέλειον τῆς κολάσεως· ὅθεν ἡ ἐκ τῆς συμπαθείας θλίψις τῶν δικαίων σημαίνει τὸ ἀτελὲς τῆς ἀπολαύσεως τῆς θείας δόξης· τοῦτο δὲ διαρκεῖ ἕως τῆς ἡμέρας τῆς κρίσεως· θλίβονται δὲ ἕως τότε, βλέποντες καὶ ἀναγνωρίζοντες τοὺς κολαζομένους, ἵνα ἐκτενῶς ὑπὲρ τῆς σωτηρίας καὶ ἀπολυτρώσεως αὐτῶν πρεσβεύωσιν.

Βλέπε τὴν ἑρμ. εἰς τὸ κατὰ Ματθ. Εὐαγγέλ. τῆς 13. Κυριακ. Τόμ. α'. Σελ. 235.

# ΟΜΙΛΙΑ

## ΜΕΤΑ ΤΟ ΚΑΤΑ

# ΛΟΥΚΑΝ

## ΕΥΑΓΓΕΛΙΟΝ ΤΗΣ Ε'. ΚΥΡΙΑΚΗΣ.

Φόβος καὶ τρόμος περικαταλαμβάνει τὴν ἀθλίαν ψυχήν μου, ὅταν λαμβάνω κατὰ νοῦν τὸν ἐλεεινὸν πλούσιον τοῦ σημερινοῦ Εὐαγγελίου. Ποῖα τὰ ἁμαρτήματα αὐτοῦ, διὰ τὰ ὁποῖα κατεδικάσθη εἰς τοσαύτην φοβερὰν βάσανον; αὐτὸς οὐδὲ εἰδωλολάτρης, οὐδὲ ἐπίορκος, οὐδὲ τῶν ἑορτῶν περιφρονητὴς, οὐδὲ τῶν γονέων ὑβριστὴς, οὐδὲ μοιχὸς, οὐδὲ κλέπτης, οὐδὲ φονεὺς, οὐδὲ ψευδομάρτυς, οὐδὲ τῶν ξένων πραγμάτων ἐπιθυμητής· Ἐνεδιδύσκετο, λέγει τὸ ἱερὸν Εὐαγγέλιον, πορφύραν καὶ βύσσον, ἤγουν λαμπρὰ καὶ πολύτιμα ἐνδύματα· ἀλλὰ διὰ τοῦτο ἆρά γε τοσαύτη καταδίκη; Εὐφραίνετο, λέγει, καθ' ἡμέραν λαμπρῶς, ἤγουν ἔτρωγεν, ἔπινεν, ἐχόρευεν, ἔψαλλεν, ἐγέλα· ἀλλὰ διὰ ταῦτα τόση βάσανος; Ναὶ, διὰ ταῦτα· ἐπειδὴ εἰς αὐτὰ καθ' ἡμέραν προσηλωμένος,

νος, ὑπὲρ αὐτῶν κατεδαπάνα τὸν πλοῦτον αὐτοῦ, εἶτα κλείων τὰ σπλάγχνα αὐτοῦ, οὐκ ἠλέει τὸν πτωχὸν Λάζαρον, ὅστις ἀσθενὴς καὶ καθηλκωμένος κατέκειτο εἰς τὴν αὐλὴν αὐτοῦ, ὑπὸ τῶν σκυλάκων λειχόμενος.

Οὐαὶ λοιπόν! Ποσάκις ἐγὼ, ἐνδεδυμένος λαμπρὰ καὶ πολύτιμα ἐνδύματα, ἔχων δὲ καὶ ἄλλα ἐν ταῖς ἀποθήκαις μου σηπόμενα, συναντῶ τὸν Λάζαρον γυμνὸν, καὶ ὑπὸ τοῦ ψύχους στένοντα, ἀποστρέφω δὲ τὸ πρόσωπόν μου ἀπ' αὐτοῦ, καὶ διώκω ἀπὸ τῆς μνήμης μου τὴν ἔννοιαν τῆς τούτου γυμνώσεως; Ποσάκις ἐγὼ μὲν κάθημαι εἰς τράπεζαν, γέμουσαν πολλῶν καὶ ποικίλων βρωμάτων, καὶ ποτῶν, καὶ ἐσθίω, καὶ πίνω, καὶ εὐφραίνομαι, βλέπω δὲ τὸν Λάζαρον πεινῶντα καὶ λιμώττοντα, καὶ οὐδὲ ἐκ τῶν περισσευόντων καὶ πιπτόντων ἀπὸ τῆς τραπέζης μου ψιχίων δίδωμι αὐτῷ; Ποσάκις ἔρχεται ὁ Λάζαρος εἰς τὸν πυλῶνα τῆς οἰκίας μου γυμνὸς, ἀσθενὴς, τετραυματισμένος, καὶ κρούει τῆς οἰκίας τὴν θύραν, καὶ ζητῶν τὸ ἔλεός μου περιμένει, ἀντὶ δὲ παραμυθίας εὑρίσκει ὀδύνην; λείχουσι τὰ ἕλκη αὐτοῦ οἱ κύνες μου, ἤγουν περιφρονοῦσιν, καὶ διώκουσιν αὐτὸν οἱ δοῦλοι τῆς οἰκίας μου. Ταῦτά εἰσιν ἁμαρτήματα μεγάλα, καὶ φρικτῆς κολάσεως πρόξενα, καὶ ὅμως σχεδὸν οὐδεὶς λογίζεται αὐτὰ ἁμαρτήματα· πάντες σχεδὸν πλανῶνται, νομίζοντες, ὅτι, ἐὰν ἐλεήσωσι τὸν πτωχὸν, κατορθοῦσιν ἔργον ἀρετῆς, ἐὰν δὲ μὴ ἐλεήσωσιν αὐτὸν, οὐδόλως ἁμαρτάνουσι. Καὶ τὸ μὲν σημερινὸν Εὐαγγέλιον κηρύττει φανερὰ, ὅτι ὁ πλούσιος κατεδικάσθη εἰς τὸ πῦρ, ἐπειδὴ, μόνος ἀπολαμβάνων τοῦ πλούτου αὐτοῦ, καὶ καταναλίσκων αὐτὸν ἐν ταῖς καθ' ἡμέραν τρυφαῖς αὐτοῦ, οὐδέποτε ἠλέησε τὸν πτωχὸν, ἡ πλάνη ὅμως ἄχρι τῆς σήμερον διαμένει. Ἀνάγκη οὖν ἐστὶν, ἵνα ἐξετάσωμεν ποῦ ἡ τοιαύτη πλάνη στηρίζεται· ἐκ τούτου δὲ μανθάνομεν καὶ τὸ διατί τοσοῦτον βαρέως ἁμαρτάνει ὅστις οὐκ ἐλεεῖ τοὺς πένητας.

Ἡ πρὸς τοὺς πένητας ἐλεημοσύνη, λέγουσί τινες, οὐκ ἔστι χρέος, ἐπειδὴ οὐκ ἔστιν ἐντολὴ τοῦ Δεκαλόγου· ὅθεν ὅστις οὐκ ἐλεεῖ τοὺς πένητας, ἐκεῖνος οὐδόλως ἁμαρτάνει. Τοῦτό ἐστι ψεῦδος· διότι ἡ δευτέρα ἐντολὴ, ἡ μεγάλη, καὶ ὁμοία τῇ πρώτῃ, παραγγέλλει τὴν εἰς τοὺς πτωχοὺς ἐλεημοσύνην· Ἀγαπήσεις, λέγει, τὸν πλησίον σου ὡς σεαυτόν· [Ματ. κβ΄. 39.] τίνι δὲ τρόπῳ πρέπει νὰ ἀγαπῶμεν τὸν πλησίον, ἐξήγησεν ὁ ἐπιστήθιος Ἰωάννης, εἰπών· Τεκνία, μὴ ἀγαπῶμεν λόγῳ μηδὲ γλώσσῃ, ἀλλ' ἔργῳ καὶ ἀληθείᾳ. [Α΄. Ἰωάν. γ΄. 18.] Μὴ θαρρῇς οὖν, ὅτι, λέγων διὰ τοῦ στόματός σου καὶ τῆς γλώσσης σου, Ἐγὼ ἀγαπῶ τὸν πλησίον μου, ἐπλήρωσας τὴν ἐντολήν· διότι, ἵνα πληρώσῃς αὐτὴν, πρέπον ἐστὶν, ἵνα ἀγαπήσῃς αὐτὸν ἔργῳ, καὶ ἀληθείᾳ· μηδὲ νομίσῃς, ὅτι, ὅταν μηδὲ ἐπιβουλεύῃς, μηδὲ κατατρέχῃς, μηδὲ μισῇς τὸν πλησίον σου, τότε ἐπλήρωσας τὴν ἐντολήν· διότι, ἵνα ἐκπληρώσῃς αὐτὴν, ἀνάγκη ἐστὶν, ἵνα ἔργῳ καὶ ἀληθείᾳ ἀγαπήσῃς τὸν πλησίον σου ὡς σεαυτόν· σὺ δὲ οὐ μόνον οὐκ ἐπιβουλεύεις, οὐδὲ κατατρέχεις, οὐδὲ μισεῖς σεαυτὸν, ἀλλὰ καὶ τρέφεις, καὶ ἐνδύεις, καὶ κατὰ πάντα τρόπον ἀναπαύεις· τότε οὖν μόνον ἐκπληροῖς τὴν ἐντολὴν, ὅταν, ἔχων δύω χιτῶνας, δίδῃς τὸν ἕνα τῷ μὴ ἔχοντι, καὶ ὅταν, ἔχων τροφὰς, ποιῇς τὸ αὐτὸ, [Λουκ. γ΄. 11.] καὶ ὅταν, ἔχων ὑπάρχοντα, πράττῃς ὅπερ ἔπραξεν ὁ Ζακχαῖος, ὅστις διένειμε τὰ ἡμίση τῶν ὑπαρχόντων αὐτοῦ τοῖς πτωχοῖς. [Αὐτ. ιθ΄. 8.] Ὅσον λοιπὸν χρέος ἔχομεν διὰ τὴν ἐκπλήρωσιν τῆς δευτέρας ἐντολῆς τοῦ Δεκαλόγου,

γου,

γου, τοσοῦτον καὶ διὰ τὴν ἐλεημοσύνην· ἐκ τούτου δὲ φανερόν ἐστιν, ὅτι οἱ ἀσυμπαθεῖς καὶ ἀνελεήμονες παραβαίνουσι τὴν δευτέραν, τὴν μεγάλην καὶ ὁμοίαν τῇ πρώτῃ, ἐντολὴν τοῦ Θεοῦ.

Ἄλλος πάλιν λέγει· Ὁ Θεός, εἰς ὅσα ἐχάρισέ μοι, κατέστησέ με κύριον τούτων καὶ δεσπότην· ἀμεταμέλητα δέ εἰσι τοῦ Θεοῦ τὰ χαρίσματα· ἐπειδὴ λοιπὸν κατέστησέ με κύριον καὶ δεσπότην τῶν ὑπαρχόντων μου, οὐ κολάζει με, ἐὰν μὴ θελήσω δοῦναι ἐξ αὐτῶν τοῖς πτωχοῖς, διότι τοῦτο οὐκ ἔστι κατάλληλον τῇ δικαιοσύνῃ αὐτοῦ. Τίς ἐδίδαξέ σε τοῦτο τὸ
Α'. Βασ. β'. 7. ὀλέθριον μάθημα; ἀληθῶς ὁ Θεὸς πλουτίζει τὸν ἄνθρωπον, ἀλλὰ πλουτίζει αὐτόν, οὐχ ἵνα σφετερίζηται τὸν πλοῦτον, καὶ καταναλίσκῃ αὐτὸν εἰς τὰς τρυφὰς αὐτοῦ, ἢ κατακρύπτῃ, καὶ κατακλείῃ αὐτόν, μηδὲν μηδενὶ μεταδιδούς· ἀλλ' ἵνα χορηγῇ ἐξ αὐτοῦ εἰς τοὺς πτωχούς, καὶ ἀνοίγῃ τὰς χεῖρας αὐτοῦ, καὶ μεταδίδωσι τοῖς χρείαν ἔχουσιν. Ὁ Θεός, πλουτίζων τὸν ἄνθρωπον, καθιστᾷ αὐτὸν οἰκονόμον, καὶ διοικητὴν τῶν ἀγαθῶν, ὧν ἔδωκεν αὐτῷ, ἵνα ἐν τῷ πρέποντι καιρῷ διαμερίζῃ ἐξ αὐτῶν τοῖς δεομένοις κατὰ ἀναλογίαν τῆς χρείας αὐτῶν. Ἄκουσον τί περὶ τούτου λέγει
Λουκ. ιβ'. 42. αὐτὸς ὁ Θεός· Τίς ἄρα ἐστὶν ὁ πιστὸς οἰκονόμος καὶ φρόνιμος, ὃν καταστήσει ὁ Κύριος ἐπὶ τῆς θεραπείας αὐτοῦ, τοῦ δοῦναι ἐν καιρῷ τὸ σιτομέτριον; ἀκούεις; οἰκονόμον ὀνομάζει τὸν πλούσιον· ἀκούεις καὶ τὸν λόγον, διὰ τὸν ὁποῖον ὁ Θεὸς κατέστησέ σε πλούσιον; Τοῦ δοῦναι, λέγει, ἐν καιρῷ τὸ σιτομέτριον· ἵνα σιτομετρῇς, ἤγουν ἵνα χορηγῇς εἰς τοὺς πτωχοὺς κατὰ τὸ μέτρον τοῦ πλούτου σου, καὶ τῆς χρείας αὐτῶν. Καὶ ὅστις μέν, λαβὼν τὸν πλοῦτον, οἰκονομεῖ αὐτὸν κατὰ τὸ θέλημα τοῦ Κυρίου αὐτοῦ, ἐκεῖνον καὶ ἐπαινεῖ ὁ Θεὸς ὡς πιστὸν καὶ φρόνιμον οἰκονόμον, καὶ ἀνταμείβει διὰ τὴν καλὴν αὐτοῦ οἰκονομίαν· Μα- Λουκ. ιβ'. 43.
κάριος, λέγει, ὁ δοῦλος ἐκεῖνος, ὃν ἐλθὼν ὁ Κύριος εὑρήσει ποιοῦντα οὕτως· ὅστις δέ, λαβὼν τὸν πλοῦτον, σφετερίζεται αὐτὸν ὡς ἴδιον, καὶ ἐσθίει, καὶ πίνει, καὶ μεθύσκεται, τοὺς πτωχοὺς παντελῶς ἀποστρεφόμενος, ἐκεῖνον ἐλέγχει ὡς ἄπιστον, καί, χωρίζων αὐτὸν ἀπὸ τῆς ὁμηγύρεως τῶν πιστῶν, καταδικάζει μετὰ τῶν ἀπίστων· Καὶ διχοτομήσει, λέγει, αὐτόν, καὶ Αὐτόθι. 46.
τὸ μέρος αὐτοῦ μετὰ τῶν ἀπίστων θήσει. Ἐὰν ὁ Θεὸς τοῦτον μὲν ἐπλούτιζεν, ἵνα, κύριος ὢν καὶ δεσπότης τῶν δοθέντων αὐτῷ ἀγαθῶν, ποιῇ, ὡς σὺ λέγεις, εἴτι ἂν θέλῃ, μηδὲν σιτομετρῶν τοῖς πτωχοῖς· ἐκεῖνον δὲ ἐπτώχιζεν, ἵνα πάσχῃ καὶ βασανίζηται, μηδενὸς τῶν τοῦ πλουσίου ἀγαθῶν μεταλαμβάνων, ἀδικίας ἔργον ἐποίει ὁ Θεός· διότι φανερὰ ἀδικία ἐστὶν ἡ τοιαύτη ἀνισότης εἰς τοὺς ἀνθρώπους, οἵτινες ἐπίσης εἰσὶ πλάσματα αὐτοῦ· ὁ Θεὸς ὅμως τοῦτον μὲν ἐποίησε πλούσιον, ἐκεῖνον δὲ πτωχόν, ἵνα ἑκάτερον σώσῃ· τὸν μὲν πλούσιον, διὰ τῆς πιστῆς καὶ φρονίμου οἰκονομίας, ἤγουν τῆς εἰς τοὺς πτωχοὺς μεταδόσεως· τὸν δὲ πτωχόν, διὰ τῆς εὐπειθοῦς καὶ ἀγογγύστου ὑπομονῆς, καὶ καρτερίας.

Βλέπετε λοιπόν, ποῦ θεμελιοῦται ἡ πλάνη ἐκείνων, οἵτινες νομίζουσιν, ὅτι ἡ ἐλεημοσύνη οὐκ ἔστι χρέους ἐκπλήρωσις, ἀλλ' ἀρετῆς κατόρθωμα; Αὕτη ἡ πλάνη, ἀδελφοί μου, προέρχεται οὐκ ἐκ τῆς πειθῶ τοῦ λόγου, ἀλλ' ἐκ τῆς ἀσπλαγχνίας τῆς καρδίας. Ἡ ἀσπλαγχνία ἐστὶν ἡ δαιμονιώδης ῥίζα αὐτῆς· ὁ ἄσπλαγχνος πλούσιος οὐδόλως αἰσθάνεται οὐδὲ τὴν ἐκ τῆς πείνας στενοχωρίαν, οὐδὲ τὴν ἐκ τῆς γυμνώσεως ταλαιπω-

παρίαν, οὐδὲ τὴν ἐκ τῆς ἀῤῥωστίας ὀδύνην, οὐδὲ τὴν ἐκ τῆς πτωχείας θλῖψιν, ἣν πάσχει ὁ πτωχός· διὰ τοῦτο, ὅσα ἂν εἴπῃς αὐτῷ, οὐδὲ μαλάσσεται, οὐδὲ κλίνει εἰς ἔλεος καὶ οἰκτιρμόν· ἀκούων δὲ τὴν κατάκρισιν τῶν ἀνελεημόνων, καὶ τὰ βραβεῖα τῶν ἐλεούντων, θέλων ἑαυτὸν δικαιῶσαι, προβάλλει τὰ προειρημένα παράλογα λόγια.

Εἰς τὸ ἔργον τῆς ἐλεημοσύνης προτρέπει, ναί, καὶ ἡ δύναμις τῆς ἐντολῆς τοῦ Θεοῦ, καὶ ὁ φόβος τῆς κολάσεως, καὶ ἡ ἐλπὶς τῆς ἀνταποδόσεως, προτρέπει ὅμως περισσότερον ἡ εὐσπλαγχνία τῆς καρδίας. Ὁ εὔσπλαγχνος, ὅταν ἴδῃ ἄνθρωπον κινδυνεύοντα, καὶ πάσχοντα, τοσοῦτον συντρίβεται ἡ καρδία αὐτοῦ, ὥστε πάσχει, ὥσπερ ἂν εἰ ἐκινδύνευε καὶ ἔπασχεν αὐτός· ὅθεν καὶ κλαίει μετὰ τῶν κλαιόντων, καὶ θλίβεται μετὰ τῶν θλιβομένων· διό, ὅταν ἴδῃ τὸν ἐν ἀνάγκαις καὶ θλίψεσιν, οὐχ ὑπὸ τῆς ἐντολῆς, οὐδὲ ὑπὸ τοῦ φόβου, οὐδὲ ὑπὸ τῆς ἐλπίδος τῆς ἀνταποδόσεως ἑλκόμενος, ἀλλ' ὑπὸ τῆς ἰδίας εὐσπλαγχνίας κινούμενος, ἐλεεῖ αὐτόν· θεραπεύων δὲ τὴν ἀνάγκην τοῦ πτωχοῦ, συνθεραπεύει ἅμα καὶ τὴν θλῖψιν, τὴν ὁποίαν δοκιμάζει δι' αὐτόν· ἐκ τούτου, μετὰ τὴν μετάδοσιν τῆς ἐλεημοσύνης, χαίρει καὶ εὐφραίνεται ὁ ἐλεήσας περισσότερον ἤπερ ὁ ἐλεηθείς. Τοῦτο, ὅπερ λέγω, γινώσκουσι καὶ αἰσθάνονται ὅσοι εἰσὶν εὔσπλαγχνοι· ἡ τοιαύτη δὲ ἐλεημοσύνη, ἡ ἐκ τῆς εὐσπλαγχνίας τῆς καρδίας προερχομένη, ἐστὶν ἡ ἐλεημοσύνη ἡ ἀληθινή, ἡ ἁγία, ἡ ἠγαπημένη εἰς τὸν πανεύσπλαγχνον Θεόν· διὰ τοῦτο ὁ πάνσοφος Ἀπόστολος Παῦλος, γράφων πρὸς τοὺς Κορινθίους περὶ ἐλεημοσύνης, παρήγγελλεν, ἵνα ἐ-
Β'. Κορ. θ'. 7. λεῇ ἕκαστος, καθὼς προαιρεῖται τῇ καρδίᾳ, ἤγουν κατὰ τὴν εὐσπλαγχνίαν τῆς καρδίας αὐτοῦ· οὐ διὰ τὴν λύπην, ἣν προξενεῖ ὁ φόβος τῆς κολάσεως, οὐδὲ διὰ τὴν ἀνάγκην τῆς ἀνταποδόσεως· Μὴ ἐκ λύπης, ἢ ἀνάγκης· ἱλαρὸν γὰρ δότην ἀγαπᾷ ὁ Θεός· τίς δέ ἐστιν ὁ ἱλαρὸς δότης; ὅστις φοβεῖται μὴ κολασθῇ, καὶ διὰ τοῦτο δίδωσιν; οὐχί, διότι ὁ φοβούμενος οὐκ ἔστιν ἱλαρός, ἀλλὰ τεταραγμένος· τίς ἐστιν ὁ ἱλαρὸς δότης; ἐκεῖνος, ὅστις ἐλεεῖ, ἵνα λάβῃ ἀνταμοιβήν; οὐχί, διότι ὁ φιλοκερδὴς οὐκ ἔστιν ἱλαρός, ἀλλ' ἀνήσυχος· δότης ἱλαρὸς ἐκεῖνός ἐστι μόνος, ὅστις, εὐσπλαγχνιζόμενος, μετὰ χαρᾶς καὶ εὐφροσύνης ἐλεεῖ.

Ἀλλὰ πρὸς ταῦτα ἀποκρίνεσαι, λέγων· Ἐὰν ἡ ἀσπλαγχνία ποιῇ τὸν ἄνθρωπον ἀνελεήμονα, ἡ δὲ εὐσπλαγχνία ἐλεήμονα, ὁ ἀνελεήμων οὐδόλως ἁμαρτάνει, διότι ἡ ἀσπλαγχνία καὶ ἡ εὐσπλαγχνία εἰσὶν ἰδιώματα φυσικά. Ἐὰν ἡ φύσις ἐποίησε τὰ νεῦρα τῶν αἰσθήσεών μου σκληρὰ καὶ ἄκαμπτα εἰς τὰς προσβολὰς τῶν προκειμένων μοι θλιβερῶν πραγμάτων· ἐὰν ἡ κρᾶσις τῆς φύσεώς μου ἐποίησέ με ἀσυμπαθῆ καὶ δυσαίσθητον, τί πταίω ἐγώ, ἢ τί ἁμαρτάνω; Ἡμεῖς οὐκ ἀρνούμεθα, ὅτι κατὰ φύσιν οὗτος μὲν εὔκολα αἰσθάνεται τὴν θλῖψιν τοῦ ἄλλου, ἐκεῖνος δὲ δύσκολα· ὁμολογοῦμεν, ὅτι τινὲς μὲν φύσει ἔχουσιν ἁπαλὴν καρδίαν, τινὲς δὲ σκληράν, καθὼς κατὰ φύσιν τινὲς μέν εἰσι σώφρονες, περὶ ὧν ὁ Κύριος εἶπεν· Εἰσὶ Ματ. ιθ'.
γὰρ εὐνοῦχοι, οἵτινες ἐκ κοιλίας 12.
μητρὸς αὐτῶν ἐγεννήθησαν οὕτω· τινὲς δὲ ἐπιῤῥεπεῖς εἰς τὴν ἀσέλγειαν, καθὼς ὁ Σολομών, περὶ οὗ ἐγράφη·
Καὶ ὁ Βασιλεὺς Σαλωμὼν ἦν φι- Γ'. Βασ.
λογύνης. ιά. 1. Λέγομεν δέ, ὅτι ἡ φύσις, ὅταν ἡμεῖς θέλωμεν, ὑποτάσσεται εἰς τὴν χάριν· ὁ Ζακχαῖος, ὁ σκληροκάρδιος, ἐγένετο πρὸς τοὺς πένητας συμπαθέστατος, καὶ εὐεργετικώτατος· ἡ ἀσελ-

γὴς

γῆς πόρνη ἔνιψε τοὺς πόδας τοῦ Ἰησοῦ Χριστοῦ τοῖς δάκρυσι, καὶ ἐγένετο σώφρων· ἡ Σαμαρεῖτις, ἥτις ἔλαβε πέντε ἄνδρας, καὶ ἕτερον ἕκτον, ἐσωφρονίσθη, καὶ ἐκήρυξε τὸν Ἰησοῦν Χριστὸν ἐνώπιον τῶν τυράννων.

Ἄνθρωπε λοιπὸν, σὺ λέγεις, ὅτι ἐπειδὴ ὑπάρχεις φύσει ἀσυμπαθὴς, οὐδεμίαν ἁμαρτίαν ἔχεις, ἐὰν μὴ ἐλεήσῃς τὸν πτωχόν· ἀλλ' ἐπειδὴ τῆς ἀρετῆς τὰ σπέρματα εἰσὶν ἐμπεφυτευμένα εἰς τὴν ἀνθρωπίνην φύσιν, καὶ ἡ χάρις τοῦ Θεοῦ ἕτοιμός ἐστιν εἰς τὴν βοήθειάν σου, ἐὰν θέλῃς, δύνασαι γενέσθαι συμπαθὴς καὶ εὔσπλαγχνος, καθὼς, ἐὰν θέλῃς, γίνεσαι ἐγκρατὴς καὶ σώφρων· διὰ τοῦτο δὲ ἁμαρτάνεις, ἐπειδὴ οὐ θέλεις.

Ἀλλ' ὁ ἀσελγὴς, λέγεις, ἔχει διαφόρους τρόπους, διὰ τῶν ὁποίων μαραίνει τῆς σαρκὸς τὴν φλόγα, καὶ καταπραΰνει τῆς ἐπιθυμίας τὴν λύσσαν· διὰ τῆς προσευχῆς, διὰ τῆς νηστείας, διὰ τῆς
Α'. Κορ. θ'. 27. ἀγρυπνίας, διὰ τῆς σκληραγωγίας ὑποπιάζων τὸ σῶμα καὶ δουλαγωγῶν, γίνεται νικητὴς καὶ τροπαιοῦχος. Οὐχ ἡμεῖς, ἀλλ' ἡ χάρις τοῦ Θεοῦ νικᾷ, καὶ τίθησιν εἰς τὴν κεφαλὴν ἡμῶν τῆς νίκης τὸν στέφανον· ἡμεῖς ἀφ' ἑαυτῶν οὐκ ἐσμὲν ἱκανοὶ πρὸς τὰ τοιαῦτα κατορθώματα· ἡμεῖς τὴν καλὴν διάθεσιν μόνον δεικνύομεν, τὴν θέλησιν ἡμῶν δίδομεν, τὸ κατὰ δύναμιν ποιοῦμεν, ὁ δὲ Θεὸς ποιεῖ ἡμᾶς ἱκανοὺς πρὸς τὸ κατόρθω-
Β'. Κορ. γ'. 4, 5. μα· Πεποίθησιν δὲ τοιαύτην ἔχομεν διὰ τοῦ Χριστοῦ πρὸς τὸν Θεόν· οὐχ ὅτι ἱκανοί ἐσμεν ἀφ' ἑαυτῶν λογίσασθαί τι, ὡς ἐξ ἑαυτῶν, ἀλλ' ἡ ἱκανότης ἡμῶν ἐκ τοῦ Θεοῦ.

Ἄκουσον τὸν τρόπον, διὰ τοῦ ὁποίου εὔκολα γίνεσαι εὔσπλαγχνος. Ὅταν συναντᾷς τὸν πτωχὸν, μὴ ἀποστρέφῃς τὸ πρόσωπόν σου ἀπ' αὐτοῦ, ἀλλὰ, στηρίξας τὰ ὄμματά σου ἐπ' αὐτὸν, καὶ παρατηρήσας τὴν ἐλεεινὴν αὐτοῦ κατάστασιν, προσήλωσον τὸν νοῦν σου εἰς τὴν στενοχωρίαν καὶ τὴν θλῖψιν τῆς καρδίας αὐτοῦ. Ὅταν βλέπῃς τὴν οἰκίαν τῆς πτωχῆς καὶ ἀπόρου χήρας, μὴ φύγῃς, ἀλλ' εἰσελθὼν εἰς αὐτὴν, βλέπε τὰ δάκρυα αὐτῆς, ὅτε περικυκλοῦσιν αὐτὴν τὰ μικρὰ ὀρφανὰ αὐτῆς γυμνὰ, καὶ κλαίοντα, καὶ φωνῇ ἐλεεινῇ ζητοῦντα παρ' αὐτῆς τροφήν. Ὅταν πλησιάζῃς εἰς τὸν οἶκον, ὅπου κατάκειται ὁ πτωχὸς ὁ ἀσθενὴς, μὴ ἀναχωρήσῃς ἐκεῖθεν, ἀλλ' εἴσελθε, καὶ βλέπε, ὅτι οὐδὲ ἰατρὸς ἐκεῖ, οὐδὲ ἰατρικὸν, οὐδὲ ὑπηρέτης, οὐδὲ τροφὴ, οὐδὲ ἄνθρωπος, ἵνα δροσίσῃ τὴν δίψαν αὐτοῦ· μὴ φύγῃς εὐθὺς, ἀλλὰ στῆθι ἐκεῖ, καὶ βλέπε αὐτὸν κατακείμενον ἐπὶ γῆς, βλέπε τὰς πληγὰς, ἐρεύνησον ποία ἡ ἀσθένεια· στῆθι ἐκεῖ, καὶ ἄκουσον τὰς ὀδυνηρὰς φωνὰς, τὰς ἐκ τῶν πόνων τῆς ἀρρωστίας αὐτοῦ. Ὅταν βλέπῃς τὸν πτωχὸν ἐκτείνοντα τὴν χεῖρα, καὶ ζητοῦντα τὸ ἔλεός σου, μὴ ὀργίζεσαι, μὴ ἀγανακτεῖς, ἀλλὰ χαῖρε καὶ ἀγάλλου, νομίζων, ὅτι αὐτός ἐστιν ὁ Κύριος καὶ ὁ Σωτήρ σου, ὅστις ἐκτείνει τὴν χεῖρα, καὶ ζητεῖ παρὰ σοῦ τὴν κλεῖδα, ἵνα ἀνοίξῃ σοι τοῦ παραδείσου τὴν θύραν. Ὅταν ταῦτα ποιῇς, τότε καὶ τὴν ἀγαθήν σου προαίρεσιν δεικνύεις, καὶ τὸ κατὰ δύναμίν σου συνεισφέρεις, καὶ ἑτοιμάζεις τὴν καρδίαν σου πρὸς ὑποδοχὴν τῆς τοῦ Θεοῦ χάριτος· ὅθεν τότε ἡ χάρις ἐνεργεῖ ἐν σοὶ, καὶ νικῶσα τὴν φύσιν, ἁπαλύνει τὴν σκληρότητα τῆς καρδίας σου· συμπαθὴς δὲ τότε καὶ εὔσπλαγχνος γενόμενος, καὶ συμπάσχων τοῖς πάσχουσι, καὶ ἐκτείνων μετὰ χαρᾶς τὴν χεῖρα εἰς βοήθειαν τῶν πτωχῶν καὶ ἀπόρων, γίνεσαι οἰκτίρμων, καθὼς καὶ ὁ πατήρ σου ὁ ἐπουράνιος οἰκτίρμων ἐστί· διὸ καὶ κληρονόμος γί- Λουκ. ϛ'. 36.

νεσαι τῆς αἰωνίου βασιλείας αὐτοῦ, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα, καὶ ἡ τιμὴ, καὶ ἡ λατρεία εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

# ΕΡΜΗΝΕΙΑ

## ΕΙΣ ΤΟ ΚΑΤΑ

# ΛΟΥΚΑΝ

## ΕΥΑΓΓΕΛΙΟΝ ΤΗΣ ϛ΄. ΚΥΡΙΑΚΗΣ.

Εὑρίσκονται ἄραγε τὴν σήμερον δαιμονιζόμενοι, πάσχοντες ὅσα διηγεῖται τὸ σημερινὸν Εὐαγγέλιον, ὅτι ἔπασχεν ὁ δαιμονιζόμενος, ὁ ὑπὸ τοῦ Ἰησοῦ Χριστοῦ θεραπευθείς; Τὸ πάθος καὶ ὁ σταυρὸς τοῦ Ἰησοῦ Χριστοῦ ἐξενεύρισε τῶν Δαιμόνων τὴν δύναμιν, ὡς ἐδίδαξεν αὐτὸς ὁ Ἰησοῦς Χριστὸς, εἰπών· Νῦν ὁ ἄρχων τοῦ κόσμου τούτου ἐκβληθήσεται ἔξω· (Ἰωάν. ιβ΄. 31.) ὅθεν οἱ Δαίμονες, μετὰ τὸ πάθος καὶ τὴν ἀνάστασιν τοῦ Σωτῆρος, οὐ δύνανται ἐκτελέσαι ὅσα ἔπραττον πρὸ τοῦ πάθους καὶ τῆς ἀναστάσεως. Οἱ ἄπιστοι λέγουσιν, ὅτι, ἐὰν ἔβλεπον ἕνα μόνον τοιουτοτρόπως δαιμονιζόμενον, διὰ δὲ τῶν πιστῶν θεραπευόμενον, ἐπίστευον εὐθὺς ἐπὶ τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν· ἡμεῖς ὅμως λέγομεν, ὅτι, καὶ ἐὰν πολλοὺς ἔβλεπον τοιούτους δαιμονιζομένους, ἕτοιμοι ἦσαν εἰπεῖν περὶ αὐτῶν ὅσα καὶ περὶ τῶν τότε δαιμονιζομένων φλυαροῦσιν. Αὐτοὶ λέγουσιν, ὅτι οἱ τότε δαιμονιζόμενοι ἦσαν μελαγχολικοί· κατ' αὐτοὺς λοιπὸν οἱ μελαγχολικοὶ περιπατοῦσι γυμνοὶ, φεύγουσιν ἀπὸ τῆς κατοικίας αὐτῶν, καὶ κατοικοῦσιν ἐν τοῖς μνήμασι, συντρίβοντες δὲ τὰ σιδηρᾶ δεσμὰ καὶ τὰς ἁλύσεις, τρέχουσιν εἰς τὴν ἔρημον· κατ' αὐτοὺς λοιπὸν ἡ μελαγχολία ἐξέρχεται ἀπὸ τοῦ ἀνθρώπου, καὶ εἰσέρχεται εἰς τοὺς χοίρους, οἱ δὲ χοῖροι, μελαγχολικοὶ γενόμενοι, ὁρμῶσιν ἀγεληδὸν κατὰ τοῦ κρημνοῦ, καὶ καταποντιζόμενοι εἰς τὴν λίμνην πνίγονται· τίς ἄνθρωπος, ἔχων σώας τὰς φρένας αὐτοῦ, πείθεται εἰς τοιαῦτα μωρολογήματα; Οἱ Δαίμονες ὅμως, ἀκούοντες αὐτοὺς λέγοντας, ὅτι ἐπίστευον, ἐὰν ταῦτα ἔβλεπον, καὶ φοβούμενοι, μήπως τοῦτο συνέβη, ὁρμῶσι κατ' αὐτῶν, καὶ δαιμονίζοντες αὐτοὺς, ποιοῦσιν ἐν αὐτοῖς ὅσα ἔπραττον εἰς τοὺς τότε δαιμονιζομένους, ἤγουν γυμνοῦσιν αὐτοὺς τοῦ ὀρθοῦ λόγου, καὶ ἐξάγοντες τὸν νοῦν αὐτῶν τῆς ἰδίας καταστάσεως, θάπτουσιν εἰς τῆς ἀσυνεσίας τὰ μνήματα, συντρίβοντες δὲ τοὺς ἐν αὐτοῖς ὅρους καὶ νόμους τῆς ὀρθῆς κρίσεως, κατακρημνίζουσιν αὐτοὺς εἰς τῆς ἀπιστίας τοὺς χάνδακας, ὥσπερ τοὺς χοίρους εἰς τὴν θάλασσαν. Ἡμεῖς δὲ οἱ πιστεύοντες τὴν ἀλήθειαν ταύτης τῆς εὐαγγελικῆς ἱστορίας, κλαίομεν ἐπ' αὐτοὺς, καὶ παρακαλοῦντες τὸν Θεὸν, ἵνα ἀπαλλάξῃ ἡμᾶς τῆς τοιαύτης καταδίκης, διερμηνεύομεν αὐτὴν πρὸς κατάληψιν περισσοτέραν καὶ ὠφέλειαν. Τὴν ἱστορίαν ταύτην ἡρμηνεύσαμεν τῇ πέμπτῃ Κυριακῇ τοῦ κατὰ Ματθαῖον Εὐαγγελίου· ἐπειδὴ δὲ ὁ θεηγόρος Λουκᾶς διηγεῖται τι-

*τινὰς περιστάσεις, ὑπὸ τοῦ Ἐυαγγελιστοῦ Ματθαίου σιωπηθείσας, διὰ τοῦτο ταύτας μόνον ἑρμηνεύομεν, ἀφέντες ὅσα τότε ἐκεῖ εἴπομεν.*

Λουκ. ή. 26. Τῷ καιρῷ ἐκείνῳ, ἐλθόντι τῷ
27. Ἰησοῦ εἰς τὴν χώραν τῶν Γα-
δαρηνῶν, ὑπήντησεν αὐτῷ ἀνήρ
τις ἐκ τῆς πόλεως, ὃς εἶχε
Δαιμόνια ἐκ χρόνων ἱκανῶν,
καὶ ἱμάτιον οὐκ ἐνεδιδύσκετο,
καὶ ἐν οἰκίᾳ οὐκ ἔμενεν, ἀλ-
28. λ' ἐν τοῖς μνήμασιν. Ἰδὼν δὲ
τὸν Ἰησοῦν, καὶ ἀνακράξας,
προσέπεσεν αὐτῷ, καὶ φωνῇ
μεγάλῃ εἶπε· Τί ἐμοὶ, καὶ
σοὶ, Υἱὲ τοῦ Θεοῦ τοῦ ὑψί-
στου; δέομαί σου μή με βα-
σανίσῃς.

*Διατί ὁ μὲν Ματθαῖος εἶπεν, εἰς τὴν χώραν τῶν Γεργεσηνῶν, ὁ δὲ Λουκᾶς, εἰς τὴν χώραν τῶν Γαδαρηνῶν· καὶ διατί ὁ μὲν Ματθαῖος ἐμνημόνευσε δύω δαιμονιζομένων, ὁ δὲ Λουκᾶς, ἑνός· καὶ διατί οἱ δαιμονιζόμενοι κατῴκουν ἐν τοῖς μνημείοις· τί δὲ δηλοῦσι τὰ λόγια ταῦτα, Τί ἐμοὶ, καὶ σοὶ, Υἱὲ τοῦ Θεοῦ, ἐφανερώσαμεν εἰς τὴν ἑρμηνείαν τοῦ προειρημένου κατὰ Ματθαῖον Ἐυαγγελίου. Σημειοῦμεν δὲ ἐνταῦθα τὸ, Ἐκ χρόνων ἱκανῶν, καὶ τὸ, Δέομαί σου, μή με βασανίσῃς, τὰ γραφέντα ὑπὸ τοῦ Ἐυαγγελιστοῦ Λουκᾶ, καθότι τὸ μὲν πρῶτον δεικνύει, ὅτι ἡ πολυκαιρία αὐξάνει τὴν δυσκολίαν τῆς ἰατρείας, τὸ δὲ δεύτερον, ὅτι καὶ ἡ δέησις αὐτῶν τῶν Δαιμόνων κάμπτει τοῦ φιλανθρώπου Ἰησοῦ τὰ σπλάγχνα· ἐκ τούτου δὲ φανερόν ἐστιν, ὅτι καὶ αὐτοὶ οἱ Δαίμονες, ἐὰν μετενόουν, καὶ ἐπέστρεφον, καὶ ἐζήτουν παρὰ τοῦ Θεοῦ συγχώρησιν, ὁ Θεὸς εὐσπλαγχνίζετο αὐτοὺς, καὶ εἰσήκουε τὴν δέησιν αὐτῶν. Μετὰ φωνῆς δὲ μεγάλης ἐβόησεν ὁ Δαίμων, καὶ παρεκάλεσεν, ἐπειδὴ, ἀκούσας τὴν παντοδύναμον φωνὴν, ἐτρόμαξε.*

Παρήγγειλε γὰρ τῷ πνεύμα- Λουκ. ή. 29.
τι τῷ ἀκαθάρτῳ ἐξελθεῖν ἀ-
πὸ τοῦ ἀνθρώπου· πολλοῖς
γὰρ χρόνοις συνηρπάκει αὐ-
τόν· καὶ ἐδεσμεῖτο ἁλύσεσι
καὶ πέδαις φυλασσόμενος· καὶ
διαῤῥήσσων τὰ δεσμὰ, ἠλαύ-
νετο ὑπὸ τοῦ Δαίμονος εἰς τὰς
ἐρήμους.

*Ἐγίνωσκεν ὁ Θεάνθρωπος, ὅτι πρὸ πολλοῦ καιροῦ ὁ Δαίμων, ἁρπάσας τὸν ἄθλιον-ἐκεῖνον ἄνθρωπον, ἀνελεημόνως ἐβασάνιζεν αὐτόν· ὅθεν, σπλαγχνισθεὶς, ἐκέλευσε τῷ ἀκαθάρτῳ Δαίμονι, ἵνα ἐξέλθῃ ἀπ' αὐτοῦ. Συνέτριβε δὲ ὁ Δαίμον τὰς ἁλύσεις, καὶ τῶν ποδῶν τὰ δεσμὰ, καὶ βιαίως ἔσυρεν αὐτὸν εἰς τὴν ἔρημον, ἵνα, ἐκεῖ εὑρίσκων αὐτὸν μεμονωμένον, καὶ ἐστερημένον πάσης ἀνθρωπίνης βοηθείας, ὁρμᾷ κατ' αὐτοῦ ἐλευθέρως, καὶ κατατυραννῇ αὐτὸν ἀσπλάγχνως, βασανίζει δὲ καὶ τοὺς τούτου φύλακας, ἀναγκάζων αὐτοὺς τρέχειν ἔνθεν κἀκεῖθεν, ἵνα εὕρωσιν αὐτόν.*

Ἐπερώτησε δὲ αὐτὸν ὁ Ἰη- Αὐτόθι. 30.
σοῦς, λέγων· Τί σοί ἐστιν

ὄνο-

ὄνομα; ὁ δὲ εἶπε· Λεγεών· ὅτι Δαιμόνια πολλὰ εἰσῆλθεν εἰς αὐτόν.

Οὐχ ὡς ἀγνοῶν ὁ Ἰησοῦς Χριστὸς ἠρώτησε, διότι, ὡς Θεὸς ἀληθινὸς, καὶ τὸ ὄνομα ἐγίνωσκε, καὶ τὸν ἀριθμὸν τῶν Δαιμόνων, τῶν εἰσελθόντων εἰς τὸν δαιμονιζόμενον· ἀλλ' ἠρώτησεν, ἵνα οἱ περιεστῶτες μάθωσιν, ὅτι πολλὰ Δαι-
Σουίδ. εἰς τὸ Λεξ. μόνια κατεκυρίευσαν αὐτοῦ, διότι τὸ Λεγεὼν, σημαίνει ἑξακισχιλίους στρατιώτας· καὶ ὅτι, κἂν τοσοῦτοι ἦσαν οἱ Δαίμονες, ἐτρόμαξαν ὅμως τὴν θείαν αὐτοῦ δύναμιν· διὸ καὶ παρεκάλουν αὐτόν·

Λουκ. ή. 31. Καὶ παρεκάλουν αὐτὸν, ἵνα μὴ ἐπιτάξῃ αὐτοῖς εἰς τὴν ἄβυσσον ἀπελθεῖν.

Ἡ ἄβυσσος σημαίνει τόπον, ἔχοντα βάθος ἀπέραντον· τοῦτον δὲ ζόφον
Β'. Πέτρ. β'. 4. καὶ τάρταρον ὠνόμασεν ὁ θεσπέσιος Ἀπόστολος Πέτρος· ποῦ δέ ἐστιν οὗτος ὁ τόπος, εἰς τῆς γῆς τὰ βάθη, ἢ ἔξω τοῦ κόσμου, οὐδεὶς οἶδεν, ἐπειδὴ περὶ τούτου οὐδὲν ἐφανέρωσεν ἡ θεία Γραφή· οἴδαμεν δὲ, ὅτι αὐτός ἐστιν ἐκεῖνος ὁ τόπος, ἐν ᾧ ὁ Θεὸς δεσμοῖς ἀϊδίοις, ὡς
Ἰούδ. 6. λέγει ὁ Ἀπόστολος Ἰούδας, φυλάττει τοὺς Δαίμονας, ἵνα κρίνῃ αὐτοὺς ἐν τῇ μεγάλῃ ἡμέρᾳ τῆς κρίσεως. Παρεκάλουν δὲ αὐτὸν οἱ Δαίμονες, ἵνα μὴ προστάξῃ αὐτοὺς ἀπελθεῖν εἰς τὴν ὡρισμένην αὐτοῖς ἄβυσσον.

Λουκ. ή. 32. Ἦν δὲ ἐκεῖ ἀγέλη χοίρων ἱκανῶν βοσκομένων ἐν τῷ ὄρει· καὶ παρεκάλουν αὐτὸν, ἵνα ἐπιτρέψῃ αὐτοῖς εἰς ἐκείνους εἰσελθεῖν· καὶ ἐπέτρεψεν αὐτοῖς. Ἐξελθόντα δὲ τὰ Δαι- 33.
μόνια ἀπὸ τοῦ ἀνθρώπου, εἰσῆλθον εἰς τοὺς χοίρους· καὶ ὥρμησεν ἡ ἀγέλη κατὰ τοῦ κρημνοῦ εἰς τὴν λίμνην, καὶ ἀπεπνίγη. Ἰδόντες δὲ οἱ βό- 34.
σκοντες τὸ γεγενημένον, ἔφυγον· καὶ ἀπελθόντες ἀπήγγειλαν εἰς τὴν πόλιν, καὶ εἰς τοὺς ἀγρούς.

Ὁ μὲν Ματθαῖος εἶπεν· Ἦν δὲ Ματ. ή. 30. μακρὰν ἀπ' αὐτῶν ἀγέλη χοίρων πολλῶν βοσκομένων, ὁ δὲ Λουκᾶς ἐφανέρωσε καὶ τὴν τοποθεσίαν, ἐν ᾗ ἦσαν οἱ χοῖροι, εἰπών· Ἐν τῷ ὄρει. Ἐπειδὴ δὲ ὁ μὲν Ματθαῖος εἶπεν, ὅτι Αὐτ. 32. ἡ ἀγέλη τῶν χοίρων κατεκρημνίσθη εἰς τὴν θάλασσαν, ὁ δὲ Λουκᾶς, εἰς τὴν λίμνην, μὴ νομίσῃς, ὅτι ἀντιλέγουσιν ἀλλήλοις οἱ ἅγιοι Εὐαγγελισταί· διότι μία καὶ ἡ αὐτὴ λίμνη, ἡ ὀνομαζομένη Γεννησαρὲτ, ἐλέγετο καὶ θάλασσα τῆς Γαλιλαίας, καὶ Τιβεριάδος θάλασσα· ὅθεν ὁ μὲν Ματθαῖος ὠνόμασεν αὐτὴν θάλασσαν, ὁ δὲ Λουκᾶς, λίμνην. Τὸ δὲ, διατί ἐζήτησαν οἱ Δαίμονες εἰσελθεῖν εἰς τοὺς χοίρους, ὁ δὲ Θεάνθρωπος συνεχώρησεν, ἵνα τοσαύτην ζημίαν πάθῃ ὁ κύριος αὐτῶν, καὶ τὸ, διατί οἱ βόσκοντες αὐτοὺς ἔφυγον, ἐῤῥέθη εἰς τὴν προειρημένην ἑρμηνείαν. Ἀκούσωμεν οὖν τὰ λοιπὰ τῆς διηγήσεως.

Ἐξῆλθον δὲ ἰδεῖν τὸ γεγονός· καὶ ἦλθον πρὸς τὸν Ἰησοῦν, καὶ εὗρον καθήμενον τὸν Λουκ. ή. 35.
ἄν-

ἄνθρωπον, ἀφ᾽ οὗ τὰ Δαιμό-
νια ἐξεληλύθει, ἱματισμένον
καὶ σωφρονοῦντα παρὰ τοὺς
πόδας τοῦ Ἰησοῦ· καὶ ἐφοβή-
56. θησαν. Ἀπήγγειλαν δὲ αὐ-
τοῖς καὶ οἱ ἰδόντες, πῶς ἐ-
37. σώθη ὁ δαιμονισθείς. Καὶ
ἠρώτησαν αὐτὸν ἅπαν τὸ πλῆ-
θος τῆς περιχώρου τῶν Γαδα-
ρηνῶν, ἀπελθεῖν ἀπ᾽ αὐτῶν,
ὅτι φόβῳ μεγάλῳ συνείχοντο·
αὐτὸς δὲ ἐμβὰς εἰς τὸ πλοῖον,
ὑπέστρεψε.

Βλέπε πῶς ὁ πανεύφημος Λουκᾶς διηγεῖται λεπτομερῶς ὅσα γενικῶς ἐξέφρασεν ὁ ἱερὸς Ματθαῖος. Ἐξῆλθον, λέγει, οἱ ἐν τῇ πόλει καὶ ἐν τοῖς ἀγροῖς ἰδεῖν τὸ γεγονός· ἐπειδὴ δὲ ἀνωτέρω εἶπεν, ὅτι ὁ δαιμονιζόμενος ἦν γυμνὸς, καὶ κατῴκει ἐν τοῖς μνήμασι, καὶ συνέτριβε τὰς ἁλύσεις καὶ τὰ δεσμὰ, καὶ ἐφέρετο ὑπὸ τοῦ Δαίμονος εἰς τὴν ἔρημον, νῦν λέγει, ὅτι οἱ ἐλθόντες ἰδεῖν τὸ γεγονὸς, εὗρον τὸν ἄνθρωπον, τὸν ἐλευθερωθέντα ἐκ τῆς δυναστείας τῶν Δαιμόνων, καθήμενον παρὰ τοὺς πόδας τοῦ Ἰησοῦ Χριστοῦ, ἐνδεδυμένον, καὶ ἥσυχον, καὶ φρόνιμον· καὶ ὅτι οἱ ἰδόντες τοῦτο, ἀκούσαντες καὶ ἐξ αὐτῶν τῶν ἑωρακότων τὸν τρόπον, δἰ οὗ αὐτὸς ἐλυτρώθη, ἐφοβήθησαν φόβον μέγαν. Ἀλλὰ διατί ἆρά γε ἐφοβήθησαν; ἡ λύτρωσις τοῦ δαιμονιζομένου οὐκ ἔφερε φόβον, ἀλλὰ χαρὰν, εὐλάβειαν, εὐχαριστίας χρέος. Πιθανώτατον φαίνεται, ὅτι κατεφόβισεν αὐτοὺς ὁ ἀφανισμὸς τῶν
Λευΐτ. ια΄. 7. χοίρων, διότι ὁ μὲν Ἰουδαϊκὸς νόμος ἀπηγόρευε τὰ χοίρεια κρέατα, αὐτοὶ δὲ ἔτρεφον χοίρους· ὅθεν διὰ τὴν ἀνομίαν ἐπαιδεύθησαν διὰ τῆς τῶν χοίρων ἀπωλείας· ἰδόντες οὖν τὴν ζημίαν ταύτην, ἐφοβήθησαν, μήτι παιδευθῶσι καὶ δι᾽ ἄλλας παρανομίας αὐτῶν· ἐκ τούτου οὖν παρεκάλουν πάντες τὸν Ἰησοῦν Χριστὸν, ἵνα ἀναχωρήσῃ ἀπ᾽ αὐτῶν. Καὶ ὁ μὲν Ἰησοῦς, εἰσελθὼν εἰς τὸ πλοῖον, ἐπέστρεψεν εἰς τὸ πέραν τῆς λίμνης, ὅθεν πρότερον ἐξελθὼν, ἦλθεν εἰς τὴν χώραν τῶν Γαδαρηνῶν· ὁ δὲ θεραπευθεὶς παρεκάλει αὐτὸν, ἵνα μένῃ διαπαντὸς μετ᾽ αὐτοῦ.

Δευτ. ιδ΄. 8. Λουκ. η΄. 22.

Ἐδέετο δὲ αὐτοῦ ὁ ἀνὴρ, ἀφ᾽ Αὐτόθι. 38.
οὗ ἐξεληλύθει τὰ Δαιμόνια,
εἶναι σὺν αὐτῷ· ἀπέλυσε δὲ
αὐτὸν ὁ Ἰησοῦς, λέγων· Ὑ- 39.
πόστρεψον εἰς τὸν οἶκόν σου,
καὶ διηγοῦ ὅσα ἐποίησέ σοι ὁ
Θεός. Καὶ ἀπῆλθε καθ᾽ ὅλην
τὴν πόλιν κηρύσσων ὅσα ἐ-
ποίησεν αὐτῷ ὁ Ἰησοῦς.

Θεοφύλ. Τινὲς μὲν λέγουσιν, ὅτι ὁ ἰαθεὶς ἄνθρωπος παρεκάλει τὸν Ἰησοῦν Χριστὸν, ἵνα μένῃ μετ᾽ αὐτοῦ, ἐπειδὴ ἐφοβεῖτο, μήτι, ἀναχωρήσας ἀπ᾽ αὐτοῦ, πέσῃ πάλιν εἰς τὴν ἐξουσίαν τῶν Δαιμόνων· ἐπειδὴ ὅμως ἡ ἀπόκρισις τοῦ Ἰησοῦ Χριστοῦ οὐδὲν περὶ φόβου διαλαμβάνει, πιθανώτερον φαίνεται, ὅτι εἰς ἀντάμειψιν τῆς εὐεργεσίας ἤθελε γενέσθαι ὑπηρέτης τοῦ Ἰησοῦ Χριστοῦ. Ἀλλ᾽ ὁ Θεάνθρωπος, προτιμήσας τὸ κήρυγμα τῆς ἰδίας ὑπηρεσίας, ἀπέστειλεν αὐτὸν εἰς τὸν οἶκον αὐτοῦ, ἵνα κηρύττῃ τοῦ Θεοῦ τὰ θαύματα καὶ τὴν εὐσπλαγχνίαν. Σημείωσαι δὲ, ὅτι ὁ μὲν Κύριος, διδάσκων τὴν ταπείνωσιν, ἀπέστειλεν αὐ-

τὸν εἰς τὸν οἶκον αὐτοῦ, καὶ οὐκ εἶπε, Διηγοῦ ὅσα ἐποίησά σοι ἐγὼ, ἀλλὰ, διηγοῦ ὅσα ἐποίησέ σοι ὁ Θεός· ὁ δὲ θεραπευθεὶς, δεικνύων τὴν πίστιν αὐτοῦ, καὶ τὴν εὐχάριστον διάθεσιν, διηγεῖτο καὶ ἐκήρυττε καθ' ὅλην τὴν πόλιν ὅσα ἐποίησεν αὐτῷ ὁ Ἰησοῦς.

# ΟΜΙΛΙΑ

### ΜΕΤΑ ΤΟ ΚΑΤΑ

# ΛΟΥΚΑΝ

## ΕΥΑΓΓΕΛΙΟΝ ΤΗΣ ϛ'. ΚΥΡΙΑΚΗΣ.

Ῥωμ. ιε'. Ὅσα προεγράφη, λέγει ὁ θεσπέ-
4. σιος Παῦλος, εἰς τὴν ἡμετέραν δι-
δασκαλίαν προεγράφη· μὴ παρα-
δράμωμεν λοιπὸν μηδὲ τὸ ζήτημα τοῦ
ἰατρευθέντος ἀνεξερεύνητον, μηδὲ τὴν ἀ-
πόκρισιν τοῦ Ἰησοῦ Χριστοῦ ἀπολυπραγ-
μόνητον· αὐτά εἰσι δύω μαθήματα ψυ-
χοσωτήρια, δύω κανόνες εἰσὶ ψυχωφελέ-
στατοι· τὸ ζήτημά ἐστι κανὼν, πρέ-
πων εἰς πάντας τοὺς εὐεργετηθέντας,
ἡ ἀπόκρισίς ἐστι κανὼν, κατάλληλος εἰς
πάντας τοὺς εὐεργετήσαντας. Ὁ εὐεργε-
τηθεὶς χρέος ἔχει ἀπαραίτητον, ἵνα φα-
νῇ εὐχάριστος πρὸς τὸν εὐεργέτην, ἀγω-
νιζόμενος κατὰ πάντα τρόπον, ἵνα ἀν-
Λουκ. η'. 38. ταμείψῃ τὴν εὐεργεσίαν· Ἐδέετο δὲ,
λέγει, αὐτοῦ ὁ ἀνὴρ, ἀφ' οὗ ἐξεληλύθει
τὰ Δαιμόνια, εἶναι σὺν αὐ-
τῷ· ἤθελεν, ἵνα συζήσῃ μετὰ τοῦ εὐερ-
γέτου αὐτοῦ, ἵνα, ὑπηρετῶν αὐτὸν, ἀπο-
δώσῃ τῆς εὐχαριστίας τὸ χρέος· ἐπειδὴ
δὲ οὐκ ἔστερξε τοῦτο ὁ εὐεργέτης, ἄλ-
λον τρόπον ἐπενόησε, δι' οὗ ἔδειξε τὴν
εὐγνωμοσύνην τῆς ψυχῆς αὐτοῦ· ἐκήρυ-
ξεν εἰς ὅλην τὴν πόλιν τὴν εὐεργεσίαν
μετὰ πασῶν τῶν εὐεργετικῶν αὐτῆς πε-
Αὐτόθι. ριστάσεων· Ἀπῆλθε καθ' ὅλην τὴν
39. πόλιν κηρύττων ὅσα ἐποίησεν αὐ-
τῷ ὁ Θεός. Ὁ εὐεργέτης χρέος ἔχει,
ἵνα μὴ ζητῇ παρὰ τοῦ εὐεργετηθέντος
ἀμοιβήν· Ἀπέλυσε, λέγει, τὸν εὐερ-
γετηθέντα ὁ εὐεργέτης, εἰπών· Ὑπό-
στρεψον εἰς τὸν οἶκόν σου, καὶ
διηγοῦ ὅσα ἐποίησέ σοι ὁ Θεός·
οὐ ζητῶ παρὰ σοῦ ἀνταπόδοσιν, ἐπί-
στρεψον εἰς τὸν οἶκόν σου, καὶ συλλο-
γιζόμενος, ὅτι οὐκ ἐγὼ εὐηργέτησά σε,
ἀλλ' ὁ Θεὸς, διηγοῦ τὴν εὐεργεσίαν τοῦ
Θεοῦ. Ἐπειδὴ δὲ ἀλλαχοῦ ἐφανερώσα-
μεν πόσον ἁμαρτάνουσιν οἱ εὐεργέται, Ὅρα τὴν μετὰ τὸ κατὰ Ματθ. Εὐαγγ. τῆς ι'. Κυριακ. Ὁμιλ.
ὅταν ζητῶσι παρὰ τῶν ὑπ' αὐτῶν εὐερ-
γετηθέντων τὰς ἀμοιβὰς, ἀκόλουθόν ἐ-
στιν, ἵνα λαλήσωμεν σήμερον περὶ τοῦ
πόσον ἁμαρτάνουσιν οἱ εὐεργετούμενοι,
ὅταν ἀχάριστοι φαίνωνται πρὸς τοὺς ἑαυ-
τῶν εὐεργέτας.

Κατὰ τρεῖς τρόπους οἱ ἄνθρωποι
φαίνονται ἀχάριστοι πρὸς τοὺς εὐεργέ-
τας· ἢ μὴ φροντίζοντες, ἵνα διὰ τῶν ἔρ-
γων ἀνταποδώσωσιν εἰς τὸν εὐεργέτην
τῆς εὐεργεσίας τὸ ἀνταπόδομα· ἢ ἀμνη-
μονοῦντες τῆς εὐεργεσίας, καὶ μηδὲ κἂν
τὴν διὰ λόγου εὐχαριστίαν προσφέρον-
τες εἰς τοὺς εὐεργέτας· ἢ ἀντὶ τῶν ἀ-
γαθῶν, ὧν ἔλαβον, ἀνταποδίδοντες κα-
κά· τρεῖς λοιπὸν εἰσιν αἱ τάξεις τῶν
ἀχα-

ἀχαρίστων. Οἱ ἀχάριστοι τῆς τρίτης τάξεως εἰσὶ χείρονες πάντων τῶν ἄλλων ἀχαρίστων, καὶ ἄνθρωποι ἀληθῶς παγκάκιστοι· καθεὶς δὲ ἀχάριστος ἁμαρτάνει κατὰ τῆς φύσεως, κατὰ τοῦ ὀρθοῦ λόγου, κατὰ τῶν ἰδίων αἰσθήσεων, καὶ κατὰ τοῦ θείου νόμου. Ἁμαρτάνει κατὰ τῆς φύσεως, ἐπειδὴ αὐτὴ ἡ φύσις ἐστὶ διδάσκαλος τῆς εὐγνωμοσύνης· βλέπε τὰ ἄλογα ζῶα, πῶς γνωρίζουσι τοὺς τρέφοντας αὐτά, καὶ ἀκούουσι τὴν φωνὴν αὐτῶν, καὶ ὑποτάσσονται εἰς αὐτούς, καὶ περιποιοῦνται ὅσον δύνανται· διὰ τοῦτο ὁ Θεός, τὸ ἐπιχείρημα τῆς φύσεως ἀναλαβών, ἤλεγχε τὴν τῶν Ἰου-
Ἠσ. α'. 3. δαίων ἀχαριστίαν, λέγων· Ἔγνω βοῦς τὸν κτησάμενον, καὶ ὄνος τὴν φάτνην τοῦ Κυρίου αὐτοῦ· Ἰσραὴλ δέ με οὐκ ἔγνω, καὶ ὁ λαός μου οὐ συνῆκεν· ἔπειτα διὰ τοῦ Οὐαὶ ἐφανέρωσε τὴν φοβερὰν καταδίκην ἐκείνων, οἵτινες, κατὰ τοῦ νόμου τῆς φύσεως ἐξανιστάμενοι, γίνονται ἀχάριστοι πρὸς
Αὐτ. 4. τοὺς εὐεργέτας· Οὐαί, εἶπεν, ἔθνος ἁμαρτωλόν, λαὸς πλήρης ἁμαρτιῶν, σπέρμα πονηρόν, υἱοὶ ἄνομοι, ἐγκατελίπατε τὸν ἅγιον τοῦ Ἰσραήλ. Ἁμαρτάνει ὁ ἀχάριστος κατὰ τοῦ ὀρθοῦ λόγου, ἐπειδὴ ὁ μὲν νοῦς πείθει, μᾶλλον δὲ ἀναγκάζει καθ' ἕνα, ἵνα φανῇ εὐχάριστος πρὸς τὸν εὐεργέτην· καθεὶς ἀκούει ἐσωτερικῶς τὸν νοῦν αὐτοῦ, λέγοντα· Δίκαιόν ἐστιν, ἵνα εὐχαριστήσῃς τὸν εὐεργετήσαντά σε, δίκαιόν ἐστιν, ἵνα βοηθήσῃς τῷ βοηθήσαντί σε, καὶ ἐλεήσῃς τὸν ἐλεήσαντά σε· ἡ δὲ θέλησις τοῦ ἀχαρίστου, ἐξανισταμένη κατὰ τοῦ ὀρθοῦ λόγου τοῦ νοὸς αὐτοῦ, καὶ συγκροτοῦσα μετ' αὐτοῦ ἰσχυρὸν πόλεμον, νικᾷ τὴν ὀρθὴν τοῦ νοὸς κρίσιν· τοῦτο δὲ ἔργον ἐστὶ βεβιασμένον καὶ δυναστικόν, καθὼς εἶπεν ὁ Θεὸς διὰ στόματος τοῦ Προφήτου Ἱε-
ρεμίου· Ἰδοὺ ἐλάλησας, λέγει, καὶ Ἱερμ. γ'. 5.
ἐποίησας τὰ πονηρὰ ταῦτα, καὶ ἠδυνάσθης. Ὁ ἀχάριστος καὶ ἀκούει, καὶ βλέπει, καὶ ψηλαφᾷ, ἵν' οὕτως εἴπω, τό, ὅτι οἱ ἀχάριστοι ἄνθρωποι γίνονται μισητοὶ καὶ ἀποτρόπαιοι· διότι οὐ μόνον οἱ εὐεργετήσαντες, ὁρῶντες τὴν ἀχαριστίαν αὐτῶν, παύουσι τὰς εὐεργεσίας, ἀλλὰ καὶ οἱ λοιποί, ἀποστρεφόμενοι αὐτούς, προσάπτουσιν εἰς αὐτοὺς τὸ ἄτιμον καὶ κατῃσχυμένον ὄνομα τοῦ ἀχαρίστου· αἰσθάνεται, λέγω, ὁ ἀχάριστος, ὅτι ἡ ἀχαριστία βλάπτει αὐτόν, καὶ ὅμως, ἐξανιστάμενος κατὰ τῶν ἰδίων αἰσθήσεων, προτιμᾷ τὴν ἀχαριστίαν τῆς εὐγνωμοσύνης· εἰς τούτους δὲ
ἁρμόζει ὁ λόγος τοῦ Κυρίου· Ὅτι βλέ- Ματ. ιγ'. 13.
ποντες οὐ βλέπουσι, καὶ ἀκούοντες οὐκ ἀκούουσιν, οὐδὲ συνιοῦσιν. Ἐὰν δὲ ἀνοίξῃς τὸ ἱερὸν Εὐαγγέλιον, βλέπεις, ὅτι ὁ ἀχάριστος καθ' ὑπερβολὴν ἀντιφέρεται εἰς τοὺς νόμους
τοῦ Θεοῦ· Ἀγαπᾶτε, λέγει τοῦ Θεοῦ Αὐτ. ε'. 44.
ὁ νόμος, τοὺς ἐχθροὺς ὑμῶν· ὁ ἀχάριστος οὐδὲ εἰς τοὺς φίλους δεικνύει ἀγάπην· Εὐλογεῖτε, λέγει ὁ νόμος, τοὺς καταρωμένους ὑμᾶς· ὁ ἀχάριστος οὐδὲ τοὺς εὐλογοῦντας αὐτὸν εὐλογεῖ· Καλῶς ποιεῖτε τοὺς μισοῦντας ὑμᾶς, λέγει ὁ νόμος· ὁ ἀχάριστος οὐδὲ τοὺς ἀγαπῶντας αὐτὸν ἀ-
γαθοποιεῖ· Προσεύχεσθε, λέγει ὁ Λουκ. ϛ'. 33.
νόμος, ὑπὲρ τῶν ἐπηρεαζόντων καὶ διωκόντων ὑμᾶς· ὁ ἀχάριστος οὐδὲ ὑπὲρ τῶν εὐεργετούντων καὶ προστατευόντων προσεύχεται. Οἱ ἁμαρτωλοί, λέγει ὁ Θεός, ἀγαπῶσι τοὺς ἀγαπῶντας καὶ ἀγαθοποιοῦσι τοὺς ἀγαθοποιοῦντας αὐτούς· ὁ ἀχάριστος ὑπερβαίνει τῶν ἁμαρτωλῶν τὴν κακίαν, ἐπειδὴ οὐδὲ τοὺς ἀγαπῶντας αὐτὸν ἀγαπᾷ, οὐδὲ τοὺς ἀγαθοποιοῦντας ἀγαθοποιεῖ.

Ἄνθρωποι πανάθλιοι, ἡμεῖς οὐ μό-

μόνον ἀχάριστοί ἐσμεν πρὸς τοὺς εὐεργετοῦντας ἡμᾶς ἀνθρώπους, ἀλλ' ἀχαριστίαν δεικνύομεν καὶ πρὸς αὐτὸν τὸν Θεὸν, ὅστις ἀκαταπαύστως διὰ μεγάλων καὶ πολλῶν καὶ παντοίων εὐεργεσιῶν ἡμᾶς εὐεργετεῖ. Ἀλλ' ἆράγε ὁ Θεὸς ὁ πανυπερτέλειος θέλει τὴν εὐχαριστίαν τῶν εὐεργετηθέντων, καὶ ὀργίζεται κατὰ τῶν ἀχαρίστων; Ἀκούσατε, παρακαλῶ, μετὰ προσοχῆς. Ἀληθῶς, ὁ Θεὸς ἐφανέρωσεν ἡμῖν διὰ τοῦ Προφήτου αὐτοῦ, ὅτι οὐδεμίαν ἔχει χρείαν τῶν ἀ-
Ψαλ. ιε'. 1. γαθῶν ἡμῶν· Ὅτι τῶν ἀγαθῶν μου οὐ χρείαν ἔχεις· οὐδὲ τῆς διὰ τῶν ἔργων, οὐδὲ τῆς διὰ λόγου εὐχαριστίας ἡμῶν χρήζει· καὶ ποίαν χρείαν ἔχει τῆς εὐτελείας καὶ οὐδαμινότητος τῶν ἔργων ἡμῶν ὁ Δημιουργὸς τῆς κτίσεως, ὅστις ἔχει ὑπὸ τὴν ἐξουσίαν τοῦ παντοδυνάμου αὐτοῦ νεύματος πάντα τὰ ὁρατὰ καὶ ἀόρατα κτίσματα; ἢ ποίαν χρείαν ἔχει τῆς δοξολογίας τοῦ ἀνθρώπου ὁ Θεὸς, ὁ ἀφ' ἑαυτοῦ ὑπερτέλειον ἔχων τὴν δόξαν, καὶ ἀκαταπαύστως ὑμνούμενος ὑπὸ τῶν Χερουβὶμ, καὶ δοξολογούμενος
Αὐτ. ρμη'. 2. ὑπὸ τῶν Σεραφὶμ, καὶ ὑπερυψούμενος ὑπὸ πασῶν τῶν ἐπουρανίων δυνάμεων; ὁ οὐρανὸς, ἡ γῆ, ὁ ἥλιος, ἡ σελήνη, τὰ ἄστρα, τὸ φῶς, πάντα τὰ κτίσματα δο-
Αὐτ. ιη'. 1. ξολογοῦσιν αὐτόν· Οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ, ποίησιν δὲ χειρῶν αὐτοῦ ἀναγγέλλει τὸ στερέωμα. Ἀπαθὴς δὲ ὢν ὁ Θεὸς, καὶ πάσης προσπαθείας ὑπέρτατος, οὐδόλως πάσχει, ὅταν ἡμεῖς ἀνταποδίδωμεν αὐτῷ κακὰ ἀντὶ ἀγαθῶν· ἐπειδὴ ὅμως ἡ μὲν εὐγνωμοσύνη ἐστὶν ἀπόδειξις τῆς καλῆς ἡμῶν διαθέσεως, ἡ δὲ ἀχαριστία ἔνδειξις τῆς πονηρᾶς ἡμῶν γνώμης, διὰ τοῦτο καὶ τὴν δι' ἔργων, καὶ τὴν διὰ λόγων ζητεῖ εὐχαριστίαν, καὶ ἀγανακτεῖ δὲ ὑπερβαλλόντως, ὅταν ἀνταποδίδωμεν αὐτῷ κακὰ ἀντὶ τῶν εὐεργεσιῶν αὐτοῦ.

Ἀκούσατε οὖν πόσον φανερὰ ζητεῖ ὁ Θεὸς, μετὰ τὰς εὐεργεσίας αὐτοῦ, τὴν διὰ τῶν ἔργων ἡμῶν ἀντάμειψιν. Ἐπαριθμεῖ πρῶτον εἰς τοὺς Ἰσραηλίτας τὰς μεγάλας εὐεργεσίας, ὅσας ἐποίησεν εἰς αὐτούς· τὰ ἐν Αἰγύπτῳ θαυμάσια, τὴν ἀπὸ τῆς δουλείας τοῦ Φαραὼ ἐλευθερίαν, τὴν διὰ τῆς ἐρυθρᾶς θαλάσσης διάβασιν, τὴν ἐν τῷ ὄρει Σινᾶ νομοθεσίαν, τὴν συγχώρησιν τοῦ ἁμαρτήματος τῆς μοσχολατρείας, τὴν δωρεὰν τῆς γῆς τῆς ἐπαγγελίας, καὶ τὰ ἄλλα· ἔπειτα λέγει πρὸς αὐτούς· Καὶ νῦν, ἤγουν μετὰ τὰς εὐεργεσίας ταύτας, νῦν, ὦ Ἰσραηλῖται, τί ζητῶ ἐγὼ παρ' ἡμῶν; ποίαν
ἀνταπόδοσιν θέλω; Καὶ νῦν, Ἰσραὴλ, Δευτ. ι'. 12.
τί Κύριος ὁ Θεός σου αἰτεῖται παρὰ σοῦ, ἀλλ' ἢ φοβεῖσθαι Κύριον τὸν Θεόν σου, καὶ πορεύεσθαι ἐν πάσαις ταῖς ὁδοῖς αὐτοῦ, καὶ ἀγαπᾷν αὐτὸν, καὶ λατρεύειν Κυρίῳ τῷ Θεῷ σου ἐξ ὅλης τῆς ψυχῆς σου;

Ὅτι δὲ ζητεῖ καὶ τὴν διὰ λόγου εὐχαριστίαν καὶ δοξολογίαν, φανερόν ἐστιν ἐκ τῆς ἱστορίας τῶν δέκα λεπρῶν. Οὗτοι, ἀπερχόμενοι πρὸς τοὺς ἱερεῖς, κατὰ τὴν προσταγὴν τοῦ Κυρίου Ἰησοῦ Χριστοῦ, καθ' ὁδὸν ἐκαθαρίσθησαν πάντες· ἐξ αὐτῶν εἷς μὲν, Σαμαρείτης τὸ γένος, ἰδὼν, ὅτι ἐκαθαρίσθη, ὑποστρέψας, μετὰ φωνῆς μεγάλης ἐδόξαζε τὸν Θεὸν, καὶ πεσὼν εἰς τὴν γῆν ἐπὶ πρόσωπον παρὰ τοὺς πόδας τοῦ εὐεργέτου αὐτοῦ, προσέφερεν αὐτῷ τὴν πρέπουσαν εὐχαριστίαν· οἱ δὲ λοιποὶ ἐννέα ἀνεχώρησαν, καὶ τῆς εὐεργεσίας ἀμνημονήσαντες, οὐδεμίαν εὐχαριστίαν προσέφερον πρὸς τὸν εὐεργετήσαντα αὐτοὺς Ἰησοῦν· ὅθεν τῶν μὲν ἐννέα τὴν ἀχαριστίαν ἐ-
ξήλεγξεν ὁ Ἰησοῦς, εἰπών· Οὐχὶ οἱ Λουκ. ιζ'. 17, 18.
δέκα ἐκαθαρίσθησαν, οἱ δὲ ἐννέα ποῦ; οὐχ εὑρέθησαν ὑποστρέψαντες

τες δοῦναι δόξαν τῷ Θεῷ, εἰμὴ ὁ
ἀλλογενὴς οὗτος; τὸν δὲ εὐχάριστον
Σαμαρείτην εὐηργέτησεν ἄλλην εὐεργε-
Λουκ. ιζʹ. σίαν, τῆς πρώτης πολλῷ ὑπερτέραν· Ἀ-
19. ναστὰς, εἶπε πρὸς αὐτὸν, πορεύου·
ἡ πίστις σου σέσωκέ σε· ὅπερ ἐ-
στὶν, ἔδωκεν αὐτῷ, διὰ τὴν εὐγνωμοσύ-
νην αὐτοῦ, τὴν αἰώνιον σωτηρίαν. Βλέπε
δὲ φιλανθρωπίαν Θεοῦ· ζητεῖ εὐχαρι-
στίαν, ἵνα εὐεργετήσῃ πάλιν εὐεργεσίαν,
τῆς πρώτης πολλῷ πλουσιωτέραν· ὅταν
ἡμεῖς προσφέρωμεν αὐτῷ τὴν εὐχαρι-
στίαν, οὐδὲν λαμβάνει, ἐπειδὴ οὐδεμίαν
Βʹ.Κορ.γʹ. ἔχει χρείαν· Καὶ γὰρ οὐδὲ δεδόξα-
10. σται τὸ δεδοξασμένον, ἐν τούτῳ
τῷ μέρει, ἕνεκεν τῆς ὑπερβαλλού-
σης δόξης· ἀλλὰ δίδωσιν ἡμῖν πάλιν,
ἐπειδὴ ἀδαπάνητός ἐστιν ὁ θησαυρὸς
τοῦ ἐλέους καὶ τῶν θείων αὐτοῦ δωρεῶν.

Φαίνεται δὲ φανερὰ καὶ ἐκ τῶν ἐμ-
φαντικῶν λόγων τοῦ Θεοῦ, καὶ ἐκ τῆς
κατὰ τῶν ἀχαρίστων φοβερᾶς αὐτοῦ τι-
μωρίας, πόσον αὐτὸς ἀγανακτεῖ, ὅταν
ἡμεῖς, ἀντὶ τῶν εὐεργεσιῶν αὐτοῦ, κα-
ταφρονῶμεν τοὺς θείους αὐτοῦ νόμους.
Προσκαλεῖ ὁ μεγαλοφωνότατος Ἡσαΐας
πᾶσαν τὴν κτίσιν, ἵνα ἀκούσῃ, πόσον ὁ
Θεὸς, ἀνθρωποπαθῶς λαλῶν, θρηνῳδεῖ
καὶ προσκλαίεται διὰ τὴν ἀχαριστίαν
Ἡσ. αʹ. τῶν Ἰσραηλιτῶν· Ἄκουε, λέγει, οὐ-
2. ρανὲ, καὶ ἐνωτίζου ἡ γῆ, ὅτι Κύ-
ριος ἐλάλησε· τί δὲ ἐλάλησεν; Υἱοὺς,
λέγει, ἐγέννησα, καὶ ὕψωσα· ἰδοὺ ἡ
εὐεργεσία· Αὐτοὶ δέ με ἠθέτησαν·
ἰδοὺ ἡ ἀχαριστία· ἀντὶ εὐγνωμοσύνης,
Ψαλ. λδʹ. ἀθέτησις· Ἀνταπεδίδοσάν μοι πο-
14. νηρὰ ἀντὶ ἀγαθῶν, καὶ ἀτεκνίαν
τῇ ψυχῇ μου. Κατὰ τὸν αὐτὸν δὲ τρό-
πον καὶ ὁ μέγας Προφήτης Μωϋσῆς τὸν
οὐρανὸν καὶ τὴν γῆν ἐκάλεσε μάρτυρας,
ὅταν εἶπε τὰ κατὰ τῶν ἀχαρίστων λό-
για τοῦ Θεοῦ, καὶ τὴν κατ' αὐτῶν φοβε-
Δευτ. λβʹ. ρὰν αὐτοῦ ἀπόφασιν· Πρόσεχε, εἶπε,
1. οὐρανὲ, καὶ λαλήσω, καὶ ἀκουέ-
τω ἡ γῆ ῥήματα ἐκ στόματός μου·
ταῦτα, λέγει, ὦ ἀχάριστοι, τὰ ἄνομα
ἔργα ἀνταποδίδοτε εἰς τὸν Θεόν; Ταῦ- Δευτ. λβʹ.
τα Κυρίῳ ἀνταποδίδοτε; Λαὲ μω- 6.
ρὲ καὶ ἄσοφε, τοιουτοτρόπως ἀνταμείβεις
τὸν ποιητήν σου; Οὕτω λαὸς μωρὸς,
καὶ οὐχὶ σοφός; τίς ἐστιν αὐτὸς, ὃν
σὺ περιφρονεῖς; οὐκ ἔστιν αὐτὸς ὁ Πα-
τήρ σου, καὶ ὁ Κτίστης σου, καὶ ὁ Ποιη-
τής σου, καὶ ὁ Πλάστης σου; Οὐκ αὐ-
τὸς οὗτός σου πατὴρ ἐκτήσατό σε,
καὶ ἐποίησέ σε, καὶ ἔπλασέ σε;
Ἐπαριθμήσας δὲ τὰς πρὸς τὸν ἀχάρι-
στον λαὸν εὐεργεσίας τοῦ Θεοῦ, ἐξε-
λέγχει αὐτὸν οὕτως· Ἔφαγε, λέγει, Αὐτ. 15.
Ἰακὼβ, καὶ ἀπελάκτισεν ὁ ἠγα-
πημένος· ἐλιπάνθη, ἐπαχύνθη,
ἐπλατύνθη, καὶ ἐγκατέλιπε τὸν
Θεὸν τὸν ποιήσαντα αὐτὸν, καὶ
ἀπέστη ἀπὸ Θεοῦ Σωτῆρος αὐ-
τοῦ· μετὰ δὲ ταῦτα ἐφανέρωσε καὶ τὴν
φοβερὰν τοῦ Θεοῦ ἀγανάκτησιν κατὰ
τῶν ἀχαρίστων, εἰπών· Καὶ εἶδε Κύ- Αὐτ. 19.
ριος, καὶ ἐζήλωσε· καὶ παρωξύν-
θη δι' ὀργὴν υἱῶν αὐτοῦ καὶ θυ-
γατέρων· καὶ τὴν τιμωρίαν ὁμοίως·
Καὶ εἶπεν, Ἀποστρέψω τὸ πρό- Αὐτ. 20.
σωπόν μου ἀπ' αὐτῶν, καὶ δείξω
τί ἔσται αὐτοῖς ἐπ' ἐσχάτων ἡ-
μερῶν, ὅτι γενεὰ ἐξεστραμμένη
ἐστίν· υἱοὶ οἷς οὐκ ἔστι πίστις
ἐν αὐτοῖς. Ταῦτα δὲ οὐκ ἦσαν φοβε-
ρισμοὶ ἄπρακτοι, ἀλλὰ τιμωρίαι Θεοῦ
ἐνεργηθεῖσαι, καὶ τελειωθεῖσαι. Καὶ ὅ-
στις μὲν ἀναγνώσῃ τὰς ἱστορίας, βλέ-
πει τὴν ἀποστροφὴν ταύτην συμβᾶσαν
εἰς τὸ Ἰουδαϊκὸν γένος ἐπ' ἐσχάτων Ὅρα τὸ
ἡμερῶν, ἤγουν μετὰ τὸ πάθος καὶ τὴν περὶ Ἰου-
ἀνάστασιν τοῦ Ἰησοῦ Χριστοῦ, ἐν ταῖς δαϊκῆς ἁ-
ἡμέρας Οὐεσπασιανοῦ καὶ Τίτου· ὅστις λώσ. τοῦ
δὲ ἀνοίξῃ τὰ ὄμματα, βλέπει ὀφθαλ- Ἰωσήπ.
μοφανῶς τοὺς μὲν Ἰουδαίους εἰς τὰ τέσ- βιβλ.

σα-

σαρα μέρη τοῦ κόσμου διεσπαρμένους, καὶ Βασιλείας, καὶ Ἱερωσύνης, καὶ Ναοῦ, καὶ Θυσιῶν, καὶ Προφητείας, καὶ παντὸς χαρίσματος γεγυμνωμένους, καὶ ἀπὸ τῆς χάριτος τοῦ Θεοῦ ἀπομεμακρυμένους· τὸ δὲ γένος τῶν ἐθνικῶν, τὸ πρότερον μωρὸν καὶ ἀσύνετον, ὡς λατρεῦον τῇ κτίσει παρὰ τὸν κτίσαντα· τὸ ἔθνος, λέγω, τὸ μηδὲ ἔθνος λογιζόμενον παρὰ τῷ Θεῷ, διὰ τὴν ἀπιστίαν αὐτοῦ, φρόνιμον γενόμενον καὶ συνετὸν καὶ λάτρην τοῦ ἀληθινοῦ Θεοῦ, καὶ εἰσενεχθὲν εἰς τὴν χάριν αὐτοῦ, ἀντὶ τοῦ ἀπωσθέντος Ἰσραηλιτικοῦ λαοῦ, διὰ τὴν ἀχαριστίαν αὐτοῦ, εἰς αἰσχύνην καὶ παροργισμὸν αὐτοῦ, καθὼς προεῖπεν ὁ
Δευτ. λβ΄. 21. Θεός· Αὐτοὶ, λέγει, παρεζήλωσάν με ἐπ' οὐ Θεῷ, παρώξυνάν με ἐν τοῖς εἰδώλοις αὐτῶν· κἀγὼ παραζηλώσω αὐτοὺς ἐπ' οὐκ ἔθνει, ἐπὶ ἔθνει ἀσυνέτῳ παροργιῶ αὐτούς.

Ἀλλὰ τίς, λέγεις, ἐστὶν ἐκεῖνος ὁ ἄνθρωπος, ὅστις οὐ προσφέρει εἰς τὸν Θεὸν καὶ τὴν διὰ λόγου, καὶ τὴν δι' ἔργου εὐχαριστίαν; τίς ἐστιν ἐκεῖνος ὁ ἀσυνείδητος ἄνθρωπος, ὅστις τολμᾷ, καὶ ἀποδίδωσιν εἰς τὸν Θεὸν πονηρὰ ἀντὶ ἀγαθῶν; ἡμεῖς εἰς τὰς καθ' ἡμέραν προσευχὰς δοξολογοῦμεν τὸν Θεὸν διὰ τὰς πρὸς ἡμᾶς εὐεργεσίας αὐτοῦ, ψάλλοντες τὸ, Ὑμνοῦμέν σε, εὐλογοῦμέν σε, προσκυνοῦμέν σε, δοξολογοῦμέν σε, εὐχαριστοῦμέν σοι διὰ τὴν μεγάλην σου δόξαν· ἡμεῖς εἰς αὐτὸν μόνον πιστεύομεν, αὐτὸν μόνον προσκυνοῦμεν, καὶ αὐτῷ μόνῳ λατρεύομεν, καὶ τοὺς θείους αὐτοῦ νόμους φυλάττομεν, ὅσον δυνάμεθα. Γένοιτο, Κύριε, γένοιτο! πλὴν ἐγὼ φοβοῦμαι, ὅτι πολλοὶ, ἵνα μὴ εἴπω πάντες, ἐσμὲν ἀχάριστοι εἰς τὸν Θεὸν κατὰ πάντα τρόπον.

Νικᾷ κατὰ κράτος ὁ ἀρχιστράτηγος τοὺς πολεμίους, καὶ αἴρει τρόπαιον νίκης λαμπρὸν καὶ τέλειον· αὐτὸς, ἀντὶ νὰ ὑψώσῃ τὰ ὄμματα εἰς τὸν οὐρανὸν, καὶ βοήσῃ· Εὐλογητὸς Κύριος ὁ Θεός μου, ὁ διδάσκων τὰς χεῖράς μου εἰς παράταξιν, τοὺς δακτύλους μου εἰς πόλεμον, Ψαλ. ρμγ΄. 1. βλέπει μόνον κάτω εἰς τὴν γῆν, καὶ πείθεται, ὅτι ἡ πολεμικὴ αὐτοῦ ἐπιστήμη, καὶ ἡ ἀνδρεία τοῦ δεῖνος στρατηγοῦ, καὶ τῶν στρατιωτῶν ἡ σταθερότης κατετρόπωσε τῶν ἐχθρῶν τὸ φρύαγμα. Συγγράφει ἐκεῖνος ὁ σοφὸς βιβλίον, γέμον πολυμαθείας, καὶ ἐπιστήμης· οἱ ἀναγινώσκοντες αὐτὸ, ἐπαινοῦσι τὰ νοήματα, τὴν φράσιν, τὴν συνθήκην, τὴν τάξιν, τὴν μέθοδον, τὴν εὐφυΐαν καὶ ἀγχίνοιαν τοῦ συγγραφέως· ὁ δὲ συγγραφεὺς, ἀντὶ νὰ δοξολογήσῃ τὸν Θεὸν, τὸν δοτῆρα τῆς σοφίας, λέγων· Μὴ ἡμῖν, Κύριε, μὴ ἡμῖν, ἀλλ' ἢ τῷ ὀνόματί σου δὸς δόξαν, ἐπὶ τῷ ἐλέει σου καὶ τῇ ἀληθείᾳ σου, Ἀντ. ριγ΄. 9, 10. ἀρεσκεύεται, καὶ περπερεύεται, καὶ ματαιοῦται, καὶ δοξάζει ἑαυτὸν ὡς σοφὸν καὶ ἐπιστήμονα. Τοῦτο αὐτὸ ποιεῖ καὶ ὁ ἰατρὸς, ὅταν θεραπεύσῃ τὸν ἄῤῥωστον ἀπὸ τῆς βαρυτάτης αὐτοῦ ἀσθενείας· καὶ ὁ ῥήτωρ, ὅταν πείσῃ τοὺς ἀκροατάς· καὶ ὁ πραγματευτὴς, ὅταν κερδήσῃ πολλὰ ἀργύρια· καὶ ὁ γεωργὸς, ὅταν θερίσῃ πολὺν καρπόν· καὶ ὁ τεχνίτης, ὅταν καλῶς φιλοτεχνήσῃ τὸ ἐργόχειρον αὐτοῦ· καὶ πᾶς τις ἄλλος, ὅταν μικρὸν ἢ μέγα κατορθώσῃ ἔργον, ἢ ὅταν πολὺ ἢ ὀλίγον εὐτυχήσῃ· καθεὶς, λέγω, τοῦτο αὐτὸ ποιεῖ, ἤγουν δοξάζει οὐχὶ τὸν Θεὸν, ἀλλ' ἑαυτόν· τοῦτο δὲ τί ἄλλο ἐστὶν, εἰμὴ ἀχαριστία; τί ἄλλο ἐστὶ τοῦτο, εἰμὴ τὸ, ὅτι οὐδὲ κἂν διὰ λόγου προσφέρομεν τὴν εὐχαριστίαν εἰς τὸν εὐεργέτην Θεόν;

Ἡμεῖς, λέγετε, δοξολογοῦμεν τὸν Θεὸν διὰ τῆς προσευχῆς καθ' ἑκάστην ἡμέ-

μέραν. Ἀλλ' ἆρά γε προσεύχεσθε πάντες καθ' ἑκάστην ἡμέραν; πόσοι, καὶ πόσοι ἀμελοῦσι παντελῶς τῆς προσευχῆς τὸ ἔργον. Ἆρά γε προσεύχεσθε, σκοπὸν ἔχοντες, ἵνα εὐχαριστήσητε τὸν Θεὸν διὰ τὰς εὐεργεσίας αὐτοῦ; πόσοι, καὶ πόσοι προσεύχονται μόνον διὰ τὴν συνήθειαν. Ἆρά γε, ὅταν προσεύχησθε, προσηλωμένος ἐστὶν ὁ νοῦς ὑμῶν εἰς τὸν Θεόν; πόσοι, καὶ πόσοι, διὰ μὲν τῆς γλώσσης ᾄσματα προσευχῆς φθέγγονται, διὰ δὲ τῆς ψυχῆς ἄτοπα νοήματα συλλογίζονται· τοῦτο δὲ νομίζετε, ὅτι ἐστὶν ἡ εὐχαριστία, ἡ εἰς τὸν Θεὸν χρεωστουμένη διὰ τὰς κατὰ πᾶσαν στιγμὴν εὐεργεσίας αὐτοῦ;

Τί δὲ λέγετε διὰ τὰ ἔργα; εἰσὶν ἆρά γε τὰ ἔργα ὑμῶν, ἔργα εὐχαριστίας; ἔχουσιν ἆρα τὰ ἔργα ὑμῶν ἐκεῖνο τὸ φῶς, δι' οὗ δοξάζεται ὁ Θεός, κατὰ τὴν παραγγε-
Ματ. ε. 16. λίαν αὐτοῦ; Οὕτω λαμψάτω, εἶπε, τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως ἴδωσιν ὑμῶν τὰ καλὰ ἔργα, καὶ δοξάσωσι τὸν Πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς. Ναί, λέγετε, ἐπειδὴ ἡμεῖς εἰς μόνον τὸν ἀληθινὸν Θεὸν πιστεύομεν, καὶ αὐτὸν προσκυνοῦμεν· τοῦτο δὲ ἐστὶν ἔργον καλὸν καὶ φωτεινόν. Περὶ τούτου ἀποκρίνεται εἰς ὑμᾶς ὁ ἀδελφόθεος Ἰάκωβος,
Ἰακ. β. 19. λέγων· Σὺ πιστεύεις, ὅτι ὁ Θεὸς εἷς ἐστί· καλῶς ποιεῖς· καὶ τὰ Δαιμόνια πιστεύουσι, καὶ φρίσσουσι· καλὴ ἡ πίστις, ἀλλὰ τοιαύτην πίστιν ἄκαρπον ἔχουσι καὶ τὰ Δαιμόνια· ἐὰν πιστεύῃς εἰς τὸν ἀληθινὸν Θεόν,
Αὐτ. 18. δεῖξόν μοι, λέγει, τὴν πίστιν σου ἐκ τῶν ἔργων σου. Ἡμεῖς, λέγετε, φυλάττομεν ὅσον δυνάμεθα τοὺς θείους νόμους· ἀλλὰ ποῖά εἰσι τὰ ἔργα ἡμῶν, τὰ ὁποῖα δεικνύουσιν, ὅτι φυλάττομεν τοῦ Θεοῦ τοὺς νόμους; ποῖα ἔργα βλέπομεν τὴν σήμερον εἰς τὸν κόσμον; Δόλους, συκοφαντίας, ψευδομαρτυρίας, προδοσίας, ἀδικίας· οὗτος ἁρπάζει τὸ ξένον πρᾶγμα, ἐκεῖνος ἀναβαίνει εἰς τὴν ξένην κλίνην, ὁ ἄλλος μισεῖ καὶ κατατρέχει τὸν ἀδελφὸν αὐτοῦ· τὰ τέκνα περιφρονοῦσι τοὺς γονεῖς, οἱ γονεῖς παροργίζουσι τὰ τέκνα, οἱ δεσπόται δυναστεύουσι τοὺς δούλους, οἱ δοῦλοι οὐχ ὑποτάσσονται εἰς τοὺς δεσπότας· οἱ Ἱερωμένοι οὐ ποιμαίνουσι τὸν λαόν, ὁ λαὸς οὐκ εὐλαβεῖται τοὺς Ἱερωμένους· εἰς τοῦτον τὸν καιρὸν ὑπὲρ ἄλλοτέποτε ἁρμόζουσι τοῦ Προφητάνακτος τὰ λόγια· Πάν- Ψαλ. ιγ΄. 4.
τες ἐξέκλιναν, ἅμα ἠχρειώθησαν, οὐκ ἔστι ποιῶν χρηστότητα, οὐκ ἔστιν ἕως ἑνός. Ταῦτά εἰσι τὰ φωτεινὰ ἔργα; διὰ τούτων τῶν ἔργων δοξάζομεν τὸν Θεόν;

Βλέπε δὲ πῶς οὐ μόνον ταῦτα πράττομεν, ἀλλὰ καὶ πονηρὰ ἀνταποδίδομεν εἰς τὸν Θεόν, ἀντὶ τῶν εὐεργεσιῶν αὐτοῦ. Τοῦτον εὐεργέτησεν ὁ Θεὸς διὰ τοῦ πλούτου· αὐτὸς δέ, ὥσπερ ὁ πλούσιος τοῦ Εὐαγγελίου, δαπανᾷ τὸν πλοῦτον εἰς τὰς ἀσωτείας, καὶ τρυφὰς τῆς σαρκὸς αὐτοῦ· ἐκεῖνον ὑπερύψωσεν ὁ Θεὸς διὰ τῆς ἀξίας καὶ ἐξουσίας· αὐτὸς δὲ ὑπερηφανεύεται, ὡς ὁ Ναβουχοδονόσορ, καταφρονεῖ καὶ δυναστεύει τοὺς ἄλλους, καὶ θέλει, ἵνα προσκυνῆται ὡς Θεός· εἰς τὸν ἄλλον ἐτύπωσε κάλλος καὶ ὡραιότητα, αὐτὸς δὲ οὐ σωφρονεῖ, ὥσπερ ὁ πάγκαλλος Ἰωσήφ, ἀλλὰ καθίστησιν ἑαυτὸν εἴδωλον τῆς ἀσελγείας, καὶ διὰ τῆς εὐμορφίας αὐτοῦ κατακρημνίζει πολλοὺς εἰς τοῦ ᾅδου τὸ πέταυρον· τοῦτον ἐστόλισε διὰ τοῦ χαρίσματος τῆς σοφίας, αὐτὸς δὲ οὐ σοφίζει τοὺς ἄλλους, καθὼς ὁ σοφὸς Σολομών, ἀλλὰ γίνεται μωρός, καὶ πολεμεῖ τὴν πίστιν καὶ τὴν Ἐκκλησίαν· εἰς ἐκεῖνον ἔδωκε τελειότητα τέχνης, αὐτὸς δὲ οὐ τεχνουργεῖ ἀδόλως καὶ ἐντελῶς τὰ ἔργα αὐτοῦ, ὡς ὁ

Βε-

Βεσελεὴλ, ἀλλὰ γίνεται δόλιος, καὶ καπηλεύει τὰ ἐργόχειρα αὐτοῦ. Ἐξέτασον, πῶς ὁ καθεὶς μετέρχεται τὸ χάρισμα καὶ τὴν εὐεργεσίαν τοῦ Θεοῦ, καὶ τότε βλέπεις, ὅτι πολλὰ σπάνιοί εἰσιν ἐκεῖνοι, οἵτινες διὰ τοῦ δοθέντος αὐτοῖς χαρίσματος δοξολογοῦσι τὸν Θεόν· τότε βλέπεις, ὅτι οἱ περισσότεροι μετέρχονται αὐτὸ τὸ χάρισμα καὶ τὴν εὐεργεσίαν τοῦ Θεοῦ ὡς μέσον καὶ ὄργανον, δι' οὗ καταφρονοῦσι τοὺς νόμους τοῦ Θεοῦ, καὶ πράττουσι τὰ ἁμαρτήματα. Τοῦτο δὲ τί ἄλλο ἐστὶν, εἰμὴ ἀνταπόδοσις κακῶν ἀντὶ τῶν ἀγαθῶν;

Ἀλλ' ἐπειδὴ, λέγεις, οὐδεμίαν χρεωστοῦμεν ἀνταπόδοσιν εἰς ἐκεῖνον, ὅστις οὐδεμίαν εὐεργεσίαν ἐποίησεν εἰς ἡμᾶς, φανερόν ἐστι λοιπὸν, ὅτι ὅστις οὐκ ἔλαβε παρὰ Θεοῦ εὐεργεσίαν, ἐκεῖνος οὐδὲ εὐχαριστίας ἀνταπόδοσιν χρεωστεῖ. Ἄνθρωπε, τί λέγεις; καὶ τίς ἐστιν ἐκεῖνος ὁ ἄνθρωπος, ὅστις οὐκ ἔλαβε παρὰ Θεοῦ εὐεργεσίαν; Ὁ κλινήρης, ἀποκρίνεσαι, ὁ πάμπτωχος, ὁ δυστυχέστατος, αὐτοί εἰσιν ἐκεῖνοι, οἵτινες οὐδεμίαν εὐεργεσίαν ἔλαβον· αὐτοὶ ἔλαβον τὸ εἶναι παρὰ Θεοῦ καὶ τὴν ζωὴν, ἵνα ταλαιπωρῶνται, καὶ βασανίζωνται. Τοῦτο αὐτὸ, ὅπερ σὺ λογίζεσαι βάσανον καὶ ταλαιπωρίαν, τοῦτό ἐστιν εὐεργεσία τοῦ Θεοῦ καὶ ἔλεος· ἐὰν δὲ εἰς τοῦτο οὐ πείθεσαι, σὺ σαλεύεις πάντα τὰ θεμέλια τῆς πίστεως· ἱνατί, ἀδελφὲ, βλέπεις μόνον κάτω; ἱνατί οὐκ ἐνατενίζεις καὶ ἐπὶ τὰ ἄνω; οὐ πιστεύεις, ὅτι ἐστὶ ζωὴ μέλλουσα αἰώνιος, τῆς ὁποίας σκιὰ καὶ ὄναρ ἐστὶν ὁ παρὼν βίος; οὐχ ὁμολογεῖς, ὅτι ὃν ἀγαπᾷ Κύριος παιδεύει, μαστιγοῖ δὲ πάντα υἱὸν, ὃν παραδέχεται; (Παροιμ. γ'. 12.) οὐκ ἀκούεις τὸν Δεσπότην σου, ὅστις μακαρίζει τοὺς πεινῶντας, καὶ κλαίοντας, καὶ ὑπόσχεται αὐτοῖς, ἀντὶ τῆς προσκαίρου πείρας, καὶ τῶν ὀλίγων δακρύων, τὴν αἰώνιον ἀπόλαυσιν, καὶ τὴν χαρὰν τὴν ἀτελεύτητον; Μακάριοι, εἶπεν, οἱ πεινῶντες νῦν, ὅτι χορτασθήσεσθε. Μακάριοι οἱ κλαίοντες νῦν, ὅτι γελάσετε· (Λουκ. ς'. 21.) οὐκ ἀκούεις τὸν Θεὸν, διδάσκοντα καὶ βεβαιοῦντα, ὅτι ὅσοι φαίνονται εἰς τὰ ὄμματα τῶν ἀνθρώπων βασανιζόμενοι, ἐκεῖνοί εἰσιν οἱ κληρονόμοι τῆς ἀθανάτου βασιλείας; Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων, λέγει, ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης· (Σοφ. γ'. 4.) αὐτοὶ, διὰ τῆς ὀλίγης καὶ προσκαίρου παιδεύσεως δοκιμασθέντες, καὶ ἀναφανέντες ἄξιοι, λαμβάνουσιν ἀπείρους τοῦ Θεοῦ ἀνταποδόσεις· Καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται, ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτοὺς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. (Αὐτ. 5.) Ὅσα λοιπὸν σὺ ὀνομάζεις ταλαιπωρίας, καὶ βασάνους, αὐτά εἰσι δόξα, χαρὰ, καὶ μακαριότης, αὐταί εἰσιν εὐεργεσίαι τοῦ πανυπεραγάθου Θεοῦ, καὶ δωρεαὶ τῆς αἰωνίου ζωῆς πρόξενοι.

Ἐὰν δὲ ἡμεῖς, διὰ τὴν στενότητα τοῦ νοὸς ἡμῶν, οὐ κατανοῶμεν τὰ μυστήρια τοῦ πλούτου, καὶ τῆς σοφίας, καὶ τῆς γνώσεως τοῦ Θεοῦ· ἐὰν ἡμεῖς οὐ καταλαμβάνωμεν τὰς κρίσεις, δι' ὧν ὁ Θεὸς, εἰς ταύτην τὴν πρόσκαιρον ζωὴν, τὸν μὲν εὐεργετεῖ διὰ τῆς εὐτυχίας, τὸν δὲ τιμωρεῖ διὰ τῆς δυστυχίας, ἵνα πάντας σώσῃ, οὐδὲν παράδοξον· διότι ταῦτα οὐδὲ ἐκεῖνος κατανοήσας, ὅστις ἀνέβη ἕως τρίτου οὐρανοῦ, καὶ εἶδε, καὶ ἤκουσεν ἄρρητα ῥήματα, (Β'. Κορ. ιβ'. 2.) ἐβόα· Ὦ βάθος πλούτου, καὶ σοφίας, καὶ γνώσεως Θεοῦ· ὡς ἀνεξερεύνητα τὰ κρίματα αὐτοῦ, καὶ ἀνεξιχνίαστοι αἱ ὁδοὶ αὐτοῦ! (Ῥωμ. ια'. 33.) Τοῦτο δὲ αὐτὸς κατενόησε, καὶ περὶ τούτου τελείαν εἶχε πληροφορίαν, περὶ τοῦ, ὅτι τὰ πάθη τοῦ νῦν καιροῦ, ὅταν μεθ' ὑπομονῆς ὑπο-

πο-

ποφέρωνται, χωρίς τινος ἀμφιβολίας προξενοῦσι τὴν αἰώνιον μακαριότητα· διὸ
Κολασ. ά. 24. τότε ἔχαιρεν, ὅταν ἔπασχε· Νῦν χαίρω, ἔλεγεν, ἐν τοῖς παθήμασί μου ὑπὲρ ὑμῶν.

Ἀγαπητοί μου ἀδελφοί, ὅταν στοχάζωμαι τὴν ἀχαριστίαν ἡμῶν, καὶ ἀκούω τὸν Θεὸν, φοβερίζοντα τοὺς ἀχαρίστους καὶ λέγοντα· Πῦρ ἐκκέκαυ-
Δευτ. λβ'. 22, 23. ται ἐκ τοῦ θυμοῦ μου, καυθήσεται ἕως ᾅδου κατωτάτου. Συνάξω εἰς αὐτοὺς κακὰ, καὶ τὰ βέλη μου συντελέσω εἰς αὐτούς, φοβοῦμαι ναὶ, καὶ τρέμω· ἀλλ' ὅταν βλέπω τὴν ἀναισθησίαν ἡμῶν διὰ τὴν φοβερὰν ἁμαρτίαν τῆς ἀχαριστίας, τότε ἀπελπίζομαι παντελῶς. Διὰ πᾶσαν ἄλλην ἁμαρτίαν τύπτομεν τὸ στῆθος, μετανοοῦμεν, κλαίομεν, ἐξομολογούμεθα, ζητοῦμεν συγχώρησιν· διὰ τὴν ἁμαρτίαν τῆς ἀχαριστίας οὐδὲ δάκρυα, οὐδὲ μετάνοια, οὐδὲ προσευχὴ, οὐδὲ συνειδήσεως ἔλεγχος, οὐδὲ ἐξομολόγησις. Τίς ποτε ἐξομολογεῖται τὴν πρὸς τὸν Θεὸν, ἢ τὴν πρὸς τὸν πλησίον αὐτοῦ ἀχαριστίαν; Τίς ἐξομολογεῖται, λέγων, Ἐγὼ ἔπεσα εἰς τὴν μεγάλην ἁμαρτίαν τῆς ἀχαριστίας; Τίς ποτε μετανοῶν καὶ ἐξομολογούμενος, λέγει· Ἐγὼ οὐκ ἐδόξασα τὸν Θεὸν, διὰ τὰς εὐεργεσίας αὐτοῦ; ἐγὼ ἐφάνην ἀχάριστος εἰς τὸν πλησίον μου, τὸν εὐεργετήσαντά με; ἐγὼ κατέστησα τὰ χαρίσματα τοῦ Θεοῦ ὄργανα τῆς ἁμαρτίας; Οὐδείς.

Θεέ μου πανοικτίρμων, ὅταν τοῦτο
Α'. Κορ. ιε'. 53. τὸ παχυλὸν σῶμα ῥίψῃ τὸ πάχος, καὶ ἐνδυθῇ τὴν ἀφθαρσίαν, καὶ ἀναλάβῃ τὰ ὄμματα τῆς τελείας γνώσεως ἐκείνων τῶν πραγμάτων, τὰ ὁποῖα νῦν βλέπει
Αὐτ. ιγ'. 12. ὡς ἐν ἐσόπτρῳ καὶ αἰνίγματι, ποία ἡ ἀπολογία μου, ὅταν, παριστάμενος ἐνώπιον τοῦ φοβεροῦ σου βήματος, ἴδω σε πρόσωπον πρὸς πρόσωπον, καὶ γνωρίσω οὐκ ἐκ μέρους, καθὼς τὴν ὥραν ταύτην, ἀλλὰ τόσον ἐντελῶς, ὅσον καὶ αὐτὸς ἐμὲ ἐγνώρισας· ὅταν γνωρίσω, ὅτι σὺ ἔπλασάς με, καὶ ἔθηκάς μοι ὀστᾶ, καὶ σάρκα, καὶ πνοὴν, καὶ ψυχὴν, καὶ ζωήν· ὅταν, λέγω, ἐντελῶς γνωρίσω, ὅτι διὰ τὴν σωτηρίαν μου ἔδωκας νόμους, ἀπέστειλας Προφήτας, ἐκήρυξας μετάνοιαν· ὅταν γνωρίσω ἐντελῶς, ὅτι τοσοῦτον ἠγάπησάς με, ὥστε, ἵνα ἐλευθερώσῃς με ἀπὸ τῆς δουλείας τοῦ Διαβόλου τοῦ ἐχθροῦ μου, καὶ ἀπὸ τῆς κατάρας τοῦ νόμου, καὶ καταστήσῃς με υἱόν σου, ἐξαπέστειλας εἰς τὸν κόσμον τὸν μονογενῆ
σου Υἱὸν, γενόμενον ἐκ γυναικὸς, Γαλ. δ'. 4.
γενόμενον ὑπὸ νόμον, ποία τότε ἡ ἀπολογία μου; Ποία ἡ ἀπολογία μου, ὅταν ἴδω καὶ γνωρίσω ἐντελῶς τὸν Σωτῆρά μου τὸν Ἰησοῦν, τὸν Θεόν μου τὸν σεσαρκωμένον, καὶ ἴδω τὸν σταυρὸν, καὶ τοὺς ἥλους, καὶ τὸν ἀκάνθινον στέφανον, καὶ τὸ ὄξος, καὶ τὴν χολὴν, καὶ τὴν λόγχην, καὶ τὴν πορφύραν, καὶ διακρίνω ἐντελῶς τῶν χειρῶν καὶ τῶν ποδῶν αὐτοῦ τοὺς μώλωπας, καὶ τῆς κεφαλῆς αὐτοῦ τὰ τραύματα, καὶ τὸ κέντημα τῆς πλευρᾶς, ἐξ ἧς ἐξῆλθε τὸ ὕδωρ, ἵνα ἁγιάσῃ με, καὶ τὸ αἷμα, ἵνα σώσῃ με, ποία τότε ἡ ἀπολογία μου; Ὅταν βλέπω, ὅτι οὐ μόνον οὐδέποτε διὰ τῶν καλῶν ἔργων μου ἐδόξασα αὐτὸν διὰ τὰς εὐεργεσίας αὐτοῦ, οὐ μόνον οὐδὲ κἂν διὰ λόγου προσέφερον αὐτῷ τὴν πρέπουσαν εὐχαριστίαν, ἀλλὰ καὶ ἀνταπέδωκα αὐτῷ πονηρὰ ἀντὶ ἀγαθῶν· τὸν πλοῦτον ἐδαπάνησα εἰς τὰς τρυφὰς, τὴν ὑγείαν εἰς τὰς ἀσελγείας, τὴν ἀξίαν εἰς τὰς καταδυναστείας, τὴν πτωχείαν εἰς τοὺς γογγυσμοὺς, τὴν ἀσθένειαν εἰς τὴν ἀγανάκτησιν, καὶ τὴν ἀποδυσπέτησιν· ὅταν βλέπω, ὅτι τὰ ὄργανα τῆς σωτηρίας ἐποίησα ὄργανα τῆς ἀπωλείας μου, καὶ ὅτι διὰ τὴν ἁμαρτίαν τῆς ἀχαριστίας μου οὐδέποτε μετενόησα, οὐδέποτε ἐξωμο-

μολογήθην, τί ποιήσω τότε, ἢ τί ἀπολογήσομαι; ὢ ποῖος φόβος τότε, ποία αἰσχύνη, ποία βάσανος τῆς συνειδήσεως, ποῖος ἀπελπισμός! Πολυεύσπλαγχνε, δὸς μετάνοιαν, καὶ ἐπιστροφὴν ἕως οὗ καιρός ἐστί. Παντοδύναμε, φύτευσον εἰς τὰς καρδίας ἡμῶν τὴν μεγάλην ἀρετὴν τῆς εὐγνωμοσύνης. Κύριε τοῦ ἐλέους, ἐλέησον τὸ πλάσμασου. Ἀμήν.

# ΕΡΜΗΝΕΙΑ

ΕΙΣ ΤΟ ΚΑΤΑ

# ΛΟΥΚΑΝ

## ΕΥΑΓΓΕΛΙΟΝ ΤΗΣ Ζ'. ΚΥΡΙΑΚΗΣ.

Πολλοί, εἴτε ἐξ ἁπλότητος, εἴτε ἐκ πονηρίας, ὀνομάζουσι θαύματα καὶ ἐκεῖνα, ὅσα πράγματι καὶ ἀληθείᾳ οὐκ εἰσὶ θαύματα, ἀλλ' ἔργα τῆς φύσεως σπάνια καὶ δύσκολα. Τὸ ἀληθὲς θαῦμά ἐστιν ἔργον οὐχὶ τῆς φύσεως, ἀλλὰ τῆς τοῦ Θεοῦ δυνάμεως. Ὅταν βλέπωμεν τὴν συνήθη τῆς φύσεως κίνησιν ἢ ἱσταμένην, ἢ βραδυνομένην, ἢ ταχυνομένην· ὅταν βλέπωμεν τοὺς νόμους τῆς φύσεως μεταβεβλημένους, καὶ τὰ ἰδιώματα αὐτῆς ἐξηλλοιωμένα, τότε τὸ ἐκ τούτου γινόμενον ἔργον, ἐστὶ θαῦμα ἀληθὲς καὶ βέβαιον· διότι οὐκ ἔστιν ἔργον τῆς φύσεως, ἥτις ἔχει ὅρους ἀμεταβλήτους καὶ ἀναλλοιώτους, ἀλλὰ τῆς παντοδυνάμου δεξιᾶς, ἥτις ποιεῖ ὅσα θέλει καὶ βούλεται· διὰ τοῦτο καὶ διαφέρει θαῦμα θαύματος· ἄλλο ἐστὶ μικρὸν, καὶ ἄλλο μέγα, καὶ ἄλλο μέγιστον, καὶ ἄλλο ὑπερμέγιστον καὶ ἐξαίσιον· ὅσον περισσότερον ἡ κίνησις τῆς φύσεως ἀλλοιοῦται, ὅσοι περισσότεροι νόμοι τῆς φύσεως ἀργοῦσιν, ὅτε τὸ θαῦμα γίνεται, τόσον μεῖζόν ἐστι τὸ θαυματούργημα. Δύο θαύματα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ περιγράφει τὸ σήμερον ἀναγνωσθὲν Εὐαγγέλιον, τὴν ἰατρείαν τῆς Αἱμοῤῥοούσης, καὶ τὴν ἐκ νεκρῶν ἀνάστασιν τῆς τοῦ Ἰαείρου θυγατρός· καὶ τὰ δύω μεγάλα, πλὴν τὸ δεύτερον τοῦ πρώτου πολλῷ μεῖζον καὶ ἐξαίσιον. Ἐπειδὴ δὲ ἐκ τῆς σκέψεως καὶ πολυπραγμοσύνης τῶν περιστάσεων φανεροῦται καὶ ἐκλάμπει παντὸς θαύματος τὸ μεγαλεῖον, εὐλογοφανές ἐστιν, ἵνα ἀφιερώσωμεν τὴν σημερινὴν ἑρμηνείαν εἰς τὴν ἔρευναν τῶν περιστάσεων τούτων τῶν θαυμάτων.

Τῷ καιρῷ ἐκείνῳ, Ἄνθρωπός Λουκ. η. 41.
τις προσῆλθε τῷ Ἰησοῦ, ᾧ
ὄνομα Ἰάειρος, καὶ αὐτὸς ἄρ-
χων τῆς Συναγωγῆς ὑπῆρχε·
καὶ πεσὼν παρὰ τοὺς πόδας
τοῦ Ἰησοῦ, παρεκάλει αὐτὸν
εἰσελθεῖν εἰς τὸν οἶκον αὐτοῦ·
ὅτι θυγάτηρ μονογενὴς ἦν αὐ- 42.
τῷ, ὡς ἐτῶν δώδεκα, καὶ αὕτη
ἀπέθνησκεν. Ἐν δὲ τῷ ὑπά-
γειν αὐτὸν, οἱ ὄχλοι συνέπνι-
γον αὐτόν.

Τὸ,

Τὸ, Ἄρχων τῆς Συναγωγῆς, καὶ τὸ, Ἀρχισυνάγωγος, ἓν καὶ τὸ αὐτὸ σημαίνει, τουτέστι τὸν προεστῶτα καὶ πρόεδρον τῆς Ἰουδαϊκῆς Συναγωγῆς. Τούτου τοῦ Ἀρχισυναγώγου Ἰαείρου ἠσθένει πρὸς θάνατον, καὶ ἔπνεε τὰ λοίσθια ἡ μονογενὴς καὶ ὡσεὶ δωδεκαέτης θυγάτηρ αὐτοῦ· ὅθεν, προσελθὼν πρὸς τὸν Ἰησοῦν Χριστὸν, καὶ πεσὼν παρὰ τοὺς πόδας αὐτοῦ, παρεκάλει αὐτὸν, ἵνα ἔλθῃ εἰς τὸν οἶκον αὐτοῦ, καὶ ἰατρεύσῃ αὐτήν. Σημείωσαι ἐνταῦθα τὴν πίστιν, καὶ τὴν ἐλπίδα, καὶ τὴν εὐλάβειαν τοῦ Ἰαείρου. Αὐτὸς ἐπίστευσεν, ὅτι ὁ Ἰησοῦς δύναται θεραπεῦσαι τὴν θυγατέρα αὐτοῦ· ἤλπισεν, ὅτι εἰσακουσθήσεται ἡ πρὸς τὸν Ἰησοῦν δέησις αὐτοῦ· εὐλαβείᾳ κινούμενος, ἔπεσεν εἰς τὴν γῆν παρὰ τοὺς πόδας τοῦ Ἰησοῦ, καὶ μετὰ πολλῆς ταπεινώσεως παρεκάλει αὐτόν· ὁ δὲ Φιλάνθρωπος εἰσήκουσεν εὐθὺς τῆς δεήσεως αὐτοῦ, καὶ συγκατένευσεν ἐλθεῖν εἰς τὸν οἶκον αὐτοῦ, ἵνα θεραπεύσῃ τὴν ἀσθενοῦσαν αὐτοῦ θυγατέρα. Ἐκ τούτου μανθάνομεν, ὅτι τρία τινὰ εἰσὶν ἀναγκαῖα, ἵνα εἰσακουσθῇ ἡ πρὸς τὸν Θεὸν ἡμῶν δέησις, πίστις δηλαδὴ, ἐλπὶς, καὶ εὐλάβεια. Εἰς τὸν δρόμον, ἐν ᾧ περιεπάτει ὁ Ἰησοῦς, ἵνα ἔλθῃ εἰς τὴν οἰκίαν τοῦ Ἰαείρου, πλῆθος πολὺ λαοῦ, συντρέχοντες, ἐστενοχώρουν καὶ συνέθλιβον αὐτόν. (Μάρκ. έ. 22.)

(Λουκ. ή. 43.) Καὶ γυνὴ οὖσα ἐν ῥύσει αἵματος ἀπὸ ἐτῶν δώδεκα, ἥτις, εἰς ἰατροὺς προσαναλώσασα ὅλον τὸν βίον, οὐκ ἴσχυσεν ὑπ' οὐδενὸς θεραπευθῆναι·
44. προσελθοῦσα ὄπισθεν, ἥψατο τοῦ κρασπέδου τοῦ ἱματίου αὐτοῦ· καὶ παραχρῆμα ἔστη ἡ ῥύσις τοῦ αἵματος αὐτῆς.

Ἡ ἀσθενοῦσα γυνὴ ὑπῆρχεν, ὡς μαρτυροῦσιν οἱ ἱστορικοὶ, Ἑλληνὶς τὸ γένος, ἐκ Καισαρείας τῆς Φιλίππου, τῆς καὶ Πανεάδος λεγομένης, καταγομένη, Βερονίκη τὸ ὄνομα· ἥτις, εἰς ἀνάμνησιν τῆς εὐεργεσίας τοῦ Σωτῆρος Χριστοῦ, ἀνδριάντα χαλκοῦν ἔστησε πλησίον τῆς θύρας τοῦ οἴκου αὐτῆς· ἐβλάστανε δὲ ἐν τῇ τοῦ ἀνδριάντος βάσει βοτάνη πάσης ἀρρωστίας ἰαματική· ἐπήρκεσε δὲ ὁ ἀνδριὰς οὗτος ἄχρι τῶν ἡμερῶν τοῦ ἀποστάτου Ἰουλιανοῦ, ὅστις συνέτριψεν αὐτόν. (Εὐσέβ. β. 7. κ. 13. καὶ 18. Ἐκκλ. ἱστορ. Σωζόμ. β. 5. κ. 21. Εὐάγρ. β. 7. κ. 3. Μάλαλας ἐν λόγῳ δεκάτῳ.) Ἔπασχεν ἡ γυνὴ αὕτη δώδεκα ἔτη τῆς αἱμοῤῥοίας τὸ πάθος, καὶ ἐδαπάνησε πάντα τὰ ὑπάρχοντα αὐτῆς εἰς τοὺς ἰατρούς· οὐ μόνον δὲ οὐδὲν ἠδυνήθησαν οἱ ἰατροὶ βοηθῆσαι αὐτῇ, ἀλλὰ καὶ εἰς χείρονα κατάστασιν κατήντησε τὸ πάθος αὐτῆς, ὡς μαρτυρεῖ ὁ Εὐαγγελιστὴς Μάρκος, λέγων· Καὶ μηδὲν ὠφεληθεῖσα, ἀλλὰ μᾶλλον εἰς τὸ χεῖρον ἐλθοῦσα. (Μάρκ. έ. 26.) Αὐτὴ ἤκουσε τὰ περὶ τοῦ Ἰησοῦ, ὡς ὁ αὐτὸς Εὐαγγελιστὴς λέγει, ἤγουν ἤκουσε τὰ ἐξαίσια αὐτοῦ θαύματα· ὅθεν ἦλθε πρὸς τὸν Ἰησοῦν Χριστὸν, ἀναμίξασα ἑαυτὴν τῷ ὄχλῳ, καὶ στᾶσα ὄπισθεν αὐτοῦ, ἥψατο τοῦ ἄκρου τοῦ ἐνδύματος αὐτοῦ· εὐθὺς δὲ κατ' ἐκείνην τὴν στιγμὴν ἐστάθη ἡ ῥοὴ, καὶ ἐξηράνθη ἡ πηγὴ τοῦ αἵματος, ἐγνώρισε δὲ ἡ γυνὴ, καὶ σωματικῶς ᾐσθάνθη, ὅτι ἰατρεύθη τὸ πάθος αὐτῆς. (Αὐτ. 27.) Παρατήρησον τοῦ πάθους τὰς περιστάσεις, ἵνα τὸ μέγεθος τοῦ θαύματος κατανοήσῃς. Ἡ αἱμόῤῥοια ἐστὶν ἀσθένεια καθ' ἑαυτὴν δυσκολοθεράπευτος· ἡ πολυκαιρία, ἤγουν τὰ δώδεκα ἔτη κατέστησαν τὴν παρὰ φύσιν ῥοὴν τοῦ αἵματος, φυσικὴν αὐτοῦ κίνησιν

σιν εἰς τὸ σῶμα τῆς ἀσθενούσης· ἡ ἀδυναμία τῶν ἰατρῶν διὰ τὴν θεραπείαν, καὶ ἡ εἰς τὸ χεῖρον κατάστασις τῆς ἀσθενείας ἔδειξαν τοσοῦτον δύσκολον τὴν ἰατρείαν, ὥστε ἔφθασεν εἰς τὸ ἀδύνατον. Ἡ ῥοὴ τοῦ αἵματος ἔπαυσε, καὶ ἐξηράνθη ὁλοτελῶς ἅμα κατ' ἐκείνην τὴν στιγμὴν, καθ' ἣν ἡ ἀσθενὴς ἐψηλάφησε τὸ κράσπεδον τοῦ ἱματίου τοῦ Σωτῆρος Χριστοῦ. Ποία τῆς φύσεως δύναμις ἀνεχαίτισεν ἐν τῷ ἅμα τὴν ῥοὴν τοῦ αἵματος, καὶ ἔστησεν ἐν ῥιπῇ ὀφθαλμοῦ τὴν κίνησιν αὐτοῦ, καὶ τὴν φορὰν, καθ' ἣν δώδεκα ἔτη ἐφέρετο; Δύναμις φυσικὴ οὐδεμία· ἡ θεία δὲ τοῦ Σωτῆρος δύναμις μόνη τοῦτο ἐποίησεν, ὅθεν ἡ ἰατρεία τῆς αἱμοῤῥοούσης θαῦμά ἐστι μέγα καὶ ὑπερφυσικόν.

Λουκ. η. 45. Καὶ εἶπεν ὁ Ἰησοῦς· Τίς ὁ ἁψάμενός μου; Ἀρνουμένων δὲ πάντων, εἶπεν ὁ Πέτρος, καὶ οἱ μετ' αὐτοῦ· Ἐπιστάτα, οἱ ὄχλοι συνέχουσί σε καὶ ἀποθλίβουσι, καὶ λέγεις· Τίς ὁ ἁψάμενός μου;

Ἐρωτᾷ ὁ τὰ πάντα γινώσκων, τίς ἐστιν ἐκεῖνος, ὅστις ἐψηλάφησεν αὐτόν· καὶ πάντες μὲν οἱ περιεστῶτες ἀρνοῦνται, ἤγουν λέγουσιν, ὅτι οὐδείς σε ἐψηλάφησεν· ὡς φαίνεται, οὐδεὶς εἶδε τὴν ψηλαφήσασαν τὸ κράσπεδον αὐτοῦ γυναῖκα· ὁ δὲ Πέτρος καὶ οἱ μετ' αὐτοῦ, ἤγουν οἱ Ἀπόστολοι, λέγουσι πρὸς αὐτόν· Ἐπιστάτα, βλέπεις τοσοῦτον πλῆθος ἀνθρώπων, οἵτινες στενοχωροῦσι καὶ συσφίγγουσί σε, καὶ ἐρωτᾷς, Τίς ἐστιν ὁ ἁψάμενός μου; Ὁ δὲ Ἰησοῦς, ἵνα φανερωθῇ τῆς γυναικὸς ἡ πίστις, καὶ τῆς θείας αὐτοῦ δυνάμεως τὸ θαῦμα, καὶ οὕτω πιστεύσωσιν εἰς αὐτὸν οἱ περιεστῶτες, κἂν ταῦτα ἤκουσεν, ἐπιβεβαιοῖ, ὅτι ἐψηλαφήθη ὑπό τινος.

Ὁ δὲ Ἰησοῦς εἶπεν· Ἥψατό μου τίς· ἐγὼ γὰρ ἔγνων δύναμιν ἐξελθοῦσαν ἀπ' ἐμοῦ. Λουκ. η. 46.

Ὅταν τὰ βάλσαμα, τὰ μῦρα, αἱ βοτάναι, αἱ ἀλοιφαὶ, τὰ ἔμπλαστρα, ἐπιτεθῶσιν ἐπάνω εἰς ἄλλο σῶμα, τότε ἐξέρχεται μὲν ἐξ αὐτῶν δύναμις, ἤγουν μερίδια σωματικὰ, λεπτὰ, ἀόρατα, εἰσέρχονται δὲ εἰς τὸ ἁπτόμενον αὐτῶν σῶμα, καὶ διὰ τῆς ἐνεργείας αὐτῶν ἰατρεύουσιν αὐτό. Τὸ κράσπεδον τοῦ ἱματίου τοῦ Κυρίου Ἰησοῦ οὐκ εἶχε τοιαύτην δύναμιν, οὐδὲ ἐξῆλθον ἀπ' αὐτοῦ τοιαῦτα σωματικὰ ἰαματικὰ μερίδια, οὐδὲ εἰσῆλθον διὰ τῆς ἁψαμένης χειρὸς τῆς αἱμοῤῥοούσης εἰς τὰ βεβλαμμένα αὐτῆς μέλη. Ὅθεν ἀκούων τὸ, Ἐγὼ γὰρ ἔγνων δύναμιν ἐξελθοῦσαν ἀπ' ἐμοῦ, μὴ νομίσῃς, ὅτι ἐξῆλθε δύναμις σωματικὴ ἀπὸ τοῦ ἱματίου τοῦ Ἰησοῦ Χριστοῦ, ἥτις, μεταδοθεῖσα εἰς τὴν αἱμοῤῥοοῦσαν, ἐθεράπευσεν αὐτὴν, ἀλλὰ νόησον, ὅτι ὁ Ἰησοῦς, ὡς καρδιογνώστης, καὶ εἰδὼς τὴν πίστιν αὐτῆς, καὶ τὴν ψηλάφησιν τοῦ ἱματίου αὐτοῦ, τῇ παντεξουσίῳ αὐτοῦ δυνάμει ἰάτρευσεν αὐτήν.

Ἰδοῦσα δὲ ἡ γυνὴ, ὅτι οὐκ ἔλαθε, τρέμουσα ἦλθε, καὶ προσπεσοῦσα αὐτῷ, δι' ἣν αἰτίαν ἥψατο αὐτοῦ, ἀπήγγειλεν αὐτῷ, ἐνώπιον παντὸς τοῦ λαοῦ, καὶ ὡς ἰάθη παραχρῆμα. Αὐτόθι. 47.

Ἡ

Ἡ αἱμόῤῥους γυνὴ ἐξ ἁπλότητος ἴσως καὶ ἀμαθίας ἐνόμιζεν, ὅτι αὐτὴ μὲν ἔλαβε τὴν ἴασιν διὰ τῆς ἀφῆς τοῦ κρασπέδου τοῦ Ἰησοῦ, ὁ δὲ Ἰησοῦς οὐδὲ ἐγνώρισεν, οὐδὲ ᾐσθάνθη τὸ γεγονός· ὅταν δὲ ἤκουσεν, ὅτι τὸ ἔργον οὐκ ἔλαθε τὸν λυτρωτὴν, οὐδὲ ἔμεινε κεκρυμμένον ἀπ' αὐτοῦ, καὶ ἐγνώρισεν, ὅτι ὁ Ἰησοῦς παντεπόπτης ἐστὶ, τότε ἐφοβήθη, μήτι θελήσασα λαθεῖν, παρώργισε τὸν εὐεργέτην· ὅθεν τρέμουσα, ἦλθε, καὶ πεσοῦσα ἔμπροσθεν αὐτοῦ, ἐφανέρωσεν αὐτῷ ἐνώπιον παντὸς τοῦ λαοῦ τὴν αἰτίαν, ἤγουν τὸ, ὅτι ἐψηλάφησεν αὐτὸν, ἵνα ἰατρευθῇ, ὁμολογήσασα παῤῥησίᾳ, καὶ τοῦτο, ἤγουν τὸ, ὅτι τοῦτο ποιήσασα, ἰατρεύθη εὐθὺς ἀπὸ τῆς ἀσθενείας αὐτῆς. Τί δὲ πρὸς ταῦτα ἀπεκρίθη ὁ Πολυέλεος καὶ Παντοδύναμος;

Λουκ. η'. 48. **Ὁ δὲ εἶπεν αὐτῇ· Θάρσει θύγατερ, ἡ πίστις σου σέσωκέ σε· πορεύου εἰς εἰρήνην.**

Πρῶτον μὲν ἐκβάλλει τὸν φόβον, καὶ θαρσοποιεῖ αὐτήν· Θάρσει, θύγατερ· ἔπειτα, διδάσκων τὴν ταπεινοφροσύνην, ἀπονέμει τὸ θαῦμα εἰς τὴν πίστιν αὐτῆς· Ἡ πίστις σου σέσωκέ σε· μετὰ ταῦτα εὔχεται αὐτῇ τοῦ Θεοῦ τὴν εἰρήνην· Πορεύου εἰς εἰρήνην· ἐπιβεβαιῶν δὲ καὶ ἐπιστηρίζων τὴν εἰς τὸ ἑξῆς ὑγείαν τῆς ἀῤῥωστίας αὐτῆς, εἶπεν, ὡς μαρτυρεῖ ὁ ἱερὸς Μάρ-
Μάρκ. ε'. 34. κος· Καὶ ἴσθι ὑγιὴς ἀπὸ τῆς μάστιγός σου. Ἀληθῶς δὲ μεγάλη ἦν ἡ πίστις αὐτῆς· ἀσθενὴς οὖσα καὶ ἀδύνατος, ἔτρεξε πρὸς τὸν Ἰησοῦν Χριστὸν, συγκατέμιξεν ἑαυτὴν τῷ ὄχλῳ, ὅστις συνέθλιβε, καὶ ὤθει αὐτὴν, ἐπείσθη, ὅτι ἰαθήσεται ἀπὸ τῆς ἀῤῥωστίας αὐτῆς, ἐὰν μόνον ἅψηται τῶν ἱματίων

αὐτοῦ· Ἔλεγε γὰρ ἐν ἑαυτῇ, ὡς Ματ. θ'.
μαρτυρεῖ ὁ θεηγόρος Ματθαῖος, ἐὰν 21.
μόνον ἅψωμαι τῶν ἱματίων αὐτοῦ, σωθήσομαι. Σημείωσαι δὲ, ὅτι οὐ μόνον διὰ τοῦ προστακτικοῦ αὐτοῦ λόγου, καὶ διὰ τῆς ἀφῆς τῶν χειρῶν, καὶ σιέλου τοῦ στόματος τοῦ Ἰησοῦ Χριστοῦ ἐθεραπεύοντο οἱ ἀσθενεῖς, ἀλλὰ καὶ διὰ τῆς χάριτος τῆς ἐν τοῖς ἱματίοις αὐτοῦ. Τοῦτο αὐτὸ βλέπομεν τελούμενον καὶ εἰς τοὺς ἁγίους, διότι
καὶ τὰ σουδάρια καὶ τὰ σιμικίν- Πράξ. ιθ'.
θια, τὰ ἀπὸ τοῦ χρωτὸς τοῦ Ἀποστό- 12.
λου Παύλου, ἠλευθέρουν τοὺς ἀσθενεῖς ἀπὸ τῶν ἀῤῥωστιῶν αὐτῶν. Ἐκ τούτου ἔμαθεν ἡ ὀρθόδοξος Ἐκκλησία τὸ σέβας καὶ τὴν εὐλάβειαν οὐ μόνον τῶν λειψάνων, ἀλλὰ καὶ τῶν ἱματίων τῶν ἁγίων ἀνδρῶν. Ἐν τοσούτῳ δὲ, ἤγουν ἐν ᾧ ἐτελοῦντο τὰ περὶ τὴν Αἱμοῤῥοοῦσαν, καὶ ἐλάλει ὁ Ἰησοῦς τὰ εἰρημένα λόγια, ἰδοὺ ἔρχεταί τις ἀπὸ τῆς οἰκίας τοῦ Ἀρχισυναγώγου.

**Ἔτι αὐτοῦ λαλοῦντος, ἔρχε-** Λουκ. η'. 49.
**ταί τις παρὰ τοῦ Ἀρχισυναγώγου, λέγων αὐτῷ· Ὅτι τέθνηκεν ἡ θυγάτηρ σου· μὴ**
**σκύλλε τὸν Διδάσκαλον. Ὁ** 50.
**δὲ Ἰησοῦς ἀκούσας, ἀπεκρίθη αὐτῷ, λέγων· Μὴ φοβοῦ· μόνον πίστευε, καὶ σωθήσεται.**

Αὐτοὶ οὐκ ἐπίστευον, ὅτι ὁ Ἰησοῦς Χριστὸς ἐστὶ Θεὸς παντοδύναμος, ὅθεν ἐνόμιζον, ὅτι δύναται μὲν θεραπεῦσαι τοὺς ἀσθενεῖς, οὐχὶ δὲ καὶ ἀναστῆσαι τοὺς νεκρούς. Ἐπειδὴ οὖν ἡ ἀσθενοῦσα κόρη ἀπέθανεν, ἔρχεταί τις, συγγενὴς ἴσως, ἢ φίλος, ἢ δοῦλος ἐκ τῆς οἰκίας τοῦ Ἀρχισυναγώγου, καὶ λέγει πρὸς αὐ-

αὐτόν· Ἡ θυγάτηρ σου ἀπέθανε· μὴ ἐ-
νοχλῇς λοιπὸν τὸν Διδάσκαλον, μηδὲ φέ-
ρῃς αὐτὸν ματαίως εἰς τὸν οἶκόν σου.
Ταῦτα δὲ ἀκούσας ὁ Ἰησοῦς, πρὶν ἢ λα-
λήσῃ ὁ Ἀρχισυνάγωγος, καὶ παραιτήσῃ
αὐτὸν τοῦ ἔργου, ἀπεκρίθη πρὸς αὐτὸν,
λέγων· Μὴ φοβοῦ, μηδὲ δίσταζε, συλ-
λογιζόμενος, ὅτι οὐκ ἔχω δύναμιν ἀνα-
στῆσαι τοὺς νεκροὺς, πίστευε δὲ μόνον·
ἐὰν δὲ πιστεύῃς, ἡ θυγάτηρ σου σωθή-
σεται, ἤγουν ἐγερθήσεται ἐκ τῶν νε-
κρῶν.

Λουκ. ή. 51. Ἐλθὼν δὲ εἰς τὴν οἰκίαν,
οὐκ ἀφῆκεν εἰσελθεῖν οὐδένα,
εἰ μὴ Πέτρον, καὶ Ἰωάννην,
καὶ Ἰάκωβον, καὶ τὸν πατέ-
ρα τῆς παιδὸς καὶ τὴν μη-
τέρα.

Τὸ πλῆθος τῶν ἀνθρώπων, ἰδὸν τὸ
εἰς τὴν Αἱμοῤῥοοῦσαν γενόμενον θαῦμα,
εἴτε εὐλαβείᾳ, εἴτε περιεργείᾳ κινούμε-
νον, ἦλθεν ἐνδεχομένως ἕως τῆς οἰκίας
τοῦ Ἰαείρου, ἵνα ἴδῃ καὶ τὰ γενησόμενα
εἰς τὴν αὐτοῦ θυγατέρα. Τούτου οὖν
τοῦ πλήθους τῶν ἀνθρώπων οὐδένα ἀ-
φῆκεν ὁ Ἰησοῦς εἰσελθεῖν εἰς τὴν οἰ-
κίαν· τοῦτο αὐτὸ δὲ λέγει καὶ ὁ ἱερὸς
Μάρκ. ί. 37. Μάρκος διὰ τοῦ, Οὐκ ἀφῆκεν οὐδένα
συνακολουθῆσαι αὐτῷ εἴδαν τῆς οἰ-
κίας, εἰμὴ μόνους τοὺς τρεῖς Ἀποστό-
λους, τοὺς καὶ εἰς τὸ Θαβώριον ὄρος ἀ-
κολουθήσαντας αὐτῷ, ἔτι δὲ καὶ τὸν πα-
τέρα καὶ τὴν μητέρα τῆς ἀποθανούσης.
Καὶ τοὺς μὲν ἐκ τοῦ ὄχλου οὐκ ἀφῆκεν
εἰσελθεῖν εἰς τὴν οἰκίαν, διδάσκων ἡ-
μᾶς τῆς φιλοδοξίας τὴν ἀποστροφὴν,
τοὺς δὲ τρεῖς Ἀποστόλους καὶ τοὺς γο-
νεῖς τῆς παιδὸς ἀφῆκεν εἰσελθεῖν, ἵνα
μαρτυρήσωσι περὶ τοῦ θαύματος· διό-
τι, ἐὰν μόνος ἔμενεν ἐν τῇ οἰκίᾳ, ἐκεῖ-
νοι, οἵτινες οὐκ ἐπίστευον, ὅτι δύναται
καὶ ἐκ τῶν νεκρῶν ἀναστῆσαι, ἐδίστα-
ζον, ἴσως δὲ καὶ ἐσυκοφάντουν τὸ θαῦ-
μα, μὴ πειθόμενοι, ὅτι διὰ μόνου λό-
γου τὴν θανοῦσαν ἀνέστησεν.

Ἔκλαιον δὲ πάντες καὶ ἐ- Λουκ. ή. 52.
κόπτοντο αὐτήν. Ὁ δὲ εἶπε·
Μὴ κλαίετε· οὐκ ἀπέθανεν,
ἀλλὰ καθεύδει. Καὶ κατεγέ- 53.
λων αὐτοῦ, εἰδότες, ὅτι ἀπέ-
θανεν.

Ὁ Εὐαγγελιστὴς Ματθαῖος λέγει, Ματ. θ'. 23.
ὅτι ἦσαν εἰς τὴν οἰκίαν τοῦ Ἰαείρου καὶ
αὐληταὶ, καὶ ὄχλος πολὺς, θορυβού-
μενος διὰ τὸν θάνατον τῆς κόρης· ἐξ οὗ
φανερόν ἐστιν, ὅτι οἱ τότε Ἰουδαῖοι, οὐ
μόνον ἐκάλουν θρηνῳδούσας εἰς τοὺς νε- Ἱερ. θ'. 17.
κροὺς, κατὰ τὴν παλαιὰν αὐτῶν συνή-
θειαν, ἀλλὰ καὶ αὐλητὰς, αὐλοῦντας Ἀμ. έ. 16.
μέλη θρηνώδη· πάντες δὲ οἱ ἐκεῖ συνα- Ὅρα Ἰω-
θροισθέντες ἔκλαιον, καὶ ἐθρηνολόγουν. σηπ. β. 3.
Διατί δὲ ἄραγε ὁ Ἰησοῦς Χριστὸς εἶπε κ. 30.
πρὸς αὐτοὺς, ὅτι οὐκ ἀπέθανεν ἡ νεκρὰ, περὶ Ἰεδ. Ἁλώσ.
ἀλλὰ κοιμᾶται; Ἢ διότι ἔμελλε μετ'
ὀλίγον ὡς ἐξ ὕπνου ἀναστῆσαι αὐτὴν,
ἢ διότι ἐβούλετο, ἵνα πάντες ὁμολογή-
σωσιν, ὅτι ἀληθῶς ἀπέθανε· καὶ οὕτω,
μετὰ τὴν ἀνάστασιν αὐτῆς, μὴ δυνηθῶ-
σιν ἀρνηθῆναι τὸ, ὅτι νεκρὰ ἦν, καὶ ἀ-
νέστη· ὅθεν, ἵνα ἀφέλῃ πᾶσαν ὑποψίαν,
καὶ συκοφαντίας πρόφασιν, καὶ πείσῃ
αὐτοὺς πιστεῦσαι, ὅτι αὐτός ἐστιν ὁ
Παντοδύναμος, ὁ ζωῆς καὶ θανάτου ἔ-
χων τὴν ἐξουσίαν, ἔστερξε καταγελα-
σθῆναι ὑπ' αὐτῶν· διότι, ἀκούσαντες αὐ-
τὸν λέγοντα, ὅτι οὐκ ἀπέθανεν ἡ κόρη,
ἀλλὰ κοιμᾶται, περιεγέλων αὐτὸν, ὡς
παραλογοῦντα· διὰ ταύτης δὲ τῆς χλεύης
ὠμα-

ὡμολόγουν, ὅτι ἀληθῶς καὶ ἀναμφιβόλως ἀπέθανεν.

Λουκ. η'. 54. Αὐτὸς δὲ, ἐκβαλὼν ἔξω πάντας, καὶ κρατήσας τῆς χειρὸς αὐτῆς, ἐφώνησε, λέγων· Ἡ παῖς ἐγείρου.

Ἀνάξιοι ἦσαν τῆς θεωρίας τοῦ θαύματος οἱ αὐλοῦντες καὶ θρηνολογοῦντες, καὶ θορυβούμενοι· ὅθεν ὁ Ἰησοῦς ἐξέβαλεν αὐτοὺς πάντας ἔξω τῆς οἰκίας, πλὴν τῶν τριῶν Ἀποστόλων, καὶ τῶν γονέων τῆς ἀποθανούσης, τῶν πρότερον εἰσελθόντων μετ' αὐτοῦ εἰς τὴν οἰκίαν: Μαρτυρεῖ τοῦτο ὁ θεσπέσιος Μάρκος, λέγων, ὅτι ἐξέβαλεν ἔξω τῆς οἰκίας ἅπαντας, ἤγουν πάντας ὅσους εὗρεν ἐν τῇ οἰκίᾳ· παραλαβὼν δὲ τοὺς γονεῖς τῆς κόρης καὶ τοὺς μετ' αὐτοῦ, ἤγουν τοὺς μετ' αὐτοῦ ὄντας τρεῖς Ἀποστόλους, εἰσῆλθεν εἰς ἐκείνην τὴν παστάδα, ὅπου
Μάρκ. ε'. 40. ἔκειτο τὸ νεκρὸν σῶμα· Ὁ δὲ ἐκβαλὼν ἅπαντας, παραλαμβάνει τὸν πατέρα τοῦ παιδίου καὶ τὴν μητέρα, καὶ τοὺς μετ' αὐτοῦ, καὶ εἰσπορεύεται ὅπου ἦν τὸ παιδίον ἀνακείμενον. Ἐπειδὴ δὲ ὁ πατὴρ τῆς ἀποθανούσης, ὅτε ἦλθε πρὸς τὸν Ἰη-
Αὐτ. 23. σοῦν, παρεκάλεσεν αὐτὸν, ἵνα ἐλθὼν ἐπιθῇ αὐτῇ τὰς χεῖρας, ὅπως σωθῇ, καὶ ζήσεται, διὰ τοῦτο, ἐπιλαβόμενος ὁ Ἰησοῦς τῆς χειρὸς αὐτῆς, ἐφώνησεν· Ἡ παῖς ἐγείρου· παιδίον, ἀνάστα ἐκ τῶν νεκρῶν.

Λουκ. η'. 55. Καὶ ἐπέστρεψε τὸ πνεῦμα αὐτῆς, καὶ ἀνέστη παραχρῆμα· καὶ διέταξεν αὐτῇ δοθῆ-
56. ναι φαγεῖν. Καὶ ἐξέστησαν οἱ γονεῖς αὐτῆς· ὁ δὲ παρήγγειλεν αὐτοῖς, μηδενὶ εἰπεῖν τὸ γεγονός.

Ὢ τοῦ παραδόξου θαύματος! ἡ ἀνάστασις τῶν νεκρῶν ἐστὶ θαῦμα θαυμάτων, θαῦμα ὑπερβαῖνον τὰ θαύματα. Μετὰ τὸν χωρισμὸν τῆς ψυχῆς ἀπὸ τοῦ σώματος, παύει παντελῶς καὶ τοῦ αἵματος καὶ τοῦ ζωτικοῦ πνεύματος ἡ κίνησις, στεροῦνται πάντα τὰ μέρη καὶ τὰ μέλη τοῦ σώματος πασῶν τῶν ζωτικῶν φυσικῶν αὐτῶν δυνάμεων, ἄλλη ἀντ' ἄλλου γίνεται πᾶσα ἡ οἰκονομία καὶ ἡ κατασκευὴ τοῦ σώματος, ἄρχεται ἡ ἀνάζεσις, ἐξ ἧς ἡ διαφθορά. Ἡ ψυχὴ πλάττεται ὑπὸ τοῦ Δημιουργοῦ ἐντὸς τοῦ σώματος κατὰ τὸ, Πλάσσων πνεῦμα ἀνθρώπου ἐν αὐτῷ· ἐξελθοῦσα ὅμως τοῦ σώματος, οὐ δύναται εἰσελθεῖν πάλιν εἰς αὐτό· Ὅτι πνεῦμα διῆλθεν ἐν αὐτῷ, καὶ οὐχ ὑπάρξει, καὶ οὐκ ἐπιγνώσεται ἔτι τὸν τόπον αὐτοῦ. Ἡ μόνη παντοδύναμος τοῦ Ὑψίστου δύναμις μεταβάλλει, ὅταν θέλῃ, τοὺς ἀμεταβλήτους κατὰ φύσιν νόμους, οὓς ἔδωκεν εἰς τὴν φύσιν· αὐτὴ μόνη προστάσσει τὴν ψυχὴν, ἵνα ἐπιστρέψῃ εἰς τὸ νεκρὸν σῶμα, δίδωσι κυκλοφερῆ κίνησιν εἰς τὸ ἀκίνητον αἷμα, καὶ ἐνέργειαν ζωοποιὸν εἰς τὸ νεκρὸν ζωτικὸν πνεῦμα· αὐτὴ ἐπιστρέφει εἰς τὰ μέρη καὶ μέλη τοῦ σώματος τὰς ἀπωλεσθείσας δυνάμεις, καταπαύει τὴν ἀνάζεσιν, ἐμποδίζει τὴν διάλυσιν καὶ διαφθορὰν, καὶ ἀνακαινίζει πᾶσαν τὴν ἐξαλλοιωθεῖσαν τοῦ νεκροῦ σώματος κατασκευὴν καὶ οἰκονομίαν. Ταῦτα οὖν πάντα ἐτέλεσεν ἐν ῥιπῇ ὀφθαλμοῦ ἡ παντοδύναμος τοῦ Ἰησοῦ Χριστοῦ φωνὴ, Ἡ παῖς ἐγείρου· ἐπέστρεψε δὲ οὐκ ἄλλο πνεῦμα, ἀλλὰ τὸ ἴδιον πνεῦμα αὐ-

Ζαχ. ιβ'. 1. Ψαλ. ρβ' 15.

τῆς

τῆς εἰς τὸ σῶμα, καὶ ἀνέστη εὐθὺς ἐκ τῶν νεκρῶν. Ἵνα δὲ μὴ νομίσωσιν, ὅτι φάντασμά ἐστι τὸ θαῦμα, διέταξε δοθῆναι αὐτῇ φαγεῖν. Καὶ οἱ μὲν γονεῖς αὐτῆς ἐξέστησαν, ἰδόντες τὸ ἐξαίσιον θαῦμα, ὁ δὲ Ἰησοῦς παρήγγειλεν αὐτοῖς, ἵνα μηδενὶ φανερώσωσι τὸ γενόμενον· σὺ δὲ ἐκ τούτου μάθε, ὅταν ἐργάζεσαι τὰ ἀγαθὰ ἔργα, φεύγειν τὸ κενὸν τῆς φιλοδοξίας δοξάριον.

# ΟΜΙΛΙΑ

ΜΕΤΑ ΤΟ ΚΑΤΑ

# ΛΟΥΚΑΝ

## ΕΥΑΓΓΕΛΙΟΝ ΤΗΣ Ζ'. ΚΥΡΙΑΚΗΣ.

Τὸ ἐρώτημα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, Τίς ὁ ἁψάμενός μου, περιέχει διδασκαλίαν ἀναγκαίαν πρὸς τὴν σωτηρίαν ἡμῶν, κἂν πολλοὶ αὐτὴν οὐδόλως στοχάζωνται. Τόσον πλῆθος ἀνθρώπων, περικυκλοῦντες αὐτὸν στενοχωροῦσι καὶ συνθλίβουσι, περὶ οὐδενὸς δὲ αὐτῶν εἶπε, Τίς ὁ ἁψάμενός μου; ὅταν δὲ ἡ Αἱμοῤῥοοῦσα ἐψηλάφησε τὸ ἄκρον τοῦ ἐνδύματος αὐτοῦ, τότε εὐθὺς ἐβόησε, Τίς ὁ ἁψάμενός μου; Τόσον πλῆθος ἀνθρώπων ἐγγίζει καὶ συνθλίβει αὐτὸν, καὶ ὅμως οὐδεμία δύναμις ἐξέρχεται ἀπ' αὐτοῦ, οὐδεμίαν χάριν λαμβάνουσιν οἱ προσεγγίζοντες αὐτῷ· ὅτε δὲ ἡ Αἱμοῤῥοοῦσα ἥψατο τοῦ κρασπέδου αὐτοῦ, εὐθὺς ἐξῆλθε δύναμις ἀπ' αὐτοῦ, εὐθὺς ἡ ἁψαμένη τοῦ ἱματίου αὐτοῦ ἔλαβε τῆς ἰατρείας τὴν χάριν. Τί ἄραγε τοῦτο σημαίνει; Τοῦτο οὐδὲν ἄλλο σημαίνει, εἰμὴ τὸ, ὅτι οὐδὲν τῶν ἔργων ἡμῶν ἐστὶν εὐπρόσδεκτον εἰς τὸν Θεὸν, καὶ οὐδὲν ἔργον ὠφελεῖ ἡμᾶς, ἐὰν μὴ προσφέρωμεν εἰς τὸν Θεὸν τὸν νοῦν, καὶ τὴν καρδίαν, καὶ τὴν ψυχὴν ἡμῶν.

Οἱ ὄχλοι ἠκολούθουν τῷ Ἰησοῦ Χριστῷ σωματικῶς· ἡ Αἱμοῤῥοοῦσα ἔτρεχεν ὀπίσω αὐτοῦ οὐ μόνον σωματικῶς, ἀλλὰ καὶ νοερῶς· διότι ἔλεγεν ἐν ἑαυτῇ, ἤγουν ἐσυλλογίζετο, Ἐὰν μόνον ἅψωμαι τοῦ ἱματίου αὐτοῦ, σωθήσομαι. Ματ. θ'. 21. Οἱ ὄχλοι, ἀκολουθοῦντες τῷ Ἰησοῦ, προσέφερον αὐτῷ τιμὴν καὶ περιποίησιν σωματικήν· ἡ Αἱμοῤῥοοῦσα, τρέχουσα ὀπίσω αὐτοῦ, προσέφερεν αὐτῷ εὐλάβειαν καὶ λατρείαν τοῦ νοὸς καὶ τῆς καρδίας αὐτῆς. Ἐκεῖνοι προσέφερον αὐτῷ μόνον τὸ σῶμα· αὐτὴ προσέφερεν αὐτῷ καὶ τὴν ψυχὴν καὶ τὸ σῶμα· διὰ τοῦτο ἐκείνων μὲν ἡ προσφορὰ ἐγένετο ἀπρόσδεκτος εἰς τὸν Ἰησοῦν, καὶ ἄκαρπος εἰς αὐτούς, ἐκείνης δὲ ἡ θυσία καὶ εὐπρόσδεκτος εἰς τὸν Ἰησοῦν, καὶ καρποφόρος εἰς αὐτήν. Περὶ ἐκείνων οὐδὲ ἕνα λόγον εἶπεν ὁ Ἰησοῦς· περὶ αὐτῆς εἶπεν, ὅτι ἥψατο αὐτοῦ, καὶ ἐκήρυξε τὴν πίστιν αὐτῆς, Ἡ πίστις σου σέσωκέ σε. Λουκ. η'. 48. Ἐκεῖνοι οὐ μόνον οὐδὲν ἔλαβον, ἀλλὰ καὶ οὐκ ἀφέθησαν εἰσελθεῖν εἰς τὴν οἰκίαν τοῦ Ἰαείρου, καὶ ἰδεῖν τὸ θαῦμα τοῦ Θεοῦ· αὐτὴ ἔλαβε τοῦ Θεοῦ τὴν εἰρήνην, Πορεύου εἰς εἰρήνην· καὶ τὴν ἰατρείαν τῆς μαστιγούσης αὐτὴν ἀσθενείας· Καὶ ἴσθι ὑγιὴς ἀπὸ τῆς μάστιγός σου. Μάρκ. ε'. 34.

Τοῦ-

Τοῦτο τὸ μάθημα ἐδίδαξεν ὁ Θεὸς
εἰς τὸν παλαιὸν νόμον, τοῦτο ἐκήρυξαν
οἱ ἅγιοι Προφῆται, τοῦτο ἐπεκύρωσεν ὁ
μονογενὴς Υἱὸς τοῦ Θεοῦ. Τοῦτο τὸ μά-
θημά ἐστι τὸ θεμέλιον τῶν Εὐαγγελι-
κῶν νόμων, ἡ βάσις τῆς πίστεως, ὁ κα-
νὼν καὶ ὁ τύπος πάσης ἀρετῆς καὶ ἀ-
γαθοεργίας, κἂν πολλοὶ οὐδὲ προσέχω-
σιν, οὐδὲ φροντίζωσι περὶ αὐτοῦ.

Ἀληθῶς ἐνομοθέτησεν ὁ Θεὸς εἰς
τὸν παλαιὸν νόμον, ἵνα προσφέρωσιν
αὐτῷ οἱ ἄνθρωποι θυσίας βοῶν, προ-
βάτων, κριῶν, καὶ δῶρα, θυμίαμα, σε-
μίδαλιν, καὶ ἄλλα ὑλικὰ πράγματα,
Λευϊτ. β΄. 13. πλὴν εἶπε· Καὶ πᾶν δῶρον θυσίας
ὑμῶν ἁλὶ ἁλισθήσεται· οὐ δια-
παύσετε ἅλας Διαθήκης Κυρίου
ἀπὸ θυσιασμάτων ὑμῶν· ἐπὶ
παντὸς δώρου ὑμῶν προσοίσετε
Κυρίῳ τῷ Θεῷ ὑμῶν ἅλας. Τί δὲ
σημαίνει τὸ ἅλας, εἰμὴ τὴν φρόνησιν καὶ
τὴν διάκρισιν, ὅπερ ἐστὶ, τὴν προσήλω-
σιν τοῦ νοὸς εἰς τὸν Θεὸν, τῆς ὁποίας
ἔνδειξίς ἐστιν ἡ ὑλικὴ θυσία; Ἐνομοθέ-
τησε, ναὶ, ὁ Θεὸς τὰς ὑλικὰς προσφο-
ράς, ἀλλ' ὅταν ὁ λαὸς τοῦ Ἰσραὴλ προ-
σέφερε μὲν εἰς αὐτὸν τὰ ὑλικὰ καὶ
παχυλὰ πράγματα, τὴν δὲ καρδίαν αὐ-
τοῦ ἐμάκρυνεν ἀπ' αὐτοῦ, τότε ἐκήρυξε
φανερὰ, ὅτι τὰ τοιαῦτα δῶρά εἰσιν ἀνω-
Ἡσ. κθ΄. 13. φελῆ καὶ μάταια· Καὶ εἶπε Κύριος,
Ἐγγίζει μοι ὁ λαὸς οὗτος ἐν τῷ
στόματι αὐτοῦ, καὶ ἐν τοῖς χεί-
λεσιν αὐτῶν τιμῶσί με, ἡ δὲ καρ-
δία αὐτῶν πόρρω ἀπέχει ἀπ' ἐ-
μοῦ· μάτην δὲ σέβονταί με, δι-
δάσκοντες ἐντάλματα ἀνθρώπων
καὶ διδασκαλίας. Ἐνομοθέτησεν ὁ
Θεὸς τὴν προσφορὰν τῶν θυσιῶν καὶ τῶν
δώρων, ἀλλ' εἶπε φανερὰ, ὅτι θυσία τῷ
Θεῷ ἐστὶ τὸ πνεῦμα τὸ συντετριμμένον,
Ψαλ. ν΄. 18. καὶ ὅτι, Καρδίαν συντετριμμένην
καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐ-
ξουδενώσει. Ὅταν δὲ οἱ Ἰσραηλῖται
προσέφερον εἰς αὐτὸν πλῆθος θυσιῶν
χωρὶς συντριβῆς ψυχῆς, καὶ χωρὶς κα-
τανύξεως καὶ ταπεινώσεως καρδίας, τότε
ἐξήλεγξεν αὐτούς, εἰπών· Τί μοι πλῆ- Ἡσ. ά. 11.
θος τῶν θυσιῶν ὑμῶν; πλήρης
εἰμὶ ὁλοκαυτωμάτων κριῶν, καὶ
στέαρ ἀρνῶν, καὶ αἷμα ταύρων
καὶ τράγων οὐ βούλομαι. Ὁ Θεὸς
ἐνομοθέτησε τὰς προσευχὰς, καὶ τὰς νη-
στείας, καὶ τὰς ἑορτὰς, καὶ ἐζήτησεν
αὐτὰς παρὰ τῶν ἀνθρώπων· ἀλλ' ἐνομο-
θέτησε, καὶ ἐζήτησε ταῦτα, ὡς ἐξωτερι-
κὰ σημεῖα τῆς ψυχικῆς διαθέσεως, ὡς
ἀποδείξεις αἰσθητὰς τῆς ψυχῆς, τῆς εἰς
αὐτὸν ἀφιερωμένης. Ὅταν δὲ ἔλειψεν ὁ
κύριος σκοπὸς τούτων τῶν ἔργων, τότε
ἔδειξε τὴν ἀπ' αὐτῶν ἀποστροφὴν αὐτοῦ,
εἰπὼν πρῶτον γενικῶς περὶ τούτων πάν-
των· Τίς γὰρ ἐξεζήτησε ταῦτα Αὐτ. 12.
ἐκ τῶν χειρῶν ὑμῶν; ἔπειτα περὶ
μὲν τῶν προσευχῶν, τῶν εἰς τὸν ναὸν
τελουμένων, εἶπε· Πατεῖν τὴν αὐλήν
μου οὐ προσθήσεσθε· περὶ δὲ τῶν
νηστειῶν· Οὐδ' ἂν κάμψης ὡς κρί- Αὐτ. νη΄. 5.
κον τὸν τράχηλόν σου, καὶ σάκ-
κον καὶ σποδὸν ὑποστρώσῃ, οὐδ'
οὕτω καλέσατε νηστείαν δεκτήν·
περὶ δὲ τῶν ἑορτῶν· Τὰς νουμηνίας Αὐτ. ά. 13, 14.
ὑμῶν καὶ τὰ σάββατα, καὶ ἡμέ-
ραν μεγάλην οὐκ ἀνέχομαι· νη-
στείαν, καὶ ἀργίαν, καὶ τὰς νου-
μηνίας ὑμῶν, καὶ τὰς ἑορτὰς ὑ-
μῶν μισεῖ ἡ ψυχή μου.

Ὁ Θεὸς, διὰ τοῦ Μωσαϊκοῦ νό-
μου, ἐζήτησε τὸν νοῦν, καὶ τὴν ψυχὴν,
καὶ τὴν καρδίαν ἡμῶν· Ἀγαπήσεις Δευτ. ς΄. 5.
Κύριον τὸν Θεόν σου ἐξ ὅλης τῆς
διανοίας σου, καὶ ἐξ ὅλης τῆς ψυ-
χῆς σου, καὶ ἐξ ὅλης τῆς δυνά-
μεώς σου. Τοῦτον τὸν νόμον ἐπικυρώ-
σας ὁ μονογενὴς Υἱὸς τοῦ Θεοῦ διὰ τοῦ,
Αὕτη ἐστὶ πρώτη καὶ μεγάλη ἐν- Ματ. κβ΄. 37.
το-

τολὴ, ἐδίδαξε, ποία ἐστὶν ἡ ἀληθινὴ προσκύνησις, καὶ ἡ λατρεία, καὶ ἡ προσφορὰ, ἡ εἰς τὸν Θεὸν εὐπρόσδεκτος.

Ἡ Σαμαρεῖτις, νομίζουσα, ὅτι ὁ τόπος ἀπαρτίζει καὶ τελειοῖ τὴν εἰς τὸν Θεὸν προσκύνησιν, ἔλεγε πρὸς τὸν Ἰησοῦν Χριστόν· Οἱ πατέρες ἡμῶν ἐν (Ἰωάν. δ'. 20.) τούτῳ τῷ ὄρει προσεκύνησαν· καὶ ὑμεῖς λέγετε, ὅτι ἐν Ἱεροσολύμοις ἐστὶν ὁ τόπος, ὅπου δεῖ προσκυνεῖν. Ὁ δὲ Θεάνθρωπος, διὰ τῆς πρὸς αὐτὴν ἀποκρίσεως, ἐδίδαξε τὸν κόσμον ὅλον, ποῖοί εἰσιν οἱ ἀληθινοὶ (Αὐτ. 23.) προσκυνηταὶ τοῦ Θεοῦ· Ἔρχεται ὥρα, εἶπε, καὶ νῦν ἐστὶν, ὅτε οἱ ἀληθινοὶ προσκυνηταὶ προσκυνήσουσι τῷ Πατρὶ ἐν πνεύματι καὶ ἀληθείᾳ· καὶ γὰρ ὁ Πατὴρ τοιούτους ζητεῖ τοὺς προσκυνοῦντας αὐτόν· (Αὐτ. 24.) διατί δὲ τοῦτο; διότι πνεῦμα ὁ Θεὸς, καὶ τοὺς προσκυνοῦντας αὐτὸν, ἐν πνεύματι καὶ ἀληθείᾳ δεῖ προσκυνεῖν. Τοιουτοτρόπως ἐτύπωσεν ὁ Υἱὸς τοῦ Θεοῦ τῆς ἀληθινῆς καὶ ἀρεστῆς εἰς τὸν Θεὸν προσκυνήσεως καὶ λατρείας τὸν κανόνα· τύπος δὲ ἐστιν οὗτος καὶ κανὼν δικαιότατος ἅμα καὶ ὠφελιμώτατος. Δικαιότατος, ἐπειδὴ ὁ ἄνθρωπος οὐκ ἔστι μόνον σῶμα, ἀλλὰ σύγκειται ἐκ ψυχῆς καὶ σώματος· καὶ τῶν δύω δὲ τούτων ποιητὴς καὶ πλάστης ἐστὶν ὁ Θεός· ἀλλ' ἡ ψυχὴ, ὡς ἄϋλος, ὡς πνεῦμα, ὡς ἀθάνατος, ἐστὶ πολλῷ τιμιωτέρα καὶ οἰκειοτέρα τῷ Θεῷ τοῦ ὑλικοῦ καὶ σαρκικοῦ καὶ φθαρτοῦ σώματος· διὰ τοῦτο λοιπὸν ζητεῖ τῆς ψυχῆς τὴν λατρείαν μᾶλλον ἢ τὴν τοῦ σώματος. Κανὼν ὠφελιμώτατος, ἐπειδὴ, ὅταν ἀφιερώσωμεν τὴν ψυχὴν ἡμῶν εἰς τὸν Θεὸν, τότε αὐτὴ τῇ δυνάμει τῆς θείας χάριτος ὁδηγεῖ τὸ σῶμα πρὸς τὴν ὑπηρεσίαν πάσης ἀρετῆς καὶ ἀγαθοεργίας.

Ἀλλὰ πῶς, λέγεις, δύναται ὁ ἄνθρωπος νὰ ἀφιερώσῃ καὶ νοῦν, καὶ καρδίαν, καὶ ψυχὴν εἰς τὸν Θεόν; πῶς γίνεται προσκυνητὴς τοῦ Θεοῦ ἐν πνεύματι καὶ ἀληθείᾳ; Πέντε βιβλία, κατὰ τὸν ἀριθμὸν τῶν πέντε αἰσθήσεων, ἔδωκεν εἰς τὰς χεῖρας ἡμῶν ὁ Θεός· τὸ βιβλίον τοῦ θανάτου, τὸ βιβλίον τῆς ζωῆς, τὸ βιβλίον τῆς κρίσεως, τὸ βιβλίον τῆς κολάσεως, καὶ τὸ βιβλίον τῆς θείας δόξης. Διὰ τῆς ἀναγνώσεως καὶ μελέτης τούτων τῶν πέντε βιβλίων προσκυνοῦμεν τὸν Θεὸν ἐν πνεύματι καὶ ἀληθείᾳ· ὅσοι ἀναγινώσκουσι ταῦτα τὰ πέντε βιβλία, καὶ μελετῶσιν αὐτὰ συχνῶς, ἐκεῖνοι ἀφιεροῦσι νοῦν, καὶ καρδίαν, καὶ ψυχὴν εἰς τὸν Θεὸν, καὶ ἐκεῖνοί εἰσιν οἱ ἀληθινοὶ καὶ μακάριοι προσκυνηταὶ τοῦ Θεοῦ τοῦ ζῶντος.

Ὅστις ἀνοίγει τὸ βιβλίον τοῦ θανάτου, ἐκεῖνος βλέπει εὐθὺς ἐπιγραφὴν ἐν αὐτῷ· ἡ δὲ ἐπιγραφὴ ἐστιν ἀπόφασις τοῦ Θεοῦ· Ὅτι γῆ εἶ, καὶ εἰς (Γεν. γ'. 19.) γῆν ἀπελεύσῃ· ἀναγινώσκει δὲ εἰς τὸν πρόλογον, ὅτι ἡ ἁμαρτία προεξένησε τὸν θάνατον· Δι' ἑνὸς ἀνθρώπου (Ῥωμ. ε'. 12.) ἡ ἁμαρτία εἰς τὸν κόσμον εἰσῆλθε, καὶ διὰ τῆς ἁμαρτίας ὁ θάνατος, θάνατος δὲ διπλοῦς, θάνατος ψυχῆς, ὅστις ἐστὶν ὁ χωρισμὸς τῆς ψυχῆς ἀπὸ τοῦ Θεοῦ· θάνατος σώματος, ὅστις ἐστὶν ὁ ἀπὸ τοῦ σώματος χωρισμὸς τῆς ψυχῆς. Μετὰ δὲ τὸν πρόλογον εὑρίσκει γεγραμμένα τὰ ἀποτελέσματα τοῦ θανάτου· βλέπει ἐξορίαν ἀπὸ τοῦ παραδείσου καὶ τῆς δόξης τοῦ Θεοῦ εἰς τὴν ἐπικατάρατον γῆν, ὅπου ἄκανθαι, καὶ (Γεν. γ'. 17, 19.) τρίβολοι, ἤγουν στενοχωρίαι καὶ θλίψεις, ὅπου ἱδρῶτες καὶ κόποι, ὅπου χιτῶνες δερμάτινοι, ἤγουν σῶμα παχυλὸν καὶ φθαρτὸν, καὶ διαλυόμενον εἰς τὴν γῆν, ἐξ ἧς ἐλήφθη· ἔπειτα συναντᾷ τὴν περιγραφὴν τοῦ ἀγωνιζομένου, τὸν

ἀγω-

ἀγῶνα τοῦ θανάτου· βλέπει δὲ ἐν αὐτῇ τὸν πτωχότατον καὶ εὐτελέστατον ἄνθρωπον, ὁμοίως καὶ τὸν πανένδοξον Βασιλέα, κείμενον ἐν τῇ κλίνῃ, ὀδυνώμενον ἀπεριγράπτως, φοβούμενον ὑπερβαλλόντως, τρέμοντα, κατακλονούμενον, σπαζόμενον, βοηθείας δεόμενον, καὶ ὑπὸ μηδενὸς βοηθούμενον· διότι οὐδὲ ὁ πλοῦτος, οὐδὲ τὰ ἀξιώματα, διὰ τὰ ὁποῖα τοσοῦτον ἐκοπίασεν εἰς τὸν καιρὸν τῆς ζωῆς αὐτοῦ, οὐδὲ ἰατρὸς, οὐδὲ φίλος, οὐδὲ συγγενὴς, οὐδὲ ἀδελφὸς, οὐδὲ ὁ πατὴρ, οὐδὲ ἡ μήτηρ δύνανται, τὴν ὥραν ἐκείνην, κἂν ὀλίγον τὶ βοηθῆσαι. Εἰς τὰς ἑξῆς σελίδας ἀναγινώσκει τὰ μετὰ τὸν θάνατον· ἀναγινώσκει δὲ τὰ λόγια ταῦτα· Τὰ κτήματα, τὰ παλάτια, τοὺς δούλους, τὸ χρυσίον, τὸ ἀργύριον, τοὺς πολυτίμους λίθους, πάντα ὅσα ἔχεις, καταλιμπάνεις ὧδε εἰς τὴν γῆν, ἐν μόνον σάβανον λαμβάνεις μετὰ σοῦ, καὶ τοῦτο, ἵνα μετ' ὀλίγον σαπῇ καὶ απομείνῃ εἰς τὴν γῆν. Ἄνοιξε τοὺς τάφους, λέγει σοι τὸ βιβλίον, καὶ ἴδε τοῦ προσώπου τὸ κάλλος, τῆς νεότητος τὸ ἄνθος, τοῦ σώματος τὴν εὐπρέπειαν, ἴδε, καὶ διάκρινε, ἐὰν δύνασαι, ποῖος ὁ πλούσιος καὶ ποῖος ὁ πένης, ποῖος ὁ ἄρχων καὶ ποῖος ὁ ἀρχόμενος, ποῖός ἐστιν ὁ Βασιλεὺς καὶ ποῖος ὁ στρατιώτης· ἴδε τὰς ἐστεμμένας κεφαλὰς, καὶ τὰς χεῖρας, τὰς βασταζούσας τὰ σκῆπτρα, καὶ τὰ πορφυροενδεδυμένα σώματα, ἴδε καὶ τὰ σώματα ἐκείνων τῶν ἀνθρώπων, οἵτινες ἐφόρουν τὰ εὐτελέστατα καὶ πολύτροπα ἐνδύματα, πάντα εἰσὶν ἓν καὶ τὸ αὐτὸ, ἤγουν σαπρία, δυσωδία, χῶμα, γῆ. Ἡ ἀνάγνωσις τούτου τοῦ βιβλίου, διὰ λαμπρῶν χρωμάτων ζωγραφοῦσα τοὺς χαρακτῆρας τῆς ματαιότητος τοῦ κόσμου, καὶ δεικνύουσα, ὅτι πάντα τὰ ἐν τῷ κόσμῳ οὐδὲν ἕτερόν εἰσιν, εἰμὴ χόρτος, σκιὰ, καπνὸς, ὄναρ, ἐξωθεῖ τὴν λυσσώδη ὄρεξιν τῶν ἀνθρωπίνων πραγμάτων, καὶ ἀντεισάγει εἰς τὴν καρδίαν ἡμῶν τὴν ψυχωφελεστάτην ἐπιθυμίαν τῶν ἐπουρανίων καὶ ἀφθάρτων ἀγαθῶν.

Ἐὰν δὲ ἀνοίξῃς τὸ βιβλίον τῆς ζωῆς, βλέπεις ἐν τῇ κεφαλίδι αὐτοῦ ταῦτα τὰ λόγια· Ἰδοὺ ἥκω· ἐν κε- Ψαλ. λθ'.
φαλίδι βιβλίου γέγραπται περὶ 10, 11.
ἐμοῦ, τοῦ ποιῆσαι τὸ θέλημά σου ὁ Θεός μου ἠβουλήθην· τοῦτο δὲ διδάσκει σε τὴν σάρκωσιν τοῦ Λόγου, ὅστις ἠθέλησεν ὑπήκοος γενέσθαι τῷ Πατρὶ Φιλιπ. β'.
μέχρι θανάτου, θανάτου δὲ σταυ- 8.
ροῦ, ἵνα ὑπερυψώσῃ τῶν ἀνθρώπων τὸ γένος ἐκ τοῦ θανάτου εἰς τὴν ζωήν· βλέπεις, λέγω, τὸν Υἱὸν τοῦ Θεοῦ, ἐρχόμενον εἰς τὸν κόσμον, καὶ γενόμενον ἄνθρωπον, ἵνα οἱ ἄνθρωποι ζωὴν ἔχωσι, καὶ Ἰωάν. ι.
περισσὸν ἔχωσι· βλέπεις τὸν Θεὸν, 10.
δι' ἀγάπην τοῦ ἀνθρώπου, ἀναλαβόντα τὴν ἀνθρωπίνην φύσιν, καὶ μετ' αὐτῆς ὑποστατικῶς ἑνωθέντα, ἵνα ἑνώσῃ τῷ Θεῷ τὸν ἀπὸ τοῦ Θεοῦ χωρισθέντα ἄνθρωπον· βλέπεις τὸν ζωοδότην σου πάσχοντα ἐπὶ Ποντίου Πιλάτου, ὑπὸ ἀνόμων ὑβριζόμενον καὶ βλασφημούμενον, ἀκάνθαις τὴν κεφαλὴν στεφανούμενον, καὶ φραγγελλούμενον, καλάμῳ τὴν κεφαλὴν τυπτόμενον, καὶ ἐμπτυόμενον, τὸν σταυρὸν αἴροντα, καὶ ἐπὶ σταυροῦ, ἐπάνω εἰς τὸν Γολγοθᾶ, ἐν μέσῳ δύω λῃστῶν, κρεμάμενον, χολὴν καὶ ὄξος ποτιζόμενον, ἀποθνήσκοντα καὶ ἐνταφιαζόμενον, καὶ εἰς τοὺς οὐρανοὺς ἀναλαμβανόμενον, οὐρανόθεν ἐν πυρίναις γλώσσαις πέμποντα τὸ παράκλητον Πνεῦμα, καὶ τὴν οἰκουμένην φωτίζοντα, ἵνα σὺ ἀναστηθῇς ἐκ τοῦ θανάτου, καὶ ἀναλάβῃς ἣν ἀπώλεσας ζωήν. Ἐὰν συχνὰ μελετᾷς τὸ βιβλίον τοῦτο, ἰσχυρῶς φλέγεται ἡ καρδία σου πρὸς τὴν ἀγάπην τοῦ εὐεργέτου καὶ σωτῆρός σου Ἰησοῦ Χριστοῦ.



Ὅταν

Ὅταν δὲ ἐγὼ μελετῶ τὸ βιβλίον τῆς κρίσεως, τότε βλέπω ποταμὸν πύ-
Δαν. ζ. 10. ρινον ἔμπροσθεν τοῦ Θεοῦ, καὶ χιλιάδας χιλιάδων Ἀγγέλων λειτουργούντων αὐτῷ, καὶ μυριάδας μυριάδων ἀνθρώπων παρεστηκότων ἐνώπιον αὐτοῦ· τότε βλέπω, ὅτι κριτήριον ἐκάθισε, καὶ βίβλοι ἠνεῴχθησαν· εἰς τὸ κριτήριον κάθηται Κριτὴς δικαιότατος, ἀλάνθαστος, ἀδυσώπητος, αὐτὸς ὁ παντοδύναμος Ποιητὴς οὐρανοῦ καὶ γῆς· εἰς τὰς βίβλους βλέ-
Ματ. κέ. 32, 33. πω γεγραμμένα τὰ ἔργα, τὰ λόγια, τὰς ἐνθυμήσεις μου· βλέπω τὸν Κριτὴν, χωρίζοντα τοὺς δικαίους ἀπὸ τῶν ἁμαρτωλῶν, καθὼς ὁ ποιμὴν χωρίζει τὰ πρόβατα ἀπὸ τῶν ἐριφίων· καὶ τοὺς μὲν βάλλοντα εἰς τὰ δεξιὰ, τοὺς δὲ, εἰς τὰ ἀριστερά· ἀκούω τὴν φωνὴν τὴν εὐλογημένην, προσκαλοῦσαν τοὺς δικαίους·
Αὐτ. 34. Δεῦτε οἱ εὐλογημένοι τοῦ Πατρός μου· καὶ πέμπουσαν αὐτοὺς εἰς τὴν κληρονομίαν τῆς βασιλείας, τῆς ἀπὸ καταβολῆς κόσμου ἡτοιμασμένης· ἀκούω τὴν φωνὴν τὴν καταρωμένην, καὶ ἀποπέμπουσαν
Αὐτ. 41. τοὺς ἁμαρτωλούς· Πορεύεσθε ἀπ' ἐμοῦ οἱ κατηραμένοι· καὶ πέμπουσαν αὐτοὺς εἰς τὸ πῦρ τὸ αἰώνιον, τὸ ἡτοιμασμένον τῷ Διαβόλῳ καὶ τοῖς Ἀγγέλοις αὐτοῦ. Ὅσον περισσότερον μελετῶ τοῦτο τὸ βιβλίον, τόσον περισσότερον στηρίζεται εἰς τὸν νοῦν μου τοῦ φοβεροῦ Κριτοῦ, καὶ τῆς φοβερᾶς ἐκείνης ὥρας, καὶ τῆς φρικτῆς καὶ ἀμεταθέτου ἀποφάσεως ἡ μνήμη, ἥτις μαραίνει τῶν σαρκικῶν ὀρέξεων τὴν φλόγα, καὶ διεγείρει εἰς τὴν ψυχήν μου τῆς ἐπουρανίου βασιλείας τὸν ἔρωτα.

Ὅταν ἀνοίγω τὸ βιβλίον τῆς κολάσεως, βλέπω καὶ τὰ ἔμπροσθεν καὶ τὰ ὄπισθεν αὐτοῦ γεγραμμένα· τὰ δὲ γρα-
Ἰεζ. β'. 10. φέντα εἰσὶ τὰ ἑξῆς· Καὶ ἐγέγραπτο, λέγει ὁ Προφήτης τοῦ Θεοῦ, θρῆνος, καὶ μέλος, καὶ οὐαί. Τὸ βιβλίον τοῦτο καταβιβάζει τὸν νοῦν μου κάτω εἰς τὸν Ἅδην· ἐκεῖ βλέπω τὴν γλῶσσαν τῶν καταλάλων, τῶν συκοφαντῶν, τῶν ἐπιόρκων, τῶν αἰσχρολόγων, τῶν ὑβριστῶν, τῶν βλασφήμων, φλογιζομένην ὑπὸ Ἰακ. γ. 6.
τῆς γεέννης· ἐκεῖ βλέπω τοὺς διὰ τὴν δειλίαν αὐτῶν προδόντας τὴν πίστιν, καὶ τοὺς ἀπίστους, καὶ τοὺς ἐβδελυγμένους διὰ τὰ σαρκικὰ ἁμαρτήματα, καὶ τοὺς φονεῖς, τοὺς πόρνους, τοὺς μάγους, τοὺς εἰδωλολάτρας, τοὺς ψεύστας, ἐν τῇ λί- Ἀποκ. κά. 8.
μνῃ τῇ καιομένῃ πυρὶ καὶ θείῳ, ὅ ἐστι δεύτερος θάνατος· ἐκεῖ ἀκούω τὸν θρῆνον τῶν ἀσπλάγχνων, καὶ τὸ θρηνῶδες μέλος τῶν ἀδικητῶν, καὶ τὸ οὐαὶ τῶν καταδυναστευόντων τὸν ὀρφανὸν, καὶ τὸν πτωχὸν, καὶ τὴν χήραν· ἐκεῖ ἐστὶν ὁ θρῆνος, καὶ τὸ μέλος, καὶ τὸ οὐαί· ἐκεῖ κλαυθμὸς ἀπαρηγόρητος, βρυγμὸς ὀδόντων ἐλεεινότατος, σκότος ἐξώτερον, πῦρ αἰώνιον, σκώληξ ἀκοίμητος, τάρταρος βασανιστικώτατος, ἐκεῖ ἀπελπισμὸς παντέλειος. Ὁσάκις μετὰ προσοχῆς μελετῶ τοῦτο τὸ βιβλίον, τοσάκις τοσοῦτος φόβος καὶ τρόμος πίπτει εἰς τὴν καρδίαν μου, ὥστε, χωριζόμενος ὁ νοῦς μου ἀπὸ τῶν αἰσχρῶν τῆς ἁμαρτίας λογισμῶν, βυθίζεται ὅλος εἰς τὰ ἅγια τῆς ἀρετῆς νοήματα.

Ἐκεῖνος δὲ ὁ μακάριος ἄνθρωπος, ὅστις ἔχει καθημερινὴν ἀνάγνωσιν καὶ μελέτην τὸ βιβλίον τῆς ἐπουρανίου δόξης, αὐτὸ ἀναβιβάζει τὸν νοῦν αὐτοῦ εἰς τὸν οὐρανὸν, ὅπου βλέπει καὶ ἀκούει ὅσα ἀνθρώπου γλῶσσα οὐ δύναται λαλῆσαι· ἀναβιβάζει τὸν νοῦν αὐτοῦ τὸ βιβλίον εἰς τὴν πόλιν τὴν ἁ-
γίαν, τὴν ἐπουράνιον Ἱερουσαλὴμ, καὶ Αὐτόθι. 10.
βλέπει αὐτὴν, καθὼς περιέγραψεν αὐτὴν ἐν τῇ Ἀποκαλύψει αὐτοῦ ὁ ἠγαπημένος καὶ ἐπιστήθιος μαθητὴς τοῦ Ἰησοῦ Χριστοῦ· βλέπει τὰ θεμέλια τοῦ
τείχους τῆς πόλεως, καὶ αὐτά εἰσιν οἱ Αὐτ. 19.
δά-

δώδεκα πολύτιμοι λίθοι, τοῦ δὲ τείχους
Ἀποκ. κά. 18. ἡ ὕλη Ἴασπις· βλέπει τοὺς δώδεκα
Αὐτ. 20. πυλῶνας τῆς πόλεως, καὶ αὐτοί εἰσι δώ-
Αὐτ. 21. δεκα μαργαρῖται· βλέπει τὴν πόλιν
Αὐτ. 18. ὅλην, ἐκ χρυσίου καθαροῦ κατεσκευασ-
μένην, ὅλην ὁμοίαν καθαρῷ ὑάλῳ, καὶ
τὴν πλατεῖαν αὐτῆς χρυσίον καθαρὸν,
Αὐτ. 21. ὡς ὕαλον διαφανῆ· ἐκεῖ φῶς, ἀλλ' οὐχ
ὥσπερ τὸ κοσμικὸν φῶς, τὸ ὁποῖον φω-
τίζει, ἔπειτα σβέννυται, ἀλλὰ φῶς ἀ-
νέσπερον, φῶς ἱλαρὸν, φῶς, τὴν ψυχὴν
διαπαντὸς εὐφραῖνον, ἐπειδὴ ἐκεῖ οὐδὲ ὁ
ἥλιος, οὐδὲ ἡ σελήνη, ἀλλ' ἡ δόξα τοῦ
Αὐτ. 23. Θεοῦ φωτίζει τὴν πόλιν, καὶ ὁ λύχνος
αὐτῆς ἐστὶ τὸ ἀρνίον, ἤγουν ὁ σω-
τὴρ τοῦ κόσμου ὁ Ἰησοῦς· ἐκεῖ χαρὰ,
ἀλλ' οὐχ ὥσπερ ἡ χαρὰ τοῦ κόσμου,
ἥτις μετ' ὀλίγον μεταβάλλεται εἰς λύπην,
ἀλλὰ χαρὰ ἀμετάβλητος, χαρὰ πεπλη-
ρωμένη καὶ ἀτελεύτητος· δόξα ἐκεῖ, ἀλ-
λ' οὐχ ὡς ὁ καπνὸς καὶ ὁ ἄνεμος τῆς
προσκαίρου τοῦ κόσμου δόξης, τῆς πι-
κρᾶς καὶ κινδυνώδους, ἀλλὰ δόξα ἀλη-
θινὴ καὶ ἀμάραντος, δόξα γλυκεῖα καὶ
ἀκίνδυνος, καὶ αἰώνιος· δόξα, ἥτις ὀφ-
Ψαλ. κς'. 17. θεῖσα μόνον χορτάζει πάσης τρυφῆς καὶ
ἀγαλλιάσεως καὶ μακαριότητος τοὺς ἰ-
Ἀποκ. κά. 23. δόντας αὐτὴν καὶ ἀπολαύσαντας· διότι
ἡ ἐκεῖ δόξα ἐστὶν ἡ δόξα τοῦ Θεοῦ.
Βλέπει ἐκεῖ τὰ σκηνώματα τοῦ Κυρίου
τὰ ἀγαπητὰ καὶ πεποθημένα· ὧδε ὁ
χορὸς τῶν Προφητῶν, λάμπων τῇ καθα-
ρότητι τῆς ψυχῆς αὐτῶν· ἐκεῖ τῶν Ἀ-
ποστόλων ἡ ὁμήγυρις, ἀστράπτουσα τῇ
λαμπρότητι τοῦ εὐαγγελικοῦ κηρύγμα-
τος· ἐκεῖ τῶν ἁγίων Μαρτύρων τὰ τά-
γματα, πεποικιλμένα τῆς ὁμολογίας τῷ
αἵματι, περιβεβλημένα τοὺς στεφάνους
τῆς νίκης· ἐκεῖ βλέπει τοὺς θεοφόρους
Ἱεράρχας καὶ Διδασκάλους, τοὺς ἁγίους
Ἀσκητὰς, πάντας τοὺς δικαίους ἐκλάμ-
Ματ. ιγ'. 43. ποντας ὡς φωστῆρας· ἐκεῖ βλέπει τὰς
ταξιαρχίας τῶν ἁγίων Ἀγγέλων, καὶ
ἀκούει τὰ τερπνὰ καὶ γλυκύτατα αὐτῶν
ᾄσματα· ἐκεῖ ἀκούει αὐτοὺς ᾄδοντας,
βοῶντας, κεκραγότας, καὶ λέγοντας τὸν
ἐπινίκιον ὕμνον· Ἅγιος, Ἅγιος, Ἅ- Ἠσ. ς'. 3.
γιος, Κύριος Σαβαώθ, πλήρης
πᾶσα ἡ γῆ τῆς δόξης αὐτοῦ· ἐκεῖ
βλέπει καὶ τὸν ναόν· ὁ δὲ ναός ἐστιν ὁ
τρισυπόστατος Θεὸς, καὶ ὁ σεσαρκωμέ-
νος Λόγος· Ὁ γὰρ Κύριος, ὁ Θεὸς ὁ Ἀποκ. κά. 22.
Παντοκράτωρ, ναὸς αὐτῆς ἐστὶ,
καὶ τὸ ἀρνίον· ἐκεῖ βλέπει καὶ τὴν
Βασίλισσαν, τὴν μητέρα αὐτοῦ, τῶν ἁ-
μαρτωλῶν τὴν προστασίαν, παρισταμέ-
νην ἐκ δεξιῶν τοῦ Υἱοῦ αὐτῆς ἐν ἱμα- Ψαλ. μδ'. 11.
τισμῷ διαχρύσῳ περιβεβλημένην
πεποικιλμένην τὴν ἄμεμπτον παρ-
θενίαν, καὶ πασῶν τῶν ἀρετῶν τὰς
λαμπρότητας.

Αὗται εἰσιν, ἀδελφοί μου, αἱ ἀνα-
βάσεις τοῦ νοὸς εἰς τὸν Θεὸν, διὰ τῶν
ὁποίων ὁ ἄνθρωπος γίνεται μακάριος·
Μακάριος ἀνὴρ, οὗ ἐστιν ἀντί- Αὐτ. πγ'. 6.
ληψις αὐτῷ παρὰ σοί· ἀναβά-
σεις ἐν τῇ καρδίᾳ αὐτοῦ διέθετο.
Ὅταν ὁ ἄνθρωπος μελετᾷ τοῦτο τὸ βι-
βλίον, τότε ἁρπάζεται καὶ ὁ νοῦς αὐ-
τοῦ ὅλος, καὶ ἡ καρδία ὅλη, καὶ ἡ ψυ-
χὴ αὐτοῦ· τότε ἐκβοᾷ ὡς ὁ Δαβὶδ, ὅσ-
τις τοιαύτας ἐποίει ἀναβάσεις· Ὡς ἀ-
γαπητὰ τὰ σκηνώματά σου, Κύριε Αὐτόθι. 1, 2.
τῶν δυνάμεων, ἐπιποθεῖ καὶ ἐκ-
λείπει ἡ ψυχή μου εἰς τὰς αὐλὰς
τοῦ Κυρίου· ἡ καρδία μου καὶ ἡ
σάρξ μου ἠγαλλιάσαντο ἐπὶ Θεὸν
ζῶντα· τότε ἀποφασίζει καὶ αὐτὸς,
ὥσπερ ἐκεῖνος, ἵνα ἀφιερωθῇ ὅλος εἰς
τὸν Θεόν· Ἐξελεξάμην, λέγει, πα- Αὐτ. 11.
ραρρίπτεῖσθαι ἐν τῷ οἴκῳ τοῦ
Θεοῦ μᾶλλον, ἢ οἰκεῖν με ἐν σκη-
νώμασιν ἁμαρτωλῶν.

Μακάριος λοιπὸν ἐκεῖνος ὁ ἄνθρω-
πος, ὅστις ἡμέρας καὶ νυκτὸς μελετᾷ
ταῦτα τὰ πέντε βιβλία· αὐτὰ τίθενται

ἐν τῇ καρδίᾳ αὐτοῦ τὰς θείας ἀναβάσεις· αὐτὰ ποιοῦσιν αὐτὸν προσκυνητὴν τοῦ Θεοῦ ἐν πνεύματι καὶ ἀληθείᾳ· αὐτὰ δὲ ἴσως εἰσὶν οἱ πέντε λόγοι, τοὺς ὁποίους ὁ οὐρανοβάμων Παῦλος προέκρινε μυρίων ἄλλων λόγων, καὶ ἤθελεν, ἵνα, πρὸς κατήχησιν καὶ ὠφέλειαν τῶν ἄλλων, λαλῇ αὐτοὺς εἰς τὴν Ἐκκλησίαν, μᾶλλον ἢ μυρίους ἄλλους· Ἀλλ' ἐν Ἐκκλησίᾳ, ἔλεγε, θέλω πέντε λόγους διὰ τοῦ νοός μου λαλῆσαι, ἵνα καὶ ἄλλους κατηχήσω, ἢ μυρίους λόγους ἐν γλώσσῃ. Ἰδοὺ λοιπὸν, ἀγαπητοί μου ἀδελφοί, τὸ πῶς δύναται πᾶς ἄνθρωπος, ἐὰν θέλῃ, εἰς πάντα τόπον, καὶ εἰς πᾶσαν κατάστασιν καὶ περίστασιν, νὰ ἀφιερώσῃ εἰς τὸν Θεὸν καὶ νοῦν, καὶ ψυχὴν, καὶ καρδίαν.

Α'. Κορ. ιδ'. 29.

Ἔστι δὲ καὶ ἄλλος τρόπος ὑψηλὸς καὶ θαυμάσιος, δι' οὗ δύναται πᾶς ἄνθρωπος, ἐὰν θελήσῃ, νὰ ἀφιερώσῃ ὅλον ἑαυτὸν εἰς τὸν Θεόν. Ἀκούσατε ποῖος· Τὰ ἀόρατα αὐτοῦ, λέγει ὁ θεηγόρος Παῦλος, ἀπὸ κτίσεως κόσμου, τοῖς ποιήμασι νοούμενα καθορᾶται, ἥ τε ἀΐδιος αὐτοῦ δύναμις καὶ θειότης· εἰς τὸ εἶναι αὐτοὺς ἀναπολογήτους· ἐξότου, λέγει, ἐκτίσθη ὁ κόσμος, ὅστις βλέπει τὰ ποιήματα τοῦ Θεοῦ, ἐκεῖνος νοεῖ καὶ βλέπει τὴν ἀόρατον παντοδυναμίαν αὐτοῦ, καὶ πάσας τὰς λοιπὰς τοῦ Θεοῦ τελειότητας. Εἶτε λοιπὸν καὶ ἂν βλέπῃς κάτω εἰς τὴν γῆν, ἐκεῖνο ἀναβιβάζει τὸν νοῦν σου εἰς τὸν οὐρανόν· πᾶν κτίσμα ἐστὶ κάτοπτρον, εἰς τὸ ὁποῖον, ἐὰν προσέχῃς, βλέπεις τὸν Θεόν. Ὅταν βλέπῃς τὸν οὐρανὸν, τὸν ἥλιον, τὴν σελήνην, τοὺς ἀστέρας, μὴ μένῃς ἐκστατικὸς, ἀλλὰ νόησον τὰ ἀόρατα τοῦ Θεοῦ, ἤγουν τὴν παντοδυναμίαν αὐτοῦ, τὴν ταῦτα δημιουργήσασαν. Ὅταν παρατηρῇς, ὅτι ἀναλλοίωτοί εἰσιν οἱ ὅροι καὶ οἱ κανόνες, διὰ τῶν ὁποίων κινοῦνται πάντα τὰ οὐράνια σώματα, μὴ γίνεσαι ἀνόητος, ἀλλὰ νόησον τὰ ἀόρατα τοῦ Θεοῦ, ἤγουν τὴν δύναμιν τῆς ἀϊδίου αὐτοῦ προνοίας, ἥτις διαπαντὸς κρατεῖ καὶ διευθύνει τὰς κινήσεις αὐτῶν εἰς τὰ αὐτὰ ὅρια. Σὺ βλέπεις τὸ πῦρ· αὐτὸ φωτίζει, θερμαίνει, κινεῖ· βλέπεις τὸ ὕδωρ· αὐτὸ πλύνει, δροσίζει, καθαίρει· βλέπεις τὴν γῆν· αὐτὴ βλαστάνει, καρποφορεῖ, τρέφει· αἰσθάνεσαι τὸν ἀόρατον ἀέρα· αὐτὸς δίδωσιν ἀναπνοὴν, ῥῶσιν, ζωήν· μὴ παρέρχεσαι ἀπερισκέπτως ταῦτα, ἀλλὰ στῆσον τὸν νοῦν σου ἐπ' αὐτά· διότι, βλέπων τὰ ἐναντία αὐτῶν ἰδιώματα, συνερχόμενα καὶ συμπλεκόμενα εἰς σύστασιν, καὶ αὔξησιν, καὶ διατήρησιν πάντων τῶν ἐπὶ γῆς σωμάτων, βλέπεις ἐν αὐτοῖς τοῦ Ποιητοῦ αὐτῶν τὴν παντοδυναμίαν, καὶ τὴν σοφίαν, καὶ πρόνοιαν. Τοῦτο αὐτὸ βλέπεις εἰς τὰ ἀμέτρητα τῶν ζώων εἴδη, εἰς τὴν ἰδιάζουσαν ἑνὸς ἑκάστου κατασκευὴν, καὶ εἰς τὰ ἴδια ἑνὸς ἑκάστου ἰδιώματα. Οἱ καρποὶ τῆς γῆς, τὰ μέταλλα, οἱ λίθοι διδάσκουσί σε τὴν φιλανθρωπίαν τοῦ Θεοῦ, διότι, πρὸς χρῆσιν τῶν ἀνθρώπων καὶ ὠφέλειαν, ἔδωκεν αὐτὰ ὁ Θεός. Ἡ ὡραιότης καὶ τὸ κάλλος τοῦ προσώπου, καὶ ἡ συμμετρία τοῦ ἀναστήματος καὶ τῶν μερῶν καὶ τῶν μελῶν τοῦ ὡραίου ἀνθρώπου, ὥσπερ σάλπιγξ κηρύττει τὴν πάνσοφον ἀρχιτεκτονίαν, καὶ χρωματουργικὴν σοφίαν τοῦ Δημιουργοῦ. Καὶ εἰς αὐτὰ δὲ τὰ τεχνητὰ πράγματα, ὅσα ἡ χεὶρ τοῦ ἀνθρώπου κατασκευάζει, βλέπεις τὴν διανομὴν τῶν ταλάντων τοῦ Θεοῦ· διότι τίς ἄλλος, εἰμὴ ὁ Θεὸς ἔδωκεν εἰς τὸν ἄνθρωπον νοῦν, χεῖρας, ἐπιτηδειότητα, σοφίαν, εἰς κατασκευὴν πάντων τῶν ὑπὸ τῶν ἀνθρώπων φιλοτεχνουμένων πραγμάτων; Τὸν Θεὸν βλέπεις

Ῥωμ. α'. 20.

πεις καὶ εἰς τὰ λεγόμενα ἠθικά· εἰς
τὴν ἀρετὴν, βλέπεις τοῦ Θεοῦ τὴν χάριν·
εἰς τὴν ἁμαρτίαν, τοῦ Θεοῦ τὴν παραχώ-
ρησιν· εἰς τοὺς δικαίους, τοῦ Θεοῦ τὴν ἀ-
γάπην· εἰς τοὺς ἁμαρτωλοὺς, τοῦ Θεοῦ
τὴν εὐσπλαγχνίαν· εἰς τὰς εὐτυχίας,
τοῦ Θεοῦ τὸ ἔλεος· εἰς τὰς δυστυχίας,
τοῦ Θεοῦ τὴν δικαιοσύνην· ὅπου καὶ ἂν
στραφῇς, ἄνω, κάτω, ἔμπροσθεν, ὄπι-
σθεν, δεξιὰ, ἀριστερὰ, τὸν Θεὸν βλέ-
Ψαλ. ρλη. πεις· Ποῦ πορευθῶ, ἔλεγεν ὁ Προφή-
6, 9. της, ἀπὸ τοῦ πνεύματός σου, καὶ
ἀπὸ τοῦ προσώπου σου ποῦ φύ-
γω; Ἐὰν ἀναβῶ εἰς τὸν οὐρανὸν,
σὺ ἐκεῖ εἶ· ἐὰν καταβῶ εἰς τὸν
ᾅδην, πάρει· ἐὰν ἀναλάβω τὰς
πτέρυγάς μου κατ' ὄρθρον, καὶ
κατασκηνώσω εἰς τὰ ἔσχατα τῆς
θαλάσσης, καὶ γὰρ ἐκεῖ ἡ χείρ
σου ὁδηγήσει με, καὶ καθέξει με ἡ
δεξιά σου· ἄλλοτε δὲ πάλιν μετὰ φό-
Αυτ. ιϛ. βου ἔψαλλε· Προωρώμην τὸν Κύριον
8. διαπαντὸς, ὅτι ἐκ δεξιῶν μου ἐσ-
τὶν, ἵνα μὴ σαλευθῶ. Ἐπειδὴ λοι-
πὸν εἶτι καὶ ἂν βλέπῃς, δεικνύει σοι τὸν
Θεὸν, ἐὰν μὲν βλέπῃς αὐτὸ μόνον διὰ
τῶν ὀμμάτων τοῦ σώματος, ὥσπερ τὰ
ἄλογα καὶ ἀνόητα ζῶα, τότε ἢ οὐδὲν ὠ-
φελεῖσαι, ἢ καὶ βλάπτεσαι· ὅθεν διὰ
τὴν δυστροπίαν σου γίνεσαι ἀναπολόγη
τος ἐνώπιον τοῦ Θεοῦ· ἐὰν δὲ, ὡς λο-
γικὸς ἄνθρωπος, βλέπῃς πᾶν πρᾶγμα
καὶ διὰ τῶν ὀφθαλμῶν τῆς ψυχῆς σου,
τότε, βλέπων ἐν πᾶσι τὸν Θεόν σου,
προσκυνεῖς αὐτὸν ἐν πνεύματι καὶ
ἀληθείᾳ· τότε δὲ ὅλος ὁ νοῦς, καὶ
ὅλη ἡ καρδία σου, καὶ ὅλη ἡ ψυχή σου
προσκολλᾶται τῷ Θεῷ, τότε δὲ συνενω-
μένος τῷ Θεῷ ψάλλεις διαπαντὸς τὸ γλυ-
κύτατον μελῴδημα· Ἐκολλήθη ἡ ψυ-
χή μου ὀπίσω σου, ἐμοῦ δὲ ἀντε-
λάβετο ἡ δεξιά σου.

Ἀλλὰ τοῦτο τὸ μάθημα, λέγετε,
ἁρμόζει εἰς τοὺς ἀσκητὰς, εἰς τοὺς ἐρη-
μίτας, εἰς ἐκείνους, οἵτινες ἐμάκρυναν
ἀπὸ τοῦ κόσμου· διότι πῶς δύνανται οἱ
ἐν τῷ κόσμῳ ζῶντες ἄνθρωποι ἀφιερῶ-
σαι ὅλον τὸν νοῦν αὐτῶν εἰς τὴν μελέ-
την τοῦ Θεοῦ; ἐκεῖνος, ὑπουργὸς ὢν τῆς
βασιλικῆς αὐλῆς, ἔχει τὸν νοῦν αὐτοῦ
ἀφιερωμένον εἰς τὰς βασιλικὰς ὑποθέ-
σεις· οὗτος, στρατιωτικὸς ὢν, ἀφιερωμέ-
νος ἐστὶν εἰς τὰ τακτικὰ τοῦ πολέμου·
ἐκεῖνος ἀφιέρωσε τὸν νοῦν εἰς τὴν πραγ-
ματείαν, ὁ ἄλλος εἰς τὰ ἐργόχειρα, καὶ
οὕτω καθεξῆς πᾶς ἄνθρωπος τοῦ κόσμου
ἔχει τὸν νοῦν ἔκδοτον εἰς τὴν ἑαυτοῦ ὑ-
πόθεσιν, καὶ εἰς τὸ ἴδιον ἐπάγγελμα.
Ἀλλ' εἴπατέ μοι καὶ ὑμεῖς, πῶς αὐτοὶ,
οἱ ἐν τῷ κόσμῳ ἄνθρωποι, ἀφιεροῦσιν
ὅλον τὸν νοῦν αὐτῶν εἰς τὰ βλάπτοντα
τὴν ψυχὴν αὐτῶν, καὶ οὐχὶ εἰς τὰς ἰδίας
ὑποθέσεις; πῶς ἐκεῖνος προσηλωμένον
ἔχει τὸν νοῦν, οὐχὶ εἰς τὸ ἐπάγγελμα
αὐτοῦ, ἀλλ' εἰς τὴν φιλαργυρίαν, καὶ εἰς
τὴν πλεονεξίαν; πῶς οὗτος ἀφιέρωσε
καὶ νοῦν καὶ καρδίαν, οὐχὶ εἰς τὸ ἔρ-
γον αὐτοῦ, ἀλλ' εἰς τὰ κάλλη τῆς ἐρω-
μένης αὐτῷ; πῶς ὁ ἄλλος; ἀλλὰ τίς ἡ
χρεία τῆς ἐπαριθμήσεως ἐκείνων, οἵτι-
νες προσηλοῦσι τὸν νοῦν αὐτῶν, καὶ τὴν
ψυχὴν, καὶ τὴν καρδίαν οὐχὶ εἰς τὰς
ἐργασίας αὐτῶν, ἀλλ' εἰς τὰς ψυχοβλα-
βεῖς καὶ ψυχολέθρους πράξεις; τὸ πῶς
ἐρωτᾶτε; τοῦτό ἐστι φανερόν· διὰ τῆς
ἰδίας θελήσεως· ἡ θέλησις εὑρίσκει τὸ
πῶς. Τίς ἐστιν ἐκεῖνος ὁ ἄνθρωπος,
ὅστις, ὅταν θέλῃ, οὐ δύναται, κἂν μίαν
ὥραν κατὰ πᾶσαν ἡμέραν, νὰ σχολάσῃ
ἀπὸ τῶν ματαίων καὶ προσκαίρων τοῦ
κόσμου ὑποθέσεων, ἵνα στοχασθῇ τὸν
θάνατον, τὴν ζωὴν, τὴν κρίσιν, τὴν κό-
λασιν, τὸν παράδεισον; οὐδὲ κόπου, οὐ-
δὲ ἀγώνων, οὐδὲ χρημάτων χρεία ἐστὶν,
ἵνα, ὁποῖον πρᾶγμα καὶ ἂν βλέπῃς,
στοχάζεσαι εὐθὺς τὸν Ποιητὴν τοῦ παν-
τός·

τός· εἰς τὰς ἀρχὰς ἴσως τοῦτο τὸ ἔργον ἔχει τινὰ δυσκολίαν· ἀλλὰ βίασον σεαυτὸν, ἕως ἂν συνηθίσῃς· ἔπειτα τοσαύτης ἡδονῆς καὶ γλυκύτητος αἰσθάνεσαι, ὥστε ἐφέλκεσαι εἰς τοῦτο, σχεδὸν καὶ μὴ θέλων· βίασον οὖν σεαυτόν· Ἡ βασιλεία τῶν οὐρανῶν βιάζεται, καὶ βιασταὶ ἁρπάζουσιν αὐτήν· ἧς καταξίωσον ἡμᾶς, Βασιλεῦ ἐπουράνιε, ὅτι σὸν τὸ κράτος, καὶ σοῦ ἐστιν ἡ βασιλεία εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. Ματ. ια. 12.

# ΕΡΜΗΝΕΙΑ

## ΕΙΣ ΤΟ ΚΑΤΑ

# ΛΟΥΚΑΝ

## ΕΥΑΓΓΕΛΙΟΝ ΤΗΣ Η΄. ΚΥΡΙΑΚΗΣ.

Μεγάλη διαφορὰ μεταξὺ τῆς σοφίας τῶν θείων Γραφῶν, καὶ τῆς σοφίας τῶν βιβλίων τῶν ἀνθρώπων. Ἐὰν ἀναγνώσῃς τὸν περὶ ψυχῆς, τὸν περὶ ἀρετῆς, τὸν περὶ σωφροσύνης, καὶ τοὺς περὶ τοῦ δικαίου λόγους τοῦ Πλάτωνος, πᾶσαν τὴν ἠθικὴν διδασκαλίαν τοῦ Ἀριστοτέλους, τὰ χρυσᾶ ἔπη τοῦ Πυθαγόρου, τὰ ἠθικὰ συγγράμματα τοῦ Πλουτάρχου, καὶ ἄλλα τοιαῦτα τῶν σοφῶν τοῦ κόσμου βιβλία, βλέπεις, ναὶ, εὕρεσιν νοημάτων πλουσίαν, διάθεσιν τῶν εὑρεθέντων εὔτακτον, εὔρροιαν λόγου ἡδονικὴν, κάλλος συντάξεως τεχνικὸν, ἐπιχειρήματα γενναῖα, ἀποδείξεις ἰσχυρὰς, καὶ ὅσα ἄλλα ἡ πάνδημος ῥητορικὴ καὶ ἡ κοσμικὴ διδάσκει φιλοσοφία· πλὴν, ἐν ὅσῳ μὲν ἀναγινώσκεις αὐτὰ, καὶ θαυμάζεις, καὶ ἡδύνεσαι, καὶ πείθεσαι, ἔπειτα, κλείσας τὸ βιβλίον, μένεις γυμνὸς τοῦ πνευματικοῦ καρποῦ, ὡς καὶ τὸ πρότερον. Ὅταν δὲ ἀναγινώσκῃς τὰ λόγια, τὰ περιεχόμενα εἰς τὰ βιβλία τῶν θείων Γραφῶν, τότε ἡ θεία ἁπλότης, ἡ ἐν αὐτοῖς λάμπουσα, καὶ ἡ ἁπλῆ τῶν πραγμάτων ἀλήθεια, καὶ ἡ ἐν αὐτοῖς ἐπουράνιος σοφία, καὶ ἡ χάρις τοῦ Θεοῦ καὶ ἡ δύναμις, οὐ μόνον καθηδύνει τὴν σωματικὴν αἴσθησιν, ἀλλ' ἐξεγείρει καὶ τῆς ψυχῆς σου τὸν πόθον, καὶ οὐ μόνον πείθει τὸν νοῦν, ἀλλὰ νικᾷ καὶ τὴν καρδίαν σου· ὅθεν οἱ ἀναγνῶσται καὶ οἱ ἀκροαταὶ τοῦ λόγου τοῦ Θεοῦ καρποφοροῦσιν ἓν μὲν τριάκοντα, ἓν δὲ ἑκατὸν, κατὰ ἀναλογίαν τῆς καλῆς αὐτῶν προαιρέσεως. Μάρκ. δ΄. 20. Ὅτι δὲ πᾶς λόγος τῆς θείας Γραφῆς ποιεῖ τοιαῦτα ἀποτελέσματα, μαρτυρεῖ καὶ ἡ σήμερον ἀναγνωσθεῖσα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἀπόκρισις πρὸς τὸν πειράζοντα αὐτὸν νομοδιδάσκαλον. Ἐὰν ἀκούσητε τὴν ἑρμηνείαν αὐτῆς μετὰ τῆς πρεπούσης προσοχῆς καὶ εὐλαβείας, βλέπετε καὶ αἰσθάνεσθε ὅπερ λέγω.

Τῷ καιρῷ ἐκείνῳ, νομικός τις προσῆλθε τῷ Ἰησοῦ, πειράζων αὐτὸν, καὶ λέγων· Διδάσκαλε, τί ποιήσας, ζωὴν αἰώνιον κληρονομήσω; Λουκ. ι. 25.

Νομικοὶ ἐλέγοντο ἐκεῖνοι, οἵτινες

δη-

διηρμήνευον, καὶ ἐδίδασκον τὸν μωσαϊκὸν νόμον, καὶ ἦσαν ἕτοιμοι ἀποκριθῆναι εἰς ὅσα ἐπροβάλλοντο ζητήματα νομικά. Οὗτος οὖν ὁ νομικὸς, ἀκούσας, ὅτι ὁ Ἰησοῦς ἐδίδασκε παῤῥησίᾳ τὸν λαὸν, εἴτε ἐξ ὑπερηφανείας, ἐπειδὴ ἐνόμιζεν, ὅτι οὐδεὶς ὡς αὐτὸς γινώσκει τὸν νόμον, εἴτε ἐκ
Ιωάν. ιβ'. 19. φθόνου, ἐπειδὴ ἔβλεπεν, ὅτι ὁ κόσμος ἔτρεχεν ὀπίσω τοῦ Ἰησοῦ Χριστοῦ, ἦλθε πρὸς αὐτὸν, οὐχὶ ἵνα ἀκούσῃ, καὶ ὠφεληθῇ, ἀλλ' ἵνα πειράξῃ αὐτὸν, καὶ ἀκυρώσῃ τὰ ὑπ' αὐτοῦ διδασκόμενα· ὅθεν ἐρωτᾷ αὐτὸν, λέγων· Διδάσκαλε, ποῖον ἔργον ἐστὶν ἀναγκαῖον εἰς ἐμὲ, ἵνα κληρονομήσω τὴν αἰώνιον ζωήν; Τοῦτο τὸ ἐρώτημα φαίνεται μὲν, ὅτι οὐκ ἔστι πειρακτικὸν, περιέχει ὅμως πειρασμὸν μεγάλον. Ὁ νομικὸς ἐνόμιζεν, ὅτι διὰ τούτου τοῦ ἐρωτήματος ἔστησε παγίδα κατὰ τοῦ Ἰησοῦ Χριστοῦ· ἐπειδὴ, ἐὰν ὁ Ἰησοῦς ἀπεκρίνετο, ὅτι ὁ νόμος, ὃν ἐγὼ διδάσκω, ἐκεῖνος εἰσάγει τὸν ἄνθρωπον εἰς τὴν ζωὴν, ὁ νομικὸς τότε ἐλάμβανεν ἀφορμὴν κατηγορίας κατὰ τοῦ Ἰησοῦ Χριστοῦ, καὶ ἐκήρυττεν αὐτὸν ἀντίθεον, ὡς διδάσκοντα ἄλλον νόμον, καὶ οὐχὶ τὸν τοῦ Θεοῦ. Ἄκουε δὲ μετὰ πόσης σοφίας ἀπεκρίθη πρὸς αὐτὸν ὁ Θεάνθρωπος.

Λουκ. ί. 26. **Ὁ δὲ εἶπε πρὸς αὐτόν· Ἐν τῷ νόμῳ τί γέγραπται; πῶς ἀναγινώσκεις;**

Ἑβρ. ί. 1. Ἐπειδὴ ὁ Μωσαϊκὸς νόμος οὐδέποτε δύναται καταστῆσαι τελείους τοὺς εἰς αὐτὸν προσερχομένους, καὶ ἑπομένως ἀξίους τῆς αἰωνίου ζωῆς·
Αυτ. ζ'. 25. ἡ εἰς Χριστὸν δὲ πίστις δύναται σώζειν εἰς τὸ παντελὲς τοὺς προσερχομένους δι' αὐτοῦ τῷ Θεῷ· διὰ τοῦτο οὐκ εἶπεν αὐτῷ, Ἐὰν φυλάξῃς τὸν Μωσαϊκὸν νόμον, εἰσέρχεσαι εἰς τὴν ζωὴν, ἀλλ' ἠρώτησεν αὐτὸν, τί ἐστι γεγραμμένον ἐν τῷ νόμῳ, ἵνα, ἐκ τῆς ἀποκρίσεως αὐτοῦ ἀφορμὴν λαβὼν, διδάξῃ αὐτὸν καὶ τὰ περὶ τῆς ἐνσάρκου αὐτοῦ οἰκονομίας· Τί ἐγράφη, λέγει, εἰς τὸν Μωσαϊκὸν νόμον; πῶς, ἤγουν ποίῳ πνεύματι καὶ σκοπῷ ἀναγινώσκεις σὺ τὸν νόμον; κατὰ τὸ γράμμα μόνον ὡς Ἰουδαῖος, ἢ καὶ κατὰ τὸ πνεῦμα, ὡς ἀληθινὸς Ἰσραηλίτης;

**Ὁ δὲ ἀποκριθεὶς, εἶπεν· Ἀγαπήσεις Κύριον τὸν Θεόν σου ἐξ ὅλης τῆς καρδίας σου, καὶ ἐξ ὅλης τῆς ψυχῆς σου, καὶ ἐξ ὅλης τῆς ἰσχύος σου, καὶ ἐξ ὅλης τῆς διανοίας σου· καὶ τὸν πλησίον σου ὡς σεαυτόν.** Λουκ. ί. 27.

Ἄλλα ἤλπιζεν ὁ νομικὸς ἀκοῦσαι, καὶ ἄλλα ἤκουσεν· ὅθεν, ἀναγκασθεὶς, προβάλλει τὰ λόγια τοῦ νόμου, τὰ περιεχόμενα ἐν τῷ Λευϊτικῷ, καὶ ἐν τῷ Λευϊτ. ιθ'. 18.
Δευτερονομίῳ, καὶ διδάσκοντα τὴν ἐξ ὅλης καρδίας, καὶ ψυχῆς, καὶ δυνάμεως, Δευτ. ς'. 5. κ. λ'. 6.
καὶ διανοίας ἀγάπην εἰς τὸν Θεὸν καὶ τὸν πλησίον, καὶ ζωὴν ἐπαγγελλόμενα εἰς τοὺς φύλακας ταύτης τῆς ἐντολῆς.

**Εἶπε δὲ αὐτῷ· Ὀρθῶς ἀπεκρίθης· τοῦτο ποίει, καὶ ζήσῃ.** Λουκ. ί. 28.

Ὁ νομικὸς οὐκ ἐπίστευεν εἰς τὸν Ἰησοῦν Χριστόν· διατί οὖν ὁ Ἰησοῦς εἶπε πρὸς αὐτὸν, τοῦτο ποίει, ἤγουν ἀγάπα τὸν Θεὸν καὶ τὸν πλησίον σου, καὶ ζήσῃ, τουτέστι, καὶ οὕτω κληρονομήσεις τὴν αἰώνιον ζωήν; δύναταί τις ἄραγε σωθῆναι χωρὶς τῆς εἰς Χριστὸν πίστεως;
Ἄπαγε· Χωρὶς δὲ πίστεως, τῆς εἰς Χρισ- Ἑβρ. ιά. 6.

Χριστὸν δηλαδὴ, ἀδύνατον εὐαρεστῆσαι· οὕτω δὲ ἀπεκρίθη πρὸς τὸν νομικὸν ὁ Θεάνθρωπος πρῶτον μὲν, ἐπειδὴ ὁ
Γαλ. γ. 24. Μωσαϊκὸς νόμος παιδαγωγὸς ἐστι καὶ διδάσκαλος τῆς εἰς Χριστὸν πίστεως· ὅστις δὲ πιστεύει εἰς τὴν διδασκαλίαν τοῦ Μωϋσέως, ἐκεῖνος πιστεύει καὶ εἰς
Ἰωάν. ε. 46. τὸν Ἰησοῦν Χριστὸν, κατὰ τὸ, Εἰ γὰρ ἐπιστεύετε Μωσῆ, ἐπιστεύετε ἂν
Α'. Ἰωάν. ε. 1. ἐμοί· δεύτερον, ἐπειδὴ πᾶς ὁ ἀγαπῶν τὸν γεννήσαντα, ἀγαπᾷ καὶ τὸν γεγεννημένον ἐξ αὐτοῦ. Ὅστις ἀληθῶς ἀγαπᾷ τὸν Θεὸν, ἐκεῖνος οὐ μένει ἐν τῇ σκοτίᾳ τῆς ἀπιστίας, ἀλλ' ὑπὸ τοῦ Θεοῦ φωτιζόμενος, ἔρχεται εἰς τὸ φῶς τῆς πίστεως· καὶ μάρτυς ὁ Κορνήλιος ὁ Ἑκατόνταρχος, καὶ ὁ Αἰθίοψ ὁ Κανδάκης, καὶ ἄλλοι πολυάριθμοι, οἵτινες, μὴ ἔχοντες τὴν εἰς Χριστὸν πίστιν, ἐπειδὴ ἠγάπησαν τὸν Θεὸν, ἐφωτίσθησαν ὑπ' αὐτοῦ, καὶ ἐπίστευσαν εἰς ὃν αὐτὸς ἀπέστειλεν Ἰησοῦν Χριστόν. Τί δὲ πρὸς τὰ λόγια τοῦ Σωτῆρος ἀπεκρίθη ὁ νομικός;

Λουκ. ι. 29. **Ὁ δὲ θέλων δικαιοῦν ἑαυτὸν, εἶπε πρὸς τὸν Ἰησοῦν· Καὶ τίς ἐστί μου πλησίον;**

Ἆρά γε ἠγνόει ὁ νομικὸς, τίς ἐστιν ὁ πλησίον αὐτοῦ; ποία δὲ χρεία δικαιολογίας διὰ τὰ προειρημένα; καὶ πῶς διὰ τούτου τοῦ ἐρωτήματος ἐδικαιολόγει ἑαυτόν; Αὐτὸς, ὡς νομοδιδάσκαλος, ἐγίνωσκε βέβαια τίς ἐστιν ὁ πλησίον· ἐνόμισε δὲ, ὅτι χρείαν ἔχει δικαιολογίας, ἐπειδὴ εἶδεν, ὅτι ἡ ἀπόκρισις τοῦ Ἰησοῦ Χριστοῦ ἀπέδειξεν αὐτὸν ἀμαθῆ τῶν πρώτων τοῦ νόμου στοιχείων· πρὸς τούτοις δὲ ὑπενόησεν, ὅτι ὁ Ἰησοῦς Χριστὸς ἐγνώρισε τῆς πονηρίας αὐτοῦ τὸν σκοπόν. Ἐπειδὴ δὲ οἱ Ἰουδαῖοι πλησίον αὐτῶν ἐλογίζοντο οὐχὶ πάντα ἄνθρωπον, ἀλλὰ μόνους τοὺς ὁμογενεῖς καὶ φίλους αὐτῶν, διὰ τοῦτο καταφεύγει εἰς τοῦτο τὸ δεύτερον ἐρώτημα, ἵνα καὶ τὸν σκοπὸν αὐτοῦ κρύψῃ, καὶ φανῇ ἀθῷος τῆς διὰ τὴν ἀμάθειαν κατηγορίας· ἴσως δὲ ἐξεφώνησε τοῦτο τὸ δεύτερον ἐρώτημα, ἵνα παραστήσῃ ἑαυτὸν τοσοῦτον δίκαιον καὶ ἅγιον, ὥστε οὐδένα εἶχεν ὅμοιον καὶ πλησίον αὐτοῦ εἰς τῆς ἀρετῆς τὰ κατορθώματα. Ἐκ τούτου δὲ τοῦ ἐρωτήματος ὁ Ἰησοῦς ἀφορμὴν λαβὼν, ἀποκρίνεται οὕτως·

**Ὑπολαβὼν δὲ ὁ Ἰησοῦς, εἶπεν· Ἄνθρωπός τις κατέβαινεν ἀπὸ Ἱερουσαλὴμ εἰς Ἱεριχὼ, καὶ λῃσταῖς περιέπεσεν· οἳ καὶ ἐκδύσαντες αὐτὸν, καὶ πληγὰς ἐπιθέντες, ἀπῆλθον, ἀφέντες ἡμιθανῆ τυγχάνοντα.** Λουκ. ι. 30.

Διὰ τῆς ἀποκρίσεως ταύτης ἐδίδαξεν ὁ Ἰησοῦς, τίς ἐστιν ὁ πλησίον· διότι εἰπὼν, ἄνθρωπός τις, γενικῶς, εἶτα παραστήσας τὸν ἄνθρωπον ἐλεηθέντα οὐχ ὑπὸ Ἰουδαίου, ἀλλ' ὑπὸ Σαμαρείτου, ἐφανέρωσεν, ὅτι πᾶς ἄνθρωπος, διὰ τὴν ὁμοιότητα τῆς φύσεως, ἐστὶ πλησίον τοῦ ἀνθρώπου, καὶ εἰς πάντα ἄνθρωπον χρεωστοῦμεν τὴν ἀγάπην καὶ βοήθειαν· ἐδίδαξεν ὅμως διὰ τῆς αὐτῆς παραβολικῆς ἀποκρίσεως καὶ τὸ τῆς ἐνανθρωπήσεως αὐτοῦ ἔλεος πρὸς τὴν ἀνθρωπίνην φύσιν· διότι ὁ ἄνθρωπος, ὅστις κατέβαινεν ἀπὸ Ἱερουσαλὴμ εἰς Ἱεριχὼ, ἐστὶ πᾶσα ἡ ἀνθρωπίνη φύσις, ἡ διὰ τὴν ἁμαρτίαν τοῦ προπάτορος ἐκπεσοῦσα ἀπὸ τῆς Ἱερουσαλὴμ, ἤγουν ἀπὸ τῆς μακαρίας εἰρήνης καὶ ἀπαθείας, εἰς τὴν Ἱεριχὼ τὴν λακκώδη καὶ πνιγηρὰν διὰ τὸν

ἐν αὐτῇ καύσωνα, ἤγουν εἰς τὴν πολυπαθῆ καὶ βεβασανισμένην ταύτην γῆν. Οἱ Δαίμονες δὲ εἰσιν οἱ λῃσταί, οἱ ἐκδύσαντες αὐτὴν τῶν θείων χαρισμάτων, καὶ κατατραυματίσαντες διὰ τῶν πληγῶν τῆς ἁμαρτίας, καὶ καταστήσαντες αὐτὴν ἡμίθνητον. Εἶπε δὲ αὐτὴν ἡμίθνητον, ἢ καθότι ἡ μὲν ψυχή, καὶ μετὰ τὴν ἁμαρτίαν, ἔμεινεν ἀθάνατος, τὸ δὲ σῶμα ἐγένετο θνητόν, ἢ καθότι, μετὰ τὴν ἁμαρτίαν, μόλις ἐνθυμᾶτο τοῦ Θεοῦ, τοῦ ποιητοῦ αὐτῆς καὶ χορηγοῦ τῆς ζωῆς,
Ῥωμ. ε. 18. ἢ καθότι τῷ μὲν παραπτώματι τοῦ Ἀδὰμ ἀπέθανε, τῇ δὲ εἰς Χριστὸν ἐλπίδι ἔζη.

Λουκ. ι. 31. Κατὰ συγκυρίαν δὲ ἱερεύς τις
κατέβαινεν ἐν τῇ ὁδῷ ἐκείνῃ,
καὶ ἰδὼν αὐτὸν ἀντιπαρῆλθεν·
32. Ὁμοίως δὲ καὶ Λευΐτης, γε-
νόμενος κατὰ τὸν τόπον, ἐλ-
θὼν καὶ ἰδὼν, ἀντιπαρῆλθε.

Ὁ μὲν Ἱερεὺς σημαίνει τὸν Μωσαϊκὸν νόμον, τὸν νομοθετήσαντα τὰ περὶ Ἱερωσύνης· ὁ δὲ Λευΐτης, τοὺς Προφήτας, ὡς χρηματίσαντας ὑπουργοὺς τοῦ Θεοῦ, καὶ διδασκάλους τῶν ἀποκαλύψεων τῆς ἐν κόσμῳ παρουσίας τοῦ μονογενοῦς Υἱοῦ αὐτοῦ· τὸ δὲ κατὰ συγκυρίαν, τὸ κατὰ σύμβαμα καὶ παρερχόμενον σημαίνει, διότι παρῆλθεν ὁ νόμος, τῆς χάριτος ἐλθούσης. Οὐρανόθεν μὲν κατέβη ὁ νόμος, καὶ ἐδόθη εἰς τὸ Σινᾶ, ἐκ Θεοῦ δὲ καὶ οἱ Προφῆται ἐστάλθησαν, ὅμως οὐδὲ ὁ νόμος οὐδὲ οἱ Προφῆται ἐδύναντο ἐξαλεῖψαι τὴν ἁμαρτίαν, καὶ ἀναστῆσαι τὴν ἀνθρωπίνην φύσιν ἐκ τοῦ
Ἑβρ. ι. 4. ἐλεεινοῦ αὐτῆς πτώματος· Ἀδύνατον γὰρ αἷμα ταύρων καὶ τράγων ἀφαιρεῖν ἁμαρτίας. Ἦλθον οὖν καὶ ὁ νόμος καὶ οἱ Προφῆται εἰς τὴν ὁδὸν, καὶ εἰς τὸν τόπον, ἐν ᾧ ἐξωρίσθη ὁ ἄνθρωπος, ἤγουν εἰς τὴν γῆν, καὶ εἶδον τὴν ἀξιοδάκρυτον αὐτοῦ κατάστασιν, πλὴν ἀντιπαρῆλθον, τουτέστι ὑπεχώρησαν, μὴ δυνηθέντες τὰς πληγὰς αὐτοῦ θεραπεῦσαι.

Σαμαρείτης δέ τις ὁδεύων, ἦλ- Λουκ. ι.
θε κατ' αὐτὸν, καὶ ἰδὼν αὐ- 33.
τὸν ἐσπλαγχνίσθη. Καὶ προσ- 34.
ελθὼν κατέδησε τὰ τραύμα-
τα αὐτοῦ, ἐπιχέων ἔλαιον καὶ
οἶνον· ἐπιβιβάσας δὲ αὐτὸν
ἐπὶ τὸ ἴδιον κτῆνος, ἤγαγεν
αὐτὸν εἰς πανδοχεῖον, καὶ ἐ-
πεμελήθη αὐτοῦ.

Ὁ Σαμαρείτης σημαίνει τὸν τοῦ Θεοῦ μονογενῆ Υἱὸν καὶ Λόγον, τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, ὃν οἱ Ἰουδαῖοι Σαμαρείτην ὠνόμασαν, λέγοντες· Σαμαρείτης εἶ σὺ, καὶ Δαιμόνιον Ἰωάν. η.
ἔχεις. Αὐτὸς, ὁδεύων, εἴτουν κατερ- 48.
χόμενος ἐκ τῶν πατρικῶν κόλπων, κἂν ἐξ αὐτῶν οὐκ ἐχωρίσθη, ἦλθε κατ' αὐτὸν, ἤγουν εἰς τὸν κόσμον· ἰδὼν δὲ τὴν ἀθλίαν τοῦ ἀνθρώπου κατάστασιν, ἐσπλαγχνίσθη· εὐσπλαγχνία δὲ ἐστὶ τὸ ἔργον τοῦτο, διότι οὐκ ἐξ ἔργων τῶν Τίτ. γ.
ἐν δικαιοσύνῃ, ὧν ἐποιήσαμεν ἡ- 5.
μεῖς, ἀλλὰ κατὰ τὸν αὐτοῦ ἔλεον ἔσωσεν ἡμᾶς. Αὐτὸς, προσελθὼν, ὅπερ ἐστὶ μετὰ τῶν ἀνθρώπων συναναστραφεὶς, ἔδεσε τῇ αὐτοῦ χάριτι τῆς ψυχῆς τὰ τραύματα, καθὼς ὁ ἐπιστημονικὸς χειροῦργος τὰς πληγὰς τοῦ σώματος διὰ τῶν ἐπιδέσμων, ἐπιχέας ἐπ' αὐτῶν ἔλαιον, ἤτοι διδασκαλίαν φιλάν-
θρωπον, καὶ ἱλαράν· Δεῦτε πρός με Ματ. ια.
28.



πάν-

πάντες, λέγων, οἱ κοπιῶντες καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς· καὶ οἶνον, ἤγουν μάθημα δριμὺ καὶ φοβεριστικὸν, καθὼς τὸ, Ἀπόστητε ἀπ' ἐμοῦ πάντες οἱ ἐργάται τῆς ἀδικίας· ἢ ἔλαιον καὶ οἶνον νοήσεις τὴν τοῦ σώματος καὶ αἵματος αὐτοῦ μετάδοσιν. Αὐτὸς ἀνεβίβασεν ἐπὶ τὸ ἴδιον κτῆνος τὸν τετραυματισμένον, τουτέστιν ἀνέλαβε τὴν ἐκπεσοῦσαν ἀνθρωπίνην φύσιν, ποιήσας ἡμᾶς τοὺς εἰς αὐτὸν πιστεύοντας μέλη αὐτοῦ· διὸ καὶ ὁ μακάριος Παῦλος ἔγραφεν· Ὑμεῖς ἐστὲ σῶμα Χριστοῦ, καὶ μέλη ἐκ μέρους. Παρέδωκε δὲ ἡμᾶς εἰς πανδοχεῖον, ἤτοι εἰς τὴν Ἐκκλησίαν αὐτοῦ, ἥτις πανδοχεῖον λέγεται, ὡς δεχομένη πάντα τὰ ἔθνη, καὶ τὰ γένη, καὶ τὰς φυλὰς, καὶ τὰς γλώσσας, καὶ πάντα ἄνθρωπον, τὸν μετὰ πίστεως εἰς αὐτὴν προσερχόμενον. Ἐπεμελήθη δὲ τῶν ἐν τῇ Ἐκκλησίᾳ αὐτοῦ, δοὺς αὐτοῖς τὴν δωρεὰν τοῦ ἁγίου Πνεύματος, καὶ τῶν θαυμάτων τὴν χάριν, καὶ τῶν ἁγίων μυστηρίων τὴν μετάληψιν.

(Λουκ. ιγ'. 27. — Α'. Κορ. ιβ'. 27.)

(Λουκ. ι'. 35.) **Καὶ ἐπὶ τὴν αὔριον ἐξελθὼν, ἐκβαλὼν δύω δηνάρια, ἔδωκε τῷ πανδοχεῖ, καὶ εἶπεν αὐτῷ· Ἐπιμελήθητι αὐτοῦ· καὶ ὅ,τι ἂν προσδαπανήσῃς, ἐγὼ, ἐν τῷ ἐπανέρχεσθαί με, ἀποδώσω σοι.**

Πανδοχεὺς ἐστὶ πᾶς Ἀπόστολος, πᾶς διδάσκαλος τῆς Ἐκκλησίας, πᾶς ποιμὴν ἀληθινός· πανδοχεὺς δὲ λέγεται, ὡς δεχόμενος εἰς τὸ πανδοχεῖον τοῦ Θεοῦ, ἤγουν εἰς τὴν Ἐκκλησίαν, πάντας τοὺς προσερχομένους μετὰ πίστεως. Δύω δὲ δηνάριά εἰσιν αἱ δύω Διαθῆκαι, ἡ παλαιὰ Γραφὴ, καὶ τὸ ἱερὸν Εὐαγγέλιον· καὶ ὅσον μὲν ὁ Κύριος Ἰησοῦς ἔζη εἰς τὸν κόσμον τοῦτον, αὐτὸς ἐπεμελεῖτο τῆς Ἐκκλησίας αὐτοῦ, καθὼς αὐτὸς ἐβεβαίωσεν εἰπών· Ὅτε ἤμην μετ' αὐτῶν ἐν τῷ κόσμῳ, ἐγὼ ἐτήρουν αὐτοὺς ἐν τῷ ὀνόματί σου· ἐπὶ δὲ τὴν αὔριον ἐξελθὼν, ἤγουν ὅτε ἐξῆλθεν ἐκ τοῦ κόσμου τούτου, τότε διὰ τοῦ ἀποστολικοῦ κηρύγματος ἐκβαλὼν εἰς πᾶσαν τὴν οἰκουμένην ταῦτα τὰ δύο δηνάρια, παρέδωκεν αὐτὰ εἰς πάντας τοὺς τῆς Ἐκκλησίας αὐτοῦ ποιμένας, παραγγείλας αὐτοῖς, ἵνα δι' αὐτῶν ἐπιμελῶνται παντὶ τρόπῳ τὰ περὶ τῆς σωτηρίας τῶν πιστῶν· Ἐπιμελήθητι αὐτοῦ. Ὑπέσχετο δὲ διὰ τοὺς κόπους, καὶ ἀγῶνας, καὶ ἱδρῶτας αὐτῶν, ὅσους ἂν καταβάλωσιν ὑπὲρ τῆς τοιαύτης ἐπιμελείας, τὴν ἀνταπόδοσιν τότε, ὅταν ἔλθῃ πάλιν κρῖναι ζῶντας καὶ νεκρούς· Καὶ ὅ,τι ἂν προσδαπανήσῃς, ἐγὼ, ἐν τῷ ἐπανέρχεσθαί με, ἀποδώσω σοι.

(Ἰωάν. ιζ'. 12.)

(Λουκ. ι'. 30.) **Τίς οὖν τούτων τῶν τριῶν, πλησίον δοκεῖ σοι γεγονέναι τοῦ ἐμπεσόντος εἰς τοὺς λῃστάς;**

Μετὰ ταύτην τὴν διήγησιν, αὐτὸν τὸν νομικὸν, τὸν ἐρωτήσαντα, Τίς ἐστί μου πλησίον, κατέστησε κριτὴν περὶ τοῦ, τίς ἐστιν ὁ πλησίον αὐτοῦ· Τίς οὖν, εἶπε, τούτων τῶν τριῶν, φαίνεταί σοι πλησίον τοῦ ἐμπεσόντος εἰς τοὺς λῃστάς; ὁ Ἱερεὺς, ἢ ὁ Λευΐτης, οἵτινες, ἰδόντες αὐτὸν γυμνὸν, καὶ τετραυματισμένον, καὶ ἡμιθανῆ, ὑπεχώρησαν, ἢ ὁ Σαμαρείτης, ὅστις ἔδειξεν εἰς αὐτὸν τοσαύτην ἀγάπην, καὶ περιποίησιν, καὶ ἔλεος;

Λουκ. ί. 37. Ὁ δὲ εἶπεν· Ὁ ποιήσας τὸ ἔλεος μετ' αὐτοῦ· εἶπεν οὖν αὐτῷ ὁ Ἰησοῦς· Πορεύου, καὶ σὺ ποίει ὁμοίως.

Ὁ μὲν νομικὸς ἠναγκάσθη ὑπὸ τῆς δυνάμεως τῶν λόγων τοῦ Ἰησοῦ Χριστοῦ ὁμολογῆσαι τὴν ἀλήθειαν· Ἐκεῖνός ἐστι πλησίον, εἶπεν, ὅστις ἐποίησε τὸ ἔλεος εἰς τὸν περιπεσόντα εἰς τοὺς λῃστάς, ἤγουν ὁ Σαμαρείτης. Ὁ δὲ Ἰησοῦς, ἀκούσας, ὅτι ὁ νομικὸς ἔκρινεν ὀρθῶς, εἶπε πρὸς αὐτόν· Πορεύου, ποίει καὶ σὺ ἔλεος πρὸς τὸν πλησίον σου, καθὼς καὶ ὁ Σαμαρείτης· Πορεύου, καὶ σὺ ποίει ὁμοίως.

# ΟΜΙΛΙΑ

ΜΕΤΑ ΤΟ ΚΑΤΑ

# ΛΟΥΚΑΝ

## ΕΥΑΓΓΕΛΙΟΝ ΤΗΣ Η'. ΚΥΡΙΑΚΗΣ.

Ἡ πρὸς τὸν νομικὸν παραβολικὴ ἀπόκρισις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, διὰ χρωμάτων τοσούτων ἀνθηρῶν καὶ ζώντων ἐζωγράφησε τὴν πρὸς τοὺς ἀνθρώπους εὐσπλαγχνίαν τοῦ Θεοῦ, ὥστε ἐξεδίωξε τὸν διὰ τὴν ἁμαρτίαν θλιβερὸν ἀπελπισμόν, καὶ εἰσήγαγεν εἰς τὴν καρδίαν παντὸς ἀνθρώπου τὴν χαροποιὸν τῆς σωτηρίας ἐλπίδα· ὅθεν ὁ θεσπέσιος Παῦλος μετὰ παῤῥησίας καὶ χαρᾶς ἐκήρυττεν· (Ῥωμ. έ. 10.) Εἰ γὰρ ἐχθροὶ ὄντες κατηλλάγημεν τῷ Θεῷ διὰ τοῦ θανάτου τοῦ Υἱοῦ αὐτοῦ, πολλῷ μᾶλλον καταλλαγέντες, σωθησόμεθα ἐν τῇ ζωῇ αὐτοῦ. Βλέπομεν δὲ ταύτην τοῦ Θεοῦ τὴν εὐσπλαγχνίαν οὐ μόνον εἰς τὸ μυστήριον τῆς ἐνανθρωπήσεως τοῦ μονογενοῦς Υἱοῦ αὐτοῦ, δι' ἧς ἀνεκάλεσε πρὸς τὴν αἰώνιον βασιλείαν ὅλον τὸ ἐξ αὐτῆς ἐξορισθὲν ἀνθρώπινον γένος, ἀλλὰ καὶ εἰς πάντα ἄνθρωπον τὸν διὰ τὰς ἁμαρτίας καὶ ἀνομίας ἀπομεμακρυμένον ἀπ' αὐτοῦ.

Πλήρης ἐστὶν ἡ παλαιὰ Διαθήκη, πλήρης ἡ νέα λόγων καὶ παραδειγμάτων, βεβαιούντων τὴν πρὸς τοὺς ἁμαρτωλοὺς εὐσπλαγχνίαν τοῦ Θεοῦ. Διὰ τοῦ προφητικοῦ κηρύγματος προσεκάλει ὁ Πανεύσπλαγχνος πάντας τοὺς ἁμαρτωλοὺς μεγάλῃ τῇ φωνῇ, λέγων· (Ἰεζ. ιδ. 6.) Τάδε λέγει Κύριος, Κύριος, ἐπιστράφητε καὶ ἀποστρέψατε ἀπὸ τῶν ἐπιτηδευμάτων ὑμῶν, καὶ ἀπὸ πασῶν τῶν ἀνομιῶν ὑμῶν, καὶ ἐπιστρέψατε τὰ πρόσωπα ὑμῶν· ὥσπερ δὲ λυπούμενος ὑπὲρ τῆς ἀπωλείας αὐτῶν, ἔλεγεν· (Αὐτ. λγ'. 11.) Οὐ βούλομαι τὸν θάνατον τοῦ ἀσεβοῦς, ὡς ἀποστρέψαι τὸν ἀσεβῆ ἀπὸ τῆς ὁδοῦ αὐτοῦ, καὶ ζῆν αὐτόν· ἀποστροφῇ ἀποστρέψατε ἀπὸ τῆς ὁδοῦ ὑμῶν· καὶ ἵνα τί ἀποθνήσκετε οἶκος Ἰσραήλ; ἵνα δὲ ἐμβάλῃ θάῤῥος εἰς τὴν καρδίαν τῶν ἁμαρτωλῶν, καὶ προτρέψῃ αὐτοὺς εἰς μετάνοιαν, ὑπόσχεται νὰ ἐπιστρέψῃ πάλιν καὶ αὐτὸς πρὸς αὐτούς· (Ζαχ. ά. 3.) Ἐπιστρέψατε πρός με, λέγει Κύριος τῶν δυνάμεων, καὶ ἐπιστραφήσομαι

μαι πρὸς ὑμᾶς, λέγει Κύριος τῶν
δυνάμεων. Ἵνα δὲ μήτις, στοχαζόμε-
νος τὸ πολυχρόνιον καὶ δυσκάθαρτον τῶν
ἁμαρτημάτων αὐτοῦ, διστάζῃ περὶ τῆς
καθάρσεως καὶ ἀφέσεως αὐτῶν, ἐπρό-
βαλε τὸ παράδειγμα τοῦ ἐρυθροῦ καὶ
τοῦ κοκκίνου χρώματος, τὸ ὁποῖον δυ-
σκολώτατα μεταβάλλεται εἰς τὸ λευκὸν
χρῶμα τῆς χιόνος, καὶ εἰς τὸ τῶν τρι-
Ἡσ. ά. 18. χῶν τοῦ προβάτου, καὶ εἶπε· Δεῦτε
διαλεχθῶμεν, λέγει Κύριος· Καὶ
ἐὰν ὦσιν αἱ ἁμαρτίαι ὑμῶν ὡς
φοινικοῦν, ὡς χιόνα λευκανῶ· ἐὰν
δὲ ὦσιν ὡς κόκκινον, ὡς ἔριον
λευκανῶ.

Βλέπομεν δὲ τὰς περὶ τῆς εὐσπλαγ-
χνίας ὑποσχέσεις τοῦ Θεοῦ ἐξ ὁλοκλή-
ρου πεπληρωμένας εἰς τὴν συγχώρησιν
τῶν ἁμαρτιῶν. Μέγα καὶ φρικῶδες τῆς
μοιχείας τὸ ἁμάρτημα· τοῦτο καὶ οἱ ἐ-
θνικοὶ ἀσύγγνωστον λογιζόμενοι, αὐστη-
ρῶς τοὺς εἰς αὐτὸ πεσόντας ἐπαίδευον·
μαρτυρεῖ τοῦτο εἷς τῶν νόμων, τῶν ἐν
τοῖς δώδεκα πίναξι τῶν Ῥωμαίων, καὶ
αὐτὸς ὁ λεγόμενος τῆς Ἰουλίας νόμος.
Οἱ Αἰγύπτιοι τῆς μὲν μοιχαλίδος ἔκοπ-
τον τὴν ῥῖνα, τὸν δὲ μοιχὸν ἐράβδιζον,
Ὀρ. Διοδ. Σικ. βιβ. ι'. χιλίας πληγὰς ἐπιθέντες. Οἱ Λοκροὶ
τοὺς μοιχευομένους ἐξετύφλουν· οἱ δὲ
Ὀρ. Οὐαλ. Μαξ. β. Κροτωνιᾶται κατέκαιον. Αὐτὸ τὸ ἁμάρ-
6. κ. 5. τημα ἐμβάζει εἰς τὸν οἶκον ξένον κλη-
ρονόμον· αὐτὸ χωρίζει, οὓς ὁ Θεὸς συ-
νέζευξεν, ἤγουν τὸν ἄνδρα ἀπὸ τῆς γυ-
ναικὸς αὐτοῦ· αὐτὸ πολλάκις ἐξήλειψεν
ὁλοκλήρους οἰκίας, καὶ ἐξήγειρε φθορο-
ποιοὺς πολέμους εἰς ὁλόκληρα γένη· δι'
αὐτὸ ἐδιώρισεν ὁ Θεὸς κατάραν ἰδιάζου-
Ἱερ. κθ'. 22. σαν καὶ φρικτήν· Καὶ λήψονται, λέ-
γει ὁ Θεὸς, ἀπ' αὐτῶν, ἤγουν ἀπὸ τοῦ
Ἀχαὰβ καὶ τοῦ Σεδεκίου, παράδειγμα
κατάρας ἐπὶ τοὺς μοιχοὺς, λέγοντες·
Ποιήσαί σε Κύριος ὡς Σεδεκίαν
ἐποίησε, καὶ ὡς Ἀχαὰβ, οὓς ἀπε-
τηγάνισε Βασιλεὺς Βαβυλῶνος ἐν
πυρί. Τοῦτο τὸ ἁμάρτημα, τὸ τοσοῦ-
τον παροργίζον τὸν Θεὸν κατ' ἐκείνου,
ὅστις ἔχει μίαν μόνην γυναῖκα, πολλῷ
μᾶλλον παρώργισεν αὐτὸν κατὰ τοῦ Δα-
βὶδ, ὅστις εἶχε πολλὰς γυναῖκας καὶ
παλλακίδας.

Διὰ τὸν φόνον βοᾷ ἐκ τῆς γῆς ἡ Γεν. δ'.
φωνὴ τοῦ ἐκχυθέντος αἵματος. Κατὰ 10.
τοῦ φονέως ὀργισθεὶς ὁ Θεὸς, κατηρά-
σατο αὐτὸν, Ἐπικατάρατος σύ· τὸν Αὐτ. 11,
φονέα ἐτιμώρησε δι' ἀναστεναγμοῦ καὶ τρό- 12.
μου, Στένων καὶ τρέμων ἔσῃ ἐπὶ
τῆς γῆς· τὸν φονέα ἐσημείωσε, Καὶ ἔθε- Αὐτ. 15.
το Κύριος ὁ Θεὸς σημεῖον τῷ Κάϊν.
Ὁ φόνος, ὃν ἐποίησεν ὁ Δαβὶδ, οὐκ ἦν
φόνος ἀπρομελέτητος, ἀλλὰ φόνος προ-
μεμελετημένος καὶ προκατεσκευασμένος·
οὐκ ἦν φόνος γεγεννημένος ἐκ τῆς σκοτο-
μήνης τοῦ θυμοῦ, ἢ ἐκ τῆς αἰφνιδίου
συναρπαγῆς τοῦ φθόνου, ἀλλὰ φόνος,
υἱὸς τῆς σαρκικῆς ἐπιθυμίας, καὶ τοῦ
πόθου τῆς ἁρπαγῆς τῆς ξένης γυναικός.
Αὐτὸς ἐφόνευσεν ἄνθρωπον οὐχὶ ἐχθρὸν,
ἀλλὰ φίλον, οὐχὶ ὕποπτον, ἀλλὰ πι-
στὸν τῆς βασιλείας δοῦλον, οὐ πονηρὸν Β'. Βασιλ.
καὶ διεστραμμένον, ἀλλ' ἀγαθὸν, καὶ τὸν ιά. 11.
Θεὸν φοβούμενον. Ὁ φόνος, ὃν ἐποίησεν
ὁ Δαβὶδ, οὐκ ἦν φόνος ἑνὸς μόνου ἀν-
θρώπου, ἀλλὰ φόνος πολλῶν ἐκ τοῦ
λαοῦ, ὅσοι κατὰ τὴν προσταγὴν αὐτοῦ
ἐτάχθησαν μετὰ τοῦ Οὐρίου ἐξ ἐναν- Αὐτ. 15,
τίας τοῦ πολέμου τοῦ κραταιοῦ. 17.
Αὗται αἱ περιστάσεις ἐβάρυναν ταῦτα
τὰ δύω ἁμαρτήματα, τὰ καὶ καθ' αὐτὰ
μεγάλα καὶ βαρύτατα· ἐβάρυνε δὲ ταῦ-
τα ἔτι περισσότερον αὐτὸ τοῦ Δαβὶδ τὸ
πρόσωπον.

Ὁ Δαβὶδ, Βασιλεὺς, ὁ δὲ Βασιλεὺς
ἐστὶ τὸ παράδειγμα παντὸς τοῦ λαοῦ
αὐτοῦ. Ὁ Δαβὶδ, ἐπειδὴ τὸν νόμον τοῦ
Θεοῦ εἶχε μελέτημα, ἐγνώριζεν ὑπὲρ Ψαλ. ρκή.
πάντα ἄνθρωπον τούτων τῶν ἁμαρτιῶν 174.
τὸ

τὸ βάρος. Ὁ Δαβὶδ, κατ' ἐξοχὴν εὐηργετημένος ὑπὸ Θεοῦ, διότι ὁ Θεὸς ἐξελέξατο αὐτὸν ἐκ τῶν ποιμνίων τῶν προβάτων, καὶ ἐφύλαξεν αὐτὸν ἐκ τῆς κραταιᾶς τοῦ Σαοὺλ καταδρομῆς, καὶ ἀνεβίβασεν αὐτὸν εἰς τὸν θρόνον τῆς βασιλείας τοῦ Ἰσραήλ. Ὁ Δαβὶδ χάριτος Θεοῦ πεπληρωμένος, ἥτις καὶ ἐφώτιζε καὶ ἐνίσχυεν αὐτὸν κατὰ πάσης ἁμαρτίας. Καὶ ὅμως ὁ τοσοῦτος καὶ τοιοῦτος ἄνθρωπος, μηδὲν στοχασθεὶς τὸ σκάνδαλον, σβύσας τὸ φῶς τῆς γνώσεως αὐτοῦ, παραβλέψας τὰς εὐεργεσίας τοῦ Θεοῦ, ἔπραξε ταῦτα τὰ δύω φρικώδη ἁμαρτήματα, συνωδευμένα μετὰ ἀνόμων περιστάσεων.

Ἀλλὰ ὁ Δαβὶδ, ὑπὸ τοῦ προφήτου Νάθαν νουθετηθεὶς, μετανοεῖ, καὶ βοᾷ
Β΄. Βασ. τὸ, ἥμαρτον· Καὶ εἶπε Δαβὶδ τῷ Νά-
ιβ΄. 13. θαν· Ἡμάρτηκα τῷ Κυρίῳ. Βλέπε νῦν τὴν ἄπειρον εὐσπλαγχνίαν τοῦ Θεοῦ ἐνεργουμένην, βλέπε τὸ ἀμέτρητον αὐτοῦ ἔλεος, βλέπε πῶς οὐδεμία ἁμαρτία νικᾷ τὴν εὐσπλαγχνίαν αὐτοῦ· Καὶ εἶπε Νάθαν πρὸς Δαβίδ· Καὶ Κύριος παρεβίβασε τὸ ἁμάρτημά σου· οὐ μὴ ἀποθάνῃς.

Ἐὰν δὲ στοχασθῇς τὸ πλῆθος καὶ τὸ βάρος τῶν ἁμαρτημάτων τοῦ Μανασσῆ, καὶ τὸ, πότε αὐτὸς εἰς ἑαυτὸν ἐπιστρέψας μετενόησε, καὶ ποίας συγχωρήσεως ἔτυχε, τότε βλέπεις φανερὰ, ὅτι ἀπέραντά εἰσι τῆς εὐσπλαγχνίας τοῦ Θεοῦ τὰ ὅρια. Ἄρνησις τοῦ ἀληθινοῦ Θεοῦ, καὶ ἀθέτησις τῶν τοῦ νόμου διαταγμάτων· οἰκοδομαὶ εἰδωλικῶν θυσιαστηρίων εἰς πάντα τόπον ὑψηλὸν, καὶ
Δ΄. Βασ. εἰς τὸν οἶκον τοῦ Κυρίου, καὶ εἰς τὰς
κα΄. 3. δύω αὐλὰς τοῦ οἴκου Κυρίου· ἀναστή-
Αὐτ. 4, 5. λωσις γλυπτοῦ εἰδώλου εἰς αὐτὸν τὸν
Αὐτ. 7. οἶκον τοῦ Θεοῦ· προσκύνησις καὶ λα-
Αὐτ. 3. τρεία πάσης τῆς δυνάμεως τοῦ οὐρανοῦ,
Αὐτ. 6. ἤγουν πάντων τῶν ἀστέρων· διάβασις τῶν τέκνων διὰ μέσου τοῦ πυρὸς, καὶ
κληδονισμοὶ, καὶ οἰωνισμοὶ, καὶ μαγεῖαι, Δ΄. Βασ. 2.
καὶ μαντεῖαι, καὶ πάντα τὰ τῶν εἰδωλολατρῶν βδελύγματα· πλάνησις εἰδωλολατρείας εἰς τὴν ὀρθόδοξον φυλὴν τοῦ Β΄.Παραλ. λγ΄. 9.
Ἰούδα· σφαγὴ τῶν θεοφοβουμένων, τῶν μὴ θελησάντων εἰδωλολατρεῦσαι, καὶ σφαγὴ τοσαύτη, ὥστε ἐπληρώθη ἡ Ἱερουσαλὴμ στόμα εἰς στόμα. Ταῦ- Δ΄. Βασ.
τά εἰσιν ἐξαίσια καὶ μέγιστα ἁμαρτή- κα΄. 16.
ματα· ταῦτα δὲ πάντα ἔπραξεν ὁ Μανασσῆς. Ὁ Θεὸς ἐλάλησε καὶ ἐκάλεσεν αὐτὸν εἰς μετάνοιαν, καὶ ἐφοβέρισεν αὐτὸν διὰ τῶν ἁγίων Προφητῶν, πλὴν αὐτὸς οὐχ ὑπήκουσεν ὁλοτελῶς, ἀλλ' ἔμεινεν ἀδιόρθωτος καὶ ἀμετανόητος. Ἔρχονται εἰς τὴν Ἱερουσαλὴμ οἱ Ἄρχοντες
τοῦ Βασιλέως Ἀσσοὺρ, καὶ δεσμεύ- Β΄.Παραλ.
σαντες τὸν Μανασσῆ ἁλύσεσι, φέρουσιν λγ΄. 10, 11.
αὐτὸν εἰς τὴν Βαβυλῶνα αἰχμάλωτον καὶ δέσμιον. Εἰς τοιαύτας περιστάσεις ἡ μετάνοια οὐκ ἔστιν αὐτοπροαίρετος, ἀλλ' ἠναγκασμένη καὶ βεβιασμένη· τότε καὶ ὁ σκληροκαρδιώτατος κάμπτεται, καὶ μνημονεύει τοῦ Θεοῦ· τότε δὲ μόνον ὁ Μανασσῆς, ὑπὸ τῶν ἐλεεινῶν περιστάσεων
ἀναγκαζόμενος, ἐζήτησε τὸ πρόσω- Αὐτόθι.
πον Θεοῦ τοῦ Κυρίου αὐτοῦ· ἰ- 12.
σχύει ὅμως καὶ ἡ τοιαύτη μετάνοια· οὐκ ἐδυνήθησαν τὰ πολλὰ καὶ θεοστυγῆ αὐτοῦ ἁμαρτήματα νικῆσαι τὴν εὐσπλαγ-
χνίαν τοῦ Θεοῦ, ἀλλ' ἐπήκουσε, λέ- Αὐτ. 13.
γει, ὁ Θεὸς αὐτοῦ, καὶ ἐπήκουσε τῆς βοῆς αὐτοῦ· οὐ μόνον δὲ τὰς ἁμαρτίας αὐτοῦ ἐσυγχώρησεν ὁ Θεὸς, ἀλλὰ καὶ ἐπέστρεψεν αὐτὸν εἰς Ἱερουσαλὴμ ἐπὶ τὴν βασιλείαν αὐτοῦ· ὢ ἄβυσσος εὐσπλαγχνίας Θεοῦ!

Ἐὰν δὲ ἀνοίξω τὸ ἱερὸν Εὐαγγέ-
λιον, βλέπω ἐκεῖ τὸν ποιμένα, τρέχον- Ματ. ιη΄.
τα ἐπάνω εἰς τὰ ὄρη, καὶ ζητοῦντα τὸ 12.
πρόβατον τὸ ἀπολωλός· βλέπω τὸν μὲν Αὐτ. 23.
δοῦλον τὸν κατάχρεων, ζητοῦντα μακροθυ-

θυμίαν διὰ τὴν ἀπόδοσιν τοῦ χρέους,
τὸν δὲ Βασιλέα καὶ Δεσπότην οὐ μόνον
μακροθυμοῦντα, ἀλλὰ καὶ δωρούμενον
αὐτῷ πάντα ὅσα ἐχρεώστει· βλέπω τὸν
μὲν ἄσωτον υἱὸν, καταφαγόντα τὸν βίον
αὐτοῦ μετὰ πορνῶν, καὶ καταδαπανή-
σαντα πᾶσαν τὴν περιουσίαν αὐτοῦ ἐν
ταῖς ἀσωτείαις, ἔπειτα εἰς ἑαυτὸν ἐλ-
θόντα καὶ μετανοήσαντα, τὸν δὲ πανεύ-
σπλαγχνον αὐτοῦ πατέρα ἰδόντα αὐτὸν
μακρόθεν, καὶ μετὰ σπουδῆς συναντή-
σαντα, καὶ πεσόντα εἰς τὸν τράχηλον
αὐτοῦ, καὶ ἐναγκαλίσαντα αὐτὸν, καὶ
ἐνδύσαντα τὴν στολὴν τὴν πρώτην, καὶ
θέντα δακτύλιον εἰς τὴν χεῖρα αὐτοῦ,
καὶ ὑποδήματα εἰς τοὺς πόδας, καὶ σφά-
ξαντα τὸν μόσχον τὸν σιτευτὸν, καὶ ἑ-
τοιμάσαντα τράπεζαν, καὶ εὐφρανθέντα,
Λουκ. ιε. καθότι ὁ υἱὸς αὐτοῦ νεκρὸς ἦν, λέγει,
32. καὶ ἀνέζησε, καὶ ἀπολωλὼς ἦν,
καὶ εὑρέθη. Τί ἄλλο δὲ σημαίνουσι
ταῦτα, εἰμὴ τὴν πρὸς τοὺς ἁμαρτωλοὺς
ἀνεκδιήγητον τοῦ Θεοῦ εὐσπλαγχνίαν;
Καὶ ταῦτα μὲν ἐλάλησεν ὁ Κύριος ἡ-
μῶν παραβολικῶς, σὺ δὲ βλέπε καὶ ὅσα
ἐγράφησαν εἰς τὸ Εὐαγγέλιον αὐτοῦ ἱ-
στορικῶς.

Ἴδε ἐκεῖ. Ὁ Ζακχαῖος συκοφαντεῖ,
Αὐτ. ιθ΄. ἀδικεῖ, ἁρπάζει, ἀλλ᾽ ἀναβαίνει εἰς τὴν
4. συκομορέαν, ἵνα ἴδῃ τὸν ἐκεῖθεν διερχό-
μενον Ἰησοῦν· ὁ δὲ Ἰησοῦς εὐθὺς καλεῖ
Αὐτ. 5. αὐτὸν κατ᾽ ὄνομα· Ζακχαῖε, λέγει,
σπεύσας κατάβηθι· σήμερον γὰρ
ἐν τῷ οἴκῳ σου δεῖ με μεῖναι. Ἔ-
πειτα εἰσελθὼν εἰς τὸν οἶκον αὐτοῦ, συγ-
χωρεῖ πάσας τὰς ἁμαρτίας αὐτοῦ καὶ
εὐαγγελίζει αὐτῷ τῆς ψυχῆς αὐτοῦ τὴν
Αὐτ. 9. σωτηρίαν· Σήμερον, λέγει, σωτηρία
τῷ οἴκῳ τούτῳ ἐγένετο. Ἡ πόρνη,
μετὰ τὰς πολλὰς ἁμαρτίας, πλύνει τοὺς
πόδας τοῦ Ἰησοῦ τοῖς δάκρυσι, καὶ σπογ-
γίζει αὐτοὺς ταῖς θριξὶ τῆς κεφαλῆς αὐ-
τῆς, καὶ ἀλείφει αὐτοὺς τῷ μύρῳ· ὁ δὲ
Ἰησοῦς συγχωρεῖ εὐθὺς τὸ πλῆθος τῶν
ἁμαρτιῶν αὐτῆς· Ἀφέωνται, λέγει εἰς Λουκ. ζ΄.
τὸν Σίμωνα, αἱ ἁμαρτίαι αὐτῆς αἱ 47.
πολλαί. Ὁ Πέτρος κλαίει πικρῶς διὰ Αὐτ. κβ΄.
τὴν μεθ᾽ ὅρκου ἄρνησιν, ὁ δὲ Ἰησοῦς ἀ- 62.
ναβιβάζει αὐτὸν πάλιν εἰς τὸ ἀποστο-
λικὸν ἀξίωμα. Ὁ Τελώνης στενάζει, Αὐτ. ιη.
καὶ τύπτει τὸ στῆθος αὐτοῦ ἔμπροσθεν 13, 14.
τοῦ Ἱεροῦ, καταβαίνει δὲ ἐκ τοῦ Ἱεροῦ
δεδικαιωμένος. Ὁ Λῃστὴς μίαν φωνὴν
ἐξεβόησεν ἐν τῷ σταυρῷ κρεμάμενος·
Μνήσθητί μου, Κύριε, εἶπεν, ὅταν Αὐτ. κγ΄.
ἔλθῃς ἐν τῇ βασιλείᾳ σου, καὶ ἤ- 42, 43.
κουσεν εὐθὺς τὸ, Ἀμὴν, λέγω σοι,
σήμερον ἔσῃ μετ᾽ ἐμοῦ ἐν τῷ πα-
ραδείσῳ. Μία φωνὴ ἑνὸς ἁμαρτωλοῦ
ἀνοίγει τὸν διὰ τὰς ἁμαρτίας αὐτοῦ κε-
κλεισμένον παράδεισον.

Τίς δὲ δύναται νὰ ἐπαριθμήσῃ πάν-
τα τὰ παραδείγματα τῆς εὐσπλαγχνίας
τοῦ Θεοῦ, ὅσα περιέχουσιν αἱ θεῖαι Γρα-
φαί; Αὐτὰ εὐδοκίᾳ Θεοῦ ἐγράφησαν εἰς
τὰς θείας Γραφὰς πρὸς σωτηρίαν τῶν
ἀνθρώπων· ὅμως οἱ ἄνθρωποι, μεριζό-
μενοι εἰς δύω κόμματα, μετέρχονται αὐ-
τὰ εἰς ἀπώλειαν τῆς ψυχῆς αὐτῶν. Οἱ
μὲν, ἀκούοντες τὰ ἄμετρα παραδείγμα-
τα τῆς πρὸς τοὺς ἁμαρτωλοὺς ἀπείρου
εὐσπλαγχνίας τοῦ Θεοῦ, λύουσι τῆς ἁ-
μαρτίας τὸν χαλινὸν, καὶ πράττουσι πᾶ-
σαν ἁμαρτίαν ἀφόβως· Ὁ Θεὸς, λέγου-
σιν, ἐστὶν εὔσπλαγχνος, οὐδεμία ἁμαρ-
τία νικᾷ τὴν εὐσπλαγχνίαν αὐτοῦ, λοι-
πὸν εἰς τὴν ὥραν τοῦ θανάτου βοῶμεν
καὶ ἡμεῖς, ὥσπερ ὁ Λῃστὴς, τὸ, Μνή-
σθητί μου, Κύριε, ὅταν ἔλθῃς ἐν
τῇ βασιλείᾳ σου, αὐτὸς δὲ ὡς ἀπει-
ροεύσπλαγχνος συγχωρεῖ τὰς ἁμαρτίας
ἡμῶν, λέγει δὲ καὶ εἰς ἡμᾶς τὴν συμ-
παθεστάτην αὐτοῦ φωνήν· Ἀμὴν, λέ-
γω σοι, σήμερον μετ᾽ ἐμοῦ ἔσῃ ἐν
τῷ παραδείσῳ. Οἱ δὲ, μὴ δυνάμενοι
κατανοῆσαι πῶς ὁ Θεός ἐστι δίκαιος ἅ-
μα

·μα καὶ εὔσπλαγχνος, καὶ πῶς ἐνεργεῖ ἡ εὐσπλαγχνία, καὶ οὐδὲν βλάπτεται ἡ δικαιοσύνη, βλέποντες δὲ καὶ τὰ φοβερὰ τῶν ἁμαρτωλῶν παιδευτήρια, καὶ στοχαζόμενοι τὸ πλῆθος τῶν ἁμαρτιῶν αὐτῶν, ἀπελπίζονται παντελῶς· Πῶς ἄν, λέγει ὁ αἱρετικὸς Ναυάτος ὁ τὴν μετάνοιαν ἀρνούμενος, καὶ ὁ μαθητὴς αὐτοῦ ὁ ἀπελπιζόμενος, πῶς ἂν ὁ Θεὸς συγχωρήσῃ τὰ ἁμαρτήματα τῆς νεότητός μου, ἀσελγείας, ὑπερηφανείας, φιλοδοξίας, φθόνους, ψεύδη, κατακρίσεις, καὶ τὰ λοιπά; ἐὰν ἔπαυον, κἂν ἐξότου κατήντησα εἰς τὴν ἀνδρικὴν ἡλικίαν, ἐὰν ἔπαυον, κἂν εἰς τὸ γῆράς μου· ἀλλ' ἐγὼ καθ' ἑκάστην ἡμέραν ἐπανακυλίομαι εἰς τὰ αὐτὰ ἁμαρτήματα, μᾶλλον δὲ καὶ προστίθημι ἄλλα νέα καὶ βαρύτερα· ποσάκις ἀπεφάσισα, ἵνα ἀφήσω τὴν κατακυριεύουσάν μου ἁμαρτίαν; ποσάκις ὑπεσχέθην τῷ Θεῷ τὴν τελείαν ἀποχὴν τῶν ἁμαρτημάτων μου, εἶτα ἐψεύσθην ἐνώπιον αὐτοῦ, ἀντὶ δὲ τῆς ἀποχῆς, ἔπεσα εἰς τὰ αὐτά, ἔτι δὲ καὶ εἰς χείρονα καὶ βαρύτερα ἀνομήματα; πῶς λοιπὸν νὰ ἐλπίσω τοῦ δικαιοτάτου Κριτοῦ τὴν συγχώρησιν;

Αὐθάδειαν ὑπερβολικὴν βλέπω εἰς τοὺς πρώτους, ἀπελπισμὸν τέλειον εἰς τοὺς δευτέρους· ταῦτα δέ εἰσι δύω ἄκρα κακά· καὶ ὁ αὐθάδης κατακρίνεται, καὶ ὁ ἀπηλπισμένος κολάζεται. Αὐθάδη σύ, ὅστις, κακῶς μετερχόμενος τὴν εὐσπλαγχνίαν τοῦ Θεοῦ, περιμένεις τὴν ὥραν τοῦ θανάτου σου, ἵνα μετανοήσῃς, ὡς ὁ Ληστὴς ἐν τῷ σταυρῷ, καὶ λάβῃς ὡς αὐτὸς τὸν παράδεισον· ἐὰν μὲν ἀποδείξῃς, ὅτι καὶ ὁ Ληστὴς ἐπραγματεύετο τὴν σωτηρίαν τῆς ψυχῆς αὐτοῦ, καὶ περιέμενε τὴν ὥραν τοῦ θανάτου, καθὼς σύ, ἵνα μετανοήσῃ, καλῶς ἔχει, τρέχε τῆς ἀπωλείας σου τὸν δρόμον· ἀλλ' ἐπειδὴ τοῦτο οὐδεμίαν ἔχει ἀπόδειξιν, σὺ δέ, πραγματευόμενος τὴν σωτηρίαν σου, παροργίζεις τὸν Θεόν, φανερόν ἐστιν, ὅτι πλανᾶσαι, καὶ μένεις ἀσυγχώρητος. Ἐὰν ἔχῃς ἀναμφίβολον βεβαιότητα, ὅτι δύνασαι, εἰς τὴν ὥραν τοῦ θανάτου σου, νὰ μετανοήσῃς, ὡς ὁ καλὸς Ληστής, καὶ νὰ ἐκβοήσῃς, ὡς αὐτός, μετὰ τῆς αὐτῆς κατανύξεως καὶ συντριβῆς τῆς καρδίας τό, Μνήσθητί μου, Κύριε, ὅταν ἔλθῃς ἐν τῇ βασιλείᾳ σου, καλῶς ἔχει, τρέχε τῆς ἀπωλείας σου τὸν δρόμον· πλὴν στῆθι, καὶ ἄκουσόν μου· διατί προσήλωσας τὰ ὄμματά σου εἰς μόνον τὸν καλὸν Ληστήν; στρέψον αὐτὰ εἰς τὸ ἄλλο μέρος, καὶ ἴδε καὶ τὸν πονηρὸν Ληστήν, καὶ ἄκουσον πῶς ἀποθνήσκει, ἔχων τὰς βλασφημίας εἰς τὸ στόμα· διατί ἐλπίζεις, ὅτι ἀποθνήσκεις, ὡς ὁ καλὸς Ληστής, κραυγάζων τῆς μετανοίας τὴν φωνήν, καὶ οὐ φοβεῖσαι μὴ τύχῃ καὶ ἀποθάνῃς, ὡς ὁ κακὸς Ληστής, βοῶν τῆς βλασφημίας τὰ λόγια; ἔστω, ὅτι καὶ τὰ δύω εἰσὶν ἐπίσης ἐνδεχόμενα· ἀλλ' ἐπάνω εἰς τὸ ἐνδεχόμενον κρεμᾷς τὴν αἰώνιον σωτηρίαν τῆς ψυχῆς σου; γίνωσκε ὅμως, ὅτι τὸ δεύτερον ἐστὶ πλέον ἐνδεχόμενον τοῦ πρώτου· διότι ὁ Προφήτης τοῦ Θεοῦ μεγαλοφώνως κραυγάζει, λέγων· Θάνατος ἁμαρτωλῶν πονηρός· (Ψαλ. λγ'. 21.) διὰ τοῦτο ἐπίστρεψαι πρὸς τὸν Θεόν, καὶ μετανόησον, ἕως οὗ ἔχεις καιρόν, καὶ μὴ περιμένῃς τὴν ὥραν τοῦ θανάτου, ἐν ᾗ ἀπολοῦνται πάντες οἱ διαλογισμοί σου. (Αυτ. ιμ. 3.)

Ὅσοι δὲ ἀπελπίζετε τὴν σωτηρίαν τῆς ψυχῆς ὑμῶν, στοχαζόμενοι τὸ πλῆθος τῶν ἀνομιῶν ὑμῶν, καὶ τὰ εἰς τὴν αὐτὴν ἁμαρτίαν πολλὰ καὶ πολυχρόνια ἐπανακυλίσματα, ἀκούσατε τί κράζει ὁ Παντοκράτωρ· Δεῦτε, λέγει, πρός με πάντες. (Ματ. ια'. 28.) Ἀκούετε, πῶς οὐδένα ἐξαιρεῖ, κἂν μεγάλας, κἂν πολλάς, κἂν πολυχρονίους ἔχῃ ἁμαρτίας; Πάντες, λέγει,

γει, μηδενὸς ἐξαιρουμένου· Δεῦτε πρός με πάντες· πάντας κράζει ἀδιαφόρως· ἀλλὰ ποίους πάντας; τοὺς κοπιῶντας καὶ δουλεύοντας τῇ ἁμαρτίᾳ, καὶ τοὺς πεφορτισμένους τὰ θανατηφόρα ἁμαρτήματα· Δεῦτε πρός με πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι. Διατί δὲ κράζει τοὺς τοιούτους; Ἵνα συγχωρήσῃ τὰς ἁμαρτίας αὐτῶν, καὶ ἀναπαύσῃ αὐτοὺς εἰς τὴν αἰώνιον ἀνάπαυσιν· Δεῦτε πρός με πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι, κᾀγὼ ἀναπαύσω ὑμᾶς. Ἀλλ' ἠκούσαμεν, λέγετε, ταύτην τὴν φιλανθρωποτάτην αὐτοῦ φωνὴν, καὶ ἤλθομεν πολλάκις πρὸς αὐτὸν, καὶ πολλάκις ὑπεσχέθημεν τὴν διόρθωσιν· καὶ αὐτὸς μὲν ὡς πανοικτίρμων ἐσυγχώρησε τὰς ἁμαρτίας ἡμῶν, ἡμεῖς δὲ πάλιν, ὡς παγκάκιστοι καὶ συνειθισμένοι εἰς τὰς ἁμαρτίας, ἐπράξαμεν τὰ αὐτὰ, καὶ ἔτι χείρονα· ποσάκις νὰ ἐλπίζωμεν, ὅτι, μὴ φυλάξαντες τὴν ὑπόσχεσιν, μηδὲ διορθωθέντες, ἀλλὰ ψευσθέντες ἐνώπιον αὐτοῦ, λαμβάνομεν πάλιν τὴν συγχώρησιν; Τοῦτο τὸ ζήτημα προέβαλεν εἰς τὸν Ἰησοῦν
Ματ. ιή. 21. Χριστὸν ὁ Πέτρος τοιουτοτρόπως· Κύριε, εἶπε, ποσάκις ἁμαρτήσει εἰς ἐμὲ ὁ ἀδελφός μου, καὶ ἀφήσω αὐτῷ; ἕως ἑπτάκις; ὡς φαίνεται, ὁ Πέτρος ἐνόμιζεν, ὅτι ὁ ὅρος τῆς συγχωρήσεως προάγεται ἕως τοῦ ἑπτὰ, καὶ περαιτέρω οὐ προβαίνει. Ἀκούσατε δὲ ποῖον ὅρον συγχωρήσεως ἁμαρτιῶν ἐδιώρισεν ὁ
Αὐτ. 22. ἀπειροεύσπλαγχνος Ἰησοῦς· Λέγει αὐτῷ ὁ Ἰησοῦς· Οὐ λέγω σοι ἕως ἑπτάκις, ἀλλ' ἕως ἑβδομηκοντάκις ἑπτά· τὸ δὲ ἕως ἑβδομηκον-
Ορ. τὸν Χρυσ. εἰς τὴν κατὰ Ματθ. Σειρ. τάκις ἑπτὰ σημαίνει ἀριθμὸν ἀόριστον καὶ ἀπέραντον, καθὼς καὶ τὸ μυριάκις σημαίνει ἀορίστως τὸ πολλάκις. Φανερὸν δὲ τοῦτο ἐκ τῆς Παραβολῆς τοῦ βασιλέως, ὅστις ἐχάρισε τῷ δούλῳ αὐτοῦ τὸ χρέος τῶν μυρίων ταλάντων· διότι, εἰπὼν ὁ Ἰησοῦς Χριστὸς τὸ, ἕως ἑβδομηκοντάκις ἑπτὰ, ἐπήγαγεν εὐθὺς τὴν Παραβολὴν, διὰ τῆς ὁποίας ἐξήγησε τὴν σημασίαν τοῦ ἑβδομηκον-
τάκις ἑπτὰ, λέγων· Διὰ τοῦτο ὡ- Ματ. ιή. 23, 24, 27.
μοιώθη ἡ βασιλεία τῶν οὐρανῶν ἀνθρώπῳ βασιλεῖ, ὃς ἠθέλησε συνᾶραι λόγον μετὰ τῶν δούλων αὐτοῦ. Ἀρξαμένου δὲ αὐτοῦ συναίρειν, προσηνέχθη αὐτῷ εἷς ὀφειλέτης μυρίων ταλάντων. Σπλαγχνισθεὶς δὲ ὁ Κύριος τοῦ δούλου ἐκείνου, ἀπέλυσεν αὐτὸν, καὶ τὸ δάνειον ἀφῆκεν αὐτῷ.

Ἀλλὰ πῶς συμβιβάζονται, λέγεις, ταῦτα μετὰ τῆς δικαιοσύνης τοῦ Θεοῦ; Ἀληθῶς ἡμεῖς οὐ κατανοοῦμεν τὸ πῶς, ἐπειδὴ οἱ διαλογισμοὶ καὶ τὰ διανοήματα καὶ τὰ ἔργα ἡμῶν διαφέρουσιν ἀπὸ τῆς βουλῆς καὶ τῶν διανοημάτων καὶ τῶν ἔργων τοῦ Θεοῦ, ὅσον ὁ οὐρανὸς ἀ-
πὸ τῆς γῆς· Οὐ γάρ εἰσιν αἱ βου- Ἡσ. νέ. 8, 9.
λαί μου, ὥσπερ αἱ βουλαὶ ὑμῶν, οὐδὲ, ὥσπερ αἱ ὁδοὶ ὑμῶν, αἱ ὁδοί μου, λέγει Κύριος· ἀλλ' ὡς ἀπέχει ὁ οὐρανὸς ἀπὸ τῆς γῆς, οὕτως ἀπέχει ἡ ὁδός μου ἀπὸ τῶν ὁδῶν ὑμῶν, καὶ τὰ διανοήματα ὑμῶν ἀπὸ τῆς διανοίας μου. Κᾂν οὖν ἡμεῖς οὐ κατανοοῦμεν τὸ πῶς, συμβιβάζεται ὅμως ἡ θεία δικαιοσύνη μετὰ τῆς θείας εὐσπλαγχνίας, καὶ συνέρχονται ἐπὶ τὸ αὐτὸ, καθὼς ψάλλει ὁ Προφη-
τάναξ, λέγων· Ἔλεος καὶ ἀλήθεια Ψαλ. πδ´ 11.
συνήντησαν, δικαιοσύνη καὶ εἰρήνη κατεφίλησαν. Καὶ τὸ μὲν πῶς συμβιβάζωνται, ἡμεῖς ἀγνοοῦμεν, τοῦ δὲ συμβιβασμοῦ τὰ ἀποτελέσματα καθαρῶς βλέπομεν.

Διὰ τὰς ἁμαρτίας τῶν ἀνθρώπων ἀπεφάσισεν ὁ Θεὸς τὸν καταποντισμὸν
τοῦ ἀνθρωπίνου γένους· Καὶ εἶπεν ὁ Γεν. ϛ´. 7.

Θεὸς,

Θεός, Ἀπαλείψω τὸν ἄνθρωπον, ὃν
ἐποίησα, ἀπὸ προσώπου τῆς γῆς·
τοῦτό ἐστιν ἔργον τῆς θείας δικαιοσύ-
νης· ταύτην δὲ τὴν ἀπόφασιν κοινολογεῖ
Γεν. ϛ'. ὁ Θεὸς εἰς τὸν Νῶε· Καὶ εἶπε Κύ-
13. ριος ὁ Θεὸς τῷ Νῶε, Καιρὸς παν-
τὸς ἀνθρώπου ἥκει ἐναντίον μου·
ἐγὼ δὲ ἰδοὺ ἐπάγω τὸν κατα-
κλυσμόν· τοῦτό ἐστιν ἔργον τῆς θείας
εὐσπλαγχνίας· δημοσιεύει τὴν ἀπόφα-
σιν τῆς τιμωρίας, ἵνα φέρῃ εἰς μετά-
νοιαν, καὶ ἀπαλλάξῃ τῆς συμφορᾶς· ἰ-
δοὺ τοῦ συμβιβασμοῦ τὰ ἀποτελέσμα-
τα· βλέπεις πῶς, Ἔλεος καὶ ἀλή-
θεια συνήντησαν, δικαιοσύνη καὶ
εἰρήνη κατεφίλησαν; Ἀποφασίζει
ὁ Θεὸς τὴν καταστροφὴν τῶν Σοδόμων·
τοῦτό ἐστιν ἔργον τῆς δικαιοσύνης αὐ-
τοῦ· ἀλλ' οὐ κρύπτει ταύτην τὴν ἀπό-
Αὐτ. ιή. φασιν· Ὁ δὲ Κύριος εἶπε, Μὴ κρύ-
17. ψω ἐγὼ ἀπὸ Ἀβραὰμ τοῦ παιδός
μου ἃ ἐγὼ ποιῶ; ἀλλὰ φανεροῖ αὐ-
τὴν εἰς τὸν Ἀβραάμ, καὶ συμφωνολογεῖ
μετ' αὐτοῦ, καὶ ὑπόσχεται, ὅτι, ἐὰν εὕ-
ρῃ εἰς τὰ Σόδομα δέκα δικαίους, οὐκ ἀ-
πολέσει αὐτὰ δι' ἐκείνους τοὺς δέκα ἀν-
Αὐτ. 32. θρώπους· Καὶ εἶπεν, Οὐ μὴ ἀπολέ-
σω ἕνεκεν τῶν δέκα· τοῦτό ἐστιν
ἔργον τῆς θείας εὐσπλαγχνίας· ἰδοὺ
οὖν ὁ λόγος τοῦ Προφήτου· Ἔλεος καὶ
ἀλήθεια συνήντησαν, δικαιοσύ-
νη καὶ εἰρήνη κατεφίλησαν. Ἀπο-
φασίζει ὁ Θεὸς τῆς Νινευὴ τὸν ἀφανισ-
μόν· τοῦτο ἔργον ἐστὶ τῆς θείας δι-
καιοσύνης· ἀλλὰ πέμπει τὸν Ἰωνᾶν, ἵ-
Ἰων. γ'. να κηρύξῃ ἐκεῖ τό, Ἔτι τρεῖς ἡμέ-
4. ραι, καὶ Νινευὴ καταστραφήσε-
ται· τοῦτό ἐστιν ἔργον τῆς εὐσπλαγ-
χνίας αὐτοῦ· διότι οἱ μὲν Νινευῖται, ἀ-
κούσαντες τοῦτο τὸ κήρυγμα, μετενόη-
σαν· ὁ δὲ Θεὸς τὴν Νινευὴ διεφύλαξε,
καὶ τὸν Ἰωνᾶν, ὡς λυπηθέντα διὰ τοῦ-
τα λύπην μεγάλην, ἐξήλεγξε, καὶ εἶπε·
Σὺ ἐφείσω ὑπὲρ τῆς κολοκύνθης, Ἰων. 4.
ὑπὲρ ἧς οὐκ ἐκακοπάθησας ἐπ' 10, 11.
αὐτήν, καὶ οὐδὲ ἐξέθρεψας αὐ-
τήν, ἣ ἐγενήθη ὑπὸ νύκτα, καὶ
ὑπὸ νύκτα ἀπώλετο. Ἐγὼ δὲ οὐ
φείσομαι ὑπὲρ Νινευὴ τῆς πό-
λεως τῆς μεγάλης, ἐν ᾗ κατοικοῦ-
σι πλείους ἢ δώδεκα μυριάδες ἀν-
θρώπων; ἰδοὺ οὖν ὁ προφητικὸς λό-
γος· Ἔλεος καὶ ἀλήθεια συνήντη-
σαν, δικαιοσύνη καὶ εἰρήνη κατε-
φίλησαν. Ἐὰν ἐξετάσῃς καὶ τ' ἄλλα
παραδείγματα, ὅσα εἰσὶν ἔργα τῆς δι-
καιοσύνης τοῦ Θεοῦ, τοῦτο αὐτὸ βλέ-
πεις, τουτέστι τὴν δικαιοσύνην τοῦ Θεοῦ,
συνερχομένην μετὰ τῆς εὐσπλαγχνίας
αὐτοῦ καὶ συμπεπλεγμένην.

Βλέπε δὲ καὶ τὴν τάξιν καὶ πρόο-
δον τῆς δικαιοσύνης καὶ τῆς εὐσπλαγ-
χνίας τοῦ Θεοῦ. Ὅταν οὐκ ἐπιστρέφω-
μεν ἀπὸ τῆς ἁμαρτίας, τότε ἡ δικαιοσύ-
νη αὐτοῦ ἀκονᾷ ῥομφαίαν, καὶ ἐντείνει
τόξον, καὶ ἐν αὐτῷ βάλλει τὰ σκεύη
τοῦ θανάτου· Ἐὰν μὴ ἐπιστραφῆτε, Ψαλ. ζ'.
τὴν ῥομφαίαν αὐτοῦ στιλβώσει, 13, 14.
τὸ τόξον αὐτοῦ ἐνέτεινε, καὶ ἡ-
τοίμασεν αὐτό, καὶ ἐν αὐτῷ ἡ-
τοίμασε σκεύη θανάτου· ἔπειτα,
ἐπειδὴ κατακαυχᾶται ἔλεος κρί- Ἰακ. β'.
σεως, δίδωσιν ἡ εὐσπλαγχνία αὐτοῦ ση- 13.
μεῖα, ἵνα, ταῦτα βλέποντες, μετανοήσω-
μεν, καὶ οὕτω φύγωμεν τὴν τιμωρίαν·
τοῦτο δὲ σημαίνει ὁ προφήτης Δαβίδ,
λέγων· Ἔδωκας τοῖς φοβουμένοις Ψαλ. νθ'.
σε σημείωσιν τοῦ φυγεῖν ἀπὸ 4.
προσώπου τόξου· σημείωσις δέ ἐστιν
ὁ ἔλεγχος τῆς συνειδήσεως, ἡ ἐπερχομέ-
νη ἀσθένεια, ἡ προτροπὴ τοῦ λόγου τοῦ
Θεοῦ, τοῦ πολλάκις εἰσερχομένου ἄχρι
τῆς καρδίας ἡμῶν. Ὅστις φοβεῖται τὸν
Θεόν, καὶ προσέχει, ἐκεῖνος βλέπει τὸ
σημεῖον, καί, τρέχων εἰς τὴν μετάνοιαν,
φεύγει ἀπὸ προσώπου τοῦ τόξου, ἤγουν
ἀπὸ

ἀπὸ τῆς δικαίας τιμωρίας, καὶ σώζεται,
Ἐξόδ. θ'. 20, 21. καθὼς ἐσώθησαν ἀπὸ τῆς πληγῆς τῆς χαλάζης τὰ κτήνη ἐκείνων, οἵτινες ἐπίστευσαν εἰς τὸν λόγον τοῦ Μωϋσέως. Ὅστις δὲ οὐ φοβεῖται τὸν Θεὸν, οὐδὲ προσέχει, ἐκεῖνος οὐ βλέπει τὸ σημεῖον, ὅθεν οὐδὲ φεύγει τὸ πρόσωπον τοῦ τόξου, καθὼς οὐκ ἔφυγον τὴν ἐκ τῆς χαλάζης βλάβην οἱ μὴ πιστεύσαντες εἰς τὸ ὑπὸ τοῦ Μωϋσέως δοθὲν σημεῖον.

Χριστιανοὶ, ὁ ἀπελπισμός ἐστι παραλογία καὶ ἄνοια· διὸ, διώξαντες αὐτὸν μακρὰν, ἐμβάσατε εἰς τὴν καρδίαν ὑμῶν τοῦ πανοικτίρμονος Θεοῦ τὴν ἐλπίδα, πληροφορηθέντες, ὅτι ἐκεῖνος μόνος ἐστὶν ἀπηλπισμένος, ὅστις διὰ τὴν ἰσχυρογνωμίαν αὐτοῦ θέλει καὶ ἀπελπίζεται. Ὅσοι δὲ, θαῤῥοῦντες εἰς τὴν θείαν εὐσπλαγχνίαν, ἁμαρτάνετε ἀμετανοήτως, ἐνθυμήθητε, ὅτι καταφρονεῖτε τοῦ πλούτου τῆς χρηστότητος, καὶ τῆς ἀνοχῆς, καὶ τῆς μακροθυμίας, ἀγνοοῦντες, ὅτι τὸ χρηστὸν τοῦ Θεοῦ εἰς μετάνοιαν ἄγει. Ἐγὼ δὲ, καταπαύων τὸν λόγον, τολμῶ καὶ λέγω, ὅτι φοβοῦμαι τὴν εὐσπλαγχνίαν τοῦ Θεοῦ περισσότερον ἢ τὴν δικαιοσύνην αὐτοῦ, διότι, ἐὰν παροργίσω τὴν δικαιοσύνην, καταφεύγω εἰς τὴν εὐσπλαγχνίαν· ἐὰν δὲ παροργίσω τὴν εὐσπλαγχνίαν, οὐκ ἔχω ἄλλο καταφύγιον.
Ῥωμ. β'. 4.

# ΕΡΜΗΝΕΙΑ

## ΕΙΣ ΤΟ ΚΑΤΑ

# ΛΟΥΚΑΝ

## ΕΥΑΓΓΕΛΙΟΝ ΤΗΣ Θ'. ΚΥΡΙΑΚΗΣ.

Ὁ μέγας οὐρανοφάντωρ Βασίλειος δι' ἑνὸς ὁλοκλήρου λόγου ἐξήγησε τὴν σήμερον ἀναγνωσθεῖσαν εὐαγγελικὴν Παραβολήν· ἡμεῖς, ὁμολογοῦντες, καὶ παῤῥησίᾳ κηρύττοντες, ὅτι οὐκ ἐσμὲν ἄξιοι λῦσαι τὸν ἱμάντα τῶν ὑποδημάτων τοιούτου πανσόφου καὶ ἁγιωτάτου καὶ θεοπνεύστου ἀνδρὸς, δειλιῶμεν, μετὰ τὸν τοσοῦτον σοφὸν ἐκείνου λόγον, τὸ ἐπιχείρημα ἄλλης ἑρμηνείας. Ἀλλὰ πρῶτον μὲν εἰς τὰς θεοπειθεῖς εὐχὰς ἐκείνου θαῤῥοῦντες, δεύτερον δὲ ἐκ τῆς ἑρμηνείας ἐκείνου συλλέξαντες ὅσα ἐδυνήθημεν, τολμῶμεν ἀνοῖξαι στόμα περὶ τῆς αὐτῆς ὑποθέσεως. Ὅσοι λοιπὸν πλεονέκται, ὅσοι φιλόσαρκοι καὶ κοιλιόδουλοι, ὅσοι ἀσυμπαθεῖς καὶ ἀμετάδοτοι, ὅσοι οὐδὲν ἄλλο φροντίζετε, εἰ μὴ τὴν ἰδίαν σωματικὴν τρυφὴν καὶ ἀνάπαυσιν, ὅσοι λαλεῖτε καὶ διορίζετε περὶ τῶν μελλόντων γενέσθαι ἐν τῷ μέλλοντι καιρῷ, ὥσπερ ἂν εἰ ὁ καιρὸς ὑπῆρχεν ὑπὸ τὴν ἐξουσίαν ἡμῶν, ὅσοι μηδόλως φοβεῖσθε τὸ αἰφνίδιον τοῦ θανάτου δρέπανον, ἐνὶ λόγῳ, πάντες, ὅσοι θέλετε τὴν σωτηρίαν τῆς ψυχῆς ὑμῶν, προσέλθετε· καὶ ἀνοίξαντες τῆς ψυχῆς τὰ ὦτα, ἀκούσατε μετὰ προσοχῆς τῆς Παραβολῆς τὴν ἐξήγησιν· διότι, κἂν ὁ σκοπὸς αὐτῆς ἀποβλέπῃ ἐξόχως τοὺς πλεονέκτας, περιέχει ὅμως μαθήματα εἰς πάντα ἄνθρωπον ὠφελιμώτατα καὶ σωτήρια.

Εἶπεν ὁ Κύριος τὴν Παραβο- Λουκ. ιβ'. 16.

βολὴν ταύτην· Ἀνθρώπου τινὸς πλουσίου εὐφόρησεν ἡ χώρα.

Τοῦ πλουσίου τούτου ἀνθρώπου εὐφόρησεν ἡ χώρα, ἤγουν καὶ οἱ ἀγροὶ πολλὰ καὶ καλὰ ἀπέδωκαν γεννήματα, καὶ οἱ ἀμπελῶνες ὡραίων σταφυλῶν πλῆθος, καὶ οἱ ἐλαιῶνες ποσότητα πιόνων ἐλαιῶν πολλήν, καὶ οἱ παράδεισοι ὡρίμους, γλυκείας, καὶ παμπληθεῖς ὀπώρας. Ἀλλὰ διατί ἄρά γε εὐδόκησεν ὁ Θεός, ἵνα ἡ χώρα τούτου τοῦ κακοῦ καὶ διεστραμμένου πλουσίου καρποφορήσῃ τοσοῦτον πλῆθος παντοίων καὶ καλῶν καρπῶν; Πρῶτον μὲν ἵνα δείξῃ τὴν ἰδίαν
Ματ. ἑ. 45. ἀγαθότητα, καὶ φανερώσῃ, ὅτι τὸν ἥλιον αὐτοῦ ἀνατέλλει ἐπὶ πονηροὺς καὶ ἀγαθούς, καὶ βρέχει ἐπὶ δικαίους, καὶ ἀδίκους· δεύτερον δέ, ἵνα χορτάσῃ τὴν ἐπιθυμίαν τοῦ πλουσίου, καὶ οὕτω προτρέψῃ αὐτὸν εἰς τὴν μετάδοσιν καὶ ἐλεημοσύνην· ἐὰν δὲ μηδὲ τοῦτο μεταβάλῃ τὴν σκληρὰν αὐτοῦ γνώμην, αὐτὸς μὲν κατασταθῇ ἀναπολόγητος, ἡ δὲ κατ' αὐτοῦ τιμωρία ἀνακαλύψῃ τὴν δικαιοσύνην τοῦ Θεοῦ, κατὰ
Ψαλ. ν. 5. τό, ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου, καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε. Τί δὲ ἐποίησεν ὁ πλούσιος, βλέπων τὴν τοσαύτην εὐτυχίαν, καὶ τὸν πλοῦτον αὐτοῦ τοσοῦτον αὐξανόμενον;

Λουκ. ιβ'. 17. Καὶ διελογίζετο ἐν ἑαυτῷ, λέγων· Τί ποιήσω; ὅτι οὐκ ἔχω ποῦ συνάξω τοὺς καρπούς μου.

Βλέπεις τί προξενεῖ ὁ πλοῦτος; διαλογισμοὺς καὶ φροντίδας· Καὶ διελογίζετο ἐν ἑαυτῷ, λέγων· Τί ποιήσω; Ἀκούεις; ἀντὶ χαρᾶς, φέρει ἀπορίαν, καὶ ἀντὶ ἀναπαύσεως, στενοχωρίαν. Τί ποιήσω; τὴν αὐτὴν ἀπορίαν καὶ στενοχωρίαν πάσχει καὶ ὁ πάμπτωχος ἄνθρωπος· τὸν αὐτὸν λόγον, Τί ποιήσω, λέγει ὁ πάμπτωχος, ὅτι οὐκ ἔχω ἄρτον, ἵνα θρέψω ἐμαυτόν, καὶ τὴν γυναῖκα, καὶ τὰ τέκνα μου. Καὶ ὁ μὲν πλούσιος ἀδίκως βοᾷ τό, ὅτι οὐκ ἔχω, διότι ἔχει τὸ ποῦ συνάξει τοὺς καρποὺς αὐτοῦ· ἔχει τὰς πεινώσας γαστέρας, καὶ τὰς κενὰς τῶν πτωχῶν οἰκίας, ὅπου ἀποθέμενος τοὺς καρποὺς αὐτοῦ, συνάγει θησαυρὸν ἐν οὐρανῷ, ὅπου οὔτε σής, οὔτε βρῶσις ἀφανίζει, καὶ ὅπου κλέπται οὐ διορύσσουσιν, οὐδὲ κλέπτουσιν· ὁ δὲ Ματ. ς'. 20.
πτωχὸς δικαίως ἐλεεινολογεῖ λέγων· Τί ποιήσω; ὅτι οὐκ ἔχω· διότι ἀληθῶς οὐ μόνον οὐδὲν ἔχει, ἀλλ' οὐδὲ εὑρίσκει διὰ τὴν ἀσπλαγχνίαν τῶν πλουσίων. Πῶς δὲ ἡσυχάζει ὁ πλούσιος ἀπὸ τῆς στενοχωρίας αὐτοῦ, καὶ ποῖον πόρον εὑρίσκει εἰς τὴν αὐτοῦ ἀπορίαν; Ἄκουσον.

Καὶ εἶπε· Τοῦτο ποιήσω· καθελῶ μου τὰς ἀποθήκας, καὶ μείζονας οἰκοδομήσω· καὶ συνάξω ἐκεῖ πάντα τὰ γεννήματά μου, καὶ τὰ ἀγαθά μου.

Εὕρηκε τῆς ἀπορίας αὐτοῦ τὴν λύσιν· Τοῦτο ποιήσω, εἶπε· καταδαφίσω τὰς ἀποθήκας μου, καὶ οἰκοδομήσω ἄλλας εὐρυχωροτέρας, ὅπου συνάξω καὶ ἐνθήσω πάντα τὰ γεννήματά μου καὶ τὰ ἀγαθά μου. Ἀνόητε, τοῦτο οὐκ ἔστι λύσις τῆς ἀπορίας σου, οὐδὲ τῆς στενοχωρίας σου ἀνάπαυσις, ἀλλὰ μέριμναι, καὶ κόποι, καὶ ἀγῶνες· ἐὰν δὲ καὶ τὸ ἐρχό- Λουκ. ιβ'. 18.

χόμενον ἔτος εὐφορήσῃ ἡ χώρα σου, πάλιν καταχρημνίσεις τὰ οἰκοδομηθέντα, καὶ πάλιν οἰκοδομήσεις μείζονα; ἀλλὰ τί τούτου κοπιαστικώτερον, καὶ ἀθλιώτερον; καθαίρεσις καὶ οἰκοδομὴ, καὶ μετ' ὀλίγον πάλιν καταστροφὴ καὶ ἀνέγερσις· τοῦτό ἐστιν ἡ ἀνάπαυσις τοῦ πλούτου σου; Ἔχει τὰς ἀποθήκας αὐτοῦ πεπληρωμένας, καὶ ὅμως οὐκ ἀρκεῖται· τοιοῦτον κακόν ἐστιν ἡ πλεονεξία· πάθος ἐστὶν ἀκόρεστον· πάσχει ὁ πλεονέκτης πάθος ὅμοιον τῷ τοῦ ὑδρωπικοῦ· ὁ ὑδρωπικὸς ὅσον πίνει, τόσον περισσότερον διψᾷ, ὁ πλεονέκτης ὅσον συνάγει, τόσον περισσότερα ἐπιθυμεῖ. Ἀφ' οὗ δὲ καθέλῃς τὰς ἀποθήκας σου, καὶ οἰκοδομήσῃς μείζονας, τί ἄρά γε ποιήσεις τότε;

Λουκ. ιβ'. 19. Καὶ ἐρῶ τῇ ψυχῇ μου· Ψυχὴ ἔχεις πολλὰ ἀγαθὰ, κείμενα εἰς ἔτη πολλά· ἀναπαύου, φάγε, πίε, εὐφραίνου.

Βλέπε μωρίαν καὶ ἀφροσύνην. Πρῶτον μὲν, ὥσπερ ἂν εἰ ψυχὴν εἶχε χοίρου, τοιουτοτρόπως λαλεῖ πρὸς αὐτήν· Ψυχή μου, λέγει, ἀναπαύου, φάγε, πίε, εὐφραίνου· τὸ δὲ, εὐφραίνου, τὰς αἰσχρὰς ἡδονὰς τοῦ σώματος σημαίνει. Δεύτερον δὲ λογίζεται ἴδια ἀγαθὰ, τὰ μὴ ἴδια· Ψυχὴ, λέγει, ἔχεις πολλὰ ἀγαθά· ἀλλὰ πόθεν ἔχει τὰ ἀγαθὰ
Ἰώβ. α'. 21. ὁ γυμνὸς ἐξελθὼν ἐκ τῆς κοιλίας τῆς μητρὸς αὐτοῦ, καὶ γυμνὸς ἀπελευσόμενος; οἱ καρποὶ τῆς γῆς οὐκ εἰσὶν ἀγαθὰ τῆς ψυχῆς, ἀλλ' ἀγαθὰ τοῦ Θεοῦ, διδόμενα εἰς τοὺς πλουσίους, ἵνα, οἰκονομήσαντες αὐτὰ διὰ τῆς εἰς τοὺς πτωχοὺς διανομῆς, λάβωσι τῆς καλῆς οἰκονομίας τὸν στέφανον· καρποὶ καὶ ἀγα-
Γαλ. έ. 22. θὰ τῆς ψυχῆς εἰσὶν ἡ ἀγάπη, ἡ χαρὰ, ἡ εἰρήνη, ἡ μακροθυμία, ἡ χρηστότης, ἡ ἀγαθωσύνη, ἡ πίστις, ἡ πραότης, ἡ ἐγκράτεια. Τρίτον δὲ γίνεται κύριος καὶ ἐξουσιαστὴς τῶν χρόνων καὶ τῶν καιρῶν, οὓς ὁ Πατὴρ ἔθετο ἐν τῇ ἰδίᾳ ἐξουσίᾳ, καὶ διο- Πράξ. α'. 7.
ρίζει ἑαυτῷ ζωὴν πολυετῆ καὶ πολυχρόνιον· Ψυχὴ, ἔχεις πολλὰ ἀγαθὰ, κείμενα εἰς ἔτη πολλά. Εὐλογοφανῶς οὖν καὶ πρεπόντως ὀνομάζει αὐτὸν ὁ Θεὸς ἄφρονα.

Εἶπε δὲ αὐτῷ ὁ Θεός· Ἄφρον, Λουκ. ιβ'. 20.
ταύτῃ τῇ νυκτὶ τὴν ψυχήν σου ἀπαιτοῦσιν ἀπὸ σοῦ· ἃ δὲ ἡτοίμασας, τίνι ἔσται;

Ἐλέγχει αὐτὸν ὁ Θεὸς σφοδρῶς, καὶ ἀνακηρύττει αὐτὸν ἄφρονα, ὡς μὴ νοήσαντα τὴν εὐγένειαν καὶ τὴν ἀθανασίαν τῆς ψυχῆς αὐτοῦ, ἀλλὰ προβάλλοντα εἰς αὐτὴν βρώματα, καὶ πόματα, καὶ σαρκικὰς ἡδονὰς καὶ ἀναπαύσεις, ὥσπερ ἂν εἰ ὑπῆρχε σωματικὴ καὶ φθαρτή· ἄφρονα, ὡς οἰκειοποιησάμενον τὰ ἀγαθὰ τοῦ Θεοῦ· ἄφρονα, ὡς νομίζοντα ἑαυτὸν κύριον καὶ ἐξουσιαστὴν τῆς ζωῆς αὐτοῦ, καὶ διορίζοντα αὐτῇ ἔτη πολλὰ, ὅτε αὐτὸς τὴν νύκτα ἐκείνην ἡρπάζετο αἰφνιδίως, καὶ ἐκόπτετο βιαίως τῆς ζωῆς· ἄφρονα, ὡς μὴ γινώσκοντα διὰ ποῖον ἡτοίμασε τὰ ἀγαθὰ ἐκεῖνα, καὶ ὡς μὴ κατανοήσαντα, ὅτι τὸ ἄδηλον τῆς ὥρας τοῦ θανάτου ἐμποδίζει τὴν τελείωσιν τῶν μελετημάτων αὐτοῦ. Σημείωσαι δὲ, ὅτι οἱ ἀπαιτοῦντες τὴν ψυχὴν αὐτοῦ εἰσὶν οἱ Δαίμονες· καὶ διὰ τοῦτο οὐκ εἶπεν, Ἀπαιτῶ τὴν ψυχήν σου, ἀλλ' ἀπαιτοῦσι τὴν ψυχήν σου, ἤγουν βιαίως ἁρπάζουσιν αὐτὴν ἐκεῖνοι, οἵτινες αὐτὴν ἐδούλωσαν· διότι τῶν μὲν δικαίων αἱ ψυχαὶ παρατίθενται ἐν χειρὶ Θεοῦ, τῶν δὲ ἀδίκων καὶ πονηρῶν ἁρπάζονται

βι-

βιαίως ὑπὸ τῶν Δαιμόνων ἐν νυκτὶ, ἤγουν ὅτε αὐτοὶ κατάκεινται εἰς τὸ σκότος τῆς ἁμαρτίας. Ταῦτα δὲ εἰπὼν ὁ Κύριος παραβολικῶς, ἐπάγει εὐθὺς καὶ τὴν ἁρμογὴν τῆς Παραβολῆς, δηλοποιεῖ δηλαδὴ τὸν σκοπὸν καὶ τὸ τέλος αὐτῆς, λέγων·

Λουκ. ιβ'. 21. Οὕτως ὁ θησαυρίζων ἑαυτῷ, καὶ μὴ εἰς Θεὸν πλουτῶν. Ταῦτα λέγων ἐφώνει, Ὁ ἔχων ὦτα ἀκούειν, ἀκουέτω.

Τίς ἐστιν ἐκεῖνος, ὅστις θησαυρίζει ἑαυτῷ, καὶ οὐκ εἰς Θεὸν πλουτεῖ; Ὁ πλούσιός ἐστιν ὁ πλεονέκτης, ὁ μηδέποτε χορταζόμενος, κἂν πεπληρωμένας ἔχῃ πάσας τὰς ἀποθήκας αὐτοῦ· ὁ πλούσιός ἐστιν ὁ ἄδικος, ὅστις σφετερίζεται τὰ ἀγαθὰ τοῦ Θεοῦ, καὶ μετέρχεται αὐτὰ ὡς ἴδια, ἐνθηκιάζει χρυσίον ἐπάνω εἰς τὸ χρυσίον, καὶ κτήματα ἐπάνω εἰς τὰ κτήματα, οὐχ ἵνα εὐεργετήσῃ ἄλλον τινὰ, ἀλλ' ἵνα μόνος ἀπολαμβάνῃ αὐτὰ, μόνος ἀναπαύεται, καὶ τρώγῃ, καὶ πίνῃ, καὶ ἐκπληροῖ τὰς τῆς σαρκὸς αὐτοῦ ἡδονάς· ὁ πλούσιός ἐστιν ὁ αὐθάδης καὶ ἀνόητος, ὅστις φαντάζεται πολυχρόνιον ζωὴν, καὶ ἔτη πολλά· αὐτὸς οὐ πλουτεῖ τὸν θεῖον πλοῦτον, καθότι οὐκ ἔχει θησαυρὸν ἐν οὐρανοῖς, ἀλλὰ γυμνός ἐστι πάσης ἀρετῆς, καὶ πάσης θείας χάριτος. Οὕτω, λέγει ὁ Θεὸς, ἤγουν ὁμοίως ἄφρων ἐστὶ καὶ ἀνόητος πᾶς πλεονέκτης καὶ φιλάργυρος, ὅστις συνάγει, καὶ οὐδέποτε χορτάζεται, συνάγει καὶ οὐδέποτε μεταδίδωσιν εἰς τοὺς πτωχούς· Οὕτως, ἤγουν κατὰ τὸν ὅμοιον τρόπον μωρός ἐστι καὶ ἀνόητος πᾶς φιλόσαρκος καὶ φιλήδονος, ὅστις μηδὲν ἕτερον μελετᾷ, εἰμὴ τὰ φαγοπότια, καὶ τὰς σαρκικὰς ἡδονάς· Οὕτως, ἤγουν ὁμοιοτρόπως μωρός ἐστιν, ὅστις φαντάζεται ζωὴν μακροήμερον καὶ πολυετῆ· Οὕτως, ἤγουν κατὰ τὸν αὐτὸν τρόπον ἀποθνήσκει, ὅστις πράττει τὰ ἔργα τούτου τοῦ πλουσίου· ἀποθνήσκει μὲν ἐξαίφνης ἀδιάτακτος καὶ ἀμετανόητος, ἁρπάζουσι δὲ τὴν ψυχὴν αὐτοῦ οἱ Δαίμονες. Ἐπειδὴ δὲ κἂν πάντες ἔχωμεν ὦτα, καὶ πάντες ἀκούωμεν, ὅμως οὐ πάντες ὠφελούμεθα, διὰ τοῦτο ταῦτα εἰπὼν ὁ Κύριος, ἐφώνησε, λέγων· Ὁ ἔχων ὦτα ἀκούειν, ἀκουέτω, ὥσπερ ἂν εἰ ἔλεγε διὰ τούτου· Ὅστις ἔχει διάθεσιν ψυχῆς πρὸς ὑποδοχὴν τῆς ἐκ τούτων τῶν λόγων ὠφελείας, ὠφελείσθω.

# ΟΜΙΛΙΑ

ΜΕΤΑ ΤΟ ΚΑΤΑ

# ΛΟΥΚΑΝ

## ΕΥΑΓΓΕΛΙΟΝ ΤΗΣ Θ'. ΚΥΡΙΑΚΗΣ.

Ἀναμέσον τῶν πολλῶν ὑποθέσεων, τῶν περιεχομένων ἐν τῇ Παραβολῇ τοῦ σημερινοῦ Ἐυαγγελίου, βλέπομεν καὶ τὴν φοβερὰν ὑπόθεσιν τοῦ αἰφνιδίου θανάτου· αὐτή ἐστιν ὑπόθεσις φόβου μεγάλου καὶ τρόμου ὑπερβολικοῦ. Ὁ αἰφνίδιος θάνατος ἐστὶ παίδευσις τῆς θείας ἀγανακτήσεως διὰ τὰς ἁμαρτίας ἡμῶν· τοῦτο βλέπομεν φανερὰ εἰς τὸν πλούσιον τῆς Παραβολῆς. Ἀυτὸς πλεονέκτης, δοῦλος τῆς σαρκὸς καὶ τῶν ἡδονῶν· αὐτὸς, ἀμνημονήσας παντελῶς καὶ τῆς ἀθανασίας τῆς ψυχῆς, καὶ τοῦ θανάτου, καὶ τοῦ Θεοῦ, καὶ προσηλώσας τὸν νοῦν ἀυτοῦ καὶ τὴν καρδίαν εἰς τὰ ἀγαθὰ τῆς γῆς, καὶ εἰς τὰς τρυφὰς τῆς σαρκὸς, ἀπεφάσισε νὰ ζῇ οὐχ ὡς ἄνθρωπος, πιστεύων εἰς τὸν Θεὸν, ἀλλ' ὡς ἄνθρωπος ἀσεβὴς, καὶ ἄπιστος· οὐχ ὡς ἄνθρωπος, ἔχων ψυχὴν ἀθάνατον, ἀλλ' ὡς ἄνθρωπος θνητόψυχος· οὐχ ὡς ἄνθρωπος λογικὸς, ἀλλ' ὡς ζῶον ἄλογον· εἰς αὐτὸν οὖν, διὰ τὰς ἁμαρτίας καὶ ἀλογίας αὐτοῦ, στέλλει ὁ Θεὸς βίαιον καὶ αἰφνίδιον θάνατον. Ἵνα δὲ καθεὶς πληροφορηθῇ, ὅτι οὐ κατὰ φύσιν, ἀλλὰ κατὰ θείαν προσταγὴν ἐθέρισεν αὐτὸν τοῦ αἰφνιδίου θανάτου τὸ δρέπανον, παρέστησεν ὁ Ἰησοῦς Χριστὸς εἰς τὴν Παραβολὴν τὸ μὴ συμβαῖνον εἰς τοὺς αἰφνιδίους θανάτους, ἤγουν παρέστησεν αὐτὸν τὸν Θεὸν, πρῶτον μὲν ἐλέγχοντα τὸν ταλάθλιον ἐκεῖνον ἁμαρτωλὸν, καὶ ἀναγγέλλοντα αὐτῷ τὴν φοβερὰν καταδίκην τοῦ βιαίου θανάτου· Ἄφρον, ταύτῃ τῇ νυκτὶ τὴν ψυχήν σου ἀπαιτοῦσιν ἀπὸ σοῦ· (Λουκ. ιβ'. 20.) ἔπειτα καὶ τὴν αἰτίαν δηλοποιοῦντα τῆς τοιαύτης ὀλεθρίου καταδίκης· Ἐπειδὴ, λέγει, προσήλωσας σεαυτὸν εἰς τὴν πλεονεξίαν, συνάγων, καὶ μηδέποτε χορταζόμενος, διὰ τοῦτο νῦν ἁρπάζουσι τὴν ψυχήν σου· τίς οὖν κληρονομήσει ὅσα σὺ ἡτοίμασας; Ἃ δὲ ἡτοίμασας τίνι ἔσται;

Φοβερὸς ὁ αἰφνίδιος θάνατος, ἐπειδὴ εἰς ὁποίαν κατάστασιν εὑρεθῶμεν εἰς τὴν ὥραν τοῦ θανάτου ἡμῶν, εἰς τὴν αὐτὴν διαμένομεν εἰς τὸν ἀτελεύτητον αἰῶνα τοῦ αἰῶνος· μετὰ θάνατον οὐδὲ ὁ ἐνάρετος μεταβάλλεται ἀπὸ τῆς ἀρετῆς εἰς τὴν ἁμαρτίαν, ουδὲ ὁ ἁμαρτωλὸς ἀπὸ τῆς ἁμαρτίας εἰς τὴν ἀρετήν· ὅθεν, ὅπως καὶ ἂν εὑρεθῇ ὁ ἄνθρωπος εἰς τὴν ὥραν τοῦ θανάτου, οὕτω καὶ διαμένει. Ἐπιβεβαιοῖ τοῦτο ὁ θεῖος Ἐκκλησιαστὴς, λέγων· Καὶ ἐὰν πέσῃ ξύλον ἐν τῷ νότῳ, καὶ ἐὰν ἐν τῷ βορρᾷ, τόπῳ οὗ πεσεῖται τὸ ξύλον, ἐκεῖ ἔσται, (Ἐκκλ. ιά. 3.) τουτέστι, διὰ ὁποῖον τόπον εὑρεθῇ ἄξιος ὁ ἄνθρωπος εἰς τὴν ὥραν τοῦ θανάτου αὐτοῦ, εἴτε διὰ τὸν παράδεισον, εἴτε διὰ τὴν κόλασιν, ἐκεῖ διορίζεται, καὶ ἐκεῖ διαμένει εἰς τοὺς ἀπεράντους αἰῶνας τῶν αἰώνων.

Ἡμεῖς οἱ ταλαίπωροι καθ' ἑκάστην στιγμὴν σχεδὸν ἁμαρτάνομεν· πό-

τε λείπει ἀπὸ τῶν ἔργων ἡμῶν ἡ ἁμαρτία; ταύτην τὴν ὥραν εὑρισκόμεθα εἰς
Ῥωμ. ιγ'. 13. πολυφαγίας καὶ πολυποσίας, καὶ κραιπάλην καὶ μέθην, τὴν ἄλλην ὥραν εἰς κοίτας καὶ ἀσελγείας, εἰς μάχας καὶ φθόνους, τὴν ἐφεξῆς στιγμὴν εἰς ἁρπαγὰς καὶ ἀδικίας, εἰς καταδυναστείας καὶ καταδρομὰς τῶν ἀδελφῶν. Πότε λείπει ἀπὸ τῶν λόγων ἡμῶν ἡ ἁμαρτία; ὕβρεις, συκοφαντίαι, καταλαλιαὶ, ψεῦδος, αἰσχρολογίαι, ἐξόχως ἡ ἀργολογία σχεδὸν οὐδέποτε λείπει ἀπὸ τοῦ στόματος ἡμῶν. Πότε μένει ὁ νοῦς ἡμῶν καθαρὸς ἀπὸ τῆς ὑπερηφανείας, ἀπὸ τῆς φιλοδοξίας, ἀπὸ τῶν αἰσχρῶν λογισμῶν, καὶ ἀπὸ τῶν πονηρῶν ἐνθυμήσεων; σχεδὸν οὐδέποτε, οὐδὲ κατ' αὐτὸν τὸν καιρὸν, καθ' ὃν προσευχόμεθα ἐνώπιον τοῦ Θεοῦ· ἐν ἁμαρτίαις ἐσμὲν διαπαντὸς, καὶ εἰς τὴν νεότητα, καὶ εἰς τὴν ἀνδρικὴν ἡλικίαν, καὶ εἰς αὐτὸ τὸ γῆρας· ἡ εὐπερίστατος ἁμαρτία περικυκλοῖ ἡμᾶς
Αυτ. ς'. 19. διαπαντὸς, ποιοῦμεν διαπαντὸς πάντα τὰ μέλη ἡμῶν δοῦλα τῇ ἀκαθαρσίᾳ, καὶ τῇ ἀνομίᾳ εἰς τὴν ἀνομίαν.

Ὅταν πρὸ τοῦ θανάτου ὁ φιλάνθρωπος Θεὸς ἐξαποστείλῃ ὡς Ἄγγελον βαρυτάτην ἀσθένειαν, τότε αὐτὴ, ἐρχομένη πρὸς ἡμᾶς, ὡς ἄλλος Ἡσαΐας ἀ-
Ἡσ. λη'. 1. ναγγέλλει ἡμῖν λέγουσα· Τάδε λέγει Κύριος, Τάξαι περὶ τοῦ οἴκου σου, ἀποθνήσκεις γὰρ σὺ, καὶ οὐ ζήσῃ· τότε αὐτὴ βοᾷ ὡς μεγαλόφωνος σάλπιγξ, Ἄνθρωπε, ἑτοίμασον σεαυτὸν διὰ τὴν μέλλουσαν ζωὴν, καὶ διὰ τὸ ἐκεῖ φοβερὸν κριτήριον. Οἱ πόνοι καὶ ἡ βάσανος τῆς ἀῤῥωστίας, καὶ ὁ φοβερὸς φόβος τοῦ θανάτου, καὶ τὴν σκληροτάτην καρδίαν πολλάκις κάμπτει· τότε αἰσθάνεται ὁ ἄνθρωπος, ὅτι χωρίζεται ἀπὸ τοῦ κόσμου, τότε βλέπει, ὅτι οὐδὲν ὠφελεῖ αὐτῷ οὐδὲ ὁ πλοῦτος, οὐδὲ ἡ δόξα, οὐδὲ ὅλα τὰ ἀγαθὰ τοῦ κόσμου· τότε οἱ ἠγαπημένοι συγγενεῖς, καὶ οἱ ἀληθινοὶ φίλοι φέρουσιν αὐτῷ τὸν ἱερέα, σύμβουλον καὶ διδάσκαλον τῆς σωτηρίας αὐτοῦ· ὅθεν εὐκαιρεῖ τότε, μάλιστα ὅταν ἡ ἀσθένεια ὑπάρχῃ πολυήμερος, ἵνα μετανοήσῃ, καὶ κλαύσῃ, καὶ ἐπιστρέψῃ πρὸς τὸν Θεὸν, καὶ ἐξομολογηθῇ τὰς ἁμαρτίας αὐτοῦ, καὶ συνενωθῇ μετὰ τοῦ Σωτῆρος Ἰησοῦ Χριστοῦ διὰ τῆς μεταλήψεως τοῦ παναχράντου σώματος καὶ αἵματος αὐτοῦ, καὶ διατάξῃ τὰ περὶ τοῦ οἴκου αὐτοῦ· τότε δὲ βεβαία ἐλπίς ἐστιν, ὅτι πίπτει καὶ διαμένει οὐχὶ εἰς τὸν βοῤῥᾶν, τὸν τόπον τῆς κολάσεως, ἀλλ' εἰς τὸν νότον, τὸν τόπον τῆς μακαριότητος.

Ἀλλ' ὅταν ἐξαίφνης, ὥσπερ καταιγὶς ἀπροσδόκητος, καὶ ὥσπερ ἀνεμοστρόφιγξ αἰφνίδιος, παρὰ πᾶσαν ἐλπίδα ἁρπάξῃ ὁ θάνατος τὴν ζωήν· ὅταν, λέγω, τὴν ὥραν ταύτην εὑρίσκηται ὁ ἄνθρωπος ὑγιὴς καὶ εὔρωστος καὶ ἁμαρτάνων, μετὰ δὲ μίαν στιγμὴν ἄλαλος καὶ ἀναίσθητος, ποία ἐλπὶς τότε σωτηρίας; ποῦ μετάνοια τότε; ποῦ ἐξομολόγησις; ποῦ ἐπιστροφή; οὐδὲ συγγενὴς, οὐδὲ φίλος, οὐδὲ ἱερεὺς δύναται βοηθῆσαι τότε, κἂν θέλῃ, κἂν σπουδάζῃ, καὶ ἐξ ὅλης καρδίας ἐπιποθῇ· μόλις προφθάνει ὁ δυστυχὴς ἐκεῖνος νὰ αἰσθανθῇ, ὅτι ἀποθνήσκει, καὶ οἱ ἀνελεήμονες ἔρχονται ζητοῦντες τὴν ψυχὴν αὐτοῦ· Ταύτῃ Λουκ. ιβ'.
τῇ νυκτὶ τὴν ψυχήν σου ἀπαιτοῦσιν ἀπὸ σοῦ. 20.

Οἱ τῆς ἰατρικῆς ἐπιστήμης διδάσκαλοι λέγουσιν, ὅτι, ὅταν ἐν τῷ ἅμα παύσῃ ἡ κίνησις τοῦ νευρώδους ὑγροῦ, εἴτουν τοῦ ζωτικοῦ πνεύματος, εἰς τὰ περὶ τὸν ἐγκέφαλον ἀγγεῖα, παύει εὐθὺς καὶ ἡ ἐν τῇ καρδίᾳ κίνησις τοῦ αἵματος, ἐν τῷ ἅμα δὲ παύει καὶ ἡ ἀναπνοὴ, καὶ ἡ ζωή· καὶ καλοῦσι μὲν τὸ πάθος τοῦτο ἀποπληξίαν, τῆς δὲ ἀπο-

πληξίας ἀποτέλεσμα τὸν αἰφνίδιον θάνατον. Καὶ ἡμεῖς μὲν οὐκ ἐναντιούμεθα εἰς τοὺς φυσιολογοῦντας ἰατροὺς, οὐδὲ ἀποφασίζομεν, ὅτι ψευδής ἐστιν ἡ τούτων φυσιολογία· λέγομεν δὲ, ὅτι ἡ στάσις τοῦ ζωτικοῦ πνεύματος, καὶ τοῦ αἵματος οὐκ εἰσὶ τὰ πρῶτα αἴτια τοῦ αἰφνιδίου θανάτου, ἀλλὰ τὰ δεύτερα, καὶ, ἵν' οὕτως εἴπω, τὰ ὄργανα, διὰ τῶν ὁποίων ὀργανίζεται, καὶ ἐκτελεῖται ὁ αἰφνίδιος θάνατος. Ἀληθῶς ὁ πρίων πρίζει, καὶ τὸ ἄροτρον ἀροτριᾷ, καὶ τὸ δίκτυον ἀγρεύει, πλὴν ταῦτα οὐδέ εἰσιν, οὐδὲ λογίζονται αἴτια, ὄργανα δὲ μόνον εἰσὶ τῶν ἐξ αὐτῶν τελουμένων ἔργων· ὁ τέκτων δὲ τῆς οἰκοδομῆς, καὶ ὁ γεωργὸς τῆς ἀρούρας, καὶ ὁ ἁλιεὺς τῆς ἄγρας, ἐστὶ τὸ καθ' αὐτὸ καὶ πρῶτον αἴτιον.

Ὁ Θεὸς, καὶ πρὸς εὐεργεσίαν, καὶ πρὸς τιμωρίαν τῶν ἀνθρώπων, μετέρχεται τὰ κτίσματα αὐτοῦ ὡς ὄργανα· διὰ τῆς ἀνατολῆς τοῦ ἡλίου φωτίζει, καὶ διὰ τοῦ πυρὸς θερμαίνει τὴν γῆν, καὶ πάν-
Ἰησ. ι. τα τὰ ἐν αὐτῇ· διὰ τῆς στάσεως τοῦ ἡ-
12. λίου ἐξαφανίζει τοὺς Ἀμορῤαίους, καὶ
Γεν. ιθ'. διὰ τοῦ πυρὸς κατακαίει τὰ Σόδομα καὶ
24. Αὐτ. ζ. τὰ Γόμοῤῥα· διὰ τοῦ ὕδατος ποτίζει
17. τὴν γῆν, καὶ αὔξει τοὺς καρποὺς, διὰ
Ἐξ. ιδ'. τοῦ ὕδατος κατακλύει τὸν κόσμον, καὶ
27. Αὐτ. ι. καταποντίζει τοὺς Αἰγυπτίους· διὰ τοῦ
21. ἀέρος χορηγεῖ τὴν ἀναπνοὴν, καὶ δίδωσιν
Αὐτ. θ'. εἰς πάντα τὰ ζῶα ζωὴν, διὰ τοῦ ἀέρος
9. φέρει σκότος ψηλαφητὸν εἰς τὴν Αἴγυπτον, καὶ ἐπάγει κονιορτὸν, κατατραυματίζοντα τοὺς Αἰγυπτίους καὶ τὰ τετράποδα αὐτῶν· διὰ τῆς γῆς τρέφει πάντα τὰ ζῶντα, διὰ τῆς γῆς ἀποκτείνει τὸν
Ἀριθ. ις'. Δαθὰν καὶ τὸν Ἀβειρών. Αὐτὸς, ὡς ἐ-
32. ξουσιαστὴς καὶ δεσπότης καὶ τῆς στάσεως, καὶ τῆς κινήσεως, καὶ τῶν νόμων καὶ ἰδιωμάτων τῆς φύσεως, καὶ αὐτῆς τῆς φύσεως, καὶ τῶν κτισμάτων πάντων δημιουργὸς καὶ παντοδύναμος, καὶ ἵστησι, καὶ κινεῖ, καὶ μεταβάλλει τὰ πάντα, καὶ ποιεῖ ὅσα θέλει, καὶ καθὼς θέλει καὶ βούλεται. Αὐτὸς οὖν ὁ Θεὸς, ὅταν θέλῃ, καταπαύει ἐν τῷ ἅμα καὶ τὴν περὶ τὸν ἐγκέφαλον κίνησιν τοῦ ζωτικοῦ πνεύματος, καὶ τὴν ἐν τῇ καρδίᾳ κίνησιν τοῦ αἵματος, καὶ οὕτω φέρει τὸν αἰφνίδιον θάνατον.

Πρῶτον ὁ Θεὸς προβάλλει εἰς τὸν ἁμαρτάνοντα τῆς θείας αὐτοῦ φιλανθρωπίας καὶ μακροθυμίας τὰ βότανα. Ἔδωκεν εἰς τὸν πλούσιον τοῦ σημερινοῦ
Εὐαγγελίου τὸν πλοῦτον· Ἀνθρώπου, Λουκ. ιβ'.
λέγει, τινὸς πλουσίου· αὐτὸς δὲ, 16.
μηδενὶ μηδὲν μεταδοὺς, ἐπλήρωσε τὰς ἀποθήκας αὐτοῦ, καὶ κατέκλεισε τὸν πλοῦτον αὐτοῦ ἐκεῖ. Ὁ Θεὸς, ἵνα χορτάσῃ τὴν ἐπιθυμίαν αὐτοῦ, καὶ μεταβάλῃ εἰς τὸ μεταδοτικὸν ἦθος τὴν πλεονεκτικὴν αὐτοῦ γνώμην, ἀναδείκνυσι πά-
λιν τὴν γῆν αὐτοῦ καρποφόρον· Ἀν- Αὐτόθι.
θρώπου τινὸς πλουσίου εὐφόρησεν ἡ χώρα· γεννήματα καὶ καρποὶ πολλοὶ καὶ ἄμετροι, αἱ ἀποθῆκαι πλήρεις, ὁ πλοῦτος ἀχώρητος· ὁ δὲ πλούσιος, ἀντὶ νὰ ἀνοίξῃ τὰς ἀποθήκας, καὶ ἐκκενώσας αὐτὰς τῶν παλαιῶν καρπῶν, πληρώσῃ τῶν νέων, καὶ οὕτω μείνῃ πάλιν πλούσιος, καὶ ἔχῃ πεπληρωμένας τὰς ἀποθήκας, ἠκούσατε τὸ, τί διελογίσθη, καὶ τί ἀπεφάσισεν· ἐσυλλογίσθη, ἵνα κατακρημνίσῃ τὰς παλαιὰς αὐτοῦ ἀποθήκας, καὶ οἰκοδομήσῃ ἄλλας νεοκτίστους, χωρούσας καὶ τοὺς
παλαιοὺς καὶ τοὺς νέους καρπούς· Κα- Αὐτ. ιβ'.
θελῶ μου τὰς ἀποθήκας, καὶ μεί- 18.
ζονας οἰκοδομήσω. Διατί δὲ καθαιρέσεις καὶ οἰκοδομαί; μήπως, ἵνα σιτομετρῇ εἰς τοὺς χρείαν ἔχοντας, ὥσπερ ὁ πατριάρχης ὁ Ἰωσὴφ εἰς τὴν Αἴγυπ-
τον; Οὐχὶ διὰ τοῦτο, ἀλλ' ἵνα ἡ ψυχὴ Γεν. μζ'.
αὐτοῦ μόνη ἀναπαύηται, καὶ τρώγῃ, καὶ 14
πί-

Λουκ. ιβ'. πίνῃ, καὶ εὐφραίνηται· Καὶ ἐρῶ τῇ
19. ψυχῇ μου· Ψυχὴ, ἔχεις πολλὰ ἀ-
γαθὰ, κείμενα εἰς ἔτη πολλά· ἀ-
ναπαύου, φάγε, πίε, εὐφραίνου.
Ἰδὼν οὖν ὁ Θεὸς, ὅτι αὐτὸς καταφρονεῖ
Ῥωμ. β'. τοῦ πλούτου τῆς χρηστότητος αὐ-
4. τοῦ, καὶ τῆς ἀνοχῆς καὶ τῆς μα-
κροθυμίας, ἀγνοῶν, ὅτι τὸ χρη-
στὸν τοῦ Θεοῦ εἰς μετάνοιαν αὐ-
τὸν ἄγει· καὶ ὅτι οὐ μόνον μένει ἀ-
διόρθωτος, ἀλλὰ καὶ ἁμαρτάνει χεῖρον
ἢ πρότερον, τότε, εἴτε στήσας τὴν περὶ
τὸν ἐγκέφαλον κίνησιν τοῦ ζωτικοῦ πνεύ-
ματος, ὡς λέγουσιν οἱ ἰατροὶ, εἴτε κα-
τὰ ἄλλον τρόπον, ὃν αὐτὸς οἶδε, δἰ αἰ-
φνιδίου θανάτου ἐθέρισεν αὐτοῦ τὴν
Λουκ. ιβ'. ζωήν· Ταύτῃ τῇ νυκτὶ τὴν ψυχήν
20. σου ἀπαιτοῦσιν ἀπὸ σοῦ.

Πᾶσα συμφορὰ, πᾶσα θλίψις, πᾶν
κακὸν, ὅταν ἔλθῃ ἐξαίφνης, γίνεται πολ-
λὰ βαρύτερον καὶ θλιβερώτερον· διὰ
Ψαλ. ριή. τοῦτο ὁ Προφήτης τοῦ Θεοῦ ἔλεγεν· Ἡ-
60. τοιμάσθην, καὶ οὐκ ἐταράχθην.
Ὅταν ἔχῃ ὁ ἄνθρωπος προϋπάρχουσαν
εἴδησιν τοῦ κακοῦ, τοῦ ἐπὶ τὴν κεφαλὴν
αὐτοῦ κρεμαμένου, ἐὰν μὲν τὸ κακὸν
φευκτὸν, ἢ φεύγει αὐτὸ παντελῶς, ἢ διὰ
τρόπων διαφόρων ποιεῖ αὐτὸ μετριώτερον·
ἐὰν δὲ ἄφευκτον, προετοιμάζει τὴν καρ-
δίαν αὐτοῦ πρὸς τὴν τούτου ὑποδοχήν·
ἀλλ' ὅταν, χωρίς τινος, οὐδὲ μικρᾶς εἰ-
δήσεως, πίπτῃ ἐπάνω εἰς αὐτὸν ἡ συμ-
φορὰ, τότε ἐστὶν ἀπαρηγόρητος καὶ ἀ-
πρόφθαστος.

Ἀληθῶς ὁ θάνατός ἐστιν ἄφευκτος,
ἔστι φοβερὸς, κἂν προβλέπωμεν αὐτὸν
ἐρχόμενον· καὶ αὐτὸς ὁ Κύριος ἡμῶν
Ἰησοῦς Χριστὸς, ὅστις, διὰ τὴν καθ' ὑ-
πόστασιν ἕνωσιν τῆς ἀνθρωπότητος αὐ-
τοῦ, μετὰ τῆς Θεότητος εἶχε καὶ ὡς ἄν-
θρωπος πάσας τὰς ὑπερτελείους τελειό-
τητας, ἐλυπήθη, ὅταν ἦλθεν ἡ ὥρα τοῦ
Ματ. κϛ'. θανάτου αὐτοῦ· Περίλυπος, εἶπεν,
38. ἐστὶν ἡ ψυχή μου ἕως θανάτου·
καὶ παρεκάλεσε τὸν Πατέρα αὐτοῦ, ἵνα
μὴ πίῃ τοῦ θανάτου τὸ πικρὸν ποτή-
ριον· Πάτερ μου, εἰ δυνατὸν, ἀπελ- Ματ. κϛ'.
θέτω ἀπ' ἐμοῦ τὸ ποτήριον τοῦ- 39.
το· τοσαύτην δὲ ἀγωνίαν ἐδοκίμασε τὴν
ὥραν ἐκείνην, ὥστε ἐγένετο ὁ ἱδρὼς Λουκ. κβ'.
αὐτοῦ ὡσεὶ θρόμβοι αἵματος, 44.
καταβαίνοντες ἐπὶ τὴν γῆν. Ὅ-
ταν ὅμως προγνωρίσωμεν τὸν θάνατον,
τότε πρῶτον μὲν διατάσσομεν, ὡς θέ-
λομεν, τὰ περὶ τῆς οἰκίας, τὰ περὶ τῶν
τέκνων, τὰ περὶ τῶν μετὰ θάνατον ὑ-
ποθέσεων ἡμῶν· ὅθεν μένει κατὰ τοῦτο
ἡ ψυχὴ ἡμῶν ἥσυχος καὶ ἀφρόντιστος·
δεύτερον δὲ διὰ τῆς μετανοίας καὶ ἐξο-
μολογήσεως ἄραντες τὸ βαρὺ φορτίον
τῶν ἁμαρτημάτων ἡμῶν, καθησυχάζομεν
τῆς συνειδήσεως τὸν ἔλεγχον, καὶ διώ-
κομεν τὸν ὑπέρμετρον φόβον τῆς αἰωνίου
κολάσεως· τρίτον, μεταλαβόντες τῶν ἁ-
γίων μυστηρίων, συνενούμεθα τῷ Σω-
τῆρι Χριστῷ· διὸ ἔρχεται εὐθὺς εἰς τὴν
καρδίαν ἡμῶν ἡ ἐλπὶς τῆς ἐλεημοσύνης
τοῦ Θεοῦ, ἡ ἐλπὶς τῆς αἰωνίου ἀναπαύ-
σεως, ἡ ἐλπὶς τῆς ἀθανάτου βασιλείας,
ἥτις αἴρει τὴν θλίψιν τῆς στερήσεως
τοῦ κόσμου καὶ τῆς ζωῆς, καὶ φέρει τὴν
χαρὰν τῆς ἀπολαύσεως τῶν οὐρανίων
ἀγαθῶν, καὶ τῆς ἀνεκλαλήτου δόξης τοῦ
Θεοῦ· οὐδὲν ἄλλο μένει τότε πικρὸν ἅμα
καὶ φοβερὸν, εἰμὴ ἡ ἀγωνία τοῦ χωρισ-
μοῦ τῆς ψυχῆς ἀπὸ τοῦ σώματος· ἀλ-
λὰ, μετὰ ταύτην τὴν προετοιμασίαν, ἔρ-
χονται οἱ ἅγιοι Ἄγγελοι, οἱ ἐλεήμονες
καὶ φωτεινοὶ, οἵτινες, διώκοντες μακρὰν
τοὺς Δαίμονας, καὶ τὴν πικρότητα γλυ-
καίνουσι, καὶ τοὺς πόνους ἐλαφρύνουσι,
καὶ τῆς ψυχῆς τὸν φόβον διώκουσι, καὶ
χαίροντες παραλαμβάνουσιν αὐτήν. Μα-
κάριος, ἀδελφοί μου, ἐκεῖνος, ὅστις κατα-
ξιωθῇ τοιούτου καλοῦ θανάτου, ἐκεῖνος
ψάλλει μετὰ τοῦ Δαβίδ· Ἐν εἰρήνῃ Ψαλ. δ'.
9.

*ἐπὶ τὸ αὐτὸ κοιμηθήσομαι καὶ ὑπνώσω.*

Ἀλλ' ὅταν ἔλθῃ ὁ θάνατος ἀπροσδόκητος καὶ αἰφνίδιος, καὶ εὕρῃ ἡμᾶς ἐν τῷ μέσῳ τῶν ἁμαρτιῶν ἡμῶν, ὢ πόσον φοβερὸς τότε γίνεται, ὢ πόσον πικρὸς καὶ ψυχολέθριος! Βλέπει τότε ὁ δυστυχὴς ἐκεῖνος ἄνθρωπος ἐξαίφνης τοῦ θανάτου τὴν μάχαιραν ἠκονημένην καὶ γυμνὴν, καὶ ἐπὶ τὸν τράχηλον αὐτοῦ φερομένην· ζητεῖ, ἵνα φύγῃ, ἀλλὰ φυγὴ οὐκ ἔστι· θέλει, ἵνα διατάξῃ τὰ περὶ τοῦ οἴκου αὐτοῦ, ἀλλ' ὁ νοῦς συγκέχυται, καὶ οἱ διαλογισμοὶ σχεδὸν ἀπώλοντο· θέλει ἴσως ἱερέα, ἵνα ἐξομολογηθῇ, ἀλλ' ἡ γλῶσσα παρελύθη, καὶ οὐ δύναται ζητῆσαι αὐτὸν, τὸ στόμα ἐκλείσθη, καὶ οὐ δύναται ἐξαγγεῖλαι τὰς ἁμαρτίας αὐτοῦ· βλέπει, ὅτι μετὰ θάνατον ἐγκαταλείπει θλιβερὰς κρισολογίας εἰς τοὺς φιλτάτους αὐτοῦ κληρονόμους· τοῦτο τραυματίζει αὐτὸν ὀξύτατα· βλέπει, ὅτι ἀποθνήσκει ἀμετανόητος, καὶ αἰσθάνεται τοῦ φοβεροῦ κριτηρίου τὴν ἀπόφασιν, καὶ τῆς αἰωνίου κολάσεως τὴν τιμωρίαν· τοῦτο φέρει εἰς αὐτὸν τοῦ ᾅδου τὰς ὀδύνας· ἐκ τούτου σκοτεινὸς θόρυβος, φόβοι ἐντρομώτατοι, σπαραγμοὶ ἐλεεινοὶ, ἀπελπισμὸς τέλειος. Ἐπὶ τούτοις καὶ οἱ Δαίμονες οἱ σκοτεινοὶ καὶ ἄσπλαγχνοι, τὰς πράξεις ἐλέγχοντες, καὶ τὴν ψυχὴν αὐτοῦ ἀπαιτοῦντες, σπαράττουσιν αὐτὸν βασανιστικώτατα· σχίζεται τέλος πάντων ἀνιλεῶς ἡ ψυχὴ ἀπὸ τοῦ σώματος, καὶ τρέμουσα καὶ στένουσα, ἁρπάζεται βιαίως. Κύριε παντελεήμων, ῥῦσαι ἡμᾶς ταύτης τῆς φοβερᾶς καταδίκης. Οὐαὶ, ἀδελφοί μου, εἰς ἐκεῖνον τὸν ἄνθρωπον, ὅστις τοιουτοτρόπως ἀποθάνῃ· οὗτός ἐστιν ὁ κακὸς θάνατος, περὶ οὗ ὁ προφήτης Δαβὶδ λέγει· *Θάνατος ἁμαρτωλῶν πονηρός.* (Ψαλ. λγ'. 21.)

Ταλαίπωροι ἄνθρωποι, οὐ μόνον ἀγνοοῦμεν τὴν ὥραν τοῦ θανάτου, ἀλλ' οὐδὲ οἴδαμεν ποῖον τοῦ θανάτου ἡμῶν τὸ εἶδος· ἄραγε ἔρχεται εἰς ἐμὲ ὁ θάνατος ἥμερος καὶ πρᾶος, ἢ ἄγριος καὶ θηριώδης; ἄραγε βλέπω ἐγὼ πρῶτον τὰ θανατηφόρα αὐτοῦ σημεῖα, ἢ αὐτός με προφθάνει, ὡς ὁ κλέπτης, κρυφίως; ἄραγε δίδωσί μοι καιρὸν, κἂν ὀλίγον, ἵνα κλαύσω διὰ τὰς ἁμαρτίας μου, ἢ ἁρπάζει με εὐθὺς ἀμετανόητον; διατί τόσον σκότος, διατί τόση ἄγνοια διὰ τοῦ θανάτου τὴν ὥραν, καὶ διὰ τὸ εἶδος τοῦ θανάτου, ἐξ ὧν κρέμαται τῆς ψυχῆς ἡ σωτηρία; Ταῦτα, ἀγαπητοί μου, ᾠκονόμησεν ὁ φιλανθρωπότατος Θεὸς διὰ τὴν ἡμετέραν σωτηρίαν· ἡ ἄγνοια τῆς ὥρας φέρει φόβον, ὁ φόβος βάλλει χαλινὸν, ὁ χαλινὸς ἀνακόπτει τὴν εἰς τὰς ἁμαρτίας ὁρμὴν καὶ τὴν πτῶσιν· ἡ ἄγνοια τῆς ὥρας φέρει προσοχὴν, ἡ προσοχὴ προθυμίαν, ἡ προθυμία ἐργάζεται τῆς ἀρετῆς τὰ κατορθώματα· διὰ τοῦτο οὐκ ἐφανέρωσε καλὸς ἢ πονηρὸς ἔσεται ὁ θάνατος ἡμῶν, ἵνα, φοβούμενοι, φεύγωμεν τὴν ἁμαρτίαν, ἵνα, προσέχοντες, ἐργαζώμεθα τὴν ἀρετήν. Ποσάκις διὰ τὸν φόβον τοῦ θανάτου ἀπέχομεν ἀπὸ τῆς ἁμαρτίας; ποσάκις, φοβούμενοι, μήπως αὔριον ἀποθάνωμεν, ἐργαζόμεθα τὰ καλὰ ἔργα; διατί λοιπὸν προσκλαιόμεθα; ἴσως θέλομεν γνωστὴν τὴν ὥραν τοῦ θανάτου ἡμῶν, ἵνα πραγματευώμεθα τῆς ψυχῆς τὴν σωτηρίαν, τουτέστιν, ἵνα ἁμαρτάνωμεν πᾶσαν φοβερὰν ἁμαρτίαν ἕως τῆς ἐσχάτης ὥρας τῆς ζωῆς ἡμῶν, τότε δὲ, προστρέχοντες εἰς τὴν μετάνοιαν, νὰ κερδαίνωμεν τὴν βασιλείαν τῶν οὐρανῶν· *ἀλλ' ὁ Θεὸς οὐ μυκτηρίζεται*, ὡς παντεπόπτης δὲ καὶ δίκαιος, βλέπει τὰ διανοήματα ἡμῶν, καὶ κρίνει δικαίως πᾶσαν τὴν οἰκουμένην. (Γαλ. ς'. 7.)

Ἡ ὥρα τοῦ θανάτου ἐστὶν ἄδηλος,

ὁ θάνατος ἔρχεται πολλάκις αἰφνίδιος.
Ναί, ἀληθῶς· ἀλλ' ὁ Σωτήρ σου καὶ Κύ-
ριος ἐδίδαξέ σε τί πρέπει νὰ πράξῃς·
Ματ. κε'. Γρηγορεῖτε οὖν, εἶπεν, ὅτι οὐκ οἴ-
13. δατε τὴν ἡμέραν, οὐδὲ τὴν ὥραν,
ἐν ᾗ ὁ Υἱὸς τοῦ ἀνθρώπου ἔρχε-
Αὐτ. κδ'. ται. Διὰ τοῦτο καὶ ὑμεῖς, εἶπε,
44. γίνεσθε ἕτοιμοι, ὅτι ᾗ ὥρᾳ οὐ
δοκεῖτε ὁ Υἱὸς τοῦ ἀνθρώπου ἔρ-
χεται. Λοιπὸν γρηγόρει, καὶ πρόσεχε,
λοιπὸν γίνου ἕτοιμος· ἔρχεται, ναί, ἐ-
ξαίφνης ὁ θάνατος, ἀλλ' εἰς ποῖον; εἰς
τὸν μὴ γρηγοροῦντα, καὶ εἰς τὸν ἀνέτοι-
μον. Ἐάν τις κατασταθῇ πονηρὸς καὶ
διεστραμμένος, διαλογίζεται δέ, ὅτι ὁ
θάνατος ἀργοπορεῖ, καὶ οὐκ ἔρχεται τα-
χέως, ὅθεν ὑβρίζει, δέρρει, ἁρπάζει,
καταδυναστεύει τοὺς ἀδελφοὺς αὐτοῦ,
καὶ ἀπεριμερίμνως προσηλοῦται εἰς τὰς
πολυφαγίας, καὶ πολυποσίας, καὶ μέ-
θας, καὶ εἰς τὰς λοιπὰς ἀνομίας καὶ
Αὐτόθι. ἁμαρτίας· Ἐὰν δὲ εἴπῃ ὁ κακὸς δοῦ-
48, 49. λος ἐκεῖνος ἐν τῇ καρδίᾳ αὐτοῦ·
Χρονίζει ὁ κύριός μου ἐλθεῖν·
καὶ ἄρξηται τύπτειν τοὺς συν-
δούλους, ἐσθίειν δὲ καὶ πίνειν
μετὰ τῶν μεθυόντων· ἐκεῖνον, κα-
τ' ἐκείνην τὴν ἡμέραν, καθ' ἣν αὐτὸς οὐ
περιμένει, καὶ κατ' ἐκείνην τὴν ὥραν, ἣν
αὐτὸς οὐ γνωρίζει, ἁρπάζει αἰφνιδίως ὁ
Αὐτ. 50. θάνατος· Ἥξει ὁ κύριος τοῦ δού-
λου ἐκείνου ἐν ἡμέρᾳ, ᾗ οὐ προσ-
δοκᾷ, καὶ ἐν ὥρᾳ, ᾗ οὐ γινώσκει.

Ἡ ὥρα τοῦ θανάτου ἐστὶν ἄδηλος·
ὁ θάνατος ἔρχεται ὡς ὁ κλέπτης. Ναί,
ἀληθῶς· λοιπὸν γρηγόρει, καὶ πρόσεχε,
λοιπὸν γίνου ἕτοιμος, διότι ὁποῖον εὕρῃ
ἀμετανόητον καὶ ἀνέτοιμον, αὐτὸν ὁ Κύ-
Αὐτ. 51. ριος διχοτομήσει, καὶ τὸ μέρος αὐ-
τοῦ μετὰ τῶν ὑποκριτῶν θήσει·
ἐκεῖ ἔσται ὁ κλαυθμὸς, καὶ ὁ
βρυγμὸς τῶν ὀδόντων· λοιπὸν κα-
θεὶς ἔχει χρείαν μεγάλης προσοχῆς, κα-
θεὶς ἔχει ἀνάγκην καθημερινῆς ἑτοιμα-
σίας, καθεὶς χρεωστεῖ ἰδιάζουσαν περὶ
τούτου φροντίδα, καὶ ἰδιάζουσαν πυκνὴν
πρὸς τὸν Θεὸν δέησιν, ἵνα, ἐλεήσας αὐτὸν
κατὰ τὸ μέγα αὐτοῦ ἔλεος, λυτρώσῃ ἀ-
πὸ τοῦ αἰφνιδίου καὶ πονηροῦ θανάτου.

Ἡ ὥρα τοῦ θανάτου ἐστὶν ἄδηλος·
ὁ θάνατος ἔρχεται πολλάκις αἰφνίδιος.
Ναί, ἀληθῶς· ἀλλὰ διατί περὶ τούτου
προσκλαίεσαι; ἐὰν θέλῃς, δύνασαι διώ-
ξαι καὶ τὸν φόβον τοῦ αἰφνιδίου θανά-
του, καὶ τὴν πανώλεθρον αὐτοῦ βλάβην.
Γίνου δοῦλος τοῦ Κυρίου πιστὸς καὶ
φρόνιμος, ὡς ὁ Ἀβραὰμ καὶ ὁ Ἰσαάκ·
τότε ἀποθνήσκεις πρεσβύτης, ἐν γή- Γεν. κε'. 8.
ρᾳ καλῷ· ἀποθνήσκεις δὲ οὐχὶ βιαίως Αὐτ. λε'.
καὶ αἰφνιδίως, ἀλλ' ἱλαρῶς καὶ προεγνω- 29.
σμένως· μετὰ δὲ τὸν θάνατον προστί-
θεσαι εἰς τὴν τάξιν τῶν δικαίων. Γίνου
δοῦλος τοῦ Κυρίου πιστὸς καὶ φρόνιμος,
ὡς ὁ Ἰακὼβ καὶ ὁ Ἰωσήφ· τότε γνωρί-
ζεις καὶ σὺ τὴν ὥραν τοῦ θανάτου σου,
καὶ προλέγεις ὡς ἐκεῖνοι· Ἰδοὺ ἐγὼ ἀ- Αὐτ. μη'.
ποθνήσκω· τότε βλέπεις υἱοὺς τῶν 21. Αὐτ. ν'.
υἱῶν σου, τότε ἀποθνήσκεις εὐλογῶν καὶ 24.
εὐχόμενος τὰ τέκνα σου, τότε προσδιορί-
ζεις πρῶτον τὰ περὶ τῆς ταφῆς σου, ἔ-
πειτα ἐξαπλοῖς τοὺς πόδας σου ἐπὶ τὴν
κλίνην σου, καὶ κοιμᾶσαι καὶ ἀναπαύε- Αὐτ. μθ'.
σαι ἐν εἰρήνῃ, καὶ αἰωνίᾳ ἀγαλλιάσει. 33.
Γίνου δοῦλος τοῦ Κυρίου πιστὸς καὶ
φρόνιμος· πιστὸς, φυλάττων ὡς κόρην
ὀφθαλμοῦ ἕως ἐσχάτης σου ἀναπνοῆς τὴν
ὀρθόδοξον πίστιν· φρόνιμος, ἀπέχων ἀπὸ
πάσης ἁμαρτίας, καὶ ἐργαζόμενος πᾶ-
σαν ἀρετήν· τότε δὲ μὴ φοβηθῇς αἰφνί-
διον θάνατον, τότε μὴ φοβηθῇς κόλασιν
αἰώνιον, διότι, ὅταν ἔλθῃ ὁ θάνατος, καὶ
εὕρῃ σε τοιοῦτον, τότε ὁ Δεσπότης καὶ Κύ-
ριός σου συντάσσει σε μετὰ τῶν μακαρίων·
διότι αὐτὸς εἶπε· Μακάριος ὁ δοῦλος Ματ. κδ'.
ἐκεῖνος, ὃν ἐλθὼν ὁ Κύριος αὐτοῦ, 46.
εὑρήσει ποιοῦντα οὕτως. Ἀμήν.

# ΕΡΜΗΝΕΙΑ

### ΕΙΣ ΤΟ ΚΑΤΑ

# ΛΟΥΚΑΝ

## ΕΥΑΓΓΕΛΙΟΝ ΤΗΣ Ι'. ΚΥΡΙΑΚΗΣ.

Καὶ εἰς ἄλλα μέρη τῆς παλαιᾶς καὶ
νέας Γραφῆς βλέπομεν, ὅτι ὁ Σατανᾶς,
κατὰ ἄδειαν, ἢ κατὰ παραχώρησιν τοῦ
Θεοῦ, διαφόρους ἐπιφορτίζει τὸν ἄνθρω-
πον ἀσθενείας. Αἱ πληγαὶ τοῦ δικαίου
Ἰώβ. β'. Ἰὼβ, ὃν ὁ Διάβολος ἐτραυμάτισεν ἕλ-
7. κει πονηρῷ ἀπὸ κεφαλῆς ἕως πο-
Α'. Βασιλ. δῶν, καὶ ὁ ὑπὸ τοῦ πονηροῦ πνεύμα-
ις'. 14, τος πνιγμὸς τοῦ Σαοὺλ, ὃν διὰ τῆς κι-
23. νύρας κατεπραΰνεν ὁ Δαβὶδ, καὶ ἡ κώ-
Ματ. θ'. φωσις τοῦ ἀνθρώπου, τοῦ θεραπευθέν-
33. τος ὑπὸ τοῦ Ἰησοῦ Χριστοῦ, καὶ ὁ ὄλε-
θρος τῆς σαρκὸς τοῦ ἀνόμου ἀνθρώπου,
Α'. Κορ. ε'. τοῦ κατὰ τὴν προσταγὴν τοῦ Παύλου
5. παραδοθέντος τῷ Σατανᾷ, καθαρὰ τοῦ-
το μαρτυροῦσιν. Ἡ ἱστορία ὅμως τοῦ
σημερινοῦ Εὐαγγελίου τοῦτο αὐτὸ το-
σοῦτον σαφέστερον παρέστησεν, ὥστε οὐ-
δεὶς τῶν πιστῶν οὐδὲ κἂν μικροτάτην
δύναται ἔχειν περὶ τούτου ἀμφιβολίαν·
διότι ὁ Κύριος ἡμῶν οὐ μόνον εἶπεν ἁ-
πλῶς περὶ τῆς συγκυπτούσης γυναικὸς,
Λουκ. ιγ'. ὅτι ἔδησεν αὐτὴν ὁ Σατανᾶς ἔτη
16. δέκα καὶ ὀκτὼ, ἀλλὰ καὶ διὰ παρα-
δείγματος τοῦτο ἐβεβαίωσεν, ἐλέγξας
τὸν ὑποκριτικὸν τοῦ Ἀρχισυναγώγου ζῆ-
λον. Ἡ ἱστορία ἐστὶν ἁπλῆ, περιεστα-
τωμένη, καὶ τοσοῦτον σαφὴς, ὥστε οὐδὲ
ἑρμηνείας χρείαν ἔχει. Ἐπειδὴ δὲ κα-
θὼς τὸ μύρον ὅσον ψηλαφᾶται καὶ τρί-
βεται, τοσοῦτον εὐωδιάζει καὶ τέρπει,
οὕτω καὶ τοῦ Θεοῦ τὰ λόγια ὅσον με-
λετῶνται καὶ διερμηνεύονται, τοσοῦτον
φωτίζουσι καὶ ὠφελοῦσι, διὰ τοῦτο εἰς
ὠφέλειαν τῶν ἀκουόντων προβάλλομεν
τῆς ἱστορίας ταύτης τὴν ἑρμηνείαν.

**Τῷ καιρῷ ἐκείνῳ, ἦν διδάσ- Λουκ. ιγ'.
κων ὁ Ἰησοῦς ἐν μιᾷ τῶν 10.
Συναγωγῶν ἐν τοῖς σάββασι.**

Οἱ Ἰουδαῖοι, τῷ σαββάτῳ πάσης Πραξ. ιε'.
ἑβδομάδος, συναθροιζόμενοι εἰς τὰς Συ- 21.
ναγωγὰς αὐτῶν, ἀνεγίνωσκον τὴν θείαν
Γραφὴν, ἐπεξήγουν δὲ αὐτὴν καὶ διηρμή-
νευον οἱ σοφοὶ καὶ διδάσκαλοι αὐτῶν. Αὐτ. ιγ'.
Εἰς μίαν οὖν τούτων τῶν Ἰουδαϊκῶν Συ- 14, 15.
ναγωγῶν ἐλθὼν ὁ Ἰησοῦς Χριστὸς ἐν
ἡμέρᾳ σαββάτου, ἐδίδασκε, διερμηνεύων
τῆς ἁγίας Γραφῆς τὰ λόγια, καὶ ἐξη-
γῶν τὸ μυστήριον τῆς ἑαυτοῦ ἐνανθρω-
πήσεως, καθὼς καὶ ὅταν εἰσῆλθεν εἰς
τὴν ἐν Ναζαρὲτ Συναγωγὴν, ὅπου ἐπε- Λουκ. δ'.
δόθη αὐτῷ βιβλίον Ἠσαΐου τοῦ 17.
Προφήτου.

**Καὶ ἰδοὺ, γυνὴ ἦν πνεῦμα Αὐτ. ιγ'.
ἔχουσα ἀσθενείας ἔτη δέκα 11.
καὶ ὀκτώ· καὶ ἦν συγκύπτου-
σα, καὶ μὴ δυναμένη ἀνακύψαι
εἰς τὸ παντελές.**

Ἡ ἀσθενοῦσα γυνὴ ἦν Ἑβραία τὸ
γένος, ὡς ἐκ τοῦ Ἀβραὰμ καταγομένη· Αὐτόθι
16.

ὅθεν

ὅθεν ὡς πιστὴ ἦλθε τὸ σάββατον εἰς τὴν Συναγωγὴν, ἵνα ἀκούσῃ τῆς Θείας Γραφῆς τὴν ἀνάγνωσιν, καὶ τὴν ἐξήγησιν. Οὐκ εἶπε δὲ περὶ αὐτῆς ὁ Εὐαγγελιστὴς, ὅτι ἠσθένει, ἢ ὅτι ἦν ἀσθενοῦσα, ἀλλ᾽ ὅτι εἶχε πνεῦμα ἀσθενείας, ἵνα φανερώσῃ, ὅτι πνεῦμα πονηρὸν, ἤγουν ὁ Σατανᾶς ἐβασάνιζεν αὐτὴν διὰ τῆς τοιαύτης ἀσθενείας δεκαοκτὼ ἔτη. Καὶ ὀπισθότονος μὲν ἀνίατος, ὀνομάζεται ἡ ἀσθένεια, ἡ ἀναστρέφουσα τὴν κεφαλὴν τοῦ ἀνθρώπου εἰς τὰ ὀπίσω αὐτοῦ μέρη, καὶ ἐπικυρτοῦσα αὐτὸν εἰς τὰ ὀπίσω, καὶ ἰσχυρῶς αὐτὸν ἐντείνουσα· ταύτης δὲ τῆς γυναικὸς τὴν ἀσθένειαν πρεπόντως δύναταί τις ὀνομάσαι ἐμπροσθότονον, διότι αὐτὴ ἦν κεκυρτωμένη ἐπὶ τὰ ἔμπροσθεν, καὶ κάτω νεύουσα τὴν κεφαλὴν, καὶ τοσοῦτον ἐντετονωμένη καὶ στερεωμένη εἰς τὴν τοιαύτην θέσιν, ὥστε οὐδόλως ἠδύνατο ὑψῶσαι τὴν κεφαλὴν αὐτῆς, καὶ ἰδεῖν τὸν οὐρανόν. Θέαμα ἦν ἀληθῶς ἐλεεινὸν, ὡς κρίκος ἐφαίνετο πετραῖος, καὶ οὐχὶ ἄνθρωπος· τύπος αὐτὴ παντὸς ἀνθρώπου, συνεργείᾳ τοῦ Διαβόλου προσηλωμένου καὶ βλέποντος διαπαντὸς κάτω εἰς τὰ γήϊνα καὶ μάταια πράγματα, καὶ μηδέποτε ἀνυψοῦντος τὰ ὄμματα εἰς τὸν οὐρανὸν, μηδὲ ἀναλογιζομένου τὸν Θεὸν, τὴν κρίσιν, καὶ τὴν μέλλουσαν ζωήν.

Λουκ. ιγ'. 12. Ἰδὼν δὲ αὐτὴν ὁ Ἰησοῦς,
προσεφώνησε, καὶ εἶπεν αὐτῇ·
Γύναι, ἀπολέλυσαι τῆς ἀσ-
13. θενείας σου. Καὶ ἐπέθηκεν
αὐτῇ τὰς χεῖρας· καὶ παρα-
χρῆμα ἀνωρθώθη, καὶ ἐδόξα-
ζε τὸν Θεόν.

Οὐδὲ ἡ ἀσθενοῦσα, οὐδὲ ἄλλος τὶς παρεκάλεσεν, ἢ ἱκέτευσε περὶ τῆς ἰατρείας αὐτῆς· αὐτὸς δὲ ὁ Σωτὴρ μόνον, ὡς εἶδεν αὐτὴν πάσχουσαν, εὐσπλαγχνίσθη ἐπ᾽ αὐτῇ, καὶ προσφωνήσας, καὶ εἰπὼν τὸ, Ἀπολέλυσαι, ἰάτρευσεν αὐτὴν ἀπὸ τῆς ἀσθενείας αὐτῆς, παράδειγμα δοὺς εἰς ἡμᾶς, ἵνα καὶ ἡμεῖς, ὅταν βλέπωμεν τοὺς χρείαν ἔχοντας τῆς εὐεργεσίας ἡμῶν, μὴ περιμένωμεν μεσιτείας καὶ δεήσεις, ἀλλ᾽ αὐτοπροαιρέτως εὐσπλαγχνιζόμενοι, εὐεργετῶμεν αὐτούς. Ἐπειδὴ δὲ ἡ ἀσθένεια τῆς γυναικὸς οὐκ ἦν ἀσθένεια φυσικὴ, καθὼς ἡ λέπρα, ὁ ὕδρωψ, ἡ τυφλότης, ἡ κώφωσις, ἡ παράλυσις, καὶ αἱ λοιπαὶ ἀσθένειαι, ὅσας αὐτὸς ἐθεράπευσεν, ἀλλ᾽ ἦν δεσμὸς τοῦ Σατανᾶ, διὰ τοῦτο εἶπε τὸ, Ἀπολέλυσαι τῆς ἀσθενείας σου, ἐλύθης δηλαδὴ ἀπὸ τοῦ δεσμοῦ τοῦ Σατανᾶ. Βλέπε δὲ, ὅτι λέγων τὸ, Ἀπολέλυσαι ἀπὸ τῆς ἀσθενείας σου, ἅμα ἔβαλεν ἐπάνω εἰς αὐτὴν καὶ τὰς παναγίας αὐτοῦ χεῖρας, ἵνα διὰ τούτου δείξῃ τὴν ἐξουσίαν τοῦ παντοδυνάμου αὐτοῦ λόγου, ἅμα δὲ καὶ τὴν θαυματουργικὴν χάριν τῶν θείων αὐτοῦ χειρῶν. Βλέπε δὲ καὶ τὴν γυναῖκα, εὐθὺς λελυμένην ἐκ τοῦ σατανικοῦ δεσμοῦ, καὶ ἀνωρθωμένην, καὶ δοξάζουσαν τὸν Θεὸν, τὸν εὐεργέτην αὐτῆς καὶ δεσπότην.

Ἀποκριθεὶς δὲ ὁ Ἀρχισυνά- Λουκ. ιγ'. 14.
γωγος, ἀγανακτῶν, ὅτι τῷ σαβ-
βάτῳ ἐθεράπευσεν ὁ Ἰησοῦς,
ἔλεγε τῷ ὄχλῳ· Ἓξ ἡμέραι
εἰσὶν, ἐν αἷς δεῖ ἐργάζεσθαι·
ἐν ταύταις οὖν ἐρχόμενοι θε-
ραπεύεσθε, καὶ μὴ τῇ ἡμέρᾳ
τοῦ σαββάτου.

Ὁ φθόνος, καὶ οὐχὶ ὁ ὑπὲρ τοῦ νόμου ζῆλος, ἐξήγειρε τὸν προεστῶτα τῆς Συναγωγῆς εἰς θυμὸν καὶ ἀγανάκτησιν· διότι ὁ νόμος τοῦ Θεοῦ ἀργίαν πάντων τῶν ἐργοχείρων ἐδιώρισε κατὰ τὴν ἡμέραν τοῦ σαββάτου, οὐχὶ δὲ καὶ ἀργίαν τῆς διὰ θαυματουργικοῦ λόγου θεραπείας. Σημείωσαι δὲ πρῶτον, ὅτι ὡς ὑποκριτὴς σκεπάζει τὸν φθόνον αὐτοῦ διὰ τοῦ ζήλου· καὶ ἔστι μὲν φθονερώτατος, δείκνυσι δὲ ἑαυτὸν ζηλωτικώτατον· καὶ τοῖς μὲν χείλεσιν ὑπερασπίζεται τάχα τοῦ Θεοῦ τὸν νόμον, τὸν προστάζοντα ἀργίαν ἐν τῇ ἡμέρᾳ τοῦ σαββάτου, τῇ δὲ καρδίᾳ καὶ τῷ σκοπῷ κατακρίνει τὸ θαῦμα, καὶ καταδικάζει τὸν θαυματουργόν· καὶ ἔξωθεν μὲν φαίνεται ζηλωτὴς καὶ δίκαιος, ἔσωθεν δὲ γέμει φθόνου καὶ ἀδικίας. Δεύτερον δὲ παρατήρησον τὴν δειλίαν αὐτοῦ καὶ τὴν πονηρίαν. Οὐ τολμᾷ οὐδὲ κατακρῖναι φανερὰ κατ' εὐθεῖαν τὸ θαῦμα, οὐδὲ κἂν λαλῆσαι μετὰ τοῦ Ἰησοῦ Χριστοῦ κατὰ πρόσωπον· ἀλλ' οὐδὲ λέγει καθαρὰ ἐκεῖνο, ὅπερ ἐβούλετο εἰπεῖν· στραφεὶς δὲ πρὸς τὸ ἐκεῖ πλῆθος τοῦ λαοῦ, ὡς ὕπουλος, πρὸς αὐτοὺς διευθύνει τὸν λόγον· Ἓξ ἡμέραι, λέγει, τῆς ἑβδομάδος εἰσὶν, ὑπὸ τοῦ νόμου ὡρισμέναι διὰ τὴν ἐργασίαν παντὸς ἔργου· ὅταν οὖν ἀσθενῆτε, ἐν ταύταις ταῖς ἓξ ἡμέραις ἔρχεσθε εἰς τοὺς ἰατροὺς, καὶ θεραπεύετε τὰς ἀσθενείας ὑμῶν, καὶ μὴ ἐν τῇ ἡμέρᾳ τοῦ σαββάτου, ἥτις ἐστὶν ἡμέρα ἑορτῆς καὶ ἀργίας. Τί δὲ πρὸς τὰ παραλογήματα τοῦ Ἀρχισυναγώγου ἀπεκρίθη ὁ Ἰησοῦς;

Λουκ. ιγ'. 15. Ἀπεκρίθη οὖν αὐτῷ ὁ Κύριος,
καὶ εἶπεν· Ὑποκριτὰ, ἕκαστος
ὑμῶν τῷ σαββάτῳ οὐ λύει τὸν
βοῦν αὐτοῦ, ἢ τὸν ὄνον ἀπὸ
τῆς φάτνης, καὶ ἀπαγαγὼν
ποτίζει; Ταύτην δὲ, θυγατέ- 16.
ρα Ἀβραὰμ οὖσαν, ἣν ἔδησεν
ὁ Σατανᾶς ἰδοὺ δέκα καὶ ὀκτὼ
ἔτη, οὐκ ἔδει λυθῆναι ἀπὸ
τοῦ δεσμοῦ τούτου τῇ ἡμέρᾳ
τοῦ σαββάτου;

Θεοπρεπῶς ἐξήλεγξεν ὁ Θεάνθρωπος διὰ τῆς ἀποκρίσεως αὐτοῦ τὴν τοῦ Ἀρχισυναγώγου ὑπόκρισιν. Ὑποκριτὰ, εἶπε, καθεὶς ὑμῶν τῶν Ἰουδαίων τῷ σαββάτῳ λύει ἀπὸ τῆς φάτνης τὸ ἄλογον ζῶον, τὸν βοῦν ἢ τὸν ὄνον, καὶ, φέρων αὐτὸ ὅπου τὸ ὕδωρ, ποτίζει, καθότι τοῦτο οὐκ ἐμποδίζεται ὑπὸ τοῦ νόμου· σὺ δὲ ταύτης τῆς γυναικὸς, ἥτις ἐστὶν ἄνθρωπος λογικὸς, καὶ τοῦ Ἀβραὰμ θυγάτηρ, ὡς ἐκ τοῦ γένους αὐτοῦ καταγομένη, κατακρίνεις ὡς παράνομον τὴν λύσιν ἀπὸ τοῦ πολυχρονίου δεσμοῦ τοῦ Σατανᾶ, ὅστις ἔδησεν αὐτὴν διὰ τῆς βαρυτάτης ἀσθενείας δέκα καὶ ὀκτὼ ἔτη, καὶ διὰ τοῦτο παραγγέλλεις καὶ διδάσκεις τὸν λαὸν, ἵνα μὴ θεραπεύωσι τὰς ἀσθενείας αὐτῶν τῇ ἡμέρᾳ τοῦ σαββάτου; Σημείωσαι δὲ, ὅτι ὡς προνόμιον τῆς γυναικὸς προβάλλει ὁ Ἰησοῦς τοῦ Ἀβραὰμ τὸ γένος, οὐχὶ διὰ τὸ γένος, διότι ἐν παντὶ ἔθνει ὁ φο- Πράξ. ί, 35.
βούμενος αὐτὸν, καὶ ἐργαζόμενος δικαιοσύνην, δεκτὸς αὐτῷ ἐστίν· ἀλλὰ διὰ τὴν ὀρθὴν πίστιν τοῦ γένους· εἶπεν οὖν αὐτὴν θυγατέρα τοῦ Ἀβραὰμ, σημαίνων, ὅτι ἦν πιστὴ, καὶ φοβουμένη τὸν Θεὸν, καὶ αὐτῷ μόνῳ λατρεύουσα· ὅθεν διὰ τοῦτο πρέπουσα καὶ νόμιμος ἦν ἡ λύσις αὐτῆς ἀπὸ τοῦ σατανικοῦ δεσμοῦ.

Καὶ ταῦτα λέγοντος αὐτοῦ, Λουκ. ιγ'. 17.

κα-

κατῃσχύνοντο πάντες οἱ ἀντικείμενοι αὐτῷ· καὶ πᾶς ὁ ὄχλος ἔχαιρεν ἐπὶ πᾶσι τοῖς ἐνδόξοις τοῖς γινομένοις ὑπ' αὐτοῦ.

Ὅτε ταῦτα ἔλεγεν ὁ Ἰησοῦς Χριστὸς, τότε τοὺς μὲν φθονεροὺς, καὶ διὰ τὸν φθόνον ἐναντιουμένους αὐτῷ, περιεκάλυψεν αἰσχύνη καὶ ἐντροπή· μηδὲν δὲ ἔχοντες ἀντειπεῖν κατὰ τῶν θείων αὐτοῦ λόγων, ἐφιμώθησαν, καὶ ἐσιώπησαν. Πᾶν δὲ τὸ πλῆθος τοῦ λαοῦ, καθαρὸν ὑπάρχον φθόνου, οὐδόλως προσεῖχε ταῖς παραλογίαις τοῦ Ἀρχισυναγώγου, ἀλλ' ἔχαιρεν ἐπὶ τοῖς ἐνδόξοις, ἤγουν διὰ τὰ ἔνδοξα καὶ ὑπέρλαμπρα θαυμάσια, τὰ ὑπὸ τοῦ Ἰησοῦ Χριστοῦ γινόμενα.

# ΟΜΙΛΙΑ

### ΜΕΤΑ ΤΟ ΚΑΤΑ

# ΛΟΥΚΑΝ

## ΕΥΑΓΓΕΛΙΟΝ ΤΗΣ Ι'. ΚΥΡΙΑΚΗΣ.

Ἠκούσατε τὸν Θεάνθρωπον ποίαν ὀνομασίαν ἔδωκεν εἰς τὸν Ἀρχισυνάγωγον, ὅστις ἄλλα μὲν ἔλεγεν, ἄλλα δὲ ἐνόει, ἄλλα ἦσαν τὰ λόγια, καὶ ἄλλος ὁ σκοπὸς τῶν λόγων αὐτοῦ; Ὑποκριτὴν ὠνόμασεν αὐτὸν ὁ Θεάνθρωπος· Ὑποκριτά, εἶπε πρὸς αὐτὸν, ἔπειτα ἐξήλεγξε, καὶ κατεθεάτρισε τὴν τούτου ὑπόκρισιν. Τῆς ὑποκρίσεως τὸ ἁμάρτημα, τὸ ὁποῖον ἄλλοι μὲν ὀνομάζουσιν ἐπιτηδειότητα φυσικὴν, ἄλλοι δὲ τέχνην ὠφέλιμον, καὶ ἄλλοι ἀναγκαίαν οἰκονομίαν, ἐστὶν ἁμάρτημα μέγα, καὶ πολλῶν καὶ ποικίλων καὶ μεγάλων ἁμαρτιῶν πρόξενον. Ἡ ὑπόκρισις ῥίζαν μὲν ἔχει τὴν πονηρίαν, καρποὺς δὲ τὸ ψεῦδος, τὴν ἀπάτην, τὴν δολιότητα, τὴν αἰσχροκέρδειαν, τὴν ἀτιμίαν τοῦ πλησίον καὶ τὴν βλάβην. Ὑμεῖς ἴσως, ταῦτα ἀκούοντες, νομίζετε, ὅτι εἰσὶ καινὰ, καὶ παράδοξα, καὶ ψευδεπίπλαστα· ἵνα οὖν πληροφορηθῆτε, ὅτι ταῦτά εἰσι παλαιὰ καὶ συνήθη, καὶ ἀληθινὰ, ἀνοίγω τὰς θείας Γραφάς.

Ὁ Θεὸς, ὅστις διὰ τὴν φιλανθρωπίαν αὐτοῦ θέλει τὰ ἤθη τῶν ἀνθρώπων τίμια, τὸν νοῦν αὐτῶν καθαρὸν, καὶ τὴν ψυχὴν ἁγίαν, προστάττει λέγων·
Ἔστω δὲ ὁ λόγος ὑμῶν, ναὶ, ναὶ, Ματ. ε.
οὒ, οὔ· τὸ δὲ περισσὸν τούτων ἐκ 37.
τοῦ πονηροῦ ἐστίν· Ἄνθρωπε, λέγει, τὸ ναὶ συλλογίζεται ὁ νοῦς σου; τὸ ναὶ λεγέτω καὶ τὸ στόμα σου· τὸ οὒ συλλογίζεται ὁ νοῦς σου; τὸ οὒ λεγέτω καὶ τὸ στόμα σου· τὸ δὲ περισσὸν τοῦ ναὶ καὶ τοῦ οὒ, ἤγουν αἱ ἀμφιλογίαι, καὶ τὰ διφορούμενα λόγια, καὶ ἡ ἐπιτετηδευμένη σκοτεινὴ ἀπόκρισις, ἐκ τοῦ πονηροῦ εἰσίν. Ἐὰν ἄλλο στοχάζεσαι, καὶ ἄλλο λέγῃς, ἐὰν ὁ λόγος σου λέγῃ ναὶ, καὶ τὸ ἔργον σου οὒ, ἢ τὰ πράγματα λέγωσι ναὶ, καὶ ὁ λόγος σου οὒ, ταῦτά εἰσι γεννήματα τῆς πονηρίας, εἰσὶν ἐφευρέματα τοῦ Διαβόλου· ταῦτά εἰ-

σιν ἡ ὑπόκρισις, ὡς βεβαιοῖ ὁ θηγόρος Ἰάκωβος, ἐπαναλαμβάνων τὰ αὐτὰ λόγια, καὶ λέγων· Ἤτω δὲ ὑμῶν τὸ
Ἰακώβ. ε'. 12. ναὶ, ναὶ, καὶ τὸ οὔ, οὔ· ἵνα μὴ εἰς ὑπόκρισιν πέσητε. Ὅταν ἄλλο συλλογίζεσαι, καὶ ἄλλο λέγῃς, ἄλλο μελετᾷς, καὶ ἄλλο ὑπόσχεσαι, ἄλλο λέγῃς, καὶ ἄλλο πράττῃς, τότε πίπτεις εἰς τὸ ἁμάρτημα τῆς ὑποκρίσεως, ἤγουν γίνεσαι ψεύστης, καὶ ἀπαταιὼν, καὶ ἐπιβλαβὴς, καὶ δόλιος.

Ἐὰν στρέψῃς τὰ ὄμματα εἰς τοῦ ὑποκριτοῦ τὰ ἔργα, βλέπεις αὐτὸν ποιοῦντα ἐλεημοσύνην, προσευχόμενον, νηστεύοντα,
Ματ. ς'. 2. ἐλέγχοντα καὶ τὰ κάρφη, ἤγουν καὶ τὰ μικρότατα τῶν ἄλλων σφάλματα,
Αὐτ. κγ'. 14. ζηλοῦντα ὑπὲρ τοῦ νόμου, διδάσκοντα ἀρετὴν καὶ ἁγιωσύνην· βλέπεις, λέγω,
Αὐτ. ς'. 16. καὶ ὁμιλίαν, καὶ σχῆμα, καὶ βάδισμα τοῦ ὑποκριτοῦ, καὶ πάντα τὰ ἔργα
Αὐτ. ζ'. 5. αὐτοῦ ἐνδεδυμένα τὸ μόρφωμα τῆς ἀρετῆς,
Λουκ. ιγ'. 14. καὶ τῆς ἁγιότητος· ὅθεν νομίζων,
Ματ. κγ'. 2. ὅτι αὐτὸς ποιεῖ ταῦτα εἰς δόξαν Θεοῦ, καὶ σωτηρίαν τῆς ψυχῆς αὐτοῦ, εὐλαβεῖσαι αὐτὸν ὡς ἐνάρετον καὶ ἅγιον ἄνθρωπον· ἀλλ' ἐὰν ἐξετάσῃς ἀκριβῶς τὰ περιστατικὰ, τὰ συνοδεύοντα τὰς πράξεις αὐτοῦ, βλέπεις φανερὰ, ὅτι αὐτὸς, ταῦτα ποιῶν, οὐδένα ἄλλον σκοπὸν ἔχει, εἰμὴ ἵνα φανῇ ἅγιος ἐνώπιον τῶν ἀνθρώπων, καὶ δοξασθῇ ὑπ' αὐτῶν· διὸ περὶ τῶν ὑποκριτῶν εἶπεν ὁ Κύριος·
Αὐτόθι. 5. Πάντα τὰ ἔργα αὐτῶν ποιοῦσι πρὸς τὸ θεαθῆναι τοῖς ἀνθρώποις. Ἐὰν δὲ τοῦτο μόνον, ἤγουν ἡ φιλοδοξία μόνη, ἦν ὁ σκοπὸς τοῦ ὑποκριτοῦ, ἔβλαπτε μόνον ἑαυτόν· αὐτὸς ὅμως ἔχει καὶ ἄλλον σκοπὸν, κύριον καὶ καθ' αὐτὸ, τὴν φιλοκέρδειαν.

Διὰ τῶν τοιούτων δολερῶν καὶ ἀπατηλῶν τῆς ὑποκρίσεως τρόπων ἀπατῶν ὁ ὑποκριτὴς τοὺς ἀνθρώπους, κερδαίνει τὴν ὑπόληψιν τῆς ἀρετῆς καὶ τῆς ἁγιότητος, ὅθεν γίνεται κύριος τῆς καρδίας αὐτῶν· τότε δὲ ὁ λόγος αὐτοῦ ἔχει ἰσχὺν καὶ κράτος, τότε τρέχει ὁ κόσμος ὀπίσω αὐτοῦ, τότε προσπορίζεται οὐ μόνον τιμὴν, καὶ εὐλάβειαν, καὶ προσκύνησιν, ἀλλὰ καὶ χρήματα, καὶ κτήματα, καὶ πάντα ὅσα ἐπιθυμεῖ. Βλέπομεν ταῦτα πάλαι μὲν τελεσθέντα ὑπὸ τῶν διδασκάλων τῆς ἀνομίας, καὶ τῆς αἱρέσεως, καὶ τῆς ἀσεβείας· αὐτοὶ, διὰ τοῦ ὑποκριτικοῦ ψεύδους μιμηθέντες καὶ σχηματισθέντες κατὰ τὰ ἀληθινὰ καὶ ἅγια πράγματα, ἐκήρυξαν ἑαυτοὺς Προφήτας, καὶ ὑπὸ Θεοῦ ἀπεσταλμένους, ὑπεκρίθησαν, ὅτι λαλοῦσι μετὰ τῶν Ἀγγέλων, ἔπλασαν ὀπτασίας καὶ θαύματα, κατεσκεύασαν νόμους, τάχα ὑπὸ Θεοῦ δοθέντας εἰς αὐτοὺς, διὸ, πλανήσαντες ἔθνη ἀναλφάβητα, καὶ λαοὺς βαρβάρους, καὶ ὑποτάξαντες διάφορα γένη, κατεκυρίευσαν αὐτῶν, καὶ ἀρχηγοὶ γεγονότες πλήθους ἀνθρώπων, ἀπέλαβον πάντων τῶν τῆς γῆς ἀγαθῶν· νοεῖτε βέβαια οἱ ἀκούοντες ποῦ ἀφορᾷ ὁ λόγος. Νῦν δὲ βλέπομεν τὰ τοιαῦτα ἐν μέρει ἐνεργούμενα ὑπότινων ὑποκριτῶν, οἵτινες, πλανῶντες διὰ τῆς ὑποκρίσεως τοὺς ἁπλουστέρους, καταγυμνοῦσι τὰς οἰκίας αὐτῶν. Ἀκούομεν δὲ τὰ αὐτὰ κηρυττόμενα κατὰ τῶν ὑποκριτῶν ὑπὸ τοῦ Σωτῆρος Ἰησοῦ Χριστοῦ, ὅστις, ταλανίζων αὐτοὺς, εἶπεν· Οὐαὶ ὑμῖν Γραμματεῖς καὶ Φαρισαῖοι ὑποκριταὶ, Ματ. κγ'. 14.
ὅτι κατεσθίετε τὰς οἰκίας τῶν χηρῶν, καὶ προφάσει μακρὰ προσευχόμενοι· διὰ τοῦτο λήψεσθε περισσότερον κρίμα.

Πρὸς τούτοις βλέπομεν, ὅτι τὸ θεομίσητον πρᾶγμα καὶ ὄνομα τῆς ὑποκρίσεως μετέβαλεν ἡ πονηρία τῶν ἀνθρώπων εἰς πρᾶγμα περισπούδαστον, καὶ ὄνομα εὔφημον. Τίς τὴν σήμερον ἡμέραν οὐκ ἐπιθυμεῖ καὶ σπουδάζει τὴν πολιτι-

τικήν; σχεδὸν οὐδείς. Τίς οὐ θέλει, ἵνα λογίζωνται καὶ ὀνομάζωσιν αὐτὸν πολιτικὸν ἄνθρωπον; σχεδὸν οὐδείς· τὴν πολιτικὴν σχεδὸν πάντες λογίζονται τέχνην ἀναγκαίαν, καὶ ἐπιστήμην ὠφελιμωτάτην· ὅθεν αὐτὴ κάθηται εἰς τὰς βασιλικὰς αὐλάς, πολιτεύεται εἰς τὰ κριτήρια, περιπατεῖ εἰς τὴν ἀγοράν, εἰσέρχεται, φεῦ, καὶ εἰς αὐτὴν τὴν Ἐκκλησίαν· αὐτὴ ἐπαινεῖται, καὶ θαυμάζεται, καὶ νομίζεται ὡς μεγάλη προκοπή, καὶ μεγάλων ἔργων κατορθώτρια. Καὶ ὅμως ἡ μὲν σημερινὴ πολιτική, οὐδὲν ἕτερόν ἐστιν, εἰμὴ ὑπόκρισις, ὁ δὲ πολιτικός, οὐδὲν ἄλλο, εἰμὴ ὑποκριτής· καὶ τὰ μὲν πράγματά εἰσι τὰ αὐτά, τὰ δὲ ὀνόματα ἄλλα· διότι τί ἄλλο ἐστὶν ὁ λεγόμενος πολιτικός, εἰμὴ ἐκεῖνος, ὅστις ἄλλο ἔχει εἰς τὸ στόμα, καὶ ἄλλο εἰς τὴν καρδίαν;

Ἔρχεσαι εἰς καιρὸν χρείας πρὸς τὸν πολιτικὸν ἄνθρωπον, παρακαλῶν αὐτὸν καὶ λέγων· Εὐγενέστατε κύριέ μου, ἐπιστάτησόν με δι' ἀγάπην Θεοῦ εἰς τὴν ἀνάγκην μου, βοήθησόν μοι, παρακαλῶ, εἰς τοῦτόν μου τὸν κίνδυνον. Ναί, ἀποκρίνεται ἐκεῖνος, μετὰ χαρᾶς, καὶ λόγια γλυκά, καὶ ὑποσχέσεις μεγάλας· διὸ ἀναχωρεῖς ἥσυχος, καὶ ἀναπαύεσαι ἀμερίμνως, ἐλπίζων, ὅτι αὐτός, κατὰ τὰ λόγια καὶ τὰς ὑποσχέσεις αὐτοῦ, φροντίζει περὶ τῆς καλῆς ἐκβάσεως τῆς ὑποθέσεώς σου· καὶ αὐτὸς μὲν οὐδεμίαν οὐδὲ κἂν παραμικρὰν φροντίδα περὶ αὐτῆς ἀναλαμβάνει, ἡ δὲ ὑπόθεσίς σου καταντᾷ εἰς τὸ χεῖρον, σὺ δὲ τρυγᾷς τοὺς καρποὺς τῆς βλάβης. Ἐάν, ὅταν ἦλθες παρακαλῶν αὐτόν, ἔλεγέ σοι τὴν ἀλήθειαν, ἤγουν τὸ οὐ θέλω, ἢ οὐ δύναμαι ἐκπληρῶσαι τὸ ζήτημά σου, σὺ τότε ἐφρόντιζες, καὶ ἔτρεχες ἀλλαχοῦ, καὶ μετερχόμενος πάντα τρόπον, ἀπετέναζες τὰ ὅλον, ἢ κἂν μέρος τῆς ζημίας· ἐπειδὴ δὲ αὐτὸς διὰ τῶν πολιτικῶν αὐτοῦ λόγων ἀπεκοίμησέ σε, καὶ ἔδεσεν, ἵν' οὕτως εἴπω, τὰς χεῖράς σου, ἔπαθες τοσαύτην βλάβην. Τοῦτο οὖν διδάσκει ἡ πολιτικὴ τέχνη, τὸ ναὶ εἰς τὸ στόμα, καὶ τὸ οὒ εἰς τὴν καρδίαν, ἢ τὸ ἀνάπαλιν· τοῦτο ποιεῖ ὁ πολιτικὸς ἄνθρωπος, τὸ ναὶ διὰ λόγου, τὸ οὒ διὰ τοῦ ἔργου, ἢ τὸ ἀνάπαλιν· τοῦτο δὲ τί ἄλλο ἐστίν, εἰμὴ ὑπόκρισις γυμνή, καὶ ψεῦδος, καὶ ἀπάτη, καὶ βλάβη τοῦ πλησίον;

Συναντᾷς τὸν πολιτικὸν ἄνθρωπον, ὅστις ἐστὶν ἐχθρός σου κρυπτός· αὐτὸς ἔχει τὸ μέλι εἰς τὸ στόμα, καὶ τὸ φάρμακον εἰς τὴν καρδίαν· χαιρετίζει σε εὐθὺς ὡς ἠγαπημένος, γλυκοφιλεῖ σε ὡς φίλος, λέγει σοι λόγια μαλακὰ καὶ ἁπαλὰ ὑπὲρ τὸ ἔλαιον· Ἡπαλύνθη- Ψαλ. νδ'.
σαν οἱ λόγοι αὐτοῦ ὑπὲρ ἔλαιον· 24.
ἀλλ' αὐτά τὰ λόγιά εἰσιν ἀκοντίσματα, καὶ τοξεύματα· οἱ δέ εἰσι βολίδες· διότι, ἐὰν πλανηθῇς, καὶ νομίσας, ὅτι ἐστὶ φίλος σου, ἐμπιστεύσῃς αὐτῷ τὸ μυστικόν σου, καὶ τὴν ὑπόθεσίν σου, ἐκεῖνος τότε σε ἐξαφανίζει. Τοῦτο οὖν ἐστὶν ἡ σήμερον παραλόγως μὲν καλουμένη πολιτική, εὐλόγως δὲ τέχνη διαβολική· δόλος ἐστί, δι' ἧς παντὶ ὑποκρίσεως τρόπῳ πλανῶμεν τὸν πλησίον.

Εἶπα, ὅτι εὐλόγως λέγεται τέχνη διαβολική, ἐπειδὴ ὁ πρῶτος εὑρετὴς καὶ διδάσκαλος αὐτῆς ἐστὶν ὁ Διάβολος. Αὐτὸς πρῶτος ἐνεδύθη τὸ σχῆμα τοῦ ὄφεως, καθὼς οἱ πολιτικοὶ τὸ σχῆμα τοῦ προστάτου καὶ φίλου. Αὐτὸς πρῶτος ἀντὶ τοῦ ναί, Θανάτῳ ἀποθα- Γεν. β'.
νεῖσθε, ὡς εἶπεν ὁ Θεός, εἶπε τό, Οὐ 17.
θανάτῳ ἀποθανεῖσθε. Αὐτὸς πρῶ- Αὐτ. γ'.
τος ἐψεύσθη, καὶ ἠπάτησε, καὶ ἔβλαψε 4.
τὸ ἀνθρώπινον γένος· καθὼς καὶ οἱ σήμερον πολιτικοί, λέγοντες ἀντὶ τοῦ ναὶ τὸ οὔ, καὶ ἀντὶ τοῦ οὒ τὸ ναί, ψεύδονται,

ται, καὶ ἀπατῶσι, καὶ βλάπτουσι καὶ καθ' ἕκαστον ἀνὰ μέρος, καὶ κοινῶς πόλεις, καὶ χώρας, καὶ λαούς. Ταύτην τὴν τέχνην ἐδίδαξε πρῶτος ὁ παμπόνηρος τοῦ ἀνθρωπίνου γένους ἐχθρὸς, ἐπειδὴ ἐγνώρισεν, ὅτι αὐτὴ προξενεῖ ἄμετρα καὶ ἐξαίσια κακά.

Ἀληθῶς δὲ αὐτὴ ἡ διαβολικὴ ὑπόκρισις ἔσβυσε τὴν ἀρετὴν, τὴν τοσοῦτον ἀναγκαίαν οὐ μόνον διὰ τὴν σωτηρίαν τῆς ψυχῆς, ἀλλὰ καὶ διὰ τὴν σύστασιν τοῦ κοσμικοῦ πολιτεύματος, καὶ τὴν στερέωσιν τῆς τῶν ἀνθρώπων ὁμηγύρεως· ἔσβυσε, λέγω, τὴν ἀγάπην, καὶ ἄναψε τὴν ὑποψίαν καὶ τὴν ἀμφιβολίαν, ἐξ ὧν ἐβλάστησαν εἰς τὸν κόσμον πάντα τὰ κακά. Ὁ δεσπότης διστάζει περὶ τῆς ὁρωμένης πιστωσύνης τοῦ δούλου αὐτοῦ, καὶ ὁ δοῦλος περὶ τῆς προστασίας, ἣν ἐπαγγέλλεται αὐτῷ ὁ δεσπότης αὐτοῦ· οἱ φίλοι ἀμφιβάλλουσι περὶ τῆς φαινομένης φιλίας τῶν φίλων· ὁ ἀδελφὸς οὐκ ἐμπιστεύεται τὸν ἀδελφὸν αὐτοῦ· ὁ πατὴρ ὑποπτεύεται τὸν υἱὸν, καὶ ὁ υἱὸς τὸν πατέρα· ὁ ἀνὴρ φοβεῖται περὶ τῆς τιμῆς, ἣν ὑπόσχεται ἡ γυνὴ αὐτοῦ, ἡ γυνὴ ἀμφιβάλλει περὶ τῆς σωφροσύνης τοῦ ἀνδρὸς αὐτῆς· ὅπου δὲ κυριεύει ἡ ὑποψία, καὶ ἡ ἀμφιβολία, καὶ ὁ φόβος, ἐκεῖθεν φεύγει ἡ ἀγάπη. Ἐπειδὴ τὸ ναὶ, οὐκ ἔστι ναὶ, ἀλλὰ οὒ, καὶ τὸ οὒ οὐκ ἔστιν οὒ, ἀλλὰ ναί· ἐπειδὴ καὶ ἡ ἀπὸ στόματος ὁμολογία, καὶ ἡ ἔγγραφος καὶ ἔνορκος ὑπόσχεσις, οὐδὲ ὁμολογία ἐστὶν οὐδὲ ὑπόσχεσις, ἀλλὰ σχηματισμοὶ καὶ πλάσματα· ἐπειδὴ ἔχεις χρείαν φιλονεικίας, καὶ μάχης, καὶ κριτηρίων, ἵνα ἀποδείξῃς τὸ ναὶ, ναὶ, καὶ τὸ οὒ, οὔ· ἐπειδὴ ὑποπτευόμεθα, ὅτι τὸ ναὶ οὐκ ἔστι ναὶ, καὶ τὸ οὒ οὐκ ἔστιν οὒ, ποία ἀγάπη μεταξὺ ἀλλήλων; ποία ὁμόνοια εἰς τὰς συζυγίας; ποία εἰρήνη εἰς τὴν συγγένειαν; ποία ἀλήθεια εἰς τὰ κριτήρια; ποία βεβαιότης εἰς τὴν φιλίαν; ποία συμφωνία εἰς τὰς πραγματείας; ποία ἕνωσις εἰς τοὺς ἀνθρώπους; ποῦ ἡ μία καρδία; ποῦ ἡ μία ψυχὴ καὶ γνώμη; ποῦ ἡ σωτηρία τοῦ κόσμου καὶ τῆς ψυχῆς; ἄλλος τὸν ἄλλον ὑποπτεύεται, ἄλλος τὸν ἄλλον πλανᾷ, καὶ καθεὶς σπουδάζει, ἵνα διὰ περισσοτέρας ὑποκρίσεως ἀπατήσῃ τοὺς ἄλλους.

Ἀλλὰ πῶς ἂν ζήσωμεν, λέγετε, εἰς τοῦτον τὸν κόσμον; ἐὰν μὴ μετέλθωμεν τὸ πολιτικὸν, οὐδὲ ἡ διοίκησις τῶν ὑπηκόων διευθύνεται, οὐδὲ ἡ πραγματεία προκόπτει, οὐδὲ ἡ οἰκιακὴ οἰκονομία εὐδοκιμεῖ, οὐδὲ ἄλλο ἔργον εὐοδοῦται. Ὑμεῖς οἱ ταῦτα λέγοντες, νομίζετε, ὡς φαίνεται, ὅτι ὁ φιλανθρωπότατος Θεὸς διὰ τοῦτο ἐνομοθέτησε τὸ, Ἔ- Ματ. ε. 37.
στω δὲ ὁ λόγος ὑμῶν ναὶ, ναὶ, οὒ, οὔ, ἵνα βλάψῃ ἡμᾶς, καὶ καταστήσῃ δυστυχεῖς καὶ ἀθλίους· φεῦ τῆς παραλογίας, καὶ τῆς βλασφημίας! μεγάλη ἀληθῶς τοῦ ἀνθρώπου ἡ σκοτομήνη! αὐτὸς οὐδὲ εἰς τὸν Θεὸν πιστεύει, οὐδὲ εἰς τὰς αἰσθήσεις αὐτοῦ πείθεται. Ὑμεῖς οἱ ταῦτα λέγοντες, καὶ βλέπετε, καὶ ἀκούετε, καὶ ψηλαφᾶτε, ἵν' οὕτως εἴπω, ὅτι ἐκεῖνος ὁ ἄνθρωπος, οὗ τινος τὸ ναὶ ἐστὶ ναὶ, καὶ τὸ οὒ ἐστὶν οὔ· ἐκεῖνος ὁ ἄνθρωπος, ὅστις οὐδέποτε οὐδὲ ψεύδεται, οὐδὲ ἀπατᾷ, οὐδὲ δολιεύεται, οὐδὲ βλάπτει τὸν πλησίον, ἀλλὰ λαλεῖ πάντοτε τὴν ἀλήθειαν, μισεῖ τὴν ἀπάτην, φεύγει τὸν δόλον, ὠφελεῖ ὅσον δύναται καὶ ἕκαστον κατ' ἰδίαν, καὶ ὅλην τὴν κοινότητα· ἐκεῖνός ἐστιν ὁ ἄνθρωπος, τὸν ὁποῖον καὶ τιμᾷ, καὶ ἐπαινεῖ, καὶ εὐλαβεῖται, καὶ ἐμπιστεύεται ὅλος ὁ κόσμος· ἐκεῖνός ἐστιν ὁ ἄνθρωπος ὁ τίμιος, καὶ σεβάσμιος, καὶ ἐπαινετὸς, καὶ ἠγαπημένος ὅλου τοῦ κόσμου· ἐκεῖνος καὶ διοικεῖ τοὺς ὑπ' αὐτοῦ ἄριστα, καὶ προκόπτει εἰς τὴν πραγματείαν, καὶ κατευθύ-

νει τὴν οἰκονομίαν τῆς οἰκίας αὐτοῦ, καὶ εὐδοκιμεῖ εἰς πάντα τῶν χειρῶν αὐτοῦ τὰ ἔργα.

Ἀλλ' ἡμεῖς βλέπομεν, ἀποκρίνεσθε, ὅτι οἱ πολιτικοὶ διὰ τῆς πολιτικῆς τέχνης καὶ τιμῶνται, καὶ πλουτοῦσι, καὶ εὐτυχεῖς γίνονται. Ποίους λέγετε πολιτικούς; τοὺς πολιτικοὺς τοὺς ἀληθινούς, ἤγουν ἐκείνους, οἵτινες γινώσκουσι τοὺς νόμους τοὺς φυσικούς, τοὺς πολιτικούς, τοὺς τῶν ἐθνῶν, τοὺς τοῦ Θεοῦ, καὶ παρατηροῦντες εὐφυῶς καὶ ἐπιτηδείως πάσας τὰς προκειμένας τῶν πραγμάτων περιστάσεις, ἐνίοτε δὲ, ἐκ τῆς πολλῆς αὐτῶν πείρας καὶ κοσμικῆς πράξεως, καὶ τὰ μέλλοντα συμβῆναι εὐστόχως προβλέποντες, προφθάνουσιν ἐν καιρῷ τῷ προσήκοντι, καὶ ἀβλαβῶς προσπορίζονται τὴν ἐκ τῶν πραγμάτων ὠφέλειαν, καὶ ὡς ἄνθρωποι τίμιοι, καὶ τὸν Θεὸν φοβούμενοι, καλῶς διοικοῦσι τὰ τῆς πολιτείας πράγματα, ἀνακόπτοντες ὅσα ἐναντία εἰσὶν εἰς τοὺς νόμους τῆς δικαιοσύνης, καὶ ὡς πατέρες φιλόστοργοι διακυβερνῶσι πᾶν μέλος τῆς πολιτικῆς ὁμηγύρεως, εὐσεβῶς τε καὶ θεοφιλῶς διευθύνοντες πᾶσαν τὴν ὑπ' αὐτῶν διοικουμένην πολιτείαν; ἐὰν μὲν τούτους τοὺς ὄντως πολιτικοὺς ὑμεῖς καλῆτε πολιτικοὺς ἀληθῶς οὗτοι καὶ τιμῶνται, καὶ εὐτυχοῦσι, καὶ μακαρίζονται· ἐὰν δὲ πολιτικοὺς ὀνομάζητε τοὺς ὑποκριτάς, καὶ ψεύστας τοὺς ἀπαταιῶνας καὶ δολίους, τὰς παρδάλεις, διὰ τὸ πολυποίκιλον τῶν λόγων, τὰς ἀλώπεκας, διὰ τὴν πανουργίαν τοῦ ἤθους, τοὺς χαμαιλέοντας, διὰ τὴν μεταμόρφωσιν τῶν σχημάτων· ἐὰν, λέγω, πολιτικοὺς καλῆτε τοὺς ὑποκριτάς, οἵτινες οὐδὲν ἄλλο σπουδάζουσιν, εἰμὴ τὸ ἴδιον κέρδος, κἂν τοῦτο μεγάλως βλάπτῃ καὶ τὸν πλησίον, καὶ τὴν κοινότητα, καὶ αὐτὴν τὴν Ἐκκλησίαν· οὗτοι, κἂν, παραχωρήσει Θεοῦ, καὶ συνεργείᾳ τοῦ Διαβόλου, εὐδοκιμῶσι πρὸς καιρὸν, καὶ ὑπερυψῶνται, καὶ ὑπεραίρωνται, ἐξότου ὅμως γνωρισθῇ τὸ πανουργότατον καὶ παγκάκιστον αὐτῶν ἦθος, πίπτουσι, καὶ ἐξαφανίζονται, οὐδὲ ἴχνος δὲ αὐτῶν φαίνεται, καθὼς ὁ Προφήτης τοῦ Θεοῦ ἐπιβεβαιοῖ, λέγων· Εἶδον τὸν ἀσεβῆ ὑ- Ψαλ. λς'. 37, 38.
περυψούμενον, καὶ ἐπαιρόμενον ὡς τὰς κέδρους τοῦ Λιβάνου. Καὶ παρῆλθον, καὶ ἰδοὺ οὐκ ἦν, καὶ ἐζήτησα αὐτὸν, καὶ οὐχ εὑρέθη ὁ τόπος αὐτοῦ. Πρὸς τούτοις, ἱνατί ἡμεῖς, Χριστιανοὶ ὄντες, οὐ βλέπομεν εἰμὴ μόνον τὰ παρόντα; ἱνατί οὐ στοχαζόμεθα, ὅτι ἐστὶ μέλλουσα ζωὴ αἰώ- Πράξ. ιζ'.
νιος, καὶ ὅτι ὁ Θεὸς ἔστησεν ἡμέραν, 31.
ἐν ᾗ μέλλει κρίνειν τὴν οἰκουμένην, καὶ ὅτι τότε ἀποδώσει ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ; ἀλλὰ ζητοῦ- Ῥωμ. β'. 6.
μεν τὴν κρίσιν πρὸ τῆς κρίσεως, καὶ τὴν ἀνταπόδοσιν, πρὶν ἢ ἔλθῃ ὁ καιρὸς τῆς ἀνταποδόσεως;

Τὴν ἁμαρτίαν τῆς ὑποκρίσεως ζύμην ὠνόμασεν ὁ τοῦ κόσμου Λυτρωτής· Πρῶτον προσέχετε, εἶπεν, ἑαυτοῖς Λουκ. ιβ'. 1.
ἀπὸ τῆς ζύμης τῶν Φαρισαίων, ἥτις ἐστὶν ὑπόκρισις. Ἀληθῶς δὲ ζύμη ἐστὶ, διότι, καθὼς ἡ ζύμη ὅλον Α'. Κορ. ε'. 6.
τὸ ἐκ τοῦ ἀλεύρου φύραμα ζυμοῖ, οὕτως ἡ ὑπόκρισις ὅλον τὸν ἄνθρωπον διαφθείρει· φθείρει τὸν νοῦν, φθείρει τὴν καρδίαν, φθείρει τὴν γλῶσσαν, φθείρει τὰ λόγια, φθείρει τὸ σχῆμα, φθείρει τὸ ἦθος, φθείρει τὴν ψυχήν· ὁ νοῦς τοῦ ὑποκριτοῦ συλλογίζεται τὰ δόλια, ἡ καρδία ἐπιθυμεῖ τὴν ἀπάτην, ἡ γλῶσσα ψεύδεται· τοῦ ὑποκριτοῦ τὰ λόγιά εἰσι πανοῦργα, τὸ σχῆμα μεταμεμορφωμένον, τὸ ἦθος ποικίλον, ἡ ψυχὴ πονηρίας γέμουσα. Ἐὰν παρατηρήσῃς τὸν Ἰσκαριώτην Ἰούδαν, βλέπεις ὅσα εἶπα. Ὁ νοῦς αὐτοῦ ἐμελέτα τὴν προδοσίαν, αὐτὸς δὲ ἐδείκνυε φιλίαν· ἡ καρδία αὐτοῦ ἐπεθύ-

μει

μει τὰ ἀργύρια, καὶ ἡ γλῶσσα αὐτοῦ ἐλάλει περὶ φιλοπτωχείας· ἐὰν ἤκουες τὰ λόγια αὐτοῦ, ἐνόμιζες, ὅτι οὐδὲν ἕτερον φροντίζει, εἰμὴ περὶ τῶν πτωχῶν· ἐὰν ἔβλεπες τὰ πράγματα, ἔβλεπες αὐτὸν κλέπτην, καὶ ζητοῦντα τὴν πρᾶσιν

Ἰωάν. ιβ'. 6. τοῦ μύρου, ἵνα κλέψῃ τὰ χρήματα· κατὰ τὸ σχῆμα ἐφαίνετο φίλος τοῦ Ἰησοῦ Χριστοῦ, διότι ἐφίλησεν αὐτόν, κατὰ δὲ τὸ πρᾶγμα ἦν προδότης, διότι διὰ τοῦ

Λουκ. β'. 47, 48. φιλήματος παρέδωκεν αὐτὸν τοῖς ἀνόμοις κριταῖς· κατὰ τὸ φαινόμενον ἦθος ἦν μαθητὴς τοῦ Ἰησοῦ Χριστοῦ, κατὰ τὸ ἀφανὲς ἦν φιλαργυρώτατος, καὶ προδότης, καὶ κλέπτης· ἡ δὲ ψυχὴ αὐτοῦ ἐλύσσα μὲν διὰ τὰ ἀργύρια, πλήρης δὲ ἦν πάσης δολιότητος, πάσης ἀπάτης, πάσης πονηρίας· αὐτὸς ὑπερέβη πάντας τοὺς ὑποκριτάς, ὅσοι ποτὲ ἦσαν, ὅσοι τε κατὰ τὸ παρόν εἰσι, καὶ ὅσοι μέλλουσιν ἔσεσθαι ἐν τῷ κόσμῳ· διὰ τοῦτο κατ' αὐτοῦ ἐξεφωνήθησαν ἐκ τοῦ προφητικοῦ στόματος τοῦ Δαβὶδ αἱ φοβεραὶ καὶ φρικώδεις κατάραι, ὅσας περιέχει ὁ ἑκατοστὸς ὄγδοος ψαλμός.

Βλέπομεν πρὸς τούτοις, ὅτι καὶ ὁ Θεάνθρωπος Ἰησοῦς κατ' οὐδενὸς ἁμαρτωλοῦ ἐξεβόησε τοσάκις τὸ οὐαί, ὁσά-

Ματ. κγ'. 13. κις κατὰ τῶν ὑποκριτῶν· Οὐαί, εἶπεν, ὑμῖν Γραμματεῖς καὶ Φαρισαῖοι· καὶ πάλιν, Οὐαὶ ὑμῖν Γραμματεῖς καὶ Φαρισαῖοι ὑποκριταί, τὸ αὐτὸ δὲ πλέον ἢ ἑπτάκις ἐπανέλαβεν. Οὐδένα δὲ ἄλλον ἁμαρτωλὸν κατ' ὄνομα κατέστησε τῶν κολασθησομένων παράδειγμα, εἰμὴ μόνον τοὺς ὑποκριτάς· Καὶ τὸ μέρος αὐτοῦ, εἶπε, μετὰ τῶν ὑποκριτῶν θήσει· οὐδενὸς ἄλλου ἁμαρτωλοῦ ἐφανέρωσεν ὀνομαστὶ τὰ εἴδη τῶν βασανιστικῶν κολαστηρίων, εἰμὴ τῶν

Αὐτ. κδ'. 51. ὑποκριτῶν· Ἐκεῖ, εἶπεν, ὅπου οἱ ὑποκριταί, ἔσται ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων. Τί δὲ ἐφανέρωσε διὰ τούτων ὁ Θεάνθρωπος; Καὶ τί ἄλλο, εἰμή, ὅτι, ἐπειδὴ ἡ ἁμαρτία τῆς ὑποκρίσεως ἐστὶ τὸ ὄργανον τῶν φρικτοτέρων ἁμαρτημάτων, ἐστὶν ἁμαρτία ἐκ διαμέτρου ἐναντία εἰς τὴν ἀρετὴν τῆς ἁπλότητος, ἥτις ἐστὶ χαρακτὴρ τῆς θείας φύσεως, καὶ κόσμημα, δι' οὗ ὁ Θεὸς ἐστόλισε τὸν ἄνθρωπον, ὅτε ἔπλασεν αὐτόν· διὰ τοῦτο καθ' ὑπερβολὴν μισῶν αὐτὴν ὁ Θεός, παραδειγματικῶς τοὺς ὑποκριτὰς παιδεύει.

Ἄκουσον λοιπόν, ὦ ὑποκριτά. Σὺ οὐ μόνον οὐδόλως στοχάζεσαι, ὅτι ἡ ὑπόκρισίς ἐστιν ἁμαρτία μεγάλη, ἀλλὰ καὶ καυχᾶσαι λέγων, ὅτι ἐστὶν ἀρετὴ πολιτικὴ ἀναγκαία καὶ χρήσιμος, ὅθεν ἀποθνήσκεις, μηδόλως ὑπὲρ αὐτῆς μετανοήσας. Σὺ κατὰ μὲν τὸ παρὸν διὰ τῆς δολερᾶς σου ὑποκρίσεως πλανᾷς ἴσως τοὺς ἀνθρώπους, φαινόμενος ἐνώπιον αὐτῶν ἀγαθὸς καὶ δίκαιος, πλὴν ἐνθυμήθητι, ὅτι ἔρχεται ὥρα, ὅτε ὁ τῶν ἀνθρώπων Κριτὴς καὶ Δεσπότης, ἐν τῷ φοβερῷ αὐτοῦ βήματι, σχίζει καὶ ἀνακαλύπτει τῆς ὑποκρίσεώς σου τὸ κάλυμμα. Τότε οὖν φανερωθήσονται ἐνώπιον πάντων τῶν ἀνθρώπων οἱ δόλιοι λαβύρινθοι τοῦ νοός σου, αἱ ἀπατηλαὶ περιπλοκαὶ τῆς καρδίας σου, τὸ ψεῦδος τῆς γλώσσης σου, ἡ διπλόη τῶν λόγων σου, αἱ μεταβολαὶ τοῦ σχήματός σου, ἡ ἀπόκρυφος πονηρία τῆς ψυχῆς σου· τότε ζητήσουσιν ἐκδίκησιν καὶ οἱ ὑπὸ τῆς ὑποκρίσεώς σου ἀπατηθέντες καὶ ζημιωθέντες· ὢ ποία τότε ἡ αἰσχύνη σου, ποία ἡ κόλασις καὶ ἡ καταδίκη σου!

Ἀγαπητοί μου Χριστιανοί, ἐλεήσατε ἑαυτούς, ἀναλάβετε νοῦν φρόνιμον, ἕως οὗ ἔχετε τὸν καιρόν· Ἀποθώμεθα, Ῥωμ. ιγ'. 12.
ἀδελφοί, τὰ ἔργα τοῦ σκότους, καὶ ἐνδυσώμεθα τὰ ὅπλα τοῦ φωτός· σκότος ἐστὶν ἡ ὑπόκρισις, τοῦ ψεύδους ἡ πηγή, φῶς ἐστὶν ἡ ἁπλότης, τῆς ἀληθείας,

θείας ἡ μήτηρ. Ἀποθώμεθα, ἕως οὗ καιρὸν ἔχομεν, τῆς ὑποκρίσεως τὸ σκότος, καὶ ἐνδυσώμεθα τοῦ Κυρίου Ἰησοῦ τὸ φῶς. Ἀδελφὲ, ὁ νοῦς σου ἔστω φωτεινὸς, ἡ καρδία σου ἁπλῆ, ἡ γλῶσσά σου ἄδολος, τὰ λόγιά σου ἀληθινὰ, τὸ σχῆμά σου σταθερὸν, ἡ ψυχή σου ἀκέραιος· τότε γίνεσαι ἀληθὴς τοῦ Χριστοῦ μαθητὴς, τίμιος εἰς τὸν κόσμον, φίλος τοῦ Θεοῦ, τότε ἐνδύεσαι τοῦ ἐπουρανίου γάμου τὸ ἔνδυμα, τότε γίνεσαι ἄξιος τοῦ νυμφῶνος τῆς θείας δόξης, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα, καὶ τὸ κράτος, εἰς τοὺς αἰῶνας. Ἀμήν.

# ΕΡΜΗΝΕΙΑ

### ΕΙΣ ΤΟ ΚΑΤΑ

# ΛΟΥΚΑΝ

## ΕΥΑΓΓΕΛΙΟΝ ΤΗΣ ΙΑ'. ΚΥΡΙΑΚΗΣ.

Πόθεν ἄραγε ὁ θεάνθρωπος Ἰησοῦς ἀφορμὴν λαβὼν, ἐκήρυξε τὴν ἀναγνωσθεῖσαν σήμερον τοῦ Εὐαγγελίου Παραβολήν; Προσεκάλεσεν αὐτὸν εἷς τῶν ἀρχόντων τῶν Φαρισαίων, ἵνα φάγῃ ἄρτον ἐν τῇ οἰκίᾳ αὐτοῦ. (Λουκ. ιδ'. 1.) Ἐκεῖ οὖν πρῶτον μὲν ἰάτρευσε τὸν ὑδρωπικὸν, ἔπειτα ἐδίδαξε πάντας τοὺς ἐκεῖ εὑρεθέντας τῆς ταπεινοφροσύνης τὸν τρόπον, καὶ τὴν τιμὴν καὶ δόξαν, τὴν ἐξ αὐτῆς προξενουμένην. Μετὰ δὲ ταῦτα, στραφεὶς πρὸς τὸν Ἄρχοντα, τὸν προσκαλέσαντα αὐτὸν ἐν τῇ οἰκίᾳ αὐτοῦ, καὶ παραγγείλας αὐτῷ, ἵνα, ὅταν ποιῇ ἄριστον, μὴ προσκαλῇ φίλους καὶ συγγενεῖς, μηδὲ πλουσίους γείτονας, ἀλλὰ πτωχοὺς, ἀναπήρους, χωλοὺς, τυφλοὺς, εἶπε πρὸς αὐτόν· (Αὐτόθι. 14.) Ἐὰν ταῦτα ποιῇς, μακάριος ἔσῃ, ὅτι οὐκ ἔχουσιν ἀνταποδοῦναί σοι· ἀνταποδοθήσεται γάρ σοι ἐν τῇ ἀναστάσει τῶν δικαίων. Τότε εἷς τῶν ἐκεῖ εὑρεθέντων, ἄνθρωπος ἀμαθὴς, ὡς φαίνεται, καὶ παχυλὸς τὸν νοῦν, ἐπειδὴ ἐνόμιζεν, ὅτι ἐν τῇ βασιλείᾳ τοῦ Θεοῦ ἐσθίουσι καὶ πίνουσιν, ἐξεβόησε· Μακάριος, ὃς φάγεται ἄρτον ἐν τῇ βασιλείᾳ τοῦ Θεοῦ. (Λουκ. ιδ'. 15.) Ὁ δὲ Θεάνθρωπος, ταῦτα ἀκούσας, ἵνα καὶ αὐτὸν διορθώσῃ, καὶ ὅσους ὅμοια φρονοῦσι περὶ τῆς βασιλείας τῶν οὐρανῶν, διεκήρυξε τὴν σήμερον ἀναγνωσθεῖσαν εὐαγγελικὴν Παραβολήν. Πᾶσα Παραβολὴ σύμβολόν ἐστι καὶ τύπος, ὅστις ἄλλα σημαίνει, καὶ οὐχὶ ὅσα δηλοῖ τὸ γράμμα· καὶ τὸν μὲν τύπον ἠκούσατε, ὅτε ἀνεγνώσθη τὸ ἱερὸν Εὐαγγέλιον, ἀκούσατε δὲ νῦν καὶ τὸ ὑπ' αὐτοῦ σημαινόμενον, ἤγουν τῆς Παραβολῆς τὸν σκοπόν.

**Εἶπεν ὁ Κύριος τὴν Παραβολὴν ταύτην· Ἄνθρωπός τις ἐποίησε δεῖπνον μέγα, καὶ ἐκάλεσε πολλούς.** (Αὐτόθι. 16.)

Ἄνθρωπον μὲν ὀνομάζει ὁ Ἰησοῦς Χριστὸς τὸν Θεὸν, διὰ τὴν πρὸς τὸ ἀνθρώπινον γένος ἄπειρον αὐτοῦ φιλανθρωπίαν· δεῖπνον δὲ, τὴν ἐνανθρώπησιν αὐτοῦ, ἐπειδὴ καθὼς τὸ δεῖπνον γίνεται

οὐ-

οὐχὶ τὸ πρωῒ, ἀλλὰ τὸ ἑσπέρας, ὅταν πληρωθῇ ἡ ἡμέρα· οὕτω καὶ ὁ Υἱὸς τοῦ Θεοῦ οὐκ ἐσαρκώθη εἰς τὴν ἀρχὴν τῆς κτίσεως τοῦ κόσμου, ἀλλ' ὅτε ἦλθε τὸ
Γαλ. δ'. 4. πλήρωμα τοῦ χρόνου· "Ὅτε ἦλθε τὸ πλήρωμα τοῦ χρόνου, ἐξαπέστειλεν ὁ Θεὸς τὸν Υἱὸν αὐτοῦ γεννώμενον ἐκ γυναικὸς, γενόμενον ὑπὸ νόμον. Μέγα δὲ τὸ δεῖπνον, ἐπειδὴ
Α'.Τιμ.γ'. 16. ὁμολογουμένως μέγα ἐστὶ τὸ τῆς εὐσεβείας μυστήριον, καὶ ὑψηλὸν καὶ ἀκατάληπτον καὶ Ἀγγέλοις καὶ ἀνθρώποις· μέγα, ἐπειδὴ ὁ Θεὸς ἔλαβε δούλου μορφὴν, ἄνθρωπος γενόμενος· μέγα, ἐπειδὴ ἐμεγάλυνε καὶ ὑπερύψωσε
Ἑβρ. ή. 1. τὴν ἀνθρωπίνην φύσιν ἐν δεξιᾷ τοῦ θρόνου τῆς Μεγαλωσύνης ἐν τοῖς οὐρανοῖς. Κατὰ ἄλλην δὲ ἔννοιαν δεῖπνον ὠνόμασε τὴν ἐνανθρώπησιν αὐτοῦ ὁ Ἰησοῦς, διὰ τὸν μυστικὸν δεῖπνον, ἐν ᾧ μεταλαμβάνομεν τὸ σῶμα, καὶ πίνομεν τὸ αἷμα αὐτοῦ· μέγα δὲ τὸ δεῖπνον τοῦτο, ἐπειδὴ, διὰ τῆς τοιαύτης μεταλήψεως συνενούμενοι τῷ σαρκωθέντι Λόγῳ, συνδοξαζόμεθα αὐτῷ, καὶ γινόμεθα Θεοὶ κατὰ χάριν. Τοῦτο οὖν ἐστὶ τῆς Παραβολῆς τὸ νόημα· Ὅτε ὁ πανάγαθος καὶ φιλανθρωπότατος Θεὸς καὶ Πατὴρ εὐδόκησεν, ἵνα σαρκωθῇ ὁ μονογενὴς Υἱὸς αὐτοῦ, τότε ἐκάλεσε πολλοὺς· ἵνα πιστεύσωσιν εἰς τοῦτο τὸ μέγα μυστήριον. Διατί δὲ ἄρά γε εἶπε, πολλοὺς, καὶ
Α'. Τιμ. β'. 4. οὐχὶ πάντας; ὁ Θεὸς θέλει πάντας σωθῆναι, καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν· χωρὶς δὲ τῆς εἰς Χριστὸν πίστεως οὐδεὶς σώζεται· διατί οὖν οὐκ εἶπεν, ἐκάλεσε πάντας, ἀλλ' ἐκάλεσε πολλούς; Διότι ἡ Παραβολὴ ἔχει δύω νοήματα, τὸ τῆς εἰκόνος, καὶ τὸ τοῦ εἰκονιζομένου, ἢ τὸ τοῦ γράμματος, καὶ τὸ τοῦ πνεύματος· ὅθεν πᾶσα Παραβολὴ ἔχει τινὰ λόγια, ἁρμόζοντα μόνον εἰς τὴν σειρὰν τοῦ γράμματος καὶ τῆς εἰκόνος, οὐχὶ δὲ καὶ εἰς τὴν ἔννοιαν τοῦ εἰκονιζομένου, καὶ τοῦ πνεύματος· εἶπεν οὖν, πολλοὺς, διὰ τὴν ἀκολουθίαν τοῦ κατὰ τὸ γράμμα νοήματος τῆς Παραβολῆς, ἐπειδὴ, ἐὰν ἔλεγεν, ἐκάλεσε πάντας, οὐδεμίαν πιθανότητα εἶχεν ὁ λόγος· διότι τίς ποτε, δεῖπνον ἑτοιμάσας, προσκαλεῖ πάντας τοὺς ἀνθρώπους, ἵνα μετ' αὐτοῦ δειπνήσωσι; τὸ οὖν, πολλοὺς, κατὰ τὴν ἔννοιαν τοῦ γράμματος, σημαίνει τὸ πάντας, κατὰ τὸ νόημα τοῦ πνεύματος. Εἰπὼν δὲ τὸ, ἐκάλεσε, δηλοποιεῖ καὶ τὸ διὰ τίνος ἐκάλεσε λέγων·

Καὶ ἀπέστειλε τὸν δοῦλον αὐτοῦ τῇ ὥρᾳ τοῦ δείπνου εἰπεῖν τοῖς κεκλημένοις· Ἔρχεσθε, ὅτι ἤδη ἕτοιμά ἐστι πάντα. Λουκ. ιδ'. 17.

Συνήθεια ἦν τότε, ὡς φαίνεται, ἵνα καὶ πρὸ τοῦ δείπνου, καὶ ἐν αὐτῇ τῇ ὥρᾳ τοῦ δείπνου πάλιν προσκαλῶσι τοὺς καὶ πρότερον εἰς τὸ δεῖπνον προσκεκλημένους. Ἦσαν δὲ πρὸ τῆς ἐνσάρκου οἰκονομίας προκεκλημένοι οἱ Ἰουδαῖοι εἰς τὴν πίστιν τούτου τοῦ μυστηρίου ὑπὸ τῶν ἁγίων Προφητῶν, οἵτινες προκατήγγειλαν αὐτοῖς τὴν διὰ τοῦ Ἰησοῦ Χριστοῦ ἐσομένην σωτηρίαν, παραγγείλαντες εἰς αὐτοὺς τὴν εἰς αὐτὸν πίστιν
καὶ ὑπακοήν· Προφήτην, εἶπεν ὁ θεόπνευστος Μωϋσῆς πρὸς αὐτοὺς, ἐκ τῶν ἀδελφῶν σου, ὡς ἐμὲ, ἀναστήσει σοι Κύριος ὁ Θεός σου· αὐτοῦ ἀκούσεσθε. Καὶ ἐν τῇ ὥρᾳ δὲ τοῦ δείπνου, ἤγουν τότε, ὅτε εὐδόκησεν ὁ Θεὸς ἐκτελέσαι τὸ μέγα τῆς εὐσεβείας μυστήριον, ἀπέστειλε τὸν Υἱὸν αὐτοῦ, ἵνα καλέσῃ αὐτοὺς εἰς τὴν ἐπίγνωσιν τῆς ἀληθείας· δοῦλον δὲ αὐτὸν ὠνόμασεν, ὡς δοῦλου μορφὴν λαβόντα, καὶ ἐν ὁμοιώμα- Δευτ. ιη'. 15. Φιλιπ. β'. 7, 8.

μάτι ἀνθρώπων γενόμενον, καὶ σχή-
ματι εὑρεθέντα ὡς ἄνθρωπον, καὶ τὸ
Ἰωάν. δ΄. 34. θέλημα τοῦ Θεοῦ καὶ Πατρὸς αὐτοῦ
ποιήσαντα, καὶ τελειώσαντα αὐτοῦ τὸ
ἔργον. Ἐκάλεσε δὲ αὐτοὺς ὁ ἀπεσταλ-
μένος Υἱὸς τοῦ Θεοῦ καὶ διὰ λόγου, εἰ-
Ματ. ιά. 28. πὼν πρὸς αὐτούς· Δεῦτε πρός με
πάντες οἱ κοπιῶντες καὶ πεφορ-
τισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς·
Ἰωάν. ά. 52. καί, Ἀπ' ἄρτι ὄψεσθε τὸν οὐρα-
νὸν ἀνεῳγότα· καί, Ἔρχεσθε, ὅτι
ἤδη ἕτοιμά ἐστι πάντα, ἤγουν ἡ ἄ-
φεσις τῶν ἁμαρτιῶν, ἡ δωρεὰ τοῦ ἁγίου
Πνεύματος, ἡ υἱοθεσία, καὶ ἡ βασιλεία
τῶν οὐρανῶν. Ἐκάλεσεν αὐτοὺς καὶ διὰ
τῶν ἰσχυρῶν τῆς Θείας Γραφῆς ἐπιχει-
ρημάτων, πότε μὲν λέγων πρὸς αὐτούς·
Αὐτ. έ. 46. Εἰ ἐπιστεύετε Μωσῇ, ἐπιστεύετε
ἂν ἐμοί· περὶ γὰρ ἐμοῦ ἐκεῖνος
Ματ. κβ΄. 43, 45. ἔγραψε· ποτὲ δέ, Δαβὶδ οὖν Κύ-
ριον αὐτὸν καλεῖ, καὶ πῶς Υἱὸς
αὐτοῦ ἐστιν; Ἔτι δὲ ἐκάλεσεν αὐ-
τοὺς πρὸς τὴν εἰς αὐτὸν πίστιν καὶ διὰ
τῶν ἐξαισίων θαυμάτων, ὅσα ἐποίησεν
ἐνώπιον αὐτῶν.

Λουκ. ιδ΄. 18. Καὶ ἤρξαντο ἀπὸ μιᾶς παραι-
τεῖσθαι πάντες. Ὁ πρῶτος
εἶπεν αὐτῷ· Ἀγρὸν ἠγόρασα,
καὶ ἔχω ἀνάγκην ἐξελθεῖν,
καὶ ἰδεῖν αὐτόν· ἐρωτῶ σε, ἔχε
με παρῃτημένον. Καὶ ἕτερος
19. εἶπε· Ζεύγη βοῶν ἠγόρασα
πέντε, καὶ πορεύομαι δοκιμά-
σαι αὐτά· ἐρωτῶ σε, ἔχε με
20. παρῃτημένον. Καὶ ἕτερος εἶ-
πε· Γυναῖκα ἔγημα, καὶ διὰ
τοῦτο οὐ δύναμαι ἐλθεῖν.

Τίνες εἰσὶν οὗτοι, οἵτινες πρῶτοι
προσκαλεσθέντες, ἀπὸ μιᾶς, ἤγουν
συμφώνως ἐπροφασίσθησαν, καὶ οὐκ ἐ-
δέχθησαν τὸ κάλεσμα; Οὗτοί εἰσιν οἱ
Φαρισαῖοι, καὶ Γραμματεῖς, καὶ Νομο-
διδάσκαλοι, καὶ οἱ Ἄρχοντες τῶν Ἰου-
δαίων· τούτους πρώτους ἐκάλεσεν ὁ Κύ-
ριος, ὡς ἀναγινώσκοντας τὰς Θείας Γρα-
φάς, καὶ ὡς μαθόντας ἐξ αὐτῶν τὰ πε-
ρὶ τῆς εἰς τὸν κόσμον παρουσίας αὐ-
τοῦ. Ἐξ αὐτῶν δέ, ἄλλοι μὲν ἀπεστρά-
φησαν τὴν πρόσκλησιν, προβάλλοντες τὴν
ἀγορὰν τοῦ ἀγροῦ, ἤγουν τὰς κοσμικὰς αὐ-
τῶν ὑποθέσεις καὶ ματαιότητας· διότι ὁ
ἀγρὸς σημαίνει τὸν κόσμον, κατὰ τὴν ἐ-
ξήγησιν τοῦ Σωτῆρος Χριστοῦ, ὅστις εἶ-
πεν· Ὁ δὲ ἀγρός ἐστιν ὁ κόσμος· Ματ. ιγ΄. 38.
παραιτοῦνται οὖν οὗτοι ἐπειδὴ δοῦλοι ἦ-
σαν τῆς κοσμικῆς ματαιότητος καὶ φαν-
τασίας, ὅθεν καὶ ἔλεγον· Ἡμεῖς τοῦ Ἰωάν. θ΄. 28, 29.
Μωσέως ἐσμὲν μαθηταί· Ἡμεῖς
οἴδαμεν, ὅτι Μωσῇ λελάληκεν ὁ
Θεός· τοῦτον δὲ οὐκ οἴδαμεν πό-
θεν ἐστίν. Ἄλλοι δὲ πάλιν ἐπροφα-
σίσθησαν, προβάλλοντες τὴν ἀγορὰν τῶν
πέντε ζεύγεων τῶν βοῶν, ἥτις σημαίνει
τὴν προσήλωσιν εἰς τὰς τρυφὰς τῶν
πέντε αἰσθήσεων, αἵτινες πέντε ζεύγη
εἰσί· διότι δύω ἔχομεν ὀφθαλμούς, δύω
ὦτα, δύω τῆς ῥινὸς πόρους, δύω τῆς γεύ-
σεως ὄργανα, ἤγουν τὴν γλῶσσαν καὶ
τὸν οὐρανίσκον, δύω ἁφὰς εἰς πάντα τὰ
μέλη, τὴν ἔξω καὶ τὴν ἔσω, ἤγουν τὴν
ἐν τῇ ἐπιφανείᾳ τοῦ σώματος ἡμῶν γε-
νομένην, καὶ τὴν ἔσω εἰσχωροῦσαν ἄχρι
τῆς καρδίας καὶ τῆς ψυχῆς ἡμῶν· οὗτοι
οὖν, ἔκδοτοι ὄντες εἰς τὰς τρυφὰς τῶν
αἰσθήσεων, καὶ μὴ δυνάμενοι χωρῆσαι
τὴν πνευματικὴν καὶ οὐράνιον τοῦ προσ-
καλοῦντος αὐτοὺς Σωτῆρος διδασκαλίαν,
ἔλεγον· Σκληρός ἐστιν οὗτος ὁ λό- Αὐτ. ς΄. 60.
γος· τίς δύναται αὐτοῦ ἀκούειν;
Ἄλλοι δὲ οὐ μόνον παρῃτήθησαν, ἀλλ'

εἶπον, ὅτι οὐ δύνανται ἐλθεῖν, διὰ τὴν γυναῖκα· ἐφανέρωσε δὲ ὁ Σωτὴρ διὰ τοῦ, Οὐ δύναμαι ἐλθεῖν, τὸ κράτος καὶ τὴν δύναμιν τοῦ δεσμοῦ τῶν σαρκικῶν προσπαθειῶν καὶ ἁμαρτημάτων. Οὗτοι δὲ οἱ τρεῖς παρητημένοι σημαίνουσι πάντας τοὺς φιλοκτήμονας, καὶ φιληδόνους, καὶ φιλοσάρκους ἀνθρώπους, οἵτινες, προσκαλούμενοι ὑπὸ τῆς εὐαγγελικῆς φωνῆς εἰς μετάνοιαν, καὶ εἰς τὴν μετάληψιν τῶν θείων μυστηρίων, καὶ τὴν ἀπόλαυσιν τῆς ἐπουρανίου βασιλείας, παραιτοῦνται, οἱ μὲν διὰ τὴν φροντίδα τῶν ὑπαρχόντων αὐτῶν, οἱ δὲ διὰ τὰ ἐκ τῶν ἡδονῶν ἐμπόδια, οἱ δὲ διὰ τὸν δεσμὸν τῶν σαρκικῶν ἁμαρτημάτων αὐτῶν. Ἀκούσωμεν δὲ καὶ τὰ ἑξῆς παραβολικὰ λόγια.

Λουκ. ιδ. 21. Καὶ παραγενόμενος ὁ δοῦλος ἐκεῖνος, ἀπήγγειλε τῷ κυρίῳ αὐτοῦ ταῦτα. Τότε ὀργισθεὶς ὁ οἰκοδεσπότης, εἶπε τῷ δούλῳ αὐτοῦ· Ἔξελθε ταχέως εἰς τὰς πλατείας καὶ ῥύμας τῆς πόλεως, καὶ τοὺς πτωχοὺς καὶ ἀναπήρους καὶ τυφλοὺς καὶ χωλοὺς εἰσάγαγε ὧδε.

Ὁ δοῦλος σημαίνει, ὡς εἴπομεν, τὸν μορφὴν δούλου λαβόντα Ἰησοῦν Χριστόν· πῶς οὖν αὐτὸς ἔρχεται, καὶ δηλοποιεῖ πρὸς τὸν κύριον αὐτοῦ, ἤγουν πρὸς τὸν Θεὸν καὶ Πατέρα αὐτοῦ, ὅστις τὰ πάντα γινώσκει, τὰς προφάσεις τῶν μὴ θελόντων εἰς αὐτὸν πιστεῦσαι; Περιέχει πολλάκις ἡ Παραβολὴ, ὡς ἀνωτέρω εἴπομεν, λόγιά τινα ἀναγκαῖα μόνον εἰς τὸν παραβολικὸν λόγον, οὐχὶ δὲ καὶ εἰς τὰ ὑπ' αὐτοῦ σημαινόμενα· ὅθεν, ἵνα ἀκολουθήσῃ τοῦ παραβολικοῦ λόγου ἡ σειρὰ, φανερωθῇ δὲ καὶ ἡ ἀγανάκτησις τοῦ Θεοῦ κατὰ τῶν προφασιζομένων, παρέστησε τὸν δοῦλον παραγενόμενον καὶ ἀναγγέλλοντα πρὸς τὸν κύριον αὐτοῦ τὰς προφάσεις τῶν προφασιζομένων. Βλέπε δὲ ποῦ στέλλεται ὁ Θεάνθρωπος· εἰς τὰς πλατείας στέλλεται καὶ εἰς τὰς ῥύμας· οὗτοι δέ εἰσι τόποι, ὅπου οὐδὲ Ἡγεμόνες κάθηνται, οὐδὲ ἄρχοντες, οὐδὲ μεγιστᾶνες, οὐδὲ πλούσιοι, ἀλλ' ὁ κοινὸς λαὸς περιέρχεται. Ποῖοι δὲ οἱ κατὰ τὴν πατρικὴν παραγγελίαν ὑπ' αὐτοῦ προσκαλεσθέντες καὶ πιστεύσαντες; Ἰουδαῖοι πτωχοὶ, ἀνάπηροι, ἤγουν ἐλλειπεῖς κατὰ τὰ κοσμικὰ πράγματα καὶ ἀνίσχυροι, τυφλοὶ, ἤγουν ἀμαθεῖς καὶ ἀγράμματοι, χωλοὶ, ἤγουν ἀτελεῖς κατὰ τὰ σωματικὰ προτερήματα· τοῦτο δὲ αὐτὸ δι' ἄλλων λόγων ἐφανέρωσεν ὁ θεηγόρος Ἀπόστολος, εἰπών· Τὰ ἀγενῆ τοῦ κόσμου καὶ τὰ ἐξουθενημένα ἐξελέξατο ὁ Θεὸς, καὶ τὰ μὴ ὄντα, ἵνα τὰ ὄντα καταργήσῃ. Α΄. Κορ. α. 28.

Καὶ εἶπεν ὁ δοῦλος· Κύριε, γέγονεν ὡς ἐπέταξας, καὶ ἔτι τόπος ἐστί. Λουκ. ιδ. 22.

Πότε ταῦτα εἶπε πρὸς τὸν Θεὸν καὶ Πατέρα αὐτοῦ ὁ Θεάνθρωπος; Ὅταν ἐπλησίασεν ὁ καιρὸς τοῦ πάθους αὐτοῦ, τότε ἐπῆρε τοὺς ὀφθαλμοὺς αὐτοῦ εἰς τὸν οὐρανὸν, καὶ πρὸς Ἰωάν. ιζ. 1, 4. τοῖς ἄλλοις εἶπε καὶ τοῦτο· Τὸ ἔργον ἐτελείωσα, ὃ δέδωκάς μοι, ἵνα ποιήσω. Σημαίνουσι δὲ ταῦτα τὴν ἄκραν ὑπακοὴν τῆς ἀνθρωπίνης αὐτοῦ φύσεως εἰς τὴν ὑπερούσιον φύσιν τῆς Θεότητος· ἔτι δὲ καὶ τὸ, ὅτι οὐδεὶς οὐδὲ ἐκ τῶν Ἰουδαίων, οὐδὲ ἐκ τῶν ἐθνικῶν

κῶν ἐπίστευσεν εἰς τὸν Ἰησοῦν Χριστὸν, εἰμὴ κατ' εὐδοκίαν τοῦ Θεοῦ καὶ Πατρὸς
Ἰωάν. ς'. αὐτοῦ, κατὰ τὸ εἰρημένον· Οὐδεὶς δύ-
44. ναται ἐλθεῖν πρός με, ἐὰν μὴ ὁ Πατὴρ ὁ πέμψας με ἑλκύσῃ αὐτόν. Διὰ δὲ τοῦ, Καὶ ἔτι τόπος ἐστὶν, ἐφανέρωσε μὲν τῆς βασιλείας αὐτοῦ τὸ εὐρύχωρον, ἐφανέρωσε δὲ καὶ τὸ, ὅτι οὐ μόνον διὰ τοὺς ἐκ τῶν Ἰουδαίων, ἀλλὰ καὶ διὰ τοὺς ἐκ τῶν ἐθνῶν πιστεύσαντας ἡτοίμασεν ἀπὸ καταβολῆς κόσμου τὴν θείαν αὐτοῦ βασιλείαν· Καὶ ἔτι τόπος ἐστί· κἂν οἱ ἐκ τῶν Ἰουδαίων ἐκλεκτοὶ εἰσῆλθον εἰς τὴν βασιλείαν, ἔτι τόπος ἐστὶν ἡτοιμασμένος καὶ διὰ τοὺς ἐκ τῶν ἐθνῶν πιστεῦσαι μέλλοντας.

Λουκ. ιδ'. Καὶ εἶπεν ὁ Κύριος πρὸς τὸν
23. δοῦλον· Ἔξελθε εἰς τὰς ὁδοὺς καὶ φραγμοὺς, καὶ ἀνάγκασον εἰσελθεῖν, ἵνα γεμισθῇ ὁ οἶκός μου.

Ἔξελθε εἰς τὰς ὁδοὺς καὶ φραγμούς· τοῦτο σημαίνει, ὅτι εὐδόκησεν ὁ Θεὸς, ἵνα τὸ εὐαγγελικὸν κήρυγμα τοῦ Ἰησοῦ Χριστοῦ ἐξέλθῃ ἐκ τῆς Ἱερουσαλὴμ, καὶ ἐκ τοῦ γένους τῶν Ἰουδαίων, καὶ μεταδοθῇ καὶ εἰς αὐτοὺς τοὺς ἀπίστους καὶ εἰδωλολάτρας, τοὺς εὑρισκομένους ἐν τῇ ὁδῷ τῆς ἀσεβείας, ἤγουν ἐν τῇ ἀκαταστασίᾳ τῆς ἀπιστίας, καὶ ἐν τῷ φραγμῷ, ἤγουν ἐν τῇ ἁμαρτίᾳ· φραγμὸν δὲ ὠνόμασεν αὐτὴν, καθότι χωρίζει τὸν ἄνθρωπον ἀπὸ τοῦ Θεοῦ, καθὼς ὁ φραγμὸς χωρίζει ἀπ' ἀλλήλων τοὺς τόπους. Ποίαν δὲ ἄρα ἔννοιαν ἔχει τὸ, Καὶ ἀνάγκασον εἰσελθεῖν; σημαίνει ἄρά γε τὸ βίασον, δυνάστευσον, βασάνισον σωματικῶς, καθώς τινες τῶν ἑτεροδόξων, κακῶς καὶ παραλόγως οὕτω νοήσαντες, μυριάδας ἀνθρώπων ἀπέκτειναν, καὶ κατέκαυσαν; Μὴ γένοιτο! ὁ λόγος, οὐχὶ δὲ ἡ ῥάβδος πείθει τὸν νοῦν, ὁ δὲ νοῦς ἐγείρει τὴν θέλησιν, ἡ δὲ θέλησις προαιρεῖται καὶ
δέχεται τῆς πίστεως τὰ δόγματα· Εἴ Ματ. ις'.
τις θέλει, εἶπεν ὁ Κύριος, ὀπίσω μου 24.
ἐλθεῖν. Ἐπειδὴ δὲ τὰ ἔθνη οὐδὲ τὸν ἀληθινὸν Θεὸν ἐγνώριζον, οὐδὲ νόμον θεῖον εἶχον, οὐδὲ λόγια προφητικὰ, οὐδὲ θείαν Γραφὴν, ὁδηγοῦσαν αὐτοὺς πρὸς τὴν εἰς Χριστὸν πίστιν, καθὼς ὁ Ἰουδαϊκὸς λαὸς, βεβυθισμένα δὲ ἦσαν εἰς πᾶν εἶδος ἁμαρτίας, τοῖς πάθεσι λατρεύοντες, καὶ Θεοὺς προσκυνοῦντες μεθύσους, καὶ μοιχοὺς, καὶ ἀδίκους, καὶ ἅρπαγας· διὰ τοῦτο ἀναγκαῖοι ἦσαν διὰ τὴν τούτων ἐπιστροφὴν τρόποι ἰσχυρότεροι, δυνάμενοι πεῖσαι αὐτοὺς καὶ φωτίσαι εἰς τὴν ἐπίγνωσιν τῆς ἀληθείας. Σημαίνει οὖν τὸ, ἀνάγκασον, τὸ, κατάπεισον τὸν νοῦν δι' ἐπιχειρημάτων ἰσχυρῶν, ὁποῖα ἦσαν τὰ τοῦ Ἀποστόλου Παύλου πρὸς τοὺς Ἀρεοπαγίτας· φώτισον τὴν ψυχὴν διὰ τοῦ φωτὸς τῆς ἁγίας ζωῆς, ὁποία ὑπῆρχεν ἡ φωτοβόλος πολιτεία τῶν θεοκηρύκων Ἀποστόλων· νίκησον τὴν καρδίαν αὐτῶν διὰ τῆς ἐνεργείας τῶν θαυμάτων, ὁποῖα ἦσαν τὰ ὑπὸ τῶν μαθητῶν τοῦ Χριστοῦ τελεσθέντα ἐνώπιον τῶν ἐθνῶν. Τὸ δὲ, ἵνα γεμισθῇ ὁ οἶκός μου, παρίστησι τὴν ἄμετρον φιλανθρωπίαν, καὶ τὸ πρὸς πάντας τοὺς ἀνθρώπους ἔλεος τοῦ Θεοῦ, ὅστις θέλει, ἵνα, πάντες οἱ εἰς τὸ μυστήριον τῆς εὐσεβείας πιστεύσαντες, ἀπολαύσωσι τῆς θείας αὐτοῦ βασιλείας. Τοιουτοτρόπως δὲ δηλοποιήσας ὁ Θεὸς τὴν θέλησιν αὐτοῦ, ἐπάγει εὐθὺς καὶ τὴν δικαίαν αὐτοῦ ἀπόφασιν κατὰ τῶν προσκαλεσθέντων, καὶ μὴ θελησάντων πιστεῦσαι εἰς αὐτόν.

P 2

Λέ-

Λουκ. ιδ΄. 24. Λέγω γὰρ ὑμῖν, ὅτι οὐδεὶς τῶν ἀνδρῶν ἐκείνων τῶν κεκλημένων γεύσεταί μου τοῦ δείπνου· πολλοὶ γάρ εἰσι κλητοὶ, ὀλίγοι δὲ ἐκλεκτοί.

Ταύτην τὴν ἀπόφασιν ἐξεφώνησεν ὁ Κύριος ἐξόχως κατ' ἐκείνων τῶν Ἰουδαίων, οἵ τινες προσκεκλημένοι μὲν ἦσαν ὑπὸ τῶν ἁγίων Προφητῶν, ἐκάλεσε δὲ αὐτοὺς καὶ αὐτὸς ὁ Θεάνθρωπος πρὸς τὴν εἰς αὐτὸν πίστιν· ἐπειδὴ δὲ οὐκ ἐπίστευσαν εἰς αὐτὸν, ἀνάξιοι γεγόνασι καὶ τῆς Ἐκκλησίας αὐτοῦ, καὶ τῶν θείων μυστηρίων, καὶ τῆς θείας αὐτοῦ βασιλείας· Οὐδεὶς, λέγει, ἐκείνων τῶν ἀνδρῶν, οἵ τινες ἐκαλέσθησαν, καὶ οὐκ ἐπίστευσαν, ἀπολαύσει τῶν ἐπουρανίων μου δωρεῶν. Ἁρμόζει ὅμως ἡ ἀπόφασις καὶ πρὸς πάντας τοὺς ἀνθρώπους, ὅσοι προσκαλοῦνται πρὸς τὴν εἰς Χριστὸν πίστιν, καὶ οὐ δέχονται αὐτὴν, ἢ δεχόμενοι, ἀθετοῦσι διὰ τῆς ἀρνήσεως, ἢ διὰ τῶν πονηρῶν ἔργων, τῶν ἐναντίων τῆς πίστεως· διὰ τοῦτο εἶπε τὸ, πολλοὶ κλητοὶ, ἤγουν πολλοί εἰσιν οἱ ὑπὸ Θεοῦ προσκαλούμενοι, ὀλίγοι δέ εἰσιν οἱ διὰ τὴν ἀγαθὴν προαίρεσιν, καὶ τὴν τῶν καλῶν πράξεων ἐργασίαν γινόμενοι ἐκλεκτοὶ, καὶ ἄξιοι τῆς αἰωνίου μακαριότητος.

# ΟΜΙΛΙΑ

ΜΕΤΑ ΤΟ ΚΑΤΑ

# ΛΟΥΚΑΝ.

## ΕΥΑΓΓΕΛΙΟΝ ΤΗΣ ΙΑ΄. ΚΥΡΙΑΚΗΣ.

Τὸ σημερινὸν Εὐαγγέλιον διδάσκει μάθημα ἀναγκαῖον διὰ τὴν σωτηρίαν παντὸς ἀνθρώπου. Οὐδεὶς ἄνθρωπος εὑρίσκεται εἰς τὸν κόσμον, ὅστις οὐ προφασίζεται ἐν ταῖς ἁμαρτίαις αὐτοῦ· ἐκεῖνος ἔχει ταύτην τὴν πρόφασιν, ὁ ἄλλος προβάλλει ἄλλην, καὶ οὕτω καθεὶς προφασιζόμενος, κοιμᾶται ἥσυχος ἐν τῷ βυθῷ τῆς ἁμαρτίας αὐτοῦ, καὶ ἀμελεῖ τὴν ψυχικὴν αὐτοῦ σωτηρίαν. Τὸ σημερινὸν Εὐαγγέλιον ἁρπάζει ἀπὸ τοῦ στόματος τοῦ καθενὸς τὴν πρόφασιν, δεικνύον τὸν Θεὸν ὀργιζόμενον κατὰ τῶν προφασιζομένων, καὶ διδάσκον φανερὰ τὸ, ὅτι αἱ προφάσεις κατακρίνουσιν ἐκείνους, ὅσοι ταύτας προβάλλουσι· (Αὐτόθι.) Λέγω γὰρ ὑμῖν, ὅτι οὐδεὶς τῶν ἀνδρῶν ἐκείνων τῶν κεκλημένων γεύσεταί μου τοῦ δείπνου.

Πάντες οἱ Χριστιανοὶ ἐσμὲν κεκλημένοι ὑπὸ Θεοῦ, ἵνα γευθῶμεν τοῦ ἐπουρανίου δείπνου, ἤγουν, ἵνα γενώμεθα μέτοχοι καὶ συγκοινωνοὶ τῆς βασιλείας τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· μαρτυρεῖ τοῦτο ὁ θεῖος Ἀπόστολος, λέγων· Πιστὸς ὁ Θεὸς, δι' οὗ ἐκλήθητε εἰς κοινωνίαν τοῦ Υἱοῦ αὐτοῦ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. (Α΄. Κορ. α΄. 9.) Καθ' ἑκάστην ἡμέραν προσκαλεῖ ἡμᾶς ὁ Θεὸς εἰς μετάνοιαν· ποτὲ διὰ στόματος τῶν Προφητῶν, λέγων· Ἐπιστρέψατε πρός με, λέγει Κύριος τῶν δυνάμεων, (Ζαχ. α΄. 3.)

μεων, καὶ ἐπιστραφήσομαι πρὸς ὑμᾶς, λέγει Κύριος τῶν δυνάμεων· πότε διὰ τῶν Ἀποστολικῶν λόγων, κη-
Ῥωμ. ιγ΄. 12. ρύττων· Ἀποθώμεθα οὖν τὰ ἔργα τοῦ σκότους, καὶ ἐνδυσώμεθα τὰ ὅπλα τοῦ φωτός· πότε διὰ τῆς εὐαγ-
Ματ. ια΄. 28. γελικῆς αὐτοῦ φωνῆς, κραυγάζων· Δεῦτε πρός με πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι· καὶ ὑποσχόμενος εἰς τοὺς πρὸς αὐτὸν προσερχομένους τὴν αἰώνιον ἀνάπαυσιν· Κἀγὼ ἀναπαύσω ὑμᾶς.

Τί δὲ ἀποκρινόμεθα ἡμεῖς, ὅταν ἀκούωμεν τοῦτο τοῦ Θεοῦ τὸ κάλεσμα; Ἡμεῖς πολλάκις ἢ ὡς κωφοὶ οὐδόλως αὐτὸ ἀκούομεν, ἢ ὡς μωροὶ ὡς οὐδὲν αὐτὸ λογιζόμεθα. Ὁσάκις δὲ εἰσέλθῃ ὁ λόγος τοῦ Θεοῦ εἰς τὴν καρδίαν ἡμῶν, καὶ ἐξυπνίσῃ τῆς συνειδήσεως τὸν ἔλεγχον, ἡμεῖς διὰ τῶν προφάσεων τὴν ταραχὴν αὐτῆς ἡσυχάζομεν. Ἕως πότε, λέγει ἡ συνείδησις πρὸς τὸν πλεονέκτην καὶ φιλοκτήμονα, τόσαι φροντίδες καὶ κόποι διὰ τοὺς ἀγροὺς, διὰ τὰς οἰκοδομὰς, διὰ τὰ πρόσκαιρα κτήματα; ἕως πότε, προσηλωμένος εἰς τὰ γήϊνα καὶ φθαρτὰ, ἀμελεῖς τὴν σωτηρίαν τῆς ἀθανάτου ψυχῆς σου; αὔριον ἀποθνήσκεις, τὰ δὲ πράγματα, διὰ τὰ ὁποῖα τοσοῦτον κοπιάζεις, ἄλλος κληρονομεῖ, ἢ ἁρπάζει, σὺ δὲ οὐδεμίαν ἐξ αὐτῶν ἔχεις ὠφέλειαν· ἀνάστα, ἐκτίναξον τὴν περικυκλοῦσάν σε πλάνην, σχόλασον ἀπὸ τοῦ θορύβου τῶν φροντίδων σου, πρόσελθε εἰς τὸν προσκαλοῦντά σε Ἰησοῦν Χριστὸν, καὶ περιπάτει τῆς ἀρετῆς τὸν δρόμον. Τί πρὸς τούτους τοὺς ἐλέγχους καὶ τὰς συμβουλὰς τῆς συνειδήσεως ἀποκρίνεται ὁ φιλοκτήμων καὶ φιλόϋλος; Ἠγόρασα, λέγει, ἀγρὸν, αὐτὸς ἔχει χρείαν τῆς ἐπισκέψεώς μου· φυτεύω ἀμπελῶνα, αὐτὸς ζητεῖ τὴν ἐπιστασίαν μου· οἰκοδομῶ οἰκίαν, ἡ οἰκοδομὴ ἁρπάζει τὴν προσοχήν μου· ἐκεῖνο τὸ πρᾶγμα ἐστὶν ἀναγκαῖον διὰ καλλωπισμὸν τοῦ οἴκου μου, τοῦτο διὰ τὴν ὑπηρεσίαν μου, τὸ ἄλλο διὰ τὰ ἐνδύματά μου, αὐτὸ διὰ τὰς χρείας μου· ταῦτα δὲ αἰχμαλωτίζουσι τὸν νοῦν μου, ὅθεν οὐ δύναμαι κατὰ τὸ παρὸν νὰ προσηλώσω αὐτὸν εἰς τὸν Θεόν. Ἆ, μάταιε, τοιουτοτρόπως ἀποκρίνεσαι πρὸς τὸν Θεὸν, τὸν διὰ τῆς συνειδήσεώς σου καὶ συμβουλεύοντα, καὶ ἐλέγχοντα, καὶ προσκαλοῦντά σε εἰς τὴν αἰώνιον αὐτοῦ βασιλείαν; ἐλπίζεις ἄραγε, ὅτι αἱ τοιαῦται προφάσεις σου δικαιολογοῦσί σε ἐνώπιον τοῦ προσκαλοῦντός σε Θεοῦ; πλανᾶσαι· ἡ ἀπόφασις κατὰ τῶν προφασιζο-
μένων ἐγράφη· Λέγω γὰρ ὑμῖν, ὅτι Λουκ. ιδ΄. 24.
οὐδεὶς τῶν ἀνδρῶν ἐκείνων τῶν κεκλημένων γεύσεταί μου τοῦ δείπνου.

Προσκαλεῖ ἡμᾶς ὁ μονογενὴς Υἱὸς τοῦ Θεοῦ εἰς τὴν νηστείαν, διδάσκων ἅμα καὶ τὸν ἀνυπόκριτον τῆς νηστείας
τρόπον· Σὺ δὲ, λέγει, νηστεύων, ἄ- Ματ. ϛ΄. 17.
λειψαί σου τὴν κεφαλὴν, καὶ τὸ πρόσωπόν σου νίψαι. Προσκαλεῖ ἡμᾶς ὁ αὐτὸς εἰς τὴν προσευχὴν, διδάξας
καὶ αὐτὰ τῆς προσευχῆς τὰ λόγια· Οὕ- Αὐτόθι. 9.
τως οὖν προσεύχεσθε ὑμεῖς· Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς. Καὶ ὁ μὲν κοιλιόδουλος καὶ λαίμαργος ἀποκρίνεται· Οὐ δύναμαι νηστεῦσαι, διότι εἰμὶ ἀσθενής· ἐὰν μὴ φάγω μίαν ἡμέραν, ἀδυνατῶ, καὶ γίνομαι ἀκίνητος καὶ ἄχρηστος· τὰ νηστίσιμα βρώματα βλάπτουσι τὴν ὑγείαν μου· ὁ ἰατρὸς ἐδιώρισέ μοι δίαιταν· ταῦτα λέγει, ἔπειτα ἑτοιμάζει ἀβροδίαιτα τραπέζια, παντοίων ἐδεσμάτων καὶ ποτῶν πλήρη, καὶ τρώγει ὑπὲρ τὸ μέτρον, καὶ πίνει ἄχρι μέθης μετὰ τῶν φίλων αὐτοῦ· τοιουτοτρόπως οὖν αὐτὸς δέχεται τοῦ Θεοῦ τὸ κάλεσμα, καὶ τιμᾷ τὰς ἡμέρας τῆς νηστείας. Ὁ δὲ ἀνευλαβὴς καὶ ῥάθυμος, Τόσας ὥρας,

ὥρας, λέγει, νὰ μένω εἰς τὴν Ἐκκλησίαν, οὐ δύναμαι· νυστάζω, μελαγχολῶ, ἀτονῶ καὶ ἀποκάμνω· ταῦτα λέγει, ἔπειτα κατατρίβει τόσας καὶ τόσας ὥρας εἰς τὰ θέατρα, διανυκτερεύει εἰς τοὺς χορούς, ἐπιμένει παίζων ἡμέραν τε καὶ νύκτα. Ἆ, πεπλανημένοι, τοιουτοτρόπως ἀποκρίνεσθε εἰς τὸν Παντοκράτορα, τὸν προσκαλοῦντα ὑμᾶς εἰς τὴν ἀπόλαυσιν τῆς αἰωνίου αὐτοῦ βασιλείας; καὶ ἔπειτα ἀναπαύεσθε, νομίζοντες, ὅτι αἱ τοιαῦται προφάσεις δικαιοῦσιν ὑμᾶς ἐνώπιον αὐτοῦ; μὴ πλανᾶσθε· ἡ ἀπόφασις ἐγέ-
Λουκ. ιδ'. 24. νετο· Λέγω γὰρ ὑμῖν, ὅτι οὐδεὶς τῶν ἀνδρῶν ἐκείνων τῶν κεκλημένων γεύσεταί μου τοῦ δείπνου.

Τὰ μαλακὰ ἱμάτια, τὰ ἁπαλὰ στρώματα, τὰ ἄσεμνα θεάματα, τὰ αἰσχρὰ ἀκούσματα, αἱ γαργαλίζουσαι εὐωδίαι, τὰ πολυηρτυμένα βρώματα, τὰ πνευματώδη ποτά, αἱ ἡδοναὶ τῶν αἰσθήσεων, αἱ σκανδαλώδεις συναναστροφαί, ἡ τόση, λέγω, ἐπιμέλεια τῆς σαρκός, γεννᾷ φλογοφόρους ἐπιθυμίας, αἵτινες καταποντίζουσιν ἡμᾶς εἰς τὸν βορβορώδη βυθὸν τῶν ῥυπαρῶν ἁμαρτημάτων. Ὁ Θεός, θέλων ἀπαλλάξαι ἡμᾶς, προσκαλεῖ διὰ τῆς ἀποστολικῆς φωνῆς
Ῥωμ. ιγ'. 14. λέγων· Ἐνδύσασθε τὸν Κύριον Ἰησοῦν Χριστόν, καὶ τῆς σαρκὸς πρόνοιαν μὴ ποιεῖσθε εἰς ἐπιθυμίας. Τί πρὸς ταῦτα ἀποκρίνονται οἱ φιλόσαρκοι; Ἡμεῖς, λέγουσιν, οὐ δυνάμεθα· οὕτως ἐζήσαμεν καὶ ἐσυνηθήσαμεν. Ἆ, μάταιοι, καὶ πεπλανημένοι, ταῦτα ἀποκρίνεσθε εἰς τὸν Δεσπότην τῆς κτίσεως, τὸν προσκαλοῦντα ὑμᾶς εἰς τὴν ἀπόλαυσιν τῆς αἰωνίου αὐτοῦ βασιλείας; νομίζετε δέ, ὅτι αἱ τοιαῦται προφάσεις δύνανται δικαιῶσαι ὑμᾶς ἐνώπιον
Λουκ. ιδ'. 24. αὐτοῦ; οὐχί· Λέγω γὰρ ὑμῖν, ὅτι οὐδεὶς τῶν ἀνδρῶν ἐκείνων τῶν κεκλημένων γεύσεταί μου τοῦ δείπνου.

Ἔστωσαν ὑμῶν αἱ ὀσφύες, λέ- Λουκ. ιβ'. 35.
γει ὁ Θεός, περιεζωσμέναι· ἡμεῖς δέ, παραβαίνοντες ταύτην τὴν ἐντολήν, λύοντες τῆς σαρκὸς τὸν χαλινόν, πράττομεν πᾶσαν σαρκικὴν ἁμαρτίαν. Ὁ πολυέλεος Θεός, εὐσπλαγχνιζόμενος, προσκαλεῖ ἡμᾶς εἰς μετάνοιαν διὰ τῶν προφητικῶν λόγων, διὰ τῆς ἀποστολικῆς φωνῆς, διὰ τῆς εὐαγγελικῆς διδασκαλίας, διὰ τοῦ ἐσωτερικοῦ ἐλέγχου τῆς συνειδήσεως· Διατί, λέγει πολλάκις ἡ συνείδησις, ἀδικεῖς τὴν ξένην κλίνην; διατί κρατεῖς τὴν ἄνομον γυναῖκα; διατί μολύνεις τὴν ψυχήν σου διὰ πάσης σαρκικῆς ἁμαρτίας; ἀνάστα ἐκ τοῦ βορβόρου τῆς ἀνομίας σου, μή, ἐλθὼν ὁ θάνατος, εὕρῃ σε κατακείμενον εἰς τὴν ἀκαθαρσίαν τῆς ἁμαρτίας σου. Τί πρὸς ταῦτα ἀποκρίνεται ὁ ἀσελγής; Τοῦτο, λέγει, ἐστὶν ἀδύνατον, ἐπειδὴ ἔχω κρᾶσιν θερμήν, καὶ εἰμὶ πολλὰ ἐπιρρεπὴς εἰς τὰ σαρκικὰ πάθη, ἐπειδὴ εἰμὶ τετρωμένος ὑπὸ τοῦ ἔρωτος, ἐπειδὴ ἐκ νεότητός μου ἐσυνήθησα τὴν ἁμαρτίαν· θέλω μέν, καὶ ἀποφασίζω, πλὴν ἡ ἐπιθυμία βιάζει με, καὶ νικᾷ με ἡ συνήθεια. Πανάθλιε, αὐτή ἐστιν ἡ ἀπόκρισίς σου πρὸς τὸν Θεόν σου, τὸν εὐεργέτην καὶ πλάστην σου, τὸν προσκαλοῦντά σε εἰς μετάνοιαν, καὶ ὑποσχόμενόν σοι βασιλείαν, ἧς οὐκ ἔσται τέλος; ἔπειτα ἡσυχάζεις, καὶ ἀναπαύεσαι, καὶ κοιμᾶσαι, ἐλπίζων, ὅτι ὁ Θεὸς δέχεται τὰς τοιαύτας προφάσεις σου;
πλανᾶσαι· Λέγω γὰρ ὑμῖν, ὅτι οὐ- Αὐτ. ιδ'. 24.
δεὶς τῶν ἀνδρῶν ἐκείνων τῶν κεκλημένων γεύσεταί μου τοῦ δείπνου.

Πάντες, λέγω, οἱ Χριστιανοὶ ἐσμὲν ὑπὸ Θεοῦ κεκλημένοι πρὸς σωτηρίαν· πάντας ἐπίσης αὐτὸς ὁ Ἰησοῦς Χριστός, παρεστὼς ἀοράτως ἐν μέσῳ ἡμῶν, διὰ τῆς ἰδίας αὐτοῦ φωνῆς προσκαλεῖ ἡμᾶς νῦν, καθὼς προσεκάλει τότε πάντας τοὺς

Λουκ. ιδ'. 17. ἐν Ἱερουσαλήμ· Ἔρχεσθε, λέγει, ὅτι ἤδη ἑτοιμά εἰσι πάντα. Ἀκούετε, ἀδελφοί, φωνὴν φιλάνθρωπον, φωνὴν πατρικήν, φωνὴν εὐεργετικήν; Ἕτοιμά εἰσι πάντα, ἡ ἄφεσις τῶν ἁμαρτιῶν, ἡ τράπεζα τῶν μυστηρίων, τὸ ἔνδυμα τῆς ἁγιωσύνης· Ἔρχεσθε, ὅτι ἕτοιμά εἰσι πάντα, ἡ ἐπουράνιος μακαριότης, ἡ βασιλεία ἡ αἰώνιος, τὰ ἀγαθὰ ἐκεῖ-
Α'. Κορ. β'. 9. να, ἃ ὀφθαλμὸς οὐκ εἶδε, καὶ οὖς οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη· ταῦτά εἰσι τὰ ἀγαθά, ἃ ἡτοίμασεν ὁ Θεὸς τοῖς ἀγαπῶσιν αὐτόν. Ἔρχεσθε, κράζει· τί δὲ ἡμεῖς ἀποκρινόμεθα πρὸς τοῦτο τὸ καθολικὸν καὶ φανερὸν κάλεσμα; Ναί, Κύριε, θέλομεν, καὶ ἐπιθυμοῦμεν, ἵνα ἔλθωμεν πρὸς σὲ τὸν φιλάνθρωπον Πατέρα καὶ Θεὸν ἡμῶν, καὶ καταξιωθῶμεν τῶν ἐπουρανίων σου δωρεῶν· ἀλλ' ἡ ἀσθένεια τῆς σαρκός, καὶ ἡ ματαιότης τοῦ κόσμου, καὶ τοῦ Διαβόλου οἱ πειρασμοὶ ἐμποδίζουσιν ἡμᾶς ἀπὸ τὸ ἅγιόν σου θέλημα· αὕτη ἐστὶν ἡ ἀπόκρισις ἡμῶν. Ἵνα δὲ πληροφορηθῆτε, ὅτι ταῦτα οὐκ εἰσὶν ἐμπόδια ἀνίκητα, ἀλλὰ προφάσεις γυμναί, οὐ προβάλλω οὐδὲ τὸ ἀναρίθμητον πλῆθος τῶν ἁγίων ἀνδρῶντε καὶ γυναικῶν, οἵτινες ταῦτα κατὰ κράτος κατήργησαν, οὐδὲ τὴν αὐτεξούσιον τοῦ ἀνθρώπου δύναμιν, οὐδὲ τῆς θείας χάριτος τὴν ἐνέργειαν, ἥτις, ὅταν ἡμεῖς μόνον θελήσωμεν, διαλύει πᾶσαν δυσκολίαν, ἀλλὰ προτείνω μόνον τὸ ἑξῆς παράδειγμα.

Ἐάν τις Βασιλεὺς ἐπίγειος προσκαλεῖ σε εἰς τὸ βασιλικὸν αὐτοῦ παλάτιον, ὑποσχόμενός σοι πλοῦτον, τιμήν, ἀξιώματα βασιλικά, καὶ συμμετοχὴν τῆς ἰδίας αὐτοῦ βασιλείας, ἔφευγες ἆρά γε τοιοῦτον κάλεσμα, προφασιζόμενος ἢ ἀδυναμίαν, ἢ ἐμπόδια, ἢ πειρασμούς, ἢ ἄλλο τι παρόμοιον; Οὐχί· σὺ τότε ἔσπευδες ἐνισχύων τὴν ἀδυναμίαν σου, καὶ ἔτρεχες καταπατῶν πάντα τὰ ἐμπόδια, καὶ ἐπήδας ὑπεράνω παντὸς πειρασμοῦ, καὶ οὐδὲ ἤνοιγες ὅλως προφασιολογίας στόμα. Ἐκεῖνο λοιπόν, ὅπερ μετὰ χαρᾶς καὶ πολλῆς προθυμίας πράττομεν διὰ μίαν πρόσκαιρον ἀπόλαυσιν, λέγομεν, ὅτι οὐ δυνάμεθα ποιῆσαι διὰ μίαν βασιλείαν καὶ δόξαν αἰώνιον; βλέπετε λοιπὸν πόσον ἄπρεπα καὶ ἄδικά εἰσιν ὅσα προφασιζόμεθα ἐνώπιον τοῦ Θεοῦ;

Πῶς; προτιμᾷς τὸν ἀγρόν σου, ἢ τὴν οἰκίαν σου, ἢ τὸν πλοῦτόν σου καὶ τὰ ἀξιώματά σου, τὰ ὁποῖα αὔριον ἀποθνήσκων ἐγκαταλείπεις, κἂν μὴ θέλῃς, καὶ αὐτῶν τῶν αἰωνίων ἀγαθῶν τοῦ Θεοῦ; Πῶς; προτιμᾷς τὴν ἐπιθυμίαν τῆς σαρκός σου καὶ αὐτῆς τῆς προσταγῆς τοῦ Θεοῦ; διὰ τὴν εὐμορφίαν ἐκείνου τοῦ προσώπου, τὸ ὁποῖον αὔριον μαραίνεται, καὶ γίνεται βρῶμα τῶν σκωλήκων καὶ δυσωδία, καταφρονεῖς τὰ πάντερπνα καὶ ὡραιότατα κάλλη τοῦ παραδείσου; Πῶς; ὑπακούεις τὰ διαβολικὰ θελήματα, καὶ οὐχὶ τοῦ Θεοῦ τὸ προστάγματα; γίνεσαι δοῦλος τοῦ Διαβόλου μᾶλλον ἢ τοῦ Θεοῦ; Πῶς; προκρίνω ἐγὼ καὶ αὐτοῦ τοῦ Πλάστου καὶ Θεοῦ μου τὸ πεῖσμά μου, τὸν θυμόν μου, τὴν ἐπιθυμίαν μου, τὴν μνησικακίαν μου, τὸν φθόνον μου, τὴν ματαιότητα τοῦ κόσμου, τὴν συμβουλὴν τοῦ Διαβόλου;

Καὶ μὴ νομίσητε, ἀγαπητοί μου Χριστιανοί, ὅτι ὁ Θεὸς τὰς μὲν παραλόγους προφάσεις ἀποστρέφεται, τὰς δὲ εὐλογοφανεῖς δέχεται, διότι οὐδὲ αὐταὶ αἱ εὐλογοφανεῖς προφάσεις ἔχουσι τόπον ἐνώπιον αὐτοῦ. Ποία πρόφασις ἢ εὐλογωτέρα, ἢ νομιμωτέρα τῆς διὰ τὴν τιμὴν καὶ περιποίησιν, τὴν χρεωστουμένην πρὸς τοὺς γονεῖς; αὐτὸς ὁ Θεὸς ἐνομοθέτησε τὴν πρὸς τοὺς γονεῖς ἡμῶν τιμήν, καὶ πε-

[Ἐξ. κ'. 12.] περιποίησιν, καὶ εὐλάβειαν· Τίμα, εἶπε, τὸν πατέρα σου· ὑπεσχέθη δὲ εἰς τοὺς φυλάσσοντας ταύτην τὴν ἐντολὴν πᾶσαν εὐτυχίαν καὶ ἡμερῶν μακρότητα· Ἵνα εὖ σοι γένηται, καὶ μακροχρόνιος γένῃ ἐπὶ τῆς γῆς τῆς ἀγαθῆς. Καὶ ὅμως ὁ αὐτὸς Κύριος εἶπε πρὸς τὸν προφασιζόμενον, καὶ λέγοντα, ὅτι θέλει πρῶτον θάψαι τὸν πατέρα αὐτοῦ, καὶ ἔπειτα ἀκολουθῆσαι [Ματ. η'. 22.] αὐτῷ· Ἀκολούθει μοι, καὶ ἄφες τοὺς νεκροὺς θάψαι τοὺς ἑαυτῶν [Ἀυτ. ι'. 37.] νεκρούς· ὁ αὐτὸς Κύριος εἶπεν· Ὁ φιλῶν πατέρα, ἢ μητέρα ὑπὲρ ἐμέ, οὐκ ἔστι μου ἄξιος· πῶς οὖν ταῦτα συμβιβάζονται; διατί οὐδὲ ἡ νόμιμος καὶ δικαία πρόφασις οὐδεμίαν δικαιολογίαν εὑρίσκουσιν ἐνώπιον τοῦ δικαιοτάτου Θεοῦ; Διότι ὁ Θεὸς ἔχει πάντα τὰ δικαιώματα, διὰ τὰ ὁποῖα πρέπει αὐτῷ καὶ ἡ ἀγάπη, καὶ ἡ προτίμησις, καὶ ἡ ὑπακοή, καὶ ὁ φόβος, καὶ ἡ εὐλάβεια πλέον καὶ τῶν φίλων, καὶ τῶν συγγενῶν, καὶ τῶν γονέων, καὶ πάντων τῶν κτισμάτων, καὶ πραγμάτων καὶ ὑποθέσεων, καὶ αὐτῆς τῆς ἰδίας ζωῆς ἡμῶν.

Ὁ Θεός ἐστι δημιουργὸς πάσης τῆς ὁρατῆς καὶ ἀοράτου κτίσεως, τοῦτο δικαίωμα τοῦ Θεοῦ πρῶτον. Ὁ Θεός ἐστι κύριος καὶ δεσπότης πάντων τῶν ἀοράτων καὶ ὁρατῶν κτισμάτων, τοῦτο δικαίωμα δεύτερον· ὁ Θεός ἐστι ποιητὴς καὶ πλάστης τοῦ ἀνθρώπου, τοῦτο δικαίωμα τρίτον· αὐτός ἐστι χορηγὸς τῆς ζωῆς, τοῦτο τέταρτον· αὐτὸς δοτὴρ πάντων τῶν ἐπὶ γῆς ἀγαθῶν, τοῦτο πέμπτον· ὁ Θεός ἐστι τὸ πανυπερτέλειον Ὄν, τὸ φιλάνθρωπον, τὸ πανάγαθον, τὸ πάνσοφον, τὸ δικαιότατον, τὸ πανεύσπλαγχνον, τὸ εὐεργετικώτατον, τὸ αὐτὸ καθ' ἑαυτὸ ἀγαπητόν, καὶ πανάγιον, καὶ πανυπερπόθητον, τοῦτο ἕκτον· ὁ Θεὸς ἡτοίμασε τοῖς ἀγαπῶσιν αὐτὸν βασιλείαν ἀτελεύτητον, καὶ δόξαν αἰώνιον, τοῦτο ἕβδομον· ὁ Θεὸς δι' ἡμᾶς τοὺς ἀνθρώπους, καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν ἐξαπέστειλε τὸν Υἱὸν αὐτοῦ εἰς τὸν κόσμον, ὅστις, ἄνθρωπος γενόμενος, ὑπέμεινε σταυρὸν καὶ θάνατον, τοῦτο ἄλλο δικαίωμα τῶν δικαιωμάτων ὑπέρτερον. Οἱ ἄνθρωποι, ἢ ἀμαθεῖς καὶ κακοί, προστάττουσι τὰ ἀδύνατα, ἢ ἄδικοι, τὰ ἄδικα, ἢ ἄσπλαγχνοι, τὰ σκληρὰ καὶ δύσκολα· ὁ Θεός, ὡς πάνσοφος καὶ πανάγαθος, οὐδὲν ἀδύνατον προστάττει, ὡς δικαιότατος, οὐδὲν ἄδικον, ὡς πανεύσπλαγχνος, οὐδὲν σκληρόν· ὅταν προστάττῃ, προστάττει τὰ δυνατά, τὰ δίκαια, τὰ ὁμαλά. Οἱ ἄνθρωποι, ἢ πονηροὶ ὄντες, προσκαλοῦσι τοὺς ἀνθρώπους εἰς τὰ ἔργα τῆς πονηρίας, ἢ φθονεροί, εἰς τὰ ἐπιβλαβῆ, ἢ διεφθαρμένοι, εἰς τὰ ὀλέθρια· ὁ δὲ Θεός, πανυπερτέλειος καὶ πανυπεράγαθος ὤν, ὅταν προσκαλῇ, προσκαλεῖ διὰ τὰ καλά, διὰ τὰ ὠφέλιμα, διὰ τὰ σωτήρια. Μετὰ ταῦτα ποία πρόφασις ἔχει τόπον, ὅταν αὐτὸς μὲν προστάττῃ, ἡμεῖς δὲ οὐχ ὑπακούομεν; ποία πρόφασις ἔχει λόγον, ὅταν αὐτὸς μὲν προσκαλῇ, ἡμεῖς δὲ φεύγομεν τὸ θεῖον αὐτοῦ κάλεσμα; Ἡ πρόφασις ἐνώπιον μὲν ἀνθρώπων ἔχει λόγον, ἐπειδὴ τὰ δικαιώματα τοῦ ἀνθρώπου πρὸς τὸν ἄνθρωπον εἰσὶ μικρὰ καὶ ὀλίγα· ἐνώπιον δὲ τοῦ Θεοῦ οὐδένα λόγον ἔχει, ἐπειδὴ τὰ δικαιώματα τοῦ Θεοῦ πρὸς τὸν ἄνθρωπον εἰσὶν ὑπερμέγιστα καὶ ἀναρίθμητα.

Ἀδελφοί μου, μὴ πλανᾶσθε· αἱ προφάσεις πρὸς τὴν ἐκπλήρωσιν τῶν προσταγμάτων τοῦ Θεοῦ οὐκ εἰσὶ δικαιολογίαι, ἀλλὰ πονηρολογίαι. Ἐγνώρισε τοῦτο καλῶς ὁ Προφητάναξ Δαβίδ, ὅστις προσευχόμενος ἔλεγε· Μὴ ἐκκλίνῃς [Ψαλ. ρμ'. 4.] τὴν καρδίαν μου εἰς λόγους πονηρίας τοῦ προφασίζεσθαι προ-

φά-

φάσεις ἐν ἁμαρτίαις. Καθὼς γίνεται τὸ θέλημα τοῦ Θεοῦ ἐν τῷ οὐρανῷ χωρὶς ἀντιλογίας, χωρὶς γογγυσμοῦ, χωρὶς ἀμφιβολίας, χωρὶς τινος προφάσεως, τοιουτοτρόπως πρέπον ἐστὶν, ἵνα ἐκτελῆται καὶ ἐπὶ τῆς γῆς· Γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ, καὶ ἐπὶ τῆς γῆς. Πᾶσα πρόφασις ἐστὶ πονηρία, καὶ Διαβόλου ἐφεύρεμα, δι' οὗ ἀποκοιμίζει τὸν τρισάθλιον ἁμαρτωλὸν, ἵνα ἀποθάνῃ ἐν ταῖς ἁμαρτίαις αὐτοῦ. Φεῦγε λοιπὸν, Χριστιανὲ, τὰς προφάσεις, ἵνα φύγῃς τῆς κολάσεως τὴν κατάκρισιν· ἵνα δὲ ταύτας εὐκόλως φεύγῃς, ἔκτεινον συχνάκις τὰς χεῖρας καὶ τὰ ὄμματα εἰς τὸν οὐρανὸν, καὶ μετὰ εὐλαβείας εὔχου ἐνώπιον τοῦ Θεοῦ, ὡς ὁ Δαβίδ· Μὴ ἐκκλίνῃς τὴν καρδίαν μου εἰς λόγους πονηρίας τοῦ προφασίζεσθαι προφάσεις ἐν ἁμαρτίαις.

# ΕΡΜΗΝΕΙΑ

ΕΙΣ ΤΟ ΚΑΤΑ

# ΛΟΥΚΑΝ

## ΕΥΑΓΓΕΛΙΟΝ ΤΗΣ ΙΒ΄. ΚΥΡΙΑΚΗΣ.

Ψαλ. ρμδ΄. 3. Μέγας Κύριος καὶ αἰνετὸς σφόδρα, καὶ τῆς μεγαλωσύνης αὐτοῦ οὐκ ἔστι πέρας! Τῆς λέπρας τὸ πάθος φθορά ἐστιν ὅλου τοῦ αἵματος, ὅθεν καὶ τὰ περιέχοντα αὐτὸ ἀγγεῖα, τῆς ἐλαστικῆς αὐτῶν δυνάμεως στερούμενα, οὐδὲ τρίβουσιν, οὐδὲ ἐξωθοῦσι τὰ ἐν τῷ αἵματι ἄλατα καὶ ἑτεροειδῆ μόρια· ἐκ τούτου δὲ στάσεις αὐτῶν γίνονται εἰς τὴν ἐπιφάνειαν τοῦ σώματος· ἐξ αὐτῶν δὲ ἀναζέσεις καὶ πυρώσεις, καὶ ἡ βλεπομένη μεταβολὴ τοῦ φυσικοῦ χρώματος, καὶ ἡ ἀλλοίωσις τοῦ δέρματος, καὶ τοῦ κρέατος, καὶ τῶν μελῶν ἡ διαφθορά. Τῆς ἀληθινῆς λέπρας τὸ πάθος, ὅταν φθάσῃ εἰς τὴν ἀκμὴν, καὶ εἰς τὸν τέλειον αὐτοῦ βαθμὸν, γίνεται πάντῃ ἀνίατον· ἰατρεύετο ἐνίοτε παρὰ τοῖς Ἰουδαίοις, ὡς φαίνεται εἰς τὴν νομοθεσίαν τοῦ Μωϋσέως, ἐπειδὴ μετὰ μεγάλης προσοχῆς παρετηρεῖτο εὐθὺς εἰς τὴν ἀρχὴν, ὅτε οὐδὲ αὔξησιν εἶχεν, οὐδὲ πρόοδον, ἀλλὰ μόνον τὸ πρῶτον αὐτοῦ ἴχνος ἐδείκνυε. Τοῦτο τὸ φθοροποιὸν καὶ ἀνίατον πάθος δι' ἑνὸς νεύματος ὁλοτελῶς ἐθεράπευσεν ὁ Θεάνθρωπος Ἰησοῦς· Μέγας Κύριος καὶ αἰνετὸς σφόδρα, καὶ τῆς μεγαλωσύνης αὐτοῦ οὐκ ἔστι πέρας! οὐχ ἕνα, οὐδὲ δύω, ἀλλὰ δέκα λεπροὺς, πάσης ἰατρείας ἀπηλπισμένους, ὁμοῦ ἐν μιᾷ στιγμῇ καιροῦ διὰ τῆς παντουργικῆς αὐτοῦ δυνάμεως ἐκαθάρισεν ὁ παντοδύναμος Σωτήρ. Τὴν περὶ τούτων σύντομον ἱστορίαν ἠκούσατε εἰς τὸ σήμερον ἀναγνωσθὲν Εὐαγγέλιον· νῦν δὲ καὶ τὴν πλατυτέραν αὐτῆς ἔκφρασιν καὶ ἐξήγησιν ἀκούσατε.

Τῷ καιρῷ ἐκείνῳ, εἰσερχομένου τοῦ Ἰησοῦ εἴς τινα κώμην, ἀπήντησαν αὐτῷ δέκα λεπροὶ ἄνδρες, οἳ ἔστησαν πόῤῥωθεν. Λουκ. ιζ΄. 12.



Ἀυ-

*῞Αυτη ἡ κώμη, ἤγουν ἡ μικρὰ πόλις, ἔκειτο μεταξὺ τῆς Σαμαρείας καὶ Γαλιλαίας, διότι, ὅτε ὁ Κύριος ἡμῶν Ἰησοῦς ἐπορεύετο εἰς τὴν Ἱερουσαλὴμ, διαβαίνων διὰ τῆς Σαμαρείας καὶ Γαλιλαίας, τότε κατήντησεν εἰς αὐτὴν τὴν*
Λουκ. ιζ΄. 11. *κώμην. ῞Οταν δὲ ἐπλησίασε, καὶ ἔμελλεν εἰσελθεῖν εἰς αὐτὴν, τότε ἀπήντησαν αὐτῷ οἱ δέκα ἄνδρες οἱ λεπροὶ, οἵτινες μακρόθεν ἐστάθησαν, μὴ τολμήσαντες πλησιάσαι εἰς τὸν Ἰησοῦν Χριστὸν, μηδὲ πεσεῖν εἰς τοὺς πόδας αὐτοῦ, ἐπειδὴ ὁ Ἰουδαϊκὸς νόμος ἀπηγόρευεν εἰς τοὺς λεπροὺς τὴν μετὰ τῶν καθαρῶν ἀναστροφὴν καὶ ἀνάμιξιν, λέ-*
Λευϊτ. ιγ΄. 46. *γων· Κεχωρισμένος καθήσεται, (ὁ λεπρὸς) ἔξω τῆς παρεμβολῆς αὐτοῦ ἔσται ἡ διατριβή· ὅθεν ὁ Ἰώσηπος ὁ Φλάβιος περὶ τοῦ Μωϋσέως εἶπε· Τοὺς δὲ λεπροὺς εἰς τὸ παντελὲς ἐξήλασε τῆς πόλεως, μηδενὶ συνδιαιτουμένους, καὶ νεκροῦ μηδὲν διαφέροντας.*

Λουκ. ιζ΄. 13. Καὶ αὐτοὶ ἦραν φωνὴν, λέγοντες· Ἰησοῦ ἐπιστάτα, ἐλέησον ἡμᾶς.

*Ἐπειδὴ μακρὰν ἦσαν οἱ λεπροὶ ἀπὸ τοῦ Ἰησοῦ Χριστοῦ, ἵνα ἀκούσῃ αὐτοὺς, ὕψωσαν τὴν φωνὴν αὐτῶν, καὶ μεγαλοφώνως ἐκραύγασαν· Ἐπιστάτα, ἤγουν Κύριε, κηδεμὼν, ἔφορε, ἐλέησον ἡμᾶς. Αὐτοὶ ἐνδεχομένως ἤκουσαν τῶν ἐξαισίων τοῦ Χριστοῦ θαυμάτων τὸ πλῆθος, διὸ, πιστεύσαντες, ὅτι δύναται θεραπεῦσαι αὐτοὺς, ἐζήτουν παρ᾽ αὐτοῦ τὴν ἰατρείαν τοῦ πάθους αὐτῶν, κραυγάζοντες μεγάλῃ τῇ φωνῇ, Ἐλέησον ἡμᾶς. Τί δὲ ἐποίησεν ὁ Φιλανθρωπότατος, ἀκούσας τὴν ἐλεεινὴν αὐτῶν φωνήν;*

Καὶ ἰδὼν, εἶπεν αὐτοῖς· Πο- Λουκ. ιζ΄. 14.
ρευθέντες, ἐπιδείξατε ἑαυτοὺς τοῖς ἱερεῦσι. Καὶ ἐγένετο ἐν τῷ ὑπάγειν αὐτοὺς, ἐκαθαρίσθησαν.

*῞Οτε κατὰ πρῶτον ἐφαίνετο εἰς τὸ σῶμα τοῦ ἀνθρώπου μικρὸν καὶ ἀμφίβολον τῆς λέπρας σημεῖον, παρίστατο εὐθὺς ὁ ἄνθρωπος ἐκεῖνος ἐνώπιον τοῦ ἱερέως· ὁ δὲ ἱερεὺς, ἐξετάζων ἀκριβῶς τὸ πάθος ἡμέρας δεκατέσσαρας, ἀπεφάσιζε, λέπρα ἐστὶ τὸ πάθος ἐκεῖνο, ἢ*
*οὔ. Ἐὰν δὲ, μετὰ τὴν δοκιμὴν, ἐφαίνετο* Λευϊτ. ιγ΄. 14.
*ὁ ἄνθρωπος τῷ ὄντι λεπρὸς, ἐχώριζεν αὐτὸν ἀπὸ τῶν ἄλλων ἀνθρώπων, καὶ ἐξέβαλεν ἔξω τῆς παρεμβολῆς αὐτοῦ, ἵνα μὴ καὶ τοὺς ἄλλους μιάνῃ. Μετὰ ταῦτα, ἐὰν ὁ ἄνθρωπος ἐκεῖνος ἐνόμιζεν, ὅτι ἰατρεύθη, παρίστατο πάλιν πρὸς*
*τὸν ἱερέα, ὅστις, ἀκριβῶς ἐξετάσας καὶ* Αὐτόθι.
*πληροφορηθεὶς περὶ τῆς ἀληθοῦς αὐτοῦ θεραπείας, προσέφερε τὰς ὑπὲρ τοῦ καθαρισμοῦ αὐτοῦ θυσίας, καὶ ἀνακηρύττων αὐτὸν καθαρὸν ἀπὸ τῆς λέπρας, ἔδιδεν αὐτῷ ἄδειαν, ἵνα εἰσέλθῃ εἰς τὴν πόλιν, καὶ εἰς τὸν οἶκον αὐτοῦ. Ταῦτα διωρισμένα ἦσαν ἐν τῷ Ἰουδαϊκῷ νόμῳ· δὶς λοιπὸν, κατὰ τὴν προσταγὴν τοῦ νόμου, ὁ λεπρὸς παρίστατο ἐνώπιον τοῦ ἱερέως, πρῶτον, ὅτε ὑπώπτευεν, ὅτι ἐστὶ λεπρός· δεύτερον, ὅτε ἐνόμιζεν, ὅτι ἰατρεύθη ἀπὸ τῆς λέπρας. Ἐπειδὴ οὖν οἱ δέκα λεπροὶ ἔξω τῆς πόλεως ἦσαν, ὅπου ἀπήντησαν τῷ Ἰησοῦ Χριστῷ, καὶ οὐδὲ ἐτόλμησαν πλησιάσαι πρὸς αὐτὸν, φανερόν ἐστιν, ὅτι αὐτοὶ παρεστάθησαν πρότερον πρὸς τοὺς Ἱερεῖς, καὶ ἔδειξαν τὸ πάθος αὐτῶν, καὶ ἀνακηρυχθέντες ὑπ᾽ αὐτῶν λεπροὶ, ἐξωρίσθησαν τῆς πόλεως. Λοιπὸν ὁ θεάνθρωπος Ἰησοῦς, ὅστις εἶ-*

δε·

δε· Καὶ ἰδὼν, λέγει· ὅτι ἀληθῶς ἦσαν λεπροὶ, καὶ ἀποβεβλημένοι τῆς πόλεως, προορίσας σιωπηλῶς, ἵνα καθαρισθῶσι κατ' αὐτὸν τὸν καιρὸν, καθ' ὃν ἐπορεύοντο πρὸς τοὺς ἱερεῖς, ἀπέστειλεν αὐτοὺς πρὸς τοὺς ἱερεῖς, οὐχ ἵνα αὐτοὶ ἐξετάσωσι τὰ περὶ τῆς λέπρας, ἀλλ' ἵνα ἀνακηρύξωσιν αὐτοὺς ὑγιεῖς καὶ καθαρούς. Γέγονε δὲ ὡς ὁ Παντοδύναμος ἐδιώρισεν· Ἐν τῷ ὑπάγειν αὐτοὺς, ἤγουν καθ' ὃν καιρὸν ἐπορεύοντο πρὸς τοὺς ἱερεῖς, ἐν αὐτῇ τῇ ὁδῷ ἐκαθαρίσθησαν ἀπὸ τῆς λέπρας. Βλέπε δὲ, ὅτι οἱ μὲν λεπροὶ κραυγάζουσι τὸ, Ἐπιστάτα, ἐλέησον ἡμᾶς, ὁ δὲ ἐπιστάτης Ἰησοῦς, ἐπακούσας τῆς δεήσεως αὐτῶν, ἐκαθάρισεν αὐτοὺς ἀπὸ τῆς λέπρας αὐτῶν. Τύπος τοῦτο τοῦ ἁμαρτωλοῦ· λελεπρωμένην ἔχει ὁ ἁμαρτωλὸς τὴν ψυχὴν, καθὼς οἱ δέκα λεπροὶ τὸ σῶμα· ὅταν δὲ αὐτὸς μετὰ κατανύξεως κράζει, ὥσπερ ἐκεῖνοι, Ἰησοῦ, Υἱὲ τοῦ Θεοῦ, ἐλέησόν με, τότε ὁ παντελεήμων Ἰησοῦς, ἐπακούων τῆς προσευχῆς αὐτοῦ, ἐλεεῖ αὐτὸν, καὶ καθαρίζει τὴν ψυχὴν αὐτοῦ ἀπὸ τῆς λέπρας τῶν ἁμαρτιῶν αὐτοῦ. Τί δὲ ἐποίησαν οἱ λεπροὶ, ἰδόντες, ὅτι τοσοῦτον παραδόξως ἐκαθαρίσθησαν;

Λουκ. ιζ'. 15. Εἷς δὲ ἐξ αὐτῶν, ἰδὼν, ὅτι
ἰάθη, ὑπέστρεψε, μετὰ φωνῆς
μεγάλης δοξάζων τὸν Θεόν.
16. Καὶ ἔπεσεν ἐπὶ πρόσωπον παρὰ τοὺς πόδας αὐτοῦ, εὐχαριστῶν αὐτῷ· καὶ αὐτὸς ἦν Σαμαρείτης.

Ἐκ τῶν δέκα καθαρισθέντων λεπρῶν εἷς μόνος ἐφάνη εὐχάριστος, ὅστις ἰδὼν, ὅτι ἐκαθαρίσθη ἀπὸ τῆς λέπρας, ἐπέστρεψεν εὐθὺς ἀπὸ τῆς ὁδοῦ, καὶ ἐδόξαζε μεγαλοφώνως τὸν Θεόν· πεσὼν δὲ πρὸς τοὺς πόδας τοῦ Ἰησοῦ Χριστοῦ, προσέφερεν αὐτῷ τὴν εὐχαριστίαν διὰ τὴν εὐεργεσίαν αὐτοῦ· Σαμαρείτης δὲ ἦν οὗτος ὁ εὐχάριστος ἄνθρωπος. Ἐπειδὴ δὲ οἱ Σαμαρεῖται, οὐδὲ εἰς τὰ περὶ πίστεως ἦσαν σύμφωνοι τοῖς Ἰουδαίοις, οὐδὲ τοὺς ἱερεῖς αὐτῶν εὐλαβοῦντο, οὐδὲ συνανεστρέφοντο μετ' αὐτῶν, οὗτος δὲ ὁ Σαμαρείτης μετὰ τῶν λοιπῶν ἐννέα λεπρῶν τῶν Ἰουδαίων συναναστρέφετο, καὶ προθύμως ἀπῆλθε πρὸς τοὺς τῶν Ἰουδαίων ἱερεῖς, ὅτε τοῦτο ἐκέλευσεν ὁ Ἰησοῦς Χριστὸς, φανερόν ἐστιν, ὅτι οὗτος, κἂν Σαμαρείτης ἦν τὸ γένος, ὁμόπιστος ὅμως ἦν τοῖς Ἰουδαίοις, πιστεύων καὶ δεχόμενος πάντα ὅσα καὶ ἐκεῖνοι ἐπίστευον καὶ ἐδέχοντο· διὰ τοῦτο δὲ ὁ Ἰησοῦς Χριστὸς οὐκ εἶπε περὶ αὐτοῦ, ὁ ἀλλόπιστος οὗτος, ἢ ὁ ἑτερόδοξος οὗτος, ἀλλ' ὁ ἀλλογενὴς οὗτος, σημαίνων, ὅτι ἄλλου μὲν γένους ἦν ὁ ἄνθρωπος, οὐκ ἄλλης δὲ πίστεως.

Ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς, εἶ- Λουκ. ιζ'. 17.
πεν· Οὐχὶ οἱ δέκα ἐκαθα-
ρίσθησαν; οἱ δὲ ἐννέα ποῦ;
Οὐχ εὑρέθησαν ὑποστρέψαν- 18.
τες δοῦναι δόξαν τῷ Θεῷ, εἰ-
μὴ ὁ ἀλλογενὴς οὗτος.

Ἐπειδὴ ὁσάκις ὁ Θεάνθρωπος ἐθεράπευσεν ἀσθενεῖς, ἢ ἀνέστησε νεκροὺς, ἢ ἄλλας θαυματουργικὰς εὐεργεσίας ἔπραξε, διδάσκων ἡμᾶς τὴν ταπεινοφροσύνην, καὶ τὴν φυγὴν τῆς φιλοδοξίας, οὐ μόνον οὐδέποτε παρ' οὐδενὸς τῶν εὐεργετηθέντων ἐζήτησεν εὐχαριστίαν, ἀλλὰ καὶ παρήγγελλεν αὐτοῖς τὴν σιωπὴν τῆς εὐεργεσίας· ἵνα μήτις νομίσῃ, ὅτι οὐδε-

μίαν εὐχαριστίαν ζητεῖ ὁ Θεὸς παρ' ἡμῶν διὰ τὰς πρὸς ἡμᾶς εὐεργεσίας αὐτοῦ, διὰ τοῦτο, ὅτε ὁ καθαρισθεὶς Σαμαρείτης προσέφερεν αὐτῷ τὴν εὐχαριστίαν, τότε, στραφεὶς πρὸς τοὺς περιεστῶτας, ἐμέμφθη μὲν τοὺς ἀχαρίστους, ἐδέχθη δὲ τὴν εὐχαριστίαν τοῦ εὐγνώμονος, εἰπών· Καὶ οἱ δέκα ἐκαθαρίσθησαν, ποῦ δέ εἰσιν οἱ λοιποὶ ἐννέα; αὐτοὶ οὐχ' ὑπέστρεψαν, ἵνα προσφέρωσι τὴν εἰς τὸν Θεὸν χρεωστουμένην εὐχαριστίαν· μόνος δὲ οὗτος ὁ ἀλλογενὴς εὐχάριστος ἐφάνη, προσελθὼν, καὶ εὐχαριστήσας. Ἀλλογενεῖς δὲ ἦσαν οἱ Σαμαρεῖται, καὶ οὐχ ὁμογενεῖς τοῖς Ἰου-
Δ'. Βασ. ιζ. 6. 24. δαίοις, ἐπειδὴ ἦσαν Ἀσσύριοι τὸ γένος, διότι ὁ Βασιλεὺς τῶν Ἀσσυρίων, καθυποτάξας τὴν Σαμάρειαν, μετέστησε πάντας τοὺς ἐκεῖ κατοικοῦντας Ἰσραηλίτας σὺν τῷ Βασιλεῖ αὐτῶν Ὠσηὲ εἰς τὴν τῶν Ἀσσυρίων χώραν, ἀντ' αὐτῶν δὲ ἀπέστειλεν εἰς τὴν Σαμάρειαν Ἀσσυρίους, οἵτινες κατῴκησαν ἐν αὐτῇ. Γιατί δὲ ὁ Θεάνθρωπος μετὰ τοσαύτης ἀκριβείας ἐσημείωσεν, ὅτι οὗτος ὁ εὐχάριστος ἄνθρωπος ἦν Σαμαρείτης καὶ ἀλλογενής; Ἵνα διδάξῃ πάντας τὸ τοῦ Θεοῦ ἀπροσω-
Πράξ. ί. 35. πόληπτον, καὶ ὅτι ἐν παντὶ ἔθνει ὁ φοβούμενος αὐτὸν, καὶ ἐργαζόμενος δικαιοσύνην, δεκτὸς αὐτῷ ἐστί. Ταῦτα δὲ εἰπὼν ὁ Ἰησοῦς πρὸς τοὺς περιεστῶτας, στραφεὶς πρὸς τὸν εἰς τοὺς πόδας αὐτοῦ πεσόντα Σαμαρείτην, εἶπε.

Καὶ εἶπεν αὐτῷ· Ἀναστὰς πορεύου· ἡ πίστις σου σέσωκέ σε. Λουκ. ιζ'. 19.

Ἄκουε τῆς ταπεινοφροσύνης τὸ μάθημα· Οὐκ ἐγὼ, λέγει, ἐθεράπευσα τὴν ἀσθένειάν σου, ἀλλ' ἡ πίστις σου· ἡ πίστις ἐκαθάρισέ σε ἀπὸ τῆς λέπρας· Ἡ Ματ. θ'. 22.
πίστις σου σέσωκέ σε. Τὰ αὐτὰ λόγια εἶπε πρὸς τὴν αἱμοῤῥοοῦσαν, τὰ Μάρκ. ί. 52.
αὐτὰ πρὸς τὸν τυφλὸν τὸν Βαρτίμαιον, ὅτε ἐθεράπευσεν αὐτούς· τὰ αὐτὰ πρὸς τὴν ἁμαρτωλὸν γυναῖκα, ὅτε ἐσυγχώρησε τὰς ἁμαρτίας αὐτῆς. Λουκ. ζ'. 50.
Ἐκ τούτων δὲ φανερόν ἐστιν, ὅτι οὐ μόνον ὁ Σαμαρείτης, ἀλλὰ καὶ οἱ λοιποὶ ἐννέα λεπροὶ ἐπίστευσαν εἰς τὸν Ἰησοῦν Χριστόν· διότι ἐὰν οὐκ ἐπίστευον, οὐκ ἐκαθαρίζοντο· ἀλλ' ὁ μὲν Σαμαρείτης μετὰ τὴν εὐεργεσίαν ἐφάνη εὐχάριστος, οἱ δὲ λοιποὶ ἐννέα ἐφάνησαν ἀχάριστοι καὶ ἀγνώμονες πρὸς τὸν εὐεργέτην αὐτῶν.

# ΟΜΙΛΙΑ

### ΜΕΤΑ ΤΟ ΚΑΤΑ

# ΜΑΤΘΑΙΟΝ

## ΕΥΑΓΓΕΛΙΟΝ ΤΗΣ ΙΒʹ. ΚΥΡΙΑΚΗΣ.

Ἀληθῶς παντεξούσιος ὢν ὁ Θεὸς καὶ πανυπερτέλειος, οὐδεμίαν ἔχει χρείαν τῶν εὐχαριστιῶν καὶ τῶν δώρων τοῦ ἀνθρώπου· (Ψαλ. ιε. 1.) Ὅτι τῶν ἀγαθῶν μου οὐ χρείαν ἔχεις· οὕτως ἔψαλλεν ἐνώπιον τοῦ Θεοῦ ὁ προφητάναξ Δαβίδ. Οἱ ἄνθρωποι δεικνύουσι τὴν εὐγνωμοσύνην αὐτῶν, ἢ διὰ λόγου εὐχαριστοῦντες, ἢ δῶρα προσφέροντες πρὸς τὸν εὐεργέτην. Ὁ Θεὸς οὐδεμίαν ἔχει χρείαν τῆς εὐχαριστίας καὶ δοξολογίας ἡμῶν, ἐπειδὴ ἐστὶν αὐτοδόξαστος· ἡ θεία αὐτοῦ φύσις ἀφ᾿ ἑαυτῆς φύσει ἔχει ἄπειρον καὶ ἀκατάπαυστον τὴν δόξαν καὶ τὴν αἴνεσιν· οὐδεμίαν χρείαν ἔχει τῆς δι᾿ ἔργου, ἤγουν τῆς διὰ θυσιῶν καὶ δώρων προσφερομένης αὐτῷ εὐχαριστίας, ἐπειδὴ, πνεῦμα πανυπερτέλειον ὂν, οὐδόλως μετέχει, ἢ ἀπολαμβάνει τῶν σωματικῶν καὶ ὑλικῶν πραγμάτων τῶν προσφερομένων αὐτῷ. Ἐπειδὴ ὅμως καὶ ἡ διὰ λόγου, καὶ ἡ δι᾿ ἔργου προσφερομένη αὐτῷ εὐχαριστία ἐστὶν ἔνδειξις βεβαία διακριτικῆς καὶ καλοδιαθέτου ψυχῆς, διὰ τοῦτο ὁ Θεὸς δέχεται αὐτὴν εὐμενῶς· καὶ τὰ λόγια, καὶ τὰ δῶρα τοῦ εὐχαρίστου ἀνθρώπου δέχεται διὰ τὴν εὐγνωμοσύνην τῆς ψυχῆς αὐτοῦ, διότι ἡ εὐγνωμοσύνη ἐστὶν ἀρετὴ μεγάλη· αὐτὴν ζητεῖ ὁ Θεὸς παρ᾿ ἡμῶν, αὐτή ἐστι πολλὰ εὐπρόσδεκτος εἰς αὐτὸν, δι᾿ αὐτὴν λαμβάνομεν ἡμεῖς τὰς πλουσίας αὐτοῦ ἀνταμοιβάς.

Μείζων πασῶν τῶν ἀρετῶν ἡ διάκρισις· αὐτή ἐστι τὸ ἅλας τὸ ἀρτίζον, καὶ τελείαν ποιοῦν πᾶσαν ἀρετήν· χωρὶς αὐτῆς πᾶσα ἀρετή ἐστιν ἀτελὴς καὶ δύσμορφος· διὰ τοῦτο ἐδιώρισεν ὁ Θεὸς, λέγων· Καὶ πᾶν δῶρον θυσίας ὑμῶν ἁλὶ ἁλισθήσεται· οὐ διαπαύσεται ἅλας διαθήκης Κυρίου (Λευϊτ. β. 13.) ἀπὸ θυσιασμάτων ὑμῶν· ἐπὶ παντὸς δώρου ὑμῶν προσοίσετε ἅλας. Ὅπου δὲ ἡ διάκρισις, ἐκεῖ καὶ ἡ εὐγνωμοσύνη· οὐδεὶς διακριτικός ἐστιν ἀχάριστος· πᾶς δὲ ἀχάριστός ἐστιν ἀδιάκριτος· διὰ τοῦτο βλέπομεν, ὅτι τῆς εὐγνωμοσύνης ἡ ἀρετὴ κατοικεῖ εἰς τὴν ψυχὴν τῶν ἁγίων καὶ δικαίων ἀνδρῶν.

Πρῶτος πάντων τῶν ἐν κόσμῳ ἀνθρώπων ὁ δίκαιος Ἄβελ ἐνόησε τρόπον, διὰ τοῦ ὁποίου ἔδειξε τὴν πρὸς τὸν Θεὸν εὐγνωμοσύνην αὐτοῦ. Ἐγνώρισεν αὐτὸς, καὶ καλῶς διέκρινεν, ὅτι ὁ Θεὸς ἔδωκεν αὐτῷ καὶ τὸ εἶναι, καὶ τὴν ζωὴν, καὶ πάντα ὅσα εἶχεν ἐπὶ τῆς γῆς, ὅθεν, ἀγαθὴν ἔχων τὴν προαίρεσιν καὶ φιλοδίκαιον, ἠθέλησεν, ἵνα ἀνταμείψῃ τὸν εὐεργέτην αὐτοῦ· ἐξελέξατο λοιπὸν τὰ πρωτότοκα τῶν προβάτων αὐτοῦ, καὶ ἀπὸ τῶν στεάτων αὐτῶν, καὶ προσέφερε αὐτὰ δῶρον εἰς τὸν Θεόν. Καὶ πῶς μὲν αὐτὰ προσέφερεν, οὐκ ἐφανέρωσεν ἡ θεία Γραφή· ἐπειδὴ δὲ βλέπομεν, ὅτι οἱ μετὰ ταῦτα ἅγιοι ἄνδρες, ὅσα προσέφερον εἰς τὸν Θεὸν, κατέκαιον αὐτὰ ἐπάνω εἰς τὸ θυσιαστήριον, τὸ ὑπ᾿ αὐτῶν οἰκοδομη-

μηθὲν, συμπεραίνομεν, ὅτι καὶ ὁ Ἄβελ τοῦτο αὐτὸ ἔπραξεν· ἐξ ἐκείνου δὲ οἱ μετ᾽ αὐτὸν τοῦτο παρέλαβον. Ἵνα δὲ μὴ ἀμφιβάλλωμεν περὶ τοῦ, ὅτι εὐπρόσδεκτα γεγόνασι τὰ δῶρα αὐτοῦ, ἐσημείωσεν ἡ
Γεν. δ'. 4. θεία Γραφὴ τὸ, Ἐπεῖδεν ὁ Θεὸς ἐπὶ
Ἄβελ, καὶ ἐπὶ τοῖς δώροις αὐτοῦ· τοῦτο δὲ σημαίνει, ὅτι ὁ Θεὸς ἐδέχθη εὐμενῶς τὰ δῶρα τοῦ Ἄβελ, καὶ εὐλόγησεν αὐτόν· διὰ τούτων δὲ τῶν λόγων ἐδίδαξε πάντας, ὅτι δέχεται τὰ ἐκ πίστεως καὶ εὐλαβείας προσφερόμενα αὐτῷ δῶρα, ἐπιβλέπων εἰς τὴν διάκρισιν, καὶ εὐχάριστον γνώμην, καὶ εἰς τὴν εὐγνωμοσύνην τῆς καρδίας τοῦ προσφέροντος. Διὰ τοῦτο καὶ ἡμεῖς, ὅταν πρὸς εὐχαριστίαν τῶν πρὸς ἡμᾶς εὐεργεσιῶν τοῦ Θεοῦ προσφέρωμεν αὐτῷ θυμιάματα, κηροὺς, ἔλαιον, ἢ ἄλλο τι, οὐδόλως πρέπει νὰ ἀμφιβάλλωμεν, ὅτι, δεχόμενος τὴν εὐγνωμοσύνην ἡμῶν, ἐπιβλέπει ἐφ᾽ ἡμᾶς καὶ ἐπὶ τὰ δῶρα ἡμῶν, καθὼς ἐπεῖδε καὶ ἐπὶ Ἄβελ, καὶ ἐπὶ τοῖς δώροις αὐτοῦ.

Μετὰ τὸν κατακλυσμὸν, πρῶτος ὁ
Αὐτ. ς'. 8. Νῶε, ὅστις εὗρε χάριν ἐναντίον Κυρίου τοῦ Θεοῦ, ἔδειξε τὴν εὐχαριστίαν αὐτοῦ εἰς τὸν Θεὸν, τὸν σώσαντα αὐτὸν καὶ δι᾽ αὐτοῦ ἅπαν τὸ γένος τῶν ἀνθρώπων ἀπὸ τῆς διαφθορᾶς τοῦ κατακλυσμοῦ, στήσας θυσιαστήριον, καὶ ὁ-
Αὐτ. η'. 20. λοκαυτώσας ἀπὸ πάντων τῶν κτηνῶν τῶν καθαρῶν, καὶ ἀπὸ πάντων τῶν πετεινῶν τῶν καθαρῶν. Ἵνα δὲ φανερώσῃ ὁ Θεὸς, ὅτι πολλὰ ἀρεστὴ καὶ εὐπρόσδεκτος ἐφάνη εἰς αὐτὸν ἡ εὐγνωμοσύνη τοῦ Νῶε, πρῶτον μὲν
Αὐτόθι. 21. λέγει· Καὶ ὠσφράνθη Κύριος ὁ Θεὸς ὀσμὴν εὐωδίας· ἔπειτα προσ-
Αὐτ. θ'. 1. τίθησι· Καὶ εὐλόγησεν ὁ Θεὸς τὸν Νῶε, καὶ τοὺς υἱοὺς αὐτοῦ. Ἐκ τούτου ἡμεῖς μανθάνομεν, ὅτι τῆς εὐγνωμοσύνης ἡ ἀρετὴ πολλὰ εὐάρεστός ἐστιν ἐνώπιον τοῦ Θεοῦ. Ἀληθῶς δὲ τὰ ὑπὸ τῆς εὐγνωμοσύνης προσφερόμενα εἰς τὸν Θεὸν εἰσὶν ἀπόδειξις καὶ βεβαίωσις, ὅτι πιστεύομεν καὶ ὁμολογοῦμεν, ὅτι αὐτὸς μόνος ἐστὶν ὁ Δημιουργὸς τῆς κτίσεως, καὶ προνοητὴς, καὶ εὐεργέτης· ὅθεν ἡ προσφορὰ ἡμῶν γίνεται ψυχῆς λατρεία, εἰς τὸν Θεὸν προσφερομένη.

Μετὰ τὸν Νῶε, ὁ Πατριάρχης Ἀβραὰμ ἔστησε τρία θυσιαστήρια, τὸ μὲν
πρῶτον, τὸ εἰς τὴν ἐν Συχὲμ ὑψηλὴν Γεν. ιβ'. 7, 8.
δρῦν, καὶ τὸ δεύτερον, τὸ ἐν Βαιθὴλ, πρὸς εὐχαριστίαν τοῦ Θεοῦ, ὅστις ὑπεσχέθη αὐτῷ τὴν γῆν Χαναὰν, τὸ δὲ τρίτον, τὸ εἰς τὴν Χεβρὼν, ὅτε ἤκουσε τὸν
Θεὸν λέγοντα αὐτῷ· Καὶ ποιήσω τὸ Αὐτ. ιγ'. 16.
σπέρμα σου ὡς τὴν ἄμμον τῆς γῆς. Ὁμοίως δὲ καὶ ὁ Ἰσαὰκ, ὅτε ὁ Θεὸς ἐβεβαίωσεν αὐτῷ τὴν πρὸς τὸν Ἀβραὰμ ὑπόσχεσιν, εἰπὼν πρὸς αὐτόν·
Καὶ εὐλογήσω σε, καὶ πληθυνῶ Αὐτ. κς'. 24.
τὸ σπέρμα σου δι᾽ Ἀβραὰμ τὸν πατέρα σου, εὐθὺς προσέφερε τὴν εὐχαριστίαν τῷ Θεῷ, οἰκοδομήσας θυσιαστή-
ριον ἐν τῇ φάραγγι Γεράρων. Τοῦτο Αὐτ. 25.
αὐτὸ ἔπραξεν ὁ Πατριάρχης Ἰακὼβ, ὅτε
ἐκτήσατο τὴν μερίδα τοῦ ἀγροῦ Αὐτ. λγ'. 19.
παρὰ Ἐμμὼρ πατρὸς Συχὲμ, ὅπου ἔστησε τὴν σκηνὴν αὐτοῦ· ἐποίησε
δηλαδὴ θυσιαστήριον ἐκεῖ, καὶ ἐ- Αὐτόθι. 20.
πεκαλέσατο τὸν Θεὸν Ἰσραὴλ, τὸν καταξιώσαντα αὐτὸν κτήσασθαι γῆν, καὶ στῆσαι ἐκεῖ τὴν σκηνὴν αὐτοῦ.

Ἐπιβεβαιοῖ δὲ ἡμᾶς ἡ πρὸς τὸν Πατριάρχην Ἰακὼβ προσταγὴ τοῦ Θεοῦ, ὅτι αὐτὸς θέλει, ἵνα γενώμεθα εὐχάριστοι πρὸς αὐτὸν, καὶ ζητεῖ τὴν ἔνδειξιν τῆς εὐγνωμοσύνης ἡμῶν. Ὅταν ὁ Ἰακὼβ, φοβηθεὶς τὴν καταδρομὴν Ἡσαῦ τοῦ ἀδελφοῦ αὐτοῦ, ἔφευγεν ἀπὸ τοῦ οἴκου τοῦ πατρὸς αὐτοῦ, τότε φανεὶς αὐτῷ ὁ Θεὸς,
ἐθάῤῥυνεν αὐτόν· Ἰδοὺ, εἶπεν, ἐγώ εἰ- Αὐτ. κη'. 15.
μι μετὰ σοῦ διαφυλάσσων σε ἐν

τῇ

τῇ ὁδῷ πάσῃ, οὗ ἐὰν πορευθῇς· ὁ δὲ Ἰακὼβ ἔδειξε τότε εὐθὺς τὴν πρὸς τὸν Θεὸν εὐγνωμοσύνην αὐτοῦ, ἀναστηλώσας λίθον ὡς στήλην, καὶ εἰπών· Ἐὰν ἐπιστρέψῃ με ὁ Θεὸς μετ' εἰρήνης, ποιήσω τὸν λίθον τοῦτον θυσιαστήριον τοῦ Θεοῦ. Ὅτε δὲ, βοηθείᾳ τῆς θείας χάριτος εὐτυχὴς καὶ πλούσιος γενόμενος, ἐπέστρεψεν ἀπὸ τῆς Μεσοποταμίας, τότε ὁ Θεὸς προσέταξεν αὐτῷ, ἵνα δείξῃ πρὸς αὐτὸν τὴν χρεωστουμένην εὐγνωμο-
Γεν. λέ. 1. σύνην· Εἶπε δὲ ὁ Θεὸς πρὸς Ἰακὼβ, Ἀναστὰς, ἀνάβηθι εἰς τὸν τόπον Βαιθὴλ, καὶ οἴκει ἐκεῖ· καὶ ποίησον ἐκεῖ θυσιαστήριον τῷ Θεῷ τῷ ὀφθέντι σοι, ἐν τῷ ἀποδιδράσκειν σε ἀπὸ προσώπου Ἡσαῦ τοῦ ἀδελφοῦ σου.

Βλέπομεν δὲ τῆς εὐγνωμοσύνης τὴν ἀρετὴν οὐ μόνον εἰς τοὺς πρὸ νόμου, ἀλλὰ καὶ εἰς τοὺς ἐν νόμῳ δικαίους· εὐχάριστοι καὶ αὐτοὶ διαπαντὸς πρὸς τὸν Θεὸν, καθὼς καὶ ἐκεῖνοι. Βλέπε τὸν Μωϋσῆν· αὐτὸς διὰ τὴν κατὰ τοῦ Ἀμαλὴκ νίκην οἰκοδομεῖ θυσιαστήριον, καὶ
Ἐξόδ. ιζ'. 15. ὀνομάσας αὐτὸ Κύριος καταφυγή μου, προσφέρει εἰς τὸν Θεὸν τὴν εὐχαριστίαν
Ἰησ. ή. 30. αὐτοῦ. Βλέπε τὸν Ἰησοῦν τοῦ Ναυή· αὐτὸς διὰ τὴν καταστροφὴν τῆς Γαὶ οἰκοδομεῖ θυσιαστήριον ἐν ὄρει Γαιβὰλ, καὶ
ἢ θ'. 30. εὐχαριστεῖ τῷ Θεῷ, ὅστις ἐνίσχυσεν αὐτὸν κατὰ τῶν ἐχθρῶν αὐτοῦ. Βλέπε τὸν Γεδεὼν, καὶ τὸν Σαμουὴλ οἰκοδομοῦντας θυσιαστήρια, καὶ τὴν εὐχαριστίαν αὐτῶν τῷ Θεῷ προσφέροντας· ὁ μὲν
Κριτ. ς'. 24. Γεδεὼν, ἐπειδὴ ἀπέστειλεν ὁ Θεὸς τὸν Ἄγγελον αὐτοῦ πρὸς αὐτὸν, ὁ δὲ Σαμουὴλ, ἐπειδὴ κατηξίωσεν αὐτὸν οἰκοδομῆσαι τὸν οἶκον αὐτοῦ ἐν Ἀρμαθαὶμ,
Α'. Βασιλ. ζ. 17. ὅπου ἦν ὁ οἶκος Κυρίου, ἤγουν ἡ Κιβωτὸς τῆς Διαθήκης.

Ἐὰν δὲ ἀνοίξωμεν τῆς νέας Διαθήκης τὰ βιβλία, βλέπομεν ἐν αὐτοῖς τὴν ἀρετὴν τῆς εὐγνωμοσύνης ὑψουμένην εἰς τὴν τελειότητα, τὴν τῷ Θεῷ πρέπουσαν. Ὁ Σαμαρείτης τοῦ σημερινοῦ Εὐαγγελίου οὐδὲ θυσιαστήρια ᾠκοδόμησεν, οὐδὲ θυσίας ζώων ὡλοκαύτωσεν, οὐδὲ δῶρα ὑλικὰ προσέφερεν εἰς τὸν Ἰησοῦν Χριστὸν, τὸν εὐεργέτην καὶ ἰατρὸν αὐτοῦ· τὴν καρδίαν καὶ τὴν ψυχὴν αὐτοῦ προσέφερεν εἰς αὐτόν· ἡ καρδία αὐτοῦ, αἰσθανθεῖσα τὴν εὐεργεσίαν, κατενύγει, ὅθεν ὑπέστρεψε μετὰ φωνῆς Λουκ. ιζ'. 15.
μεγάλης δοξάζων τὸν Θεόν· ἡ ψυχὴ αὐτοῦ ἐπληρώθη τῆς πρὸς τὸν Ἰησοῦν Χριστὸν εὐγνωμοσύνης· ὅθεν ἔπε- Αὐτ. 16.
σεν ἐπὶ πρόσωπον παρὰ τοὺς πόδας αὐτοῦ εὐχαριστῶν αὐτῷ· ἡ κατάνυξις καὶ ἡ εὐγνωμοσύνη ἤνοιξαν τὸ στόμα αὐτοῦ καὶ ἐδίδαξαν αὐτὸν τῆς εὐχαριστίας τὰ λόγια. Ἐπειδὴ δὲ ἡ συντριβὴ τῆς καρδίας ἐστὶν ἡ εὐπρόσδεκτος εἰς τὸν Θεὸν θυσία· Θυσία τῷ Θεῷ Ψαλ. ν'. 18.
πνεῦμα συντετριμμένον· ἐδέχθη ὁ Θεάνθρωπος τὴν διὰ λόγου εὐχαριστίαν αὐτοῦ ὡς θυμίαμα καθαρὸν, καὶ ὡς ὁλοκαύτωσιν τελείαν· Ἀναστὰς, εἶπε Λουκ. ιζ'. 19.
πρὸς αὐτὸν, πορεύου· ἡ πίστις σου σέσωκέ σε.

Ὁ θεόπνευστος Ἀπόστολος Παῦλος, ὅστις ἔδειξε τόσην εὐγνωμοσύνην εἰς τὸν Θεὸν, τὸν οὐρανόθεν προσκαλέσαντα αὐτὸν, καὶ ἀναδείξαντα Ἀπόστολον καὶ κήρυκα τοῦ Εὐαγγελίου, ὥστε χαρὰν ἐ- Κολασ. ά. 24.
λογίζετο τὰ ὑπὲρ Χριστοῦ παθήματα, καὶ ἐπροτίμα τὸν θάνατον καὶ αὐτῆς τῆς ζωῆς αὐτοῦ· αὐτὸς, λέγω, ὁ οὐρά- Φιλιπ. ά. 23.
νιος ἄνθρωπος, γράφων πρὸς τοὺς Θεσσαλονικεῖς, ἐδίδαξε τὸν κανόνα τῆς παρ' ἡμῶν χρεωστουμένης τῷ Θεῷ εὐγνωμοσύνης· Ἐν παντὶ, εἶπεν, εὐχαριστεῖ- Α'. Θεσσ. έ. 18.
τε· τοῦτο γὰρ θέλημα Θεοῦ ἐν Χριστῷ Ἰησοῦ εἰς ὑμᾶς. Τοῦτο δὲ σημαίνει, ὅτι εἰς πᾶσαν ὑπόθεσιν, εἰς πᾶσαν περίστασιν, εἰς πᾶν ἔργον, εἰς

παν-

πάντα ὅσα συμβαίνουσιν εἰς ἡμᾶς, εἴτε χαροποιὰ, εἴτε λυπηρὰ, εἴτε ὑγεία, εἴτε ἀσθένεια, εἴτε εὐτυχία, εἴτε θάνατος, πρέπον ἐστὶν, ἵνα προσφέρωμεν τὴν εὐχαριστίαν εἰς τὸν Θεόν· εἰς πᾶσαν κατάστασιν ἡμῶν πρέπει νὰ εὐχαριστῶμεν τῷ Θεῷ, διότι τοῦτο θέλει αὐτὸς ὁ τῶν ὅλων Θεός· Τοῦτο γὰρ θέλημα Θεοῦ ἐν Χριστῷ Ἰησοῦ εἰς ὑμᾶς.

Ἀλλὰ πῶς δύναται, λέγεις, ὁ ἄνθρωπος, ὅταν βασανίζῃ αὐτὸν ὀδυνηροτάτη ἀσθένεια, ἢ καταλαμβάνῃ αὐτὸν θλιβερωτάτη συμφορὰ, νὰ φανῇ εὐγνώμων εἰς τὸν Θεόν; τότε φεύγει ἡ ὑπομονὴ, τότε ἔρχεται ὁ γογγυσμὸς, τότε κινδυνεύει ὁ ἄνθρωπος νὰ πέσῃ εἰς τῆς βλασφημίας τὸν ὄλεθρον. Ὅταν ὑγιαίνω, ὅταν εὐτυχῶ, ὅταν εὐεργετῶμαι, πᾶς λόγος πείθει με, ἵνα εὐγνώμων γίνωμαι, καὶ προσφέρω εὐχαριστίαν· ἀλλ' ὅταν βασανίζωμαι, καὶ πάσχω, καὶ μαστίζωμαι, τότε ποῖον τόπον ἔχει ἡ εὐγνωμοσύνη; αὕτη λοιπὸν τοῦ Ἀποστόλου ἡ διδασκαλία, Ἐν παντὶ εὐχαριστεῖτε, φαίνεται, ὅτι οὐκ ἔχει λόγον, καὶ ἐστὶ δυσκατόρθωτος.

Σφάλλεις, ἀδελφέ· λόγον ἔχει ἡ διδασκαλία τοῦ Παύλου μέγαν καὶ ἰσχυρόν. Οὐ μόνον ἡ εὐεργεσία, ἀλλὰ καὶ αὐτὴ ἡ τιμωρία τοῦ Θεοῦ ἐστὶν εὐεργεσία· αὐτὴ φέρει εἰς ἡμᾶς τοῦ Θεοῦ τὴν
Ἡσ. κϛ'. ἐνθύμησιν· Κύριε, ἐν θλίψει ἐμνή-
16. σθημέν σου· ὅταν πάσχωμεν, τότε ἐνθυμούμεθα τὸν Θεόν. Ἡ τιμωρία τοιουτοτρόπως ἀνοίγει τὰ ὦτα τοῦ ἀνθρώπου, ὥστε οὐδὲ ἀπειθεῖ εἰς τὸν
Αὐτ. ν'. Θεὸν, οὐδὲ ἀντιλέγει· Ἡ παιδεία Κυ-
5. ρίου ἀνοίγει μου τὰ ὦτα· ἐγὼ δὲ οὐκ ἀπειθῶ, οὐδὲ ἀντιλέγω. Αὐτὴ παρακαλεῖ καὶ προτρέπει τὸν ἁμαρ-
Ψαλ. κβ'. τωλὸν εἰς μετάνοιαν· Ἡ ῥάβδος σου
5. καὶ ἡ βακτηρία σου, αὗταί με παρεκάλεσαν. Αὐτὴ δείκνυσιν, ὅτι ὁ Θεὸς τὸν μὲν δίκαιον ἀγαπᾷ, τοῦ δὲ ἁμαρτωλοῦ δέχεται τὴν μετάνοιαν· Ὃν Παροιμ. γ'. 12.
γὰρ ἀγαπᾷ Κύριος, παιδεύει, μαστιγοῖ δὲ υἱὸν, ὃν παραδέχεται. Αἱ τιμωρίαι τοῦ Θεοῦ εἰσὶ τὰ ὄργανα, καὶ τὰ μέσα, καὶ οἱ τρόποι, διὰ τῶν ὁποίων ὁ Θεὸς τοὺς μὲν δικαίους στηρίζει εἰς τὴν ἀρετὴν, τοὺς δὲ ἁμαρτωλοὺς καλεῖ εἰς μετάνοιαν. Ἐὰν λοιπὸν ὁ πατήρ σου πότε μέν σε ἐπαίδευεν, ἵνα ἐπιμείνῃς στερεὸς εἰς τὴν ἐργασίαν τῶν καλῶν ἔργων, πότε δέ σε ἐράβδιζεν, ἵνα ἀποκόψῃς τὰς πονηράς σου πράξεις, οὐκ εἶχες ἄρά γε σὺ χρέος, ἵνα εὐχαριστῇς ἡμέραν τε καὶ νύκτα τὸν ἐπίγειον πατέρα σου, διὰ τὴν πρὸς σὲ ἀγάπην αὐτοῦ, καὶ τὴν φροντίδα, καὶ τὴν ἐπιμέλειαν; τοῦτο αὐτὸ ποιεῖ ὁ Πατήρ σου ὁ ἐπουράνιος· παιδεύει σε, ἵνα στηριχθῇς εἰς τὴν ἀρετὴν, καθὼς τὸν Ἰώβ· μαστίζει σε, ἵνα ἐπιστρέψῃς ἀπὸ τῆς ἁμαρτίας, καθὼς τὸν Μανασσῆν· σὺ δὲ λέγεις, ὅτι, ὅταν σε παιδεύῃ, οὐκ ἔχεις χρέος, ἵνα προσφέρῃς εἰς αὐτὸν τὴν εὐχαριστίαν;

Ὁ μὲν ἰατρὸς, ὅταν σε ποτίζῃ τὸ καθάρσιον, πικραίνει τὸ στόμα σου, καταταράττει τὴν κοιλίαν σου, καταπληροῖ σε ναυτίας καὶ ἀηδίας· ὁ δὲ χειροῦργος, ὅταν ἴδῃ χρείαν, καίει τῆς πληγῆς σου τὸ ἐφθαρμένον κρέας, καὶ κόπτει τὰ σεσηπότα μέλη σου· καὶ ὅμως σὺ καὶ εἰς τὸν ἰατρόν σου καὶ εἰς τὸν χειροῦργόν σου μυρίας προσφέρεις εὐχαριστίας, καὶ πληροῖς τὰς χεῖρας αὐτῶν χρυσίου καὶ ἀργυρίου· ἔπειτα λέγεις, Ποῖος λόγος πείθει με, ἵνα φανῶ εὐχάριστος εἰς τὸν Θεὸν, ὅταν με παιδεύῃ; Αὐτὸς διὰ τῆς θλίψεως καθαρίζει τὴν ψυχήν σου, καὶ διὰ τῆς μάστιγος ἰατρεύει τὰς πληγὰς αὐτῆς, διὰ δὲ τὴν πρόσκαιρον τιμωρίαν χαρίζει σοι βασιλείαν αἰώνιον· ἔπειτα λέγεις, ὅτι ἡ ἀποστολικὴ διδασκαλία

οὐκ

οὐκ ἔχει λόγον; τὰ φρονήματά σου οὐκ ἔχουσι λόγον, τοῦτο δὲ γνωρίζεις, ὅταν ὡς πρέπει ἐξετάσῃς αὐτά. Ὁ Θεὸς ἐπίσης σε εὐεργετεῖ, καὶ ὅταν σε πλουτίζῃ, καὶ ὅταν σε πτωχίζῃ· καὶ ὅταν σε ἀνάγῃ, καὶ ὅταν σε κατάγῃ· καὶ ὅταν σε περιποιῆται διὰ τῆς ὑγείας, καὶ ὅταν σε μαστίζῃ διὰ τῆς ἀσθενείας· πάντοτε καὶ ἐν πᾶσιν ἐκχέει ἐπὶ σὲ τὰς θείας αὐτοῦ εὐεργεσίας· ὅθεν πάντοτε καὶ ἐν παντὶ πρέπον ἐστὶν, ἵνα προσφέρῃς εἰς αὐτὸν τὴν εὐχαριστίαν. Ὅτι δὲ ἡ αὐτὴ διδασκαλία οὐκ ἔστι δυσκολοκατόρθωτος ἀπέδειξαν πολλοὶ ἄνδρες δίκαιοι καὶ ἅγιοι, μάλιστα δὲ πάντων ἀνθρώπων ὁ πολύαθλος Ἰώβ.

Αὐτὸς οὐ μόνον, ὅταν ἀπελάμβανε πάσας τὰς εὐτυχίας, ἐδείκνυε τὴν εὐγνωμοσύνην αὐτοῦ πρὸς τὸν Θεὸν, θυ-
Ἰώβ. ά. 5. σίας προσφέρων εἰς αὐτὸν πάσας τὰς ἡμέρας, ἀλλὰ καὶ ἐν μέσῳ τῶν φοβερῶν δυστυχιῶν, ἤγουν τῆς ἀτεκνίας, τῆς ἐσχάτης πτωχείας, τῶν πληγῶν, καὶ τῆς ὀδυνηροτάτης ἀσθενείας, ἐβόα μεγά-
Αὐτόθι. 21. λῃ τῇ φωνῇ· Ὡς τῷ Κυρίῳ ἔδοξεν, οὕτως ἐγένετο· ἐν μέσῳ, λέγω, τῶν τοσούτων αἰφνιδίων συνημμένων καὶ ἀπαραδειγματίστων συμφορῶν καὶ θλίψεων εὐχαριστεῖ, καὶ ἐδοξολόγει, καὶ εὐλόγει τὸν Θεὸν, κραυγάζων· Εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον· ἐφάνη εὐχάριστος εἰς τὸν Θεὸν ἐπίσης, καὶ πολύτεκνος καὶ ἄτεκνος, καὶ ὑπέρπλουτος καὶ πενέστατος, καὶ ὑγιὴς καὶ ἀσθενέστατος, καὶ χαίρων καὶ θλιβόμενος, καὶ πανευτυχὴς καὶ δυστυχέστατος.

Χριστιανοὶ, ὅσα προεγράφη, εἰς Ῥωμ. ιέ. 4.
τὴν ἡμετέραν διδασκαλίαν προεγράφη. Γίνου λοιπὸν, ὦ ἄνθρωπε, ἐν παντὶ πράγματι εὐχάριστος εἰς τὸν Θεόν· εὐλόγει αὐτὸν ἐν παντὶ καιρῷ, ἡ Ψαλ. λγ'. 1.
αἴνεσις αὐτοῦ ἔστω διαπαντὸς ἐν τῷ στόματί σου· ἐὰν ὑγιαίνῃς, ἡ ὑγεία ἐστὶ δῶρον Θεοῦ· ἐξομολογοῦ λοιπὸν τὴν εὐεργεσίαν, καὶ λέγε μετὰ τοῦ Δαβίδ· Καὶ ἀνέθαλεν ἡ σάρξ μου, Ἀυτ. κζ'. 10.
καὶ ἐκ θελήματός μου ἐξομολογήσομαι αὐτῷ· ἐὰν ἀσθενῇς, ἡ ἀσθένεια τοῦ σώματος ἐστὶ σωτηρία τῆς ψυχῆς σου· λέγε λοιπὸν μετὰ τοῦ Ἰώβ· Εἴη τὸ ὄνομα Κυρίου εὐλογημέ- Ἰώβ. ά. 21.
νον· ἐὰν πλουτῇς, καὶ εὐτυχῇς, εὐχαρίστει, ὡς ὁ Δαβὶδ, τὸν ἐμπιπλῶντα ἐν Ψαλ. ρβ'. 5.
ἀγαθοῖς τὴν ἐπιθυμίαν σου, λέγε μετ' αὐτοῦ· Εὐλόγει ἡ ψυχή μου τὸν Ἀυτ. 1.
Κύριον, καὶ μὴ ἐπιλανθάνου πάσας τὰς ἀνταποδόσεις αὐτοῦ· ἐὰν πτωχὸς ὑπάρχῃς καὶ δυστυχὴς, μετὰ ὑπομονῆς δόξαζε τὸν Προνοητὴν, ὅστις ἀντὶ τῶν ἐπιγείων ἑτοιμάζει σοι τὰ οὐράνια· λέγε μετὰ τοῦ Ἰώβ· Ὡς τῷ Ἰώβ. ά. 21.
Κυρίῳ ἔδοξεν, οὕτως ἐγένετο. Πάντες ἐν παντὶ, ἤγουν εἰς πᾶσαν ὑπόθεσιν, καὶ περίστασιν, καὶ κατάστασιν εὐχαριστεῖτε τὸν Θεόν· μὴ λείπῃ ἀπὸ τοῦ στόματος ὑμῶν ἡ δοξολογία τοῦ Θεοῦ, μὴ λείπῃ ποτὲ ἀπὸ τῶν χειλέων τὸ, δόξα σοι ὁ Θεός· Ἐν παντὶ εὐ- Α'. Θεσσ. έ. 18.
χαριστεῖτε· τοῦτο γὰρ θέλημα Θεοῦ ἐν Χριστῷ Ἰησοῦ εἰς ὑμᾶς· ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων, Ἀμήν.

# ΟΜΙΛΙΑ

### ΜΕΤΑ ΤΟ ΚΑΤΑ

# ΛΟΥΚΑΝ

## ΕΥΑΓΓΕΛΙΟΝ ΤΗΣ ΙΓ'. ΚΥΡΙΑΚΗΣ.

Τὴν ἱστορίαν τοῦ σημερινοῦ Εὐαγγε-
γελίου, οὐ μόνον ὁ θεηγόρος Λουκᾶς,
Ματ. ιθ'. ἀλλὰ πρὸ αὐτοῦ καὶ ὁ θεόπνευστος
16. Ματθαῖος, καὶ ὁ θεῖος Μάρκος κατὰ
Μάρκ. ί. διαφόρους καιροὺς καὶ τόπους συνέγρα-
17. ψαν. Καὶ ἡ μὲν ἔννοια τῆς συγγραφῆς
μία καὶ ἡ αὐτή ἐστι, μικραὶ δέ τινες πε-
ριστάσεις, σιωπηθεῖσαι ὑπὸ τοῦ ἑνὸς
Εὐαγγελιστοῦ, ἐγράφησαν ὑπὸ τοῦ ἄλ-
Τόμ. ά. λου. Ἐπειδὴ δὲ τὴν ἱστορίαν ταύτην
Σελ. 242. διερμηνεύσαμεν εἰς τὴν δεκάτην δευτέραν
Κυριακὴν τοῦ κατὰ Ματθαῖον Εὐαγγε-
λίου, περιττὸν νομίζομεν, ἵνα πάλιν τὰ
αὐτὰ ἐπαναλάβωμεν· διό, ἀντὶ τῆς ἑρ-
μηνείας, ἥτις εἰς τὴν ῥηθεῖσαν Κυριακὴν
ἀναγινώσκεται, προβάλλομεν σήμερον τὴν
περὶ τῆς χριστιανικῆς τελειότητος ὁμι-
λίαν, περὶ ἧς διαλαμβάνει αὐτὴ ἡ ὑπὸ
τῶν τριῶν ἁγίων Εὐαγγελιστῶν συγ-
γραφεῖσα ἱστορία. Καθάρατε οὖν, ἀ-
δελφοί, τὸν νοῦν καὶ τὴν καρδίαν ἀπὸ
πάσης γηΐνης προσπαθείας, ἵνα χωρή-
σωσι ταύτης τῆς ὑψηλῆς διδασκαλίας τὸν
ἐπουράνιον σπόρον, καὶ ὑψώσατε τὰ ὄμ-
ματα τοῦ νοὸς ὑμῶν εἰς ἐκεῖνα τὰ ὄρη,
εἰς τὰ ὁποῖα ὁ Δαβὶδ ἦρε τοὺς ὀφθαλ-
μοὺς αὐτοῦ, ἵνα ἔλθῃ πρὸς ὑμᾶς, κα-
Ψαλ. ρκ'. θὼς καὶ εἰς ἐκεῖνον, ἡ βοήθεια πα-
2. ρὰ Κυρίου, τοῦ ποιήσαντος τὸν
οὐρανὸν καὶ τὴν γῆν·

Πρὸς τὸν Ἄρχοντα, τὸν εἰπόντα,
ὅτι ἐκ νεότητος αὐτοῦ ἐφύλαξε τὰς ἐν-
Λουκ. ιη'. τολὰς τοῦ Θεοῦ· Ταῦτα πάντα ἐφυ-
21. λαξάμην ἐκ νεότητός μου, ἀπεκρί-
θη ὁ Θεάνθρωπος· Ἔτι ἕν σοι λείπει.
Διὰ τούτου δὲ ἐφανέρωσεν ὁ Κύριος, ὅτι
ὅστις φυλάττει μόνας τὰς δέκα ἐντολάς,
ἐκεῖνος φίλος τοῦ Θεοῦ ἐστί, καὶ ἀγα-
πητὸς αὐτῷ, καὶ κληρονόμος τῆς βασι-
λείας αὐτοῦ, πλὴν οὐκ ἔστι τέλειος,
λείπει δὲ αὐτῷ ἕν, ἵνα φθάσῃ εἰς τὸν
βαθμὸν τῆς τελειότητος, ἤγουν πρέπει,
ἵνα πωλήσῃ πάντα ὅσα ἔχει, καὶ δια-
μερίσας αὐτὰ εἰς τοὺς πτωχούς, ἀκο-
λουθῇ τῷ Ἰησοῦ Χριστῷ, τουτέστι μι-
μῆται τὰς ἀρετὰς αὐτοῦ· Ἔτι ἕν σοι Λουκ. ιη'.
λείπει· πάντα ὅσα ἔχεις πώλη- 22.
σον, καὶ διάδος πτωχοῖς, καὶ ἕ-
ξεις θησαυρὸν ἐν οὐρανοῖς· καὶ
δεῦρο, ἀκολούθει μοι.

Ἡ διανομὴ τῶν ὑπαρχόντων εἰς τοὺς πτωχούς, καὶ ἡ ἀκολούθησις τοῦ Ἰησοῦ Χριστοῦ φαίνονται οὐχὶ ἕν, ἀλλὰ δύω πράγματα, ὁ δὲ Θεάνθρωπος ἓν αὐτὰ εἶπεν· Ἔτι ἕν σοι λείπει· ἐπειδή, διὰ τὴν κατόρθωσιν τῆς τελείας ἀρετῆς, εἰσὶν ἀχώριστα καὶ ἀδιαίρετα· ὅστις ἐπιθυμεῖ τὴν τελειότητα, ἐὰν χωρίσῃ τὸ ἓν ἀπὸ τοῦ ἄλλου, μένει ἐστερημένος τοῦ σκοποῦ αὐτοῦ.

Ὁ πλούσιος Ἄρχων τοῦ σημερινοῦ
Εὐαγγελίου ἐζήτει τῆς ἀρετῆς τὴν τε-
λειότητα· αὐτός, κἂν ἐφύλαξε πάσας
τὰς ἐντολὰς τοῦ Θεοῦ ἐκ νεότητος αὐ-
τοῦ, ἐξ οὗ καὶ ἠγάπησεν αὐτὸν ὁ Μάρκ. ί.
Ἰησοῦς Χριστός, ὡς μαρτυρεῖ ὁ ἱε- 21.
ρὸς Μάρκος, προσῆλθεν ὅμως πρὸς αὐ-
τὸν μετὰ πολλῆς εὐλαβείας καὶ τα-

πει-

πεινοφροσύνης, καὶ κλίνας τὰ γόνατα
Ματ. ί. ἐνώπιον αὐτοῦ, ἠρώτα αὐτὸν, λέγων· Δι-
17. δάσκαλε ἀγαθὲ, τί ποιήσας ζωὴν
Λουκ. ιή. αἰώνιον κληρονομήσω; ἤθελε, καὶ
18. ἐπεθύμει, ἵνα φθάσῃ εἰς τὴν τελειότη-
τα, ἀκολουθῶν καὶ μιμούμενος τὸν Ἰη-
σοῦν Χριστὸν, πλὴν ἤθελεν ἅμα καὶ τὸν
πλοῦτον αὐτοῦ, καὶ οὐδόλως ἔστεργεν ἐ-
γκαταλιπεῖν αὐτόν· ἤθελε τὸ ἓν, ἤγουν
τὴν ἀκολούθησιν τοῦ Ἰησοῦ Χριστοῦ, τὸ
δὲ ἄλλο, ἤγουν τὴν τελείαν διανομὴν τοῦ
πλούτου αὐτοῦ, οὐκ ἔστεργε· τοῦτο δὲ
μὴ στέρξας, ἀπέτυχε καὶ ἐκείνου ὅπερ
ἐπόθει, τουτέστι τῆς μαθητείας τοῦ Ἰη-
Μάρκ. ί. σοῦ Χριστοῦ· Ὁ δὲ στυγνάσας, λέ-
22. γει ὁ Εὐαγγελιστὴς Μάρκος, ἐπὶ τῷ
λόγῳ, ἀπῆλθε λυπούμενος, ὅπερ
ἐστὶν, ἀκούσας τὸν λόγον τοῦ Ἰησοῦ Χρι-
στοῦ, Πάντα ὅσα ἔχεις πώλησον,
καὶ διάδος πτωχοῖς, ἀνεχώρησεν ἀ-
πὸ τοῦ χοροῦ τῶν μαθητῶν, σκυθρω-
πάζων καὶ θλιβόμενος.

Ὁμοίως καὶ ἐάν τις ἐγκαταλείψῃ πάντα ὅσα ἔχει, οὐχὶ δι᾽ ἀγάπην Θεοῦ, οὐδ᾽ ἵνα ἀκολουθήσῃ τῷ Ἰησοῦ Χριστῷ, ἀλλὰ δι᾽ ἄλλους σκοποὺς καὶ τέλη, ἐκεῖνος οὐ μόνον οὐκ ἀναβαίνει εἰς τὸν ὑψηλὸν τῆς ἀρετῆς βαθμὸν, ἀλλὰ καὶ πίπτει εἰς τῆς κακίας καὶ ἀγνωσίας τὸ βάραθρον. Ὁ Κράτης ὁ φιλόσοφος ἐγκατέλιπε μὲν πάντα τὰ ὑπάρχοντα αὐ-
Λαέρτ. τοῦ, ῥίψας καὶ τὰ ἀργύρια αὐτοῦ εἰς
τὴν θάλασσαν, πλὴν ἐκ τούτου οὐ μόνον οὐδεμίαν ἀρετὴν κατώρθωσεν, ἀλλ᾽ ἐγένετο καὶ ἄδικος, καὶ φιλόδοξος, καὶ ἀσύνετος· ἄδικος μὲν, ἐπειδὴ τόσους ἠδίκησεν, ὅσους ἐδύνατο εὐεργετῆσαι διὰ τῆς μεταδόσεως τῶν ὑπαρχόντων αὐτοῦ, καὶ οὐκ εὐεργέτησε· φιλόδοξος δὲ, ἐπειδὴ, ῥίψας τὰ ὑπάρχοντα αὐτοῦ εἰς τὴν θάλασσαν, ἐκόμπαζε καὶ ὑπερηφανεύετο ἐπὶ τῷ κατορθώματι αὐτοῦ, κραυγάζων· Ἐλευθεροῖ Κράτητα Θηβαῖον Κράτης· ἀσύνετος δὲ καὶ μωρὸς, ἐπειδὴ, μὴ ἔχων ἐλπίδα πνευματικὴν καὶ θείαν, ἐλύτρωσε μὲν ἑαυτὸν ἐκ τοῦ περισπασμοῦ καὶ τῆς φροντίδος τῶν ὑπαρχόντων αὐτοῦ, περιέπεσε δὲ εἰς τὰς ἀνάγκας τῆς πτωχείας, καὶ εἰς τὴν μέριμναν τῆς καθημερινῆς αὐτοῦ τροφῆς, καὶ τῶν λοιπῶν τῆς ζωῆς ἀναγκαίων.

Βλέπε δὲ, πῶς ἡ σύνδρομὴ τούτων
τῶν δύω κατορθωμάτων ἀναβιβάζει τὸν
ἄνθρωπον εἰς τῆς ἀρετῆς τὴν τελειότη-
τα. Ἡ ἀγάπη ἐστὶν ὅλου τοῦ νόμου
τὸ πλήρωμα· καὶ ἄλλος μὲν ἀγα- Ῥωμ. ιγ΄.
πᾷ ὀλίγον, ἄλλος δὲ ἀγαπᾷ πολὺ, 10.
κατὰ τὸν λόγον τοῦ Κυρίου, ὃν εἶ-
πε πρὸς Σίμωνα τὸν Φαρισαῖον περὶ
τῆς ἁμαρτωλοῦ γυναικός· Οὗ χάριν, Λουκ. ζ΄.
λέγω σοι, ἀφέωνται αἱ ἁμαρτίαι 47.
αὐτῆς αἱ πολλαὶ, ὅτι ἠγάπησε
πολύ· ᾧ δὲ ὀλίγον ἀφίεται, ὀλί-
γον ἀγαπᾷ. Ἐκ τούτου φανερόν ἐστιν, ὅτι ὁ βαθμὸς τῆς τελειότητός ἐστιν ἀνάλογος τῷ μέτρῳ τῆς ἀγάπης, καθὼς καὶ ὁ βαθμὸς τῆς πολυμαθείας τῷ πλήθει τῶν μαθημάτων· ὅσον περισσοτέρα ἡ ἀγάπη, τοσοῦτον μείζων ἡ τελειότης, καθὼς ὅσον περισσότερα τὰ μαθήματα, τοσοῦτον πλουσιωτέρα ἡ πολυμάθεια. Ὅστις δι᾽ ἀγάπην Θεοῦ δίδωσιν ὀλίγον μέρος τῶν ὑπαρχόντων αὐτοῦ εἰς τοὺς πτωχοὺς, ἐκεῖνος ἀγαπᾷ ὀλίγον τὸν Θεὸν, καὶ τὸν πλησίον αὐτοῦ· ὅστις δίδωσι πολὺ, ἐκεῖνος ἀγαπᾷ πολύ· ὅστις δὲ δώσῃ πάντα ὅσα ἔχει, ἐκεῖνος ἀγαπᾷ κατὰ τὸ ὅλον, ἐκεῖνος ἀγαπᾷ ὅλως δι᾽ ὅλου καὶ τὸν Θεὸν, καὶ τὸν πλησίον
αὐτοῦ· τοῦτό ἐστιν ἀρετὴ μεγάλη καὶ
ὑψηλή· Ἐσκόρπισεν, ἔδωκε τοῖς Ψαλ. ριά.
πένησιν, ἡ δικαιοσύνη αὐτοῦ μέ- 8.
νει εἰς τὸν αἰῶνα τοῦ αἰῶνος· τὸ
κέρας αὐτοῦ ὑψωθήσεται ἐν δόξῃ.
Πλὴν τοῦτό ἐστιν ἡ μία τῶν πτερύγων, τὰς ὁποίας ζητῶν ὁ προφήτης Δαβὶδ, ἵνα

ἵνα πετασθῇ, καὶ καταπαύσῃ εἰς τῆς
Ψαλ. ιδ'. τελειότητος τὴν ἀνάπαυσιν, ἔλεγε· Τίς
6. δώσει μοι πτέρυγας ὡσεὶ περισ-
τερᾶς; καὶ πετασθήσομαι, καὶ
καταπαύσω. Ἡ ἄλλη πτέρυξ τῆς πε-
ριστερᾶς ἐστὶν ἡ μίμησις τῆς πολιτείας
τοῦ Ἰησοῦ Χριστοῦ· ὅθεν ὅστις ἀγαπᾷ
τὴν τελειότητα, ἐκεῖνος ζητεῖ καὶ τὴν
ἄλλην πτέρυγα, ἵνα πετασθῇ εἰς τῆς
τελειότητος τὰ ὄρη, καὶ καταπαύσῃ ἐκεῖ.

Καθὼς δὲ ὁ ἐπιτήδειος ζωγράφος,
ὅταν ζωγραφῇ εἰκόνα, βάλλει ἔμπροσθεν
αὐτοῦ τὸ πρωτότυπον, καὶ πρὸς αὐτὸ
προσηλώσας τὰ ὄμματα, ἀγωνίζεται
μετὰ πάσης προσοχῆς, ἵνα γράψῃ τὸ
σχῆμα, τὸ χρῶμα, τὸν χαρακτῆρα, καὶ
τὰ ἴχνη πάντα τοῦ πρωτοτύπου, καὶ
ἀναδείξῃ τὴν εἰκόνα, εἰκόνα ζῶσαν, καὶ
κατὰ πάντα ὁμοίαν τῷ πρωτοτύπῳ·
οὕτω καὶ ὁ ἐραστὴς τῆς τελειότητος βάλ
λει ἔμπροσθεν αὐτοῦ τὸ ὑπερτέλειον
πασῶν τῶν ἀρετῶν πρωτότυπον, τὸν Σω-
τῆρα, λέγω, τοῦ κόσμου, τὸν Ἰησοῦν,
καὶ προσηλώσας εἰς αὐτὸν τὸν νοῦν καὶ
τὴν καρδίαν, ἐπιμελεῖται ὅσον ἡ φύσις
δύναται ὑπὸ τῆς χάριτος δυναμουμένη,
ἵνα καὶ τὰς διαθέσεις, καὶ τὰ λόγια,
καὶ τὰς πράξεις μιμηθῇ, καὶ ἐπακολου-
θήσῃ πᾶσι τοῖς ἴχνεσιν αὐτοῦ, καὶ πα-
ραστήσῃ ἑαυτὸν τελείαν τοῦ πρωτοτύ-
που Ἰησοῦ Χριστοῦ εἰκόνα.

Ἐκ τούτου γίνεται πρᾷος καὶ τα-
πεινὸς τῇ καρδίᾳ, κατὰ τὸ μάθημα τοῦ
διδασκάλου αὐτοῦ· γίνεται ὑπήκοος εἰς
τοῦ Θεοῦ τὸ πρόσταγμα, ὡς ὁ ἀρχηγὸς
τῆς πίστεως Ἰησοῦς· ἀνεξίκακος εἰς τὰς
συκοφαντίας, μακρόθυμος εἰς τὰς ὕβρεις,
ὑπομονητικὸς εἰς τοὺς διωγμούς, ἰσχυ-
ρὸς εἰς τοὺς κατὰ τῶν Δαιμόνων πολέ-
μους· ἡ μὲν ψυχὴ αὐτοῦ γίνεται ἁπλῆ
καὶ ἄκακος, ὁ δὲ νοῦς καθαρὸς καὶ
πνέων θείου ζήλου, ἡ δὲ καρδία πλήρης
ἐκείνης τῆς ἀγάπης, περὶ τῆς ὁποίας
εἶπεν ὁ Κύριος· Μείζονα ταύτης ἀ- Ἰωάν. ιε.
γάπην οὐδεὶς ἔχει, ἵνα τις τὴν ψυ- 13.
χὴν αὐτοῦ θῇ ὑπὲρ τῶν φίλων
αὐτοῦ· ὅθεν ἕτοιμος καὶ αὐτὸς δια-
παντὸς, ἵνα θυσιάσῃ τὴν ζωὴν αὐτοῦ
διὰ τὸν ἀγαπήσαντα ἡμᾶς, καὶ παρα-
δόντα ἑαυτὸν εἰς θάνατον διὰ τὴν σω-
τηρίαν ἡμῶν· ταύτης τῆς ἀγάπης ἡ γλυ-
κυτάτη φλὸξ καταφλέγει ἀκαταπαύστως
τὴν καρδίαν αὐτοῦ· ἐκ τούτου δὲ προέρ-
χονται αἱ συχναὶ προσευχαὶ, αἱ εὐλα-
βεῖς γονυκλισίαι, αἱ ὁλονύκτιοι ἀγρυ-
πνίαι, αἱ προσεκτικαὶ ἀναγνώσεις τῶν
ἱερῶν βιβλίων; ἡ νοερὰ μελέτη τῶν ἐ-
πουρανίων πραγμάτων, ἡ διηνεκὴς προ-
σήλωσις τοῦ νοὸς εἰς τὸν Θεόν. Οὐ δύ-
ναμαι ἐγὼ, ἀδελφοὶ, νὰ περιγράψω πά-
σας τὰς πρακτικὰς καὶ θεωρητικὰς ἀρε-
τὰς ἐκείνου τοῦ ἀνθρώπου, ὅστις, μιμη-
τὴς γενόμενος τοῦ Ἰησοῦ Χριστοῦ, ἔφθα-
σεν εἰς τῆς τελειότητος τὰ μέτρα· ὅστις
ἐγεύθη τὸ τοιοῦτον οὐράνιον μάννα, ἐ-
κεῖνος μόνος καὶ εἶδε, καὶ κατενόησε,
καὶ δύναται νὰ ἀναβιβάσῃ τὸν νοῦν αὐ-
τοῦ τόσον ὑψηλὰ, καὶ νὰ κατανοήσῃ καὶ
διηγηθῇ τὸ ὕψος, τὸ πλῆθος, τὸ κάλ-
λος, τὴν λαμπρότητα τῶν ἀρετῶν τοῦ
τελείου ἀνθρώπου· Γεύσασθε, εἶπεν
ὁ Θεὸς, καὶ ἴδετε, ὅτι χρηστὸς ὁ
Κύριος. Ἐπειδὴ δὲ ἡ ψυχή μου οὐδέ Ψαλ. λγ'.
ποτε ἐγεύθη, ἀλλ' ἐστὶ νήστης, καὶ γυ- 8.
μνὴ, καὶ ἄμοιρος πάσης ἀρετῆς, διὰ τοῦ-
το οὐδὲ εἶδον, οὐδὲ ἐνόησα, οὐδὲ δύνα-
μαι λαλῆσαι περὶ τούτων ἀξιοπρεπῶς·
καταβαίνω λοιπὸν κάτω, ἤγουν εἰς τὴν
δυσκολίαν τούτου τοῦ ἐπουρανίου. ἔργου
τῆς χριστιανικῆς τελειότητος.

Ὅταν ὁ θεάνθρωπος Ἰησοῦς ἐδίδα-
ξε τὸ μάθημα τῆς διανομῆς πάντων τῶν
ὑπαρχόντων, καὶ τῆς μιμήσεως αὐτοῦ,
εἶδε δὲ τὸν πλούσιον ἄρχοντα περίλυ-
πον γενόμενον, τότε αὐτὸς μὲν εἶπε,
καὶ ἐβεβαίωσεν, ὅτι δυσκολώτατόν ἐστι
τὸ

τὸ ἔργον τῆς τελειότητος εἰς τοὺς πλου-
Λουκ. ιη'. 25. σίους· Εὐκοπώτερον γάρ ἐστιν, εἶπε, κάμιλον διὰ τρυμαλιᾶς ῥαφίδος εἰσελθεῖν, ἢ πλούσιον εἰς τὴν βασιλείαν τοῦ Θεοῦ εἰσελθεῖν. Οἱ δὲ μαθηταὶ αὐτοῦ, μὴ κατανοήσαντες, ὅτι ὁ διδάσκαλος αὐτῶν οὐκ ἐλάλει περὶ σωτηρίας γενικῶς, ἀλλὰ περὶ τελειότητος εἰδικῶς, οὐδὲ περὶ φυλακῆς ἐντολῶν, ἀλλὰ περὶ τῆς τελείας ἁγιωσύνης, ἐνόμισαν, ὅτι τὸ ἔργον τῆς σωτη-
Αὐτόθι. 26. ρίας ἐστὶν ἀδύνατον, ὅθεν ἔλεγον· Καὶ τίς δύναται σωθῆναι; Τί δ' ἄρα λέγουσι περὶ ταύτης τῆς διδασκαλίας οἱ ἄνθρωποι τοῦ νῦν αἰῶνος; τί λέγουσι τὴν σήμερον οἱ ἄνθρωποι, ἀκούοντες τὴν
Αὐτόθι. 22. εὐαγγελικὴν φωνήν· Ἔτι ἕν σοι λείπει· πάντα ὅσα ἔχεις πώλησον, καὶ διάδος πτωχοῖς, καὶ ἕξεις θησαυρὸν ἐν οὐρανῷ· καὶ δεῦρο, ἀκολούθει μοι; Ἐπειδὴ τὴν σήμερον ἐψυχράνθη ἡ πίστις, ἐξέλιπεν ὁ ζῆλος, ἠμελήθη ἡ ἀρετή, ἐσβέσθη ἡ ἀγάπη, ποῖον ἄλλον λόγον περιμένεις ἀπὸ τοῦ στόματος τῶν σημερινῶν ἀνθρώπων, εἰμὴ τό, ὅτι τὸ ἔργον τοῦτο ὑπερβαίνει τὰς δυνάμεις τῆς φύσεως, καὶ ἐστὶ παντελῶς ἀδύνατον; Καὶ τίς ἔχει, λέγουσι, τοσαύτην μεγαλοψυχίαν, ὥστε, πλούσιος ὢν καὶ ἔνδοξος, καὶ μετὰ πάσης ἀνέσεως καὶ τρυφῆς ζῶν, νὰ καταστήσῃ ἑαυτὸν ἀπὸ μιᾶς στιγμῆς εἰς τὴν ἄλλην πτωχόν, καὶ εὐτελῆ, καὶ ὑπὸ τῶν κακῶν τῆς πτωχείας ταλαιπωρούμενον; τίς ἔχει τόσην δύναμιν, ὅση ἀναγκαία ἐστίν, ἵνα μιμηθῇ καὶ κατορθώσῃ τὰς ὑπερφυεῖς ἀρετὰς τοῦ Κυρίου Ἰησοῦ, τοῦ Υἱοῦ τοῦ Θεοῦ;

Ἄνθρωποι, ἱνατί παραλογοῦμεν; ἀληθῶς τῆς τελειότητος τὸ ἔργον ἐστὶ δύσκολον, καθὼς δύσκολά εἰσι πάντα τὰ ἔργα τὰ ὑψηλά, καὶ μεγάλα, καὶ θαυμάσια· καὶ ποία οἰκοδομὴ ὑπερμεγέθης, ἄριστα ἀρχιτεκτονευμένη, καὶ κάλλιστα περικεκαλλωπισμένη, οὐκ ἔστι δύσκολος; ποία νίκη ἐχθρῶν πολλῶν, ἰσχυρῶν, τεχνικῶν, οὐκ ἔστι δύσκολος; ποῖον ἐπιστημονικὸν σύστημα, σοφόν, ἀληθινόν, τέλειον, οὐκ ἔστι δύσκολον; πᾶν ἔργον ἔχει δισκολίαν κατὰ ἀναλογίαν τῆς ἰδίας μεγαλειότητος, τοῦ κάλλους, καὶ τῆς εὐπρεπείας αὐτοῦ, καὶ τῆς χρησιμότητος. Δύσκολον ἀληθῶς τῆς χριστιανικῆς τελειότητος τὸ κατόρθωμα, ἐπειδὴ ἐστιν ὑψηλότατον, ὑπερμέγιστον, θεῖον καὶ ἐπουράνιον, δυσκολώτατόν ἐστιν, ὡς αὐτὸς ὁ Σωτὴρ ἡμῶν ἐβεβαίωσεν· ὁ αὐτὸς ὅμως ἀπήντησε, καὶ ἔλυσε τὴν δυσκολίαν, ὅταν οἱ μαθηταὶ αὐτοῦ, νομίσαντες αὐτὸ ἀδύνατον, εἶπον·
Καὶ τίς δύναται σωθῆναι; τότε Λουκ. ιη'. 26.
αὐτός, ἵνα μὴ λογοτρίβῃ περὶ τοῦ, δύσκολόν ἐστιν, ἢ ἀδύνατον, ὑπέθετο ἀληθινὴν τὴν ὑπόληψιν τῶν μαθητῶν αὐτοῦ, οἵτινες ἐνόμιζον τοῦτο ἀδύνατον, καὶ ἀποκριθείς, εἶπε πρὸς αὐτούς, ὅτι καὶ αὐτὰ τὰ ἀδύνατα εἰς τὴν δύναμιν τοῦ ἀνθρώπου, δυνατά εἰσιν εἰς τὴν παν-
τοδυναμίαν τοῦ Θεοῦ· Ὁ δὲ εἶπε· Τὰ Αὐτ. 27.
ἀδύνατα παρὰ ἀνθρώποις, δυνατά ἐστι παρὰ τῷ Θεῷ· Ἔστω λέγει· ὁ ἄνθρωπος, ἰδίᾳ δυνάμει, οὐ δύναται κατορθῶσαι τοῦτο τὸ μέγα κατόρθωμα, ἀλλ' ὅταν ὁ ἄνθρωπος θέλῃ, τότε ὁ Θεός, ὁ πάντα δυνάμενος, δύναται τοῦτο ποιῆσαι, ἐνισχύων αὐτὸν τῇ αὐτοῦ χάριτι, καὶ ἐνδυναμῶν τῇ θείᾳ αὐτοῦ δυνάμει, καὶ ἀρκετὸν αὐτὸν ἐργαζόμενος
πρὸς τοῦ ἔργου τὴν κατόρθωσιν· Καὶ Α'. Κορ. ιβ'. 6.
διαιρέσεις ἐνεργημάτων εἰσίν, ὁ δὲ αὐτός ἐστι Θεός, ὁ ἐνεργῶν τὰ πάντα ἐν πᾶσιν.

Ἡ ἀπόκρισις τοῦ Κυρίου Ἰησοῦ πρὸς τοὺς μαθητὰς αὐτοῦ ἀρκετὴ ἐστὶ πρὸς πληροφορίαν ἡμῶν, κἂν μηδὲν εἴχωμεν περὶ τούτου παράδειγμα· ἔχομεν

ὅ-

ὅμως, χάρις τῷ παντοκράτορι Θεῷ, χιλιάδας χιλιάδων, καὶ μυριάδας μυριάδων παραδείγματα ἀνθρώπων, οἵ τινες, καταλιπόντες πάντα ὅσα εἶχον, καὶ ἀκολουθήσαντες τῷ Ἰησοῦ Χριστῷ, καὶ μιμηταὶ γενόμενοι τῶν θείων αὐτοῦ ἀρετῶν, ἔδειξαν ἐμπράκτως δυνατὸν τὸ ἀδύνατον.

Πρῶτοι αὐτοί, οἱ νομίσαντες τὸ ἔργον ἀδύνατον, ἀπέδειξαν αὐτὸ δυνατὸν καὶ τετελεσμένον· ὅθεν ὁ Πέτρος μετὰ παῤῥησίας ἔλεγε πρὸς τὸν Ἰησοῦν Χριστόν· Ἰδού, ἡμεῖς ἀφήκαμεν πάντα, καὶ ἠκολουθήσαμέν σοι. (Ματ. ιθ'. 27.) Καὶ μὴ εἴπῃς, ὅτι ἦσαν πτωχοί, καὶ ἑπομένως μετ' εὐκολίας μεγάλης κατέλιπον τὰ πτωχικὰ αὐτῶν πράγματα, διότι τόσην προσπάθειαν καὶ πόθον ἔχει ὁ πτωχὸς διὰ τὴν ἰδίαν καλύβην, ὅσην καὶ ὁ πλούσιος διὰ τὰ ἑαυτοῦ παλάτια· τόσον πόθον ἐκεῖνος διὰ τὰ ἴδια ῥάκια, ὅσον οὗτος διὰ τὰ ὑπέρλαμπρα αὐτοῦ ἱμάτια· τόσον ἐκεῖνος διὰ τὰ ξύλινα καὶ ὀστράκινα αὐτοῦ σκεύη, ὅσον καὶ οὗτος διὰ τὰ χρυσᾶ καὶ ἀργυρᾶ· τόσον ἐκεῖνος διὰ τὰ ὀλίγα αὐτοῦ δηνάρια, ὅσον καὶ οὗτος διὰ τὰς χιλιάδας καὶ μυριάδας τῶν ἰδίων νομισμάτων· πρὸς τούτοις οὐδεὶς πείθεται, ὅτι ὁ πτωχὸς ἀγαπᾷ τὸν πατέρα, ἢ τὴν μητέρα, ἢ τοὺς ἀδελφούς, ἢ τοὺς συγγενεῖς, ἢ τοὺς φίλους αὐτοῦ ὀλιγώτερον τοῦ πλουσίου· ἴση ἐστὶν ἡ τοιαύτη ἀγάπη καὶ εἰς τοὺς πτωχούς, καὶ εἰς τοὺς πλουσίους. Ὅθεν φανερόν ἐστιν, ὅτι τόσην ἀγάπην ἔδειξαν οἱ Ἀπόστολοι εἰς τὸν Ἰησοῦν Χριστόν, ἀφέντες δι' αὐτὸν τὰ δίκτυα, τὸ πλοῖον, τὸν μικρὸν οἰκίσκον, τὰ ὀλίγα χρήματα, τοὺς γονεῖς, τοὺς συγγενεῖς, τοὺς φίλους, ὅσην καὶ ὁ πλουσιώτατος Ξενοφῶν, ὅστις δι' ἀγάπην Χριστοῦ κατέλιπε τὰ πολύτιμα σκεύη, καὶ τὰ κειμήλια, καὶ τὰ παλάτια, καὶ τὸν πλοῦτον, διανείμας αὐτὸν εἰς τοὺς πτωχούς, καὶ ἀπελθὼν εἰς τῆς Παλαιστίνης τὰ ἡσυχαστήρια, καὶ ἐκεῖ τελέσας ὁσίως τὸν βίον αὐτοῦ· ὅσην καὶ ἡ μεγάλη τῶν Ῥωμαίων ματρῶνα, ἡ ὁσιωτάτη Μελάνη, ἥτις διεμέρισε δώδεκα μυριάδας χρυσίου εἰς τοὺς πτωχούς, καὶ συνέζησε μετὰ τῶν ὑπ' αὐτῆς συναχθεισῶν ἐννενήκοντα παρθένων, πτωχεύουσα, καὶ ὑπηρετοῦσα αὐταῖς, καὶ πᾶν εἶδος ἀσκητικῆς ἀρετῆς μετερχομένη.

Μετὰ τοὺς Ἀποστόλους ἔρχεται τὸ ἀναρίθμητον πλῆθος τῶν ἁγίων Μαρτύρων. Ἐν αὐτοῖς πάσης τάξεως, καὶ ἡλικίας, καὶ γένους ἄνθρωποι· Στρατηγοί, πλούσιοι, Ἡγεμόνες, ἀξιωματικοί, σοφοί, εὐγενεῖς, ἄρχοντες, ὑπουργοὶ τῶν βασιλικῶν αὐλῶν, Βασιλέων υἱοί, καὶ Βασιλεῖς· Λογγῖνος ὁ ἑκατόνταρχος, Θεόδωρος ὁ σοφὸς καὶ ὡραῖος στρατηλάτης, Εὐστάθιος ὁ στρατηλάτης καὶ ὑπέρπλουτος, Ἀρτέμιος ὁ Δοὺξ καὶ Αὐγουστάλιος, Σέργιος ὁ πριμμικήριος, καὶ Βάκχος ὁ Σεκουνδικήριος, Δημήτριος ὁ τῆς πίστεως διδάσκαλος, Γεώργιος ὁ ἐξ εὐγενῶν εὐγενέστατος, καὶ τοῖς στρατιωτικοῖς ἐμπρέπων ἀξιώμασιν, Ἀρέθας ὁ τῆς ἐν Αἰθιοπίᾳ Νεγρᾶς πόλεως προεδρεύων, Ἰάκωβος ὁ περιφανὴς καὶ ἔνδοξος ὑπουργὸς τῆς τῶν Περσῶν βασιλείας, καὶ παρὰ τοῦ Βασιλέως Εἰσδιγέρδου τιμώμενος, Γόβδελαᾶς ὁ υἱὸς Σαβωρίου Βασιλέως Περσῶν, καὶ τοῦ θρόνου αὐτοῦ διάδοχος· οὐ μόνον δὲ ἄνδρες, ἀλλὰ καὶ γυναῖκες, καὶ κόραι ἁπαλαί, καὶ ἀνδρὶ μεμνηστευμέναι· ἡ εὐγενὴς καὶ ἔνδοξος Θέκλα ἡ πρωτομάρτυς, Αἰκατερίνα ἡ Βασιλὶς καὶ πάνσοφος, ἡ Εὐφημία ἡ πανεύφημος, ἡ Βασίλισσα, καὶ ἡ Ἀλεξάνδρα, Βασίλισσαι, καὶ τῶν Ῥωμαίων Βασιλέων σύζυγοι, ἡ μὲν τοῦ Μαξεντίου, ἡ δὲ τοῦ Διοκλητιανοῦ, ἄλλοι καὶ ἄλλαι μυριάδες μυρίων ὡσεὶ

ἄμμος τῆς θαλάσσης, καὶ ὡς οἱ ἀστέρες τοῦ οὐρανοῦ. Οὗτοι, δι' ἀγάπην τοῦ Ἰησοῦ Χριστοῦ, οὐ μόνον ἀφῆκαν τὸν πλοῦτον, τὴν δόξαν, τὴν ἀξίαν, τὰ στέμματα, τοὺς θρόνους, τοὺς γονεῖς, τοὺς συγγενεῖς καὶ φίλους, καὶ πάντα ὅσα ἕκαστος εἶχεν, ἀλλὰ καὶ εἰς βασάνους δριμυτάτας ἑαυτοὺς παρέδωκαν, καὶ τὸ ἴδιον αἷμα ἐξέχεον, καὶ τὴν ἰδίαν ζωὴν αὐτῷ προσέφερον.

Στρέψατε νῦν τοῦ νοὸς ὑμῶν τὰ ὄμματα εἰς τὰς ἐρήμους τῆς Αἰγύπτου, τῆς Λιβύης, τῆς Θηβαΐδος, τοῦ Πηλουσίου, τοῦ Πόντου, τοῦ Ἰορδάνου. Ἐκεῖ βλέπετε τὸν Παῦλον τὸν Θηβαῖον, τὸν Ἀντώνιον τὸν μέγαν, τὸν Χαρίτωνα, τὸν Παχώμιον· ἐκεῖ τοὺς Μακαρίους, τὸν Ῥωμαῖον καὶ τὸν Αἰγύπτιον, τὸν Ἀρσένιον, τὸν Ἰσίδωρον· ὧδε βλέπετε τὸν Σάββαν, τὸν Θεοδόσιον, τὸν Εὐθύμιον, τὸν Ἐφραὶμ, τοὺς πολυαρίθμους τῶν ἀσκητῶν χορούς· αὐτοῦ καὶ γυναῖκες, ἡ Θεοδώρα, ἡ Ἰουλίττα, ἡ Μαρία, ἡ Πελαγία, ἡ Εὐφροσύνη· αὐτοῦ πλῆθος ἄμετρον πάσης τάξεως ἀνθρώπων. Οὗτοι πάντες, ἀκούσαντες τῆς εὐαγγελικῆς
Ματ. ιθ'. 21. φωνῆς τοῦ Κυρίου· Εἰ θέλεις τέλειος εἶναι, ὕπαγε, πώλησόν σου τὰ ὑπάρχοντα, καὶ δὸς πτωχοῖς, καὶ ἕξεις θησαυρὸν ἐν οὐρανῷ· καὶ δεῦρο, ἀκολούθει μοι· διεμέρισαν πάντα ὅσα εἶχον εἰς τοὺς πτωχούς, ἐγκατέλιπον πατρίδα, φίλους, συγγενεῖς, τὸν κόσμον ὅλον καὶ τὰ ἐγκόσμια· καὶ ἵνα μηδὲν ἐμποδίζῃ τὴν εἰς τὸν Θεὸν τοῦ νοὸς αὐτῶν προσήλωσιν, ἀπῆλθον εἰς τὰς ἐρήμους, εἰς τὰ ὄρη, εἰς τὰ σπήλαια, εἰς τὰ μοναστήρια, εἰς τὰ ἀσκητήρια, καὶ ὅλως δι' ὅλου προσηλώσαντες ἑαυτοὺς τῷ Θεῷ, ἐτελείωσαν τὸν βίον ἐν παρθενίᾳ ψυχῆς καὶ σώματος, ἐν νηστείαις, ἐν προσευχαῖς, ἐν δάκρυσι, ζήσαντες ἐπὶ γῆς, ὡς οἱ Ἄγγελοι ἐν οὐρανῷ.

Κἂν δὲ τὴν σήμερον ὀλίγα καὶ μικρὰ φαίνωνται τοιαῦτα παραδείγματα, ἐπειδὴ ὅμως Ἰησοῦς Χριστὸς χθὲς Ἑβρ. ιγ'. 8.
καὶ σήμερον ὁ αὐτὸς, καὶ εἰς τοὺς αἰῶνας, βλέπομεν ἄχρι τῆς σήμερον ἄνδρας, οἵ τινες, δι' ἀγάπην τοῦ Ἰησοῦ Χριστοῦ, καὶ διὰ τὴν ἀλήθειαν τῆς πίστεως, καταφρονοῦντες πάντα τὰ ἐν τῷ κόσμῳ, καὶ μὴ συγκατανεύοντες εἰς τῆς ἀσεβείας τὰ δόγματα, ἐκχέουσι τὸ ἴδιον αἷμα, προδίδουσιν τὴν ἰδίαν ζωὴν εἰς θάνατον, καὶ στέφονται διὰ τῶν μαρτυρικῶν στεφάνων. Βλέπομεν ἄχρι τῆς σήμερον ἄνδρας, οἵ τινες, ἐπιθυμοῦντες τὴν χριστιανικὴν τελειότητα, ἐγκαταλείπουσι τὰ πάντα, καὶ ἐκδίδουσιν ἑαυτοὺς εἰς τοὺς ἀσκητικοὺς ἀγῶνας, κατὰ μίμησιν τῶν παλαιῶν ἁγίων ἀσκητῶν. Μαρτυροῦσι τοῦτο τὰ ἐν τοῖς ὄρεσι τοῦ Ἄθω καὶ τοῦ Σινᾶ, καὶ τὰ ἐν τῇ ἐρήμῳ τῆς Παλαιστίνης ἄχρι τῆς σήμερον σωζόμενα ἀσκητήρια.

Μετὰ ταῦτα τὰ παραδείγματα τὰ ἀληθινὰ, τὰ βέβαια, τὰ βλεπόμενα, τίς πείθεται, ὅτι τὸ ἔργον τῆς τελειότητος ἐστὶν ἀδύνατον; Ἀλλ' ἐστὶ, λέγεις, πολλὰ δύσκολον. Ναὶ, ἀληθῶς, δύσκολον· διὰ τοῦτο ὁ πάνσοφος καὶ φιλανθρωπότατος Θεὸς ἀφῆκεν αὐτὸ εἰς τοῦ καθενὸς τὴν προαίρεσιν· Εἰ θέλεις, εἶπε, Ματ. ιθ'. 21.
τέλειος εἶναι· ὅθεν ὁ μέγας θεολόγος Γρηγόριος σοφώτατα ἐσημείωσεν, ὅτι τὰς μὲν ἐντολὰς τοῦ Θεοῦ καθεὶς ἐξ ἀνάγκης πρέπει νὰ φυλάττῃ, διότι, ἐὰν παρέβῃ αὐτὰς, καταντᾷ εἰς τὸν ἔσχατον κίνδυνον τῆς σωτηρίας αὐτοῦ· ἡ δὲ τελειότης ἐστὶ προαιρετὴ, καὶ οὐκ ἀναγκαία πρὸς σωτηρίαν, καὶ ὅστις μὲν ἀνέβῃ εἰς τὸ ὕψος αὐτῆς, ἔχει ἐξαίρετον τιμὴν καὶ ἀνταπόδοσιν, ὅστις δὲ μείνῃ κάτω, οὐδένα ἔχει τῆς σωτηρίας αὐτοῦ κίνδυνον· Τῆς ἡμετέρας, λέγει, νο- Εἰς τὸν α'. εὐλιτευτ. λόγον.
μοθεσίας τὰ μὲν ἀνάγκην ἔχει

τοῖς

τοῖς ἐπιταττομένοις, ἃ καὶ μὴ φυλάττουσι κίνδυνος· τὰ δὲ οὐκ ἀνάγκην, αἵρεσιν δὲ, ἃ φυλάττουσι μὲν τιμὴν καὶ ἀντίδοσιν, μὴ φυλάττουσι δὲ, οὐδ᾽ ὁντινοῦν κίνδυνον.

Ἀληθῶς τὸ ἔργον ἐστὶ δύσκολον, ἐπειδὴ δὲ δύσκολον, διὰ τοῦτο ἔχει καὶ τὰς ἀμοιβὰς πολυπλασίους. Βλέπε δὲ πῶς ὁ Θεὸς διὰ τοῦ προφήτου Ἡσαΐου διέκρινε τοὺς τελείους ἀπὸ τῶν ἀτελῶν, καὶ τὰς ἀνταποδόσεις τῶν τελείων, ἀπὸ
Ἡσ. νς΄. 4. τὰς τῶν ἀτελῶν· Τάδε λέγει Κύριος τοῖς εὐνούχοις, ὅσοι ἂν φυλάξωνται τὰ σάββατά μου, καὶ ἐκλέξωνται ἃ ἐγὼ θέλω, καὶ ἀντέχωνται τῆς Διαθήκης μου· ἰδοὺ τῶν τελείων οἱ χαρακτῆρες· αὐτοί εἰσιν εὐνοῦχοι, ἤγουν παρθένοι· αὐτοὶ φυλάττουσι τοῦ Κυρίου τὰ σάββατα, τουτέστιν ἀργοὶ διαμένουσιν ἀπὸ πάσης πονηρᾶς πράξεως· αὐτοὶ ἀντέχονται τῆς Διαθήκης τοῦ Θεοῦ, ἤτοι μετὰ πάσης προθυμίας ἐκπληροῦσι διαπαντὸς τὰς ἐντολὰς καὶ τὰ προστάγματα τοῦ Θεοῦ· πρὸς τούτοις αὐτοὶ ἐξ ἰδίας προαιρέσεως ἐκλέγουσιν ὅσα θέλει ὁ Θεός· Καὶ ἐκλέξωνται ἃ ἐγὼ θέλω· τί δὲ θέλει παρ᾽ ἡμῶν ὁ Θεός; τὴν τελειότη-
Ματ. ε΄. 48. τα· Ἔσεσθε οὖν ὑμεῖς, εἶπε, τέλειοι, ὥσπερ ὁ Πατὴρ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς τέλειός ἐστιν. Ἄκουσον δὲ καὶ τοὺς χαρακτῆρας τῶν
Ἡσ. νς΄. 6. ἀτελῶν· Καὶ πάντας τοὺς φυλασσομένους τὰ σάββατά μου μὴ βεβηλοῦν, καὶ ἀντεχομένους τῆς Διαθήκης μου· ἀργοῦσι καὶ οὗτοι ἀπὸ πάσης ἁμαρτίας, καὶ οὐ μολύνουσιν ἑαυτοὺς διὰ τῶν μιαρῶν πράξεων· ἀντέχονται καὶ οὗτοι τῆς Διαθήκης Κυρίου, ἤγουν ἐργάζονται προθύμως πάσας τὰς ἐντολὰς τοῦ Θεοῦ, καθὼς καὶ οἱ τέλειοι, πλὴν λείπει εἰς αὐτοὺς τῆς παρθενίας ἡ ἀρετὴ, λείπει ἀπὸ τῆς προαιρέσεως αὐτῶν ἡ ἐκλογὴ τῆς τελειότητος. Περιγράφων δὲ τὰς ἀνταποδόσεις τῶν τελείων καὶ τῶν ἀτελῶν, διδάσκει φανερὰ τὸ ὑπερέχον τῆς ἀμοιβῆς τῶν πρώτων, κἂν υἱοὺς καὶ θυγατέρας αὐτοῦ ὀνομάζῃ καὶ τοὺς δευτέρους· Καὶ Ἡσ. νς΄. 5.
δώσω, λέγει περὶ τῶν τελείων, αὐτοῖς ἐν τῷ οἴκῳ μου, καὶ ἐν τῷ τείχει μου τόπον ὀνομαστὸν, κρείττω υἱῶν καὶ θυγατέρων, ὄνομα αἰώνιον δώσω αὐτοῖς, καὶ οὐκ ἐκλεί-
ψει· περὶ δὲ τῶν ἀτελῶν λέγει· Εἰ- Αὐτ. 7.
σάξω αὐτοὺς εἰς τὸ ὄρος τὸ ἅγιόν μου, καὶ εὐφρανῶ αὐτοὺς ἐν τῷ οἴκῳ τῆς προσευχῆς μου.

Ἄνθρωποι λοιπὸν μακάριοι καὶ τρισμακάριοι, σκεύη ἐκλεκτὰ, κατοικητήρια τῆς θείας χάριτος, εἰκόνες ζῶσαι τῆς θείας τελειότητος, σάλπιγγες μεγαλόφωνοι τῆς τοῦ Θεοῦ ἁγιωσύνης, ὑμεῖς, λέγω, οἱ ὑψώσαντες τὸν νοῦν ἀπὸ τῆς γῆς καὶ τῶν γηΐνων, οἱ τὰ πάντα σκύβαλα νομίσαντες, οἱ τὸν σταυρὸν τοῦ Κυρίου Ἰησοῦ ἄραντες, καὶ αὐτῷ προθύμως ἀκολουθήσαντες, οἱ ὡς ἄσαρκοι ἐπὶ τῆς γῆς περιπατήσαντες, καὶ ὥσπερ Ἄγγελοι ἐν σαρκὶ πολιτευσάμενοι, ζήσαντες δὲ οὐκ αὐτοὶ, ἀλλ᾽ ὁ Χριστὸς ἐν ὑμῖν· ἄνθρωποι, ὅσοι τε τὰ ὑπάρχοντα, τὸ αἷμα, τὴν ζωὴν, τὰ πάντα τῷ Χριστῷ προσενέγκαντες, τοῦ μαρτυρικοῦ θανάτου κατηξιώθητε, καὶ ὅσοι τὸν μοναδικὸν βίον ζήσαντες, ὁσίως καὶ ἀσκητικῶς τὸν δρόμον τῆς ζωῆς ἐτελέσατε, μακάριοι καὶ ὑπερένδοξοι, δι᾽ ὑμᾶς ἐν τῷ οἴκῳ τοῦ Θεοῦ, ἔνδον τοῦ τείχους τῆς ἐπουρανίου Ἱερουσαλὴμ, εἰς τὰ σκηνώματα τοῦ Κυρίου τὰ ἀγαπητὰ καὶ πεποθημένα, ἕτοιμός ἐστι τόπος ὀνομαστὸς, ἤγουν ἀπόλαυσις τῆς θείας δόξης πλουσιωτέρα ἐκείνης, τῆς ὁποίας μετέχουσιν οἱ λοιποὶ τοῦ Θεοῦ φίλοι· τὸ δὲ ὀνο-

ὄνομα ὑμῶν, ὄνομα ὑπερένδοξον, Μάρτυρες Χριστοῦ καὶ Ὅσιοι ὀνομάζεσθε, καὶ τὸ τοιοῦτον ὄνομα, ὄνομα αἰώνιον, οὐδέποτε ἐκλεῖπον, ἀλλὰ διαμένον εἰς τοὺς
Ἡσ. νϛʹ. 5. ἀπεράντους αἰῶνας τῶν αἰώνων· Καὶ δώσω αὐτοῖς, οὕτως ὑπόσχεται ὁ Θεὸς, ἐν τῷ οἴκῳ μου, καὶ ἐν τῷ τείχει μου τόπον ὀνομαστὸν, κρείττω υἱῶν καὶ θυγατέρων, ὄνομα αἰώνιον δώσω αὐτοῖς, καὶ οὐκ ἐκλείψει.

Ἀλλὰ καὶ ὑμεῖς, ὦ ἀδελφοὶ, ὅσοι ἀποστρέφεσθε πᾶσαν κακίαν, καὶ ου μολύνετε τὴν ψυχὴν ὑμῶν διὰ τοῦ ῥύπου τῆς ἁμαρτίας, ὅσοι μετὰ πάσης ἀκριβείας φυλάττετε τὰς ἐντολὰς τοῦ Θεοῦ, δι' ὑμᾶς ἀνεῳγμένη ἐστὶν ἡ θύρα τοῦ οὐρανοῦ, ἕτοιμον τὸ ὄρος τοῦ Θεοῦ τὸ ἅγιον, ἡ Σιὼν ἡ ἁγία· ἐκεῖ εἰσελεύσεσθε, καὶ εὐφρανθήσεσθε τὴν εὐφροσύνην τὴν αἰώνιον· ἐκεῖ ἐν τῷ οἴκῳ τοῦ Κυρίου, ὅπου ἀκαταπαύστως προσφέρονται αἱ προσευχαὶ τῶν ἁγίων, καὶ αἱ δοξολογίαι τῶν Ἀγγέλων, εἰσάξει ὑμᾶς ὁ Κύριος·
Εἰσάξω αὐτοὺς εἰς τὸ ὄρος τὸ ἅγιόν μου, καὶ εὐφρανῶ αὐτοὺς ἐν τῷ οἴκῳ τῆς προσευχῆς μου. Ἡσ. νϛʹ. 7.

Πανάθλιοι δὲ καὶ δυστυχέστατοι οἱ πονηροὶ, οἱ ἄνομοι, οἱ ἁμαρτωλοὶ, οἱ ἀμετανόητοι! Αὐτοὶ μακρὰν ἔσονται τῆς χαρᾶς, μακρὰν τῆς θείας δόξης, μακρὰν
ἀπὸ τοῦ Θεοῦ· Ἀπόστητε ἀπ' ἐμοῦ, Ψαλ. ϛʹ. 8.
λέγει ὁ Θεὸς, πάντες οἱ ἐργαζόμενοι τὴν ἀνομίαν. Κύριε τοῦ ἐλέους, διὰ τῶν οἰκτιρμῶν τοῦ μονογενοῦς σου Υἱοῦ, ῥῦσαι ἡμᾶς τῆς τοιαύτης φοβερᾶς καὶ ἐλεεινῆς ἀποστάσεως. Ἀμήν.

# ΕΡΜΗΝΕΙΑ

### ΕΙΣ ΤΟ ΚΑΤΑ

# ΛΟΥΚΑΝ

## ΕΥΑΓΓΕΛΙΟΝ ΤΗΣ ΙΔʹ. ΚΥΡΙΑΚΗΣ.

Ὁ τυφλὸς τοῦ σημερινοῦ Εὐαγγελίου εἶχε βεβλαμμένα τὰ ὄμματα τοῦ σώματος ὑπὸ σωματικῆς ἀσθενείας· ἡμεῖς ἔχομεν ἐσκοτισμένους τοὺς ὀφθαλμοὺς τῆς ψυχῆς ὑπὸ τῶν ἁμαρτημάτων τῆς προαιρέσεως. Ἐκεῖνος οὐκ ἔβλεπε τὰ ἐπίγεια, ἡμεῖς οὐ βλέπομεν τὰ ἐπουράνια. Ἀλλ' ὁ μὲν τυφλὸς, ἀκούσας, ὅτι ὁ Ἰησοῦς Χριστὸς διήρχετο διὰ τῆς ὁδοῦ, ὅπου αὐτὸς ἐκάθητο, εὐθὺς μετὰ προθυμίας μεγάλης ἐζήτει τὸ φῶς τῶν ὀφθαλμῶν αὐτοῦ, κραυγάζων μεγάλῃ τῇ
Λουκ. ιηʹ. 38. φωνῇ· Ἰησοῦ Υἱὲ Δαβὶδ, ἐλέησόν με· ἡμεῖς δὲ, κᾂν πιστεύωμεν, ὅτι ὁ αὐτὸς Ἰησοῦς Χριστὸς ἐνώπιον ἡμῶν ἐστὶ
διαπαντὸς, κᾂν λέγωμεν, Προωρώμην Ψαλ. ιϛʹ. 8.
τὸν Κύριον ἐνώπιόν μου διαπαντὸς, ὅτι ἐκ δεξιῶν μου ἐστὶν, ἵνα μὴ σαλευθῶ, οὐδόλως ὅμως φροντίζομεν περὶ τῆς συγχωρήσεως τῶν ἁμαρτιῶν ἡμῶν, οὐδὲ κραυγάζομεν ἐκ ψυχῆς τὸ, Ἐλέησον ἡμᾶς, Υἱὲ Δαβίδ. Μιμησώμεθα, ἀδελφοὶ, σήμερον τὸν τυφλὸν, παρακαλέσωμεν καὶ ἡμεῖς προθύμως, ὥσπερ ἐκεῖνος, βοήσωμεν καὶ ἡμεῖς, Ἰησοῦ Υἱὲ Δαβὶδ, ἐλέησον ἡμᾶς, ἄνοιξον ἡ-

ἡμῶν τὰ ὄμματα τῆς ψυχῆς, ἵνα ἴδωμεν τὰ θαυμάσιά σου, καὶ, κατανοήσαντες τῆς σημερινῆς εὐαγγελικῆς σου φωνῆς τὴν δύναμιν, ἀπροσκόπτως πορευσώμεθα τὴν μακαρίαν ὁδὸν τῶν ἁγίων σου προσταγμάτων.

Λουκ. ιή. 35. Τῷ καιρῷ ἐκείνῳ, ἐγένετο ἐν τῷ ἐγγίζειν τὸν Ἰησοῦν εἰς Ἱεριχὼ, τυφλός τις ἐκάθητο παρὰ τὴν ὁδὸν προσαιτῶν.

Τὴν αὐτὴν τοῦ τυφλοῦ ὑπόθεσιν, μετὰ τῶν αὐτῶν περιστάσεων, καθιστοροῦσι καὶ οἱ δύω ἄλλοι Εὐαγγελισταὶ, ὁ Ματθαῖος, δηλονότι, καὶ ὁ Μάρκος, ὁ Ματθαῖος ὅμως λέγει, ὅτι δύω ἦσαν οἱ ὑπὸ τοῦ Κυρίου Ἰησοῦ φωτισθέντες τυ-
Ματ. ί. 30. φλοί· Καὶ ἰδοὺ, δύω τυφλοὶ καθήμενοι παρὰ τὴν ὁδὸν, ὅθεν ἀσύμφωνοι φαίνονται οἱ ἅγιοι Εὐαγγελισταί. Ἐὰν ὅμως στοχασθῇς, ὅτι ὁ μὲν Μάρκος λέγει, ὅτι, ὅταν ὁ Ἰησοῦς ἐξήρχετο ἀπὸ τῆς Ἱεριχὼ, εὗρε τὸν τυφλὸν κα-
Μάρκ. ί. 46. θήμενον εἰς τὴν ὁδόν· Καὶ ἐκπορευομένου αὐτοῦ ἀπὸ Ἱεριχὼ, καὶ τῶν μαθητῶν αὐτοῦ, καὶ ὄχλου ἱκανοῦ, υἱὸς Τιμαίου Βαρτίμαιος ὁ τυφλὸς ἐκάθητο παρὰ τὴν ὁδόν· ὁ δὲ Λουκᾶς ἱστορεῖ, ὅτι, ὅταν ὁ Ἰησοῦς, ἐγγίσας εἰς τὴν Ἱεριχὼ, ἔμελλεν εἰσελθεῖν εἰς αὐτὴν, τότε εὗρε τὸν τυφλὸν καθήμενον ἐν τῇ ὁδῷ· Ἐν τῷ ἐγγίζειν τὸν Ἰησοῦν εἰς Ἱεριχὼ, τυφλός τις ἐκάθητο παρὰ τὴν ὁδόν· τότε βλέπεις, ὅτι οὐχὶ εἷς, ἀλλὰ δύω ἦσαν οἱ τυφλοί· τούτων δὲ τὸν μὲν ἕνα, περὶ οὗ λαλεῖ ὁ Μάρκος, συνήντησεν ὁ Κύριος Ἰησοῦς, ἐξερχόμενος ἀπὸ τῆς Ἱεριχὼ, τὸν δὲ ἕτερον, περὶ οὗ λαλεῖ ὁ Λουκᾶς, εἰσερχόμενος εἰς τὴν αὐτὴν πόλιν Ἱεριχώ· καὶ τοῦ μὲν ἑνὸς τὸ ὄνομα ὁ Λουκᾶς ἐσιώπησε, τοῦ δὲ ἑτέρου ὁ Μάρκος ἐφανέρωσεν, εἰπών· Υἱὸς Τιμαίου Βαρτίμαιος· καὶ ὁ μὲν Ματθαῖος, ὅστις καὶ πρὸ τοῦ Μάρκου καὶ πρὸ τοῦ Λουκᾶ ἔγραψε τὸ Εὐαγγέλιον αὐτοῦ, συμπεριέλαβεν ἐν τῇ αὐτῇ ἱστορίᾳ καὶ τοὺς δύω τυφλοὺς, καθότι τὰ αὐτὰ καὶ εἰς τοὺς δύω συνέβησαν, ὁ δὲ Μάρκος ὕστερον κατὰ μέρος τὰ περὶ τοῦ ἑνὸς μόνον ἱστόρησεν, ὡσαύτως καὶ ὁ Λουκᾶς τὰ περὶ τοῦ ἑτέρου μόνον, εἰπὼν, ὅτι ὁ τυφλὸς οὗτος, καθήμενος παρὰ τὴν ὁδὸν, ἐζήτει ἐλεημοσύνην.

Ἀκούσας δὲ ὄχλου διαπο- Λουκ. ιή. 36.
ρευομένου, ἐπυνθάνετο, Τί εἴη
τοῦτο. Ἀπήγγειλαν δὲ αὐ- 37.
τῷ, ὅτι Ἰησοῦς ὁ Ναζωραῖος
παρέρχεται.

Ἐξ ὁλοκλήρου τυφλὸς ὑπῆρχεν οὗτος ὁ ἄνθρωπος, διότι οὐδὲ τὸν Ἰησοῦν Χριστὸν ἔβλεπεν, οὐδὲ τὸ πλῆθος τοῦ λαοῦ, τὸ διερχόμενον διὰ τῆς ὁδοῦ, ὅπου αὐτὸς ἐκάθητο· μόνον δὲ τὸν κρότον καὶ τὸν θόρυβον τοῦ πλήθους τῶν συνακολουθούντων τῷ Χριστῷ, καὶ διερχομένων δι' ἐκείνης τῆς ὁδοῦ ἀκούσας, ἠρώτησε, Τί ἐστι τοῦτο; ἀπεκρίθησαν δὲ πρὸς αὐτὸν οἱ περιεστῶτες, ὅτι ὁ Ἰησοῦς ὁ Ναζωραῖος διαβαίνει.

Καὶ ἐβόησε, λέγων· Ἰησοῦ Αὐτόθι. 38.
Υἱὲ Δαβὶδ, ἐλέησόν με. Καὶ 39.
οἱ προάγοντες ἐπετίμων αὐ-
τῷ, ἵνα σιωπήσῃ· αὐτὸς δὲ
πολλῷ μᾶλλον ἔκραζεν· Υἱὲ
Δαβὶδ, ἐλέησόν με.

Βλέπε πίστιν, προθυμίαν, καὶ ἐ-

πι-

πιμονήν. Ἐπίστευσεν, ὅτι ὁ Ἰησοῦς Χριστὸς δύναται φωτίσαι τοὺς ὀφθαλμοὺς αὐτοῦ, ὅθεν, μαθὼν, ὅτι αὐτός ἐστιν ὁ ἐκεῖθεν διαβαίνων, εὐθὺς μετὰ πόθου ψυχῆς, καὶ προθυμίας μεγάλης ἐκραύγαζε μεγάλῃ τῇ φωνῇ· Ἰησοῦ Υἱὲ Δαβὶδ, ἐλέησόν με. Δεδιδαγμένος ὑπῆρχεν, ὡς φαίνεται, τῶν ἁγίων Προφητῶν τὰς προῤῥήσεις, αἵτινες προκατήγγειλαν, ὅτι ὁ τοῦ κόσμου Σωτὴρ γεννηθῆναι ἔμελλεν ἐξ οἴκου καὶ πατριᾶς Δαβὶδ, πιστεύσας δὲ, ὅτι ὁ Ἰησοῦς Χριστὸς ἐστὶν, ὁ ὑπὸ τῶν Προφητῶν καταγγελθεὶς, ἐκραύγαζε θαρσαλέως· Ἰησοῦ Υἱὲ Δαβὶδ, ἐλέησόν με. Καὶ οἱ μὲν διαβαίνοντες ἐπέπληττον καὶ ἤλεγχον αὐτὸν, προστάττοντες, ἵνα σιωπήσῃ, αὐτὸς δὲ, ἐπιμένων ἀνένδοτος εἰς τὴν πίστιν καὶ τὴν ἐλπίδα, καὶ τὴν προθυμίαν τῆς ψυχῆς αὐτοῦ, πολλῷ περισσότερον ἐκραύγαζεν· Υἱὲ Δαβὶδ, ἐλέησόν με.

Λουκ. ιή. 40. Σταθεὶς δὲ ὁ Ἰησοῦς, ἐκέ-
λευσεν αὐτὸν ἀχθῆναι πρὸς
41. αὐτόν. Ἐγγίσαντος δὲ αὐτοῦ,
ἐπηρώτησεν αὐτὸν, λέγων· Τί
σοι θέλεις ποιήσω; ὁ δὲ εἶ-
πε· Κύριε, ἵνα ἀναβλέψω.

Εἰσήκουσεν ὁ Φιλάνθρωπος τὴν ἐλεεινὴν φωνὴν τοῦ τυφλοῦ· εἰσήκουσε τὸ, Ἐλέησόν με, Υἱὲ Δαβὶδ, ὅθεν ἐστάθη, καὶ οὐκ ἐπεριπάτει· σταθεὶς δὲ ἐκέλευσεν, ἵνα φέρωσι τὸν τυφλὸν ἐνώπιον αὐτοῦ· ὅτε δὲ ἔστησαν αὐτὸν πλησίον αὐτοῦ, τότε ἠρώτησεν αὐτὸν, Τί θέλεις, ἵνα ποιήσω σοι; ὁ δὲ τυφλὸς ἀπεκρίθη, Κύριε, τὸ φῶς τῶν ὀφθαλμῶν μου θέλω, τοῦτο θέλω παρὰ σοῦ, ἵνα ἀνοίξῃς τὰ ὄμματά μου, ὅπως ἴδω τὸ φῶς. Ἀλλ' ἄρά γε ἠγνόει ὁ Θεάνθρωπος τί ἐζήτει ὁ τυφλός; ἄπαγε! αὐτὸς, ὡς Θεὸς ἀληθινὸς, καὶ τοὺς κρυπτοὺς διαλογισμοὺς τῶν καρδιῶν τῶν ἀνθρώπων ἐγνώριζεν· ἔδειξε δὲ τοῦτο, ὅταν ἐφανέρωσε τοὺς διαλογισμοὺς τῶν μαθητῶν αὐτοῦ, οἵτι-
νες διελογίζοντο ἐν ἑαυτοῖς, λέ- Ματ. ιϛ'. 7.
γοντες· Ὅτι ἄρτους οὐκ ἐλάβομεν· ὁμοίως καὶ τοὺς διαλογισμοὺς τῶν Γραμματέων, οἵτινες ἦσαν καθήμενοι καὶ διαλογιζόμενοι ἐν ταῖς καρδίαις αὐτῶν·
Τί οὗτος οὕτω λαλεῖ βλασφη- Μάρκ. β'. 7.
μίας; ἠρώτησε δὲ αὐτὸν, πρῶτον μὲν, ἵνα δείξῃ, ὅτι εἰς πᾶν ἔργον ἀγαθὸν ἀναγκαία ἐστὶ καὶ ἡ συνδρομὴ τῆς τοῦ ἀνθρώπου θελήσεως· δεύτερον δὲ, ἵνα πάντες οἱ περιεστῶτες, ἀκούσαντες καὶ ἐξ αὐτοῦ τοῦ στόματος τοῦ τυφλοῦ, ὅτι τυφλός ἐστι, καὶ ζητεῖ τὸ φῶς τῶν ὀφθαλμῶν αὐτοῦ, μηδόλως ἀμφιβάλλωσι περὶ τῆς θαυματουργικῆς ἰατρείας αὐτοῦ· τρίτον δὲ, ἵνα φανερώσῃ, ὅτι οὐκ ἄλλο, ἀλλ' ἐκεῖνο, ὅπερ ἐζήτησεν, ἔλαβεν ὁ τυφλὸς, ἐκ τούτου δὲ φανερωθῇ καὶ ἡ πίστις αὐτοῦ· αὐτὸς ἦν οὐ μόνον τυφλὸς, ἀλλὰ καὶ πάμπτωχος, διότι, καθήμενος ἐν τῇ ὁδῷ, ἐζήτει ἐλεημοσύνην, ὅθεν οἱ παρόντες ἐδύναντο ὑποπτευθῆναι, ὅτι κραυγάζων τὸ, Υἱὲ Δαβὶδ, ἐλέησόν με, οὐκ ἐζήτει παρὰ τοῦ Ἰησοῦ Χριστοῦ τὸ φῶς αὐτοῦ, ἀλλὰ ἐλεημοσύνην, καθὼς καὶ παρὰ τῶν ἄλλων, τῶν ἐκεῖθεν διαβαινόντων· ἐρωτηθεὶς δὲ, καὶ εἰπὼν, ὅτι ζητεῖ τὸ φῶς αὐτοῦ, ἀφεῖλε πᾶσαν ὑποψίαν, καὶ ἔδειξεν εἰς πάντας τὴν εἰς Χριστὸν πίστιν αὐτοῦ.

Καὶ ὁ Ἰησοῦς εἶπεν αὐτῷ· Λουκ. ιή.
Ἀνάβλεψον· ἡ πίστις σου 42.
σέσωκέ σε. Καὶ παραχρῆμα 43.
ἀνέβλεψε, καὶ ἠκολούθει αὐ-
τῷ, δοξάζων τὸν Θεόν· καὶ

πᾶς

πᾶς ὁ λαὸς ἰδὼν, ἔδωκεν αἶνον τῷ Θεῷ.

Ὁ φωτισμὸς τοῦ τυφλοῦ ἐστὶ μία ἀπόδειξις μεταξὺ τῶν πολλῶν ἄλλων, ὅτι ὁ Ἰησοῦς Χριστὸς ἐστὶ Θεὸς ἀληθινὸς, διότι τίς ἄλλος, δι' ἑνὸς μόνου προστακτικοῦ λόγου, δύναται ἀνοῖξαι τοῦ τυφλοῦ τὰ ὄμματα, καὶ φωτίσαι αὐτὸν, εἰμὴ εἷς μόνος, ὁ παντοδύναμος Θεός; Ἀνάβλεψον, εἶπε· φωνή ἐστιν αὕτη παντεξούσιος, φωνὴ Θεοῦ· ἐκεῖνος ὁ Θεὸς ὁ ἀληθινὸς, καὶ δημιουργὸς, ὅστις εἶπε,
Γεν. ά. 3. Γενηθήτω φῶς, καὶ ἐγένετο εὐθὺς τὸ φῶς, ὁ αὐτὸς εἶπεν, Ἀνάβλεψον, καὶ εὐθὺς ἀνέβλεψε, καὶ ἐφωτίσθη ὁ τυφλός. Βλέπε δὲ, πῶς ὁ μὲν Θεάνθρωπος, κατὰ τὴν συνήθειαν αὐτοῦ, ἀποδοὺς τὸ θαῦμα, οὐχὶ εἰς τὴν θαυματουργὸν αὐτοῦ δύναμιν, ἀλλ' εἰς τὴν πίστιν τοῦ τυφλοῦ· Ἡ πίστις σου σέσωκέ σε, ἐδίδαξε τὴν φυγὴν τῆς φιλοδοξίας· ὁ δὲ ἰατρευθεὶς τυφλὸς, αἰσθανθεὶς τῆς εὐεργεσίας τὸ μέγεθος, ἔδειξε τὴν εὐγνωμοσύνην αὐτοῦ, δοξολογῶν μὲν τὸν Θεὸν, ἀκολουθήσας δὲ τὸν εὐεργέτην αὐτοῦ Ἰησοῦν· ἀλλὰ καὶ ὁ λαὸς, ἰδὼν τὸ ἐξαίσιον θαῦμα, ὕμνους προσέφερε εἰς τὸν Θεὸν καὶ δοξολογίας.

# ΟΜΙΛΙΑ

ΜΕΤΑ ΤΟ ΚΑΤΑ

# ΛΟΥΚΑΝ

## ΕΥΑΓΓΕΛΙΟΝ ΤΗΣ ΙΔ'. ΚΥΡΙΑΚΗΣ.

Βλέπομεν εἰς τὴν ἱστορίαν τοῦ σημερινοῦ Εὐαγγελίου μίαν ἁμαρτίαν, ἥτις φαίνεται μὲν μικρὰ καὶ ἀβλαβὴς, αὐτὴ ὅμως ἐστὶ πολλὰ μεγάλη, καὶ πολλῆς βλάβης πρόξενος εἰς τὰς ψυχὰς τῶν ἀνθρώπων. Ὁ τυφλὸς πιστεύει, ὅτι ὁ Ἰησοῦς Χριστὸς ἐστὶ φωτοδότης καὶ παντοδύναμος, ἐπειδὴ δὲ οὐκ ἔχει ὄμματα, ἵνα ἴδῃ αὐτὸν, καὶ προσελθὼν προσπέσῃ πρὸς τοὺς πόδας αὐτοῦ, καὶ παρακαλέσῃ αὐτὸν διὰ τὴν ἰατρείαν αὐτοῦ, κραυγάζει μεγάλῃ τῇ φωνῇ· Ἰησοῦ Υἱὲ
Λουκ. ιή. 38. Δαβὶδ, ἐλέησόν με. Ὁ δὲ λαὸς, ὁ συμπορευόμενος μετὰ τοῦ Ἰησοῦ Χριστοῦ, οὐ μόνον οὐ συνεργεῖ εἰς τοῦτο τὸ εὐσπλαγχνικὸν ἔργον, ἀλλὰ καὶ ἐμποδίζει αὐτὸ ὅσον δύναται. Κακότροπε λαὲ, ἀντὶ νὰ τρέξῃς εὐθὺς, καὶ λαβὼν ἐκ τῆς χειρὸς τὸν τυφλὸν, χειραγωγήσῃς αὐτὸν, καὶ φέρῃς ἐνώπιον τοῦ Κυρίου, ὀνειδίζεις αὐτὸν καὶ ἐπιτιμᾷς, καὶ προστάττεις, ἵνα σιωπήσῃ; Καὶ οἱ προάγοντες ἐπετίμων αὐτῷ, ἵνα σιωπήσῃ. Λουκ. ιή. 39.
Λαὲ πονηρὲ, ἐπειδὴ διὰ τὴν κακοτροπίαν σου οὐ θέλεις συνεργὸς γενέσθαι τοῦ καλοῦ ἔργου, κἂν σιώπα, καὶ μὴ ἐμποδίζῃς αὐτὸ διὰ τῶν ἐπιτιμίων σου. Τοιαύτη ἐστὶν, ἀδελφοὶ, ἡ κακία τῶν ἀνθρώπων· εἰσί τινες ἄνθρωποι, οἵτινες οὐ μόνον οὐ συνεργοῦσιν, ἀλλὰ καὶ ἐμποδίζουσι τὰ καλὰ ἔργα· αὐτὴ δέ ἐστιν ἡ μεγάλη καὶ ἐπιβλαβὴς ἁμαρτία, περὶ τῆς ὁποίας ἐγὼ λαλῶ.

Πολλά εἰσι τῆς ἁμαρτίας ταύτης τὰ αἴτια, ἡ ἀπροσεξία, ἡ ἀσυλλογιστία, ὁ φθόνος, ὁ φόβος, ἡ φιλοδοξία, ἡ ζηλο-

λοτυπία, ἡ φιλαυτία, καὶ ἄλλα μύρια πάθη. Πολλὰ δὲ καὶ τὰ ὄργανα, ἡ συμβουλὴ, ὁ ἔλεγχος, ἡ χλεύη, ἡ κατάκρισις, οἱ φοβερισμοὶ, τὰ δεσμὰ, τὰ παιδευτήρια· καὶ οἱ καιροὶ δὲ δουλεύουσιν αὐτῇ, διότι γίνεται καὶ πρὸ τοῦ καλοῦ ἔργου, καὶ μετὰ τὸ καλὸν ἔργον.

Ἔρχεται ἡ Ἄννα, ἡ μήτηρ τοῦ προφήτου Σαμουὴλ, εἰς τὸν ναὸν τοῦ Κυρίου, καὶ στᾶσα ἐνώπιον τοῦ Θεοῦ, προσεύχεται νοερῶς ἐν τῇ καρδίᾳ αὐτῆς· ὁ δὲ Ἡλὶ ὁ ἱερεὺς, ἰδὼν, ὅτι ἐκίνει μὲν τὰ χείλη, ἀλλ' ἡ φωνὴ αὐτῆς οὐκ ἠκούετο, ἐνόμισεν, ὅτι ἐστὶ μεμεθυσμένη· ὅθεν ἐλέγχει αὐτὴν διὰ τοῦ παιδαρίου αὐτοῦ, καὶ διώκει αὐτὴν ἐκ τοῦ Ἱεροῦ·
Α'. Βασιλ. α. 14. Καὶ εἶπεν αὐτῇ τὸ παιδάριον Ἡλὶ, Ἕως πότε μεθυσθήσῃ; περιελοῦ τὸν οἶνόν σου, καὶ πορεύου ἐκ προσώπου Κυρίου. Ἡλὶ, διατί ἐλέγχεις τὴν Ἄνναν ὡς μεμεθυσμένην; διατί διώκεις αὐτὴν ἐκ τοῦ Ἱεροῦ; βλέπεις, ὅτι αὐτὴ ἵσταται ἐνώπιον Κυρίου μετὰ σεμνότητος καὶ εὐλαβείας, ἐπειδὴ δὲ βλέπεις τὰ χείλη κινούμενα, καὶ τὴν φωνὴν αὐτῆς οὐκ ἀκούεις, διὰ τοῦτο ἀποφασίζεις, ὅτι ἐστὶ μεμεθυσμένη; διὰ τοῦτο διώκεις αὐτὴν ἐκ τοῦ Ἱεροῦ, καὶ ἐμποδίζεις αὐτὴν ἀπὸ τοῦ ἔργου τῆς ἀρετῆς; πόθεν τόση κακία; Ἐκ τῆς ἀπροσεξίας καὶ ἀσυλλογιστίας· ἐὰν ὁ Ἡλὶ ἐπρόσεχε, καὶ ἐσυλλογίζετο ὀρθῶς, ἐκαταλάμβανεν, ὅτι αὐτὴ προσεύχεται τὴν ἐσωτερικὴν καὶ νοερὰν καὶ ἁγίαν προσευχήν. Τοῦτο φανερόν ἐστιν, ἐπειδὴ ὅτε ἡ Ἄννα ἀπεκρίθη εἰς αὐτὸν,
Αὐτ. 15. Οἶνον καὶ μέθυσμα οὐ πέπωκα, καὶ ἐκχέω τὴν ψυχήν μου ἐνώπιον Κυρίου, τότε αὐτὸς μετενόησε, καὶ μετέβαλεν εὐθὺς τὸν ἔλεγχον εἰς εὐχὴν, καὶ τὸν διωγμὸν εἰς εὐλογίαν·
Αὐτ. 17. Πορεύου, εἶπεν, εἰς εἰρήνην· ὁ Θεὸς Ἰσραὴλ δῴη σοι τὸ αἴτημά σου, ὃ ᾐτήσω παρ' αὐτοῦ. Βλέπετε λοιπὸν, ὅτι τὸ μὲν αἴτιον τῆς ἁμαρτίας τοῦ Ἡλὶ ἐστὶν ἡ ἀπροσεξία, τὸ δὲ ὄργανον, ὁ ἔλεγχος καὶ ὁ διωγμὸς, ὁ δὲ καιρὸς, ἐστὶν αὐτὸς ὁ καιρὸς, καθ' ὃν ἡ Ἄννα ἔπραττε τὸ ἔργον τοῦ Θεοῦ.

Ἱερεῖς τοῦ Θεοῦ, ὅσοι ἱερατεύετε εἰς τὰς ἐνορίας, ἐγὼ φοβοῦμαι, ὅτι πολλάκις πίπτετε εἰς τὸ ἁμάρτημα τοῦ Ἡλὶ, καὶ γίνεσθε διῶκται τοῦ ἔργου τῆς προσευχῆς, καθὼς ἐκεῖνος. Τινὲς τῶν Χριστιανῶν, εὐλαβείᾳ φερόμενοι, ἔρχονται εἰς τὴν Ἐκκλησίαν πρὸ τῆς κοινῆς ἀκολουθίας, ἢ μένουσιν εἰς τὴν Ἐκκλησίαν μετὰ τὴν κοινὴν ἀκολουθίαν, κατ' ἰδίαν προσευχόμενοι· ὑμεῖς δὲ, μὴ στοχαζόμενοι τῆς ἁμαρτίας ταύτης τὸ βάρος, μηδὲ ἔχοντες τῆς ὑπομονῆς τὴν ἀρετὴν, ὑποκριτὰς αὐτοὺς νομίζοντες, ὀργίζεσθε κατ' αὐτῶν, καὶ διώκετε δὲ, ὅταν τύχωσι πτωχοὶ καὶ ἀδύνατοι, ἐλέγχοντες αὐτοὺς, καὶ λέγοντες· Φθάνει, Χριστιανέ μου, πορεύου εἰς τὸν οἶκόν σου· ἔχω καὶ ἐγὼ τὰς ὑποθέσεις μου, καὶ πρέπει νὰ ἀνοίγω, καὶ κλείω τὴν Ἐκκλησίαν εἰς τοὺς διατεταγμένους καιρούς· κἂν δὲ ἐκεῖνοι ἀποκρίνωνται μετὰ πρᾳότητος καὶ εὐλαβείας, ὑμεῖς ὅμως οὐ μετανοεῖτε, ὡς ὁ Ἡλὶ, ἀλλ' ἐπιμένετε, κατ' αὐτῶν ὀργιζόμενοι. Τοῦτο δὲ τὸ ἔργον τί ἄλλο ἐστὶν, εἰμὴ ἐκεῖνο, διὰ τὸ ὁποῖον ἐταλάνισεν ὁ Κύριος ἡμῶν τοὺς Γραμματεῖς καὶ Φαρισαίους; Οὐαὶ δὲ ὑμῖν Ματ. κγ'. 13.
Γραμματεῖς καὶ Φαρισαῖοι ὑποκριταὶ, ὅτι κλείετε τὴν Βασιλείαν τῶν οὐρανῶν ἔμπροσθεν τῶν ἀνθρώπων, ὑμεῖς γὰρ οὐκ εἰσέρχεσθε, οὐδὲ τοὺς εἰσερχομένους ἀφίετε εἰσελθεῖν· σὺ μὲν οὐ προσεύχεσαι καθὼς πρέπει, τοὺς δὲ προσευχομένους ἐμποδίζεις.

Οἱ μὲν θεοφόροι Ἀπόστολοι κηρύττουσι τὴν εἰς Χριστὸν πίστιν, ἐπιβεβαιοῦν-

*βαιοῦντες τοῦ κηρύγματος τὸν λόγον διὰ*
Πράξ. ί. *τῶν ἐξαισίων θαυμάτων, τῶν διὰ χειρῶν*
12. *αὐτῶν γινομένων· ὅθεν καὶ πιστεύουσιν*
*ὅσοι ἦσαν σκεύη ἄξια τῆς ὑποδοχῆς τοῦ*
*ἐπουρανίου μύρου τῆς πίστεως· ἐν μιᾷ*
Ἀυτ. β΄. *ἡμέρᾳ ἐπίστευσαν ψυχαὶ ὡσεὶ τρισχί-*
14. *λιαι, καὶ ἄλλην ἡμέραν πάλιν, ὡσεὶ χι-*
Ἀυτ. δ΄. *λιάδες πέντε.* Οἱ *δὲ* Ἄρχοντες, *καὶ οἱ*
4, 5, 6. *πρεσβύτεροι, καὶ οἱ* Γραμματεῖς, *καὶ ὁ*
Ἄννας ὁ Ἀρχιερεὺς, *καὶ ὁ* Καϊάφας, *καὶ*
*ὅσοι ἦσαν ἐκ γένους ἀρχιερατικοῦ, συ-*
*ναχθέντες, καὶ συμβουλευθέντες, ἐμπο-*
*δίζουσι παντὶ τρόπῳ τὸ μέγα τῆς σω-*
*τηρίας ἔργον.* Πόθεν *τόση κακία;* Ἐκ
*τοῦ φθόνου, καὶ ἐκ τοῦ φόβου· καὶ τὸν*
*μὲν φθόνον ἄναψεν ἡ δόξα τοῦ ὀνόμα-*
*τος τοῦ* Ἰησοῦ Χριστοῦ, *καὶ ὁ λαὸς, ὅ-*
*στις ἔτρεχεν ὀπίσω τῶν* Ἀποστόλων,
*καὶ ἐμεγάλυνεν αὐτούς· τὸν δὲ φόβον, ἡ*
*συνείδησις διὰ τὴν ἀνομίαν, ἣν ἐποίη-*
*σαν, σταυρώσαντες τὸν ἀναμάρτητον* Ἰη-
Ἀυτ. έ. *σοῦν·* Καὶ *βούλεσθε, ἔλεγον πρὸς*
28. *τοὺς* Ἀποστόλους, *ἐπαγαγεῖν ἐφ᾽ ἡ-*
*μᾶς τὸ αἷμα τοῦ ἀνθρώπου τού-*
*του.* Σημείωσαι *δὲ καὶ τοὺς τρόπους,*
*διὰ τῶν ὁποίων ἐπεχείρησαν ἐμποδίσαι*
*τοῦ κηρύγματος τὸ σωτήριον ἔργον.* Πρῶ-
Αυτ. δ΄. *τον μὲν διὰ τῶν φοβερισμῶν·* Ἀπειλῇ,
17. *εἶπον, ἀπειλησόμεθα αὐτοῖς μη-*
*κέτι λαλεῖν ἐπὶ τῷ ὀνόματι τού-*
*τῳ μηδενὶ ἀνθρώπων.* Ἔπειτα, *ἰ-*
*δόντες, ὅτι οἱ φοβερισμοὶ οὐδὲν κατώρ-*
*θωσαν, ἐπειδὴ οἱ* Ἀπόστολοι *λαμπρο-*
*τέρᾳ φωνῇ τὸν* Χριστὸν *ἐκήρυττον, με-*
*τέρχονται τὰς τιμωρίας· πιάσαντες δη-*
*λαδὴ τοὺς* Ἀποστόλους, *κατέκλεισαν αὐ-*
Ἀυτ. έ. *τοὺς εἰς τὴν φυλακήν·* Καὶ *ἐπέβαλον*
18. *τὰς χεῖρας αὐτῶν ἐπὶ τοὺς* Ἀπο-
*στόλους, καὶ ἔθεντο αὐτοὺς ἐν*
*τηρήσει δημοσίᾳ.* Ἐπειδὴ *δὲ καὶ τοῦ-*
*το ἐματαιώθη, καθότι* Ἄγγελος Κυρίου
*ἐξήγαγε τοὺς* Ἀποστόλους *ἐκ τῆς φυ-*
*λακῆς, αὐτοὶ δὲ, εἰσελθόντες εἰς τὸ* Ἱε-
*ρὸν, πάλιν ἐδίδασκον παῤῥησίᾳ τὸν λαὸν,*
*ἄλλο οἱ ἄνομοι νοοῦσιν ἐμπόδιον· βου-*
*λεύονται, ἵνα φονεύσωσι τοὺς* Ἀποστό-
*λους·* Καὶ *ἐβουλεύοντο ἀνελεῖν* Πράξ. έ.
*αὐτούς.* Ἐπειδὴ *δὲ ὁ* Γαμαλιὴλ *διὰ* 33.
*τῆς συμβουλῆς αὐτοῦ ἐνεπόδισε τὸν φό-*
*νον, ἔδειραν αὐτοὺς, καὶ παρήγγειλαν,*
*ἵνα μὴ κηρύττωσι τὸ ὄνομα τοῦ* Ἰησοῦ
Χριστοῦ· Καὶ *προσκαλεσάμενοι* Ἀυτ. 40
*τοὺς* Ἀποστόλους, *δείραντες πα-*
*ρήγγειλαν, μὴ λαλεῖν ἐπὶ τῷ ὀ-*
*νόματι τοῦ* Ἰησοῦ.

Ἄρχοντες, *προεστῶτες, διδάσκαλοι,*
Ἀρχιερεῖς, *προσέχετε, μή ποτε βλέπον-*
*τες τοὺς ὑπηκόους ὑμῶν ἐργαζομένους*
*τὴν ἀρετὴν, τῆς ὁποίας ὑμεῖς ἐστὲ γυ-*
*μνοὶ, καὶ τιμωμένους ὑπὸ τῶν ἀνθρώ-*
*πων δι᾽ αὐτὴν, φθονήσητε αὐτοὺς, ὑπὸ*
*τοῦ φθόνου δὲ κυριευθέντες, φοβερίζετε,*
*καὶ καταδιώκετε αὐτούς.* Προσέχετε, *μή*
*ποτε, βλέποντες τὸν κόσμον τιμῶντα*
*τοὺς ὑπὸ τὴν ἐξουσίαν ὑμῶν, καὶ περι-*
*ποιούμενον αὐτοὺς, καὶ τρέχοντα ὀπίσω*
*αὐτῶν, διὰ τὴν κατακοσμοῦσαν αὐτοὺς*
*προκοπὴν καὶ ἀρετὴν, φοβηθέντες μήπως*
*ἡ ἀρετὴ, ὑπερισχύσασα, ἐκείνους μὲν ὑ-*
*ψώσῃ, ὑμᾶς δὲ κατακρημνίσῃ, ὑπὸ δὲ*
*τοῦ φόβου σκοτισθέντες, παντοιοτρόπως*
*καταφρονεῖτε, καὶ ἐπιβουλεύετε, καὶ ἐμ-*
*ποδίζετε αὐτοὺς ἀπὸ τῶν ἔργων τοῦ*
Θεοῦ· *τότε οὐαὶ ὑμῖν, τότε γίνεσθε ὅ-*
*μοιοι τοῖς* Ἄρχουσι, *καὶ τοῖς* Πρεσβυ-
*τέροις τῶν* Ἰουδαίων, *καὶ τοῖς* Γραμμα-
*τεῦσι, καὶ τῷ* Ἄννᾳ *καὶ* Καϊάφᾳ, *οἵτι-*
*νες, θεομαχοῦντες, κατεδίωκον καὶ ἐ-*
*παίδευον τοὺς* Ἀποστόλους *τοὺς ἐργά-*
*τας τῆς ἀρετῆς.*

Ὀυ *φιμώσεις βοῦν ἀλοῶντα,* Δευτ. κέ.
*λέγει ὁ* Θεός· *τί δὲ σημαίνει τοῦτο; μή-* 4.
*πως μέλει τῷ* Θεῷ *διὰ τοὺς βόας;* Μὴ Α΄. Κορ.
*τῶν βοῶν μέλει τῷ* Θεῷ; *οὐ λαλεῖ* θ΄. 9.
*περὶ τῶν βοῶν τῶν ἀλοώντων ὁ* Θεὸς,
*ἀλλὰ περὶ τῶν ἀνθρώπων τῶν ἐργαζο-*

*μέ-*

μένων τὴν ἀρετήν. Ὀυ φιμώσεις βοῦν
ἀλοῶντα, αὕτη ἡ φωνὴ ἐστὶ φωνὴ τοῦ
παντοκράτορος Θεοῦ· προσταγὴ ἐστὶ τοῦ
παντοδυνάμου Δημιουργοῦ τῆς κτίσεως·
Ὀυ φιμώσεις βοῦν ἀλοῶντα· μὴ
στενοχωρήσῃς, μὴ δυναστεύσῃς, μὴ ἐμπο-
δίσῃς διὰ μηδενὸς τρόπου τὸν ἄνθρωπον,
ὅστις ἐργάζεται τὸ καλὸν ἔργον, ἀλλὰ
βοήθησον, προστάτευσον, συνέργησον αὐ-
τῷ ὅσον δύνασαι· Ὀυ φιμώσεις βοῦν
ἀλοῶντα.

Ἀκούσατε πῶς χαρακτηρίζει ὁ Ἀ-
πόστολος Παῦλος ἐκείνους, οἵτινες ἐμ-
ποδίζουσι τῆς ἀρετῆς τὰ ἔργα, καὶ ποῖον
ὄνομα ἀπονέμει εἰς αὐτοὺς, καὶ ποίᾳ
κατάρᾳ αὐτοὺς καθυποβάλλει, διότι ἐκ
τούτου οὐ μόνον καταλαμβάνετε πόσον
ἁμαρτάνουσιν οἱ ποιοῦντες ταύτην τὴν
ἁμαρτίαν, ἀλλὰ καὶ φρίττετε, βλέπον-
τες πόσον ὁ Θεὸς παιδεύει αὐτούς. Οὗ-
τος ὁ πανεύφημος Ἀπόστολος τοῦ Θεοῦ,
διελθὼν σὺν τῷ Βαρνάβᾳ τὴν Κύπρον,
κατήντησεν εἰς μίαν τῶν ἐν αὐτῇ πό-
λεων, ἤγουν εἰς τὴν Πάφον· ἐκεῖ ὁ ἡγε-
μὼν τῆς πόλεως, Σέργιος Παῦλος ὁ Ἀν-
θύπατος, συνετὸς ὢν καὶ φρόνιμος, προ-
σκαλεῖ τούτους τοὺς δύω Ἀποστόλους,
ἵνα ἀκούσῃ παρ' αὐτῶν τὸν λόγον τοῦ
Θεοῦ, καὶ φωτίσῃ τὴν ψυχὴν αὐτοῦ.
Ἄνθρωπος δέ τις ψευδοπροφήτης Ἰουδαῖος,
ἤγουν Ἐλύμας ὁ μάγος, ἠγωνίζετο παν-
τὶ τρόπῳ, ἵνα ἐμποδίσῃ τὸν Ἀνθύπα-
τον ἀπὸ τῆς πίστεως. Τοῦτο κατανοή-
σας ὁ Παῦλος, ἐνατενίσας πρὸς τὸν Ἐ-
Πράξ. ιγ'. λύμαν, εἶπεν· Ὦ πλήρης παντὸς δό-
10. λου καὶ πάσης ῥᾳδιουργίας, υἱὲ
Διαβόλου, ἐχθρὲ πάσης δικαιο-
σύνης, οὐ παύσῃ διαστρέφων τὰς
ὁδοὺς Κυρίου τὰς εὐθείας; ἀκούεις
λόγια φοβερά; Σημείωσαι δὲ, ὅτι τὰ
λόγια ταῦτα οὐκ εἰσὶ λόγια τοῦ Παύ-
λου, ἀλλὰ λόγια τοῦ ἁγίου Πνεύματος,
διότι ὁ Παῦλος, λέγουσι τῶν Ἀποστό-
λων αἱ πράξεις, πλησθεὶς Πνεύμα- Πράξ. ιγ'.
τος ἁγίου, ταῦτα ἐλάλησε. Καὶ ὅτι 9.
μὲν ὅστις ἐμποδίζει τὸ καλὸν, ἐκεῖνος
πλήρης ἐστὶ παντὸς δόλου, καὶ πάσης
κακουργίας, καὶ ἐχθρός ἐστι πάσης δι-
καιοσύνης, φανερόν ἐστι, καὶ οὐδεμιᾶς χρή-
ζει ἀποδείξεως· ὅτι δὲ ὁ αὐτός ἐστι καὶ
υἱὸς τοῦ Διαβόλου, τοῦτο φαίνεται πα-
ράδοξον καὶ δυσκατανόητον· ἀληθῶς πα-
ράδοξον καὶ δυσκολονόητον, πλὴν ἀληθέ-
στατον καὶ βέβαιον.

Ὑμεῖς, εἶπεν ὁ Σωτὴρ πρὸς τοὺς Ἰωάν. ή.
Ἰουδαίους, ἐκ πατρὸς τοῦ Διαβό- 44.
λου ἐστὲ, καὶ τὰς ἐπιθυμίας τοῦ
πατρὸς ὑμῶν θέλετε ποιεῖν. Τί
δὲ ἐπεθύμησεν ὁ Διάβολος, ὅτε εἶδε τὸν
ἄνθρωπον πλασθέντα, καὶ εἰς τὸν πα-
ράδεισον τῆς δόξης τεθέντα; Ἐπεθύμη-
σεν, ἵνα ἐμποδίσῃ αὐτὸν ἀπὸ τῆς εἰς
τὸν Θεὸν ὑπακοῆς. Τί δὲ ἔπραξε κατ'
αὐτοῦ; Ἠπάτησεν αὐτὸν, καὶ ὑπεσκέλι-
σεν ἀπὸ τοῦ δρόμου τῆς ἀρετῆς. Ὅστις
λοιπὸν καὶ ἐπιθυμεῖ, καὶ ἐμποδίζει τὸν
ἄνθρωπον ἀπὸ τῶν καλῶν ἔργων, ἐκεῖ-
νος πατέρα ἔχει τὸν Διάβολον. Εὐλο-
γοφανῶς λοιπὸν ὁ πνευματοφόρος Παῦ-
λος ὠνόμασε τὸν Ἐλύμαν υἱὸν Διαβό-
λου, διότι ὁ Ἐλύμας ἔπραττε τὰς ἐπι-
θυμίας τοῦ πατρὸς αὐτοῦ, ἤγουν τοῦ
Διαβόλου, ἐμποδίζων καὶ διαστρέφων τὸν
Ἀνθύπατον ἀπὸ τῆς πίστεως. Ἐπειδὴ
δὲ υἱὸς τοῦ Διαβόλου ὁ Ἐλύμας, διὰ
τοῦτο καὶ φοβερὰν κατάραν κατ' αὐτοῦ
ἐξεφώνησεν ὁ Ἀπόστολος, καθὼς πρό-
τερον κατὰ τοῦ πατρὸς αὐτοῦ κατάραν
ἐπήγαγεν ὁ Θεός· Ἐπικατάρατος σύ, Γεν. γ'.
εἶπεν ὁ Θεὸς πρὸς τὸν ὄφιν, τὸν ἐμφαί- 14.
νοντα τὸν πατέρα τοῦ Ἐλύμα, τὸν Διά-
βολον· Καὶ νῦν χεὶρ Κυρίου ἐπὶ Πράξ. ιγ'.
σέ· καὶ ἔσῃ τυφλὸς μὴ βλέπων 11.
τὸν Ἥλιον ἄχρι καιροῦ, εἶπεν ὁ
Παῦλος πρὸς τὸν Ἐλύμαν, τὸν γενόμε-
νον υἱὸν τοῦ Διαβόλου· καὶ, ὢ τοῦ πα-

ρα-

ραδόξου θαύματος! εὐθὺς ἐτυφλώθη παντελῶς ὁ Ἐλύμας, καὶ περιστρεφόμενος ὧδε κἀκεῖσε, ἐζήτει χειραγωγούς· Παραχρῆμα δὲ ἐπέπεσεν ἐπ' αὐτὸν ἀχλὺς καὶ σκότος, καὶ περιάγων ἐζήτει χειραγωγούς.

Ἵνα δὲ πληροφορηθῇς, ὅτι ὁ Παῦλος οὐ δι' ἄλλο τι ὠνόμασε τὸν Ἐλύμαν υἱὸν Διαβόλου, εἰμὴ καθότι ἠγωνίζετο νὰ ἐμποδίσῃ τὸν Ἀνθύπατον ἀπὸ τῆς ἀρετῆς καὶ σωτηρίας, βλέπε τὸν Πέτρον τὸν Ἀπόστολον. Ὅταν αὐτὸς ἤκουσε τὸν Ἰησοῦν Χριστὸν προλέγοντα εἰς τοὺς μαθητὰς αὐτοῦ, ὅτι πρέπον ἐστὶν, ἵνα ἔλθῃ εἰς τὰ Ἱεροσόλυμα, καὶ ὑπομείνῃ πολλὰ πάθη, καὶ φονευθῇ ὑπὸ τῶν Πρεσβυτέρων καὶ Ἀρχιερέων, καὶ τῇ τρίτῃ ἡμέρᾳ ἀναστηθῇ, τότε, παρασταθεὶς ἐνώπιον αὐτοῦ, ἤρξατο ἐπιτιμᾶν αὐτῷ· Κύριε, ἔλεγε, ἐλέησον σεαυτόν· Κύριέ μου, μὴ πράξῃς τοιοῦτον
Ματ. ιϛ'. 22. πρᾶγμα· Καὶ προσλαβόμενος αὐτὸν ὁ Πέτρος, ἤρξατο ἐπιτιμᾶν αὐτῷ, λέγων· Ἵλεώς σοι Κύριε· οὐ μὴ ἔσται σοι τοῦτο. Τί δὲ πρὸς ταύτην τὴν φαινομένην φιλικὴν συμβουλὴν ἀ-
Αυτ. 23. πεκρίθη ὁ Θεάνθρωπος; Ὁ δὲ στραφεὶς εἶπε τῷ Πέτρῳ· Ὕπαγε ὀπίσω μου, Σατανᾶ. Ἀκούετε, ἀδελφοί; τὸν μαθητὴν, τὸν κορυφαῖον τῶν Ἀποστόλων, τὸν ἠγαπημένον φίλον, τὸν ἅγιον ἄνδρα, ὅταν εἶδεν αὐτὸν ὁ Θεάνθρωπος Ἰησοῦς στοχαζόμενον οὐχὶ τὰ ἐπουράνια καὶ θεῖα, ἀλλὰ τὰ ἐπίγεια καὶ ἀνθρώπινα, καὶ διὰ τοῦτο σκανδαλίζοντα καὶ ἐμποδίζοντα αὐτὸν ἀπὸ τοῦ ἔργου τῆς σωτηρίας, τότε ὠνόμασεν αὐτὸν Σατανᾶν· Ὕπαγε ὀπίσω μου Σατανᾶ, σκάνδαλόν μου εἶ· ὅτι οὐ φρονεῖς τὰ τοῦ Θεοῦ, ἀλλὰ τὰ τῶν ἀνθρώπων.

Τί μανθάνομεν ἡμεῖς ἐκ τούτων τῶν λόγων τοῦ Σωτῆρος; Μανθάνομεν πρῶτον οὐ μόνον πόσον ἁμαρτάνει ἐκεῖνος ὁ ἄνθρωπος, ὅστις τολμᾷ καὶ ἀγωνίζεται, ἵνα ἐμποδίσῃ τῆς ἀρετῆς τὸ ἔργον, ἀλλὰ καὶ ὁποῖον βάρος ἔχει εἰς τὴν κρίσιν τοῦ δικαιοτάτου Κριτοῦ μία τοιαύτη ἁμαρτία. Ἀναγνώσατε ὅλην τὴν θείαν Γραφὴν παλαιάν τε καὶ νέαν· εἰς αὐτὴν βλέπετε ὀνομασίας διαφόρους τῶν ἁμαρτωλῶν· οἱ ἁμαρτωλοὶ ὀνομάζονται ἄνομοι, ἄδικοι, ἄσωτοι, ὑποκριταὶ, τάφοι κεκονιαμένοι, μωροὶ, τυφλοὶ, ἀλώπεκες, ὄφεις, γεννήματα ἐχιδνῶν, καὶ τὰ παρόμοια τούτοις ἀποτρόπαια ὀνόματα· Διάβολος δὲ καὶ Σατανᾶς οὐδεὶς ἄλλος ἁμαρτωλὸς ὠνομάσθη, εἰμὴ ὁ τῶν καλῶν ἔργων ἐμπόδιος· μόνη αὐτὴ ἡ ἁμαρτία ἀποχωρίζει τὸν ἄνθρωπον ἀπὸ τοῦ ἀριθμοῦ τῶν ἀνθρώπων, καὶ συγκαταλέγει αὐτὸν ἔτι ζῶντα εἰς τὸν κατάλογον τῶν Δαιμόνων· αὐτὴ ἡ ἁμαρτία μεταβάλλει τὸν ἄνθρωπον, τὸ ἠγαπημένον τοῦ Θεοῦ πλάσμα, εἰς Διάβολον, τὸν ἀποστάτην καὶ θεομίσητον· τοῦτο ἀληθῶς φρικτόν ἐστι καὶ φοβερόν· τοῦτο στοχαζόμενος ὁ τρισμακάριος Παῦλος, κἂν μετενόησε, κἂν περιῆλθε τὴν οἰκουμένην διδάσκων τὸ Εὐαγγέλιον, καὶ στηρίζων τὰς Ἐκκλησίας, κἂν ἤθλησεν ὑπὲρ πάντα ἄλλον ἄνθρωπον κηρύττων τοῦ Ἰησοῦ Χριστοῦ τὸ ὄνομα, ἐπειδὴ ὅμως πρότερον ἐξ ἀγνοίας καὶ ζήλου ἠγωνίσθη, ἵνα ἐμποδίσῃ τῆς εὐσεβείας τὸ κήρυγμα, ἐνόμιζεν ἑαυτὸν ἀνάξιον τοῦ ἀποστολικοῦ ὀνόματος, ὅθεν καὶ ἔλεγε,
καὶ ἔγραφεν· Ἐγὼ γάρ εἰμι ὁ ἐλά- Α'. Κορ. ιε'. 9.
χιστος τῶν Ἀποστόλων, ὃς οὐκ εἰμὶ ἱκανὸς καλεῖσθαι Ἀπόστολος· διατί τοῦτο; Διότι ἐδίωξα τὴν Ἐκκλησίαν τοῦ Χριστοῦ. Τοῦτο στοχαζόμενος πᾶς ἄνθρωπος, ἔπρεπεν οὐδέποτε, οὐδὲ ἔργῳ, οὐδὲ λόγῳ, οὐδὲ κἂν νεύματι, νὰ ἐμποδίζῃ τὸν ἐργαζόμενον τὴν ἀρετήν.

Καὶ

Καὶ ὅμως καθ' ἑκάστην ἡμέραν βλέπομεν πολλοὺς, οἵτινες πράττουσι τὰ τοιαῦτα, καὶ οὐδόλως λογίζονται αὐτὰ ἁμαρτίαν. Ἐκεῖνος ὁ Χριστιανὸς, φοβούμενος τῆς ἁμαρτίας τὴν πτῶσιν, φεύγει τὰς κινδυνώδεις συναναστροφὰς, νηστεύει, προσεύχεται, ζῇ μοναδικὸν βίον· οὗτοι δὲ οἱ πονηροὶ καὶ κακότροποι ἄνθρωποι, περιπαίζοντες καὶ χλευάζοντες αὐτὸν, ψυχραίνουσι τὴν προθυμίαν αὐτοῦ, καὶ μαραίνουσι τῆς καρδίας αὐτοῦ τὸν ζῆλον· ἔπειτα, μηδόλως κατανοοῦντες τῆς ἁμαρτίας αὐτῶν τὸ βάρος, γελῶσι τῆς ἀπωλείας αὐτῶν τὸν γέλωτα. Ὁ ἀνὴρ ἐμποδίζει τὴν γυναῖκα ἀπὸ τῆς προσευχῆς, ἀπὸ τῆς ἐλεημοσύνης, ἀπὸ τῆς νηστείας· καὶ τὸ ἀνάπαλιν, ἡ γυνὴ ἐμποδίζει πολλάκις τὸν ἄνδρα αὐτῆς ἀπὸ τῆς ἐργασίας τῶν καλῶν ἔργων· οὐδέτερος δὲ αἰσθάνεται πόσον ἁμαρτάνει ἐνώπιον τοῦ Θεοῦ, κοιμῶνται δὲ καὶ οἱ δύω ἥσυχοι τῆς ἁμαρτίας τὸν ὕπνον. Πολλάκις τὰ τέκνα ἐκλέγουσιν, ὥσπερ ἡ Μαρία, τὴν ἀγαθὴν μερίδα, θέλουσιν, ἵνα ἐγκαταλείψωσι τὸν κόσμον, καὶ ὅλως δι' ὅλου ἀφιερωθῶσιν εἰς τὸν Θεόν· τότε οὖν οἱ γονεῖς γίνονται Δαίμονες· στεναγμοὶ, ἐλεεινολογήματα, δάκρυα, ἐνίοτε καὶ δολιότητες, καὶ φοβερισμοὶ, καὶ βίαι, καὶ ἐμπόδια ὅσα δύνασαι νὰ στοχασθῇς· ἔπειτα νικήσαντες τὴν κακὴν νίκην, μηδόλως λογιζόμενοι τὴν ἁμαρτίαν, ἣν ἔπραξαν, χαίρουσι, καὶ ἀγάλλονται. Ἄλλοτε μὲν οἱ συγγενεῖς, ἄλλοτε δὲ οἱ φίλοι, ἄλλοτε οἱ γείτονες, ἐνίοτε καὶ αὐτοὶ οἱ ἐκκλησιαστικοὶ ἢ διὰ συμβουλῆς, ἢ διὰ κολακείας, ἢ διὰ φοβερισμῶν, ἢ δι' ἄλλων παντοίων τρόπων φιμοῦσι τὸν βοῦν τὸν ἀλοῶντα, ἤγουν πλέκουσιν ἐμπόδια εἰς τὸν ἐργαζόμενον τὰ καλὰ ἔργα.

Πανάθλιε ἄνθρωπε, πῶς οὐ φρίττεις ταῦτα πράττων; Εἰς τοὺς κοσμικοὺς ἀγῶνας, ὅστις μὲν νικήσῃ, ἔχει κέρδος, ὅστις δὲ νικηθῇ, ἔχει ζημίαν· σὺ δὲ εἰς τὸν τοιοῦτον σατανικὸν ἀγῶνά σου, κἄν τε νικηθῇς, κἄν τε νικήσῃς, μένεις ζημιωμένος· μάλιστα, ὅταν νικήσῃς, τότε βλάπτεσαι περισσότερον, διότι, ἐὰν μὲν νικηθῇς ὑπὸ τῆς ἀνδρείας καὶ καρτερότητος τοῦ ἐργαζομένου τὴν ἀρετὴν, καὶ οὐδὲν κατορθώσουσι τὰ ἐμπόδιά σου, ἁμαρτάνεις, ὡς θελήσας, καὶ ἐπιχειρήσας πρᾶξαι τοιοῦτον θεοστυγὲς ἔργον· ἐὰν δὲ νικήσῃς, τουτέστι καταπείσῃς τὸν ἄνθρωπον, καὶ ἐμποδίσῃς αὐτὸν ἀπὸ τῆς ἀρετῆς, τότε οὐ μόνον σὺ ἁμαρτάνεις, ἀλλὰ καὶ αὐτὸς, ὡς καταλιπὼν τὴν ἀρετὴν διὰ τῆς προτροπῆς σου, ὅθεν ἔχεις διπλῆν τὴν ἁμαρτίαν. Οὐδὲ ὁ Ἐλύμας ἐνίκησεν, οὐδὲ ὁ Πέτρος, διότι ὁ μὲν Ἀνθύπατος, μὴ πεισθεὶς εἰς τὰς τοῦ Ἐλύμα συμβουλὰς, ἐπίστευσεν εἰς τὸ κήρυγμα τοῦ Παύλου· ὁ δὲ Ἰησοῦς, μὴ πεισθεὶς εἰς τὰ ἐπιτίμια τοῦ Πέτρου, παρέδωκεν ἑαυτὸν εἰς τὸ πάθος, καὶ τὸν θάνατον· καὶ ὁ Ἐλύμας, λέγω, καὶ ὁ Πέτρος ἐνικήθησαν, καὶ οὐδὲν κατώρθωσαν· καὶ ὅμως τὸν μὲν Ἐλύμαν ὠνόμασεν ὁ Παῦλος υἱὸν τοῦ Διαβόλου, τὸν δὲ Πέτρον ὁ Ἰησοῦς, Σατανᾶν. Ὅταν δὲ σὺ νικᾷς, καὶ πείθῃς τὸν ἄνθρωπον, ἵνα ἐγκαταλείψῃ τὴν ἀρετὴν, τότε ποῖόν σοι πρέπει ὄνομα; καὶ ποῖον ἄλλο μᾶλλον μισητὸν καὶ ἀποτρόπαιον τοῦ ὀνόματος τοῦ Διαβόλου, καὶ τοῦ Σατανᾶ;

Μανθάνομεν δεύτερον ἐκ τῶν αὐτῶν λόγων τοῦ Κυρίου Ἰησοῦ τὸ πῶς νὰ νικῶμεν τοὺς πειράζοντας, καὶ θέλοντας διαστρέψαι ἡμᾶς ἀπὸ τῆς ἐργασίας τῶν καλῶν ἔργων. Ὅταν, στοχαζόμενος, ὅτι, ἐὰν μὴ συγχωρήσῃς τὸν ἐχθρόν σου, οὐδὲ ὁ Θεὸς συγχωρεῖ τὰς ἁμαρτίας σου, ἀποφασίζῃς, ἵνα εἰρηνεύσῃς καὶ φιλιωθῇς μετ' αὐτοῦ· τοῦτο δὲ μαθὼν ὁ φίλος σου, ἔρχεται πρὸς σὲ, καὶ ἄρχεται εὐθὺς τὰ ἐπιτί-

τίμια, λέγων· Ἵλεώς σοι, φίλε μου, ἐλέη-
σον τὸν ἑαυτόν σου, τὴν τιμήν σου, τὸν
οἶκόν σου· οὐ μὴ ἔσται σοι τοῦτο, μὴ
πράξῃς τοιοῦτον πρᾶγμα, διότι γίνεσαι
ὄνειδος τῶν ἀνθρώπων· ἐὰν μὴ ἐκδικη-
θῇς τὸν ἐχθρόν σου, ἀφανίζεσαι, διότι
πάντες ἔπειτα καὶ καταφρονοῦσί σε εὔ-
κολα, καὶ ἀδικοῦσί σε χωρὶς συστολῆς·
τότε διδάσκει σε ὁ Θεός σου, πῶς πρέπει
νὰ ἀπαντήσῃς εἰς τὰ λόγια τοῦ φίλου
σου· αὐτὸς τότε οὐκ ἔστι φίλος σου,
ἀλλὰ ἐχθρὸς τῆς ψυχῆς σου· αὐτὸς
τότε οὐ φρονεῖ τὰ τοῦ Θεοῦ, ἀλλὰ
τὰ τῶν ἀνθρώπων· αὐτὸς τότε ἐστὶ τὸ
σκάνδαλόν σου· τότε αὐτὸς γίνεται Σα-
τανᾶς· διὰ τοῦτο σὺ μὲν μηδόλως ὑπα-
κούσῃς αὐτῷ, ἀλλὰ μένε στερεὸς εἰς τοῦ
Θεοῦ τὸ ἔργον, καὶ συγχώρησον τὸν
ἐχθρόν σου· πρὸς ἐκεῖνον δὲ εἰπὲ ὅσα
εἶπεν ὁ Κύριος πρὸς τὸν φίλον αὐτοῦ,
Ματ. ις'. τὸν Πέτρον· Ὕπαγε ὀπίσω μου, Σα-
23. τανᾶ, σκάνδαλόν μου εἶ· ὅτι οὐ
φρονεῖς τὰ τοῦ Θεοῦ, ἀλλὰ τὰ
τῶν ἀνθρώπων. Σὺ μὲν ἄρχεσαι με-
τὰ προθυμίας τὴν τεσσαρακοστὴν, ἢ τὰς
ἄλλας νηστείας, ἡ δὲ γυνή σου, ἢ ὁ ἀ-
δελφός σου, ἢ ἄλλος συγγενής σου καὶ
οἰκιακὸς γίνονταί σοι κακοὶ σύμβουλοι·
Μὴ, λέγουσι, μὴ νηστεύῃς τόσον πολλὰ,
διότι ἀδυνατεῖς, καὶ φθείρεις τὴν ὑγείαν
σου· φάγε, τῶν ἀσκητῶν ἐστὶ χρέος ἡ
τοσοῦτον σκληρὰ νηστεία· σὺ δὲ τότε
ἐνθυμήθητι, ὅτι αὐτοὶ, κατὰ τὸν λόγον
τοῦ Κυρίου, εἰσὶ τὸ σκάνδαλόν σου, καὶ
ὅτι αὐτοὶ οὐ φρονοῦσι τὰ τοῦ Θεοῦ, ἀλ-
λὰ τὰ τῆς κοιλίας· εἰπὲ πρὸς αὐτοὺς
τὸ, Ὕπαγε ὀπίσω μου, Σατανᾶ· μὴ
ὑπακούσῃς τῆς συμβουλῆς αὐτῶν· οἱ
τοιοῦτοι συγγενεῖς, οἱ ἐμπόδιοι τῶν κα-
λῶν ἔργων, εἰσὶν ὁ ὀφθαλμὸς ὁ δεξιὸς,
καὶ ἡ χεὶρ ἡ δεξιὰ, περὶ τῶν ὁποίων
Αὐτ. ἱ. εἶπεν ὁ Θεάνθρωπος· Εἰ δὲ ὁ ὀφθαλ-
29, 30. μός σου ὁ δεξιὸς σκανδαλίζει σε,
ἔξελε αὐτὸν, καὶ βάλε ἀπὸ σοῦ·
Καὶ εἰ ἡ δεξιά σου χεὶρ σκανδα-
λίζει σε, ἔκκοψον αὐτὴν, καὶ βά-
λε ἀπὸ σοῦ· οὗτοί εἰσιν ἐκεῖνοι οἱ οἰ-
κιακοὶ, περὶ τῶν ὁποίων εἶπεν ὁ Σωτὴρ
ἡμῶν· Καὶ ἐχθροὶ τοῦ ἀνθρώπου Ματ. ἰ.
οἱ οἰκιακοὶ αὐτοῦ. 36.

Καὶ οἱ φίλοι, καὶ οἱ οἰκιακοὶ, καὶ
πάσης τάξεως καὶ καταστάσεως ἄνθρω-
πος, ὅταν ἐμποδίζωσιν ἡμᾶς ἀπὸ τῆς
ἐργασίας τῶν ἐντολῶν τοῦ Θεοῦ, τότε
εἰσὶν ἐχθροὶ, τότε γίνονται ὄργανα τοῦ
Σατανᾶ· ὅθεν οὐδόλως πρέπει νὰ ἀκούω-
μεν αὐτοὺς, ἀλλὰ, μένοντες στερεοὶ καὶ
ἀκλόνητοι, νὰ ἀποῤῥίπτωμεν τοὺς πει-
ρασμοὺς αὐτῶν καὶ τὰ σκάνδαλα.

Πόσον ἐπείραξαν τὸν καρτερικώτα-
τον Ἰὼβ οἱ φίλοι αὐτοῦ; ὅμως αὐτὸς
ἔμεινεν ἀκλόνητος ἐπάνω εἰς τὴν πέτραν
τῆς ὑπομονῆς· πόσον ἐπείραξεν αὐτὸν ἡ
γυνὴ αὐτοῦ, ὀνειδίζουσα αὐτὸν, καὶ προσ-
κλαιομένη τὰς συμφορὰς, καὶ ἐλεεινολο-
γοῦσα τὴν ἀθλίαν αὐτῆς κατάστασιν,
τελευταῖον δὲ καὶ εἰς βλασφημίαν αὐτὸν
προτρέψασα; Ἀλλ' εἶπον, ἔλεγε πρὸς Ἰώβ. β'. 9.
αὐτὸν, τὶ ῥῆμα εἰς Κύριον, καὶ τε-
λεύτα, ἤγουν βλασφήμησε, ἵνα τελειώ-
σῃς τὴν ζωήν σου· αὐτὸς δὲ ὡς ἀδάμας
ἄκαμπτος εἰς τοὺς πειρασμοὺς αὐτῆς, ἔ-
λεγε πρὸς αὐτήν· Ἐλάλησας ὡς γυνὴ
ἄφρων καὶ μωρή· Ὥσπερ μία τῶν Αὐτ. 10.
ἀφρόνων γυναικῶν ἐλάλησας· εἰ
τὰ ἀγαθὰ ἐδεξάμεθα ἐκ χειρὸς
Κυρίου, τὰ κακὰ οὐχ ὑποίσομεν;
Ὅσον περισσότερον πειράζουσιν ἡμᾶς οἱ
κακότροποι ἄνθρωποι, τόσον περισσότε-
ροι πλέκονται οἱ τῆς ἀρετῆς ἡμῶν στέ-
φανοι· διὰ τοῦτο ὅσον περισσότερον σπου-
δάζουσιν οἱ ὑπηρέται τοῦ Σατανᾶ, ἵνα
ἐμποδίσωσιν ἡμᾶς ἀπὸ τῶν καλῶν ἔρ-
γων, τόσον περισσότερον ἡμεῖς πρέπει
νὰ ἐπιμένωμεν εἰς τὴν ἐργασίαν τῆς ἀ-
ρετῆς, τοῦ σημερινοῦ Εὐαγγελίου τὸν
γεν-

γενναῖον τυφλὸν μιμούμενοι, ὅστις ὅσον
περισσότερον ἐπετιμᾶτο ὑπὸ τῶν προα-
Λουκ. ιη'. γόντων, τοσοῦτον περισσότερον ἔκραζε
38, 39. τὸ, Υἱὲ Δαβὶδ, ἐλέησόν με. Καὶ οἱ
προάγοντες ἐπετίμων αὐτῷ, ἵνα σιωπήσῃ· αὐτὸς δὲ πολλῷ μᾶλλον ἔκραζεν· Υἱὲ Δαβὶδ, ἐλέησόν με.

# ΕΡΜΗΝΕΙΑ

ΕΙΣ ΤΟ ΚΑΤΑ

# ΛΟΥΚΑΝ

## ΕΥΑΓΓΕΛΙΟΝ ΤΗΣ ΙΕ'. ΚΥΡΙΑΚΗΣ.

Οἱ τυφλοὶ καὶ ἀνόητοι εἰδωλολάτραι, οἱ τὸν ἀληθινὸν Θεὸν μὴ γνωρίζοντες, μηδὲ τὴν εἰς τὰ πάντα ἀκοίμητον αὐτοῦ πρόνοιαν κατανοοῦντες, καὶ αὐτὰ τὰ φαντάσματα τῆς ἀσυνέτου αὐτῶν διανοίας θεοποιοῦντες, τὰς οἰκονομίας τοῦ προνοητοῦ Θεοῦ ἐνόμιζον τῆς τύχης ἀποτελέσματα. Ὅθεν τὴν τύχην, ἥτις οὐδὲν ἐστιν, οὐδὲ ὁρατὸν, οὐδὲ ἀόρατον, οὐδὲ ὕπαρξιν ἔχει ὅλως, ἀλλὰ μόνη τοῦ νοὸς φαντασία ἐστὶν ἀλλόκοτος, καὶ ὄνομα κενὸν, μηδενὸς πράγματος σημαντικὸν, αὐτοὶ οἱ δύστηνοι ἐχειροτόνουν Θεὰν, καὶ πλάττοντες εἴδωλα ποικιλόμορφα, καὶ βωμοὺς διαφόρους, ἐλάτρευον αὐτῇ, καὶ εἴτι ἂν αὐτοῖς συνέβαινεν, εἰς αὐτὴν τοῦτο ἀπένεμον. Τῆς πλάνης ταύτης τὰ λείψανα ἔμειναν ἕως τῆς σήμερον εἰς τῶν Χριστιανῶν τὰς ὁμηγύρεις. Ἀληθῶς οὐδεὶς τῶν Χριστιανῶν τὴν σήμερον πιστεύει, ὅτι ἡ τύχη ἐστὶ Θεὰ, οὐδὲ εἴδωλα πλάττει, οὐδὲ οἰκοδομεῖ βωμοὺς ἐπὶ τῷ ὀνόματι αὐτῆς, οὐδὲ λατρείαν προσφέρει εἰς αὐτήν, ὅμως, ὅταν συνέβη εὐτυχία, τότε καθεὶς λέγει, ὅτι ἔχει καλὴν τύχην, ὅταν δὲ δυστυχία, ὅτι ἔχει τύχην κακήν· ἐὰν δὲ ἐρωτήσῃς, τί πρᾶγμά ἐστιν ἡ τύχη, τότε ἀκούεις καὶ κατανοεῖς ἐκ τῆς ἀποκρίσεως, ὅτι ὁ ἀποκρινόμενός σοι οὐκ οἶδε τί λέγει, οὐδὲ κατανοεῖ τί λαλεῖ, διότι οὐδεὶς, οὐδὲ ἀμαθὴς, οὐδὲ σοφὸς ἐξήγησέ ποτε τί ἐστιν ἐκεῖνο, ὅπερ ὀνομάζουσι τύχην. Ὁ Ἰησοῦς Χριστὸς, ὑψώσας τὰ ὄμματα, βλέπει τὸν Ζακχαῖον ἐπάνω εἰς τὴν συκομορέαν· τοῦτο δὲ γίνεται σωτηρία τοῦ Ζακχαίου· ὁ ἄπιστος μὴ εἰδὼς τί λαλεῖ, λέγει, ὅτι κατὰ τύχην ὁ Ἰησοῦς Χριστὸς ὕψωσε τὰ ὄμματα, καὶ ἐνητένισεν εἰς τὸν Ζακχαῖον· ὁ πιστὸς κηρύττει, ὅτι ὁ Ἰησοῦς Χριστὸς, ὡς καρδιογνώστης, γνωρίσας τὴν διάθεσιν τοῦ Ζακχαίου, κλίνουσαν εἰς τὴν ἐπιστροφὴν καὶ μετάνοιαν, ἐπίτηδες ὕψωσε τὰ ὄμματα, καὶ εἶδεν αὐτὸν, ἵνα δώσῃ αὐτῷ τὴν σωτηρίαν. Ὅστις προσηλώσῃ τὸν νοῦν αὐτοῦ εἰς τὴν ἑρμηνείαν τοῦ σημερινοῦ Εὐαγγελίου, ἐκεῖνος λαμβάνει τελείαν περὶ τῆς ὑποθέσεως ταύτης πληροφορίαν.

Τῷ καιρῷ ἐκείνῳ, διήρχετο ὁ Λουκ. ιθ'.
Ἰησοῦς τὴν Ἱεριχώ. Καὶ ἰ- 1. 2.
δοὺ, ἀνὴρ ὀνόματι καλούμενος
Ζακχαῖος· καὶ αὐτὸς ἦν ἀρ-
χιτελώνης, καὶ οὗτος ἦν πλού-
σιος.

Λουκ. ιθ'. 3. σιος. Καὶ ἐζήτει ἰδεῖν τὸν Ἰησοῦν τίς ἐστι· καὶ οὐκ ἠδύνατο ἀπὸ τοῦ ὄχλου, ὅτι τῇ ἡλικίᾳ μικρὸς ἦν.

Αὐτ. ιζ'. 11. Ἀκολουθεῖ ὁ θεῖος Εὐαγγελιστὴς τὴν διήγησιν τῆς πρὸς τὰ Ἱεροσόλυμα ὁδοιπορίας τοῦ Ἰησοῦ Χριστοῦ. Εἰπὼν δὲ
Αὐτ. ιη'. 35. ἀνωτέρω, Ἐγένετο ἐν τῷ ἐγγίζειν αὐτὸν εἰς Ἱεριχώ, καὶ διηγηθεὶς τὸ θαῦμα τοῦ τυφλοῦ, τὸ γεγονὸς πλησίον τῆς Ἱεριχὼ, λέγει ἀκολούθως, καὶ εἰσελθὼν διήρχετο τὴν Ἱεριχώ, τουτέστι εἰσέβη εἰς τὴν πόλιν Ἱεριχὼ, καὶ δι' αὐτῆς διαβαίνων, ἐπορεύετο εἰς τὴν Ἱερουσαλήμ. Ἰδοὺ δὲ, ἐν ᾧ διέβαινε τὴν Ἱεριχὼ, συναντᾷ αὐτὸν ἐκεῖ ἄνθρωπός τις, ὀνομαζόμενος Ζακχαῖος, ἀρχιτελώνης, ἤγουν πρῶτος τῶν Τελωνῶν, ἐκείνων δηλαδὴ τῶν ἀνθρώπων, οἵτινες συνάγουσι τὰ βασιλικὰ δόσιμα· ὁ αὐτὸς δὲ Ζακχαῖος ἦν καὶ πλούσιος· ἀκούσας δὲ, ὡς φαίνεται, τὴν περὶ τοῦ Ἰησοῦ Χριστοῦ φήμην, καὶ τὰ ἐξαίσια αὐτοῦ θαύματα, μάλιστα τὸ πρὸ ὀλίγου εἰς τὸν τυφλὸν γενόμενον θαῦμα ἔξω τῆς πόλεως Ἱεριχὼ, ἐζήτει ἰδεῖν τὸν Ἰησοῦν Χριστὸν, τίς ἐστιν, ἤθελε δηλονότι καὶ ἐπεθύμει, ἵνα ὀφθαλμοφανῶς ἴδῃ τίς ἐστιν αὐτὸς ὁ Ἰησοῦς, ὁ τοσοῦτον πεφημισμένος καὶ θαυματουργός· καὶ ἐζήτει μὲν ἰδεῖν τὸν Ἰησοῦν, ἀλλ' ἐπειδὴ πλῆθος μὲν λαοῦ ἵστατο μεταξὺ αὐτοῦ καὶ τοῦ Ἰησοῦ, αὐτὸς δὲ μικρὸς ἦν κατὰ τὸ ἀνάστημα τοῦ σώματος αὐτοῦ, διὰ τοῦτο οὐκ ἠδύνατο ἰδεῖν αὐτόν.

Αὐτ. ιθ'. 4. Καὶ προδραμὼν ἔμπροσθεν, ἀνέβη ἐπὶ τὴν συκομορέαν, ἵνα ἴδῃ αὐτόν· ὅτι δι' ἐκείνης ἤμελλε διέρχεσθαι.

Βλέπε προθυμίαν. Ἐστοχάσθη τὸν δρόμον, δι' οὗ ἔμελλε διαπεράσαι ὁ Ἰησοῦς Χριστὸς, καὶ ἰδὼν εἰς τὸν αὐτὸν δρόμον δένδρον ὑψηλὸν, συκαμηναίαν, ἢ συκάμηνον καλούμενον, προτρέξας ἔμπροσθεν καὶ τοῦ Ἰησοῦ Χριστοῦ καὶ τοῦ ὄχλου, καὶ ἀναβὰς ἐπάνω εἰς ἐκεῖνο τὸ δένδρον, περιέμενεν ἐκεῖ, ἵνα ἴδῃ τὸν Ἰησοῦν, τὸν ἐκεῖθεν μέλλοντα διελθεῖν. Ὁ πόθος τῆς εὐσεβείας, καὶ ἡ ἐπιθυμία τῆς μετανοίας ἄναψαν τὴν καρδίαν αὐτοῦ, ὅθεν ἔτρεχε, καὶ ἀνέβαινεν ἐπάνω εἰς τὰ ὑψηλὰ δένδρα, καὶ παντοιοτρόπως ἠγωνίζετο, ἵνα ἴδῃ τὸν διδάσκαλον τῆς πίστεως, καὶ τῆς ἀφέσεως τῶν ἁμαρτιῶν τὸν χορηγὸν καὶ δοτῆρα.

Καὶ ὡς ἦλθεν ἐπὶ τὸν τόπον, ἀναβλέψας ὁ Ἰησοῦς εἶδεν αὐτὸν, καὶ εἶπε πρὸς αὐτόν· Ζακχαῖε, σπεύσας κατάβηθι· σήμερον γὰρ ἐν τῷ Λουκ. ιθ'. 5.
οἴκῳ σου δεῖ με μεῖναι. Καὶ 6.
σπεύσας κατέβη, καὶ ὑπεδέξατο αὐτὸν χαίρων.

Λῖνον τυφόμενον, εἶπεν ὁ προφήτης Ἡσαΐας περὶ τοῦ Ἰησοῦ Χριστοῦ, Ἡσ. μβ'. 3.
οὐ σβέσει· ὁ δὲ Σολομὼν εἶπε, Φθάσει (ἡ σοφία) τοὺς ἐπιθυμοῦντας Ματ. ιβ'. 20. Σοφ. ς'. 13.
πρὸ τοῦ γνωσθῆναι. Ἰδοὺ δὲ ταῦτα ὑπὸ τοῦ Κυρίου Ἰησοῦ πεπληρωμένα, διότι οὐκ ἔσβεσεν ὁ Φιλάνθρωπος τὴν ζέουσαν τοῦ Ζακχαίου ἐπιθυμίαν, ἀλλὰ προέφθασεν αὐτὸν, πρὶν ἢ γνωρισθῇ ὑπ' αὐτοῦ· ἐπειδὴ, ὅτε ἦλθεν εἰς τὸν τόπον, ἐν ᾧ ἦν ἡ συκομορέα, εἰς τὴν ὁποίαν ἀνέβη ὁ Ζακχαῖος, τότε, ὑψώσας τὰ ὄμματα αὐτοῦ, καὶ ἐνατενίσας πρὸς αὐτὸν, εἶπε· Ζακχαῖε, σπεῦσον, κατάβα· σήμε-

μερον γὰρ ἐν τῷ οἴκῳ σου δεῖ με μεῖναι· διότι σήμερον πρέπον ἐστὶν, ἵνα ἔλθω, καὶ μείνω εἰς τὸν οἶκόν σου· πρέπον ἐστὶν, εἶπεν, ἐπειδὴ ἔπρεπεν ἡ σωτηρία εἰς τὸν Ζακχαῖον, τὸν μετὰ τοσαύτης προθυμίας ζητοῦντα αὐτήν. Ταῦτα ἀκούσας ὁ Ζακχαῖος, ἐπλήσθη χαρᾶς μεγάλης, καὶ σπεύσας εὐθὺς κατέβη, καὶ ὑπεδέχθη ὁ τρισμακάριος τὸν Κύριον Ἰησοῦν εἰς τὸν οἶκον αὐτοῦ. Ἡ μεγάλη ἐπιθυμία, ἵνα ἴδῃ τὸν Κύριον, ἡ πολλὴ σπουδὴ, ἵνα καὶ προτρέξῃ καὶ ἀναβῇ εἰς τὴν συκομορέαν, καὶ ἡ ἀληθινὴ χαρὰ, ἣν ἔλαβεν, ὅτε εἶδε τὸν Κύριον ἐνατενίσαντα πρὸς αὐτὸν, καὶ εἰπόντα, Ζακχαῖε, σήμερον πρέπον ἐστὶν ἵνα μείνω εἰς τὸν οἶκόν σου, ἀποδεικνύουσι φανερὰ, ὅτι ὁ μὲν Ζακχαῖος ἦν προητοιμασμένος, ἵνα ὑποδεχθῇ τῆς εὐσεβείας τὸν λόγον, καὶ μετανοήσῃ ἀπὸ τῶν ἁμαρτιῶν αὐτοῦ· ὁ δὲ Ἰησοῦς, προγνωρίσας ὡς καρδιογνώστης τὴν τῆς ψυχῆς αὐτοῦ διάθεσιν, καὶ ἀνέβλεψε, καὶ ἐνητένισε πρὸς αὐτὸν, καὶ κατ' ὄνομα καλέσας αὐτὸν, ἐφανέρωσεν αὐτῷ, ὅτι ἔρχεται εἰς τὸν οἶκον αὐτοῦ. Τί δὲ ἔλεγον οἱ περιεστῶτες, ταῦτα βλέποντες καὶ ἀκούοντες;

Λουκ. ιθ΄. 7. Καὶ ἰδόντες πάντες διεγόγγυζον, λέγοντες· Ὅτι παρὰ ἁμαρτωλῷ ἀνδρὶ εἰσῆλθε καταλῦσαι.

Ἁμαρτωλοὺς νομίζοντες οἱ Ἰουδαῖοι πάντας τοὺς τελώνας, καὶ ἑπομένως πολλῷ μᾶλλον τοὺς ἀρχιτελώνας, ὁποῖος ἦν ὁ Ζακχαῖος, καθότι οὗτοι, συνάγοντες τὰ βασιλικὰ δόσιμα, ἔπραττον πολλὰς ἀδικίας, καὶ καταδυναστείας, ἀπεστρέφοντο τὰς τούτων συναναστροφάς· διὸ καὶ ὁ Θεάνθρωπος, ὅταν παραβολικῶς περιέγραψε τῆς ταπεινοφροσύνης τὴν ὠφέλειαν, καὶ τῆς ὑπερηφανείας τὴν βλάβην, ἀντὶ ἁμαρτωλοῦ τεταπεινωμένου, καὶ διὰ τὴν ταπείνωσιν αὐτοῦ δεδικαιωμένου, παρέστησε τὸν τελώνην, μακρόθεν τοῦ Ἱεροῦ ἑστῶτα. Ἰδὼν οὖν ὁ λαὸς, ὅτι ὁ Ἰησοῦς ἦλθεν εἰς τὸν οἶκον τοῦ ἀρχιτελώνου Ζακχαίου, ἵνα μείνῃ ἐκεῖ, ἠγανάκτησαν καὶ ἐγόγγυζον κατὰ τοῦ Ἰησοῦ Χριστοῦ, μὴ γινώσκοντες οἱ ἄθλιοι οὐδὲ τὴν μετάνοιαν τοῦ Ζακχαίου, οὐδὲ τὸν σωτήριον τοῦ Θεανθρώπου σκοπόν. Ἀλλὰ παύσατε, ὦ τάλανες, καὶ μὴ γογγύζητε, πρὶν ἢ ἴδητε, τί μὲν ἔπραξεν ὁ Ζακχαῖος, ὅτε εἰσῆλθεν ὁ Ἰησοῦς εἰς τὸν οἶκον αὐτοῦ· τί δὲ εἶπεν ὁ Ἰησοῦς, ὅταν εἶδε τὴν ἀληθινὴν μετάνοιαν καὶ ἐπιστροφὴν τοῦ Ζακχαίου.

Λουκ. ιθ΄. 8. Σταθεὶς δὲ ὁ Ζακχαῖος, εἶπε πρὸς τὸν Ἰησοῦν· Ἰδοὺ, τὰ ἡμίση τῶν ὑπαρχόντων μου, Κύριε, δίδωμι τοῖς πτωχοῖς· καὶ εἴ τινός τι ἐσυκοφάντησα, ἀποδίδωμι τετραπλοῦν.

Βλέπε πόσον ἕτοιμος καὶ πρόθυμος ἦν ὁ Ζακχαῖος εἰς τὴν μετάνοιαν καὶ ἀρετήν. Ὅτε εἰσέβη ὁ Ἰησοῦς εἰς τὸν οἶκον αὐτοῦ, εὐθὺς ἐστάθη ἔμπροσθεν αὐτοῦ, καὶ εἶπε πρὸς αὐτόν· Κύριε, ἰδοὺ διὰ ἀγάπην σου δίδωμι τὰ ἡμίση τῶν ὑπαρχόντων μου εἰς τοὺς πτωχούς· ὁποῖον δὲ καὶ ἂν ἠδίκησα, ἐπιστρέφω εἰς αὐτὸν τὸ τετραπλάσιον τοῦ ἀδικήματος. Πόθεν δὲ ἄρα ἡ τοιαύτη διάταξις καὶ διανομή; ἐπάνω εἰς ποῖον θεμέλιον ἐστήριξεν αὐτὴν ὁ Ζακχαῖος; Ἡ μὲν δόσις τοῦ ἡμίσεως τῶν ὑπαρχόντων αὐτοῦ εἰς τοὺς πτωχοὺς οὐκ εἶχεν ἄλλο θεμέλιον, εἰμὴ τὴν ἀγαθὴν αὐτοῦ προαί-

ρε-

ρεσιν· τόσον ἐδιώριστο διὰ τοὺς πτωχοὺς, ὅσον ἐπροαιρέθη· ἡ δὲ τετραπλάσιος ἀπόδοσις τῶν ἀδικημάτων εἶχε βάσιν τοὺς διὰ τοῦ Μωϋσέως δοθέντας νόμους τοῦ Θεοῦ. Ὅστις ἔκλεπτε μόσχον, ἢ πρόβατον, ἐὰν μὲν ἔσφαζεν, ἢ ἐπώλει αὐτὸ, ἐπέστρεφεν εἰς τὸν ἀδικηθέντα ἀντὶ μὲν τοῦ ἑνὸς μόσχου, πέντε, ἀντὶ δὲ τοῦ
Ἐξόδ. κβ΄. 1. ἑνὸς προβάτου, τέσσαρα· Ἐὰν δέ τις κλέψῃ μόσχον ἢ πρόβατον, καὶ σφάξῃ ἢ ἀποδῶται, πέντε μόσχους ἀποτίσει ἀντὶ τοῦ μόσχου, καὶ τέσσαρα πρόβατα ἀντὶ τοῦ προβάτου· ἐὰν δὲ τὰ κλεφθέντα εὑρίσκοντο ζῶντα εἰς τὰς χεῖρας τοῦ κλέπτου, τότε ὁ κλέπτης ἐπέστρεφε τὰ
Αὐτ. 4. διπλᾶ· Ἐὰν δὲ καταλειφθῇ, καὶ εὑρεθῇ ἐν τῇ χειρὶ αὐτοῦ τὸ κλέμμα ἀπό τε ὄνου ἕως προβάτου ζῶντα, διπλᾶ αὐτὰ ἀποτίσει. Ταῦτα δὲ ἐγίνοντο, ἐὰν ὁ κύριος τοῦ πράγματος προέφθανε τὸν κλέπτην, διότι λέγει, Ἐὰν καταλειφθῇ· ἐὰν δὲ ὁ ἀδικητὴς αὐτοπροαιρέτως ὡμολόγει τὴν ἁμαρτίαν αὐτοῦ, τότε ἐπέστρεφε μόνον τὸ κεφάλαιον, καὶ τὸ πέμπτον μέρος τοῦ κεφα-
Ἀριθ. έ. 7. λαίου· Ἐξαγορεύσει τὴν ἁμαρτίαν ἣν ἐποίησε, καὶ ἀποδώσει τὴν πλημμέλειαν· τὸ κεφάλαιον, καὶ τὸ ἐπίπεμπτον αὐτοῦ προσθήσει ἐπ' αὐτὸ, καὶ ἀποδώσει τίνι ἐπλημμέλησεν αὐτό. Ὁ Ζακχαῖος οὐδὲ κατελείφθη, οὐδὲ εἰς κριτήριον παρεστάθη, οὐδὲ κριτὴς αὐτὸν ἔκρινεν, ἀλλ' αὐτὸς, αὐτοθελήτως στήσας κριτήριον ἐν ἑαυτῷ, καὶ κριτὴς γενόμενος ἑαυτοῦ, ἀπεφάσισεν, ἵνα ἐπιστρέψῃ εἰς τοὺς ὑπ' αὐτοῦ ἀδικηθέντας οὐχὶ μόνον τὸ κεφάλαιον καὶ τὸ πέμπτον μέρος τοῦ κεφαλαίου, ἀλλὰ τὸ τετραπλοῦν. Τοιοῦτος αὐστηρὸς καὶ δίκαιος κριτὴς γίνεται τοῦ ἀνθρώπου ἡ συνείδησις, ὅταν ὁ ἄνθρωπος κατανυχθῇ, καὶ ἐπιστρέψῃ εἰς τὸν Θεόν. Ἄκουε δὲ καὶ τὸ τί ἠκολούθησε, μετὰ τὴν τοιαύτην δικαιοπραγίαν καὶ μετάνοιαν.

Εἶπε δὲ πρὸς αὐτὸν ὁ Ἰησοῦς· Ὅτι σήμερον σωτηρία τῷ οἴκῳ τούτῳ ἐγένετο, καθότι καὶ αὐτὸς υἱὸς Ἀβραάμ ἐστιν. Λουκ. ιθ΄. 9.

Σήμερον σωτηρία τῷ οἴκῳ τούτῳ, ἀντὶ τοῦ, σήμερον ἄφεσις ἁμαρτιῶν, καὶ σωτηρία εἰς τὴν ψυχὴν τοῦ Ζακχαίου, καθότι, σήμερον ἐπιστρέψας εἰς τὸν Θεὸν, καὶ ποιήσας τοῦ Ἀβραὰμ τὰ ἔργα, ἤγουν δικαιοσύνην καὶ ἐλεημοσύνην, ἔδειξεν, ὅτι ἐστὶν ἀληθινὸς τοῦ Ἀβραὰμ υἱὸς, καὶ ἄξιος τῆς αἰωνίου σωτηρίας.

Ἦλθε γὰρ ὁ Υἱὸς τοῦ ἀνθρώπου ζητῆσαι καὶ σῶσαι τὸ ἀπολωλός. Αὐτόθι. 10.

Τοῦτο ὅμοιόν ἐστι τῷ ὑπὸ τοῦ Θεανθρώπου ἀλλαχοῦ εἰρημένῳ· Οὐ γὰρ ἦλθον καλέσαι δικαίους, ἀλλὰ ἁμαρτωλοὺς εἰς μετάνοιαν· (Ματ. θ΄. 13.) ὁμοίως καὶ τοῖς ἀποστολικοῖς λόγοις· Ὅτι Χριστὸς Ἰησοῦς ἦλθεν εἰς τὸν κόσμον ἁμαρτωλοὺς σῶσαι. (Α΄. Τιμ. α΄. 15.) Τοῦτο δὲ ἔφραξε τὰ στόματα τῶν γογγυζόντων, καὶ κατέπαυσε τὴν τούτων ἀγανάκτησιν, διότι, ἐὰν ὁ Υἱὸς τοῦ Θεοῦ ἦλθεν εἰς τὸν κόσμον, ἵνα ζητήσῃ καὶ σώσῃ τὸ ἀπολωλὸς, προεῖδε δὲ τὸν Ζακχαῖον, καὶ ἀπολωλότα καὶ μετανοοῦντα, πρέπον ἦν βέβαια, ἵνα ζητήσῃ καὶ σώσῃ αὐτόν· ὅθεν καὶ ἐζήτησεν, εἰπὼν πρὸς αὐτόν· Ζακχαῖε, σπεύσας κατάβηθι, καὶ ἐπίτηδες ἦλθεν εἰς τὸν

οἶ-

οἶκον αὐτοῦ· ὅτε δὲ ὁ Ζακχαῖος ἐπαρρησίασε τὴν μετάνοιαν, ὅσην ἠκούσαμεν, τότε ὁ Σωτὴρ ἐξεφώνησε περὶ αὐτοῦ τῆς σωτηρίας τὰ ῥήματα· *Σήμερον σωτηρία τῷ οἴκῳ τούτῳ.*

# ΟΜΙΛΙΑ

## ΜΕΤΑ ΤΟ ΚΑΤΑ

# ΛΟΥΚΑΝ

## ΕΥΑΓΓΕΛΙΟΝ ΤΗΣ ΙΕ'. ΚΥΡΙΑΚΗΣ.

Ὅταν μὲν στοχάζωμαι ταῦτα τὰ λόγια τοῦ Κυρίου Ἰησοῦ καὶ Σωτῆρός μου· *Ἦλθε γὰρ ὁ Υἱὸς τοῦ ἀνθρώπου ζητῆσαι καὶ σῶσαι τὸ ἀπολωλὸς*, μεγάλη ἐλπὶς στάζει εἰς τὴν καρδίαν μου, καὶ χαρᾶς πολλῆς πληροῦται ἡ ψυχή μου· ἐπειδὴ, ἐὰν ὁ Υἱὸς τοῦ Θεοῦ διὰ τοῦτο ἦλθεν εἰς τὸν κόσμον, ἵνα ζητήσῃ καὶ σώσῃ τὸ ἀπολωλὸς, καὶ ἐμὲ λοιπὸν ζητήσει καὶ σώσει τὸν ἀπολωλότα καὶ ἁμαρτωλόν. Ὅταν δὲ πάλιν συλλογίζωμαι ὅσα ἔπραξεν αὐτὸς ὁ ζητηθεὶς καὶ σωθεὶς, ἤγουν ὁ Ζακχαῖος, τότε φεύγει ἡ ἐλπὶς ἀπὸ τῆς καρδίας μου, καὶ ἄμετρος λύπη ὁμοῦ καὶ φόβος πίπτει εἰς τὴν ψυχήν μου. Θέλω καὶ ἐγὼ, καὶ ζητῶ ἰδεῖν τὸν Κύριόν μου τὸν Ἰησοῦν, καθὼς ἐζήτει αὐτὸν ὁ Ζακχαῖος· *Καὶ ἐζήτει ἰδεῖν τὸν Ἰησοῦν, τίς ἐστιν·* ἐκεῖνος μὲν ἐζήτει, ἀλλ' ἐπειδὴ μικρὸς ἦν κατὰ τὸ ἀνάστημα τοῦ σώματος, ὁ περιεστὼς λαὸς ἐνεπόδιζε τὴν ὅρασιν· *Καὶ οὐκ ἠδύνατο, ὅτι τῇ ἡλικίᾳ μικρὸς ἦν·* ἐγὼ δὲ ζητῶ αὐτὸν, ἀλλ' ἐπειδὴ ψυχρός εἰμι κατὰ τὴν θείαν ἀγάπην, ἐμποδίζει με τὸ πλῆθος τῶν παθῶν μου, καθὼς ἐκεῖνον ὁ ὄχλος τῶν ἀνθρώπων· ἐκεῖνος ὅμως, ἀνδρεῖος καὶ μεγαλόψυχος, ἔσχισε τὸν ὄχλον, προέτρεξεν ἔμπροσθεν τοῦ πλήθους, καὶ ἀναβὰς ὑψηλὰ εἰς τὴν συκομορέαν, εἶδε τοῦ κόσμου τὸν Σωτῆρα· ἐγὼ, ἀσθενὴς καὶ μικρόψυχος, οὐδὲ καταδαμάζω τὰ πάθη μου, οὐδὲ ἐγκαταλείπω αὐτὰ ὀπίσω μου, οὐδὲ σπεύδω, ἵνα ἀνέβω ἐπάνω εἰς τὸ ὄρος τοῦ Θεοῦ, τὸ ὄρος τὸ ὑψηλὸν τῆς ἀρετῆς, *τὸ πῖον, τὸ τετυρωμένον*, καὶ ἵνα ἐκεῖθεν θεωρήσω καὶ ἐγὼ τὸν γλυκύτατον Ἰησοῦν, τὸν νυμφίον τῆς ψυχῆς μου. Ἐνατενίζεις καὶ εἰς ἐμὲ, Πολυεύσπλαγχνε, κἂν κάτω κατάκειμαι, καθὼς καὶ εἰς τὸν Ζακχαῖον, τὸν εἰς τὰ ὑψηλὰ ἀναβάντα, διότι θέλεις καὶ τὴν ἐμὴν σωτηρίαν, καθὼς καὶ τὴν ἐκείνου· ἀλλ' εἰς ἐκεῖνον ἐνατενίσας, εἶδες μετανοίας διάθεσιν, καὶ γνώμην ἐπιστροφῆς· ὅταν δὲ εἰς ἐμὲ ἐνατενίζῃς, Κύριέ μου, τί ἄλλο βλέπεις, εἰμὴ γνώμην ἀμετανόητον, καὶ διάθεσιν ἐπιμονῆς εἰς τὰ κακά μου θελήματα; Σὺ αὐτόκλητος ἦλθες εἰς τοῦ Ζακχαίου τὸν οἶκον, ἐγὼ δὲ, τολμῶν διὰ τῆς μεταλήψεως τῶν μυστηρίων, προσκαλῶ σε, καὶ ἐμβάζω σε, εἰς τὸν οἶκον τῆς ψυχῆς μου. Σὺ, ἐλθὼν εἰς τὸν οἶκον τοῦ Ζακχαίου, εὗρες ἐλεημοσύνην, εὗρες δικαιοσύνην, εὗρες ἀρετῆς λαμπρότητα, καὶ τόπον ἄξιον τῆς ὑποδοχῆς σου, ὅθεν ἔμεινας ἐκεῖ, καὶ ἔδωκας αὐτῷ τὴν ἄφεσιν τῶν ἁμαρτιῶν, καὶ τῆς ψυχῆς αὐ-

Ψαλ. ξζ΄. 17.

αὐτοῦ τὴν σωτηρίαν· ἐρχόμενος δὲ εἰς τὸν οἶκον τῆς ψυχῆς μου, οὐδὲν ἄλλο εὑρίσκεις, εἰμὴ ἀνελεήμονα καρδίαν, καὶ πολλὰς ἀδικίας, καὶ ἁμαρτίας βόρβορον· σπήλαιον λῃστῶν εὑρίσκεις, καὶ οὐχὶ κατάλυμα ἄξιον τῆς βασιλείας σου· ὅθεν, μὴ ἔχων ποῦ τὴν κεφαλὴν κλῖναι, ἀντὶ νὰ μείνῃς μετ' ἐμοῦ, φεύγεις, καὶ ἀντὶ νὰ ἐξαλείψῃς τὰς ἁμαρτίας μου, ὀργίζεσαι, καὶ μακρύνεις ἀπ' ἐμοῦ τοῦ τρισαθλίου.

Χριστιανοὶ, ἐγὼ πιστεύω καὶ ὁμολογῶ, ὅτι ὁ Ἰησοῦς Χριστὸς ὁ Υἱὸς τοῦ Θεοῦ ἦλθεν εἰς τὸν κόσμον, ἵνα καλέσῃ τοὺς ἁμαρτωλοὺς εἰς μετάνοιαν· καὶ βλέπω δὲ φανερὰ, ὅτι εἰς ὅσους μετενόησαν ἠνοίχθη ὁ παράδεισος, καὶ ἐδόθη ἡ σωτηρία· ἀλλ' ὅταν στοχάζωμαι τὴν μετάνοιαν ἐκείνων, καὶ τὴν μετάνοιαν ἡμῶν, τότε ἀπελπίζομαι. Ναὶ ἀληθῶς, μεγάλη ἡ δύναμις τῆς μετανοίας· οὐδὲ τὸ βάρος, οὐδὲ τὸ πλῆθος τῶν ἁμαρτημάτων, οὐδὲ ἡ πολυχρόνιος ἐπιμονὴ εἰς τὴν ἁμαρτίαν, οὐδὲ ἄλλη περίστασις οὐδεμία νικᾷ τῆς μετανοίας τὴν δύναμιν· μετενόησας; ἔλαβες τὴν συγχώρησιν· μετενόησας; ἐσώθης. Ταῦτά εἰσιν ἀληθῆ καὶ βέβαια, ἐπειδή εἰσιν ἐστηριγμένα ἐπάνω εἰς τὰ λόγια τῶν Προφητῶν, ἐπάνω εἰς τὸ κήρυγμα τῶν Ἀποστόλων, ἐπάνω εἰς τὰ παραδείγματα τῶν μετανοησάντων, ἐπάνω εἰς τὴν ἀπόφασιν τοῦ Θεοῦ, ὅστις ἐξαπέστειλε τὸν Υἱὸν αὐτοῦ οὐχ ἵνα καλέσῃ τοὺς δικαίους, ἀλ-
Ματ. θ'. 13. λὰ τοὺς ἁμαρτωλοὺς εἰς μετάνοιαν· Οὐ γὰρ ἦλθον καλέσαι δικαίους, ἀλλὰ ἁμαρτωλοὺς εἰς μετάνοιαν. Περὶ τούτου λοιπὸν οὐδεμίαν ἔχομεν οἱ εἰς Χριστὸν πιστεύοντες ἀμφιβολίαν· ὅλη ἡ ἀμφιβολία πίπτει εἰς τὸ, ἐὰν ἡ μετάνοια ἡμῶν ὑπάρχῃ μετάνοια ἀληθινή. Ὅταν ἀναγινώσκω εἰς τὰς ἁγίας Γραφὰς τὰ ἔργα τῶν ἀληθῶς μετανοησάντων, καὶ βλέπω τὰ ἔργα τῆς μετανοίας ἡμῶν, φοβοῦμαι, ὅτι ἡμεῖς τὴν σήμερον, ἀντὶ νὰ μετανοήσωμεν, παίζομεν, καὶ πλανῶμεν ἑαυτοὺς, νομίζοντες μετάνοιαν ἀληθινὴν ἐκεῖνο τὸ ἔργον, τὸ ὁποῖον οὐδὲ κἂν σχῆμα ἔχει μετανοίας.

Ἀληθῶς ἄλλο μετάνοια, καὶ ἄλλο τῆς μετανοίας τὰ ἔργα. Μετάνοια ἀληθινή ἐστιν ἡ ἀναγνώρισις τῆς ἁμαρτίας, καὶ ἡ μετὰ κατανύξεως ἐξομολόγησις τῶν ἁμαρτημάτων, καὶ ἡ ἀπόφασις τῆς τελείας ἀποχῆς ἀπὸ τῶν ἁμαρτιῶν· ὅστις τοιουτοτρόπως μετανοεῖ, ἐκεῖνος λαμβάνει τῶν ἁμαρτιῶν αὐτοῦ τὴν συγχώρησιν· Καὶ εἶπε Δαβὶδ τῷ Νάθαν, B'. Βασιλ. ιβ'. 13.
Ἡμάρτηκα τῷ Κυρίῳ. Καὶ εἶπε Νάθαν πρὸς Δαβὶδ, Καὶ Κύριος παρεβίβασε τὸ ἁμάρτημά σου. Ἡμάρτηκα τῷ Κυρίῳ, ἰδοὺ ἡ ἀναγνώρισις τῆς ἁμαρτίας· Καὶ εἶπε Δαβὶδ τῷ Νάθαν· ἰδοὺ ἡ ἐξομολόγησις· βλέπεις δὲ καὶ τὴν ἀπόφασιν τῆς τελείας ἀποχῆς ἀπὸ τῆς ἁμαρτίας εἰς τὰ μετὰ τὴν μετάνοιαν ἔργα τοῦ Δαβίδ. Καὶ Κύριος παρεβίβασε τὸ ἁμάρτημά σου· ἰδοὺ τῆς ἁμαρτίας ἡ συγχώρησις. Ἔργα δὲ τῆς μετανοίας εἰσὶν ἡ τελεία ἀποχὴ καὶ ἀποστροφὴ τῶν προγεγονότων ἁμαρτημάτων, καὶ ἡ νηστεία, καὶ ἡ προσευχὴ, καὶ τὰ δάκρυα, καὶ ἡ κακουχία τοῦ σώματος, καὶ ὅσα ἄλλα ἀπομακρύνουσι τὸν ἄνθρωπον ἀπὸ τῆς ἁμαρτίας, καὶ στηρίζουσιν αὐτὸν εἰς τὴν ἀρετήν. Κἂν δὲ ἄλλο ἡ μετάνοια, καὶ ἄλλα τῆς μετανοίας τὰ ἔργα, ὅμως τοσοῦτον συνδεδεμένα καὶ συνηνωμένα εἰσὶν ἀλλήλοις, ὥστε, ὅταν λείπωσι τῆς μετανοίας τὰ ἔργα, ἡ μετάνοια οὐκ ἔστιν ἀληθινὴ καὶ ὠφέλιμος, ἀλλὰ ψευδὴς καὶ ματαία· διὰ τοῦτο δὲ ὁ θεῖος Πρόδρομος τοῦ Σωτῆρος ἐκήρυττεν εἰς τοὺς μετανοοῦντας, λέγων· Ποιήσατε οὖν καρ- Ματ. γ. 8.
ποὺς ἀξίους τῆς μετανοίας.

Ὁ-

Ὅταν εἶδεν ὁ Ἰούδας, ὅτι ὁ ὑπ' αὐτοῦ παραδοθεὶς Ἰησοῦς Χριστὸς κατεκρίθη εἰς θάνατον, τότε μετεμελήθη, καὶ μετενόησεν· ἐγνώρισε τὴν ἁμαρτίαν
Ματ. κζ'. 4. αὐτοῦ, ἐξωμολογήθη παῤῥησίᾳ, Ἥμαρτον, εἶπεν ἔμπροσθεν τῶν Ἀρχιερέων καὶ πρεσβυτέρων, Ἥμαρτον, παραδοὺς αἷμα ἀθῶον. Ναὶ, μετάνοια, ἡ μετάνοια τοῦ Ἰούδα, ἀλλ' ἄμοιρος τῶν καρπῶν τῆς μετανοίας· αὐτὴ ἀντὶ ἀρετῆς ἐκαρποφόρησε κακίαν, ἀντὶ προσευχῆς καὶ δακρύων ἐκαρποφόρησε θυμὸν
Αυτ. 5. καὶ ὀργήν· Καὶ ῥίψας τὰ ἀργύρια ἐν τῷ ναῷ ἀνεχώρησεν· ἀντὶ ἐλπίδος ἐκαρποφόρησεν ἀπελπισμὸν, καὶ ἀντὶ ἐλέους καὶ συμπαθείας, αὐτοχειρίαν· Καὶ ἀπελθὼν ἀπήγξατο. Βλέπετε λοιπὸν, ὅτι οὐχὶ πᾶσα μετάνοια ἐστὶ σωτηριώδης· βλέπετε, ὅτι ἡ μετάνοια, ἡ γυμνὴ τῶν ἔργων τῶν ἀξίων τῆς μετανοίας, βλάβην καὶ οὐχὶ ὠφέλειαν προξενεῖ.

Ἰδοὺ καὶ ἄλλη μετάνοια ὁμοία τῇ μετανοίᾳ τοῦ Ἰούδα. Ὁ Φαραὼ μετενόησε, τοῦτό ἐστιν ἀληθέστατον· διότι δὶς ἐξεφώνησε τὸ ἥμαρτον, δὶς ἐξωμολογήθη ἔμπροσθεν τοῦ Μωϋσέως καὶ Ἀαρών· πρῶτον μὲν, ὅταν εἶδε τὸν ἐκ τῆς χαλά-
Εξόδ. θ'. 27. ζης ἀφανισμόν· Ἀποστείλας δὲ Φαραὼ, λέγει ἡ Θεία Γραφὴ, ἐκάλεσε Μωϋσῆν καὶ Ἀαρὼν, καὶ εἶπεν αὐτοῖς· Ἡμάρτηκα τὸ νῦν· ὁ Κύριος δίκαιος, ἐγὼ δὲ καὶ ὁ λαός μου ἀσεβεῖς· ὑπεσχέθη δὲ καὶ τὴν
Αυτ. 28. διόρθωσιν τῆς σκληροκαρδίας αὐτοῦ, Καὶ ἐξαποστελῶ, εἶπεν, ὑμᾶς, καὶ οὐκ ἔτι προστεθήσεσθε μένειν· μετενόησεν, ἀλλ' ἔλειψε τὸ πρῶτον τῆς μετανοίας ἔργον, ἤγουν ἡ ἀποχὴ τῆς ἁμαρτίας, διότι μετ' ὀλίγον ἔπεσε πάλιν εἰς τὸ αὐτὸ ἁμάρτημα τῆς σκληροκαρδίας·
Αυτ. 35. Καὶ ἐσκληρύνθη ἡ καρδία Φαραὼ, καὶ οὐκ ἐξαπέστειλε τοὺς υἱοὺς Ἰσραήλ. Δευτέρα δὲ μετάνοια καὶ ἐξομολόγησις, ὅταν εἶδε τὸ ἄμετρον πλῆθος τῆς ἀκρίδος, καὶ τὴν ἐξ αὐτῆς φθοράν· Κατέσπευδε δὲ Φαραὼ καλέσαι Μωϋσῆν καὶ Ἀαρὼν, λέγων, Εξόδ. ι'. 16.
Ἡμάρτημα ἐναντίον Κυρίου τοῦ Θεοῦ ὑμῶν, καὶ εἰς ὑμᾶς· Προσδέξασθέ μου τὴν ἁμαρτίαν ἔτι Αυτ. 17.
νῦν· μετενόησεν, ἀλλὰ καὶ αὐτὴ ἡ δευτέρα μετάνοια οὐκ εἶχε τῆς μετανοίας τὰ ἔργα, διότι, ὅταν ἔπαυσεν ἡ ἀκρὶς, ὁ Φαραὼ πάλιν ὁ αὐτὸς, πάλιν σκληρὸς, πάλιν οὐκ ἐξαποστέλλει τοὺς Ἰσραηλίτας· Καὶ οὐκ ἐξαπέστειλε Αυτ. 20.
τοὺς υἱοὺς Ἰσραήλ. Γνωστὸν δὲ ἐστι τὸ τέλος καὶ ὁ καρπὸς τῆς τοιαύτης ψευδομετανοίας· τέλος τοῦ κακῶς μετανοήσαντος Φαραὼ ὁ εἰς τὴν ἐρυθρὰν θάλασσαν καταποντισμὸς αὐτοῦ σὺν τοῖς ἅρμασι, καὶ ἀναβάταις, καὶ πάσῃ τῇ Αυτ. ιδ'. 28.
δυνάμει αὐτοῦ.

Ἀγαπητοί μου ἀδελφοὶ, ἐγὼ φοβοῦμαι ὅτι ἡ μετάνοια ἡμῶν ἐστὶν ὁμοία, οὐ λέγω τῇ μετανοίᾳ τοῦ Ἰούδα, ἀλλὰ τῇ μετανοίᾳ τοῦ Φαραώ. Ὁ Φαραὼ διὰ τὸν φόβον τῶν πληγῶν μετενόει, ἐξωμολογεῖτο, ὑπέσχετο διόρθωσιν καὶ ἀποχὴν τῆς ἁμαρτίας αὐτοῦ· μετ' ὀλίγον δὲ πάλιν σκληροκάρδιος, καὶ ἰσχυρογνώμων, οὐκ ἤθελεν ἀπολῦσαι τὸν Ἰσραὴλ ἀπὸ τῆς δουλείας. Ἐκεῖνος μὲν, διὰ τὴν τῶν Χριστιανῶν συνήθειαν, οὗτος δὲ, διὰ τοῦ κόσμου τὰ ὄμματα, ὁ ἄλλος, ἐπειδὴ ἀναγκάζεται ὑπὸ τῶν συγγενῶν, μετανοεῖ εἰς τὸν καιρὸν τῆς νηστείας, ἐξομολογεῖται ἐνώπιον τοῦ πνευματικοῦ αὐτοῦ πατρὸς τὰς ἁμαρτίας αὐτοῦ, καὶ ὑπόσχεται ἴσως διὰ μόνων τῶν χειλέων, οὐχὶ δὲ καὶ διὰ τῆς καρδίας, τὴν εἰς τὸ ἑξῆς διόρθωσιν, καὶ τὴν ἀποχὴν ἀπὸ τῶν ἁμαρτιῶν αὐτοῦ, ἴσως δὲ καὶ ἐγκρατεύεται μίαν ἢ δύω ἡμέρας, ἕως ἂν ἀξιωθῇ τῶν θείων μυστηρίων· ἔπειτα καρ-

καρπὸς τῆς μετανοίας οὐδείς· οὐδὲ δάκρυα, οὐδὲ κατάνυξις, οὐδὲ νηστεία, οὐδὲ σκληραγωγία, οὐδὲ ἄλλο τί τῶν δυναμένων ἐμποδίσαι αὐτὸν ἀπὸ τῆς προτέρας κακῆς συνηθείας· πάλιν αἱ αὐταὶ κινδυνώδεις συναναστροφαί, ὁ αὐτὸς ἀχάλινος βίος, τὸ προλαβὸν ἀνυπόστολον πολίτευμα, τὰ αὐτὰ ἔργα· ὅθεν οἱ καρποὶ τῆς μετανοίας αὐτοῦ εἰσὶ τὰ ἐπανακυλήματα εἰς τὴν αὐτὴν ἁμαρτίαν, ἢ καὶ εἰς ἄλλας περισσοτέρας καὶ χείρονας. Τοιαύτη ἐστὶν ἡ μετάνοια ἡμῶν· καὶ ταῦτα οὐχ ἅπαξ, οὐδὲ δὶς, ὡς ὁ Φαραὼ, ἀλλὰ πολλάκις, καὶ μυριάκις, καὶ ἕως τέλους ζωῆς· ἔπειτα ἀναπαυόμεθα, καὶ κοιμώμεθα ἥσυχα, καὶ νομίζομεν, ὅτι διάγομεν τὸν βίον ἡμῶν ἐν μετανοίᾳ καὶ ἐξομολογήσει· οὐαὶ ἡμῖν! παραφρονοῦμεν οἱ ταλαίπωροι, καὶ παίζομεν τὰ ἄπαικτα, πλανῶντες καὶ βλάπ-
Γαλ. ς'. 7. τοντες ἑαυτοὺς, διότι Θεὸς οὐ μυκτηρίζεται.

Βλέπε πόση διαφορά ἐστι μεταξὺ ταύτης τῆς ψευδομετανοίας, καὶ τῆς μετανοίας τῆς ὠφελίμου καὶ ἀληθινῆς. Μία πόρνη διὰ τὸν φόβον τῆς κολάσεως μετανοεῖ· αὐτὴ τρέχει εὐθὺς εἰς τὴν οἰκίαν Σίμωνος τοῦ Φαρισαίου, ὅπου ἦν ὁ Κύριος Ἰησοῦς, ἐκεῖ δὲ ἐνώπιον πάντων πίπτει εἰς τοὺς πόδας αὐτοῦ, καὶ πλύνει αὐτοὺς διὰ τῶν δακρύων αὐτῆς, ἔπειτα, ἀποσπογγίσασα αὐτοὺς διὰ τῶν τριχῶν τῆς κεφαλῆς αὐτῆς, ἀλείφει αὐτοὺς διὰ τοῦ μύρου· γίνεται δὲ σώφρων ἀντὶ πόρνης, καὶ σκεῦος Θεοῦ ἀντὶ δοχείου τῆς ἁμαρτίας· πράττεις ἆρά γε καὶ σὺ, ὅταν μετανοῇς, τῆς πόρνης ταύτης τὰ ἔργα; μετανοεῖς καὶ σὺ διὰ τὸν φόβον τῆς κολάσεως; πίπτεις καὶ σὺ εἰς τοὺς πόδας τοῦ Ἰησοῦ; κατανύγεις τὴν καρδίαν σου; ἐκχέεις δάκρυα, ἵνα πλύνῃς τοὺς ἀχράντους πόδας τοῦ Σωτῆρος; ἀποσπογγίζεις αὐτοὺς διὰ τῆς καθαρότητος τῶν λογισμῶν σου; ἀλείφεις αὐτοὺς διὰ τοῦ μύρου τῆς πρὸς τοὺς πένητας ἐλεημοσύνης σου; γίνεσαι καὶ σὺ σώφρων, ἀντὶ ἀσώτου, καὶ Θεοῦ φίλος, ἀντὶ Διαβόλου δοῦλος; ἐὰν ταῦτα ποιῇς, τότε ἡ μετάνοιά σου ἐστὶν ἀληθινὴ, τότε ὁ Θεὸς δέχεται τὴν ἐπιστροφήν σου· τότε λέγει καὶ πρὸς σὲ ὁ Φιλάνθρωπος ὅσα εἶπε καὶ πρὸς τὴν ἀλη-
θῶς μετανοήσασαν πόρνην· Ἀφέωνταί Λουκ. ζ'. 48. 50.
σοι αἱ ἁμαρτίαι σου. Ἡ πίστις σου σέσωκέ σε· πορεύου εἰς εἰρήνην.

Ὁ Δαβὶδ μετὰ τὴν μοιχείαν καὶ τὸν φόνον μετενόησεν· αὐτὸς ἐστηλογράφησε τὴν ἁμαρτίαν καὶ τὴν ἀνομίαν αὐτοῦ διὰ τοῦ πεντηκοστοῦ ψαλμοῦ, καὶ τυπώσας τὸ βάρος αὐτῆς ἐν τῇ καρδίᾳ αὐτοῦ, ἐμελέτα αὐτὸ διαπαντὸς, πάντοτε εἶχεν αὐτὸ ἐνώπιον τῶν ὀφθαλμῶν αὐτοῦ.
Ὅτι τὴν ἀνομίαν μου, ἔλεγεν, ἐγὼ Ψαλ. ν'. 4.
γινώσκω, καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μου ἐστὶ διαπαντός· ὅθεν ἐκ βάθους καὶ μετὰ πολλοῦ πόνου τῆς καρδίας αὐτοῦ ἐστέναζε, καὶ καθ' ἑκάστην νύκτα διὰ τῶν δακρύων αὐτοῦ καὶ τὴν κλίνην αὐτοῦ ἔλουε, καὶ τὴν στρω-
μνὴν αὐτοῦ ἔβρεχεν· Ἐκοπίασα ἐν Αὐτ. ς'. 6.
τῷ στεναγμῷ μου, λούσω καθ' ἑκάστην νύκτα τὴν κλίνην μου, ἐν δάκρυσί μου τὴν στρωμνήν μου βρέξω· τοσοῦτον ἐνήστευεν, ὥστε ἠσθένησαν τὰ γόνατα αὐτοῦ, καὶ ὅλον
τὸ σῶμα αὐτοῦ ἠλλοιώθη· Τὰ γόνα- Αὐτ. ρη'. 23.
τά μου ἠσθένησαν ἀπὸ νηστείας, καὶ ἡ σάρξ μου ἠλλοιώθη δι' ἔλαιον· τόσοι ἦσαν οἱ στεναγμοὶ αὐτοῦ, καὶ τόσον ἐταλαιπώρει καὶ ἐβασάνιζε τὴν σάρκα, ὥστε κατεξηράνθη τὸ σῶμα, καὶ ἐκόλλησε τὸ δέρμα μετὰ τῶν
ὀστέων αὐτοῦ· Ἀπὸ φωνῆς τοῦ στε- Αὐτ. ρα'. 6.
ναγμοῦ μου ἐκολλήθη τὸ ὀστοῦν μου τῇ σαρκί μου. Ἀκούετε ποῖοι
εἰ-

εἰσὶν οἱ καρποὶ τῆς ἀληθινῆς μετανοίας; Οὐαὶ ἡμῖν! ποῖος μοιχὸς, ποῖος φονεὺς εἰς τὰς ἡμέρας ἡμῶν ἔδειξε τοιαύτην μετάνοιαν;

Α'. Κορ. ·6 ·;· Ὁ Παῦλος, καταδιώξας πρότερον τὴν Ἐκκλησίαν τοῦ Θεοῦ, μετενόησεν ὕστερον, οὐρανόθεν προσκληθεὶς εἰς μετάνοιαν· ποῖοι δὲ οἱ καρποὶ τῆς μετανοίας αὐτοῦ; Καὶ τίς δύναται διηγηθῆναι τὰς νηστείας, τὰς ἀγρυπνίας, τοὺς κόπους, τοὺς κινδύνους, τοὺς διωγμοὺς, τοὺς ῥαβδισμοὺς, τὰ δεσμὰ, τὴν σαργάνην, τὰ ναυάγια, τοὺς λιθασμοὺς, τὸν μαρτυρικὸν, τέλος πάντων, θάνατον τοῦ τρισμακαρίου Παύλου; ἡ μετάνοια αὐτοῦ ἐκαρποφόρησεν εἰς τὸν Θεὸν τὴν ἐπιστροφὴν τῶν ἐθνῶν ἀπὸ τῆς εἰδωλολατρείας εἰς τὴν θεογνωσίαν. Οὐαὶ ἡμῖν! ποῖος τὴν σήμερον διώκτης τῶν ἀδελφῶν αὐτοῦ τὸν Χριστιανῶν ἔδειξε τοσούτους καὶ τοιούτους καρποὺς μετανοίας;

Ὁ Πέτρος, τρὶς ἀρνηθεὶς τὸν Ἰησοῦν Χριστὸν μεθ' ὅρκου, μετενόησεν εὐθύς· καὶ πρῶτον μὲν ἔκλαυσε πικρὰ δάκρυα, ἔπειτα ὅλον τὸν ὑπόλοιπον καιρὸν τῆς ζωῆς αὐτοῦ οὐδὲν ἕτερον ἔπραξεν, εἰμὴ ὅτι μετὰ πολλῶν μόχθων, καὶ ἀγώνων, καὶ κινδύνων ἐκήρυττεν εἰς πᾶσαν τὴν οἰκουμένην Θεὸν ἀληθινὸν τὸν Ἰησοῦν Χριστὸν, τὸν ὁποῖον εἰς τὴν αὐλὴν τοῦ Καϊάφα ἠρνήσατο· τελευταῖον δὲ ὑπὲρ τῆς ἀγάπης αὐτοῦ καὶ τὸ ἴδιον αἷμα ἐξέχεε, καὶ τὸν θάνατον χαίρων ὑπέμεινε. Ταῦτα δὲ διηγούμενος, τρέμω, δάκρυα δὲ ἔρχονται εἰς τοὺς ὀφθαλμούς μου, ὅταν στοχάζωμαι ποῖά εἰσι τὰ ἔργα τῆς μετανοίας ἐκείνων τῶν τρισαθλίων ἀνθρώπων, οἵτινες ἢ διὰ φόβον, ἢ διὰ πλοῦτον, ἢ διὰ δόξαν, ἢ δι' ἄλλα σαρκικὰ θελήματα, καὶ σωματικὴν ἀνάπαυσιν ἀρνοῦνται τὸν Ἰησοῦν Χριστὸν, ἢ τὴν ὀρθοδοξίαν τῆς πίστεως, εἶτα μετανοήσαντες προσέρχονται πάλιν εἰς τὴν Ἐκκλησίαν· ἐὰν συλλογισθῇς τὴν τούτων μετάνοιαν καὶ τὴν τοῦ Πέτρου, οὐδεμίαν εὑρίσκεις ἐλπίδα διὰ τὴν τούτων σωτηρίαν.

Τὰ προειρημένα παραδείγματα, καὶ ἄλλα ἀναρίθμητα διδάσκουσιν ἡμᾶς τὸ, ὅτι οὐδεμία ἁμαρτία νικᾷ τῆς μετανοίας τὴν δύναμιν. Πορνείας, μοιχείας, φόνους, διωγμοὺς, ἄρνησιν πίστεως, (τὸ βαρύτατον πάντων τῶν ἁμαρτημάτων) καὶ πᾶσαν ἄλλην ἁμαρτίαν ἰατρεύει τῆς μετανοίας τὸ βάλσαμον. Ὁ ἰατρὸς, ὅταν καλῶς γνωρίζῃ τῆς ἀσθενείας τὸ βότανον, ἔχει μὲν βεβαίαν τὴν ἐλπίδα τῆς ἰατρείας τοῦ ἀσθενοῦς, φοβεῖται δὲ μόνον, μήπως ἢ τὸ βότανον κακῶς κατασκευασθῇ, ἢ δοθῇ εἰς καιρὸν ἀνάρμοστον, διότι, κἂν αὐτὸ ἀναμφιβόλως ὑπάρχῃ τῆς ἀσθενείας ἐκείνης τὸ ἀντιφάρμακον, ἐὰν ὅμως ἢ κακῶς κατασκευασθῇ, ἢ μὴ δοθῇ εἰς τὸν ἁρμόδιον καιρὸν, τότε ἢ οὐδὲν ὠφελεῖ, ἢ ἀντὶ ὠφελείας προξενεῖ βλάβην. Συναδελφοί μου ἁμαρτωλοὶ, ἡμεῖς πάνυ καλῶς γνωρίζομεν, ὅτι ἓν καὶ μόνον ἐστὶ τὸ ἀναμφίβολον καὶ βέβαιον θεραπευτικὸν βότανον τῆς ἁμαρτίας, ἡ μετάνοια· αὐτὴν ὥρισεν ὁ φιλανθρωπότατος Θεὸς ἰατρικὸν πάσης ἀσθενείας, παντὸς πάθους, πάσης πληγῆς καὶ μώλωπος τῆς ψυχῆς ἡμῶν. Ἡ μετάνοια ἰατρεύει πάσας τὰς ἁμαρτίας, καὶ ἐξαλείφει καὶ αὐτὰ τὰ ἴχνη τῶν ἀνομιῶν·
Καὶ ἐὰν ὦσιν αἱ ἁμαρτίαι ὑμῶν Ἡσ. α'. 18.
ὡς φοινικοῦν, ὡς χιόνα λευκανῶ· ἐὰν δὲ ὦσιν ὡς κόκκινον, ὡς ἔριον λευκανῶ. Ἡ μετάνοια ἐστὶν ὁ λιμὴν, τὸν ὁποῖον ἡ εὐσπλαγχνία τοῦ Θεοῦ ἡτοίμασεν εἰς πάντας τοὺς χειμαζομένους ὑπὸ τῶν ἁμαρτιῶν αὐτῶν. Ὅστις πιστεύει εἰς τὸν Ἰησοῦν Χριστὸν, ἐκεῖνος οὐδόλως περὶ τούτου ἀμφιβάλλει, δύω ὅμως τινὰ καθ' ὑπερβολὴν φοβερίζουσιν ἡ-

ἡμᾶς τὴν στέρησιν τῆς εἰσόδου καὶ ἀπολαύσεως τούτου τοῦ θεοκατασκευάστου καὶ σωτηρίου τῆς μετανοίας λιμένος. Πρῶτον, μήπως, ὅταν ἡμεῖς ἀναβάλλωμεν τὸν τῆς μετανοίας καιρὸν διὰ τοῦ σήμερον καὶ αὔριον, προφθάσῃ ἐξαίφνης ἡ ὥρα τοῦ θανάτου, εἰς τὴν ὁποίαν τῆς μετανοίας τὸ βάλσαμον μένει ἀργὸν καὶ ἄπρακτον, ἢ, ἐπειδὴ οὐδόλως ἔχομεν καιρὸν, ἢ, ἐπειδὴ ἐκεῖνος ὁ ὀλίγος καιρὸς, οὐκ ἔστιν ἁρμόδιος διὰ τὴν μετάνοιαν. Δεύτερον δὲ, μήπως συχνὰ μὲν μετανοῶμεν, οὐδέποτε δὲ ὡς πρέπει· μετανοοῦμεν συχνὰ, ἀλλὰ πότε μὲν ὡς ὁ Κάϊν, πότε δὲ ὡς ὁ Σαοὺλ, πότε δὲ ὡς ὁ Ἰούδας, καὶ ἄλλοτε ὡς ὁ Φαραώ· ὅθεν ἡ τοιαύτη μετάνοια οὐκ ὠφελεῖ, ἀλλὰ βλάπτει.

Πᾶσα ἁμαρτία ἐστὶ κακὸν βάρους ἀπείρου, ἐπειδὴ ἐστι καταφρόνησις τῶν νόμων τοῦ ἀπείρου Θεοῦ· ἡ μετάνοιά ἐστι τούτου τοῦ ἀπείρου κακοῦ τὸ βέβαιον ἀντιφάρμακον· οὐχὶ ὅμως πᾶσα μετάνοια, ἀλλ' ἡ μετάνοια ἡ ἀληθινὴ, ἡ μετάνοια, ἥτις γίνεται καθὼς πρέπει, καὶ ὅταν πρέπῃ. Ἐὰν μετανοήσωμεν ὡς ἡ Πόρνη, ὡς ὁ Τελώνης, ὡς ὁ Δαβὶδ, ὡς ὁ Παῦλος, ὡς ὁ Πέτρος, ὡς ὁ σημερινὸς Ζακχαῖος, ἤγουν μετὰ κατανύξεως καὶ δακρύων, μετὰ τελείας τῶν ἁμαρτημάτων ἀποχῆς, μετὰ τῶν καρπῶν τῆς μετανοίας, τότε ἡ μετάνοια ἡμῶν ἐστὶν εὐπρόσδεκτος εἰς τὸν Θεὸν, τότε λαμβάνομεν τὴν ἄφεσιν τῶν ἁμαρτιῶν, καὶ τὴν σωτηρίαν τὴν αἰώνιον.

Ἀλλ' ἐγὼ, λέγεις, μετανοῶ ὡς ὁ Λῃστὴς, λέγω καὶ ἐγὼ εἰς τὴν ὥραν τοῦ θανάτου μου τὸ, Μνήσθητί μου Κύριε, ὅταν ἔλθῃς ἐν τῇ βασιλείᾳ σου, καὶ κληρονομῶ, ὥσπερ ἐκεῖνος, τὸν παράδεισον. Λουκ. κγ'. 42. Ἐὰν καὶ σὺ κρέμασαι εἰς τὸν σταυρὸν, ὥσπερ ὁ Λῃστὴς, καὶ ἑπομένως οὐκ ἔχῃς καιρὸν, ἵνα δείξῃς τῆς μετανοίας τοὺς καρποὺς, ἢ κἂν, ἐὰν ἔχῃς βεβαιότητα, ὅτι εἰς τὴν ἐσχάτην ὥραν τοῦ θανάτου σου μετανοεῖς ὡς ὁ Λῃστὴς, καλῶς ἔχει, ἡσύχαζε καὶ ἀναπαύου· ἐὰν δὲ οὐκ οἶδας, οὐδὲ εἰς ποῖον καιρὸν προφθάνει σε ὁ θάνατος, οὐδὲ εἰς ποίαν περίστασιν καὶ διάθεσιν εὑρίσκει σε ἡ φοβερὰ ὥρα τοῦ θανάτου σου, πῶς ἡσυχάζεις, καὶ κοιμᾶσαι; πῶς παραβάλλεις σεαυτὸν τῷ Λῃστῇ; διατί θεμελιοῖς τὴν ἐλπίδα τῆς σωτηρίας σου ἐπάνω εἰς τὴν σωτηρίαν τοῦ Λῃστοῦ, ὅταν μόνος βλέπῃς καὶ διακρίνῃς, ὅτι αἱ περιστάσεις σου διαφέρουσιν ἀπὸ τῶν περιστάσεων ἐκείνου, ὅσον διαφέρει ὁ οὐρανὸς ἀπὸ τῆς γῆς;

Ἀδελφοὶ, μὴ πλανώμεθα· ὅστις ἡ μετανοεῖ, ἀλλ' οὐδὲ τὴν ἁμαρτίαν ἀποστρέφεται, οὐδὲ τῆς μετανοίας τὰ ἔργα ποιεῖ· ἢ διαφόρους προφάσεις προφασιζόμενος, διὰ τοῦ σήμερον καὶ αὔριον ἀναβάλλει τὸν καιρὸν τῆς μετανοίας· ἢ ἀποφασιστικῶς περιμένει τὴν ὥραν τοῦ θανάτου, ἵνα μετανοήσῃ· ἐκεῖνος κακῶς πραγματεύεται τὰ ἀπραγμάτευτα καὶ θεῖα πράγματα, καὶ παίζων τὰ ἄπαικτα, βάλλει εἰς τὸν ἔσχατον κίνδυνον τῆς ψυχῆς αὐτοῦ τὴν σωτηρίαν, διότι, Θεὸς οὐ Γαλ. ς'. μυκτηρίζεται· Ὃ γὰρ ἐὰν σπείρῃ ἄνθρωπος, τοῦτο καὶ θερίσει. 7.

# ΕΡΜΗΝΕΙΑ

ΕΙΣ ΤΟ ΚΑΤΑ

# ΛΟΥΚΑΝ

## ΕΥΑΓΓΕΛΙΟΝ ΤΗΣ ΙϚ'. ΚΥΡΙΑΚΗΣ.

Ὅσαι ἀρεταὶ, καὶ ὅσα ἁμαρτήματα γίνονται διὰ τοῦ σώματος, ἐκεῖνα, ἐπειδὴ ὑποπίπτουσιν εἰς τὰς σωματικὰς αἰσθήσεις, καθεὶς εὔκολα καὶ ἀκούει αὐτὰ, καὶ βλέπει, καὶ, ἵνα οὕτως εἴπω, ψηλαφᾷ· ἡ δὲ ἀρετὴ καὶ ἡ κακία τῆς ψυχῆς, ἐπειδὴ, κρυπτομένη ἀπὸ τῶν σωματικῶν αἰσθήσεων, οὐδὲ φαίνεται, οὐδὲ ἀκούεται, διὰ τοῦτο καὶ αὐτὴ ἡ ψυχὴ δυσκόλως αὐτῆς αἰσθάνεται, καὶ αὐτὸς ὁ νοῦς δυσκόλως γνωρίζει καὶ διακρίνει τὸ βάρος αὐτῆς, καὶ τὴν ἐξ αὐτῆς φθοροποιὸν βλάβην. Ἡ ταπείνωσίς ἐστι διάθεσις τῆς ψυχῆς ἁγία καὶ σωτήριος· ἡ ὑπερηφάνεια ἐστὶ πάθος τῆς ψυχῆς πονηρὸν καὶ ὀλέθριον· διὸ δύσκολα κατανοοῦμεν καὶ διακρίνομεν πότε ἐσμὲν ταπεινοὶ, καὶ πότε ὑπερήφανοι. Ὁ παντεπόπτης Ἰησοῦς, εἰδὼς, ὅτι εἰς μὲν τὴν ὑπερηφάνειαν πάντες ἐσμὲν ἐπιῤῥεπεῖς, εἰς δὲ τὴν ταπείνωσιν ἀδιάθετοι, διὰ τῆς Παραβολῆς τοῦ σημερινοῦ Εὐαγγελίου περιέγραψε τοῦ ὑπερηφάνου καὶ τοῦ ταπεινοῦ τὰ ἐξωτερικὰ καὶ σωματικὰ σημεῖα, καὶ τῆς ὑπερηφανείας τὴν βλάβην, καὶ τῆς ταπεινοφροσύνης τὴν ὠφέλειαν, ἵνα, ἀποστραφέντες τὴν ὑπερηφάνειαν, ἀσπασώμεθα τὴν ταπείνωσιν. Πάντες οἱ ἄνθρωποι μεγάλην χρείαν ἔχομεν τούτου τοῦ ἁγίου μαθήματος, οὐδεὶς δὲ δύναται εἰπεῖν, Οὐκ ἔχω χρείαν ταύτης τῆς θείας διδασκαλίας. Ἡμεῖς οὖν ἀφιεροῦμεν τὸν λόγον εἰς τὴν ἐξήγησιν αὐτῆς, ὑμεῖς δὲ προσηλώσατε τὸν νοῦν εἰς τὴν τῆς ἐξηγήσεως κατανόησιν.

Εἶπεν ὁ Κύριος τὴν Παραβολὴν ταύτην· Ἄνθρωποι δύω ἀνέβησαν εἰς τὸ Ἱερὸν προσεύξασθαι· ὁ εἷς Φαρισαῖος, καὶ ὁ ἕτερος Τελώνης. Λουκ. ιη. 10.

Διατί, τὸ μάθημα τὸ τοσοῦτον ἀναγκαῖον διὰ τὴν σωτηρίαν τοῦ ἀνθρώπου, οὐ διὰ διδακτικῶν λόγων, ἀλλὰ διὰ Παραβολῆς ἐδίδαξεν ὁ θεάνθρωπος Ἰησοῦς; Διότι ἡ Παραβολή ἐστιν εἰκὼν τῶν πραγμάτων, ἥτις, ὅταν ἐκτυπωθῇ διὰ λαμπρῶν καὶ καθαρῶν χρωμάτων, τότε παρίστησιν αὐτὰ τὰ πράγματα ἐνώπιον τῶν ὀφθαλμῶν ἡμῶν καθαρώτερα τῶν διδακτικῶν λόγων· τότε φαίνεταί σοι, ὅτι οὐκ ἀκούεις, ἀλλὰ βλέπεις τὰ πράγματα, τὰ ὑπ' αὐτῆς διδασκόμενα· διὸ καὶ προσεκτικωτέρους ποιεῖ τοὺς ἀκροατὰς, καὶ μετὰ περισσοτέρας εὐκολίας καὶ ἡδονῆς εἰσέρχεται ἡ διδασκαλία αὐτῆς εἰς τὴν τούτων καρδίαν· βλέπομεν δὲ τοῦτο φανερὰ εἰς τὴν σήμερον ἀναγνωσθεῖσαν Παραβολήν. Οἱ Φαρισαῖοι, πονηροὶ ὄντες καὶ ὑποκριταὶ, ἔκρυπτον μὲν τὰς ἑαυτῶν ἁμαρτίας, ἐδημοσίευον δὲ πᾶσαν ὑποκριτικὴν ἀρετὴν αὐτῶν, πάντα τὰ Ματ. κγ'. 5.
ἔργα αὐτῶν ποιοῦντες πρὸς τὸ θεαθῆ-

θῆναι τοῖς ἀνθρώποις· ὅθεν πάντες ἐνόμιζον αὐτοὺς ἐναρέτους καὶ δικαίους. Ἐπειδὴ δὲ οἱ Τελῶναι ἦσαν ἐκεῖνοι, οἵτινες, συλλέγοντες τὰ βασιλικὰ δόσιμα, πολλὰς ἐποίουν ἀδικίας, καὶ ἁρπαγὰς, καὶ καταδυναστείας, διὰ τοῦτο πάντες ἐλογίζοντο αὐτοὺς ἁμαρτωλοὺς καὶ ἀδίκους. Κατὰ τὴν τότε οὖν κοινὴν γνώμην λαμβάνει ὁ Κύριος τὸν μὲν Φαρισαῖον, σημαίνοντα τὸν ἐνάρετον καὶ δίκαιον ἄνθρωπον, τὸν δὲ Τελώνην, δηλοῦντα τὸν ἁμαρτωλὸν καὶ ἄδικον· Δύω ἄνθρωποι, λέγει, ἀνέβησαν εἰς τὸ Ἱερὸν, ἵνα ἐκεῖ προσευχηθῶσι· τούτων ὁ μὲν εἷς ἦν Φαρισαῖος, ἤγουν δίκαιος, ὁ δὲ ἄλλος, Τελώνης, τουτέστιν ἁμαρτωλός.

Λουκ. ιη΄. 11. **Ὁ Φαρισαῖος σταθεὶς πρὸς ἑαυτὸν, ταῦτα προσηύχετο· Ὁ Θεὸς εὐχαριστῶ σοι, ὅτι οὐκ εἰμὶ ὥσπερ οἱ λοιποὶ τῶν ἀνθρώπων, ἅρπαγες, ἄδικοι, μοιχοὶ, ἢ καὶ ὡς οὗτος ὁ Τελώνης.**

Τρία εἰσὶ τῆς προσευχῆς τὰ εἴδη· Δοξολογία, δι' ἧς δοξολογοῦμεν τὸν Θεὸν διὰ τὰ θαυμαστὰ καὶ ἐξαίσια αὐτοῦ ἔργα· Εὐχαριστία, δι' ἧς εὐχαριστοῦμεν αὐτῷ διὰ τὰς πρὸς ἡμᾶς εὐεργεσίας αὐτοῦ· Δέησις, δι' ἧς παρακαλοῦμεν αὐτὸν, καὶ ζητοῦμεν παρ' αὐτοῦ τὰ πρὸς σωτηρίαν· εὐχαριστία οὖν φαίνεται ἡ προσευχὴ τοῦ Φαρισαίου, καὶ καλῶς μὲν ἤρξατο αὐτός· ἐστάθη εἰς τὸ Ἱερὸν, καὶ
Ὅρα Μάρκ. θ΄. 10, 33. καὶ ἰ. 26. καὶ ιδ΄. 4. καὶ ιε΄. 3. πρὸς ἑαυτὸν, ἤγουν καθ' ἑαυτὸν, ἢ ἐν ἑαυτῷ, τουτέστι κατὰ μόνας προσηύχετο, λέγων· Ὁ Θεὸς εὐχαριστῶ σοι, ἔπειτα οὐκ εὐχαρίστησε τὸν Θεὸν, ἀλλὰ, κατακρίνας πάντας τοὺς ἀνθρώπους, ἐπῄνεσεν ἑαυτόν· οὐκ εἶπεν, Εὐχαριστῶ σοι, Θεέ μου, ὅτι κατηξίωσάς με τῆς χάριτός σου, ἥτις διεφύλαξέ με ἀπὸ πάσης ἁμαρτίας, ἀλλ' ἐσφετερίσθη τῆς χάριτος τοῦ Θεοῦ τὸ ἔργον, καὶ ἀπέδωκεν ὅλον τῆς ἀρετῆς αὐτοῦ τὸ κατόρθωμα εἰς τὰς ἑαυτοῦ δυνάμεις, ὑπερυψώσας ἑαυτὸν, καὶ ἐξουδενώσας πάντας τοὺς ἄλλους ἀνθρώπους· Οὐκ εἰμὶ ἐγὼ, εἶπεν, ἅρπαξ, ἄδικος, μοιχὸς, ὡς οἱ λοιποὶ ἄνθρωποι, ἢ καὶ ὡς οὗτος ὁ ἀδικητὴς καὶ δυνάστης Τελώνης· ταῦτα δὲ τὰ λόγια τί ἄλλο εἰσὶν, εἰμὴ ὑπερβολικὴ τῆς ψυχῆς αὐτοῦ ὑπερηφάνεια, ἐξ ἧς τὸ στόμα καὶ ἡ γλῶσσα αὐτοῦ ἐκαυχᾶτο, καὶ ἐμεγαλοῤῥημόνει; Ὁ μὲν Κύριος ἡμῶν εἶπε φανερά· Χωρὶς ἐμοῦ οὐ δύ- Ἰωάν. ιε΄. 5.
νασθε ποιεῖν οὐδέν· ὁ δὲ θεῖος αὐτοῦ Ἀπόστολος ἐβεβαίωσεν, ὅτι ὁ Θεὸς καὶ τὴν θέλησιν ἡμῶν στηρίζει εἰς τὸ ἀγαθὸν, καὶ τὴν πρᾶξιν τῆς ἀρετῆς ἐκτελεῖ· Ὁ Θεὸς γάρ ἐστιν, εἶπεν, ὁ ἐ- Φιλιπ. β΄. 13.
νεργῶν ἐν ὑμῖν καὶ τὸ θέλειν καὶ τὸ ἐνεργεῖν· ὁ δὲ Φαρισαῖος καὶ τὰ δύω ἥρπασεν ἀπὸ τῆς χειρὸς τοῦ Θεοῦ, καὶ ἀπένειμεν εἰς τὴν ἑαυτοῦ δύναμιν· πάντες οἱ ἄνθρωποί ἐσμεν ὁμοιοπαθεῖς, ὁ Φαρισαῖος ἐνόμιζεν ἑαυτὸν ἀπαθῆ, καὶ ὑπέρτερον τῆς ἀνθρωπίνης φύσεως. Βλέπε δὲ πῶς, κἂν ἐκαυχήθη, ὅτι ἐστὶν ἀνώτερος τῶν ἄλλων ἀνθρώπων, ὡς ἀπέχων ἀπὸ τῶν ἁμαρτημάτων τῶν τοὺς ἄλλους κατακυριευόντων, οὐκ ἐχόρτασεν ὅμως διὰ τούτου μόνου τὴν ὑπερηφάνειαν αὐτοῦ· γνωρίζων δὲ, ὅτι ἡ ἀρετὴ ἀπαρτίζεται οὐ μόνον, ὅταν ἀπέχωμεν ἀπὸ τῶν κακῶν, ἀλλ' ὅταν, ἀπέχοντες ἀπὸ τοῦ κακοῦ, ποιῶμεν τὸ ἀγαθὸν, κατὰ τὸ, Ἔκκλινον ἀπὸ κακοῦ, καὶ ποίη- Ψαλ. λγ΄. 14.
σον ἀγαθὸν, ἵνα δείξῃ ἑαυτὸν κατὰ πάντα τέλειον, καὶ πολλῷ ὑπέρτερον τῶν ἄλλων ἀνθρώπων καὶ κατὰ τὰ κατορθώματα τῆς ἀρετῆς αὐτοῦ, ἐκαυχήθη

καὶ

καὶ διὰ τὰς πράξεις τῶν καλῶν αὐτοῦ
ἔργων, εἰπών.

**Λουκ. ιη'. 12. Νηστεύω δὶς τοῦ σαββάτου,
ἀποδεκατῶ πάντα ὅσα κτῶ-
μαι.**

Σάββατον καὶ Σάββατα ὠνόμαζον
οἱ Ἰουδαῖοι τὴν ἑβδομάδα, ἐκλαμβάνον-
τες τὴν ἐπισημοτέραν αὐτῆς ἡμέραν, ἤ-
γουν τὴν ἡμέραν τοῦ Σαββάτου, ἀντὶ
ὅλης τῆς ἑβδομάδος· τοῦτο φανερόν ἐστιν
Λευϊτ. κε'. 8. ἐκ τοῦ Λευϊτικοῦ, λέγοντος· Καὶ ἐξα-
ριθμήσεις σεαυτῷ ἑπτὰ ἀναπαύ-
σεις (ἑπτὰ σάββατα) ἐτῶν, ἑπτὰ
ἔτη ἑπτάκις· καὶ ἔσονταί σοι ἑπ-
τὰ ἑβδομάδες ἐτῶν ἐννέα καὶ τεσ-
σαράκοντα ἔτη· ὁμοίως φανερόν ἐστι
καὶ ἐκ τῶν ἁγίων Εὐαγγελιστῶν Μάρ-
κου, καὶ Λουκᾶ, διότι ὁ μὲν Μάρκος εἶ-
Μάρκ. ιϚ'. 9. πεν. Ἀναστὰς δὲ πρωῒ πρώτῃ
Λουκ. κδ'. 1. σαββάτου, ὁ δὲ Λουκᾶς, Τῇ μιᾷ τῶν
σαββάτων, ἤγουν τῇ πρώτῃ ἡμέρᾳ τῆς
ἑβδομάδος, ἥτις ἐστὶν ἡ ἡμέρα, ἡ ὀνομα-
ζομένη ὑπὸ τῶν Χριστιανῶν Κυριακή.
Κατὰ παράδοσιν δὲ καὶ συνήθειαν καὶ
οὐ κατ' ἐντολὴν ἐνήστευον οἱ Ἰουδαῖοι δὶς
τῆς ἑβδομάδος, τῇ δευτέρᾳ, καὶ τῇ πέμ-
πτῃ, ἐπειδὴ ἐπίστευον, ὅτι ὁ Μωϋσῆς
τῇ μὲν πέμπτῃ ἀνέβη, τῇ δὲ δευτέρᾳ
κατέβη ἀπὸ τοῦ ὄρους Σινᾶ· κατὰ δὲ
προσταγὴν τοῦ Μωσαϊκοῦ νόμου χρέος
εἶχον, ἵνα προσφέρωσι τῷ Θεῷ κατὰ
πᾶν ἔτος τὸ δέκατον μέρος τῶν καρπῶν
Λευϊτ. κζ'. 30. τῆς γῆς· Πᾶσα δεκάτη τῆς γῆς, ἀ-
πὸ τοῦ σπέρματος τῆς γῆς, καὶ
τοῦ καρποῦ τοῦ ξυλίνου, τῷ Κυ-
ρίῳ ἐστὶν, ἅγιον τῷ Κυρίῳ· καὶ
ταῦτα μὲν ἐγράφησαν εἰς τὸ Λευϊτικὸν,
τὸ δὲ βιβλίον τοῦ Δευτερονομίου διδάσκει
Δευτ. ιδ'. 22. τὰ ἑξῆς· Δεκάτην ἀποδεκατώσεις
παντὸς γεννήματος τοῦ σπέρμα-
τός σου, τὸ γέννημα τοῦ ἀγροῦ
σου ἐνιαυτὸν κατ' ἐνιαυτόν. Οἴσε- Δευτ. ιδ'. 23.
τε τὰ ἐπιδέκατα τοῦ σίτου σου,
καὶ τοῦ οἴνου σου, καὶ τοῦ ἐλαίου
σου. Ἐκ τῶν λόγων τούτων βλέπομεν,
ὅτι οἱ Ἑβραῖοι οὐκ ἐχρεώστουν τῷ Θεῷ
τὸ δέκατον πάντων τῶν πραγμάτων αὐ-
τῶν, παραδείγματος χάριν, καὶ τοῦ γά-
λακτος, καὶ τοῦ τυροῦ, καὶ τοῦ βουτύ-
ρου, καὶ ἄλλων πραγμάτων· οὗτος δὲ ὁ
Φαρισαῖος ἐκαυχᾶτο, ὅτι νηστεύει δὶς
τῆς ἑβδομάδος· Νηστεύω δὶς τοῦ σαβ-
βάτου, καὶ ὅτι προσέφερε τῷ Θεῷ τὸ
δέκατον, οὐ μόνον τῶν ὑπὸ τοῦ νόμου
διορισθέντων πραγμάτων, ἀλλὰ πάντων,
ὧν εἶχεν· Ἀποδεκατῶ πάντα ὅσα
κτῶμαι· ἐδείκνυε δὲ διὰ τούτων τῶν
λόγων, ὅτι καὶ εἰς τὰ ἔργα τῆς ἀρετῆς
ὑπερεῖχε τοὺς ἄλλους ἀνθρώπους. Βλέ-
πε δὲ πῶς ἀντιπαρατίθησι τὰς ἀντιθέ-
τους ἀρετὰς εἰς τὰ ὑπ' αὐτοῦ ἀριθμη-
θέντα ἁμαρτήματα, ἐναντίον μὲν τῆς
μοιχείας ἔθηκε τὴν νηστείαν, ὡς δαμά-
τειραν τῶν σαρκικῶν παθῶν· ἐναντίον
δὲ τῆς ἁρπαγῆς καὶ τῆς ἀδικίας, τὴν ἀ-
ποδεκάτωσιν πάντων τῶν ὑπαρχόντων αὐ-
τοῦ. Ἠκούσατε τοῦ ὑπερηφάνου Φαρι-
σαίου τὴν ὑπερηφάνειαν, ἀκούσατε νῦν
καὶ τοῦ ταπεινόφρονος Τελώνου τὴν τα-
πείνωσιν.

**Καὶ ὁ Τελώνης μακρόθεν ἑ- Λουκ. ιη'. 13.
στὼς, οὐκ ἤθελεν οὐδὲ τοὺς
ὀφθαλμοὺς εἰς τὸν οὐρανὸν
ἐπᾶραι, ἀλλ' ἔτυπτε τὸ στῆ-
θος αὐτοῦ, λέγων· Ὁ Θεὸς,
ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ.**

Ἔστη μὲν καὶ ὁ Τελώνης εἰς τὸ
Ἱερὸν, καθὼς καὶ ὁ Φαρισαῖος, πλὴν
μακρόθεν, ἤγουν μακρὰν τοῦ θυσιαστη-
ρίου,

ρίου, ἐπειδὴ ἐνόμιζεν ἑαυτὸν ἀνάξιον ἐγγίσαι εἰς τοῦ Θεοῦ τὸ θυσιαστήριον· κλίνας δὲ τὴν κεφαλὴν αὐτοῦ ἐπὶ τὰ κάτω, οὐκ ἤθελεν οὐδὲ κἂν ὑψῶσαι τὰ ὄμματα αὐτοῦ, καὶ ἰδεῖν τὸν οὐρανὸν, λογιζόμενος, ὅτι οἱ ὀφθαλμοί αὐτοῦ, οἱ προλαβὸν ὅλως δι' ὅλου προσηλωθέντες εἰς τὰ γήϊνα πράγματα, οὐκ ἦσαν ἄξιοι ἀτενίσαι καὶ ἰδεῖν τὸν οὐρανὸν, ὅστις ἐστὶ θρόνος τοῦ Θεοῦ· ἔτυπτε δὲ τὸ στῆθος αὐτοῦ, ὡς δοχεῖον τῶν ἀνομιῶν αὐτοῦ, δεικνύων διὰ τούτου, ὅτι διὰ τὰς ἁμαρτίας αὐτοῦ πολλῆς καταδίκης καὶ τιμωρίας ἐστὶν ἄξιος· ἐκραύγαζε δὲ μεγαλοφώνως, κηρύττων ἑαυτὸν ἁμαρτωλὸν, καὶ ζητῶν τοῦ Θεοῦ τὸ ἔλεος· Θεέ μου, ἔλεγεν, ἐλέησόν με, γενοῦ ἵλεως εἰς τὸ πλῆθος τῶν ἁμαρτιῶν μου· Ὁ Θεὸς, ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ. Πάντα, καὶ ἡ τοποθεσία, ἐν ᾗ ἐστάθη, καὶ τῆς κεφαλῆς ἡ ἐπὶ τὰ κάτω νεῦσις, καὶ τοῦ στήθους τὰ κτυπήματα, καὶ τὰ ἐκφωνηθέντα λόγια, τὸ βάθος τῆς ταπεινώσεως αὐτοῦ ἱκανῶς δηλοποιοῦσιν. Ἀκούσατε δὲ νῦν καὶ ὅλον τῆς Παραβολῆς τὸν σκοπόν.

Λουκ. ιη. 14. Λέγω ὑμῖν, κατέβη οὗτος δεδικαιωμένος εἰς τὸν οἶκον αὐτοῦ, ἢ ἐκεῖνος· ὅτι πᾶς ὁ ὑψῶν ἑαυτὸν, ταπεινωθήσεται· ὁ δὲ ταπεινῶν ἑαυτὸν, ὑψωθήσεται.

Τὸ, ἢ ἐκεῖνος, κατὰ μὲν τὸν λόγον τῆς συντάξεως, σημαίνει τὸ μᾶλλον ἢ ἐκεῖνος, ἤγουν περισσότερον ἐκείνου, ὅπερ ἐστὶν, ὅτι καὶ οἱ δύω ἐδικαιώθησαν, ὁ Τελώνης ὅμως ἐδικαιώθη περισσότερον τοῦ Φαρισαίου· κατὰ δὲ τὴν ἔννοιαν τοῦ λόγου, τὸ, ἢ, ἐκεῖνος, σημαίνει, καὶ οὐχὶ ἐκεῖνος, ἤγουν κατέβη ἀπὸ τοῦ Ἱεροῦ εἰς τὸν οἶκον αὐτοῦ ὁ Τελώνης, ὁ ἁμαρτωλὸς καὶ ταπεινὸς, δεδικαιωμένος, οὐχὶ δὲ ὁ Φαρισαῖος, ὁ δίκαιος καὶ ὑπερήφανος. Ὁ Τελώνης, ἁμαρτωλὸς ὢν, διὰ τῆς ταπεινοφροσύνης ἐδικαιώθη, ὁ δὲ Φαρισαῖος, ἐνάρετος ὢν, διὰ τῆς ὑπερηφανείας κατεκρίθη. Ὅτι δὲ τοιαύτην ἔννοιαν ἔχει τὸ, ἢ ἐκεῖνος, πείθουσιν ἡμᾶς πρῶτον μὲν τὰ ἀκόλουθα τοῦ λόγου· Ὅτι πᾶς ὁ ὑψῶν ἑαυτὸν, ταπεινωθήσεται· κατὰ τίνα δὲ ἄλλον τρόπον ταπεινωθήσεται, εἰ μὴ ὑπὸ Θεοῦ κατακριθείς τε καὶ καταδικασθείς; δεύτερον δὲ ὁ ἐκ παραλλήλου ἄλλος λόγος τοῦ Θεοῦ, ὁ λέγων· Κύριος ὑπερηφάνοις ἀντιτάσσεται, ταπεινοῖς δὲ δίδωσι χάριν· ὅστις ἔχει ἀντίδικον τὸν Θεὸν, καὶ κατ' αὐτοῦ ἀντιφερόμενον, ἐκεῖνος οὐδὲ πολὺ, οὐδὲ ὀλίγον ἐστὶ δεδικαιωμένος, κατάδικος δέ ἐστι καὶ κατακεκριμένος· ἐπιβεβαιοῖ δὲ τὴν τοῦ Φαρισαίου κατάκρισιν καὶ ἡ Ἐκκλησία, ψάλλουσα περὶ αὐτοῦ καὶ τοῦ Τελώνου· Ἀλλ' ὁ μὲν, καυχησάμενος, ἐστερήθη τῶν ἀγαθῶν· ὁ δὲ, μὴ φθεγξάμενος, ἠξιώθη τῶν δωρεῶν.

Παροιμ. γ. 34.

# ΟΜΙΛΙΑ

ΜΕΤΑ ΤΟ ΚΑΤΑ

# ΛΟΥΚΑΝ

## ΕΥΑΓΓΕΛΙΟΝ ΤΗΣ ΙϚʹ. ΚΥΡΙΑΚΗΣ.

Μεγάλη ἀληθῶς, καὶ πολλὰ ὠφέλιμος τῆς ταπεινοφροσύνης ἡ ἀρετή! Ἐὰν μὲν στοχασθῇς πόσην ὠφέλειαν ἔχει ὁ ταπεινὸς εἰς τοῦτον τὸν πρόσκαιρον κόσμον, θαυμάζεις, καὶ ἀπορεῖς· ὁ ὑπερήφανος ζητεῖ ἔπαινα καὶ πρωτεῖα, θέλει τιμὰς καὶ προσκυνήματα, παρατηρεῖ τὰ δεξιὰ, καὶ ἀριστερὰ, καὶ τὰς πρωτοκαθεδρίας, ζυγοστατεῖ πάντα λόγον, καὶ ἐξετάζει τὴν ἀξίαν παντὸς προσώπου· ὅθεν, ὅπου οὐχ εὑρίσκει τὰ ὑπὸ τῆς ὑπερηφανείας αὐτοῦ ζητούμενα, καὶ τὰ κολακεύοντα τὴν ὑπερήφανον αὐτοῦ γνώμην, δυσαρέσκεται καὶ ἀγανακτεῖ, πολλάκις δὲ καὶ περιφρονῶν καὶ ὑβρίζων, φεύγει ἐκεῖθεν· πόσαι κολακεῖαι, πόσαι δεήσεις, πόσα προσκυνήματα ἀναγκαῖά εἰσιν, ἵνα μικρᾶς τινὸς εὐεργεσίας αὐτοῦ ἀπολαύσῃς; ἐὰν δὲ αὐτὸς χρείαν ἔχῃ εὐεργεσίας, ἐπειδὴ, διὰ τὴν ὑπερηφάνειαν αὐτοῦ, οὐ καταδέχεται ὑποκλῖναι τὴν κεφαλὴν αὐτοῦ, καὶ προσκυνῆσαι τὸν δυνάμενον εὐεργετῆσαι αὐτὸν, διὰ τοῦτο μένει ἐστερημένος τῆς εὐεργεσίας· διὰ ταῦτα οὖν ὁ ὑπερήφανος γίνεται δυσάρεστος, δυσπρόσιτος, μισητὸς, φευκτὸς, καὶ ἄχρηστος. Ὁ ταπεινὸς ἄνθρωπος, ἐπειδὴ οὐδὲ τιμὰς ζητεῖ, οὐδὲ προσκυνήσεις, οὐδὲ ἔπαινα, οὐδὲ πρωτεῖα θέλει, οὐδὲ τόπους παρατηρεῖ, οὐδὲ λόγια, οὐδὲ πρόσωπα, ἀναπαύεται εἰς πάντα τόπον, ἀρέσκεται εἰς πᾶσαν συναναστροφὴν, καὶ ὑποφέρει ἀνδρείως καὶ τὰ μὴ ἀνήκοντα εἰς τὴν τάξιν αὐτοῦ καὶ ἀξίαν· γίνεται χρήσιμος χωρὶς κολακείας καὶ ἐπαίνων, εὐεργετεῖ ὅσον δύναται χωρὶς πολλῶν δεήσεων, καὶ προσκυνημάτων· ὅταν δὲ αὐτὸς χρείαν ἔχῃ τινὸς πράγματος, εὔκολα τούτου ἀπολαμβάνει, ἐπειδὴ εὔκολα, διὰ τὴν ταπείνωσιν τῆς καρδίας αὐτοῦ, τὸν καθένα καὶ παρακαλεῖ, καὶ ἐὰν ἡ ἀνάγκη τοῦτο ζητῇ, προσκυνεῖ καὶ ἕως ἐδάφους τῆς γῆς, ὅθεν πάντοτε καὶ ἥσυχός ἐστι, καὶ πρᾶος, καὶ εὐπρόσιτος, καὶ φίλος, καὶ ὑπὸ πάντων ἀγαπώμενος· καὶ αὐτοὶ δὲ οἱ ὑπερήφανοι μισοῦσι μὲν τοὺς ὑπερηφάνους, ἀγαπῶσι δὲ τοὺς ταπεινόφρονας· ἐκ τούτου ὁ ταπεινὸς εὔκολα ἀπολαμβάνει τὰς περιποιήσεις, καὶ χάριτας, καὶ εὐεργεσίας τῶν ἀνθρώπων.

Ἐὰν δὲ συλλογισθῇς τὴν ψυχικὴν τοῦ ταπεινοῦ ὠφέλειαν, εὑρίσκεις εἰς αὐτὸν τόσα χαρίσματα, καὶ τόσα θεῖα δῶρα, ὥστε ἐκστατικὸς μένει ὁ νοῦς σου. Ὁ θυμός ἐστιν υἱὸς τῆς ὑπερηφανείας· αὐτός σε κυριεύει, ἢ διατί νομίζεις, ὅτι κατεφρονήθης, ἢ διατί στοχάζεσαι, ὅτι οὐχ ὑπηρετήθης καθὼς σοι πρέπει· διὰ τοῦτο οἱ ὑπερήφανοί εἰσι θυμώδεις καὶ ὀργίλοι, ταπεινὸς δὲ ἄνθρωπος οὐδέποτε ἐφάνη δοῦλος τοῦ θυμοῦ, ἢ τῆς ὀργῆς ὑπηρέτης· ὅστις ἐστὶ ταπεινὸς, ἐκεῖνός ἐστι καὶ πρᾶος τῇ καρδίᾳ· ἔχει λοιπὸν ὁ ταπεινὸς τοὺς δύω χαρακτῆρας τοῦ Ἰησοῦ Χριστοῦ, ἤγουν τὴν πρᾳότητα, καὶ τὴν ταπείνωσιν· Μάθετε ἀπ' ἐμοῦ, εἶπεν ὁ Κύριος, ὅτι πρᾶός εἰμι, καὶ ταπεινὸς τῇ καρδίᾳ. (Ματ. ια'. 29.) Μακάριος λοιπὸν ἐκεῖ-

κεῖνος ὁ ἄνθρωπος, ὅστις ἐκτήσατο τὸν ἀτίμητον τῆς ταπεινοφροσύνης θησαυρόν· αὐτὸς μέν ἐστιν εἰκὼν ζῶσα, καὶ ὁμοίωμα ἔμψυχον τοῦ Ἰησοῦ Χριστοῦ, ἡμεῖς δὲ, ἐνατενίζοντες εἰς αὐτὸν, βλέπομεν ἐν αὐτῷ τοῦ Κυρίου ἡμῶν τοὺς ἁγίους χαρακτῆρας· κερδαίνει δὲ ὁ ταπεινὸς κέρδος πολὺ καὶ μέγα· τὴν ἀνάπαυσιν κερδαίνει τῆς ψυχῆς αὐτοῦ· Μάθετε ἀπ' ἐμοῦ, ὅτι πρᾷός εἰμι, καὶ ταπεινὸς τῇ καρδίᾳ· καὶ εὑρήσετε ἀνάπαυσιν ταῖς ψυχαῖς ὑμῶν. Ὁποίαν δὲ ἀνάπαυσιν νοήσῃς, εἴτε τὴν πρόσκαιρον καὶ φθαρτὴν, εἴτε τὴν αἰώνιον καὶ ἄφθαρτον, ὀρθόν ἐστι τὸ νόημά σου, διότι ὁ ταπεινὸς ἄνθρωπος καὶ τῶν δύω ἀπολαμβάνει ἀναπαύσεων. Τοῦ ὑπερηφάνου ἡ καρδία εἰς τὴν πρόσκαιρον ταύτην ζωὴν οὐδέποτε ἔχει ἀνάπαυσιν, ἐπειδὴ οὐδέποτε δύναται νὰ ἀπολαύσῃ ὅσα ἡ ὑπερηφάνεια αὐτοῦ φαντάζεται· τοῦ ταπεινοῦ ἡ καρδία εἰς ταύτην τὴν ζωὴν ἔχει πᾶσαν ἡσυχίαν καὶ ἄνεσιν, ἐπειδὴ πολλὰ εὔκολα εὑρίσκει ὅσα ἡ ταπείνωσις αὐτοῦ ζητεῖ. Ὁ ὑπερήφανος εἰς τὴν μέλλουσαν ζωὴν οὐκ ἔχει ἄνεσιν, ἀλλ' οὐδὲ σωτηρίαν, ἐπειδὴ ὁ Θεὸς αὐτῷ ἀντιτάσσεται· ὁ ταπεινὸς ἐκεῖ εὑρίσκει τὴν τελείαν ἄνεσιν καὶ σωτηρίαν, ἐπειδὴ ἔχει
Παροιμ. γ'. 34. τοῦ Θεοῦ τὴν χάριν· Κύριος ὑπερηφάνοις ἀντιτάσσεται, ταπεινοῖς δὲ δίδωσι χάριν. Ἀκούσατε καὶ ἄλλο χάρισμα τοῦ ταπεινοῦ, ἵνα ἔτι μᾶλλον θαυμάσητε.

Ὁ οὐρανός ἐστιν ὁ θρόνος τοῦ Θεοῦ, ἐπειδὴ ἐν τῷ οὐρανῷ ἀκαταπαύστως δοξολογεῖ αὐτὸν πᾶσα ἡ ἐπουράνιος στρατιὰ τῶν ἀγγελικῶν δυνάμεων· μετὰ δὲ τὸν οὐρανὸν, θρόνον ἔχει τὴν καρδίαν τοῦ ταπεινοῦ, καὶ κατοικητήριον, ἐν ᾧ ἀναπαύεται. Ἰδοὺ, πῶς περὶ τούτου ἐλάλησεν ὁ Θεὸς διὰ στόματος τοῦ προ-
Ἡσ. ξϛ'. 1, 2. φήτου Ἡσαΐου· Ὁ οὐρανός μοι, εἶπε, θρόνος, καὶ ἡ γῆ ὑποπόδιον τῶν ποδῶν μου· ποῖον οἶκον οἰκοδομήσετέ μοι; καὶ ποῖος τόπος τῆς καταπαύσεώς μου; πάντα γὰρ ταῦτα ἐποίησεν ἡ χείρ μου, καὶ ἐστὶν ἐμὰ πάντα ταῦτα, λέγει Κύριος· Ἄνθρωποι, λέγει, ἐγὼ ἔχω θρόνον τὸν οὐρανὸν, καὶ ἡ γῆ ἐστὶν ὑποπόδιον τῶν ποδῶν μου· ἡ χείρ μου ἐποίησε τὰ πάντα, ὑπὸ τὴν ἐξουσίαν μου εἶσὶ πάντα τὰ ὁρατὰ καὶ ἀόρατα· ποῖον οἶκον δύνασθε οἰκοδομῆσαι ἄξιον δι' ἐμέ; ποῖος, νομίζετε ὑμεῖς, ὅτι ἐστὶ τόπος, εἰς ὃν ἐγὼ κατοικῶ καὶ ἀναπαύομαι; εἰς ποῖον ἄλλον τόπον ἐπιβλέπω ἐγὼ, ἢ ποῖος ἄλλος τόπος ἐστὶν ἄξιος τῆς καταπαύσεώς μου, εἰμὴ ἡ καρδία τοῦ ταπεινοῦ, ὅστις ἐστὶν ἥσυχος, καὶ πρᾷος, καὶ τρέμει τοὺς λόγους μου; Καὶ ἐπὶ τίνα ἐπιβλέψω, ἀλλ' ἢ ἐπὶ τὸν ταπεινὸν καὶ ἡσύχιον, καὶ τρέμοντα τοὺς λόγους μου;

Ἀπέδειξε δὲ ὁ Θεὸς ἐμπράκτως τὰ λόγια ταῦτα, ὅτε ἦλθε τὸ πλήρωμα τοῦ χρόνου. Ὅτε, διὰ τὴν ἄμε- Γαλ. δ'. 4.
τρον αὐτοῦ εὐσπλαγχνίαν, εὐδόκησεν ὁ Θεὸς ἐξαποστεῖλαι τὸν Υἱὸν αὐτοῦ εἰς τὸν κόσμον, ἵνα λάβῃ φύσιν ἀνθρωπίνην διὰ τὴν σωτηρίαν τῶν ἀνθρώπων, τότε εἰς οὐδένα ἄλλον ἐπέβλεψεν, εἰμὴ εἰς τὸν ταπεινὸν καὶ ἡσύχιον καὶ τοὺς λόγους αὐτοῦ τρέμοντα. Εἰς τὴν ἁγίαν παρθένον Μαρίαν ἐπέβλεψε, καὶ αὐτὴν ἐδιώρισεν, ἵνα δανείσῃ σάρκα εἰς τὸν ἄσαρκον Υἱὸν αὐτοῦ καὶ Λόγον· αὐτὴν ἐδιώρισε θρόνον αὐτοῦ καὶ κατοικητήριον· αὐτὴ ἐγένετο τόπος τῆς καταπαύσεως αὐτοῦ, αὐτὴ οἶκος τῆς θείας αὐτοῦ δόξης· ἐπ' αὐτὴν δὲ ἐπέβλεψεν, ἐπειδὴ αὐτὴ ἦν ἡ ὄντως ταπεινὴ, καὶ ἐπομένως αὐτὴ μόνη ἡ ἀξία τῆς τοσαύτης ὑψώσεως. Βλέπε δὲ τὸ βάθος τῆς ταπεινώσεως αὐτῆς· ὁ μὲν θεῖος Ἄγγελος ἀνήγ-

νήγγειλεν εἰς αὐτὴν, ὅτι ἔσεται μήτηρ
τοῦ Βασιλέως τῶν βασιλευόντων, τοῦ
Ἁγίου τῶν ἁγίων, τοῦ Δημιουργοῦ τῆς
Λουκ. ά. 35. κτίσεως, τοῦ Υἱοῦ τοῦ Θεοῦ· Διὸ, εἶ-
πε πρὸς αὐτὴν, καὶ τὸ γεννώμενον
ἐκ σοῦ ἅγιον, κληθήσεται Υἱὸς
Θεοῦ· αὐτὴ δὲ, μηδόλως λογιζομένη
τὸ ὕψος, εἰς τὸ ὁποῖον ἀνεβίβαζεν αὐ-
τὴν τὸ μητρικὸν ἀξίωμα, ἀπεκρίνατο
πρὸς τὸν Ἄγγελον, λέγουσα· Ἐγώ εἰμι
Αὐτ. 38. δούλη τοῦ Θεοῦ· Ἰδοὺ, ἡ δούλη Κυ-
ρίου· γένοιτό μοι κατὰ τὸ ῥῆμά
σου. Ἡ μακαρία Ἐλισάβετ φωνῇ με-
γάλῃ ἐχαιρέτιζε καὶ εὐλόγει αὐτὴν, καὶ
ἐμακάριζεν ὡς μητέρα τοῦ Θεοῦ, βοῶ-
Αὐτ. 43. σα· Καὶ πόθεν μοι τοῦτο, ἵνα ἔλ-
θῃ ἡ μήτηρ τοῦ Κυρίου μου πρός
με; αὐτὴ δὲ, μεγαλύνουσα τὸν Θεὸν,
καὶ ἀγαλλομένη τῷ πνεύματι, ἀπεκρί-
νατο πρὸς τὴν Ἐλισάβετ, ὅτι αὐτὴν ἠ-
ξίωσεν ὁ Θεὸς ταύτης τῆς ὑπερβαλλού-
σης χάριτος, ἐπειδὴ ἐπέβλεψεν εἰς τὴν
Αὐτ. 48. ταπείνωσιν αὐτῆς· Ὅτι ἐπέβλεψεν
ἐπὶ τὴν ταπείνωσιν τῆς δούλης
αὐτοῦ. Ὢ τοῦ θαύματος! ὅπου βάθος
ταπεινώσεως ἄμετρον, ἐκεῖ ἀνάβασις ὑ-
Αὐτ. ιή. 14. περυψώσεως ἀνεξιχνίαστος· Ὅτι πᾶς
ὁ ὑψῶν ἑαυτὸν, ταπεινωθήσεται·
ὁ δὲ ταπεινῶν ἑαυτὸν, ὑψωθήσε-
ται.

Ἀλλὰ διατί ἡ ταπείνωσις ἐστὶ τόσον προτετιμημένη; διατί αὐτὴ ἀναβιβάζει τὸν ἄνθρωπον εἰς τὰ ὕψη τῆς θείας δόξης καὶ λαμπρότητος; Πρῶτον μὲν, ἐπειδὴ ὁ Θεὸς ἐστὶ δίκαιος· αὐτὸς, πλάσας τὸν ἄνθρωπον λογικὸν, κατὰ δίκαιον λόγον θέλει, ἵνα αὐτὸς μετέρχηται τὸ λογικὸν αὐτοῦ χάρισμα εἰς διάκρισιν τῶν πραγμάτων, καὶ μηδὲν πράττῃ, μηδὲ λέγῃ ὡς ἄλογος καὶ ἀδιάκριτος· θέλει, ἐνὶ λόγῳ, ἵνα πᾶς ἄνθρωπος ὑπάρχῃ φρόνιμος, διὰ τοῦτο καὶ
Ματ. ί. 16. παρήγγειλε τὸ, Γίνεσθε οὖν φρόνι-
μοι, ὡς οἱ ὄφεις. Ἐὰν δὲ περιερευνήσῃς τὰ πράγματα ὡς πρέπει, βλέπεις φανερὰ, ὅτι ὁ μὲν ὑπερήφανός ἐστι μωρὸς, ὁ δὲ ταπεινός ἐστι φρόνιμος. Πάντα τὰ ἀγαθὰ, διὰ ὅσα ὁ μὲν ὑπερήφανος ὑψηλοφρονεῖ, ὁ δὲ ταπεινὸς ταπεινοφρονεῖ, μερίζονται εἰς τέσσαρα εἴδη· εἰς ἀγαθὰ φυσικὰ, ὁποῖά εἰσιν ἡ εὐφυΐα, ἡ ὡραιότης, ἡ ἀνδρεία, καὶ τὰ ὅμοια· εἰς ἀγαθὰ κτητὰ, ὁποῖά εἰσιν ἡ ἐπιστήμη, ἡ σοφία, ἡ τέχνη, καὶ τὰ ὅμοια· εἰς ἀγαθὰ τυχηρὰ λεγόμενα, ὁποῖά εἰσιν ὁ πλοῦτος, ἡ δόξα, τὰ ἀξιώματα, καὶ τὰ ὅμοια· καὶ εἰς ἀγαθὰ προαιρετικὰ, ὁποῖά εἰσιν ἡ ἀγάπη, ἡ ὑπομονὴ, ἡ ὑπακοὴ, καὶ αἱ λοιπαὶ προαιρετικαὶ ἀρεταί· διὰ τὰ τοιαῦτα πράγματα πᾶς ἄνθρωπος ἢ ὑπερηφανεύεται, ἢ ταπεινοῦται. Βλέπε δὲ πῶς ὁ μὲν ὑπερηφανευόμενός ἐστι μωρὸς, ὁ δὲ ταπεινούμενός ἐστι φρόνιμος.

Ἐάν τις πλούσιος καὶ ἔνδοξος ἄνθρωπος ἐνεχείριζεν εἰς ἄλλον τινὰ πρὸς καιρὸν μέρος τῶν ὑπαρχόντων αὐτοῦ, ἐκεῖνος δὲ ὁ παραλαβὼν αὐτὰ, ἀμνημονήσας παντελῶς, ὅτι τὰ παραδοθέντα αὐτῷ εἰσὶ ξένα πράγματα, ἐλογίζετο αὐτὰ ἴδια, καὶ περιερχόμενος ἔνθεν κἀκεῖθεν, ἐκαυχᾶτο ἐπὶ τὰ ξένα πράγματα, ὥσπερ ἐὰν ἦσαν ἴδια αὐτοῦ κτήματα, πρὸς τούτοις δὲ, ἀντὶ τοῦ οἰκονομεῖν αὐτὰ, κατέφθειρε πρὸς μόνην ἰδίαν χρῆσιν, τότε τί ἐνόμιζες τὸν τοιοῦτον ἄνθρωπον, φρόνιμον, ἢ μωρόν; ἀναμφίβολόν ἐστιν, ὅτι ἐνόμιζες αὐτὸν μωρότατον, καὶ ἐγέλας ἐπὶ τῇ μωρίᾳ αὐτοῦ καὶ ἀφροσύνῃ. Ἐὰν δὲ ὁ παραλαβὼν τὰ ξένα ἀγαθὰ, ἐλογίζετο αὐτὰ πάντοτε ξένα, καὶ οὐχὶ ἴδια, ἐκήρυττε δὲ πανταχοῦ, ὅτι ὅσα ἀγαθὰ ἔχω οὐκ εἰσὶν ἐμὰ, ἀλλὰ ξένα, τοῦ δεῖνός εἰσιν, ὅστις ἐνεχείρισέ μοι αὐτὰ πρὸς καιρὸν, καὶ οἰκονόμει δὲ αὐτὰ κατὰ τὴν παραγγελίαν τοῦ

τοῦ παραδόντος αὐτὰ εἰς τὰς χεῖρας
αὐτοῦ, τὸν τοιοῦτον ἄνθρωπον φρόνιμον
ἔλεγες, ἢ μωρόν; βέβαια ἐνόμιζες αὐ-
τὸν φρόνιμον, καὶ ἐθαύμαζες αὐτὸν ἐπὶ
τῇ φρονήσει καὶ συνέσει αὐτοῦ. Ὁ πρῶ-
τος οὖν τούτων τῶν δύω ἀνθρώπων ἐ-
στὶν ὁ ὑπερήφανος, ὁ δὲ δεύτερός ἐστιν
ὁ ταπεινός· διότι πάντα τὰ ἀγαθὰ, καὶ
τὰ φυσικὰ, καὶ τὰ κτητὰ, καὶ τὰ τυ-
χηρὰ τοῦ Θεοῦ εἰσὶ, καὶ ἐξ αὐτοῦ,
καὶ δι' αὐτοῦ δίδονται τοῖς ἀνθρώποις·
Ῥωμ. ιά. Ὅτι ἐξ αὐτοῦ, καὶ δι' αὐτοῦ, καὶ
36. εἰς αὐτὸν τὰ πάντα· αὐτά εἰσι τὰ
Ματ. κέ. τάλαντα, καὶ αὐτὸς διανέμει αὐτὰ κα-
15. τὰ τὴν ἑκάστου δύναμιν, ἵνα, πρὸς και-
ρὸν καλῶς αὐτὰ οἰκονομήσαντες, λάβω-
μεν τὸν διὰ τὴν καλὴν οἰκονομίαν ἄφ-
θαρτον στέφανον· καὶ αὐτὰ δὲ τὰ ἀγα-
θὰ τῆς προαιρέσεως, ἤγουν τῆς ἀρετῆς
Ἰωάν. ιέ. τὰ κατορθώματα, τοῦ Θεοῦ εἰσὶν, ἐπει-
5. δὴ χωρὶς αὐτοῦ οὐ δυνάμεθα ποιῆ-
Φιλιπ. β'. σαι οὐδὲν, καὶ ἐπειδὴ ὁ Θεὸς ἐστὶν
13. ὁ ἐνεργῶν ἐν ὑμῖν καὶ τὸ θέλειν,
καὶ τὸ ἐνεργεῖν.

Ποῖον οὖν λέγεις φρόνιμον, τὸν Ἰα-
κὼβ, ὅστις, ὅταν προσέφερε τὰ δῶρα
πρὸς τὸν ἀδελφὸν αὐτοῦ τὸν Ἡσαῦ, τα-
πεινοφρόνως ὡμολόγησε τὴν ἀλήθειαν, εἰ-
πὼν, ὅτι ὁ Θεὸς, ἐλεήσας αὐτὸν, ἔδωκεν
Γεν. λγ'. αὐτῷ πάντα ὅσα ἔχει· Λάβε τὰς εὐ-
11. λογίας μου, εἶπε, ἃς ἤνεγκά σοι·
ὅτι ἠλέησέ με ὁ Θεός· καὶ ἔστι
μοι πάντα· ἢ τὸν Ναβουχοδονόσορ,
ὅστις, μετὰ ἐξαισίου ὑπερηφανείας ὑπε-
ρυψῶν τὴν ἐξουσίαν αὐτοῦ, ἐφοβέριζε
Δαν. γ'. τοὺς ἁγίους τρεῖς Παῖδας, λέγων· Καὶ
15. τίς ἐστι Θεὸς, ὃς ἐξελεῖται ὑμᾶς
ἐκ χειρός μου; Τίνα λέγεις φρόνιμον,
τὸν Παῦλον, ὅστις ἐκήρυττεν, ὅτι οὐχὶ
αὐτὸς, ἀλλ' ἡ χάρις τοῦ Θεοῦ κατώρθω-
Α'. Κορ. ιέ. σε πάσας τὰς ἀρετὰς, ὅσας εἶχεν· Οὐκ
10. ἐγὼ δὲ, ἀλλ' ἡ χάρις τοῦ Θεοῦ ἡ
σὺν ἐμοί· ἢ τὸν Φαρισαῖον, ὅστις ἐ-
κόμπαζε λέγων, ὅτι αὐτὸς ἐτέλεσε τῆς
ἀρετῆς αὐτοῦ τὰ ἔργα· Νηστεύω δὶς Λουκ. ιη'.
τοῦ σαββάτου, ἀποδεκατῶ πάν- 12.
τα ὅσα κτῶμαι; Ὁ ὑπερήφανος οὖν,
καταφρονῶν τῆς διακρίσεως τὸ χάρισμα,
γίνεται μωρὸς, ὁ δὲ ταπεινὸς, μετερχό-
μενος τὴν ὑπὸ Θεοῦ δοθεῖσαν αὐτῷ λο-
γικὴν δύναμιν, γίνεται φρόνιμος· διὰ τοῦ-
το τὴν μὲν παράλογον μωρίαν τῶν ὑπε-
ρηφάνων ἀποστρεφόμενος ὁ Θεὸς, ἀντι-
τάσσεται αὐτοῖς, τὴν δὲ εὔλογον φρόνη-
σιν τῶν ταπεινῶν προσδεχόμενος, δίδω-
σιν εἰς αὐτοὺς χάριν.

Δεύτερον δὲ προτιμᾶται ἡ ταπεί-
νωσις, ἐπειδὴ ὁ Θεός ἐστι προνοητής.
Ἡ ταπείνωσις κατακρατεῖ καὶ συνέχει
πάντα τὰ λογικὰ καὶ αὐτοπροαίρετα
κτίσματα εἰς τὴν ὑπακοὴν τοῦ Θεοῦ·
ὅταν δὲ αὐτὴ λείψῃ, εὐθὺς εἰσέρχεται
ἀντ' αὐτῆς ἡ ἀνυποταξία, καὶ ἡ ἀπὸ τοῦ
Θεοῦ ἀποστασία. Ἐν ὅσῳ ὁ Ἑωσφόρος
ἦν ταπεινὸς, ἔμενεν εἰς τὴν ὑπακοὴν καὶ
εὐλάβειαν τοῦ Θεοῦ, ὅταν δὲ ἔφυγεν ἡ
ταπείνωσις ἀπὸ τοῦ νοὸς αὐτοῦ, εὐθὺς
ἀποστατήσας ἀπὸ τῆς ὑπακοῆς τοῦ Θεοῦ,
ἐγένετο ἀντάρτης, εὐθὺς εἶπεν ἐν τῇ δια-
νοίᾳ αὐτοῦ· Εἰς τὸν οὐρανὸν ἀνα- Ἡσ. ιδ'.
βήσομαι, ἐπάνω τῶν ἀστέρων τοῦ 13, 14.
οὐρανοῦ θήσω τὸν θρόνον μου.
Ἀναβήσομαι ἐπάνω τῶν νεφῶν, ἔ-
σομαι ὅμοιος τῷ ὑψίστῳ· ἔσυρε
δὲ εἰς τὴν ἀποστασίαν καὶ ἀνταρσίαν
τὸ τρίτον μέρος τῶν Ἀγγέλων, ὡς εἶδε
τοῦτο εἰς τὴν ἑαυτοῦ Ἀποκάλυψιν ὁ ἐ-
πιστήθιος Ἰωάννης· Καὶ ἡ οὐρὰ αὐ- Ἀποκ. ιβ'.
τοῦ, λέγει, σύρει τὸ τρίτον τῶν 4.
ἀστέρων τοῦ οὐρανοῦ, καὶ ἔβαλεν
αὐτοὺς εἰς τὴν γῆν. Ἐν ὅσῳ τὰ τα-
πεινὰ ἐφρόνουν οἱ πρωτόπλαστοι, ἔμενον
εἰς τὴν ὑπακοὴν τοῦ Θεοῦ, καὶ οὐκ ἐ-
τόλμησαν παραβῆναι τὴν ἐντολὴν αὐτοῦ·
ὅτε δὲ, ἀκούσαντες τὸ, Ἔσεσθε ὡς Γεν. γ'.
Θεοὶ, ἐδίωξαν μὲν ἀπὸ τῆς καρδίας αὐ- 5.
τῶν

τῶν τὴν ταπείνωσιν, ἐδέχθησαν δὲ τῆς ὑπερηφανείας τοὺς λογισμοὺς, τότε εὐθὺς ἔφυγεν ἡ ὑπακοὴ, καὶ ἀντεισῆλθεν ἡ ἀνυποταξία, τότε ἅπλωσαν εὐθὺς τὰς χεῖρας αὐτῶν, καὶ ἐγεύθησαν τοῦ ἀπηγορευμένου καρποῦ, καὶ κατέστησαν ἑαυτούς τε καὶ ὅλον τὸ ἐξ αὐτῶν ἀνθρώπινον γένος παναθλίους καὶ δυστυχεῖς.

Τρίτον δὲ προτιμᾶται ἡ ταπείνωσις, ἐπειδὴ ὁ Θεὸς ἐστὶ φιλάνθρωπος. Ὁ Θεὸς, καθ᾽ ὑπερβολὴν ἀγαπῶν τῶν ἀνθρώπων τὸ γένος, θέλει, ἵνα πάντες οἱ ἄνθρωποι σωθῶσιν· οὐδεὶς δὲ σωθῆναι δύναται χωρὶς τῆς μετανοίας, ἐπειδὴ πάντες ἐσμὲν ἁμαρτωλοὶ, καθότι (Γεν. ή. 21.) ἔγκειται ἡ διάνοια ἡμῶν ἐπὶ τὰ πονηρὰ ἐκ νεότητος ἡμῶν· οὐδεὶς δὲ δύναται μετανοῆσαι χωρὶς τῆς ταπεινώσεως· ἐὰν μὴ γνωρίσωμεν τῶν ἁμαρτιῶν ἡμῶν τὸ βάρος, καὶ τῶν ἀνομιῶν ἡμῶν τὴν αἰσχρότητα, οὐ δυνάμεθα μετανοῆσαι· ὅταν δὲ ταῦτα γνωρίσωμεν ὡς πρέπει, τότε φεύγει εὐθὺς ἡ δαιμονικὴ ὑπερηφάνεια, καὶ ἔρχεται ἡ ἁγία ταπείνωσις, ἥτις φέρει κατάνυξιν εἰς τὴν καρδίαν, δάκρυα εἰς τοὺς ὀφθαλμοὺς, ἀπόφασιν διορθώσεως εἰς τὴν ψυχὴν, τὸ, Ἐλέησόν με ὁ Θεὸς, εἰς τὸ στόμα· ταῦτα δὲ βλέπων ὁ Πολυεύσπλαγχνος, συγχωρεῖ πάσας τὰς ἁμαρτίας ἡμῶν· (Ψαλ. ν. 18.) Θυσία τῷ Θεῷ πνεῦμα συντετριμμένον, καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει.

Διὰ τοῦτο λοιπὸν ἡ ταπείνωσις ἐστὶ τόσον ἀναγκαία, διὰ τοῦτο προτετιμημένη καὶ ὑπερεξῃρημένη τῶν ἄλλων ἀρετῶν, διὰ τοῦτο ὑπερυψοῖ τὸν ἄνθρωπον εἰς τὰ ὕψη τῆς θείας δόξης καὶ μακαριότητος, διότι θέλει ἡμᾶς ὁ Θεὸς φρονίμους, καὶ οὐχὶ μωροὺς, θέλει ἡμᾶς ὑπηκόους τῶν θείων αὐτοῦ προσταγμάτων, καὶ οὐχὶ ἀποστάτας τῆς παντοδυνάμου αὐτοῦ ἐξουσίας, θέλει ἡμᾶς δεδικαιωμένους διὰ τῆς μετανοίας, καὶ οὐχὶ κατακεκριμένους διὰ τὰς ἁμαρτίας· ἡ δικαιοσύνη, καὶ ἡ πρόνοια, καὶ ἡ φιλανθρωπία τοῦ Θεοῦ χαρίζει τοσαῦτα πολλὰ καὶ μεγάλα προνόμια εἰς τῆς ταπεινοφροσύνης τὴν ἀρετήν.

Ταπείνωσις λοιπὸν, ἀρετὴ μεγάλη, ἀρετὴ δεδοξασμένη, ἀρετὴ σωτηριώδης· ταπείνωσις, σύνδεσμος τῆς μεταξὺ ἀλλήλων ἀγάπης, φωτισμὸς τοῦ νοός μου, ὁδηγία τῆς ψυχῆς μου, βάλσαμον τῶν ἁμαρτιῶν μου, ὁδὸς τῆς σωτηρίας μου, κλίμαξ, ἀνάγουσά με εἰς τὸ ὕψος τῆς δόξης, καὶ εἰς τὰ ἐπουράνια τοῦ Θεοῦ σκηνώματα, πῶς ἄρα δυνάμεθα ἡμεῖς γενέσθαι ἄξιον κατοικητήριόν σου;

Ὅταν οἱ μεταλλουργοὶ σκαλίζωσι μόνην τὴν ἄνω ἐπιφάνειαν τῆς γῆς, τότε χῶμα εὑρίσκουσι καὶ κονιορτόν· ὅταν δὲ, σκάπτοντες, φθάσωσιν εἰς τῆς γῆς τὸ βάθος, τότε συναντῶσι τὸ καθαρὸν χρυσίον. Ἐν ὅσῳ ἡμεῖς βλέπομεν τὴν ἔξω ἐπιφάνειαν τῶν πραγμάτων, ὕλην ὑπερηφανείας εὑρίσκομεν καὶ ἐπάρσεως· ὅταν δὲ ἐμβάψωμεν τὸν νοῦν ἡμῶν εἰς τὸ βάθος τῆς καταστάσεως αὐτῶν, τότε ἐξάγομεν τῆς ταπεινώσεως τὸν θησαυρὸν, τότε ἀγρεύομεν τῆς ταπεινοφροσύνης τὴν ἀρετὴν, καθὼς οἱ κολυμβηταὶ, οἱ καταβαίνοντες εἰς τὸ βάθος τῆς θαλάσσης, ἁλιεύουσι τοὺς μαργαρίτας. Ἄνθρωπε, τί σε φυσᾷ καὶ ἐπαίρει; ἡ εὐφυΐα τοῦ νοός σου; τὸ κάλλος τοῦ προσώπου σου; ἡ ἀνδρεία τοῦ σώματός σου; μὴ βλέπῃς μόνον τὰ ἔξω, μὴ βλέπῃς μόνην τὴν τούτων ἐπιφάνειαν· ἐὰν ταῦτα μόνα βλέπῃς, ὑπερηφανεύεσαι· βλέπε τὰ ἔσω, προσήλωσον τὸν νοῦν σου εἰς τὸ βάθος, καὶ εἰς τὴν ἐσωτερικὴν τούτων κατάστασιν· τότε βλέπεις, ὅτι αὐτά εἰσι φύσει μεταβλητὰ ἀπὸ μιᾶς ὥρας εἰς ἄλλην· τότε βλέπεις, ὅτι ἄυ-

ριον

ριον ἐξαφανίζει αὐτὰ ὁ θάνατος, καὶ μεταβάλλει εἰς σκωλήκων βρῶμα καὶ δυσωδίαν· τότε δὲ, γνωρίζων τὸ εἶναί σου, καὶ τὴν εὐτέλειάν σου, καταπιέζεις τὰ φυσήματά σου διὰ τὰ ἀγαθὰ τῆς φύσεως, καὶ ταπεινοῖς τὴν καρδίαν σου. Τί σε φυσᾷ; ἡ σοφία σου, καὶ ἡ ἐπιστήμη σου; μὴ βλέπῃς τὰ ἔξω, ἀλλὰ συλλογίζου τὰ ἔσω, μὴ τὴν ἐπιφάνειαν, ἀλλὰ τὸ βάθος· ἐὰν στοχασθῇς τὰ ἔσω καὶ τὸ βάθος, βλέπεις ἀμάθειαν, καὶ οὐχὶ σοφίαν, σκότος καὶ οὐχὶ ἐπιστήμην· βλέπεις, ὅτι ὅσα καὶ αὐτοὶ οἱ νομιζόμενοι σοφοὶ γινώσκουσιν, ὡς πρὸς ἐκεῖνα ὅσα ἀγνοοῦσι, λόγον ἔχουσιν, ὃν αἱ μυριάδες τῶν μυριάδων πρὸς τὸ ἓν, ὡς μία ῥανὶς ὕδατος πρὸς ὅλην τὴν θάλασσαν· ὀλίγα εἰσὶ τὰ γνωστὰ, καὶ τὰ πλείονα τούτων ἐπὶ ὑποθέσεσι στηριζόμενα· συστήματα ὑπό τινων οἰκοδομούμενα, καὶ ὑπὸ πολλῶν καταργούμενα· βλέπεις, ὅτι οὐ δύνασαι κατανοῆσαι οὐδὲ ἑνὸς μύρμηκος τὴν φύσιν καὶ τὰ ἰδιώματα, ὅθεν ταπεινοῖς τὴν ἔπαρσιν διὰ τὰ κτητὰ ἀγαθά σου, καὶ συντρίβεις τοῦ νοός σου τὴν ὑπερηφάνειαν. Ἄνθρωπε, διατί αἴρεις τὰς ὀφρύας, καὶ καυχᾶσαι, ὅτι ὑπερέχεις τοὺς ἄλλους; διὰ τὰ ἀγαθὰ τὰ τυχηρά; διὰ τὸν πλοῦτόν σου; διὰ τὰ ἀξιώματά σου; διὰ τὴν προστασίαν τῶν ἀρχόντων; βλέπε βαθύτερα· ἄυριον στρέφει ὁ τροχὸς τοῦ κόσμου, καὶ τὸν πλοῦτόν σου σκορπίζουσιν αἱ συμφοραὶ, τὰ δὲ ἀξιώματά σου ἐξευτελίζει ὁ ἐξουσιαστὴς, οἱ δὲ προστάται σου μεταβάλλουσι γνώμην καὶ τύχην· ἄυριον τέλος πάντων ἔρχεται ὁ θάνατος, καὶ ἄλλοι μὲν παραλαμβάνουσι τὸν πλοῦτόν σου, ἴσως ἐκεῖνοι, τοὺς ὁποίους μισεῖς καὶ ἀποστρέφεσαι, ὡς καπνὸς δὲ ἐξουδενοῦνται τὰ ἀξιώματά σου, ἄπρακτοι δὲ διαμένουσιν οὐ μόνον οἱ προστάται καὶ φίλοι, ἀλλὰ καὶ αὐτοὶ οἱ συγγενεῖς σου· ἔρχεται ὁ θάνατος, καὶ τότε, κᾂν ἔχῃς τοῦ Κροίσσου τὰ τάλαντα, κᾂν ἔχῃς βασιλικὰ ἀξιώματα, κᾂν ἔχῃς πᾶσαν τὴν δόξαν τοῦ κόσμου τούτου, ἓν μόνον σάβανον μένει σοι, καὶ τρεῖς πήχεις γῆς διὰ τὸν τάφον σου· Διότι πᾶσα σὰρξ ὡς χόρτος, καὶ πᾶσα δόξα ἀνθρώπου ὡς ἄνθος χόρτου· ἐξηράνθη ὁ χόρτος, καὶ τὸ ἄνθος αὐτοῦ ἐξέλιπεν· (Α΄. Πέτρ. α΄. 24.) ἐὰν ταῦτα στοχάζεσαι, καταβιβάζεις τὰ ὄμματά σου κάτω εἰς τὴν γῆν, καὶ πληροῖς τὸν νοῦν σου ταπεινοφροσύνης.

Ἄνθρωπε, διατί ὑπερηφανεύεσαι, καὶ κατακρίνεις τοὺς ἄλλους ὡς ἁμαρτωλοὺς καὶ ἀπηλπισμένους; διότι ἀπέχεις ἀπὸ τὰς κτηνώδεις καὶ σαρκικὰς ἁμαρτίας; διότι νηστεύεις, καὶ προσεύχεσαι, καὶ ἐλεεῖς τοὺς πτωχούς; ἀλλὰ στρέψαι τὰ ὄμματά σου εἰς τὸν ἐσωτερικὸν ἄνθρωπον, ὅπου ἡ ἀρετὴ θεμελιοῦται· ἐὰν ἐξετάσῃς τὰ βάθη τῆς συνειδήσεώς σου, τότε βλέπεις τὰς ἀκαθαρσίας τοῦ νοός σου, τὸν βόρβορον τῆς καρδίας σου, καὶ τοὺς μολυσμοὺς τῆς ψυχῆς σου· τότε βλέπεις πόσα λείπουσιν εἰς ἀναπλήρωσιν τοῦ χριστιανικοῦ χρέους σου· τότε βλέπεις, ὅτι πᾶσαν ὥραν, καὶ πᾶσαν στιγμὴν ἀναβαίνει διὰ τῶν θυρίδων σου, ἤγουν διὰ τῶν αἰσθήσεών σου, ὁ θάνατος εἰς τὴν ψυχήν σου· (Ἱερεμ. θ΄. 21.) ἐὰν ἐρευνήσῃς ἀκριβῶς τὰς προσβολὰς τῆς ἁμαρτίας, τοὺς συνδυασμοὺς, τὰς πάλας, τὰς συγκαταθέσεις εἰς τὴν ἀνομίαν, καὶ τὰς ἀκαθάρτους ἐπιθυμίας τῆς καρδίας σου, τότε βλέπεις σεαυτὸν βεβυθισμένον εἰς τὸ πλῆθος τῶν ἀνομιῶν σου· ὅθεν, ἀντὶ νὰ μεγαλορρημονῇς ὡς ὁ Φαρισαῖος, τύπτεις τὸ στῆθος ὡς ὁ Τελώνης, καὶ ἐν ταπεινοφροσύνῃ καὶ μετανοίᾳ κραυγάζεις· Ὁ Θεὸς, ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ. (Λουκ. ιη΄. 13.)

Τότε οὖν γινόμεθα ταπεινόφρονες,

ὅταν

ὅταν στοχαζώμεθα τὰ πράγματα ὡς πρέπει· ὅταν συλλογιζώμεθα συχνῶς τὴν ὥραν τοῦ θανάτου, καὶ εἰς τί καταντῶμεν μετὰ θάνατον· ὅταν διακρίνωμεν, ὅτι, εἴτι καὶ ἂν ἔχωμεν, οὐκ ἔστιν ἡμέτερον, ἀλλὰ τοῦ Θεοῦ· ὅταν μνημονεύωμεν, ὅτι χωρὶς τῆς ταπεινοφροσύνης οὐδεὶς δύναται σωθῆναι· ὅταν, τέλος πάντων, ἔχωμεν ἔμπροσθεν μὲν τῶν ὀφθαλμῶν ἡμῶν τοῦ Τελώνου καὶ τοῦ Φαρισαίου τὸ παράδειγμα, ἔνδον δὲ εἰς αὐτὸ τὸ κέντρον τῆς καρδίας ἡμῶν ταῦτα τοῦ Σωτῆρος ἡμῶν τὰ θεῖα λόγια· Πᾶς ὁ ὑψῶν ἑαυτὸν, ταπεινωθήσεται· ὁ δὲ ταπεινῶν ἑαυτὸν, ὑψωθήσεται. Λουκ. ιη΄. 14.

# ΕΡΜΗΝΕΙΑ

ΕΙΣ ΤΟ ΚΑΤΑ

# ΛΟΥΚΑΝ

## ΕΥΑΓΓΕΛΙΟΝ ΤΗΣ ΚΥΡΙΑΚΗΣ ΤΟΥ ΑΣΩΤΟΥ.

Ὅταν οἱ Γραμματεῖς καὶ οἱ Φαρισαῖοι, βλέποντες, ὅτι ὁ Ἰησοῦς Χριστὸς δέχεται τοὺς Τελώνας καὶ ἁμαρτωλοὺς, καὶ μετ᾽ αὐτῶν συναναστρέφεται καὶ συνεσθίει, ἐγόγγυζον κατ᾽ αὐτοῦ, λέγοντες·
Αὐτ. ιε΄. 2. Οὗτος ἁμαρτωλοὺς προσδέχεται, καὶ συνεσθίει αὐτοῖς, τότε ὁ Θεάνθρωπος Ἰησοῦς, ἀνοίξας τὸν θησαυρὸν τῶν παραβολικῶν αὐτοῦ λόγων, ἀπήντησεν εἰς τὸν ἄδικον αὐτῶν γογγυσμὸν, καὶ ἔφραξε τὰ ἀπύλωτα αὐτῶν στόματα. Εἶπε πρῶτον πρὸς αὐτοὺς τὴν ἀγαλλίασιν τοῦ ποιμένος διὰ τὴν εὕρεσιν τοῦ ἀπολωλότος αὐτοῦ προβάτου; καὶ τὴν χαρὰν τῆς γυναικὸς, ὅταν εὗρε τὴν ἀπολεσθεῖσαν δραχμὴν αὐτῆς, ἐπιβεβαιώσας, ὅτι καὶ ὁ οὐρανὸς, καὶ οἱ Ἄγγελοι χαίρουσιν ἐπὶ τῇ μετανοίᾳ τοῦ ἁμαρτωλοῦ· ἔπειτα ἐξεφώνησε καὶ τὴν θαυμασίαν Παραβολὴν τοῦ σήμερον ἀναγνωσθέντος Εὐαγγελίου· δι᾽ αὐτῆς δὲ ὁ φιλανθρωπότατος Ἰησοῦς τρία πράγματα παρέστησεν ἡμῖν· τὴν κατάστασιν τοῦ ἁμαρτωλοῦ, τῆς μετανοίας καὶ ἐξομολογήσεως τὸν κανόνα, καὶ τῆς εὐσπλαγχνίας αὐτοῦ τὸ μέγεθος. Ταῦτα δὲ καταληπτὰ ἡμῖν γίνονται, ἐὰν προσηλώσωμεν τὸν νοῦν εἰς τὴν ἐξήγησιν τῶν σήμερον ἀναγνωσθέντων παραβολικῶν λόγων.

Λουκ. ιε΄. 11. Εἶπεν ὁ Κύριος τὴν Παραβολὴν ταύτην· Ἄνθρωπός τις εἶχε δύω υἱούς· καὶ εἶπεν ὁ νεώτερος αὐτῶν τῷ πατρί·
12. Πάτερ, δός μοι τὸ ἐπιβάλλον μέρος τῆς οὐσίας. Καὶ διεῖλεν αὐτοῖς τὸν βίον.

Εἰς πολλὰ μέρη τῶν ἁγίων Γραφῶν ὁ Θεὸς ἑαυτὸν μὲν ὀνομάζει ἄνθρωπον, ἵνα δείξῃ ὅσην ἔχει πρὸς ἡμᾶς φιλανθρωπίαν, τοὺς δὲ ἀνθρώπους, οὐ μόνον τοὺς δικαίους, ἀλλὰ καὶ τοὺς ἁμαρτωλοὺς, καλεῖ υἱοὺς αὐτοῦ· Υἱοὺς ἐγέννησα, λέγει, καὶ ὕψωσα, αὐτοὶ δέ με ἠθέτησαν. Ὁ ἄνθρωπος οὖν, ὁ ἔχων τοὺς δύω υἱοὺς, ἐστὶν αὐτὸς ὁ φιλαν-

λάνθρωπος Θεός, οἱ δὲ δύω υἱοὶ αὐτοῦ εἰσὶν οἱ δίκαιοι, καὶ οἱ ἁμαρτωλοί. Νεώτερον δὲ λέγει τὸν ἁμαρτωλὸν, ἐπειδὴ ἡ ἁμαρτία ἐστὶ νεωτέρα τῆς δικαιοσύνης, ἤγουν τῆς ἀρετῆς· ὁ ἄνθρωπος πρῶτον ὑπῆρχε δίκαιος καὶ ἐνάρετος, ἔπειτα διὰ τῆς συμβουλῆς τοῦ ὄφεως ἐγένετο πονηρὸς καὶ ἁμαρτωλός, διὸ παλαιοτέρα μέν ἐστιν ἡ ἀρετὴ, νεωτέρα δὲ ἡ κακία· πρὸς τούτοις, ἐπειδὴ παιδαριώδη καὶ ἀσύνετά εἰσι τοῦ ἁμαρτωλοῦ τὰ ἔργα, γεροντικὰ δὲ καὶ φρόνιμα τῶν δικαίων τὰ κατορθώματα, διὰ τοῦτο ὁ μὲν πρεσβύτερος υἱὸς σημαίνει τοὺς δικαίους, ὁ δὲ νεώτερος τοὺς ἁμαρτωλούς. Τί δὲ ἆρά γε ἐστὶ τὸ ἐπιβάλλον μέρος τῆς οὐσίας, ὅπερ ἐζήτησεν ὁ νεώτερος υἱὸς παρὰ τοῦ πατρὸς αὐτοῦ; Τινὲς μὲν λέγουσιν, ὅτι ἐστὶ τὸ λογικὸν καὶ αὐτεξούσιον, τινὲς δὲ τὰ τοῦ Θεοῦ ἀγαθὰ, ὁ οὐρανὸς, ἡ γῆ, ἡ θάλασσα, καὶ τὰ ἐν αὐτοῖς· ἄλλοι δὲ λέγουσιν ὅτι ἐστὶν ὁ φυσικὸς, καὶ ὁ γραπτὸς νόμος· ἐπειδὴ δὲ κατωτέρω λέγει, ὅτι οὗτος ὁ νεώτερος
Λουκ. ιε. 13. υἱὸς διεσκόρπισε τὴν οὐσίαν αὐτοῦ ζῶν ἀσώτως, φανερόν ἐστιν, ὅτι τὸ ἐπιβάλλον μέρος τῆς οὐσίας, σημαίνει τὰ κτήματα, τὰ χρήματα, τὴν δόξαν, ἔτι δὲ καὶ τὰ φυσικὰ ἀγαθὰ, τὴν ὑγείαν, τὴν διάκρισιν, τὴν φρόνησιν, καὶ τὴν εἰς τὸ ἀγαθὸν διάθεσιν· τούτων οὖν τῶν ἀγαθῶν τὸ ἐπιβάλλον μέρος ἐζήτησε, καὶ ἔλαβεν ὁ Ἄσωτος παρὰ τοῦ πατρὸς αὐτοῦ, διότι ὁ Θεὸς, διὰ τὴν ἄπειρον αὐτοῦ ἀγαθότητα, δίδωσι τὰ ἀγαθὰ αὐτοῦ ἐπίσης εἰς δικαίους
Ματ. ε. 45. καὶ ἁμαρτωλούς· Τὸν Ἥλιον αὐτοῦ ἀνατέλλει ἐπὶ πονηροὺς καὶ ἀγαθοὺς, καὶ βρέχει ἐπὶ δικαίους καὶ ἀδίκους. Ἐπειδὴ δὲ τῶν δικαίων καὶ ἁμαρτωλῶν διάφορα εἰσὶ καὶ τὰ ἤθη, καὶ τὸ πολίτευμα, καὶ αἱ πράξεις, καὶ αἱ γνῶμαι, καὶ τὰ λόγια, καὶ αἱ ἐπιθυμίαι, διὰ τοῦτο οὐκ εἶπε, Καὶ διένειμεν αὐτοῖς τὰ ἀγαθὰ, ἀλλ' εἶπε, Καὶ διεῖλεν αὐτοῖς τὸν βίον. Τί δὲ ἔπραξεν ὁ νεώτερος υἱὸς, παραλαβὼν παρὰ τοῦ πατρὸς αὐτοῦ τὸ ἐπιβάλλον μέρος τῆς οὐσίας;

**Καὶ μετ' οὐ πολλὰς ἡμέρας συναγαγὼν ἅπαντα ὁ νεώτερος υἱὸς, ἀπεδήμησεν εἰς χώραν μακράν· καὶ ἐκεῖ διεσκόρπισε τὴν οὐσίαν αὐτοῦ, ζῶν ἀσώτως.** Λουκ. ιε. 12.

Ἐπειδὴ πολλὰ ἐπιῤῥεπής ἐστιν ὁ ἄνθρωπος εἰς τὴν ἁμαρτίαν, διὰ τοῦτο καὶ ταχέως εἰς τὰ βάραθρα αὐτῆς καταποντίζεται· τοῦτο δὲ σημαίνει τὸ, Καὶ μετ' οὐ πολλὰς ἡμέρας, ἤγουν μετ' ὀλίγον καιρὸν, ἐξότου ὁ νεώτερος υἱὸς ἀπεφάσισεν, ἵνα χωρισθῇ ἀπὸ τοῦ πατρὸς αὐτοῦ, ἐτελείωσε τὴν αὐτοῦ ἀπόφασιν. Συναγαγὼν ἅπαντα, ἤγουν ἔχων μεθ' ἑαυτοῦ πάντα τὰ ἀγαθὰ, δι' ὧν ὁ Θεὸς αὐτὸν ἐπλούτισεν, ἀνεχώρησεν εἰς χώραν μακρὰν, ἐμάκρυνε δηλαδὴ ἀπὸ τοῦ Θεοῦ, μηδὲ τὸν λόγον αὐτοῦ ἀκούων, μηδὲ τῆς προσευχῆς ἐπιμελούμενος, μηδὲ εἰς τὴν μετάνοιαν καὶ ἐξομολόγησιν πλησιάζων, μηδὲ τῶν ἁγίων μυστηρίων μεταλαμβάνων· τοῦτον δὲ τὸν μέγαν χωρισμὸν ὠνόμασε χώραν μακράν. Ἐκεῖ οὖν εἰς αὐτὴν τὴν χώραν, ἤγουν τὴν ἀπὸ Θεοῦ μεμακρυμένην κατάστασιν, διεσκόρπισε πᾶσαν τὴν οὐσίαν αὐτοῦ, τὰ χρήματα δηλονότι καὶ τὰ κτήματα, τὴν διάκρισιν, τὴν φρόνησιν, εἰς τὰς πολυφαγίας καὶ πολυποσίας, εἰς τὰς ἡδονὰς, καὶ τοὺς ἔρωτας, εἰς τὰς πορνείας καὶ ἀσελγείας, καὶ εἰς ὅσα ζητεῖ ἡ ἀχάλινος καὶ ἄσωτος ζωή·

Λουκ. ιε'. ζωή· τοῦτο δέ ἐστι τὸ, Ζῶν ἀσώτως,
13, 30. καὶ τὸ, Καταφαγὼν τὸν βίον αὐτοῦ
μετὰ πορνῶν. Μήπως δὲ, ἐπειδὴ ὁ λό-
γος ἀποβλέπει εἰς τὸν ἀσελγῆ, τὸ, Διεσ-
κόρπισε τὴν οὐσίαν, σημαίνει κυρίως
καὶ καθ' αὐτὸ τὸ, κατέφθειρε τὴν ὑγείαν
καὶ τὰς δυνάμεις τοῦ ἰδίου σώματος,
Α'. Κορ. διότι ὁ πορνεύων εἰς τὸ ἴδιον σῶ-
ς'. 18. μα ἁμαρτάνει.

Λουκ. ιε'. Δαπανήσαντος δὲ αὐτοῦ πάν-
14. τα, ἐγένετο λιμὸς ἰσχυρὸς
κατὰ τὴν χώραν ἐκείνην· καὶ
αὐτὸς ἤρξατο ὑστερεῖσθαι.

Ὅπου ἔλλειψις τῆς ἀρετῆς, ἐκεῖ
πεῖνα τῆς θείας χάριτος. Ἐξότου ὁ
Ἄσωτος υἱὸς ἐδαπάνησεν εἰς τὰς ἁμαρ-
τίας ὅλον τὸν ψυχικὸν καὶ σωματικὸν
αὐτοῦ πλοῦτον, τί ἄλλο ἔμεινεν εἰς αὐ-
τὸν, εἰμὴ λιμὸς, στέρησις τοῦ ἐπουρα-
νίου ἄρτου τοῦ στηρίζοντος, καὶ τοῦ
θείου οἴνου τοῦ εὐφραίνοντος τὴν καρ-
δίαν τοῦ ἀνθρώπου; Λιμὸς ἰσχυρὸς,
ἐγκατάλειψις τῆς θείας χάριτος, καὶ
Ψαλ. οβ'. ἀπώλεια τῆς ψυχῆς· Ἰδοὺ γὰρ, λέγει
26. ὁ Προφήτης, οἱ μακρύνοντες ἑαυτοὺς
ἀπὸ σοῦ, ἀπολοῦνται. Καὶ οἱ μὲν
φοβούμενοι τὸν Κύριον, καὶ ἐκζητοῦντες
Ἀυτ. λγ'. αὐτὸν, οὐδενὸς ἀγαθοῦ ὑστεροῦνται· Ὅτι
9, 10. οὐκ ἔστιν ὑστέρημα τοῖς φοβου-
μένοις αὐτόν· Οἱ δὲ ἐκζητοῦντες
τὸν Κύριον οὐκ ἐλαττωθήσονται
παντὸς ἀγαθοῦ· ὁ δὲ Ἄσωτος, ὁ μὴ
φοβηθεὶς, μηδὲ ἐκζητήσας τὸν Θεὸν, ἀλ-
λὰ φυγὼν καὶ μακρυνθεὶς ἀπ' αὐτοῦ,
ἤρξατο ὑστερεῖσθαι παντὸς ἀγαθοῦ.
Βλέπομεν δὲ ταῦτα πληρούμενα καὶ κα-
τὰ τὸ γράμμα· διότι ὅσοι, καταλιμπά-
νοντες τὸν Θεὸν, κατακρημνίζονται εἰς
τῆς ἀσωτείας τὸν βόρβορον, ἐκεῖνοι δια-
σκορπίζουσι πάντα τὰ ὑπάρχοντα αὐ-
τῶν, φθείρουσι τὴν ὑγείαν καὶ τὰς δυ-
νάμεις τοῦ ἰδίου σώματος, καὶ καταν-
τῶσιν εἰς στέρησιν ἄρτου καὶ ἐνδύματος,
καὶ εἰς ἀθλιωτάτας ἀνάγκας. Τί δὲ ἐ-
ποίησεν ὁ Ἄσωτος, ὅταν ᾐσθάνθη τῆς
στερήσεως; ἐδιωρθώθη ἄραγε; Οὐχί.

Καὶ πορευθεὶς, ἐκολλήθη ἑνὶ Λουκ. ιε'.
τῶν πολιτῶν τῆς χώρας ἐκεί- 15.
νης· καὶ ἔπεμψεν αὐτὸν εἰς
τοὺς ἀγροὺς αὐτοῦ βόσκειν
χοίρους. Καὶ ἐπεθύμει γε- 16.
μίσαι τὴν κοιλίαν αὐτοῦ ἀπὸ
τῶν κερατίων, ὧν ἤσθιον οἱ
χοῖροι· καὶ οὐδεὶς ἐδίδου αὐτῷ.

Τίνες εἰσὶν οἱ πολῖται τῆς χώρας
ἐκείνης; καὶ τίνες οἱ ἀγροὶ αὐτῶν; Οἱ
μὲν πολῖται εἰσὶν οἱ Δαίμονες, οἱ μα-
κρὰν ἀπέχοντες ἀπὸ τῆς χάριτος τοῦ
Θεοῦ, καθὼς καὶ οἱ ποιοῦντες τὸ θέλη-
μα αὐτῶν, ἤγουν οἱ ἁμαρτωλοί· οἱ δὲ
ἀγροὶ αὐτῶν εἰσὶ τὰ καταγώγια τῶν
πονηρῶν καὶ ἀσελγῶν ἀνθρώπων. Ὁ οὖν
Ἄσωτος υἱὸς πορευθεὶς, ἤγουν προ-
κόψας, καὶ αὐξήσας εἰς τὰς πράξεις τῆς
ἁμαρτίας, ἐκολλήθη, ἀφιέρωσε δηλονό-
τι τὸ θέλημα αὐτοῦ εἰς ἕνα τῶν Δαιμό-
νων, εἰς τὸν Δαίμονα δηλαδὴ τῆς ἀσω-
τείας, ὅστις, καταστήσας αὐτὸν δοῦλον
αὐτοῦ, ἔπεμψεν αὐτὸν εἰς τὰ ἐργαστή-
ρια τῆς ἀπωλείας, ἵνα βόσκῃ χοίρους,
ἤγουν ἵνα διὰ τοῦ κακοῦ αὐτοῦ παρα-
δείγματος ὁδηγῇ τοὺς χοίρους, τουτέστι
τοὺς βεβορβορωμένους ὑπὸ τῶν σαρκικῶν
ἁμαρτιῶν, χοιροβοσκὸς γενόμενος. Βλέ-
πε δὲ πῶς τοὺς μὲν ἀσελγεῖς καὶ ἀσώ-
τους ὀνομάζει χοίρους, διὰ τὴν ἀκαθαρ-
σίαν καὶ ῥυπαρότητα τῶν σαρκικῶν ἡδο-
νῶν, τὴν δὲ τροφὴν αὐτῶν, κεράτια· διό-
τι

τι καθὼς τὰ κεράτια πρῶτον γλυκαίνουσιν ὀλίγον τὸ στόμα, ἔπειτα εὐθὺς πληροῦσιν αὐτὸ στυφότητος, καὶ ξυλώδους ὕλης, οὕτω καὶ ἡ ἁμαρτία καθηδύνει ὀλίγον, ἔπειτα πληροῖ λύπης καὶ ἀηδίας τὴν ψυχὴν τοῦ ἁμαρτάνοντος· γλυκαίνει πρόσκαιρα, καὶ κολάζει αἰώνια. Ἐπειδὴ δὲ ἡ ἡδονὴ τῆς ἁμαρτίας γίνεται καὶ ἐκλείπει, ὅθεν καὶ ἡ ἐπιθυμία αὐτῆς μένει ἀκόρεστος, καὶ οὐδεὶς δύναται χορτάσαι αὐτήν, διὰ τοῦτο εἶπε· Καὶ ἐπεθύμει γεμίσαι τὴν κοιλίαν αὐτοῦ ἀπὸ τῶν κερατίων, ὧν ἤσθιον οἱ χοῖροι· καὶ οὐδεὶς ἐδίδου αὐτῷ. Ἀληθῶς δὲ οὐδεὶς δύναται χορτάσαι τῶν ἀσελγῶν τὰς ἐπιθυμίας, οὐδὲ ὁ καιρός, διότι αὐτὸς φέρει τὴν συνήθειαν, ἥτις ἐξάπτει τὴν ἐπιθυμίαν, οὐδὲ οἱ ἄνθρωποι, διότι αὐτοὶ οὐ δύνανται χορτάσαι τὰς ἰδίας ἐπιθυμίας, πολλῷ μᾶλλον τὰς τῶν ἄλλων, οὐδὲ οἱ Δαίμονες, διότι αὐτοὶ συνεργοῦσι μάλιστα καὶ φλογίζουσι τὴν κακὴν ἐπιθυμίαν, ἵνα ὁ ἄνθρωπος ἀκαταπαύστως ἁμαρτάνῃ, οὐδὲ ὁ Θεός, διότι αὐτὸς βδελύττεται τὴν ἀνομίαν, καὶ μισεῖ τοὺς
Ψαλ. ε'. ἐργαζομένους αὐτήν· Ὅτι οὐχὶ Θεὸς
4, 6. θέλων ἀνομίαν σὺ εἶ· ἐμίσησας πάντας τοὺς ἐργαζομένους τὴν ἀνομίαν. Ἐπαρίθμησον δὲ τὰς περιγραφομένας τοῦ Ἀσώτου συμφοράς. Ἐμάκρυνεν ἀπὸ τοῦ Θεοῦ· Ἀπεδήμησεν εἰς χώραν μακράν. Διεσκόρπισε καὶ κατέφθειρε τὰ ἀγαθὰ τῆς ψυχῆς καὶ τοῦ σώματος αὐτοῦ εἰς τὰς ἀσωτείας· Διεσκόρπισε τὴν οὐσίαν αὐτοῦ, ζῶν ἀσώτως. Ἐπείνασε, καὶ ἐλιμοκτόνησε, στερηθεὶς τῶν ἀναγκαίων· Ἐγένετο λιμὸς ἰσχυρός· καὶ ἤρξατο ὑστερεῖσθαι. Ἐφιλιώθη μετὰ τοῦ Ἄρχοντος τῆς ἀσελγείας· Καὶ ἐκολλήθη ἑνὶ τῶν πολιτῶν τῆς χώρας ἐκείνης. Ἐγένετο δοῦλος τούτου τοῦ Δαίμονος, ὅστις κατέστησεν αὐτὸν χοιροβοσκόν, καὶ ἐπεθύμει χορτάσαι τὴν ἀσελγῆ αὐτοῦ ἐπιθυμίαν, ἀλλ' οὐδεὶς αὐτὸν ἐχόρταζε· Καὶ ἐπεθύμει γεμίσαι τὴν κοιλίαν αὐτοῦ ἀπὸ τῶν κερατίων, ὧν ἤσθιον οἱ χοῖροι· καὶ οὐδεὶς ἐδίδου αὐτῷ. Τοιουτοτρόπως περιγράψας ὁ Θεάνθρωπος τὴν ἐλεεινὴν καὶ ἀξιοδάκρυτον κατάστασιν τοῦ ἁμαρτωλοῦ, περιέγραψεν ἔπειτα καὶ τὴν τούτου μετάνοιαν, εἰπών·

Εἰς ἑαυτὸν δὲ ἐλθών, εἶπε· Λουκ. ιε'.
Πόσοι μίσθιοι τοῦ πατρός 17.
μου περισσεύουσιν ἄρτων, ἐγὼ δὲ λιμῷ ἀπόλλυμαι;

Διεσπαρμένον ἔχων ὁ ἄσωτος ὅλον τὸν νοῦν αὐτοῦ εἰς τὰ θελήματα τῆς σαρκός, καὶ εἰς τὰς ἡδονὰς τοῦ σώματος, καὶ ζῶν ὡς ἄλογος καὶ μωρός, οὐδὲ τὴν σωματικήν, οὐδὲ τὴν ψυχικὴν αὐτοῦ κατάστασιν ᾐσθάνετο· ὅταν δὲ ἦλθεν εἰς ἑαυτόν, ἤγουν ἐσύναξε τὸν νοῦν αὐτοῦ ἀπὸ τῶν σαρκικῶν περισπασμῶν, τότε ἐνεθυμήθη τὴν ἐν τῷ οἴκῳ τοῦ πατρὸς αὐτοῦ πλουσιότητα καὶ εὐτυχίαν, καὶ ἐγνώρισε τὴν ἐλεεινὴν κατάστασιν τῆς ψυχῆς αὐτοῦ καὶ τοῦ σώματος· Πόσοι, εἶπε, μίσθιοι τοῦ πατρός μου περισσεύουσιν ἄρτων, ἐγὼ δὲ λιμῷ ἀπόλλυμαι; Τίνες δὲ εἰσιν οἱ μίσθιοι; Τρεῖς εἰσὶ τῶν σωζομένων αἱ τάξεις. Πρώτη τῶν υἱῶν, ἤγουν ἐκείνων τῶν ἀνθρώπων, οἵτινες ἐκ μόνης τῆς ἀγάπης, ἣν ἔχουσι πρὸς τὸν Θεόν, ἀφιεροῦσι καὶ τὸν νοῦν καὶ τὴν καρδίαν εἰς τοῦ Θεοῦ τὸ θέλημα, κατὰ
τό, Ὡς ἠγάπησα τὸν νόμον σου, Ψαλ. ριή.
Κύριε, ὅλην τὴν ἡμέραν μελέτη 97.
μου ἐστίν. Ἦρα τὰς χεῖράς μου Αὐτ. 48.
πρὸς τὰς ἐντολάς σου, ἃς ἠγάπησα.

σα. Δευτέρα τῶν μισθίων, οἵτινες, ὡς οἱ μεμισθωμένοι, ἀποβλέποντες εἰς τὸν μισθὸν καὶ εἰς τὴν βασιλείαν, ἣν ὑπόσχεται ὁ Θεὸς εἰς τοὺς φύλακας τῶν ἐντολῶν, φυλάττουσι τοῦ Θεοῦ τὰ προσ-
Ψαλ. ριή. τάγματα, κατὰ τό, Ἔκλινα τὴν καρ-
111. δίαν μου τοῦ ποιῆσαι τὰ δικαιώματά σου εἰς τὸν αἰῶνα δι' ἀντάμειψιν. Τρίτη τῶν δούλων, οἵτινες, ὥσπερ οἱ δοῦλοι, φοβούμενοι τὴν τοῦ δεσπότου αὐτῶν τιμωρίαν, ποιοῦσι τὸ θέλημα αὐτοῦ, οὕτω καὶ αὐτοί, φοβούμενοι τὴν ὑπὸ Θεοῦ ὁρισθεῖσαν κόλασιν εἰς τοὺς παραβάτας τῶν ἐντολῶν, φυλάττουσι τοὺς θείους νόμους, κατὰ τό,
Αυτ. 119. Καθήλωσον ἐκ τοῦ φόβου σου τὰς σάρκας μου, ἀπὸ γὰρ τῶν κριμάτων σου ἐφοβήθην. Περισσεύουσι δὲ καὶ οἱ μίσθιοι ἄρτων, ἤγουν χαρισμάτων Θεοῦ, ἐπειδὴ καὶ τὸν λόγον τοῦ Θεοῦ καθ' ἑκάστην ἀκούουσι, καὶ τοῦ οὐρανίου ἄρτου τῆς θείας εὐχαριστίας μεταλαμβάνουσι, καὶ τῶν θείων δωρεῶν μετέχουσι. Ὅταν οὖν ὁ Ἄσωτος ἐπροσήλωσε τὸν νοῦν αὐτοῦ εἰς τοὺς συλλογισμοὺς τῆς πρώτης, καὶ τῆς δευτέρας αὐτοῦ καταστάσεως, τότε ἐξεβόησε τό, Πόσοι μίσθιοι τοῦ Θεοῦ καὶ πατρός μου ἐκ περισσοῦ ἀπολαμβάνουσι τῶν θείων αὐτοῦ χαρισμάτων, ἐγὼ δέ, κἂν υἱὸς αὐτοῦ ἤμην πρότερον, καὶ τῶν πατρικῶν ἀγαθῶν ἀπελάμβανον, νῦν τούτων πάντων στερούμενος, φθείρομαι καὶ ἐξαφανίζομαι. Οὐ μόνον δὲ εἶπε ταῦτα, ἀλλὰ καὶ ἐποίησεν εὐθὺς τῆς εἰς τὸν Θεὸν ἐπιστροφῆς αὐτοῦ τὴν ἀπόφασιν.

Λουκ. ιέ. 18. Ἀναστάς, πορεύσομαι πρὸς
τὸν πατέρα μου, καὶ ἐρῶ αὐ-
τῷ· Πάτερ, ἥμαρτον εἰς τὸν
19. οὐρανόν, καὶ ἐνώπιόν σου· καὶ
οὐκέτι εἰμὶ ἄξιος κληθῆναι υἱός σου· ποίησόν με ὡς ἕνα τῶν μισθίων σου.



Ἐγερθείς, λέγει, ἀπὸ τοῦ πτώματος τῆς ἁμαρτίας, πορεύσομαι πρὸς τὸν πατέρα μου, καὶ ταῦτα λαλήσω πρὸς αὐτόν· Πάτερ, ἥμαρτον εἰς τὸν οὐρανόν, καὶ ἐνώπιόν σου. Πῶς δὲ ἥμαρτεν ὁ Ἄσωτος εἰς τὸν οὐρανόν, καὶ ἐνώπιον τοῦ Θεοῦ; Ἥμαρτε μὲν εἰς τὸν οὐρανόν, ἐπειδὴ προέκρινε καὶ προετίμησε τὴν πρόσκαιρον ἡδονὴν τῆς σαρκὸς αὐτοῦ, τῆς αἰωνίου ἀπολαύσεως τῶν ἐπουρανίων ἀγαθῶν· ἥμαρτε δὲ ἐνώπιον τοῦ Θεοῦ, ἐπειδὴ ἐνώπιον αὐτοῦ, πανταχοῦ παρόντος, περιεφρόνησε τοὺς θείους αὐτοῦ νόμους, καὶ ἐχωρίσθη ἀπ' αὐτοῦ. Βλέπε δὲ τῆς μετανοίας τὴν ταπείνωσιν· οὐ μόνον κράζει τὸ Ἥμαρτον, οὐ μόνον γνωρίζει, ὅτι οὐκ ἔστιν ἄξιος τοῦ χαρίσματος τῆς υἱοθεσίας, ἀλλὰ κρίνει ἑαυτὸν ἀνάξιον καὶ τῆς τιμῆς τοῦ ὀνόματος τῶν υἱῶν τοῦ Θεοῦ· Καὶ οὐκ εἰμὶ ἄξιος κληθῆναι υἱός σου. παρακαλεῖ δέ, ἵνα συνταχθῇ εἰς τὴν δευτέραν τάξιν τῶν μισθίων· Ποίησόν με ὡς ἕνα τῶν μισθίων σου. Μετὰ δὲ τὴν ἀπόφασιν, ἐτέλεσεν εὐθὺς καὶ τὴν πρᾶξιν.

Καὶ ἀναστάς, ἦλθε πρὸς τὸν Λουκ. ιέ. 20.
πατέρα ἑαυτοῦ. Ἔτι δὲ αὐ-
τοῦ μακρὰν ἀπέχοντος, εἶδεν
αὐτὸν ὁ πατὴρ αὐτοῦ, καὶ ἐ-
σπλαγχνίσθη· καὶ δραμὼν
ἐπέπεσεν ἐπὶ τὸν τράχηλον
αὐτοῦ, καὶ κατεφίλησεν αὐ-
τόν. Εἶπε δὲ αὐτῷ ὁ υἱός· 21.

Πά-

Πάτερ, ἥμαρτον εἰς τὸν οὐρανὸν καὶ ἐνώπιόν σου, καὶ οὐκέτι εἰμὶ ἄξιος κληθῆναι υἱός σου.

Ἡ ἐπιστροφὴ τοῦ Ἀσώτου πρὸς τὸν πατέρα αὐτοῦ, καὶ ἡ φωνὴ, Ἥμαρτον εἰς τὸν οὐρανὸν καὶ ἐνώπιόν σου, καὶ ἡ σπουδὴ καὶ προϋπάντησις τοῦ πατρὸς αὐτοῦ, καὶ ἡ ἐπὶ τὸν τράχηλον πτῶσις, καὶ ἡ περιπλοκὴ, καὶ τὰ φιλήματα σημαίνουσιν, ὅτι ὁ μὲν ἀληθῶς μετανοῶν ἁμαρτωλὸς, ἐνώπιον τοῦ Θεοῦ παριστάμενος, ἀναλογίζεται τὸ, Ἥμαρτον, ὁ δὲ φιλανθρωπότατος Θεὸς, καὶ πρὶν ἢ βοήσῃ τὸ, Ἥμαρτον, γνωρίζων τὴν ἀληθινῆς αὐτοῦ μετανοίας τὴν διάθεσιν, καὶ τῆς ἐπιστροφῆς αὐτοῦ τὴν ἀπόφασιν, εὐσπλαγχνιζόμενος καταλλάττεται μετ' αὐτοῦ, καὶ ὡς ἠγαπημένον φίλον καὶ υἱὸν αὐτοῦ ὑποδέχεται αὐτόν. Σημείωσαι δὲ, ὅτι ὁ Θεάνθρωπος πρῶτον μὲν παρέστησε τὴν ἐλεεινὴν τοῦ ἁμαρτωλοῦ κατάστασιν, ὡς ἀνωτέρω εἴπομεν, ἔπειτα περιέγραψε καὶ τῆς μετανοίας αὐτοῦ τὸν τρόπον· Ἐσύναξε, λέγει, ὁ Ἄσωτος τὸν νοῦν αὐτοῦ, τὸν εἰς τὰς σαρκικὰς ἡδονὰς ἐσκορπισμένον· Εἰς ἑαυτὸν δὲ ἐλθών. Ἐσυλλογίσθη τὴν αἰώνιον δόξαν καὶ μακαριότητα τῶν δικαίων· Πόσοι μίσθιοι τοῦ πατρός μου περισσεύουσιν ἄρτων. Ἐστοχάσθη τὰ φθοροποιὰ ἀποτελέσματα τῆς ἁμαρτίας, τὰ εἰς αὐτὸν γεγεννημένα· Ἐγὼ δὲ λιμῷ ἀπόλλυμαι. Ἀπεφάσισε τὴν ἀποχὴν τῆς ἁμαρτίας, καὶ τὴν εἰς τὸν Θεὸν ἐπιστροφήν· Ἀναστὰς, πορεύσομαι πρὸς τὸν πατέρα μου. Ἡτοίμασε τῆς ἐξομολογήσεως αὐτοῦ τὰ λόγια· Καὶ ἐρῶ αὐτῷ· Πάτερ, ἥμαρτον εἰς τὸν οὐρανὸν, καὶ ἐνώπιόν σου. Ἐταπείνωσε τὴν ψυχὴν αὐτοῦ ἐνώπιον τοῦ Θεοῦ· Καὶ οὐκέτι εἰμὶ ἄξιος κληθῆναι υἱός σου. Ἔφερεν εἰς ἔργον τὴν ἀπόφασιν αὐτοῦ· Καὶ ἀναστὰς ἦλθε πρὸς τὸν πατέρα αὐτοῦ. Ἀκούσωμεν νῦν καὶ τὰ λοιπὰ ἔργα τῆς εὐσπλαγχνίας τοῦ Θεοῦ, ὅσα ἔδειξεν εἰς τὸν τοιουτοτρόπως μετανοήσαντα.

Εἶπε δὲ ὁ πατὴρ πρὸς τοὺς Λουκ. ιέ.
δούλους αὐτοῦ· Ἐξενέγκατε 22.
τὴν στολὴν τὴν πρώτην, καὶ
ἐνδύσατε αὐτὸν, καὶ δότε δα-
κτύλιον εἰς τὴν χεῖρα αὐτοῦ,
καὶ ὑποδήματα εις τοὺς πό-
δας. Καὶ ἐξενέγκαντες τὸν 23.
μόσχον τὸν σιτευτὸν, θύσα-
τε, καὶ φαγόντες, εὐφραιθῶ-
μεν· ὅτι οὗτος ὁ υἱός μου νε- 24.
κρὸς ἦν, καὶ ἀνέζησε· καὶ
ἀπολωλὼς ἦν, καὶ εὑρέθη. Καὶ
ἤρξαντο εὐφραίνεσθαι.

Δούλους μὲν νόησον ἢ τοὺς ἁγίους Ἀγγέλους, οἵτινες εἰσὶ λειτουργικὰ Πνεύματα εἰς διακονίαν ἀποστελλόμενα τῶν θελημάτων τοῦ Θεοῦ διὰ τοὺς μέλλοντας κληρονομεῖν σωτηρίαν, ἢ τοὺς ἱερεῖς, τοὺς λειτουργοὺς καὶ ὑπηρέτας τῶν ἁγίων μυστηρίων· στολὴ δὲ πρώτη ἐστὶ τῆς υἱοθεσίας τὸ ἔνδυμα, ἤγουν ἐκείνη ἡ μακαρία κατάστασις τῆς ψυχῆς τοῦ ἀνθρώπου, ἡ πρὸ τῆς ἁμαρτίας· πρώτη στολή ἐστιν ἡ καθαρότης καὶ ἁγιωσύνη, ἣν λαμβάνει ὁ ἁμαρτωλὸς μετὰ τὴν μετάνοιαν καὶ ἄφεσιν τῶν ἁμαρτιῶν· δακτύλιον δὲ, τὰ χαρίσματα τοῦ ἁγίου Πνεύματος, (Ἑβρ. ά. 14.)

δι

δι' ὧν ἡ ψυχὴ νυμφεύεται τὸν Ἰησοῦν
Χριστὸν, τὸν νυμφίον αὐτῆς καὶ Σωτῆρα·
ὑποδήματα δὲ, ἡ δύναμις τοῦ τρέ-
χειν προθύμως τῆς ἀρετῆς τὸν δρόμον,
καὶ πατεῖν ἐπάνω τῶν νοητῶν ὄφεων,
καὶ σκορπίων· μόσχος δὲ σιτευτὸς
ὁ σαρκωθεὶς Λόγος καὶ Θεὸς, ὁ Κύριος
ἡμῶν Ἰησοῦς Χριστὸς, ὃν ἡμεῖς μετα-
λαμβάνομεν εἰς τὰ ἅγια τῶν ὀρθοδό-
ξων θυσιαστήρια. Ταῦτα μεταδίδωσιν
ὁ ἀπειροεύσπλαγχνος Θεὸς εἰς τοὺς ἀ-
ληθῶς μετανοοῦντας ἁμαρτωλοὺς, καὶ
πρὸς αὐτὸν ἐξ ὅλης ψυχῆς καὶ καρδίας
ἐπιστρέφοντας· διὰ ταῦτα δὲ χαίρουσι
πάντες οἱ ἅγιοι Ἄγγελοι, καὶ οἱ ἐν τῷ
Λουκ. ιέ. οὐρανῷ δίκαιοι, κατὰ τὸ, Χαρὰ ἔσται
7. ἐν τῷ οὐρανῷ ἐπὶ ἑνὶ ἁμαρτωλῷ
μετανοοῦντι. Αἴτιον δὲ ταύτης τῆς
οὐρανίου χαρᾶς, ἡ ἀνάστασις καὶ ἡ εὕ-
ρεσις τοῦ ἁμαρτωλοῦ. Πῶς δὲ νεκρός ἐ-
στιν ὁ ἁμαρτωλὸς, καὶ ἀνίσταται; πῶς
ἀπολωλὼς, καὶ εὑρίσκεται; Θάνατος τῆς
ψυχῆς ἐστὶ τοῦ νόμου ἡ παράβασις·
Γεν. β΄. Ἧ δ' ἂν ἡμέρᾳ φάγητε ἀπ' αὐτοῦ,
17. θανάτῳ ἀποθανεῖσθε· ἀπώλεια
Ψαλ. λϛ΄. δὲ τοῦ ἀνθρώπου ἐστὶν ἡ ἁμαρτία· Ὅ-
21. τι οἱ ἁμαρτολοὶ ἀπολοῦνται, τῆς
αἰωνίου σωτηρίας στερούμενοι, καὶ ἐν
τῷ ᾅδῃ ἀτελευτήτως καταδικαζόμενοι.
Νενεκρωμένην εἶχε τὴν ψυχὴν αὐτοῦ ὁ
Ἄσωτος καὶ ἀκίνητον εἰς τὴν ἐργασίαν
τῶν καλῶν ἔργων, ἡ δὲ τοῦ Θεοῦ χάρις
διὰ τῆς μετανοίας ἐζωοποίησεν αὐτὴν,
καὶ ἔδωκεν αὐτῇ δύναμιν εἰς τῆς ἀρετῆς
τὰ ἔργα. Ἀπολωλὼς ἦν ὁ Ἄσωτος, ἀ-
πομεμακρυμένος δηλαδὴ ἀπὸ τῆς ἀρετῆς
τὸν δρόμον, περιπλανώμενος δὲ εἰς τῆς
ἁμαρτίας τοὺς χάνδακας, ἐκεῖ δὲ εὑροῦ-
σα αὐτὸν ἡ τοῦ Θεοῦ χάρις ἀνείλκυσε,
καὶ συνέταξε μετὰ τῶν δικαίων. Διὰ
τούτων δὲ τῶν λόγων παρέστησεν εἰς ἡ-
μᾶς ὁ Θεὸς τὴν πρὸς τοὺς ἁμαρτωλοὺς
ἄπειρον αὐτοῦ εὐσπλαγχνίαν. Ὅταν ὁ
Θεὸς ἴδῃ ἀληθινὴν μετανοίας γνώμην
εἰς τὸν ἁμαρτωλὸν, τότε, κᾂν μακρὰν ἀ-
πέχῃ ἀπὸ τῆς ἐκπληρώσεως πάντων τῶν
τῆς μετανοίας ἔργων, προφθάνει αὐτὸν
ἡ τοῦ Θεοῦ εὐσπλαγχνία, θαῤῥύνου-
σα αὐτὸν εἰς τὴν τελείωσιν τοῦ δρό-
μου τῆς ἐπιστροφῆς· Ἔτι δὲ αὐτοῦ Λουκ. ιέ.
μακρὰν ἀπέχοντος, εἶδεν αὐτὸν ὁ 20.
πατὴρ αὐτοῦ, καὶ ἐσπλαγχνί-
σθη. Δέχεται αὐτὸν οὐχὶ ὡς ἐχθρὸν,
καὶ παραβάτην τῶν ἐντολῶν αὐτοῦ, ἀλ-
λ' ὡς φίλον, καὶ ποιοῦντα τὸ θέλημα
αὐτοῦ· Καὶ ἐπέπεσεν ἐπὶ τὸν τρά-
χηλον αὐτοῦ, καὶ κατεφίλησεν
αὐτόν. Ὅταν δὲ ὁ ἁμαρτωλὸς, βοήσας
τὸ, Ἥμαρτον, δείξῃ τῆς μετανοίας τὰ
ἔργα, φυγὼν ἀπὸ τῆς ἁμαρτίας, καὶ
προστρέξας πρὸς αὐτὸν, τότε δίδωσιν
αὐτῷ τὴν ἄφεσιν τῶν ἁμαρτιῶν, καὶ τὴν
πρώτην καθαρότητα καὶ ἁγιωσύνην· Ἐ-
ξενέγκατε τὴν στολὴν τὴν πρώ-
την, καὶ ἐνδύσατε αὐτόν· τότε ἀ-
ξιοῖ αὐτὸν τῆς δωρεᾶς τοῦ ἁγίου Πνεύ-
ματος· Καὶ δότε δακτύλιον εἰς τὴν
χεῖρα αὐτοῦ· τότε ἐνισχύει αὐτὸν
εἰς τὸν δρόμον τῶν ἐντολῶν αὐτοῦ· Καὶ
ὑποδήματα εἰς τοὺς πόδας· τότε
τρέφει τὴν ψυχὴν αὐτοῦ διὰ τῆς μετα-
λήψεως τοῦ παναγίου αὐτοῦ σώματος
καὶ αἵματος· Καὶ ἐξενέγκαντες τὸν
μόσχον τὸν σιτευτὸν, θύσατε·
τότε ὀνομάζει αὐτὸν υἱὸν αὐτοῦ ἐξανα-
στάντα καὶ εὑρεθέντα· Ὅτι οὗτος ὁ
υἱός μου νεκρὸς ἦν, καὶ ἀνέζησε·
καὶ ἀπολωλὼς ἦν, καὶ εὑρέθη·
τότε χαίρουσι πᾶσαι αἱ οὐράνιαι Δυ-
νάμεις, καὶ πάντων τῶν ἐν οὐρανῷ ἁ-
γίων τὰ πνεύματα· Καὶ ἤρξαντο εὐ-
φραίνεσθαι.

Ἦν δὲ ὁ υἱὸς αὐτοῦ ὁ πρεσ- Λουκ. ιέ.
βύτερος ἐν ἀγρῷ· καὶ ὡς, ἐρ- 25.
χό-

χόμενος, ἤγγισε τῇ οἰκίᾳ, ἤ-
κουσε συμφωνίας καὶ χορῶν.
Λουκ. ιε. 26. Καὶ προσκαλεσάμενος ἕνα τῶν
παίδων, ἐπυνθάνετο τί εἴη
27. ταῦτα. Ὁ δὲ εἶπεν αὐτῷ·
Ὅτι ὁ ἀδελφός σου ἥκει· καὶ
ἔθυσεν ὁ πατήρ σου τὸν μόσ-
χον τὸν σιτευτόν, ὅτι ὑγιαί-
28. νοντα αὐτὸν ἀπέλαβεν. Ὠρ-
γίσθη δέ, καὶ οὐκ ἤθελεν
εἰσελθεῖν. Ὁ οὖν πατὴρ αὐ-
τοῦ, ἐξελθών, παρεκάλει αὐ-
τόν.

Τὰ λόγια, τὰ περιλαμβανόμενα ἀπὸ τοῦ, Καὶ ὡς, ἐρχόμενος, ἕως τοῦ, Ὑγιαίνοντα αὐτὸν ἀπέλαβε, συμπλέκουσι τὴν ἔννοιαν τοῦ παραβολικοῦ λόγου· διό, ὡς ἱστορικὰ ἐκλαμβανόμενα, ἀλληγορικὸν νόημα οὐκ ἐπιδέχονται· ἡ δὲ ὀργὴ τοῦ πρεσβυτέρου υἱοῦ κινεῖ τὴν πολυθρύλλητον ἀπορίαν· πῶς δηλαδὴ ὁ πρεσβύτερος υἱός, ὅστις παρίστησι τὸ πρόσωπον τῶν δικαίων, ὀργίζεται διὰ τὴν σωτηρίαν τοῦ νεωτέρου ἀδελφοῦ αὐτοῦ, ἤγουν τοῦ ἁμαρτωλοῦ; οἱ δίκαιοι ὀργίζονται, καὶ οὐ στέργουσιν εἰσελθεῖν εἰς τὴν χαρὰν τοῦ Κυρίου διὰ τὴν σωτηρίαν τοῦ ἁμαρτωλοῦ; τοῦτο φαίνεται ἀκατανόητον. Ἐὰν ὅμως στοχασθῶμεν, ὅτι ὁ Κύριος ἐνταῦθα οὐ λαλεῖ περὶ τῶν δικαίων, τῶν ἐν τῷ οὐρανῷ, ἀλλὰ περὶ τῶν δικαίων, τῶν ἔτι ζώντων ἐν τῇ γῇ, λύεται πᾶσα ἀπορία· διδάσκουσι δὲ τοῦτο αὐτὰ τῆς Παραβολῆς τὰ λόγια, διότι λέγουσιν, ὅτι ὁ πρεσβύτερος υἱὸς ἦν ἐν ἀγρῷ· ὅτι δὲ ὁ ἀγρὸς σημαίνει οὐχὶ τὸν οὐρανόν, ἀλλὰ τὸν κόσμον, οὐδεμία ἐστὶν ἀμφιβολία, ἐπειδὴ αὐτὸς ὁ Κύριος ἡρμήνευσε τοῦτο, εἰπών· Ὁ δὲ ἀγρός ἐστιν ὁ κόσμος. (Ματ. ιγ'. 38.) Οἱ ἐν τῷ ἀγρῷ λοιπόν, ἤγουν οἱ ἐν τῷ κόσμῳ δίκαιοι, ἀτελεῖς ἔτι ὄντες, καὶ μήπω φθάσαντες εἰς τὴν ἀπάθειαν τῶν ἐν τῷ οὐρανῷ δικαίων, ταράττονται καὶ δυσχεραίνουσι, βλέποντες τὸ πρὸς τοὺς ἁμαρτωλοὺς ἔλεος τοῦ Θεοῦ, καὶ τὴν τούτων εὐτυχίαν· Ὅτι ἐζήλωσα, ἔλεγεν ὁ ἱεροψάλτης, ἐπὶ τοῖς ἀνόμοις, εἰρήνην ἁμαρτωλῶν θεωρῶν· (Ψαλ. οβ'. 3.) ὁ δὲ προφήτης Ἱερεμίας ἐβόα· Τί ὅτι ὁδὸς ἀσεβῶν εὐοδοῦται; εὐθύνησαν πάντες οἱ ἀθετοῦντες ἀθετήματα. Ἐφύτευσας αὐτοὺς, καὶ ἐῤῥιζώθησαν· ἐτεκνοποιήσαντο, καὶ ἐποίησαν καρπόν. (Ἱερ. ιβ'. 1, 2.) Πρὸς τούτοις, ἐπειδὴ ὁ Κύριος ἐλάλησε τὴν Παραβολὴν ταύτην πρὸς νουθεσίαν καὶ ἔλεγχον τῶν Γραμματέων καὶ Φαρισαίων, τῶν γογγυζόντων, ἐπειδὴ ἔβλεπον αὐτὸν δεχόμενον τοὺς ἁμαρτωλούς, καὶ συνεσθίοντα μετὰ τῶν Τελωνῶν, (Λουκ. ιε'. 1, 2.) φανερόν ἐστιν, ὅτι ὁ πρεσβύτερος υἱὸς σημαίνει κυρίως καὶ καθ' αὐτὸ τοὺς Γραμματεῖς καὶ Φαρισαίους, οἵτινες ἐνομίζοντο δίκαιοι ἐνώπιον τῶν ἀνθρώπων· αὐτοὶ δὲ ἀληθῶς ὠργίζοντο, καὶ ἐγόγγυζον, βλέποντες τὴν πρὸς τοὺς ἁμαρτωλοὺς ὑπερβάλλουσαν τοῦ Κυρίου Ἰησοῦ φιλανθρωπίαν· διὸ καὶ ἤλεγχεν αὐτοὺς ὁ Ὑπεράγαθος, λέγων· Οὐαὶ δὲ ὑμῖν Γραμματεῖς καὶ Φαρισαῖοι ὑποκριταί, ὅτι κλείετε τὴν βασιλείαν τῶν οὐρανῶν ἔμπροσθεν τῶν ἀνθρώπων· ὑμεῖς γὰρ οὐκ εἰσέρχεσθε, οὐδὲ τοὺς εἰσερχομένους ἀφίετε εἰσελθεῖν. (Ματ. κγ'. 13.) Καὶ αὐτοὶ μὲν ὠργίζοντο, ὁ δὲ Θεάνθρωπος παντοιοτρόπως παρεκάλει αὐτούς, ἡσυχάσαι θέλων τὴν ὀργὴν αὐτῶν καὶ ἀδιακρισίαν. Ἀκούσωμεν δὲ νῦν καὶ τὰ τῆς ὀργῆς αὐτῶν δικαιώματα.

Ὁ

Λουκ. ιε. 29. Ὁ δὲ ἀποκριθεὶς εἶπε τῷ
πατρί· Ἰδοὺ, τοσαῦτα ἔτη
δουλεύω σοι, καὶ οὐδέποτε ἐν-
τολήν σου παρῆλθον, καὶ ἐ-
μοὶ οὐδέποτε ἔδωκας ἔριφον,
ἵνα μετὰ τῶν φίλων μου εὐ-
30. φρανθῶ. Ὅτε δὲ ὁ υἱός σου
οὗτος, ὁ καταφαγών σου τὸν
βίον μετὰ πορνῶν, ἦλθεν, ἔ-
θυσας αὐτῷ τὸν μόσχον τὸν
σιτευτόν.

*Δύω εἰσὶ τῶν νομιζομένων δικαίων τὰ δικαιώματα, ἢ ὀρθότερον εἰπεῖν, αἱ κατὰ τοῦ Θεοῦ μέμψεις· πρώτη ἡ πολυετὴς αὐτῶν ὑπηρεσία, καὶ ἡ ὑπακοὴ, ἥτις ἔμεινεν ἀβράβευτος, δευτέρα δὲ ἡ ἀνυποταξία τοῦ ἁμαρτωλοῦ, καὶ ἡ παρανομία, ἥτις ἔλαβε βραβεῖον τὸν μόσχον τὸν σιτευτόν. Δεικνύουσι δὲ καὶ αὐταὶ αἱ μέμψεις, ὅτι οὐκ εἰσὶ λόγια τῶν ἀληθῶς δικαίων, ἀλλὰ τῶν Γραμματέων καὶ Φαρισαίων, οἵτινες ἐνομίζοντο, ἀλλ' οὐκ ἦσαν δίκαιοι, διότι τίς ἐστιν ἐκεῖνος ὁ ἀληθὴς δίκαιος, ὅστις καυχᾶται, ὅτι ἐδούλευσε πολλὰ ἔτη τῷ Θεῷ; τίς ἀληθὴς δίκαιος ἐξελέγχει καὶ καταδικάζει τοὺς ἁμαρτωλούς; ἢ τίς ἀληθὴς δίκαιος μένει ἄμοιρος τῆς μεταλήψεως τοῦ μόσχου τοῦ σιτευτοῦ, ἤγουν τοῦ ζωοποιοῦ σώματος καὶ αἵματος τοῦ Ἰησοῦ Χριστοῦ; Οἱ Γραμματεῖς καὶ οἱ Φαρισαῖοι, ὑποκριταὶ ὄντες, καὶ ἐκαυχῶντο ἐπὶ τοῖς κατορθώμασιν αὐτῶν, καὶ ἀπεστρέφοντο τοὺς ἁμαρτωλοὺς, καὶ ἐστερημένοι ἦσαν οὐ μόνον τῶν μεγάλων, ἀλλὰ καὶ τῶν μικρῶν τοῦ Θεοῦ δωρημάτων, τῶν διὰ τοῦ ἐρίφου σημαινομένων· ἐπίτηδες δὲ ὁ Θεάνθρωπος ἔθηκεν εἰς τὸ στόμα αὐτῶν ταῦτα τὰ παραβολικὰ λόγια· Καὶ ἐμοὶ οὐδέποτε ἔδωκας ἔριφον, ἵνα διὰ τούτων δηλώσῃ, ὅτι ἦσαν γυμνοὶ καὶ ἐστερημένοι πάσης θείας χάριτος. Τί δὲ πρὸς ταῦτα ἀποκρίνεται εἰς αὐτοὺς ὁ Θεός;*

Ὁ δὲ εἶπεν αὐτῷ· Τέκνον, Λουκ. ιε. 31.
σὺ πάντοτε μετ' ἐμοῦ εἶ, καὶ
πάντα τὰ ἐμὰ σά ἐστιν.
Εὐφρανθῆναι δὲ καὶ χαρῆναι 32.
ἔδει, ὅτι ὁ ἀδελφός σου οὗτος
νεκρὸς ἦν, καὶ ἀνέζησε, καὶ
ἀπολωλὼς ἦν, καὶ εὑρέθη.

*Ἀπαντᾷ εἰς τὰς μέμψεις, καὶ ὑποτιθέμενος, ὅτι οἱ Γραμματεῖς καὶ οἱ Φαρισαῖοι ἦσαν ἅγιοι καὶ δίκαιοι, ὡς αὐτοὶ ἑαυτοὺς καὶ οἱ ἄλλοι ἐνόμιζον, ὡς πατὴρ φιλόστοργος νουθετεῖ αὐτούς· Τέκνον, λέγει, ἐὰν σὺ ὑπάρχῃς δίκαιος, σὺ πάντοτε εὑρίσκεσαι συνηνωμένος μετ' ἐμοῦ, καὶ πάντα ὅσα ἔχω σά εἰσιν, ἐπειδὴ σὺ ὑπάρχεις υἱός μου, καὶ κληρονόμος τῆς βασιλείας μου· ἔπρεπε δὲ οὐ μόνον ἐμοὶ, ἀλλὰ καὶ σοὶ ἡ χαρὰ καὶ εὐφροσύνη διὰ τὴν εὕρεσιν καὶ ἀνάστασιν τοῦ ἀδελφοῦ σου.*

# ΟΜΙΛΙΑ

ΜΕΤΑ ΤΟ ΚΑΤΑ

# ΛΟΥΚΑΝ

## ΕΥΑΓΓΕΛΙΟΝ ΤΗΣ ΚΥΡΙΑΚΗΣ ΤΟΥ ΑΣΩΤΟΥ.

Διὰ τῆς μετανοίας καὶ ἐπιστροφῆς τοῦ Ἀσώτου παρέδωκεν ἡμῖν ὁ Θεάνθρωπος τὸν τύπον καὶ κανόνα τῆς ἀληθινῆς μετανοίας καὶ ἐξομολογήσεως. Ἐὰν περιερευνήσωμεν τοῦτον τὸν κανόνα, καὶ στοχασθῶμεν τίνι τρόπῳ ἡμεῖς τὴν σήμερον μετανοοῦμεν, καὶ ἐξομολογούμεθα, εὑρίσκομεν τόσην διαφορὰν μεταξὺ αὐτῶν, ὅσην ἔχει ὁ οὐρανὸς ἀπὸ τῆς γῆς. Ἀρχὴ τῆς μετανοίας τοῦ Ἀσώτου ἐστὶ τὸ, Εἰς ἑαυτὸν δὲ ἐλθών· ἀληθῶς δὲ τοῦτό ἐστιν ἡ πρώτη ἀρχὴ τῆς ἀληθινῆς μετανοίας, χωρὶς δὲ τούτου οὐδεὶς ἔρχεται εἰς μετάνοιαν, διότι, ἐὰν μὴ γνωρίσῃς τὰς ἁμαρτίας σου, πῶς δύνασαι νὰ μετανοήσῃς; ἐὰν δὲ μὴ συλλογισθῇς ὅσα ἔπραξας, πῶς δύνασαι νὰ γνωρίσῃς τὰς ἁμαρτίας σου; ἐὰν δὲ μὴ συνάξῃς τὸν νοῦν σου, καὶ ἀφιερώσῃς αὐτὸν εἰς τὴν ἔρευναν τοῦ ἑαυτοῦ σου, πῶς δύνασαι νὰ ἀναλογισθῇς τὰς πράξεις σου; ὁ Ἄσωτος, ἀποχωρίσας τὸν νοῦν αὐτοῦ ἀπὸ τῶν λογισμῶν τῆς ἀσωτείας, περιέκλεισεν αὐτὸν εἰς τὴν θεωρίαν καὶ ἔρευναν τῆς ἰδίας καταστάσεως· ἐξερευνῶν δὲ τὴν ἰδίαν κατάστασιν, τοὺς λογισμοὺς δηλαδὴ, τὰ λόγια, καὶ τὰς πράξεις αὐτοῦ, εἶδεν εὐθὺς πάσας τὰς ἀνομίας αὐτοῦ· ὅθεν ἐγνώρισε τίνα παρώργισεν, ὑπὸ τίνος ἐχωρίσθη, πόθεν ἐξέπεσε, καὶ ποῦ κατεποντίσθη· εἶδε τὸν βόρβορον τῶν ἀνομιῶν αὐτοῦ, καὶ ᾐσθάνθη τὴν δυσωδίαν τῶν ἁμαρτιῶν αὐτοῦ, τὴν στέρησιν τῆς θείας χάριτος, καὶ τὴν ἀπώλειαν τῆς ψυχῆς αὐτοῦ· Εἰς ἑαυτὸν δὲ ἐλθών. Ἐσυλλογίσθη τῆς πρώτης καταστάσεως αὐτοῦ τὴν ἀθωότητα καὶ ἀρετὴν, καὶ ἀνεμνήσθη τῆς δόξης καὶ τιμῆς, καὶ τῶν θείων ἀγαθῶν, ὧν ἀπολαμβάνουσιν ἐκ περισσοῦ πάντες οἱ τῷ Θεῷ δουλεύοντες, καὶ μετ' αὐτοῦ διαμένοντες· αὐτὴ δὲ ἡ παράθεσις τῆς πρώτης καταστάσεως τῆς ἁγίας, καὶ τῆς δευτέρας τῆς ἁμαρτωλοῦ, ἔπληξε καιρίως τὴν κεκαρωμένην αὐτοῦ καρδίαν, καὶ ἔφερεν εἰς τὸ στόμα αὐτοῦ ταῦτα τὰ κατανυκτικὰ λόγια· Πόσοι μίσθιοι τοῦ
Λουκ. ιε'. 17.
πατρός μου περισσεύουσιν ἄρτων, ἐγὼ δὲ λιμῷ ἀπόλλυμαι· ταῦτα δὲ σύμφωνά εἰσι τοῖς λόγοις, οὓς ἐλάλησεν ὁ Θεὸς διὰ τοῦ προφήτου Ἡσαΐου· Τάδε λέγει Κύριος, Ἰδοὺ οἱ δου-
Ἡσ. ξε'. 13, 14.
λεύοντές μοι φάγονται, ὑμεῖς δὲ πεινάσετε· ἰδοὺ οἱ δουλεύοντές μοι πίονται, ὑμεῖς δὲ διψήσετε· ἰδοὺ οἱ δουλεύοντές μοι εὐφρανθήσονται, ὑμεῖς δὲ αἰσχυνθήσεσθε· ἰδοὺ οἱ δουλεύοντές μοι ἀγαλλιάσονται ἐν εὐφροσύνῃ, ὑμεῖς δὲ κεκράξεσθε διὰ τὸν πόνον τῆς καρδίας ὑμῶν, καὶ ἀπὸ συντριβῆς πνεύματος ὑμῶν ὀλολύξετε.

Εἴπατέ μοι νῦν, ποῖος ἐξ ἡμῶν τὴν σήμερον βάλλει ἀρχὴν τῆς μετανοίας αὐτοῦ τὴν ἐπιστροφὴν τοῦ νοὸς αὐτοῦ

εἰς

εἰς τὴν θεωρίαν τῆς ἰδίας ζωῆς καὶ πολιτείας; τίς, λέγω, μετανοῆσαι θέλων, ἀποσπᾷ πρῶτον τὸν νοῦν αὐτοῦ ἀπὸ τῶν σαρκικῶν καὶ κοσμικῶν διαλογισμῶν καὶ ἐνθυμήσεων, καὶ ἔπειτα ἐρευνᾷ τὴν συνείδησιν αὐτοῦ, καὶ συλλογίζεται ὅσα ἥμαρτε κατὰ διάνοιαν, ὅσα διὰ λόγου, ὅσα διὰ τῶν πράξεων; τίς συλλογίζεται, ὅτι διὰ τὰς ἁμαρτίας αὐτοῦ ἐγένετο ἀνάξιος τῆς θείας βασιλείας, καὶ ὑπόδικος τῆς αἰωνίου κολάσεως; τίς συγκρίνει τὴν κατάστασιν αὐτοῦ μετὰ τῆς ζωῆς καὶ μακαριότητος τῶν δικαίων; Οὐδείς· τὴν σήμερον καθεὶς βάλλει ἀρχὴν καὶ θεμέλιον τῆς μετανοίας αὐτοῦ ταῦτα τὰ λόγια· Ὑπάγω εἰς τὸν πνευματικὸν, ἵνα ἐξομολογηθῶ. Ἄνθρωπε, τί ποιεῖς; ἐὰν ἔμελλες ὑπάγειν εἰς τινὰ τῶν μεγάλων Ἀρχόντων, ἵνα ζητήσῃς συγχώρησιν διὰ τὸ κατ᾽ αὐτοῦ σφάλμα σου, ἆρά γε ἐτόλμας ἐλθεῖν πρὸς αὐτὸν οὕτως ἀνετοίμως καὶ ἀπερισκέπτως; ἔλεγες ἆρά γε καὶ τότε, Ὑπάγω εἰς τὸν Ἄρχοντα, ἵνα φανερώσω τὸ σφάλμα μου; Οὐχί· πολλοὶ στοχασμοὶ πρῶτον ἀνέβαινον εἰς τὸν νοῦν σου περὶ τοῦ βάρους τοῦ σφάλματός σου, ἔπειτα πολλὴν σκέψιν ἐποίεις περὶ τοῦ, πῶς νὰ παρασταθῇς ἐνώπιον τοῦ Ἄρχοντος, καὶ πολλὴν ἑτοιμασίαν τῶν λόγων, ὧν ἔμελλες εἰπεῖν ἐνώπιον αὐτοῦ, καὶ ζητῆσαι τὴν συγχώρησιν· πολὺς δὲ καὶ φόβος ἐνέπιπτεν εἰς τὴν καρδίαν σου, μήπως ἀντὶ συγχωρήσεως λάβῃς τιμωρίαν· μέλλων δὲ παρασταθῆναι ἐνώπιον τοῦ Θεοῦ, τοῦ Δημιουργοῦ καὶ Ἐξουσιαστοῦ πάσης τῆς κτίσεως, τοῦ δικαίου καὶ φοβεροῦ Κριτοῦ, ἵνα ἐξομολογηθῇς ἐνώπιον αὐτοῦ τὰς ἀνομίας σου, καὶ ὁμολογήσῃς, ὅτι παρέβης τὰς ἐντολὰς αὐτοῦ, καὶ ζητήσῃς παρ᾽ αὐτοῦ τὴν συγχώρησιν τοῦ πλήθους τῶν ἁμαρτιῶν σου, τολμᾷς, καὶ ἔρχεσαι, μὴ συλλογισθεὶς πρότερον μηδὲ τὸν ἀριθμὸν, μηδὲ τὸ βάρος τῶν ἁμαρτημάτων σου, μηδὲ τὸ τί νὰ λαλήσῃς, μηδὲ διὰ ποίων λόγων νὰ ζητήσῃς τὴν συγχώρησιν; αὐτὸ, ὅπερ λέγεις, Ὑπάγω, ἵνα ἐξομολογηθῶ, χωρίς τινος ἄλλου προστοχασμοῦ καὶ προετοιμασίας, οὐκ ἔστιν ἀρχὴ μετανοίας, ἀλλ᾽ ἀσυλλογιστία, καὶ αὐθάδεια, καὶ περιφρόνησις τῆς σωτηρίας σου.

Ἐνατενίσατε πάλιν εἰς τῆς μετανοίας τὸν τύπον· στοχασθῆτε, λέγω, τί ἔπραξεν ὁ Ἄσωτος μετὰ τὴν πρώτην προετοιμασίαν, ἣν ἠκούσατε· Ἀναστὰς, εἶπε, πορεύσομαι πρὸς τὸν πατέρα μου. Ἀκούεις; Ἀναστὰς, εἶπε· καὶ μὴ νομίσῃς, ὅτι ἐκάθητο, καὶ διὰ τοῦτο εἶπεν, Ἀναστὰς, διότι αὐτὸς οὐκ ἦν καθήμενος ἐπὶ τὴν πέτραν τῆς ἀρετῆς, ἀλλὰ πεπτωκὼς ἦν καὶ κατακείμενος εἰς τῆς ἁμαρτίας τὸ βάραθρον· σημαίνει δὲ τὸ, Ἀναστὰς, τὴν ἀπόφασιν τῆς ψυχῆς, καὶ τῆς τελείας ἀποχῆς ἀπὸ τῆς ἁμαρτίας, καὶ τῆς πρὸς τὸν Θεὸν ἐπιστροφῆς αὐτοῦ· διὸ εἰπὼν τὸ, Ἀναστὰς, προσέθηκεν εὐθὺς καὶ τὸ, Πορεύσομαι πρὸς τὸν πατέρα μου. Ἄκουσον δὲ, πῶς προητοίμασε καὶ τὰ λόγια τῆς ἐξομολογήσεως αὐτοῦ· Καὶ ἐρῶ αὐτῷ· Πάτερ, ἥμαρτον εἰς τὸν οὐρανὸν, καὶ ἐνώπιόν σου· καὶ οὐκέτι εἰμὶ ἄξιος κληθῆναι υἱός σου· ἔτι δὲ καὶ τὰ λόγια, διὰ τῶν ὁποίων ἐζήτησε παρὰ Θεοῦ τὴν συγχώρησιν· Ποίησόν με ὡς ἕνα τῶν μισθίων σου.

Λουκ. ιε. 18.

Λέγομεν ἆρά γε ἡμεῖς πρὸ τῆς ἐξομολογήσεως τὸ, Ἀναστὰς, τοῦ Ἀσώτου; ἤγουν ἀποφασίζομεν πρὸ τῆς ἐξομολογήσεως τὴν τελείαν ἀποχὴν τῶν ἁμαρτημάτων; Οὐχί· ἀλλ᾽ οὗτος μὲν, ὅταν λέγῃ, Ὑπάγω, ἵνα ἐξομολογηθῶ, κρατεῖ σφικτὰ εἰς τὰς χεῖρας αὐτοῦ τὸ ξέ-

ξένον πρᾶγμα· ἐκεῖνος δὲ ἀσφαλίζει ἀκριβῶς εἰς τὴν καρδίαν αὐτοῦ τὸ μῖσος καὶ τὸν φθόνον· ὁ ἄλλος ἔχει εἰς τὸ στόμα τὴν κατάκρισιν τῶν ἀδελφῶν αὐτοῦ· οὗτος οὐ χωρίζεται ἀπὸ τῆς παρανόμου γυναικὸς, ἐκεῖνος ἔτι συναναστρέφεται τὰ πρόσωπα, τὰ ἐξεγείροντα τῆς σαρκὸς τὰς ἐπιθυμίας· πρὶν τῆς ἐξομολογήσεως, οὐδὲ μελέτη καὶ ἀνάμνησις τῶν ἁμαρτιῶν γίνεται, οὐδὲ ἀπόφασις τελείας ἀποχῆς ἀπὸ τῆς ἀνομίας, οὐδὲ προετοιμασία τῶν λόγων τῆς ἐξομολογήσεως, οὐδὲ ἄλλο τι τῶν ὅσα ἀναγκαῖά εἰσι διὰ τὴν μετάνοιαν, καὶ ἐξομολόγησιν· ἐρχόμεθα δὲ εἰς τὸν πνευματικὸν πατέρα πολλάκις κατ' αὐτὴν τὴν ἐσχάτην ἡμέραν τῆς νηστείας, εὑρίσκομεν δὲ αὐτὸν προθυμούμενον μὲν, ἵνα εὐαρεστήσῃ πᾶν τὸ πλῆθος τῶν περιμενόντων ἐξομολογηθῆναι, ἔχοντα ὅμως καὶ τὸν νοῦν συγκεχυμένον ὑπὸ τῆς παρατεταμένης προσοχῆς, καὶ τὴν γλῶσσαν ἄτονον ὑπὸ τῶν πολλῶν νουθεσιῶν· παρασταθέντες δὲ ἐνώπιον αὐτοῦ, περιμένομεν, ἵνα αὐτὸς ἐρευνήσῃ τὰ βάθη τῆς καρδίας ἡμῶν, καὶ ἐρωτήσῃ εἰς ποῖα ἁμαρτήματα περιεπέσαμεν, καὶ ποσάκις, καὶ πότε, καὶ τὰς λοιπὰς τῆς ἁμαρτίας περιστάσεις· περιμένομεν, ἵνα αὐτὸς βάλῃ εἰς τὸ στόμα ἡμῶν καὶ τὴν ὑπόσχεσιν τῆς ἀποχῆς τῶν ἁμαρτιῶν, καὶ τῆς μετανοίας τὰ λόγια, ὥσπερ ἂν εἰ οὐκ εἴχομεν οὐδὲ νοῦν, οὐδὲ θέλησιν, οὐδὲ λόγον, οὐδὲ στόμα. Ὦ πόσον ἀμφίβολός ἐστιν ἡ ἄφεσις τῶν ἁμαρτιῶν μετὰ τὴν τοιαύτην ἐξομολόγησιν, κἂν ὁ πνευματικὸς πατὴρ μετὰ κατανύξεως ἀναγινώσκῃ τὴν συγχωρητικὴν εὐχήν! Ὦ, καὶ πῶς, μετὰ τὴν τοιαύτην μετάνοιαν καὶ ἐξομολόγησιν, τολμῶντες πλησιάζομεν εἰς τὸ θυσιαστήριον τοῦ Θεοῦ, καὶ μεταλαμβάνομεν τῶν ἁγίων καὶ φρικτῶν μυστηρίων;

Ἀλλ' ὁ Θεὸς, λέγεις, ἐστὶν ἀπειροεύσπλαγχνος· ἔτι μακρὰν ἀπ' αὐτοῦ ἀπεῖχεν ὁ Ἄσωτος, καὶ αὐτὸς ἔτρεξε, καὶ ἦλθε πρὸς αὐτὸν, καὶ ἔπεσεν ἐπὶ τὸν τράχηλον αὐτοῦ, καὶ κατεφίλησεν αὐτόν· ἔπειτα ἔδωκεν εἰς αὐτὸν πάντα τὰ θεῖα αὐτοῦ χαρίσματα, καὶ αὐτὸν τὸν μόσχον τὸν σιτευτόν. Ναὶ ἀληθῶς, ταῦτα πάντα εἰσὶν ἀληθῆ καὶ βέβαια· ἀλλὰ πόθεν ἔμαθες ταῦτα; ταῦτα ἔμαθες ἐκ τοῦ ἁγίου Εὐαγγελίου· διατί οὖν ἀναγινώσκεις ἐν τῷ Εὐαγγελίῳ μόνον τὴν ἀπόδειξιν τῆς ἀπείρου εὐσπλαγχνίας τοῦ Θεοῦ, καὶ οὐ βλέπεις καὶ τὸν τρόπον τῆς μετανοίας τοῦ ἁμαρτωλοῦ; ἤκουσας, ὅτι ὁ Θεὸς ἔδειξεν ἄπειρον εὐσπλαγχνίαν εἰς τὸν Ἄσωτον, ἀλλ' ἤκουσας καὶ τὸ πῶς ὁ Ἄσωτος ἐπέτυχε τοῦ τοιούτου ἐλέους· ἤκουσας, ὅτι ἦλθεν εἰς ἑαυτὸν, ὅτι ἐσυλλογίσθη πρῶτον τὰς ἁμαρτίας αὐτοῦ, ὅτι ἐλυπήθη διὰ τὴν στέρησιν τῆς θείας χάριτος, ὅτι προητοίμασεν ἑαυτὸν εἰς τὴν μετάνοιαν καὶ ἐξομολόγησιν, ὅτι ἐγκατέλιπε τὴν ἁμαρτίαν, καὶ ἐπέστρεψεν εἰς τὸν Θεόν· ἐὰν βλέπῃς μόνον τὸ ἔλεος τῆς εὐσπλαγχνίας, καὶ παραβλέπῃς τὴν προετοιμασίαν τῆς μετανοίας, ὁμοιάζεις ἐκεῖνον τὸν ἄνθρωπον, ὅστις βλέπει μόνον ἕνα βαθμὸν τῆς κλίμακος, τὸν ἀνώτατον, τοὺς δὲ ἄλλους παραβλέπει· ὅθεν ἐκτείνων τὸν πόδα αὐτοῦ, ἵνα ἀναβῇ ἀμέσως εἰς τὸν πρῶτον βαθμὸν, ἀντὶ νὰ ἀνέβῃ, πίπτει, καὶ κατακρημνίζεται.

Ἡ εὐσπλαγχνία τοῦ Θεοῦ ἐστὶν ἄπειρος, ἐκείνους ὅμως ὁ Θεὸς εὐσπλαγχνίζεται, ὅσοι γίνονται ἄξιοι τῆς εὐσπλαγχνίας αὐτοῦ. Ἐὰν μετανοήσῃς ὡς ὁ Ἄσωτος, λαμβάνεις τὴν ἄφεσιν τῶν ἁμαρτιῶν, καὶ ὅσα θεῖα χαρίσματα ἔλαβεν ἐκεῖνος· ἐλθὲ πρὸ τῆς ἐξομολογήσεώς σου εἰς τὸν ἑαυτόν σου, ὡς ὁ Ἄσωτος, σύναξον τὸν νοῦν σου τὸν ἐσκορπι-

πισμένον εἰς τὰς ἡδονὰς καὶ ματαιότητας τῆς σαρκὸς, καὶ ἀναλόγισαι πᾶσαν ἁμαρτίαν σου μετὰ τῶν αὐτῆς περιστάσεων· συλλογίσθητι, ὡς ἐκεῖνος, ποῖον παρώργισας, καὶ πόσων ἀγαθῶν ἐστερήθης· ἀποφάσισον ἐξ ὅλης ψυχῆς καὶ καρδίας, ἵνα ἐγκαταλείψης τὴν ἁμαρτίαν, καὶ ἐπιστρέψης εἰς τὸν Θεόν· ἑτοίμασον τῆς ἐξομολογήσεώς σου τὰ λόγια, κατάνυξον τὴν καρδίαν σου, καὶ ἐξάγαγε δάκρυα ἀπὸ τῶν ὀφθαλμῶν σου· τότε δὲ, οὕτω προητοιμασμένος, λέγε,
Λουκ. ιέ. 18. Ὑπάγω, ἵνα ἐξομολογηθῶ· Ἀναστὰς, πορεύσομαι πρὸς τὸν πατέρα μου· τοιουτοτρόπως προητοιμασμένος, ἔρχου πρὸς τὸν πνευματικὸν, ὅστις κατὰ τὴν ὥραν τῆς ἐξομολογήσεως παρίστησι τὸ πρόσωπον τοῦ Θεοῦ καὶ Σωτῆρός σου· ἐλθὼν δὲ πρὸς αὐτὸν, μὴ ὡς ἄφωνος περιμένῃς, ἵνα αὐτός σε ἐρωτᾷ, σὺ δὲ ἀποκρίνεσαι μόνον τὸ ναὶ, ἢ τὸ οὔ, ἀλλ᾽ ὡς εὔλαλος εἰπὲ σὺ τὰς ἁμαρτίας σου μετὰ τῶν ἀναγκαίων περιστάσεων· λέγων δὲ αὐτὰς, μὴ προφασίζεσαι προφάσεις ἐν ταῖς ἁμαρτίαις σου, μὴ καταδικάζῃς ἄλλους, ἀλλὰ σεαυτὸν ὡμολόγει πταίστην· Ἥμαρτον, λέγε, εἰς τὸν οὐρανὸν, καὶ ἐνώπιον τοῦ Θεοῦ· τοιουτοτρόπως ἀναβαίνεις ἀπὸ βαθμοῦ εἰς βαθμὸν τὴν σωτηριώδη τῆς ἀληθινῆς μετανοίας κλίμακα, καὶ φθάνεις εἰς τὸν βαθμὸν, ἐν ᾧ εὑρίσκεις τὴν εὐσπλαγχνίαν τοῦ Θεοῦ, ἥτις συγχωρεῖ πάσας τὰς ἁμαρτίας σου, καὶ ἀξιοῖ σε τῶν θείων χαρισμάτων.

Ἀδελφοί μου ἀγαπητοὶ, οὗτός ἐστιν ὁ κανὼν τῆς μετανοίας καὶ ἐξομολογήσεως, τὸν ὁποῖον ὁ θεάνθρωπος Ἰησοῦς ἐτύπωσε διὰ τῶν παραβολικῶν λόγων τοῦ σημερινοῦ Εὐαγγελίου· καὶ ὅστις μὲν οὐ στοιχεῖ τῷ κανόνι τούτῳ, ἐκείνου καὶ ἡ μετάνοιά ἐστιν ἀμφίβολος, καὶ ἡ ἐξομολόγησις ἀτελὴς, καὶ ἡ ἄφεσις τῶν ἁμαρτιῶν ἀβέβαιος· μακάριος δὲ, ὅστις φυλάττει τοῦτον τὸν θεοπαράδοτον κανόνα· μακάριος, ὅστις τοιουτοτρόπως προετοιμάζεται, καὶ τοιουτοτρόπως ἐξομολογεῖται· αὐτὸν ἀναμφιβόλως δέχεται ὁ Θεὸς, καὶ πίπτει ἐπὶ τὸν τράχηλον αὐτοῦ, καὶ καταφιλεῖ αὐτόν· ἀναμφίβολόν ἐστιν, ὅτι ὁ μὲν πνευματικὸς πατὴρ ἐκφωνεῖ ὑπὲρ αὐτοῦ ὧδε εἰς τὴν γῆν τὸ, Τέκνον, ἀφέωνταί σοι αἱ ἁμαρτίαι σου, ὁ δὲ Θεὸς ἐξ οὐρανοῦ ἄνωθεν δίδωσιν εἰς αὐτὸν τὴν ἄφεσιν τῶν ἁμαρτιῶν· ἀναμφίβολόν ἐστιν, ὅτι αὐτὸς ἐνδύεται τῆς σωτηρίας τὸν χιτῶνα, καὶ λαμβάνει τοῦ παναγίου Πνεύματος τὴν χάριν, καὶ κατευθύνει τῆς ψυχῆς αὐτοῦ τὰ διαβήματα εἰς τὴν ὁδὸν τῶν θείων ἐντολῶν, καὶ καταξιοῦται θεοπρεπῶς τῆς μεταλήψεως τῶν θείων μυστηρίων· ἀναμφίβολόν ἐστιν, ὅτι ὅστις ἁμαρτωλὸς τοιουτοτρόπως μετανοήσῃ καὶ ἐξομολογηθῇ, γίνεται υἱὸς Θεοῦ, καὶ κληρονόμος τῆς αἰωνίου αὐτοῦ βασιλείας, ἐν Χριστῷ Ἰησοῦ τῷ Σωτῆρι ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

# ΕΡΜΗΝΕΙΑ

ΕΙΣ ΤΟ ΚΑΤΑ

# ΜΑΤΘΑΙΟΝ

## ΕΥΑΓΓΕΛΙΟΝ ΤΗΣ ΚΥΡΙΑΚΗΣ ΤΗΣ ΑΠΟΚΡΕΩ.

*Οὐδεμία εὐαγγελικὴ δογματικὴ ὑπόθεσις οὐδὲ πλέον καθαρὰ, οὐδὲ πλέον φοβερὰ τῆς ὑποθέσεως τοῦ σήμερον ἀναγνωσθέντος Εὐαγγελίου. Ὁ μονογενὴς Υἱὸς καὶ Λόγος τοῦ Θεοῦ ἔρχεται πάλιν εἰς τὴν γῆν οὐχ ὡς τὸ πρῶτον ἀφανὴς καὶ ἄδοξος, ἀλλὰ μετὰ πολλῆς δόξης, καὶ τῆς θεϊκῆς μεγαλοπρεπείας καὶ λαμπρότητος· ἔρχεται δὲ, οὐχ ἵνα σώσῃ τὸν κόσμον, ὡς πρότερον, ἀλλ' ἵνα κρίνῃ πάντας τοὺς ἀπ' αἰῶνος ἀνθρώπους, ζῶντάς τε καὶ νεκρούς· ἀνταποδίδωσι δὲ εἰς μὲν τοὺς τὰ καλὰ πράξαντας, βασιλείαν, εἰς δὲ τοὺς τὰ κακὰ ποιήσαντας, κόλασιν· ἐπίσης δὲ καὶ ἡ βασιλεία, καὶ ἡ κόλασις ἐστὶν αἰώνιος καὶ ἀτελεύτητος. Ταύτην τὴν διδασκαλίαν μετὰ πάσης σαφηνείας καὶ καθαρότητος διδάσκει τὸ σημερινὸν Εὐαγγέλιον· ἐξ αὐτῆς δὲ συνίσταται τὸ ἄρθρον τῆς πίστεως, τὸ ἐν τῷ ἁγίῳ συμβόλῳ περιεχόμενον, καὶ ὑπὸ πάντων τῶν ὀρθοδόξων Χριστιανῶν πιστευόμενον, καὶ ὁμολογούμενον, ἤγουν τὸ, Καὶ πάλιν ἐρχόμενον κρῖναι ζῶντας καὶ νεκροὺς, οὗ τῆς βασιλείας οὐκ ἔσται τέλος. Ἆρά γε δὲ ὁ φοβερὸς καὶ δικαιότατος Κριτὴς, ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, μόνον τὰ περὶ ἐλεημοσύνης ἐξετάζει, καὶ εἰς μὲν τοὺς ἐλεήμονας δίδωσι τὴν βασιλείαν τὴν αἰώνιον, εἰς δὲ τοὺς ἀνελεήμονας τὴν κόλασιν τὴν ἀτελεύτητον; ἐὰν οὕτως ἔχῃ, ὁ φόβος οὐκ ἔστι τοσοῦτον μέγας, διότι καθεὶς εὔκολα γίνεται ἐλεήμων, καὶ σώζεται. Ἀκούσατε πρῶτον τὴν ἑρμηνείαν τῶν σήμερον ἀναγνωσθέντων εὐαγγελικῶν λόγων, ἔπειτα ἀκούετε καὶ τὴν λύσιν τῆς προκειμένης ἀπορίας.*

Εἶπεν ὁ Κύριος· Ὅταν ἔλθῃ ὁ Υἱὸς τοῦ ἀνθρώπου ἐν τῇ δόξῃ αὐτοῦ, καὶ πάντες οἱ ἅγιοι Ἄγγελοι μετ' αὐτοῦ, τότε καθίσει ἐπὶ θρόνου δόξης αὐτοῦ. **Ματ. κέ. 31.**

*Οὐκ ἐφανέρωσεν εἰς ἡμᾶς ὁ Θεάνθρωπος, οὐδὲ εἰς ποῖον μέρος τῆς γῆς ἐλεύσεται, οὐδὲ ποῦ στήσει τὸν θρόνον τῆς δόξης, ἐν ᾧ καθίσας κρινεῖ τὸν κόσμον. Τινὲς δὲ ἀκούοντες τὸν προφήτην Ἰωὴλ, λέγοντα· Καὶ συνάξω πάντα τὰ ἔθνη, καὶ κατάξω αὐτὰ εἰς τὴν κοιλάδα Ἰωσαφὰτ, καὶ διακριθήσομαι πρὸς αὐτοὺς ἐκεῖ ὑπὲρ τοῦ λαοῦ μου. Ἐξεγειρέσθωσαν, ἀναβαινέτωσαν πάντα τὰ ἔθνη εἰς τὴν κοιλάδα Ἰωσαφὰτ, διότι ἐκεῖ καθιῶ τοῦ διακρῖναι πάντα τὰ ἔθνη κυκλόθεν, εἶπον, ὅτι ὁ τόπος, ἐν ᾧ, καταβὰς ὁ Κύριος, στήσει τὸν θρόνον τῆς δόξης, καὶ τῆς φοβερᾶς αὐτοῦ κρίσεως, ἐστὶν ἡ κοιλὰς τοῦ Ἰωσαφὰτ, ἥτις ἐστὶν αὐτὸς ὁ χειμάῤῥους, ἢ ἡ φά-*

(Ἱερών. εἰς τὸν Ἰωήλ. Ἰωήλ. γ. 2, 12.)

(Ἱερών. εἰς τὸ ὀνομαστικόν.)

ραγξ

ραγξ Κεδρών· εἰς τοῦτο δὲ εὐκόλως καθεὶς πείθεται, ἐὰν ἀναγνώσῃ τὰ προφητικὰ λόγια τοῦ τρίτου κεφαλαίου τοῦ Ἰωὴλ, καὶ νοήσῃ τὴν ἐν αὐτοῖς ἀλληγορίαν. Ἐφανέρωσε δὲ ὁ Θεάνθρωπος τὴν δόξαν, μεθ' ἧς πάλιν ἔρχεται, ἵνα μὴ νομίσωμεν, ὅτι καὶ ἡ δευτέρα αὐτοῦ παρουσία ἐστὶ ταπεινὴ καὶ ἀγνώριμος, καθὼς καὶ ἡ πρώτη· εἰς τὴν πρώτην ἐφάνη βρέφος ἐσπαργανωμένον, ἐν φάτνῃ τῶν ἀλόγων κείμενον, εἰς τὴν δευτέραν ὀφθήσεται Θεὸς πανυπερένδοξος, ἐπὶ θρόνου κρίσεως καθήμενος. Τὴν δόξαν καὶ λαμπρότητα τῆς δευτέρας αὐτοῦ παρουσίας περιγράφει πλατύτερον ὁ ἅγιος προφήτης Δανιὴλ, μέγαν φόβον ἐνστάζων εἰς τὴν
Δαν. ζ. καρδίαν παντὸς πιστοῦ ἀνθρώπου· Ἐ-
9, 10. θεώρουν, λέγει, ἕως ὅτου οἱ θρόνοι ἐτέθησαν, καὶ Παλαιὸς ἡμερῶν ἐκάθητο, καὶ τὸ ἔνδυμα αὐτοῦ λευκὸν ὡσεὶ χιὼν, καὶ ἡ θρὶξ τῆς κεφαλῆς αὐτοῦ ὡσεὶ ἔριον καθαρὸν, ὁ θρόνος αὐτοῦ φλὸξ πυρὸς, οἱ τροχοὶ αὐτοῦ πῦρ φλέγον. Ποταμὸς πυρὸς εἷλκεν ἔμπροσθεν αὐτοῦ· χίλιαι χιλιάδες ἐλειτούργουν αὐτῷ, καὶ μύριαι μυριάδες παρειστήκεισαν αὐτῷ· κριτήριον ἐκάθισε, καὶ βίβλοι ἠνεῴχθησαν.

Ματ. κέ. 32. Καὶ συναχθήσονται ἔμπροσ-
θεν αὐτοῦ πάντα τὰ ἔθνη·
καὶ ἀφοριεῖ αὐτοὺς ἀπ' ἀλλή-
λων, ὥσπερ ὁ ποιμὴν ἀφορί-
ζει τὰ πρόβατα ἀπὸ τῶν ἐρί-
33. φων. Καὶ στήσει τὰ μὲν πρό-
βατα ἐκ δεξιῶν αὐτοῦ, τὰ δὲ
ἐρίφια ἐξ εὐωνύμων.

Πάντα τὰ ἔθνη, πάντες οἱ ἀπ' αἰῶνος ἄνθρωποι, οἱ γεγεννημένοι ἀπὸ Ἀδὰμ ἕως τῆς ὥρας ἐκείνης, συναθροισθέντες, παρασταθήσονται ἐνώπιον τοῦ φοβεροῦ βήματος τοῦ δικαίου Κριτοῦ, περιμένοντες τὴν δικαίαν αὐτοῦ ἀπόφασιν. Τοῦτο αὐτὸ ἐκήρυττε καὶ ὁ θεηγόρος Ἀπόστολος, λέγων· Τοὺς γὰρ πάντας ἡμᾶς Β'. Κορ. έ. 10.
φανερωθῆναι δεῖ ἔμπροσθεν τοῦ βήματος τοῦ Χριστοῦ, ἵνα κομίσηται ἕκαστος τὰ διὰ τοῦ σώματος, πρὸς ἃ ἔπραξεν, εἴτε ἀγαθὸν εἴτε κακόν. Τότε δὲ χωρίζει ὁ Κριτὴς τοὺς δικαίους ἀπὸ τῶν ἁμαρτωλῶν, καθὼς ὁ ποιμὴν χωρίζει τὰ πρόβατα ἀπὸ τῶν ἐριφίων· βάλλει δὲ τοὺς μὲν δικαίους, οὓς ὀνομάζει πρόβατα, διὰ τὸ πρᾶον τοῦ ἤθους καὶ ἥμερον, εἰς τὰ δεξιά, τοὺς δὲ ἁμαρτωλοὺς, οὓς ἐκάλεσεν ἐρίφια, διὰ τὸ ἄγριον καὶ ἄτακτον, εἰς τὰ ἀριστερὰ αὐτοῦ μέρη. Ἔπειτα ἐπιφέρει καὶ τὴν ἀπόφασιν, κηρύττων καὶ τὸν λόγον τῆς αὐτοῦ ἀποφάσεως.

Τότε ἐρεῖ ὁ Βασιλεὺς τοῖς Ματ. κέ. 34.
ἐκ δεξιῶν αὐτοῦ· Δεῦτε οἱ
εὐλογημένοι τοῦ Πατρός μου,
κληρονομήσατε τὴν ἡτοιμασ-
μένην ὑμῖν βασιλείαν ἀπὸ
καταβολῆς κόσμου· ἐπείνασα 35.
γὰρ, καὶ ἐδώκατέ μοι φαγεῖν·
ἐδίψησα, καὶ ἐποτίσατέ με·
ξένος ἤμην, καὶ συνηγάγετέ
μοι· γυμνὸς, καὶ περιεβάλε- 36.
τέ με· ἠσθένησα, καὶ ἐπεσ-
κέψασθέ με· ἐν φυλακῇ ἤ-
μην, καὶ ἤλθετε πρός με.

Καὶ ἡ ὀνομασία τῶν δικαίων χαροποιὸς;

ποιὸς καὶ ἔνδοξος· Εὐλογημένοι λέγονται ὑπὸ τοῦ Θεοῦ καὶ Πατρὸς τοῦ Κυρίου Ἰησοῦ Χριστοῦ. Ὁ δὲ λόγος, Κληρονομήσατε, θαυμάσιός ἐστι καὶ πανέντιμος, ὡς σημαίνων τὴν συγγένειαν καὶ οἰκειότητα τοῦ Θεοῦ μετὰ τῶν δικαίων· οὐκ εἶπε, Λάβετε, διότι καὶ οἱ ξένοι λαμβάνουσι κατὰ λόγον δωρεᾶς, ἀλλά, Κληρονομήσατε, εἶπε, διότι οἱ συγγενεῖς καὶ οἰκεῖοι κληρονομοῦσι τῶν συγγενῶν τὰ ἀγαθά. Ἀλλὰ καὶ ὁ λόγος οὗτος, Τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου, πολλὴν ἐμφανίζει τὴν ἀγαθότητα καὶ μεγαλοπρέπειαν, καθότι δείκνυσιν οὐ μόνον τὴν ἄμετρον τοῦ Θεοῦ φιλανθρωπίαν, ἀλλὰ καὶ τὴν τιμὴν καὶ μεγαλειότητα τοῦ ἀνθρώπου· διότι αὐτὴ ἡ ἀπὸ πρώτης κτίσεως κόσμου ἑτοιμασία τῆς βασιλείας διὰ τὸν ἄνθρωπον, τί ἄλλο σημαίνει, εἰμὴ τὴν βασιλικὴν τοῦ ἀνθρώπου ἀξίαν, καὶ τὸ ὑπερέχον πάντων τῶν ἄλλων ἐπιγείων κτισμάτων; Ἔλθετε, λέγει πρὸς τοὺς δικαίους ὁ Κριτὴς, ὁ ἐπὶ θρόνου δόξης καθεζόμενος, κληρονομήσατε τὴν βασιλείαν, ἥτις ἡτοιμάσθη δι' ὑμᾶς ἀπ' ἀρχῆς κόσμου. Ταύτην δὲ τὴν ἀπόφασιν περὶ τῶν δικαίων ἐκφωνήσας, προστίθησι καὶ τὸ διατί τοιαύτην ἀπόφασιν ὑπὲρ αὐτῶν ἐποίησε· Διότι, λέγει, καὶ ἐθρέψατέ με πεινῶντα, καὶ ἐποτίσατέ με διψῶντα, καὶ ξένον ἐφιλοξενήσατέ με, καὶ ἐνεδύσατέ με γυμνὸν, καὶ ἀσθενῆ με ἐπεσκέψασθε, καὶ ἐν φυλακῇ ὄντα, ἤλθετε πρός με. Σημείωσαι δὲ, ὅτι ταῦτα τὰ ἓξ εἴδη τῆς φιλανθρωπίας καὶ τοῦ ἐλέους οὐ μόνον ὑλικῶς, ἀλλὰ καὶ πνευματικῶς ἐνεργοῦσιν οἱ δίκαιοι, διὰ λόγου εὐεργετοῦντες τὰς τῶν ἀνθρώπων ψυχάς· διότι καὶ διὰ τῆς ἠθικῆς διδασκαλίας τρέφουσι τὰς ψυχὰς τῶν ἐν λιμῷ ὄντων οὐχὶ ἄρτου, ἀλλὰ τοῦ ἀκούειν τὸν λόγον τοῦ Θεοῦ· καὶ διὰ τῆς δογματικῆς κατηχήσεως ποτίζουσι τοὺς διψῶντας τῆς ζωῆς τὰ ῥήματα, καὶ τὸ ὕδωρ τὸ ζῶν καὶ σωτήριον· καὶ διὰ τοῦ κηρύγματος τῆς πίστεως συνάγουσιν εἰς τὴν Ἐκκλησίαν τοῦ Θεοῦ τοὺς ξένους καὶ ἀπηλλοτριωμένους ἀπ' αὐτῆς· καὶ διὰ τῆς ἐπαγγελίας τῶν μελλόντων ἀγαθῶν ἐνδύουσι τὸ ἱμάτιον τῆς εὐφροσύνης καὶ τὸν χιτῶνα τοῦ σωτηρίου τοὺς γυμνοὺς τῶν καλῶν ἔργων· καὶ διὰ τῆς συμβουλῆς αὐτῶν στερεοῦσι καὶ ἐπιῤῥωννύουσι τοὺς ἀσθενεῖς, βαστάζοντες τὰ τούτων ἀσθενήματα· καὶ τοὺς ἐν τῷ σκότει δὲ τῆς ἁμαρτίας κειμένους φωτίζουσι τῷ φωτὶ τῆς αὐτῶν νουθεσίας. Τί δὲ πρὸς ταῦτα ἀποκρίνονται πρὸς τὸν Κριτὴν οἱ δίκαιοι;

Τότε ἀποκριθήσονται αὐτῷ οἱ Ματ. κε'. 37.
δίκαιοι, λέγοντες· Κύριε, πότε σε εἴδομεν πεινῶντα, καὶ
ἐθρέψαμεν; ἢ διψῶντα, καὶ
ἐποτίσαμεν; Πότε δέ σε εἴ- 38.
δομεν ξένον, καὶ συνηγάγομεν,
ἢ γυμνὸν, καὶ περιεβάλομεν;
Πότε δέ σε εἴδομεν ἀσθενῆ, 39.
ἢ ἐν φυλακῇ, καὶ ἤλθομεν
πρὸς σέ; Καὶ ἀποκριθεὶς ὁ 40.
Βασιλεὺς, ἐρεῖ αὐτοῖς· Ἀμὴν λέγω ὑμῖν, ἐφ' ὅσον ἐποιήσατε ἑνὶ τούτων τῶν ἀδελφῶν μου τῶν ἐλαχίστων, ἐμοὶ ἐποιήσατε.

Τῆς ταπεινοφροσύνης ἡ ἀρετὴ διαμένει καὶ μετὰ θάνατον ἀνεξάλειπτος· ὅθεν

ὅθεν οἱ δίκαιοι καθὼς ἔκρυπτον τὰς ἀ-
ρετὰς αὐτῶν ἀπὸ τῶν ἀνθρώπων, οὕτω,
καὶ ἐνώπιον τοῦ Θεοῦ ταπεινούμενοι, οὐ
στέργουσιν εἰπεῖν, ὅτι ἦσαν ἐλεήμονες·
κᾂν δὲ ἐγίνωσκον, ὅτι ἡ πρὸς τοὺς πτω-
χοὺς εὐεργεσία πρὸς τὸν Θεὸν ἀναφέρε-
ται, ὑποπαραιτούμενοι ὅμως, λέγουσιν·
Οὐδέ ποτε, οὐδὲ ἐθρέψαμεν, οὐδὲ ἐποτί-
σαμεν, οὐδὲ ἄλλην τινὰ περιποίησιν ἐ-
δείξαμεν πρὸς σὲ τὸν Βασιλέα τῆς δό-
ξης καὶ Κύριον. Οἰκονομικῶς δὲ ὁ Θεάν-
θρωπος ἔθηκεν εἰς τὸ στόμα τῶν δι-
καίων ταῦτα τῆς ταπεινοφροσύνης τὰ
λόγια, ἵνα διὰ τῆς ἀποκρίσεως αὐτοῦ
μάθωμεν, ὅτι ὁ πτωχὸς παρίστησι τὸ
θεῖον αὐτοῦ πρόσωπον· εἴτι δ' ἂν ποιή-
σωμεν εἰς τὸν πτωχὸν, τοῦτο ποιοῦμεν
εἰς αὐτὸν τὸν Χριστόν· Ἀμὴν λέγω
ὑμῖν, ἐφ' ὅσον ἐποιήσατε ἑνὶ τού-
των τῶν ἀδελφῶν μου τῶν ἐλαχί-
στων, ἐμοὶ ἐποιήσατε. Ἄκουε δὲ
μετὰ πόσης ἐμφάσεως ἐπιβεβαιοῖ τοῦ-
το· Ἀμὴν λέγω ὑμῖν· ὡς πρᾶγμα
βέβαιον καὶ ἀναμφίβολον λέγω εἰς ὑ-
μᾶς, ὅτι ὅσον ἐποιήσατε εἰς ἕνα τούτων
τῶν ἀδελφῶν μου τῶν ἐλαχίστων, εἰς ἐμὲ
τοῦτο ἐποιήσατε. Καὶ ἀδελφοὺς μὲν ἐκά-
Ἑβρ. β'. λεσε τοὺς πτωχοὺς, ἐπειδὴ τὰ παιδία
14. κεκοινώνηκε σαρκὸς καὶ αἵματος,
καὶ αὐτὸς παραπλησίως μετέσχε
τῶν αὐτῶν, ὅπερ ἐστὶν, ἐπειδὴ ἐγένετο
ἄνθρωπος, καὶ τὴν τῶν ἀνθρώπων φύσιν
Αὐτόθι. ἡγίασε, διὰ τοῦτο οὐκ ἐπαισχύνεται
11, 12. ἀδελφοὺς αὐτοὺς καλεῖν λέγων·
Ἀπαγγελῶ τὸ ὄνομά σου τοῖς ἀ-
δελφοῖς μου· ἐλαχίστους δὲ, εἴτε διὰ
τὸ εὐτελὲς τῆς σωματικῆς αὐτῶν κατα-
στάσεως, εἴτε διὰ τὸ ταπεινὸν τοῦ φρο-
νήματος καὶ πολιτεύματος, καθότι καὶ
Φιλιπ. β'. αὐτὸς ἐταπείνωσεν ἑαυτὸν γενόμε-
8. νος ὑπήκοος μέχρι θανάτου, θα-
νάτου δὲ σταυροῦ. Καὶ ταῦτα μὲν
ἀπεφάσισεν ὁ Κύριος καὶ εἶπε περὶ τῶν
δικαίων· ἀκούσωμεν δὲ τί ἀποφασίζει
καὶ κατὰ τῶν ἁμαρτωλῶν.

Τότε ἐρεῖ καὶ τοῖς ἐξ εὐω- Ματ. κε'.
νύμων· Πορεύεσθε ἀπ' ἐμοῦ 41.
οἱ κατηραμένοι εἰς τὸ πῦρ τὸ
αἰώνιον, τὸ ἡτοιμασμένον τῷ
Διαβόλῳ καὶ τοῖς Ἀγγέλοις
αὐτοῦ· ἐπείνασα γὰρ, καὶ οὐκ 42.
ἐδώκατέ μοι φαγεῖν· ἐδίψησα,
καὶ οὐκ ἐποτίσατέ με· ξένος 43.
ἤμην, καὶ οὐ συνηγάγετέ με·
γυμνὸς, καὶ οὐ περιεβάλετέ
με· ἀσθενὴς καὶ ἐν φυλακῇ,
καὶ οὐκ ἐπεσκέψασθέ με.

Τρεῖς τιμωρίας δηλοποιεῖ ἡ τοῦ
Θεοῦ ἀπόφασις κατὰ τῶν ἁμαρτωλῶν·
χωρισμὸν Θεοῦ, Πορεύεσθε ἀπ' ἐμοῦ
οἱ κατηραμένοι· πῦρ ἀτελεύτητον,
Εἰς τὸ πῦρ τὸ αἰώνιον· συγκατοί-
κησιν μετὰ τῶν πονηρῶν Δαιμόνων, Τὸ
ἡτοιμασμένον τῷ Διαβόλῳ καὶ
τοῖς ἀγγέλοις αὐτοῦ. Εἰσὶ δὲ καὶ
αἱ τρεῖς τοσοῦτον ἀφόρητοι κατὰ τὸ
βάρος, βασανιστικαὶ κατὰ τὴν ὀξύτητα,
παρατεταμέναι κατὰ τὸν καιρὸν, φοβε-
ραὶ καὶ κατ' αὐτὸ τὸ ὄνομα, Κατηρα-
μένοι, ὥστε οὐδὲ νοῦς δύναται νοῆσαι,
οὐδὲ γλῶσσα ἀνθρώπου περιγράψαι αὐ-
τὰς ὡς πρέπει. Βλέπε δὲ πῶς ὁ φιλαν-
θρωπότατος Θεὸς βασιλείαν ἡτοίμασεν
εἰς τοὺς ἀνθρώπους ἀπὸ καταβολῆς κόσ-
μου, οὐχὶ δὲ κόλασιν καὶ τιμωρίαν·
κόλασιν δὲ ἡτοίμασε διὰ τοὺς Δαίμονας·
Πορεύεσθε, εἶπεν, εἰς τὸ πῦρ τὸ
αἰώνιον, τὸ ἡτοιμασμένον τῷ Δια-
βόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ.
Ὅταν δὲ οἱ ἄνθρωποι, ἄσπλαγχνοι γε-
νό-

νόμενοι, ὥσπερ οἱ Δαίμονες, διὰ οὐδενὸς τρόπου ἐλεοῦσι τοὺς πτωχοὺς, τότε καὶ αὐτοὶ καταδικάζονται μετὰ τῶν ἀσπλάγχνων Δαιμόνων εἰς τὸ αἰώνιον πῦρ· Διὰ τοῦτο, λέγει ὁ δικαιότατος Κριτὴς πρὸς τοὺς ἀνελεήμονας, καταδικάζω ὑμᾶς, διότι ἐπείνασα, καὶ οὐκ ἐδώκατέ μοι φαγεῖν· ἐδίψησα, καὶ οὐκ ἐποτίσατέ με· ξένος ἤμην, καὶ οὐ συνηγάγετέ με· ἀσθενὴς καὶ ἐν φυλακῇ, καὶ οὐκ ἐπεσκέψασθέ με. Τί δὲ πρὸς ταῦτα ἀποκρίνονται οἱ πανάθλιοι ἁμαρτωλοί;

Ματ. κέ. 44. Τότε ἀποκριθήσονται αὐτῷ
καὶ αὐτοὶ, λέγοντες· Κύριε,
πότε σε εἴδομεν πεινῶντα, ἢ
διψῶντα, ἢ ξένον, ἢ γυμνὸν,
ἢ ἀσθενῆ, ἢ ἐν φυλακῇ, καὶ
45. οὐ διηκονήσαμέν σοι; Τότε ἀ-
ποκριθήσεται αὐτοῖς, λέγων·
Ἀμὴν λέγω ὑμῖν, ἐφ᾽ ὅσον οὐκ
ἐποιήσατε ἑνὶ τούτων τῶν ἐλα-
χίστων, οὐδὲ ἐμοὶ ἐποιήσατε.

Ἐπειδὴ οἱ ἄπιστοι προλαβὸν ἐκρίθησαν ἄξιοι κολάσεως διὰ τὴν ἀπιστίαν
Ἰωάν. γ'. 18. αὐτῶν κατὰ τὸ, Ὁ δὲ μὴ πιστεύων, ἤδη κέκριται, ὅτι μὴ πεπίστευκεν εἰς τὸ ὄνομα τοῦ μονογενοῦς Υἱοῦ τοῦ Θεοῦ, διὰ τοῦτο οἱ ἀσεβεῖς ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἀνίστανται οὐχ ἵνα κριθῶσιν, ἀλλ᾽ ἵνα καταδικασθῶ-
Ψαλ. ά. 5. σιν· Διὰ τοῦτο, λέγει ὁ Προφήτης, οὐκ ἀναστήσονται ἀσεβεῖς ἐν κρίσει. Οὗτοι οὖν οἱ πρὸς τὸν Κριτὴν ἀποκρινόμενοι, παράνομοι μὲν εἰσὶ καὶ ἁμαρτωλοὶ, οὐχὶ δὲ ἄπιστοι, ἀλλὰ πιστοί· τίς δὲ ἐστιν ἐκεῖνος ὁ πιστὸς, ὅστις οὐδέ ποτε ἤκουσε τὰ λόγια τοῦ σήμερινοῦ Εὐαγγελίου; τίς τῶν πιστῶν ἀγνοεῖ, ὅτι ὁ πτωχὸς παρίστησι τὸ πρόσωπον τοῦ Ἰησοῦ Χριστοῦ, καὶ ὅτι, ὅστις ἐλεεῖ τὸν πτωχὸν, ἐλεεῖ αὐτὸν τὸν Ἰησοῦν Χριστόν; Οὐδείς· ἡ ἀπόκρισις οὖν τῶν ἁμαρτωλῶν ἐστὶ πρόφασις ψευδὴς καὶ δόλος· εἰς ἐκεῖνο δὲ τὸ φοβερώτατον καὶ ἀλάνθαστον κριτήριον οὐδεμίαν ἰσχὺν ἔχει τὸ ψεῦδος καὶ ὁ δόλος· ὅθεν μένει μὲν ἄπρακτος ἡ τῶν ἁμαρτωλῶν πρόφασις, τελεῖται δὲ τοῦ Θεοῦ ἡ δικαία ἀπόφασις.

Καὶ ἀπελεύσονται οὗτοι εἰς κόλασιν αἰώνιον, οἱ δὲ δίκαιοι εἰς ζωὴν αἰώνιον. Ματ. κέ. 46.

Τὸ, Ἀπελεύσονται οὗτοι, ἤγουν οἱ ἁμαρτωλοὶ, εἰς κόλασιν αἰώνιον, ἐμφράττει τὸ στόμα ἐκείνων, οἵτινες παραλόγως λέγουσιν, ὅτι ἔχει τέλος ἡ κόλασις, διότι τὸ αἰώνιον οὐδὲν ἕτερον σημαίνει, εἰμὴ τὸ ἀτελεύτητον. Ἐὰν ἡ εὐσπλαγχνία τοῦ Θεοῦ, διὰ τὸν πρόσκαιρον κόπον τῆς ἀρετῆς, εἰσάγῃ εἰς βασιλείαν αἰώνιον τοὺς δικαίους, ἡ δικαιοσύνη αὐτοῦ, διὰ τὴν πρόσκαιρον ἡδονὴν τῆς ἁμαρτίας, κολάζει αἰωνίως τοὺς ἁμαρτωλούς· αἰώνιον τὸ βραβεῖον τῆς ἀρετῆς διὰ τὴν εὐσπλαγχνίαν τοῦ Θεοῦ, αἰώνιος καὶ ἡ τιμωρία τῆς ἁμαρτίας διὰ τὴν δικαιοσύνην αὐτοῦ. Ἐὰν ὁ Θεὸς ἐδόξαζεν αἰωνίως, καὶ ἐκόλαζε προσκαίρως, ἐνήργει μόνον ἡ εὐσπλαγχνία αὐτοῦ, ἔμενε δὲ ἀργὴ ἡ δικαιοσύνη· τοῦτο δὲ ἐστιν ἀδύνατον, ἐπειδὴ ὅσον ὁ Θεὸς ἐστὶν εὔσπλαγχνος, τοσοῦτόν ἐστι καὶ δίκαιος· ἄπειρος καὶ ἡ εὐσπλαγχνία, ἄπειρος καὶ ἡ δικαιοσύνη. Ὅταν δὲ καὶ ἡ βασιλεία καὶ ἡ κόλασις ὑπάρχωσιν αἰώνια, τότε ἐπίσης ἐνεργεῖ καὶ τῆς εὐσπλαγ-

σπλαγ-

σπλαγχνίας τὸ ἔλεος, καὶ τῆς δικαιοσύνης ἡ ἰσότης, τότε συνέρχεται ἡ εὐσπλαγχνία καὶ τὸ ἔλεος μετὰ τῆς κρίσεως καὶ δικαιοσύνης, κατὰ τὸν Ἱεροψάλτην, ὅστις ἔψαλλεν· Ἔλεον καὶ κρίσιν ᾄσομαί σοι, Κύριε· ψαλῶ καὶ συνήσω ἐν ὁδῷ ἀμώμῳ. Ψαλ. ρ́. 1, 2.

# ΟΜΙΛΙΑ

## ΜΕΤΑ ΤΟ ΚΑΤΑ

# ΜΑΤΘΑΙΟΝ

## ΕΥΑΓΓΕΛΙΟΝ ΤΗΣ ΚΥΡΙΑΚΗΣ ΤΗΣ ΑΠΟΚΡΕΩ.

Διατί ἄραγε εἰς τὴν περιγραφὴν τῆς φοβερᾶς ἡμέρας τῆς κρίσεως οὐδὲ ἕνα λόγον εἶπεν ὁ Κριτὴς, οὐδὲ περὶ δικαιοσύνης, οὐδὲ περὶ σωφροσύνης, οὐδὲ περὶ ταπεινώσεως, οὐδὲ περὶ ἄλλης τινὸς ἀρετῆς, ἀλλὰ, παραστήσας ὅλην τὴν κρίσιν αὐτοῦ, γινομένην περὶ ἐλεημοσύνης, τοὺς μὲν ἐλεήμονας εὐλόγησε καὶ ἐδόξασε, τοὺς δὲ ἀνελεήμονας κατηράσατο καὶ ἐπαίδευσε; λοιπὸν, λέγεις, μόνη ἡ ἀρετὴ τῆς ἐλεημοσύνης σώζει τὸν ἄνθρωπον, κἂν γυμνὸς ὑπάρχῃ τῶν ἄλλων ἀρετῶν· οὐδὲ οἱ ἀσελγεῖς, οὐδὲ οἱ ὑπερήφανοι, ἀλλὰ μόνοι οἱ ἀνελεήμονες κολάζονται· ὅστις τὸ σημερινὸν Εὐαγγέλιον ἀναγινώσκει, ἐκεῖνος ταῦτα συμπεραίνει. Ναὶ, ἀληθῶς, ἀλλ' ἄραγε συλλογίζεται ὀρθά;

Ἐάν τις εἰσέβῃ εἰς παράδεισον πλήρη παντοδαπῶν καρποφόρων δένδρων, μὴ ἰδὼν δὲ, μηδὲ περιεργασθεὶς πάντα τὰ μέρη αὐτοῦ, ἀλλὰ, προσηλώσας τὰ ὄμματα εἰς ἓν μόνον μέρος, καὶ ἰδὼν ἐκεῖ μηλέας, συμπεράνῃ, ὅτι μῆλα μόνον ἔχει ἐκεῖνος ὁ παράδεισος, ὀρθὸν ἄραγε ἐστὶ τὸ συμπέρασμα αὐτοῦ; ἄραγε λέγει τὴν ἀλήθειαν, λέγων καὶ ἐπιβεβαιῶν, ὅτι μόνα μῆλα εὑρίσκεις εἰς ἐκεῖνον τὸν παράδεισον; Οὐχί· ἐὰν αὐτὸς ἔστρεφε τὰ ὄμματα αὐτοῦ πανταχοῦ, καὶ περιεργάζετο πάντα τὰ μέρη τοῦ παραδείσου, καὶ ἔβλεπε πάντα τὰ ἐν αὐτῷ δένδρα, τότε μόνον ἐδύνατο νὰ εἰπῇ τί περιέχει ἐκεῖνος ὁ παράδεισος. Τοῦτο αὐτὸ συμβαίνει καὶ εἰς ἐκεῖνον, ὅστις, λαβὼν εἰς χεῖρας τὴν ἁγίαν Γραφὴν, καταλιπὼν πάντα τὰ λοιπὰ, ὅσα εἰσὶν ἐν αὐτῇ γεγραμμένα, ἀναγινώσκει ἓν μόνον κόμμα, ἐκ τούτου δὲ μόνου συμπεραίνει τί διδάσκει ὅλη ἡ Θεία Γραφή· αὐτὸς σφάλλει ἀναμφιβόλως, ἐνίοτε πίπτει καὶ εἰς αἱρέσεις, καὶ παραλογισμούς. Ὅλη ἡ ἁγία Γραφὴ συγκροτεῖ ἓν καὶ μόνον σῶμα, ἓν δὲ μέρος τοῦ σώματος οὐκ ἔστι τὸ ὅλον σῶμα· ὅθεν ὅστις κόπτει αὐτὴν καὶ διαιρεῖ, ἔπειτα ἐξ ἑνὸς μόνου κόμματος συμπεραίνει τί διαλαμβάνει τὸ ὅλον, οὐδέποτε συλλογίζεται ὀρθῶς. Ἄνθρωπε, ἐὰν θέλῃς νὰ κατανοήσῃς τῆς ὀρθοδόξου πίστεως τὰ δόγματα, καὶ τὴν ἀληθινὴν βουλὴν καὶ ἀπόφασιν τοῦ Θεοῦ, ἀνάγνωθι πρῶτον ὅλην τὴν Θείαν Γραφὴν, ἔπειτα προσήλωσον τὸν νοῦν σου εἰς ἕκαστον μέρος αὐτῆς, συμβίβασον δὲ μετ' ἀλλήλων πάντα τὰ μέρη, ὅσα διαλαμβάνουσι περὶ τῆς αὐτῆς ὑποθέσεως, καὶ τότε βλέπεις, ὅτι τὸ ἓν μέρος ἐξηγεῖ τὸ ἄλλο, τότε δὲ εὑρίσκεις τὸν πολύτιμον

μον τῆς ἀληθείας μαργαρίτην, καὶ νοεῖς
ἐννοίας ὀρθὰς, καὶ κηρύττεις ἀληθείας
σωτηριώδεις.

Ἀληθῶς τὸ σήμερον ἀναγνωσθὲν
Εὐαγγέλιον περιγράφει τὴν δευτέραν τοῦ
Κυρίου παρουσίαν, καὶ τὸ ἀδέκαστον αὐ-
τοῦ κριτήριον, καὶ τὴν περὶ τῶν δικαίων
καὶ ἁμαρτωλῶν ἀπέφασιν, ἀλλὰ τοῦτό
ἐστιν ἓν μόνον μέρος τῆς Θείας Γραφῆς;·
εἰσὶ δὲ καὶ ἄλλα πολλὰ μέρη αὐτῆς,
περὶ τῆς αὐτῆς ὑποθέσεως διαλαμβά-
νοντα· πρέπον ἐστὶ λοιπὸν, ἵνα ἀκού-
σωμεν τί καὶ αὐτὰ λαλοῦσιν, καὶ οὕτω
μάθωμεν ὅλην τοῦ Θεοῦ τὴν βουλὴν,
καὶ τὴν ἀλήθειαν. Πρὶν ἢ διηγηθῇ ὁ
Θεάνθρωπος ὅσα σήμερον ἀνέγνωμεν, εἶ-
Ματ. κβ'. πε πρὸς τοῖς ἄλλοις καὶ ταῦτα· Εἰ-
11. σελθὼν δὲ ὁ Βασιλεὺς θεάσα-
σθαι τοὺς ἀνακειμένους, εἶδεν ἐ-
κεῖ ἄνθρωπον, οὐκ ἐνδεδυμένον
ἔνδυμα γάμου· καὶ οἱ μὲν φοροῦντες
τὸ τοῦ γάμου ἔνδυμα, ἀπήλαυσαν πάν-
τες τῆς τοῦ Βασιλέως τραπέζης, τὸν δὲ
γυμνὸν τοῦ γαμηλίου ἐνδύματος πρῶτον
μὲν ἤλεγξεν ὁ Βασιλεὺς, ἔπειτα οἱ ὑ-
πηρέται αὐτοῦ, δήσαντες αὐτοῦ πόδας
Αὐτ. 13. καὶ χεῖρας, ἐξέβαλον εἰς τὸ σκότος
τὸ ἐξώτερον, ὅπου ὁ κλαυθμὸς,
καὶ ὁ βρυγμὸς τῶν ὀδόντων. Βλέ-
πε νῦν τὸ παράλληλον τούτων τῶν δύω
διηγημάτων. Ἐις τὸ πρῶτον ὁ Βασιλεὺς
εἰσέρχεται, ἵνα θεωρήσῃ· εἰς τὸ δεύτε-
ρον ὁ Υἱὸς τοῦ ἀνθρώπου ἔρχεται ἐν
δόξῃ, ἵνα κρίνῃ. Ἐις τὸ πρῶτον προ-
σκαλοῦνται πάντες οἱ ἄνθρωποι· εἰς τὸ
δεύτερον παρίστανται πάντα τὰ ἔθνη.
Ἐις ἐκεῖνο ὀνομάζει τοὺς ὑπηρέτας αὐ-
τοῦ διακόνους· εἰς τοῦτο καλεῖ αὐτοὺς
Ἀγγέλους. Ἐις ἐκεῖνο οἱ ἐνδεδυμένοι τὸ
ἔνδυμα τοῦ γάμου εἰσὶν οἱ δίκαιοι, καὶ
οἱ γυμνοὶ τούτου τοῦ ἐνδύματος εἰσὶν
οἱ ἁμαρτωλοί· εἰς τοῦτο τὰ μὲν πρό-
βατα σημαίνουσι τοὺς δικαίους, τὰ δὲ
ἐρίφια τοὺς ἁμαρτωλούς. Ἐις ἐκεῖνο
τράπεζα βασιλικὴ διὰ τοὺς δικαίους,
καὶ δεσμὰ καὶ σκότος ἐξώτερον διὰ τοὺς
ἁμαρτωλούς· εἰς τοῦτο, διὰ τοὺς δικαίους
ζωὴ αἰώνιος, διὰ τοὺς ἁμαρτωλοὺς κό-
λασις αἰώνιος. Ἐκ τούτων φανερόν ἐστιν,
ὅτι διὰ τούτων τῶν δύω διηγημάτων μίαν
καὶ τὴν αὐτὴν ὑπόθεσιν, ἤγουν τὴν ὑ-
πόθεσιν τῆς παγκοσμίου κρίσεως, διὰ
διαφόρων ὀνομάτων περιέγραψεν ὁ Θεάν-
θρωπος· καὶ εἰς μὲν τὸ πρῶτον διήγη-
μα δοξάζει τοὺς ἐνδεδυμένους τὸ ἔνδυμα
τοῦ γάμου, καὶ κολάζει τοὺς γυμνοὺς
τούτου τοῦ ἐνδύματος, εἰς δὲ τὸ δεύτερον
παρέστησε τοὺς μὲν ἐλεήμονας δοξασ-
θέντας, τοὺς δὲ ἀνελεήμονας καταδικα-
σθέντας. Τὸ ἔνδυμα τοῦ γάμου, καὶ ἡ
ἐλεημοσύνη εἰσὶ δύω χαρακτῆρες τῶν δι-
καίων, πλὴν ὁ μὲν, ἤγουν τὸ ἔνδυμα τοῦ
γάμου, ἐστὶν ὁ ὁλομερὴς καὶ ὁλόκληρος
χαρακτὴρ, καθότι σημαίνει πάσας τὰς
ἀρετὰς, ὁ δὲ, ἤγουν ἡ ἐλεημοσύνη, ἐστὶ
χαρακτὴρ μονομερὴς καὶ μερικὸς, ἐπειδὴ
παρίστησι μόνην τῆς εὐσπλαγχνίας τὴν
ἀρετήν. Πρῶτον οὖν ὁ Θεάνθρωπος διὰ
τοῦ πρώτου αὐτοῦ διηγήματος ἐφανέρω-
σεν, ὅτι ὁ ὁλομερὴς χαρακτὴρ τῶν σωζο-
μένων ἐστὶ τὸ ἔνδυμα τοῦ γάμου, τῶν
δὲ κολαζομένων, ἡ γύμνωσις τούτου τοῦ
ἐνδύματος· ἔπειτα διὰ τοῦ δευτέρου διη-
γήματος περιγράψας λεπτομερέστερον ἓν
μόνον μέρος τοῦ ὁλοκλήρου χαρακτῆ-
ρος, τὸ ἀναγκαιότερον, καὶ ὠφελιμώτε-
ρον, ἤγουν τὴν ἐλεημοσύνην, τοὺς μὲν ἐ-
λεήμονας ἐδόξασε, τοὺς δὲ ἀνελεήμονας
κατέκρινεν. Ὅτι δὲ τοῦ γάμου τὸ ἔνδυ-
μα δηλοποιεῖ πάσας τὰς ἀρετὰς μαρτυ-
ρεῖ ὁ θεηγόρος Παῦλος, λέγων, ὅτι τὸ
ἔνδυμα τῶν σωζομένων ἐστὶν ὁ Χριστός·
Ὅσοι, λέγει, εἰς Χριστὸν ἐβαπτί- Γαλ. γ'.
σθητε, Χριστὸν ἐνεδύσασθε· καὶ 27.
ἀλλαχοῦ· Ἐνδύσασθε τὸν Κύριον Ῥωμ. ιγ'.
Ἰησοῦν Χριστὸν, καὶ τῆς σαρκὸς 14.
πρό-

πρόνοιαν μὴ ποιεῖσθε εἰς ἐπιθυμίας· κατὰ τίνα δὲ ἄλλον τρόπον ἐνδυόμεθα τὸν Ἰησοῦν Χριστὸν, εἰμὴ ζῶντες καὶ πολιτευόμενοι ὡς αὐτὸς ὁ Χριστὸς, ὅπερ ἐστὶ, πράττοντες πάσας τὰς ἀρετάς; Ἰδοὺ δὲ, πῶς τὰ περὶ τῆς αὐτῆς ὑποθέσεως δύω διηγήματα, παραβαλλόμενα καὶ συμβιβαζόμενα, φανεροῦσιν ὅλον τὸν σκοπὸν καὶ τὴν βουλὴν τοῦ Θεοῦ.

Ἐὰν ἐρευνήσῃς καὶ ἄλλους ὁμοίους τοῦ Ἐυαγγελίου τόπους, βλέπεις τὸν
Ματ. ιή. 24. ὀφειλέτην τῶν μυρίων ταλάντων καταδικαζόμενον εἰς τὴν ἡμέραν τῆς κρίσεως· φανερὸν δέ ἐστιν, ὅτι τῶν μυρίων ταλάντων τὸ χρέος σημαίνει οὐ μόνην τὴν ἀσπλαγχνίαν, ἀλλὰ τὸ πολὺ πλῆθος τῶν ἁμαρτημάτων· βλέπεις δοξαζόμενον τὸν κερδήσαντα τὰ πέντε, ὡσαύτως καὶ τὸν κερδήσαντα τὰ δύω τάλαντα, καταδικαζόμενον δὲ τὸν κρύψαντα τὸ ἓν τάλαντον καὶ μηδὲν κερδήσαντα· τί ἄλλο δὲ δηλοῦσι τὰ πέντε καὶ τὰ δύω τάλαντα, ἅπερ ἐκέρδησαν, εἰμὴ τὰ διάφορα τῶν ἀρετῶν κατορθώματα; τί δὲ ἄλλο σημαίνει ἡ ἀκαρπία τοῦ ἑνὸς ταλάντου, εἰ μὴ τὴν τελείαν στέρησιν πάσης ἀρετῆς;

Θέλεις καὶ ἄλλην ἐξήγησιν τῶν σήμερον ἀναγνωσθέντων εὐαγγελικῶν λόγων; Ἀνάγνωθι τὰ ἀποστολικὰ λόγια. Ἐις τὸν ἐπιστήθιον Ἰωάννην βλέπεις τοὺς παρθένους, διὰ τὴν ἀρετὴν τῆς παρθενίας, ἐνδόξως παρισταμένους ἐνώπιον τοῦ θρόνου τῆς Μεγαλωσύνης, καὶ ὡς ἀπαρχὴν τοῦ γένους τῶν ἀνθρώπων
Ἀποκ. ιδ΄. 4, 5. ὑπερυψουμένους· Ὅυτοί εἰσιν, οἳ μετὰ γυναικῶν οὐκ ἐμολύνθησαν· παρθένοι γάρ εἰσιν· οὗτοί εἰσιν οἱ ἀκολουθοῦντες τῷ ἀρνίῳ ὅπου ἂν ὑπάγῃ· οὗτοι ἠγοράσθησαν ἀπὸ τῶν ἀνθρώπων, ἀπαρχὴ τῷ Θεῷ καὶ τῷ ἀρνίῳ. Καὶ ἐν τῷ στόματι αὐτῶν οὐχ εὑρέθη δόλος· ἄμωμοι γάρ εἰσιν ἐνώπιον τοῦ θρόνου τοῦ Θεοῦ. Εἰς τὸν αὐτὸν ἐπιστήθιον βλέπεις ἁμαρτωλοὺς, οἵτινες διὰ πολυειδεῖς ἁμαρτίας κατεδι-
κάσθησαν εἰς τὸ πῦρ· Δειλοῖς δὲ Ἀποκ. κά. 8.
καὶ ἀπίστοις καὶ ἐβδελυγμένοις καὶ φονεῦσι καὶ πόρνοις καὶ φαρμακοῖς καὶ εἰδωλολάτραις, καὶ πᾶσι τοῖς ψευδέσι, τὸ μέρος αὐτῶν ἐν τῇ λίμνῃ τῇ καιομένῃ πυρὶ καὶ θείῳ, ὅ ἐστι δεύτερος θάνατος. Ἐκ δὲ τοῦ Παύλου μανθάνεις τὰ εἴδη τῶν ἁμαρτημάτων, τῶν κλειόν-
των τὴν βασιλείαν τοῦ Θεοῦ· Ἢ οὐκ Α΄. Κορ.
οἴδατε, λέγει ὁ θεηγόρος Διδάσκαλος, ς΄. 9, 10.
ὅτι ἄδικοι βασιλείαν Θεοῦ οὐ κληρονομήσουσι; μὴ πλανᾶσθε· οὔτε πόρνοι, οὔτε εἰδωλολάτραι, οὔτε μοιχοὶ, οὔτε μαλακοὶ, οὔτε ἀρσενοκοῖται, οὔτε κλέπται, ὔτε μέθυσοι, οὐ λοίδοροι, οὐχ ἅρπαγες βασιλείαν Θεοῦ οὐ κληρονομήσουσιν.

Ἔχομεν καὶ τὰ προφητικὰ λόγια, περιγράφοντα τὸ φρικτὸν τοῦ Θεοῦ κριτήριον, καὶ τὰ ἀνεῳγμένα τῶν ἔργων ἡ-
μῶν βιβλία· Κριτήριον ἐκάθισε, Δαν. ζ΄. 10.
λέγει ὁ προφήτης Δανιὴλ, καὶ βίβλοι ἠνεῴχθησαν. Εἰς αὐτὰ δὲ τὰ βιβλία εἰσὶ γεγραμμένα, οὐ μόνον τὰ ἔργα,
ἀλλὰ καὶ τὰ λόγια· Λέγω δὲ ὑμῖν, Ματ. ιβ΄. 36.
εἶπεν ὁ Κύριος, ὅτι πᾶν ῥῆμα ἀργὸν, ὃ ἐὰν λαλήσωσιν οἱ ἄνθρωποι, ἀποδώσουσι περὶ αὐτοῦ λόγον ἐν ἡμέρᾳ κρίσεως· ἔτι δὲ καὶ οἱ λογισμοὶ τοῦ νοὸς, καὶ αἱ ἐνθυμή-
σεις τῆς καρδίας· Κύριε, ἔλεγεν ὁ προ- Ἱερ. ιά. 20.
φήτης Ἱερεμίας, κρίνων δίκαια, δοκιμάζων νεφροὺς καὶ καρδίας. Σύναψον ταῦτα πάντα, καὶ παράβαλλε αὐτὰ, καὶ τότε βλέπεις, ὅτι διὰ πᾶσαν ἀμετανόητον ἁμαρτίαν κρίνει καὶ κολά-

ζει ὁ Θεὸς τὸν ἁμαρτωλόν· οὐ μόνον δὲ διὰ τὴν ἀρετὴν τῆς ἐλεημοσύνης, ἀλλὰ καὶ διὰ πάσας τὰς λοιπὰς ἀρετὰς στε-
Ἰωάν. ε'. 29. φανοῖ τοὺς ἐναρέτους· Καὶ ἐκπορεύσονται οἱ τὰ ἀγαθὰ ποιήσαντες εἰς ἀνάστασιν ζωῆς· οἱ δὲ τὰ φαῦλα πράξαντες εἰς ἀνάστασιν κρίσεως.

Ταῦτα μὲν, λέγεις, εἰσὶν ἀληθινά, ἀλλὰ διατί ὁ Θεάνθρωπος, ὅταν τοσοῦτον φανερὰ ἐδίδαξε τὰ περὶ τῆς παγκοσμίου κρίσεως, σιωπήσας πᾶσαν ἄλλην ἀρετήν, ἐλάλησε μόνον περὶ ἐλεημοσύνης; Ἐσιώπησε πᾶσαν ἄλλην ἀρετὴν, ἐπειδὴ, ἄλλοτε λαλήσας περὶ τῆς αὐτῆς κρίσεως, ἐφανέρωσεν, ὅτι ἐρευνᾷ καὶ κρίνει οὐ μόνον τὰς πράξεις, ἀλλὰ καὶ τῆς καρδίας τὰ βάθη· ἐλάλησε δὲ μόνον περὶ ἐλεημοσύνης, ἐπειδὴ οἱ ἐλεήμονες ἔχουσιν εἰς τὴν καρδίαν αὐτῶν τὴν πηγὴν τῆς σωτηρίας. Ἀκούσατε τῆς ἀληθείας ταύτης τὴν ἀπόδειξιν. Ὅστις παντὶ τρόπῳ περιποιεῖται καὶ εὐεργετεῖ τοὺς χρείαν ἔχοντας, ἐκεῖνος ἔχει ἀναμφιβόλως εἰς τὴν καρδίαν αὐτοῦ τὴν ἀρετὴν τῆς πρὸς τὸν πλησίον ἀγάπης· ὅστις δὲ ἐλεεῖ τὸν πτωχὸν, πιστεύων, ὅτι, εὐεργετῶν τὸν πτωχὸν, εὐεργετεῖ τὸν Ἰησοῦν Χριστὸν, φανερόν ἐστιν, ὅτι αὐτὸς ἀγαπᾷ καὶ τὸν Ἰησοῦν Χριστὸν, ὅπερ ἐστὶν, ὅτι ἔχει εἰς τὴν καρδίαν αὐτοῦ καὶ τὴν εἰς Θεὸν ἀγάπην. Ἡμεῖς δὲ, ὑπὸ τοῦ Κυρίου διδαχθέντες, πι-
Ματ. κβ'. 40. στεύομεν, καὶ ὁμολογοῦμεν, ὅτι ἐν ταύταις ταῖς δυσὶν ἐντολαῖς, ἤγουν ἐν τῇ εἰς τὸν Θεὸν, καὶ τὸν πλησίον ἀγάπῃ, ὅλος ὁ νόμος καὶ οἱ Προφῆται κρέμανται. Ὁ ἐλεήμων ἄνθρωπος λοιπὸν ἔχει εἰς τὴν καρδίαν τὰς δύω πηγὰς τῆς σωτηρίας, αἱ ὁποῖαι πηγάζουσιν εἰς αὐτὸν τὰ γλυκύτατα νάματα
Ψαλ. α'. 3. πασῶν τῶν ἀρετῶν· αὐτός ἐστι τὸ ξύλον τὸ πεφυτευμένον παρὰ τὰς διεξόδους τῶν ὑδάτων, ὃ τὸν καρπὸν αὐτοῦ δώσει ἐν καιρῷ αὐτοῦ· καὶ τὸ φύλλον αὐτοῦ οὐκ ἀποῤῥυήσεται, καὶ πάντα ὅσα ἂν ποιῇ, κατευοδωθήσεται. Ἑπομένως ὁ ἀνελεήμων, μὴ ἔχων ταύτας τὰς δύω πηγὰς τῶν καλῶν ἔργων, ἐστερημένος ἐστὶ πάσης ἀρετῆς· ὅθεν αὐτός ἐστι τὸ δένδρον, τὸ μὴ ποιοῦν καρπὸν καλὸν, τὸ ὁποῖον ἐκκόπτεται καὶ εἰς πῦρ Ματ. ζ'.
βάλλεται. 19.

Εὔκολα δὲ κατανοοῦμεν, ὅτι ὅλος ὁ νόμος καὶ οἱ Προφῆται ἐκ τῆς ἀγάπης κρέμαιται, ἐὰν στοχασθῶμεν τὰς δέκα ἐντολὰς, αἵτινες εἰσὶν ἡ περίληψις πάντων τῶν θείων νόμων, καὶ τῆς ἠθικῆς τῶν Προφητῶν διδασκαλίας. Ἐκ τῶν δέκα ἐντολῶν τέσσαρες μὲν παραγγέλλουσι τὰ περὶ τοῦ Θεοῦ, ἓξ δὲ τὰ περὶ τοῦ πλησίον. Ὅστις ἀγαπᾷ τὸν Θεὸν ἐξ ὅλης ψυχῆς καὶ καρδίας καὶ ἰσχύος καὶ διανοίας, ἐκεῖνος λατρεύει αὐτὸν νύκτατε καὶ ἡμέραν, φεύγει τὴν λατρείαν παντὸς κτίσματος, ἀπέχει ἀπὸ τῆς ὁρκωμοσίας, κατ' ἐξοχὴν δοξολογεῖ αὐτὸν ἐν ταῖς ἡμέραις τῶν ἑορτῶν. Ὅστις ἀγαπᾷ τὸν πλησίον αὐτοῦ ὡς ἑαυτὸν, ἐκεῖνος ἀναμφιβόλως προσφέρει πᾶσαν τιμὴν καὶ περιποίησιν εἰς τοὺς γονεῖς αὐτοῦ, ἐκεῖνος φεύγει τὴν μοιχείαν, τὴν κλοπὴν, τὸν φόνον, τὴν ψευδομαρτυρίαν, ἐκεῖνος οὐδέ ποτε ἐπιθυμεῖ τὸ ξένον πρᾶγμα, ἐπειδὴ τὰ ἔργα ταῦτά εἰσι μῖσος, καὶ οὐχὶ ἀγάπη τοῦ πλησίον. Βλέπετε πῶς ἐκ τῆς ἀγάπης τοῦ Θεοῦ καὶ τοῦ πλησίον πηγάζουσι πᾶσαι αἱ ἀρεταί; Ἐπειδὴ δὲ τῶν ἐναντίων πραγμάτων ἐναντίος ἐστὶν ὁ λόγος, φανερὸν ἐστιν, ὅτι ὅστις ἐστερημένος ἐστὶ τῆς ἀγάπης, ἐκεῖνος παραβαίνει ὅλον τὸν νόμον καὶ τοὺς Προφήτας, ἐκεῖνος καταφρονεῖ τὰς δέκα ἐντολὰς, καὶ πράττει πᾶν εἶδος ἁμαρτίας.

Ἰδοὺ

Ἰδοὺ λοιπὸν ὁ λόγος, διὰ τὸν ὁποῖον ὁ Θεάνθρωπος Ἰησοῦς, λαλήσας περὶ τῆς ἡμέρας τῆς κρίσεως, ἐσιώπησε μὲν πᾶσαν ἄλλην ἀρετὴν, παρέστησε δὲ κρινομένους τοὺς ἐλεήμονας καὶ ἀνελεήμονας. Ὁ μὲν ἐλεήμων σημαίνει τὸν δίκαιον καὶ ἐνάρετον, ὁ δὲ ἀνελεήμων, τὸν παραβάτην καὶ ἁμαρτωλόν. Παραστήσας οὖν ὁ Θεάνθρωπος τὸν ἐλεήμονα κρινόμενον καὶ δοξαζόμενον, ἔδειξε δι᾽ αὐτοῦ κρινόμενον καὶ δοξαζόμενον πάντα ἄνθρωπον δίκαιον· ὁμοίως παραστήσας κρινόμενον καὶ καταδικαζόμενον τὸν ἀνελεήμονα, ἔδειξε κρινόμενον καὶ καταδικαζόμενον πάντα ἄνθρωπον ἁμαρτωλὸν καὶ ἀμετανόητον.

Ἀδελφοί μου ἀγαπητοὶ, μὴ πλανώμεθα· ἡ ἡμέρα ἐκείνη ἐστὶν ἡμέρα φο-
Ἡσ. ιγ΄. 9. βερά· Ἰδοὺ γὰρ ἡμέρα Κυρίου ἔρχεται ἀνίατος, θυμοῦ καὶ ὀργῆς· ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ἐξετάζεται ἀκριβῶς οὐ μόνον τῆς ἐλεημοσύνης τὸ ἔργον, ἀλλὰ πάντα τὰ ἔργα ἡμῶν, καὶ τὰ λόγια, καὶ οἱ λογισμοί. Πόση αἰσχύνη περικαλύψει με τότε, ὅταν ἀνοίξωσι τὰ βιβλία, καὶ φανερωθῶσιν ἐνώπιον πάντων τῶν ἐχθρῶν μου, καὶ ἐνώπιον πάντων τῶν ἀνθρώπων τὰ αἰσχρά μου ἔργα, τὰ ὁποῖα ἐὰν τὴν σήμερον ἐφανεροῦντο ἐνώπιον ἑνὸς μόνου, κἂν αὐτὸς ἦν ἀδελφός μου, ἀπὸ τὴν στενοχωρίαν τῆς αἰσχύνης μου ἐπεκαλούμην τὴν γῆν, ἵνα σχισθῇ καὶ καλύψῃ με; Πόση ἡ αἰσχύνη μου, ὅταν ἐνώπιον πάντων φανερωθῇ ἡ ὑπόκρισις τοῦ ἤθους μου, αἱ ἀδικίαι τῶν χειρῶν μου, αἱ συκοφαντίαι τῆς γλώσσης μου, τὸ ψεῦδος τοῦ στόματός μου, ἡ ὑπερηφάνεια τοῦ νοός μου, ὁ κρυπτὸς φθόνος τῆς καρδίας μου, καὶ πάντα τὰ λοιπὰ πονηρὰ ἔργα μου, καὶ πᾶσα ἡ αἰσχρότης τῶν λογισμῶν μου; Πόση αἰσχύνη καὶ φόβος, ὅταν ὁ Κριτὴς ἐξετάζῃ, καὶ ἐλέγχῃ, καὶ παρίστησιν ἐνώπιόν μου πάσας τὰς ἁμαρτίας μου;
Ταῦτα ἐποίησας, λέγει μοι ὁ φοβε- Ψαλ. μθ΄. 21, 22.
ρὸς Κριτὴς, καὶ ἐσίγησα, ὑπέλαβες ἀνομίαν, ὅτι ἔσομαί σοι ὅμοιος· ἐλέγξω σε, καὶ παραστήσω κατὰ πρόσωπόν σου τὰς ἁμαρτίας σου. Πόσος τρόμος, ὅταν ὁ Κριτὴς ἀνοίξῃ τὸ στόμα αὐτοῦ, καὶ προφέρῃ τῆς δικαιοτάτης αὐτοῦ κρίσεως τὴν φρικωδεστάτην ἀπόφασιν;

Πορεύεσθε, λέγει, ὁ βασιλεὺς τῆς δόξης, ἀλλὰ ποῦ στέλλεις ἡμᾶς τοὺς παναθλίους; Πορεύεσθε· Φιλάνθρωπε, Πανοικτίρμων, Σωτὴρ τοῦ κόσμου, σὺ δι᾽ ἡμᾶς γέγονας ἄνθρωπος, δι᾽ ἡμᾶς ὑπέφερες πάθος, διὰ τὴν σωτηρίαν ἡμῶν ὑψώθης ἐν τῷ σταυρῷ, καὶ ὑπέμεινας θάνατον, ποῦ δὲ νῦν ἐξαποστέλλεις ἡμᾶς; Πορεύεσθε ἀπ᾽ ἐμοῦ· Ἀπὸ σοῦ χωρίζεις ἡμᾶς; ἀλλὰ σὺ εἶ τὸ φῶς, ἡ ζωὴ, ἡ εἰρήνη, ἡ ἀνάπαυσις, μὴ χωρίσῃς ἡμᾶς ἀπὸ τοῦ προσώπου σου, ἐλέησον ἡμᾶς, καθὼς τοσάκις ἠλέησας· βλέψον ἐπὶ τὴν δέησιν, ἐπὶ τὰ δάκρυα, ἐπὶ τὴν μετάνοιαν ἡμῶν. Ὁ καιρὸς τοῦ ἐλέους ἔπαυσεν, ἀποκρίνεται εἰς ἡμᾶς ὁ ἀδυσώπητος Κριτὴς, οὐδὲ ἡ δέησις ἀκούεται, οὐδὲ τὰ δάκρυα ὠφελοῦσι, οὐδὲ ἡ μετάνοια ἐστὶν εὐπρόσδεκτος· ἔπαυσεν ὁ καιρὸς τῆς εὐσπλαγχνίας, νῦν καιρὸς κρίσεως καὶ ἀποφάσεως· Πορεύεσθε ἀπ᾽ ἐμοῦ οἱ κατηραμένοι· Κατηραμένοι; ὢ λόγος πάσης διστόμου μαχαίρας ὀξύτερος καὶ τομώτερος! ἀλλὰ κατηραμένοι οὐχὶ ὑπὸ ἀνθρώπου, ἀλλ᾽ ὑπὸ σοῦ τοῦ παντάνακτος Θεοῦ, ποῦ νὰ ἀπέλθωμεν; Πορεύεσθε ἀπ᾽ ἐμοῦ οἱ κατηραμένοι εἰς τὸ πῦρ· Πῦρ; ὢ φρικτὴ καὶ ἀνείκαστος καταδίκη! ἀλλ᾽ ἆρά γε ἔχει τέλος αὐτὸ τὸ πῦρ; ἆρά γε καταναλίσκει ἡμᾶς μετά τινος χρόνου περίοδον, καὶ μεταβάλ-
λει ἡμᾶς εἰς τὸ μὴ ὄν; Πορεύεσθε Ματ. κέ. 41.
ἀπ᾽

ἀπ' ἐμοῦ οἱ κατηραμένοι εἰς τὸ πῦρ τὸ αἰώνιον, τὸ ἡτοιμασμένον τῷ Διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ. Χωρισμὸς ἀπὸ τοῦ Θεοῦ, πῦρ χωρὶς τέλους, συμβίωσις μετὰ τῶν Δαιμόνων· οὐδὲ νοῦν ἔχω, ἵνα νοήσω, οὐδὲ γλῶσσαν, ἵνα παραστήσω τῶν κολαζομένων τὸν ἀπελπισμὸν καὶ τὴν βάσανον.

Κύριε τοῦ ἐλέους, ἀληθῶς τότε οὐκ ἔστι καιρὸς ἐλέους, ἀλλὰ κρίσεως· δεῖξον οὖν νῦν τὸ ἔλεός σου εἰς ἡμᾶς· ἐξαπόστειλον εἰς τὴν καρδίαν ἡμῶν τὸ φῶς τῆς μετανοίας, ἵνα, ἐξ ὅλης ψυχῆς μετανοήσαντες, ἐπιστρέψωμεν πρὸς σέ, πρὶν ἢ ἔλθῃ ὁ καιρὸς ἐκεῖνος ὁ ἀνίλεως· ἐξαπόστειλον ἔπειτα εἰς ἡμᾶς τὴν ἰσχυρὰν δύναμιν τῆς χάριτός σου, ἵνα ὑπ' αὐτῆς ἐνδυναμούμενοι φυλάττωμεν διαπαντὸς τὰς θείας σου ἐντολάς, καὶ πορευώμεθα ἀόκνως πάσας τὰς ἡμέρας τῆς ζωῆς ἡμῶν τῆς ἀρετῆς τὸν δρόμον· ἵνα τότε καταξιώσῃς ἡμᾶς ἀκοῦσαι τὴν μακαρίαν καὶ φιλανθρωποτάτην σου φωνὴν καὶ ἀπόφασιν· Δεῦτε οἱ εὐλογημένοι τοῦ Πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου. (Ματ. κε. 34.) Γένοιτο, Κύριε, γένοιτο.

# ΕΡΜΗΝΕΙΑ

ΕΙΣ ΤΟ ΚΑΤΑ

# ΜΑΤΘΑΙΟΝ

## ΕΥΑΓΓΕΛΙΟΝ ΤΗΣ ΚΥΡΙΑΚΗΣ ΤΗΣ ΤΥΡΟΦΑΓΟΥ.

Τρεῖς ἀρετάς, ἤγουν τὴν ἀμνησικακίαν, τὴν νηστείαν, καὶ τὴν ἐλεημοσύνην, διδάσκει ἡμᾶς τὸ σήμερον ἀναγνωσθὲν ἅγιον τοῦ Χριστοῦ Εὐαγγέλιον. Διέταξε δὲ ὁ Θεάνθρωπος τὴν νηστείαν μεταξὺ τῶν ἄλλων δύω ἀρετῶν, ἐπειδὴ τὸ μῖσος καὶ ἡ ἀσπλαγχνία ἁρπάζουσι τὸν καρπὸν τῆς νηστείας· ματαίως νηστεύει, ὅστις μισεῖ τὸν ἀδελφὸν αὐτοῦ· ματαίως κλείει τὸ στόμα ἀπὸ τῆς ἀπολαύσεως τῶν βρωμάτων, ὅστις οὐκ ἐκτείνει τὰς χεῖρας αὐτοῦ πρὸς βοήθειαν τῶν πτωχῶν. Ὅταν ἡ νηστεία ὑπάρχῃ συνηνωμένη μετὰ τῆς συγχωρήσεως τῶν σφαλμάτων τοῦ πλησίον, καὶ μετὰ τῆς ἐλεημοσύνης, τότε παρίσταται ἐνώπιον τοῦ Θεοῦ ἐν ἱματισμῷ διαχρύσῳ, περιβεβλημένη, πεποικιλμένη. Ἐπειδὴ δὲ ἄυριον ἀνοίγει τὸ πνευματικὸν στάδιον τῆς νηστείας, πάντες δὲ οἱ Χριστιανοὶ ἐλπίζουσιν, ὅτι δι' αὐτῆς λαμβάνουσι μισθὸν παρὰ Θεοῦ καὶ ἔλεος, διὰ τοῦτο ἡ ἁγία μήτηρ ἡμῶν Ἐκκλησία, ἵνα μηδὲν τῶν τέκνων αὐτῆς πλανηθὲν κοπιάσῃ ματαίως, προβάλλει σήμερον τὴν περὶ νηστείας διδασκαλίαν τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ. Διὸ ὅστις μετ' εὐλαβείας ἀκούσῃ τὰ νοήματα ταύτης τῆς διδασκαλίας, καὶ μετὰ πάσης ἐπιμελείας φυλάξῃ ὅσα αὐτὴ παραγγέλλει, ἐκείνου ἡ νηστεία ἀναβαίνει ὡς θυμίαμα εὐπρόσδεκτον ἐνώπιον τοῦ θρόνου τῆς Μεγαλωσύνης, καὶ καταβιβάζει εἰς αὐτὸν τοῦ Θεοῦ τὸ ἔλεος, καὶ ἑτοιμάζει αὐτῷ τῆς θείας βασιλείας τὸν ἀμάραντον στέφανον.

Εἴ-

Ματ. ς΄. Εἶπεν ὁ Κύριος· Ἐὰν ἀφῆτε
14. τοῖς ἀνθρώποις τὰ παραπτώ-
ματα αὐτῶν, ἀφήσει καὶ ὑ-
μῖν ὁ Πατὴρ ὑμῶν ὁ οὐρά-
15. νιος. Ἐὰν δὲ μὴ ἀφῆτε τοῖς
ἀνθρώποις τὰ παραπτώματα
αὐτῶν, οὐδὲ ὁ Πατὴρ ὑμῶν
ἀφήσει τὰ παραπτώματα ὑ-
μῶν.

Ἀκούεις ἄπειρον Θεοῦ φιλανθρωπίαν; οὐδὲ προστακτικῶς λαλεῖ ὡς παντεξούσιος, οὐδὲ ἀναγκαστικῶς ὡς παντοδύναμος, οὐδὲ νομοθετικῶς ὡς τοῦ παντὸς νομοθέτης, ἀλλ᾽ ὡς ἄνθρωπος τὸν τρόπον μετέρχεται τὸν συμφωνητικόν· ὡς ἄνθρωπος μετὰ τῶν ἀνθρώπων πραγματευόμενος συμφωνεῖ συμφωνίαν, ἥτις ποιεῖ τὸν ἄνθρωπον ἀναπολόγητον· Ἄνθρωποι, λέγει, ἐὰν ὑμεῖς συγχωρήσητε ὅσα σφάλματα ἔπραξαν ἐναντίον ὑμῶν οἱ ἄνθρωποι, καὶ ὁ Πατὴρ ὑμῶν ὁ οὐράνιος συγχωρεῖ ὅσας ἁμαρτίας ἐπράξατε ἐνώπιον αὐτοῦ· ἐὰν δὲ ὑμεῖς μὴ συγχωρήσητε τὰ σφάλματα τῶν ἀδελφῶν ὑμῶν, οὐδὲ ὁ Θεὸς συγχωρεῖ τὰ ἁμαρτήματα ὑμῶν· διώξατε ὑμεῖς τὸ μῖσος ἀπὸ τῆς καρδίας ὑμῶν, ἵνα διώξῃ καὶ ὁ Θεὸς τὴν καθ᾽ ὑμῶν ὀργὴν αὐτοῦ. Μετὰ ταύτην τὴν φιλανθρωποτάτην καὶ δικαίαν καὶ δεσποτικὴν συμφωνίαν, ποῦ ἆρά γε στηριχθῆναι δύνανται ὅσοι, μὴ συγχωροῦντες τὸ σφάλμα τοῦ πλησίον αὐτῶν, ἀλλὰ μισοῦντες αὐτὸν ἕως θανάτου, ἐλπίζουσιν ἄφεσιν ἁμαρτιῶν, καὶ ψυχῆς σωτηρίαν; Ταῦτα διδάξας ὁ Σωτὴρ ἡμῶν, ὡς προετοιμαστικὰ τῆς εὐπροσδέκτου νηστείας, καὶ τοιουτοτρόπως προδιαθέσας τοὺς νηστευτάς, διδάσκει ἔπειτα καὶ τὰ περὶ νηστείας, λέγων·

Ὅταν δὲ νηστεύητε, μὴ γί- Ματ. ς΄.
νεσθε, ὥσπερ οἱ ὑποκριταὶ, 16.
σκυθρωποί· ἀφανίζουσι γὰρ
τὰ πρόσωπα αὐτῶν, ὅπως φα-
νῶσι τοῖς ἀνθρώποις νηστεύον-
τες· ἀμὴν λέγω ὑμῖν, ὅτι ἀ-
πέχουσι τὸν μισθὸν αὐτῶν.

Κατὰ μὲν τὸν καιρὸν τοῦ Ἰησοῦ Χριστοῦ ἦσαν ἄνθρωποι, ἤγουν οἱ Φαρισαῖοι, οἵτινες, ὅταν ἐνήστευον, ἐγίνοντο σκυθρωποὶ, ἐξαφανίζοντες ἐπίτηδες τὰ περιχαρῆ χρώματα καὶ τὸν ζωηρὸν χαρακτῆρα τοῦ προσώπου αὐτῶν, ἵνα φανῶσιν ἐνώπιον τῶν ἀνθρώπων νηστευταί· κατὰ δὲ τὸν καιρὸν τοῦ ἐν ἁγίοις Ἰωάννου τοῦ Χρυσοστόμου ἦσαν ἄνθρωποι, οἵτινες οὐκ ἐνήστευον, ἀλλ᾽ ἐσκυθρώπαζον, καὶ ἐμάραινον τὰ πρόσωπα αὐτῶν, ἵνα μὴ τοὺς ἄλλους σκανδαλίζωσιν, ὡς μὴ νηστεύοντες· τὴν σήμερον εἰσὶν ἄνθρωποι, οἵτινες οὐ μόνον οὐδόλως νηστεύουσιν, ἀλλὰ καὶ παῤῥησίᾳ μετὰ πολλῆς αὐθαδείας τρώγοντες πάντα τὰ ἀπηγορευμένα, καταφρονοῦσι τὴν ἐντολὴν τοῦ Θεοῦ. Καὶ οἱ μὲν πρῶτοι ἦσαν ὑποκριταὶ, σκοπὸν ἔχοντες οὐχὶ εὐαρεστῆσαι τῷ Θεῷ, ἀλλ᾽ ἐπαινεθῆναι ὑπὸ τῶν ἀνθρώπων· ὅθεν τὸν μισθὸν τοῦ κόπου τῆς νηστείας αὐτῶν ἐλάμβανον οὐχὶ παρὰ Θεοῦ, ἀλλὰ παρὰ τῶν ἀνθρώπων, εἰς οὓς αὐτοὶ ἐπέβλεπον· οἱ δὲ δεύτεροι ἦσαν παραβάται τῆς θείας ἐντολῆς· ὅθεν, δικαίως ἐλέγχων αὐτοὺς ὁ θεῖος Χρυσόστομος, λέγει, ὅτι ἦσαν χείρονες τῶν πρώτων· οἱ δὲ τρίτοι, ἤγουν οἱ σημερινοὶ, εἰσὶ καὶ τῶν δευτέρων χείρονες, διότι οὐ μό-

Ὅρα τὴν Σειρ. εἰς τὸ κατὰ Ματθ.

νον

του τὴν ἐντολὴν τοῦ Θεοῦ παραβαίνουσιν, ἀλλὰ καὶ τοὺς ἀνθρώπους σκανδαλίζουσιν. Ἀλλ' ἆρά γε δύναται ὁ μὲν φάγος καταστῆσαι τὸ πρόσωπον αὐτοῦ σκυθρωπὸν, καθὼς ἐποίουν οἱ ἐπὶ Χρυσοστόμου, ὁ δὲ νηστευτὴς φαιδρύναι τὸ πρόσωπον αὐτοῦ, καὶ καταστῆσαι αὐτὸ αἰθηρὸν καὶ θάλλον, ὡς τὸ τοῦ φάγου, καθὼς κατωτέρω παραγγέλλει ὁ Ἰησοῦς Χριστός; Δύναται ἀναμφιβόλως, ὡς καὶ ὁ λόγος πείθει, καὶ ἡ πεῖρα δείκνυσι. Πείθει ὁ λόγος, ἐπειδὴ ἡ ψυχὴ, διὰ τὴν ἄκραν καὶ τελείαν ἕνωσιν αὐτῆς μετὰ τοῦ σώματος, κινεῖ κατὰ τὴν ἰδίαν αὐτῆς θέλησιν καὶ τὸ αἷμα, καὶ τὸ ζωτικὸν πνεῦμα, ἐξ οὗ ἀκολουθοῦσιν αἱ μεταβολαὶ καὶ τῶν χρωμάτων, καὶ τῶν χαρακτήρων τοῦ προσώπου. Πείθουσι τὰ πράγματα, ἐπειδὴ βλέπομεν, ὅτι εἷς λογισμὸς τοῦ νοὸς θλιβερὸς φέρει εἰς τὸ πρόσωπον ὠχρότητα, εἰς τὰ ὄμματα δάκρυα, εἰς τὴν μορφὴν σκυθρωπότητα· ἐξ ἐναντίας, εἷς λογισμὸς χαροποιὸς φαιδρύνει τὸ πρόσωπον, φέρει εἰς τὸ στόμα γέλωτα, καὶ σχηματίζει μορφὴν περιχαρῆ. Ἐπειδὴ δὲ οἱ λογισμοὶ ἀκολουθοῦσι τὴν θέλησιν, φανερόν ἐστιν, ὅτι μεταβάλλομεν τὸ πρόσωπον ἡμῶν,
Παροιμ. ιε'. 13. καθὼς θέλομεν· Καρδίας εὐφραινομένης πρόσωπον θάλλει, ἐν δὲ λύπαις οὔσης, σκυθρωπάζει. Πρὸς τούτοις εἰσὶ καὶ τινα ἐξωτερικὰ βοηθήματα, συνεργοῦντα εἰς τὰς μεταβολὰς τοῦ προσώπου· ποῖα δὲ εἰσι ταῦτα διδάσκει ἡμᾶς ὁ Κύριος, λέγων·

Ματ. ϛ'. 17. Σὺ δὲ, νηστεύων, ἄλειψαί σου τὴν κεφαλὴν, καὶ τὸ πρόσωπόν σου νίψαι,
18. ὅπως μὴ φανῇς τοῖς ἀνθρώποις νηστεύων, ἀλλὰ τῷ Πατρί σου τῷ ἐν τῷ κρυπτῷ, καὶ ὁ Πατήρ σου ὁ βλέπων ἐν τῷ κρυπτῷ, ἀποδώσει σοι ἐν τῷ φανερῷ.

Τοῦ νηστευτοῦ τὸ πρόσωπον, διὰ τὴν ὀλιγότητα τῆς τροφῆς, καὶ ἑπομένως καὶ τοῦ αἵματος, καὶ τῶν χυμῶν, μαραίνεται, καὶ γίνεται ὠχρὸν καὶ ξηρόν· τὰ ἀλείμματα τῆς κεφαλῆς, καὶ αἱ νίψεις τοῦ προσώπου διὰ τῆς τριβῆς ἀνακαλοῦσι τὸ αἷμα καὶ τοὺς χυμοὺς εἰς τὸ πρόσωπον, καὶ φαιδρύνουσιν αὐτό· ὅθεν μόλις γνωρίζεται, ὅτι ἐστὶ πρόσωπον νηστευτοῦ. Σημείωσαι δὲ, ὅτι ὁ Ἰησοῦς Χριστὸς οὐκ ἐνομοθέτησεν, ἵνα, ὅταν νηστεύωμεν, ἀλείφωμεν τὴν κεφαλὴν, καὶ νίπτωμεν τὸ πρόσωπον ὑλικῶς, διότι οὐδὲ αὐτὸς ταῦτα ἐποίησεν, ὅταν ἐνήστευσεν· ἀλλ' ὁ σκοπὸς τοῦ λόγου αὐτοῦ ἐστὶν, ἵνα, ὅταν νηστεύωμεν, μὴ ἐπιβλέπωμεν εἰς τὸν ἔπαινον τῶν ἀνθρώπων, ἀλλὰ παντὶ τρόπῳ κρύπτομεν τὴν ἀρετὴν καὶ φεύγωμεν τὴν κενοδοξίαν· τὸ αὐτὸ δὲ σημαίνει, καὶ τὸ, Σοῦ δὲ ποιοῦντος ἐ- Ματ. ϛ'. 3.
λεημοσύνην, μὴ γνώτω ἡ ἀριστερά σου τί ποιεῖ ἡ δεξιά σου· καὶ τὸ, Σὺ δὲ, ὅταν προσεύχῃ, εἴ- Αὐτ. 6.
σελθε εἰς τὸ ταμεῖόν σου, καὶ κλείσας τὴν θύραν σου, πρόσευξαι τῷ Πατρί σου τῷ ἐν τῷ κρυπτῷ. Ἔχει δὲ τὸ ἄλειμμα τῆς κεφαλῆς, καὶ ἡ νίψις τοῦ προσώπου καὶ ἄλλην ἔννοιαν· καὶ ἡ μὲν κεφαλὴ σημαίνει τὸν νοῦν, τὸ δὲ πρόσωπον, τὸν βίον καὶ τὴν πολιτείαν· διότι καθὼς ἡ κεφαλὴ ἡγεμονεύει πάντων τῶν μελῶν τοῦ σώματος, οὕτω καὶ ὁ νοῦς πάντων τῶν λογισμῶν· καὶ καθὼς ἐκ τοῦ προσώπου γνωρίζομεν τὸν ἄνθρωπον, οὕτω καὶ ἐκ τῆς πολιτείας αὐτοῦ γνωρίζομεν τὴν γνώμην καὶ τὸ ἦθος αὐτοῦ. Διὰ τούτων οὖν τῶν λόγων ταῦτα διδάσκει ὁ Θεάνθρω-

θρωπος· Ὅταν νηστεύῃς, ἄλειφε τὸν νοῦν σου διὰ τοῦ μύρου τῆς πίστεως, καὶ διὰ τοῦ ἐλαίου τῆς συμπαθείας καὶ εὐσπλαγχνίας, καὶ νίπτε τὴν ζωήν σου, καὶ πάντα τὰ ἔργα σου ἀπὸ παντὸς μολυσμοῦ καὶ ἀκαθαρσίας. Βλέπε δὲ, πῶς διὰ τῆς διδασκαλίας ταύτης ὁ Ἰησοῦς Χριστὸς δηλοποιεῖ ἡμῖν, ὅτι ὁ Θεὸς βλέπει οὐ μόνον τὰ φανερὰ, ἀλλὰ καὶ τὰ κρυπτὰ καὶ ἄδηλα· Ὁ Πατήρ σου, λέγει, ὁ βλέπων ἐν τῷ κρυπτῷ, ἀποδώσει σοι ἐν τῷ φανερῷ, ἤγουν, ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως, ἐν ᾗ φανερωθήσονται καὶ τὰ κρυπτὰ καὶ τὰ φανερὰ, καὶ τὰ λόγια καὶ τὰ ἔργα, καὶ αὐτοὶ οἱ ἀπόκρυφοι λογισμοὶ τῶν ἀνθρώπων. Τελειώσας δὲ ὁ Θεάνθρωπος τὸν περὶ νηστείας λόγον, ἄρχεται καὶ τοῦ περὶ ἐλεημοσύνης, λέγων·

Ματ. ϛ'. 19. Μὴ θησαυρίζετε ὑμῖν θησαυ-
ροὺς ἐπὶ τῆς γῆς, ὅπου σὴς
καὶ βρῶσις ἀφανίζει, καὶ ὅ-
που κλέπται διορύσσουσι καὶ
20. κλέπτουσι. Θησαυρίζετε δὲ ὑ-
μῖν θησαυρὸν ἐν οὐρανῷ, ὅπου
οὔτε σὴς, οὔτε βρῶσις ἀφανίζει,
καὶ ὅπου κλέπται οὐ διορύσσου-
21. σιν, οὐδὲ κλέπτουσιν. Ὅπου
γὰρ ὁ θησαυρὸς ὑμῶν, ἐκεῖ
ἔσται καὶ ἡ καρδία ὑμῶν.

Ἄλλοτε μὲν, ὡς νομοθέτης, ἐνομοθέτησε τὸν τῆς ἐλεημοσύνης νόμον, εἰπών·
Λουκ. ιά. 4'. Πλὴν τὰ ἐνόντα δότε ἐλεημοσύ-
Αὐτ. ιβ'. 33. νην. Πωλήσατε τὰ ὑπάρχοντα ὑμῶν, καὶ δότε ἐλεημοσύνην· ἄλλοτε δὲ, ὡς διδάσκαλος, ἐδίδαξε, τίνι τρόπῳ
Ματ. ϛ'. 3. τελεῖται ἡ εὐπρόσδεκτος ἐλεημοσύνη· Σοῦ δὲ, εἶπε, ποιοῦντος ἐλεημοσύνην, μὴ γνώτω ἡ ἀριστερά σου τί ποιεῖ ἡ δεξιά σου· νῦν δὲ ὡς σύμβουλος προβάλλει ἐπιχειρήματα, δι' ὧν πείθει πρὸς τὸ τῆς ἐλεημοσύνης ἔργον· ἐκβάζει δὲ, ὡς σύμβουλος πάνσοφος, τὰ ἐπιχειρήματα αὐτοῦ ἐκ τοῦ τόπου, ἐκ τῆς ὕλης, καὶ ἐκ τοῦ συμφέροντος· Ἄνθρωποι, λέγει, μὴ θησαυρίζετε ἐπὶ τῆς γῆς, ἀλλὰ θησαυρίζετε ἐν τῷ οὐρανῷ. Ἰδοὺ οἱ δύω τόποι, ὅπου οἱ ἄνθρωποι θησαυρίζουσιν, ἡ γῆ καὶ ὁ οὐρανός· οἱ ἐπὶ γῆς θησαυροὶ εἰσὶ φθαρτοὶ καὶ πρόσκαιροι, οἱ ἐν τῷ οὐρανῷ θησαυροὶ εἰσὶν ἄφθαρτοι καὶ αἰώνιοι· ὅσοι θησαυρίζουσιν ἐπὶ γῆς, πολλάκις οὐδὲ αὐτὸν τὸν πρόσκαιρον καρπὸν τῶν θησαυρῶν αὐτῶν ἀπολαμβάνουσιν· ὅσοι θησαυρίζουσιν ἐν οὐρανοῖς, ἐκεῖνοι διαπαντὸς τρυγῶσι τὸν ἄφθαρτον καρπὸν τῶν θησαυρῶν αὐτῶν· ὅσον διαφέρει ὁ οὐρανὸς ἀπὸ τῆς γῆς, τόσον διαφέρουσιν οἱ οὐράνιοι θησαυροὶ ἀπὸ τῶν ἐπιγείων· ἐπειδὴ λοιπὸν, ὦ ἄνθρωπε, θέλεις θησαυροὺς, θησαύρισον, ἀλλὰ θησαύρισον ἐν οὐρανῷ. Τίνες εἰσὶν οἱ θησαυροὶ τῆς γῆς; βρώματα, ἐνδύματα, ἀργύριον, χρυσίον, λίθοι τίμιοι· ἀλλὰ τὰ μὲν βρώματα σήπονται, τὰ δὲ ἐνδύματα τρώγουσιν οἱ σῆτες καὶ οἱ σκώληκες, τὸ δὲ ἀργύριον καὶ χρυσίον καὶ τοὺς τιμίους λίθους ἐπιβουλεύουσι καὶ κλέπτουσιν οἱ κλέπται· ἰδοὺ ἡ ὕλη τῶν γηΐνων θησαυρῶν. Τίνες εἰσὶν οἱ θησαυροὶ τοῦ οὐρανοῦ; δόξα ἄφθαρτος, χαρὰ ἀνεπιβούλευτος, βασιλεία αἰώνιος· ἰδοὺ ἡ ὕλη τῶν ἐπουρανίων θησαυρῶν. Ἐπειδὴ δὲ ὅπου ἐστὶν ὁ θησαυρός σου, ἐκεῖ προσηλοῦται καὶ ἡ καρδία σου, ἤγουν ὁ νοῦς, καὶ ὁ πόθος σου, καὶ πᾶσα ἡ φροντίς σου, ἐὰν θησαυρίσῃς ἐν οὐρανῷ, χωρίζεις τὸν νοῦν σου ἐκ τῶν ματαίων, καὶ ἀφιεροῖς τὸν πόθον σου καὶ πάσας τὰς φροντίδας σου εἰς τὰ ἄφθαρ-



τα

τα καὶ αἰώνια· ἰδοὺ πόσην ὠφέλειαν λαμβάνεις, ὅταν θησαυρίζῃς ἐν οὐρανῷ· φρονεῖς τὰ οὐράνια ἀντὶ τῶν ἐπιγείων, γίνεσαι ἄνθρωπος ἐπουράνιος ἀντὶ κοσμικοῦ, εὑρίσκεσαι ἐπὶ γῆς μετὰ τῶν ἀνθρώπων, καὶ ἐν οὐρανῷ μετὰ τοῦ Θεοῦ, ἑτοιμάζεις σεαυτῷ βασιλείαν αἰώνιον. Ἐσιώπησε δὲ ἐνταῦθα ὁ Θεάνθρωπος τὸν τρόπον, δι' οὗ θησαυρίζομεν ἐν οὐρανῷ, ἐπειδὴ ἄλλοτε πολλάκις ἐδίδαξεν αὐτόν· εἷς δὲ καὶ μόνος ἐστὶν ὁ τρόπος, ὅστις τοῖς πᾶσιν ἐστὶ γνωστός. Ἡμεῖς βάλλομεν εἰς τὰς χεῖρας τῶν πενήτων τροφάς, ἐνδύματα, ἀργύρια, ἀπὸ δὲ τῶν χειρῶν αὐτῶν παραλαμβάνει αὐτὰ ὁ Ἰησοῦς Χριστός· Ἐφ' ὅσον ἐποιήσατε ἑνὶ τούτων τῶν ἐλαχίστων, ἐμοὶ ἐποιήσατε· μένουσι δὲ εἰς τὰς χεῖρας αὐτοῦ τεθησαυρισμένα καὶ πεφυλαγμένα ἕως τῆς ἡμέρας τῆς κρίσεως· τότε δὲ αὐτὸς ἀντὶ τούτων χαρίζει ἡμῖν τὴν αἰώνιον αὐτοῦ βασιλείαν· Δεῦτε οἱ εὐλογημένοι τοῦ Πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου.

Ματ. κε'. 40.

Αὐτόθι. 34.

# ΟΜΙΛΙΑ

ΜΕΤΑ ΤΟ ΚΑΤΑ

# ΜΑΤΘΑΙΟΝ

## ΕΥΑΓΓΕΛΙΟΝ ΤΗΣ ΚΥΡΙΑΚΗΣ ΤΗΣ ΤΥΡΟΦΑΓΟΥ.

Ἐκ τῶν τριῶν ἀρετῶν, περὶ τῶν ὁποίων ἐλάλησε τὸ σημερινὸν Εὐαγγέλιον, ἡ ἀρετὴ τῆς νηστείας ἐστὶν ὑπόθεσις ἁρμοδιωτάτη εἰς τὴν σήμερον ἡμέραν διὰ τὴν ἁγίαν τεσσαρακοστήν, τὴν ἀπὸ τῆς αὔριον ἀρχομένην. Ὁ Διάβολος, ἀδελφοί μου Χριστιανοί, ὅστις ἀπ' ἀρχῆς ἐφθόνησε καὶ ἐπεβούλευσε τῶν ἀνθρώπων τὸ γένος, καὶ διὰ τῆς ἐπιβουλῆς αὐτοῦ κατεκρήμνισεν εἰς τὴν φθοράν, οὐ παύει ἄχρι τῆς σήμερον φθονῶν καὶ ἐπιβουλεύων αὐτό, ἵνα καὶ τῆς σωτηρίας στερήσῃ, τῆς διὰ τοῦ πάθους καὶ τοῦ θανάτου τοῦ Ἰησοῦ Χριστοῦ δοθείσης αὐτῷ. Καὶ τότε μὲν διὰ τοῦ ὄφεως ἐλάλησε πρὸς τοὺς προπάτορας, καὶ διέβαλε τὸν Θεὸν ὡς ἐπίβουλον, εἰπὼν πρὸς αὐτούς, ὅτι ἡ νηστεία ἐστὶ βλαβερά, ἡ δὲ βρῶσις τοῦ καρποῦ ἐστὶν ὠφέλιμος, ἐπειδὴ μεταβάλλει τὸν ἄνθρωπον εἰς Θεόν· Ἤδει γὰρ ὁ Θεός, ὅτι ᾗ ἂν ἡμέρᾳ φάγητε ἀπ' αὐτοῦ, διανοιχθήσονται ὑμῶν οἱ ὀφθαλμοί, καὶ ἔσεσθε ὡς Θεοί, γινώσκοντες καλὸν καὶ πονηρόν· ἰδοὺ ἡ τότε συμβουλὴ τοῦ Διαβόλου· νῦν δέ, ἀμέσως λαλῶν εἰς τὰς καρδίας τῶν ἀνθρώπων, ἄλλους μὲν συμβουλεύει, λέγων, ὅτι ἡ νηστεία οὐκ ἔστιν ἐντολὴ τοῦ Θεοῦ, ἀλλ' ἔχει καθεὶς ἐξουσίαν, ἵνα τρώγῃ καὶ πίνῃ ὅσα θέλει, καὶ ὁποῖα θέλει, καὶ ὅταν θέλῃ· ἄλλους δέ, ὅτι ἡ νηστεία βλάπτει τὴν ὑγείαν, καὶ φέρει διαφόρους ἀσθενείας· ἀπατᾷ δὲ καὶ τοὺς πρώτους καὶ τοὺς δευτέρους, καθὼς καὶ τότε ἠπάτησε τὴν Εὔαν· κατ' ἐκείνων δέ, οἵτινες οὐ πείθονται εἰς ταύτας τὰς συμβουλὰς αὐτοῦ, ἀλλὰ νηστεύουσιν, ἑτοιμάζει ἄλλας παγίδας καὶ πειρασμούς, διὰ τῶν ὁποίων καταμιαίνει τὴν νηστείαν αὐ-

Γεν. γ'. 5.

αὐτῶν, καὶ ποιεῖ αὐτὴν ἀνωφελῆ καὶ ἄκαρπον. Δύω λοιπὸν βέλη ῥίπτει τὴν σήμερον ὁ Διάβολος εἰς τὰς καρδίας τῶν ἀνθρώπων, ἵνα ἀποστρέψῃ αὐτοὺς ἀπὸ τῆς νηστείας, τὸ ψεῦδος, καὶ τὸν φόβον, ἔτι δὲ καὶ ἄλλο τρίτον βέλος πολύστομον, ἤγουν τὴν ἀπροσεξίαν, ἵνα καταστήσῃ ματαίαν καὶ ἄκαρπον τὴν νηστείαν.

Ἰδοὺ τί λέγουσιν οἱ περιφρονηταὶ τῆς νηστείας· Ἡ νηστεία οὐκ ἔστιν ἐντολὴ τοῦ Θεοῦ, διότι οὐδὲ εἰς τὸν κατάλογον τῶν δέκα ἐντολῶν περιέχεται, οὐδὲ ὁ Ἰησοῦς Χριστὸς περὶ αὐτῆς ἐντολὴν ἔδωκεν, οὐδὲ οἱ Ἀπόστολοι περὶ αὐτῆς ἐνομοθέτησαν· αὐτή ἐστιν ἐφεύρεμα ἀνθρώπων, τῶν ἀσκητῶν δηλαδὴ καὶ ἐρημιτῶν, ὅθεν οὐδὲ χρέος ἐστὶν ἡ νηστεία· ἀλλ' ὅστις μὲν νηστεύει, καλὸν ἔργον ποιεῖ, ὅστις δὲ οὐ νηστεύει, οὐδόλως ἁμαρτάνει· ταῦτα δὲ φρονοῦντες καὶ λέγοντες, ἀναπαύουσι τὴν πεπλανημένην αὐτῶν συνείδησιν, οὐδὲ τετράδα φυλάττουσιν, οὐδὲ παρασκευὴν, οὐδὲ τεσσαρακονθήμερον, οὐδὲ τὰς ἄλλας διατεταγμένας νηστείας, ἀλλ' ἐσθίουσι καὶ πίνουσιν ἀδιαφόρως καθ' ἑκάστην ἡμέραν χωρίς τινος διαστολῆς πάντα ὅσα θέλουσι, τὸ φάγωμεν καὶ πίωμεν τῶν Ἐπικουρείων ἐνεργοῦντες, καὶ τοὺς ἄλλους σκανδαλίζοντες. Καὶ ὅμως ἔπρεπε, κἂν ἐπειδὴ ὁμολογοῦσιν, ὅτι ἡ νηστεία ἐστὶ καλὸν ἔργον, καὶ γνωρίζουσιν, ὅτι αὐτὴ καταδαμάζει τῆς σαρκὸς τὰ ὀλέθρια πάθη, ἔπρεπε, λέγω, κἂν διὰ τοῦτο, ἵνα νηστεύωσι πυκνότατα.

Ἀλλ' ὦ τυφλοὶ καὶ μωροὶ καταφρονηταὶ τῆς νηστείας, ὡς φαίνεται, οὐδὲ ἀκούετε, οὐδὲ κατανοεῖτε, ποίαν ἐντολὴν κατὰ πρῶτον ἔδωκεν ὁ Θεὸς εἰς τοὺς
Γεν. β'. 16, 17. ἀνθρώπους· Καὶ ἐνετείλατο, λέγει ἡ Θεία Γραφὴ, Κύριος ὁ Θεὸς τῷ Ἀδὰμ, λέγων· Ἀπὸ δὲ τοῦ ξύλου τοῦ γινώσκειν καλὸν καὶ πονηρὸν οὐ φάγεσθε ἀπ' αὐτοῦ. Ἀκούεις; Ἐνετείλατο, λέγει, ἤγουν ἔδωκεν ἐντολήν· ποίαν ἐντολήν; Οὐ φάγεσθε ἀπ' αὐτοῦ· τί δὲ ἄλλο σημαίνει τὸ, οὐ φάγεσθε, εἰμὴ τὴν νηστείαν; Ἔδωκε δὲ τῆς νηστείας τὴν ἐντολὴν οὐχ ἁπλῶς καὶ ὡς ἔτυχεν, ἀλλὰ μετὰ φοβερισμοῦ μεγάλου, καὶ ποινῆς φοβερᾶς·
Ἧ δ' ἂν ἡμέρᾳ, εἶπε, φάγητε ἀπ' αὐτοῦ, θανάτῳ ἀποθανεῖσθε· τοῦτο Γεν. β'. 17.
δὲ τί ἄλλο σημαίνει, εἰμὴ τὸ, ἐὰν μὴ νηστεύσητε, ἀποθνήσκετε;

Οὐ πιστεύομεν ἡμεῖς, κατὰ τὴν ἀποστολικὴν διδασκαλίαν, ὅτι ὁ πρωτό- Ῥωμ. ε'. 14.
πλαστος, καὶ σὺν αὐτῷ ἅπαν τὸ γένος τῶν ἀνθρώπων παρέβη τὴν ἐντολὴν τοῦ Θεοῦ; ποίαν δὲ ἄλλην ἐντολὴν ἔδωκεν ὁ Θεὸς εἰς τὸν Ἀδὰμ, ἢ ποίαν ἄλλην ἐντολὴν παρέβη αὐτὸς, εἰμὴ τὴν ἐντολὴν τῆς νηστείας; Ἄκουσον πόσον καθαρὰ διδάσκει περὶ τούτου ὁ θεηγόρος Ἀπό-
στολος· Ὥσπερ γὰρ διὰ τῆς παρα- Αὐτόθι. 19.
κοῆς τοῦ ἑνὸς ἀνθρώπου ἁμαρτωλοὶ κατεστάθημεν οἱ πολλοὶ, οὕτω καὶ διὰ τῆς ὑπακοῆς τοῦ ἑνὸς, δίκαιοι κατασταθήσονται οἱ πολλοί· ποία δὲ ἄλλη ἐστὶν ἡ παρακοὴ τοῦ ἑνὸς, εἰμὴ ἡ παράβασις τῆς ἐντολῆς τῆς νηστείας τοῦ Ἀδάμ; ποία ἄλλη ἐστὶν ἡ ἁμαρτία αὐτοῦ, ἀπὸ τῆς ὁποίας οὐκ ἐδικαιώθημεν, εἰμὴ διὰ τοῦ θανάτου τοῦ μονογενοῦς Υἱοῦ τοῦ Θεοῦ, εἰμὴ ἡ ἁμαρτία τῆς καταφρονήσεως τῆς νηστείας;
Καὶ λαβοῦσα, λέγει ἡ Θεία Γραφὴ, Γεν. γ'. 6.
ἡ Εὔα ἀπὸ τοῦ καρποῦ αὐτοῦ, ἔφαγεν. Ἀκούεις; Ἔφαγε· καὶ ἔδωκε καὶ τῷ ἀνδρὶ αὐτῆς μετ' αὐτῆς, καὶ ἔφαγον. Ἀκούεις; πάλιν λέγει, ἔφαγον, ἵνα πληροφορηθῇς, ὅτι ἡ παράβασις τῆς ἐντολῆς, οὐδὲν ἄλλο ἦν, εἰμὴ ἡ παράβασις τῆς νηστείας. Μετὰ δὲ ταῦτα πῶς σὺ τολμᾷς, καὶ λέγεις, ὅτι ἡ νηστεία οὐκ ἔστιν ἐντολὴ τοῦ Θεοῦ, ἀλ-

ἀλλ' ἐφεύρεμα ἀνθρώπων, τῶν ἀσκητῶν δηλαδὴ καὶ ἐρημιτῶν; πῶς τολμᾷς, καὶ λέγεις, ὅτι ἡ νηστεία οὐκ ἔστι χρέος, καὶ ὅτι ὅστις οὐ νηστεύει, ἐκεῖνος οὐδόλως ἁμαρτάνει;

Ἀλλ' ἡ νηστεία, λέγεις, οὐ περιέχεται εἰς τὸν Δεκάλογον. Ναὶ, οὐ περιέχεται, ἀλλ' οὐδὲ ἡ ἐντολὴ τῆς περιτομῆς περιέχεται εἰς τὸν Δεκάλογον· τί φρονεῖς περὶ τῆς περιτομῆς; ἐντολὴ Θεοῦ ἐστὶν ἡ περιτομὴ, ἢ οὔ; ὅτι Θεοῦ ἐντολή ἐστιν ἡ περιτομὴ οὐδεὶς περὶ τούτου
Γεν. ιζ΄. 10. ἀμφιβάλλει· Καὶ αὕτη ἡ Διαθήκη, εἶπεν ὁ Θεὸς εἰς τὸν Ἀβραάμ, ἣν διατηρήσεις, ἀνὰ μέσον ἐμοῦ καὶ ὑμῶν, καὶ ἀνὰ μέσον τοῦ σπέρματός σου μετὰ σὲ εἰς τὰς γενεὰς αὐτῶν· περιτμηθήσεται ὑμῖν πᾶν ἀρσενικόν. Ἀλλ' ἡ περιτομὴ, ἀποκρίνεσαι, οὐ περιείχετο εἰς τὸν Δεκάλογον, ἐπειδὴ ἦν πρόσκαιρος, καὶ ἔπαυσεν, ὅτε ὁ Χριστὸς περιετμήθη· ὁμολογεῖς λοιπὸν, ὅτι ἡ περιτομή ἐστιν ἐντολὴ, ἀλλὰ λέγεις, ὅτι ἦν πρόσκαιρος, καὶ ἔπαυσε· πῶς; ἡ περιτομὴ ἦν πρόσκαιρος; πῶς; ὁ Θεὸς ἔδωκε πρὸς καιρὸν τὴν ἐντολὴν τῆς περιτομῆς, ἔπειτα ἔλεγεν εἰς τὸν Ἀβραάμ, ἣν διατηρήσεις ἀνὰ μέσον ἐμοῦ καὶ ὑμῶν, καὶ ἀνὰ μέσον τοῦ σπέρματός σου μετὰ σὲ εἰς τὰς γενεὰς αὐτῶν; πῶς; ἔπαυσεν ἡ περιτομὴ, ὅτε ὁ Χριστὸς περιετμήθη; τὸ ἐναντίον ἐγένετο· ἐξότου ὁ Χριστὸς περιετμήθη, ἔπαυσεν ὁ τύπος τῆς περιτομῆς, καὶ ἤρξατο ἡ περιτομὴ ἡ ἀληθινὴ, τὴν ὁποίαν ἐσήμαινεν ἡ περιτομὴ ἡ τυπική· πάντες οἱ εἰς Χριστὸν πιστεύοντες περιτέμνονται τὴν περιτομὴν, τὴν ὁποίαν ὁ Θεὸς ἐσήμανε διὰ τῆς σαρκικῆς περιτομῆς. Ἐὰν εἰς τὰ ἐμὰ λόγια οὐ πιστεύῃς, πίστευσον εἰς τὴν διδασκα-
Κολ. β΄. 11. λίαν τοῦ θεοφόρου Παύλου· Καὶ περιετμήθητε, λέγει αὐτὸς, περιτομῇ ἀχειροποιήτῳ· ἔπειτα διδάσκει καὶ τὸ πῶς, καὶ τὸ πότε περιτεμνόμεθα, λέγων· Ἐν τῇ ἀπεκδύσει τοῦ σώματος τῶν ἁμαρτιῶν τῆς σαρκὸς, ἐν τῇ περιτομῇ τοῦ Χριστοῦ· Συνταφέντες αὐτῷ ἐν τῷ βαπτίσματι. Κολ. β΄. 12. Ὅταν πλησιάζωμεν εἰς τὴν κολυμβήθραν τοῦ ἁγίου βαπτίσματος, τότε διὰ τῆς ἀποτάξεως τοῦ Σατανᾶ καὶ πάντων τῶν ἔργων αὐτοῦ, περιτεμνόμεθα τὴν ἀκροβυστίαν τῆς σαρκὸς ἡμῶν, ἤγουν πάσας τὰς σαρκικὰς ἐπιθυμίας καὶ ματαιότητας· βαπτισθέντες δὲ, καὶ τῷ Χριστῷ συνταφέντες, θάπτομεν τὸν παλαιὸν τῆς ἁμαρτίας ἄνθρωπον, καὶ ἐξερχόμεθα ἐκ τῆς κολυμβήθρας περιτετμημένοι τὴν ἀχειροποίητον περιτομὴν, καὶ τῇ τοῦ Χριστοῦ χάριτι ἐξεγηγερμένοι ἀπὸ τῆς ἁμαρτίας. Αὐτή ἐστιν ἡ ἀληθινὴ περιτομὴ, τῆς ὁποίας τύπος καὶ σημεῖον ἦν ἡ Ἰουδαϊκὴ, ὅθεν οὐχὶ ὁ Ἰουδαῖος, ἀλλ' ὁ Χριστιανὸς περιτέμνεται τὴν ἀληθινὴν περιτομήν· Οὐ γὰρ, λέγει ὁ αὐτὸς Ἀπόστολος, ὁ ἐν τῷ φανερῷ Ἰουδαῖός ἐστιν, οὐδὲ ἡ ἐν τῷ φανερῷ ἐν σαρκὶ, περιτομὴ, ἀλλ' ὁ ἐν τῷ κρυπτῷ Ἰουδαῖος, καὶ περιτομὴ καρδίας, ἐν Πνεύματι, οὐ γράμματι. Ῥωμ. β΄. 28, 29. Ἰδοὺ λοιπὸν μία ἐντολὴ οὐχὶ πρόσκαιρος, ὡς σὺ λέγεις, ἀλλὰ διαμένουσα ἕως τῆς συντελείας, ἥτις οὐ περιέχεται εἰς τὸν Δεκάλογον. Καθὼς λοιπὸν ἡ περιτομὴ ἐντολή ἐστι, κἂν μὴ περιέχηται εἰς τὸν Δεκάλογον, οὕτω καὶ ἡ νηστεία ἐντολὴ τοῦ Θεοῦ ἐστὶ, κἂν εἰς τὸν Δεκάλογον οὐκ ἐγράφη.

Ἀλλὰ διατί οὐκ ἔγραψεν ὁ Θεὸς εἰς τὰς πλάκας τοῦ νόμου, οὐδὲ τὴν ἐντολὴν τῆς νηστείας, οὐδὲ τὴν τῆς περιτομῆς; Διότι ταύτας τὰς ἐντολὰς παρέδωκε πρὸ τοῦ Δεκαλόγου, τὴν μὲν τῆς νηστείας εἰς τὸν Ἀδὰμ, τὴν δὲ τῆς πε-

ριτομῆς εἰς τὸν Ἀβραάμ· ἦσαν δὲ καὶ αἱ δύω γνωσταὶ καὶ ἐνεργούμεναι οὐ μόνον ὑπὸ τῶν Ἰουδαίων, ἀλλὰ καὶ ὑπὸ τῶν ἐθνικῶν· οὐ μόνον οἱ Ἑβραῖοι πε-
Ἡρόδ. β΄. 2. ριετέμνοντο, ἀλλὰ καὶ οἱ Κόλχοι, καὶ οἱ Αἰγύπτιοι, καὶ οἱ Αἰθίοπες, καὶ οἱ Φοίνικες, καὶ οἱ Σύροι· ἐνήστευον οὐ μόνον οἱ Ἰουδαῖοι, ἀλλὰ καὶ οἱ ἐθνικοί· μαρτυρεῖ τοῦτο ἡ νηστεία τῶν Νινευϊτῶν, καὶ ἡ τοῦ ἐθνικοῦ Κορνηλίου τοῦ Ἑκατοντάρχου· ποία δὲ χρεία ἦν, ἵνα νομοθετήσῃ ἐκ δευτέρου ὁ Θεὸς τὰ προνενομοθετημένα, καὶ γνωστὰ, καὶ ἐνεργούμενα;

Διὰ τὸν αὐτὸν λόγον οὐδὲ ὁ Ἰησοῦς Χριστὸς, οὐδὲ οἱ θεῖοι Ἀπόστολοι ἐνομοθέτησαν διὰ λόγου νηστείαν· περὶ αὐτῆς ἐλάλησαν σχεδὸν πάντες οἱ Προφῆται· ὁ δὲ προφήτης Ζαχαρίας καὶ τοὺς διωρισμένους καιροὺς ἐφανέρωσεν, εἰς τοὺς
Ζαχ. η΄. 19. ὁποίους ἐνήστευον οἱ Ἰουδαῖοι· Νηστεία ἡ τετάρτη, καὶ νηστεία ἡ πέμπτη, καὶ νηστεία ἡ ἑβδόμη, καὶ νηστεία ἡ δεκάτη, ἤγουν ἡ γινομένη ἐν τῷ τετάρτῳ, καὶ πέμπτῳ, καὶ ἑβδόμῳ, καὶ δεκάτῳ μηνὶ τῷ Ἑβραϊκῷ, ἔσονται τῷ οἴκῳ Ἰούδα εἰς χαρὰν καὶ εὐφροσύνην, καὶ εἰς ἑορτὰς ἀγαθάς. Ἀλλ' ὁ μὲν Ἰησοῦς Χριστὸς ἐπεκύρωσε καὶ ἐβεβαίωσε διὰ τοῦ θείου αὐτοῦ παραδείγματος τὴν νενομοθετημένην καὶ γνωστὴν καὶ ἐνεργουμένην τῆς νηστείας
Ματ. δ΄. 2. ἐντολὴν, νηστεύσας ἡμέρας τεσσαράκοντα, καὶ νύκτας τεσσαράκοντα· ἐξελέγξας δὲ καὶ τοὺς ὑποκριτὰς, τοὺς ἀνωφελῶς νηστεύοντας, ἐδίδαξεν, ὡς ἠκούσαμεν ἐν τῷ σημερινῷ Εὐαγγελίῳ, τὸν τρόπον, δι' οὗ γίνεται ἡ εὐπρόσδεκτος τῷ Θεῷ νηστεία. Ὁμοίως δὲ καὶ οἱ χριστοκήρυκες Ἀπόστολοι οὐκ ἐνομοθέτησαν τὴν ἀπ' ἀρχῆς κόσμου νενομοθετημένην νηστείαν, ἀλλ' ἐφανέρωσαν εἰς ἡμᾶς, ὅτι καὶ καιροὶ νηστείας ἦσαν διω-
ρισμένοι, εἰπόντες· Διὰ τὸ καὶ τὴν νηστείαν ἤδη παρεληλυθέναι· καὶ Πράξ. κζ΄. 9.
ὅτι καὶ αὐτοὶ πολλάκις ἐνήστευον· Ἐν νηστείαις πολλάκις· καὶ ὅτι, πρὸ Β΄. Κορινθ. 27.
παντὸς ἔργου ἀγαθοῦ, ἐτέλουν νηστείαν· Τότε νηστεύσαντες καὶ προσευξάμενοι· καὶ, Προσευξάμενοι μετὰ Πράξ. ιγ΄. 3.
νηστειῶν· καὶ ὅτι πρέπει καὶ ἡμεῖς νὰ νηστεύωμεν· Ἵνα σχολάζητε τῇ νηστείᾳ καὶ τῇ προσευχῇ· ἐδιώρισαν δὲ κανονικῶς καὶ τοὺς καιροὺς, εἰς τοὺς ὁποίους πρέπει νὰ νηστεύωμεν. Α΄. Κορ. ζ΄. 5. Καν. ξθ΄.

Ποίαν οὖν ἀπολογίαν ἔχουσιν, ὅσοι, καταφρονοῦντες τὴν νηστείαν, προβάλλουσιν ὅσα προείπομεν; ποίαν δὲ ἀπόδειξιν περὶ τοῦ, ὅτι ἡ νηστεία, ἡ ἀπ' ἀρχῆς κόσμου νομοθετηθεῖσα ὑπὸ τοῦ Θεοῦ, ἐστὶν ἐφεύρεμα τῶν ἀνθρώπων; ποίαν δὲ συνείδησιν, λέγοντες, ὅτι ὅστις οὐ νηστεύει εἰς τοὺς διατεταγμένους καιροὺς, ἐκεῖνος οὐδόλως ἁμαρτάνει;

Ὅσοι δὲ φεύγουσι τὴν νηστείαν, φοβούμενοι μήπως ἐξ αὐτῆς βλάψωσι τὴν ὑγείαν αὐτῶν, ἐκεῖνοί εἰσιν ἀμαθεῖς καὶ ὀλιγόπιστοι· αὐτοὶ, μὴ εἰδότες ποία ἐστὶν ἡ ἀληθὴς νηστεία, νομίζουσιν, ὅτι νηστεία ἐστὶν ἡ ἀποχὴ μόνον τεσσάρων ἢ ἓξ εἰδῶν τροφῆς. Ἡμεῖς, ὅταν νηστεύωμεν, τότε ἄνω κάτω φέρομεν γῆν καὶ θάλασσαν· τὴν γῆν, ἵνα συνάξωμεν σπέρματα, καρποὺς, ὀπώρας, ἀρώματα, καὶ ὅσα ἄλλα φύει ἐδώδιμα· τὴν θάλασσαν, ἵνα εὕρωμεν ὀστρακόδερμα, μαλάκια, κοχλίας, ἐχίνους, καὶ ὅσα ἄλλα ἐν αὐτῇ ζωΰφια εἰς τὴν γεῦσιν δεκτά· ἑτοιμάζομεν βρώματα ξηρὰ, ἁλμυρὰ, ὀξέα, γλυκὰ, διὰ δὲ τῆς τούτων ἀναμίξεως καὶ κράσεως κατασκευάζομεν τροφὰς πολλὰς καὶ πολυποικίλους, ἐλαίῳ, οἴνῳ, μέλιτι, ἀρώμασι κατηρτυμένας, δι' αὐτῶν δὲ γεμίζομεν τὴν τράπεζαν περισσότερον, ἢ ὅταν κρεοφαγῶμεν.

Ἐ-

Ἐπειδὴ δὲ αἱ τοιαῦται τροφαὶ ἐρεθίζουσι τὴν ὄρεξιν, τρώγομεν καὶ πίνομεν ὑπὲρ τὸ μέτρον, μετὰ δὲ ταῦτα πειθόμεθα, ὅτι νηστεύομεν. Ἡ τοιαύτη νηστεία ἀληθῶς βλάπτει, διότι αἱ προειρημέναι τροφαὶ εἰσὶ δύσπεπτοι, κακόχυμοι, φλογεραί· ἐξ αὐτῶν δὲ γίνονται χυμοὶ ἄπεπτοι, δύσκρατοι, ἁλμυροὶ, ὀξεῖς· ἐξ αὐτῶν δὲ δυσπεψίαι, κακοχυμίαι, ἁλμυρὰ φλέγματα, καὶ ἄλλα πολλὰ ὀχληρὰ πάθη ψυχῆς καὶ σώματος.

Ἀλλὰ τίς ἐδίδαξεν αὐτοὺς, ὅτι ἡ τοιαύτη πολυποικιλία τῶν τροφῶν, καὶ ἡ πολυφαγία ἐστὶ νηστεία; ποῦ ἀνέγνων, ἢ ἤκουσαν, ὅτι ὅστις ἀπέχει κρέατος καὶ ὀψαρίων, ἐκεῖνος νηστεύει, κἂν τρώγῃ ἄλλα πολλὰ καὶ πολυποίκιλα βρώματα; ἄλλο πρᾶγμά ἐστιν ἡ νηστεία, καὶ ἄλλο ἡ ποικιλοφαγία· ἄλλο πρᾶγμά ἐστιν ἡ νηστεία, καὶ ἄλλο ἡ πολυφαγία. Νηστεία ἐστὶν ἡ παντελὴς ἀφαγία, ἢ ἡ μονοφαγία καὶ ξηροφαγία· ὅταν ἀπὸ πρωΐας ἕως ἑσπέρας οὐδὲν τρώγῃς, τότε νηστεύεις· ὅταν οὐδὲν ἕτερον τρώγῃς, εἰμὴ ἓν εἶδος τροφῆς, ἄρτον, ἢ λάχανον, ἢ ὀπώρας, ἢ ὄσπριον, καὶ τοῦτο χωρὶς ἀρτυμάτων, τότε νηστεύεις· ἡ τοιαύτη δὲ νηστεία οὐ μόνον κατ' οὐδένα τρόπον οὐδὲν βλάπτει, ἀλλὰ καὶ πολλὰ ὠφελεῖ· οἱ ἀσκηταὶ καὶ οἱ ἐρημῖται τοιαύτην νηστείαν πάντοτε νηστεύουσι, καὶ ὅμως καὶ ὑγιεῖς εἰσὶ, καὶ μακρόβιοι γίνονται· ἡ τοιαύτη νηστεία ἐστὶ δίαιτα πολλὰ ὠφέλιμος· οἱ δὲ σοφοὶ ἰατροὶ εἰς αὐτὴν μᾶλλον ἢ εἰς τὰ βότανα ἐλπίζουσι, καὶ δι' αὐτῆς πάμπολλα θεραπεύουσι ἀῤῥωστήματα.

Ναὶ, λέγετε, ἀληθῶς, ἀλλὰ τίς δύναται νὰ τρώγῃ τεσσαράκοντα καὶ ὀκτὼ ἡμέρας ἀκολούθως τοιαύτας τροφάς; μετὰ τρεῖς ἢ τέσσαρας ἡμέρας τοσοῦτον ἀηδεῖς γίνονται, ὥστε μόλις δύνασαι εἰσαγαγεῖν αὐτὰς εἰς τὸ στόμα σου. Τίς δύναται; ὅστις πεινᾷ, ἐκεῖνος δύναται· ἡμεῖς σχεδὸν πάντοτε τρώγομεν, πρὶν ἢ πεινάσωμεν, καὶ πίνομεν, πρὶν ἢ διψήσωμεν, διὰ τοῦτο ζητοῦμεν καρυκεύματα, καὶ τροφῶν μεταλλαγὰς, ἵνα ἐξεγείρωμεν τὴν νενεκρωμένην ὑπὸ τοῦ κόρου ὄρεξιν· περίμενε, ἵνα πεινάσῃς, καὶ τότε ὁ ξηρὸς ἄρτος φαίνεταί σοι γλυκύτατος καὶ νοστιμώτατος· περίμενε, ἵνα διψήσῃς, καὶ τότε τὸ ὕδωρ γίνεται μέλι καὶ νέκταρ ἐν τῷ στόματί σου.

Ἀλλ' ἡ τοιαύτη νηστεία, λέγεις, προξενεῖ τοσαύτην ἀδυναμίαν, ὥστε οὐδεὶς δύναται ἐκπληρῶσαι τὰ ἔργα αὐτοῦ. Ἀληθῶς προξενεῖ ἀδυναμίαν, ἀλλ' αὐτὴ ἡ ἀδυναμία ἐστὶ δύναμις, ἥτις συντρίβει τῆς σαρκὸς τὸν πόλεμον, ὅθεν καὶ διὰ τοῦτο νηστεύομεν, ἵνα ἀδυνατήσωμεν τῆς σαρκὸς τὴν λύσσαν· ἀληθῶς προξενεῖ ἀδυναμίαν, ἀλλ' ὑγιεινήν· αἱ πολυφαγίαι οὐ μόνον προξενοῦσιν ἀδυναμίαν, ἀλλὰ καὶ ἀσθενείας πολλὰς καὶ χαλεπὰς, ἐνίοτε δὲ καὶ θανατηφόρους· εἰπέ μοι, τίνες εἰσὶ δυνατώτεροι, οἱ χωρικοὶ ἄνθρωποι, οἱ δι' ἁπλῶν καὶ ὀλίγων τροφῶν σχεδὸν διαπαντὸς τρεφόμενοι, ἢ οἱ τὰς πόλεις οἰκοῦντες, καὶ τὰ πολλὰ καὶ σύνθετα βρώματα καθ' ἑκάστην τρώγοντες; τὸ μὲν σῶμα τοῦ ὀλιγοφάγου καὶ ὀλιγοπότου ἐστὶ σῶφρον, καὶ ὑγιὲς διαπαντὸς καὶ ῥωμαλαῖον, τὸ δὲ τοῦ πολυφάγου καὶ πολυπότου ἐστὶν ἀσελγὲς, καὶ φιλάσθενον, καὶ ἀδύνατον.

Πρὸς τούτοις, διατί βλέπεις πάντοτε κάτω εἰς τὴν γῆν, καὶ οὐκ ἀναβιβάζεις τὰ ὄμματά σου εἰς τὸν οὐρανόν; γίνεσαι ὀλιγόπιστος, διὰ τοῦτο φοβεῖσαι τὴν ἀσθένειαν καὶ τὴν ἀδυναμίαν· γίνεσαι ὀλιγόπιστος, καὶ διὰ τοῦτο ζητεῖς ὑγείαν καὶ δύναμιν οὐκ ἀπὸ τοῦ παν-

τοκράτορος Θεοῦ, ἀλλ' ἀπὸ τῆς βρώσεως καὶ πόσεως. Ἐὰν βεβαίως πιστεύῃς, ὅτι ὁ Μωϋσῆς, νηστεύσας τεσσαράκοντα
Ἐξόδ. λδ'. 18. ἡμερονύκτια ἐν τῷ ὄρει τῷ Σινᾷ, κατέβη ἔπειτα ἀπὸ τοῦ ὄρους δυνατὸς καὶ ἰσχυρὸς, καὶ κατέκαυσε τὸν μόσχον τὸν χρυσοῦν, καὶ κατήλεσεν αὐτὸν εἰς λεπτὰ
Αὐτ. λβ'. 20. μέρη, καὶ ἔσπειρεν αὐτὸν εἰς τὸ ὕδωρ· ἐὰν χωρὶς δισταγμοῦ πιστεύῃς, ὅτι ὁ
Γ'. Βασιλ. ιθ'. 8. Ἠλίας, φαγὼν μόνον ἄρτον, καὶ πιὼν μόνον ὕδωρ, ἐδυνήθη τῇ δυνάμει τῆς βρώσεως ἐκείνης περιπατῆσαι τεσσαράκοντα ἡμέρας καὶ τεσσαράκοντα νύκτας, καὶ πορευθῆναι ἕως ὄρους Χωρήβ· ἐὰν ἀληθῶς πιστεύῃς, ὅτι ὁ Δανιὴλ καὶ οἱ τρεῖς Παῖδες, τρώγοντες μόνα σπέρματα τῆς γῆς, ἐφάνησαν λαμπρότεροι καὶ δυνατώ-
Δαν. α'. 15. τεροι ὑπὲρ τὰ παιδάρια τὰ ἐσθίοντα τὴν τράπεζαν τοῦ βασιλέως τῆς Βαβυλῶνος· ἐὰν οὐδόλως διστάζῃς, ἀλλὰ πιστεύῃς, ὅτι ὁ Θεὸς, συνεργὸς ὢν πάντων τῶν καλῶν ἔργων, καὶ συμβοηθὸς τῶν φυλασσόντων τὰς ἐντολὰς αὐτοῦ, δίδωσί σοι καὶ ὑγείαν καὶ δύναμιν, καὶ ἐνισχύει σε, ὅταν, ἐκπληρῶν τὸ θεῖον αὐτοῦ θέλημα, νηστεύῃς, τότε διώκεις ἀπὸ σοῦ τὴν δειλίαν, καὶ ἀποῤῥίπτεις τὸν φόβον· ὅταν νηστεύῃς τὴν ἀληθινὴν νηστείαν, τότε ὁ Θεὸς ἐστὶ μετὰ σοῦ· ἐὰν δὲ ὁ Θεὸς μετὰ σοῦ, τί φοβεῖσαι; Ἡ τροφὴ καὶ αἱ δυνάμεις αὐτῆς, τὸ σῶμα καὶ πᾶσα ἡ κίνησις αὐτοῦ, καὶ ἡ αὔξησις καὶ ἡ ἐλάττωσις καὶ ἡ ὑγεία καὶ ἡ δύναμις αὐτοῦ, καὶ πᾶσα ἡ φύσις καὶ οἱ νόμοι αὐτῆς ὑπὸ τὴν ἐξουσίαν τοῦ Θεοῦ εἰσὶ, καὶ τὰ πάντα αὐτῷ ὑποτάσσεται καὶ ὑπακούει· αὐτὸς μεταβάλλει τὰ πάντα ὡς θέλει· ἐὰν τούτοις πιστεύῃς, τρέχεις ἀφόβως καὶ προθύμως τῆς νηστείας τὸν δρόμον. Φέρε λοιπὸν τὴν πίστιν τοῦ Θεοῦ εἰς τὸν νοῦν σου, ἵνα φύγῃ ὁ φόβος τῆς ἀσθενείας ἀπὸ τῆς καρδίας σου.

Ὅσοι δὲ εἰσέρχονται προθύμως εἰς τὸ στάδιον τῆς νηστείας, ἐκεῖνοι χρείαν ἔχουσι μεγάλης προσοχῆς, διότι κατ' αὐτῶν μάλιστα τοξεύει ὁ Διάβολος τὰ πεπυρωμένα αὐτοῦ βέλη, σπουδάζων, ἵνα τραυματίσῃ τὴν ψυχὴν αὐτῶν, καὶ ἀναδείξῃ ἄκαρπον τῆς νηστείας τὸν κόπον. Αὐτὸς φυτεύει εἰς τὸν νοῦν αὐτῶν τὴν ἀπροσεξίαν· ὅθεν ἐκεῖνοι, θαῤῥοῦντες εἰς μόνην τὴν νηστείαν αὐτῶν, παραβλέπουσι τὰς λοιπὰς ἀρετάς· ἐκ τούτου βλέπομεν καὶ εἰς τοὺς νηστευτὰς ἁμαρτήματα, τὰ ὁποῖα φθείρουσι τῆς νηστείας τὴν χάριν καὶ τὸν μισθόν· ἐκεῖνος νηστεύει, ἀλλὰ μάχεται καὶ κρισολογεῖται ἀδίκως μετὰ τοῦ ἀδελφοῦ αὐτοῦ· ὁ ἄλλος νηστεύει, ἀλλὰ ὀργίζεται, καὶ ὑβρίζει, καὶ δέρῤει, καὶ καταθλίβει τὸν ἀδύνατον· ἡ τοιαύτη νηστεία οὐκ ἔστιν εὐάρεστος τῷ Θεῷ· Οὐ ταύτην τὴν Ἡσ. νη'. 5.
νηστείαν ἐξελεξάμην, λέγει ὁ Θεός· ἐκεῖνος ἐγκαταλείπει μὲν τὰ βρώματα, ἀλλὰ κρατεῖ σφιγκτὰ τῆς ἀδικίας τὰ χειρόγραφα· ἔχει τὸν στόμαχον κενὸν τροφῆς, τὴν δὲ καρδίαν πλήρη ἀσπλαγχνίας· Οὐ ταύτην τὴν νηστείαν ἐξελεξάμην, λέγει ὁ Θεός. Ἐὰν τοιουτοτρόπως νηστεύῃς, οὐδὲ ἐὰν καμφθῇ ὑπὸ τῆς πολλῆς νηστείας ὁ τράχηλός σου ὡς κρίκος, οὐδὲ ἐὰν ἀντὶ στρωμνῆς στρώσῃς σάκκον καὶ σποδὸν εἰς τὴν κλίνην σου, οὐδὲ οὕτω γίνεται ἀρεστὴ τῷ Θεῷ ἡ νηστεία σου· Οὐδ' ἂν κάμψῃς, λέγει ὁ Αὐτόθι.
Θεὸς διὰ τοῦ Ἡσαΐου, ὡς κρίκον τὸν τράχηλόν σου, καὶ σάκκον καὶ σποδὸν ὑποστρώσῃ, οὐδ' οὕτω καλέσετε νηστείαν δεκτήν. Ἐκεῖνος νηστεύει τὸ ἔλαιον καὶ τὸν οἶνον, ἀλλὰ καταπίνει τὸν κόπον τοῦ ἐργάτου, καὶ ἐκροφεῖ τὸ αἷμα τοῦ πτωχοῦ· οὗτος οὐδὲ τροφὴν, οὐδὲ ποτὸν βάλλει εἰς τὸ στόμα αὐτοῦ πρὸ τῆς δύσεως τοῦ ἡλίου, γεμίζει ὅμως αὐτὸ ὅλην τὴν ἡμέραν

ραν κατακρίσεως καὶ ἀργολογίας καὶ ἀδολεσχίας· ἔχει τὴν κοιλίαν κενὴν βρωμάτων, τὸν δὲ νοῦν πεπληρωμένον πονηρῶν λογισμῶν· Οὐ ταύτην τὴν νηστείαν ἐξελεξάμην, λέγει ὁ Θεός. Μέγα ἀληθῶς ἐστὶ τὸ δυστύχημα τῶν τοιούτων νηστευτῶν! ὅστις οὐ νηστεύει, ἢ διατὶ πεπλανημένος νομίζει, ὅτι ἡ νηστεία οὐκ ἔστιν ἐντολὴ τοῦ Θεοῦ, ἢ διατὶ μικρόψυχος φοβεῖται μήπως ἀσθενήσῃ, ἐκεῖνος ἁμαρτάνει καὶ κολάζεται, πλὴν χορτάζῃ κἂν τὴν ἐπιθυμίαν τῆς κοιλίας αὐτοῦ· ὅστις δὲ νηστεύει, ἀλλὰ παραβαίνει τὰς λοιπὰς ἐντολὰς τοῦ Θεοῦ, ἐκεῖνος οὐ μόνον οὐδὲν ὠφελεῖται ἀπὸ τῆς νηστείας αὐτοῦ, ἀλλὰ στερεῖται καὶ ἀπὸ τῆς ἀπολαύσεως τῶν βρωμάτων.

Αἱ ἀρεταὶ, ἀγαπητοί μου ἀδελφοὶ, εἰσὶν ἀλληλένδετοι, καὶ συνιστῶσι μίαν συνεχῆ σειράν. Ἐὰν κόψῃς ἓν μέρος τῆς σειρᾶς, τὰ λοιπὰ μέρη γίνονται ἄχρηστα· ἐὰν λείψῃ μία ἀρετὴ ἀπὸ ὅλης τῆς σειρᾶς τῶν ἀρετῶν, πᾶσαι αἱ λοιπαὶ ἀρεταὶ γίνονται ἀνωφελεῖς· διὰ τοῦτο δὲ ἔλεγεν ὁ ἀδελφόθεος Ἰάκωβος·
Ἰάκ. β'. 10. Ὅστις γὰρ ὅλον τὸν νόμον τηρήσῃ, πταίσῃ δὲ ἐν ἑνὶ, γέγονε πάντων ἔνοχος. Οἱ Δαίμονες πάντοτε νηστεύουσιν, οὐδέποτε ὅμως ὠφελοῦνται. Ὅταν ἡ νηστεία συνοδεύηται μετὰ τῶν λοιπῶν ἀρετῶν, τότε καταδαμάζει τῆς σαρκὸς τὰ πάθη, τότε ἀναβιβάζει τὸν νοῦν εἰς τὸν οὐρανὸν, τότε ἔχει δύναμιν μεγάλην· μεταβάλλει τὴν ἀγριότητα τῶν λεόντων εἰς ἡμερότητα, μάρτυς τούτου ὁ προφήτης Δανιήλ· μεταβάλλει τὸ πῦρ εἰς δρόσον, μάρτυρες τούτου οἱ ἐν Βαβυλῶνι τρεῖς Παῖδες· μεταβάλλει τὴν ἀποφασιστικὴν τοῦ Θεοῦ ἀγανάκτησιν εἰς ἀπόφασιν ἐλέους καὶ εὐσπλαγχνίας, μαρτυροῦσι τοῦτο οἱ Νινευῖται.

Ἐὰν λοιπὸν, ὅταν νηστεύῃς, καθὼς νηστεύει τὸ στόμασου ἀπὸ τῶν βρωμάτων, οὕτω νηστεύῃ καὶ ἡ γλῶσσά σου ἀπὸ τοῦ ψεύδους, ἀπὸ τῆς συκοφαντίας, ἀπὸ τῆς καταλαλιᾶς, καὶ ἀπὸ πάσης ἄλλης ἁμαρτίας διὰ λόγου γινομένης· ἐὰν, ὅταν νηστεύῃς, καθὼς νηστεύει τὸ στόμασου ἀπὸ τῆς τροφῆς, νηστεύωσι καὶ τὰ ὄμματά σου ἀπὸ ὅσα βλεπόμενα σκανδαλίζουσι τὴν ψυχήν σου, καὶ ἡ ἀκοήσου ἀπὸ τὰ αἰσχρὰ καὶ ῥυπαρὰ ἀκούσματα, καὶ ἡ ὄσφρησίςσου ἀπὸ τὰς ἡδονικὰς ὀσμὰς, καὶ πᾶν τὸ σῶμά σου ἀπὸ πάσης σωματικῆς ἡδυπαθείας, καὶ ὅλος ὁ νοῦςσου ἀπὸ παντὸς πονηροῦ λογισμοῦ· ἐὰν, ὅταν νηστεύῃς, σχίζῃς τὰ χειρόγραφα τῶν τόκων καὶ τῆς ἀδικίας, ἐνδύῃς τὸν γυμνὸν, καὶ τρέφῃς τὸν πεινῶντα, καὶ ἐκτείνῃς τὰς χεῖράς σου πρὸς εὐεργεσίαν τῶν δεομένων· τότε, λέγει ὁ προφήτης Ἡσαΐας, τὸ φῶς τῆς ἀρετῆς σου ἀστράπτει γλυκὺ καὶ λαμπρὸν, καθὼς τὸ πρωϊνὸν φῶς τοῦ ἡλίου· τότε εὐθὺς ἀνατέλλει ἐπὶ σοὶ ἡ ἄφεσις πασῶν τῶν ἁμαρτιῶνσου καὶ ἡ ἰατρεία τῆς ψυχῆςσου· τότε ἡ δικαιοσύνησου, προπορευομένη ἐνώπιόνσου, εὐθύνει καὶ ἐξομαλεῖ τὸν δρόμον τὸν φέροντάσε εἰς τὸν οὐρανόν· τότε ἡ δόξα τοῦ Θεοῦ περικυκλοῖ τὴν ψυχήνσου· τότε προσεύχεσαι, καὶ πρὶν ἢ τελειώσῃς τὴν προσευχὴν, ὁ Θεὸς εἰσακούει τὴν δέησίνσου· Τότε ῥαγήσεται πρώϊμον Ἡσ. νή. 8, 9.
τὸ φῶςσου, καὶ τὰ ἰάματά σου ταχὺ ἀνατελεῖ· καὶ προπορεύσεται ἔμπροσθένσου ἡ δικαιοσύνη σου, καὶ ἡ δόξα τοῦ Θεοῦ περιστελεῖ σε. Τότε βοήσῃ, καὶ ὁ Θεὸς εἰσακούσεταί σου, ἔτι λαλοῦντός σου ἐρεῖ, Ἰδοὺ πάρειμι.

Μακάριοι ἐκεῖνοι οἱ Χριστιανοὶ ὅσοι νηστεύσωσι, πᾶσαν τὴν ἁγίαν τεσσαρακοστὴν, ταύτην τὴν ἀληθινὴν καὶ εἰς τὸν Θεὸν εὐπρόσδεκτον νηστείαν! Μακάριοι ὅ-

ὅσοι, τοιουτοτρόπως νηστεύσαντες, φθάσωσι τὰ ἅγια καὶ σωτήρια τοῦ Ἰησοῦ Χριστοῦ πάθη! Μακάριοι ὅσοι, διὰ τῆς τοιαύτης νηστείας καθαρισθέντες, καταξιωθῶσι τῆς θείας μεταλήψεως τοῦ ἀχράντου σώματος καὶ αἵματος τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ! Μακάριοι ὅσοι, περικεκυκλωμένοι τῆς δόξης τοῦ Θεοῦ, καταξιωθῶσι προσκυνῆσαι τὸν ἀναστάντα Λυτρωτὴν ἡμῶν καὶ Σωτῆρα.

Κύριε Παντοκράτωρ, πάντες θέλομεν τὴν χάριν ταύτην, πάντες ἐπιθυμοῦμεν τοῦτο τὸ μέγιστον δῶρον· ἐπειδὴ δὲ
Ἰακ. ά. 17. πᾶσα δόσις ἀγαθὴ, καὶ πᾶν δώρημα τέλειον ἄνωθέν ἐστι, καταβαῖνον ἀπὸ σοῦ τοῦ Πατρὸς τῶν φώτων, Σὲ παρακαλοῦμεν, καὶ Σὲ καθικετεύομεν ἐν τῷ ὀνόματι τοῦ μονογενοῦς σου Υἱοῦ, τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, τοῦ ὑπὲρ ἡμῶν τεσσαρακονθήμερον νηστεύσαντος, καὶ τὰ ζωηφόρα πάθη ὑπομείναντος, καὶ ἐν τῷ σταυρῷ τὴν ψυχὴν αὐτοῦ παραδόντος, καὶ ἐν τῷ καινῷ μνημείῳ ταφέντος, καὶ ἐνδόξως ἀναστάντος, καταξίωσον ἡμᾶς εὐαρέστως διελθεῖν τὸ ἅγιον τῆς νηστείας στάδιον, καὶ ἐναρέτως φθάσαι προσκυνῆσαι καὶ τὴν κοσμοχαρμόσυνον καὶ σωτήριον ἀνάστασιν· Σοὶ γὰρ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

# ΕΡΜΗΝΕΙΑ

### ΕΙΣ ΤΟ ΚΑΤΑ

# ΙΩΑΝΝΗΝ

## ΕΥΑΓΓΕΛΙΟΝ ΤΗΣ ΠΡΩΤΗΣ ΚΥΡΙΑΚΗΣ ΤΩΝ ΝΗΣΤΕΙΩΝ.

Λαμπρὰ πανήγυρις σήμερον, ὦ ἀδελφοί, καὶ ἔνδοξος καὶ σεβάσμιος ἡμέρα· σήμερον εὐφραίνονται πάντες οἱ ὀρθόδοξοι, βλέποντες ἀναστηλωμένην τὴν θεανδρικὴν εἰκόνα τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ τῆς παναγίας αὐτοῦ Μητρὸς, καὶ πάντων τῶν Ἁγίων. Ἐξ ἀποστολικῆς βεβαίας παραδόσεως ἐστόλιζον οἱ ὀρθόδοξοι Χριστιανοὶ τὰς τοῦ Χριστοῦ Ἐκκλησίας διὰ τῶν ἁγίων εἰκόνων, οὐ θεοποιοῦντες, οὐδὲ λατρεύοντες αὐτὰς, ἀλλὰ δι' αὐτῶν ἀναβιβάζοντες τὸν νοῦν εἰς τὰ εἰκονιζόμενα, καὶ προσκυνοῦντες καὶ ἀσπαζόμενοι αὐτὰς διὰ τὸν πόθον καὶ τὴν ἀγάπην τῶν πρωτοτύπων· τῶν δὲ Αἱρετικῶν ἡ ὑπερηφάνεια καὶ ἡ κακία οὐ μόνον ἐσυκοφάντησε τῆς Ἐκκλησίας τὸν ἅγιον σκοπὸν, εἰποῦσα, ὅτι λατρεύει τὰς εἰκόνας, καθὼς οἱ εἰδωλολάτραι τὰ εἴδωλα, ἀλλ' ἐτόλμησε καὶ ἔπραξε κατὰ τῶν ἁγίων εἰκόνων ἔργον, τὸ ὁποῖον οὐδὲ κατὰ τοῦ μορφώματος ἑνὸς ἐπιγείου Βασιλέως, ἢ ἑνὸς Ἡγεμόνος καὶ Ἄρχοντος, οὐδεὶς ποτε ἔπραξεν· ἔσχισαν οἱ δυσσεβεῖς, ἔκαυσαν, παντὶ τρόπῳ κατεφρόνησαν τὰς ἁγίας εἰκόνας, καὶ ἐγύμνωσαν ἀπὸ τοῦ στολισμοῦ αὐτῶν τὰς Ἐκκλησίας· ἔπειτα καὶ διωγμοὺς χαλεπωτάτους ἐκίνησαν κατὰ τῶν ἁγίων, τῶν σεβομένων τὰς ἱερὰς εἰκόνας· καὶ οἱ μὲν ἅγιοι ἄνδρες ἐβόων, λέγοντες· Ἡμεῖς οὐ λατρεύομεν τὰς εἰκόνας ὡς Θεοὺς, ἀλλὰ, βλέποντες αὐτὰς, ἀναβιβάζομεν τὸν νοῦν ἡμῶν εἰς τὰ ἀρχέτυπα, καὶ κατανυγόμενοι τὴν καρδίαν, στηριζόμεθα εἰς τὴν εἰς Χριστὸν πίστιν,

τῇ δὲ ἀποστολικῇ παραδόσει ἀκολουθοῦντες, σεβόμεθα αὐτὰς, καὶ ἀσπαζόμεθα, καὶ σχετικῶς προσκυνοῦμεν· οἱ δὲ αἱρετικοὶ οἱ ἄσπλαγχνοι, ταῦτα ἀκούοντες, ἔδερρον αὐτοὺς ἀνελεήμονα, ἔσυρον εἰς τὰς πλατείας, ἔκοπτον τὰς τούτων γλώσσας, κατέκλειον αὐτοὺς εἰς τὰς φυλακὰς, θανάτῳ ἀσχήμονι αὐτοὺς κατεδίκαζον. Ἐπεκράτησε δὲ ὁ σκληρὸς οὗτος διωγμὸς ἀπὸ τῶν χρόνων Λέοντος τοῦ Ἰσαύρου, τοῦ πρώτου εἰκονομάχου, ἕως τῶν χρόνων Θεοφίλου τοῦ ἐσχάτου, ἤγουν ἔτη ἑκατὸν καὶ ἐπέκεινα. Τότε δὲ, τουτέστι μετὰ τὸν τοῦ Θεοφίλου θάνατον, ὁ ζῆλος τῆς εὐσεβεστάτης καὶ ἁγίας αὐτοῦ γυναικὸς, Θεοδώρας τῆς Βασιλίδος, ἐστερέωσε τὴν ὀρθοδοξίαν. Αὐτὴ, ὅτε παρεστάθη ἐνώπιον αὐτῆς ὁ ἐν ἁγίοις Μεθόδιος ὁ Πατριάρχης, καὶ οἱ Ὁμολογηταὶ καὶ Ἀσκηταὶ παρακαλοῦντες αὐτὴν, ἵνα ἀναστηλώσῃ τὰς ἁγίας εἰκόνας, πρῶτον μὲν ἠσπάσθη παῤῥησίᾳ τὴν εἰκόνα τῆς ὑπεραγίας Θεοτόκου, ἐκβοήσασα ἐνώπιον πάντων ταῦτα τὰ ἅγια λόγια· Εἴτις ταύτας οὐ προσκυνεῖ, καὶ ἀσπάζεται σχετικῶς, οὐ λατρευτικῶς, οὐχ ὡς Θεοὺς, ἀλλ' ὡς εἰκόνας ἀρχετύπων, διὰ τὸν πόθον, εἴη τὸ ἀνάθεμα· ἔπειτα μετὰ παντὸς τοῦ Ἱερατείου, καὶ τῶν ἁγίων Ἀσκητῶν, καὶ Ὁμολογητῶν, καὶ παντὸς τοῦ ὀρθοδόξου λαοῦ ἐνήστευσε, καὶ ἠγρύπνησεν ὅλην τὴν πρώτην τῆς ἁγίας τεσσαρακοστῆς ἑβδομάδα, καὶ ἐζήτησεν αὐτή τε καὶ ὅλον τῶν Χριστιανῶν τὸ πλῆθος τὴν συγχώρησιν τοῦ ἀνδρὸς αὐτῆς Θεοφίλου· ταύτην δὲ ἔλαβε διὰ τὴν πίστιν καὶ τὰ δάκρυα αὐτῆς, καὶ τῶν Ἱερέων τὰς δεήσεις. Μετὰ δὲ τοῦτο ἐλιτάνευσαν αὐτὴ καὶ ὁ υἱὸς αὐτῆς ὁ Μιχαὴλ ὁ Αὐτοκράτωρ, καὶ οἱ ἱερωμένοι, καὶ πᾶς ὁ λαὸς, βαστάζοντες τὸν τίμιον σταυρὸν, καὶ τὰ ἅγια Εὐαγγέλια, καὶ τὰς σεβασμίας εἰκόνας, καὶ κράζοντες τὸ, Κύριε ἐλέησον· τὴν θείαν δὲ ἐκτελέσαντες λειτουργίαν, ἀνεστήλωσαν τὰς ἁγίας εἰκόνας, καὶ δι' αὐτῶν ἐστόλισαν τὴν Χριστοῦ Ἐκκλησίαν. Τότε δὲ ὁ ἱερὸς Μεθόδιος, καὶ οἱ ἅγιοι Ὁμολογηταὶ ὥρισαν, ἵνα κατὰ πᾶν ἔτος, ἐν τῇ Κυριακῇ τῆς πρώτης τῶν νηστειῶν ἑβδομάδος, τελῆται τούτου τοῦ ἁγίου ἔργου ἡ ἀνάμνησις, ἵνα μὴ πάλιν ὁ Σατανᾶς, πλανήσας τινὰς, κατακρημνίσῃ εἰς τῆς εἰκονομαχίας τὴν αἵρεσιν. Ταύτην οὖν τὴν ἔνδοξον ἀνάμνησιν καὶ σωτήριον χαρὰν ἑορτάζουσα σήμερον ἡ ὀρθόδοξος τοῦ Χριστοῦ Ἐκκλησία, μακαρίζει μὲν ὅσους ἐφύλαξαν ἀμώμητον τὴν ὀρθοδοξίαν τῆς πίστεως, ἀναθεματίζει δὲ τοὺς ταύτην ἀθετήσαντας, προβάλλει δὲ καὶ τὸ ἀναγνωσθὲν Εὐαγγέλιον, ὡς περιέχον τὸ παράδειγμα τῆς ὀρθῆς πίστεως τοῦ Φιλίππου, καὶ τῆς σωτηρίου ὁμολογίας τοῦ Ναθαναήλ. Καὶ ἡμεῖς μὲν σπουδάσομεν διερμηνεῦσαι τὰ ἀναγνωσθέντα εὐαγγελικὰ λόγια, ὑμεῖς δὲ προσηλώσατε τὴν προσοχὴν τοῦ νοὸς ὑμῶν, ἵνα καρποφορήσωσιν ἐν ὑμῖν τὸν καρπὸν τῆς σωτηρίας.

Τῷ καιρῷ ἐκείνῳ, ἠθέλησεν ὁ Ἰωάν. α.
Ἰησοῦς ἐξελθεῖν εἰς τὴν Γα- 44.
λιλαίαν· καὶ εὑρίσκει Φίλιπ-
πον, καὶ λέγει αὐτῷ· Ἀκο-
λούθει μοι. Ἦν δὲ ὁ Φίλιπ- 45.
πος ἀπὸ Βηθσαϊδὰ, ἐκ τῆς
πόλεως Ἀνδρέου καὶ Πέτρου.

Οὐδὲ ἡ ἔλευσις τοῦ Ἰησοῦ Χριστοῦ εἰς τὴν Γαλιλαίαν, οὐδὲ ἡ παρουσία τοῦ Φιλίππου ἐκεῖ, ἦσαν ἔργα ἀπρονόητα καὶ κατὰ τύχην συμβάντα, ἀλλὰ κατὰ

θεῖ-

θείαν πρόγνωσιν καὶ οἰκονομίαν γεγενημένα. Ὁ μὲν Ἰησοῦς Χριστὸς, προειδὼς, ὡς καρδιογνώστης Θεὸς, τὴν διάθεσιν τοῦ Φιλίππου πρὸς τὴν ὑποδοχὴν τῆς πίστεως, εὐδόκησεν ἐλθεῖν εἰς τὴν Γαλιλαίαν κατ' ἐκείνην τὴν ὥραν, ἐν ᾗ εὑρέθη ἐκεῖ ὁ Φίλιππος, ἵνα προσκαλέσῃ καὶ συντάξῃ αὐτὸν εἰς τὸν ἀριθμὸν τῶν μαθητῶν αὐτοῦ, ἐφελκύσῃ δὲ δι' αὐτοῦ εἰς τὴν πίστιν καὶ τὸν ἄξιον τῆς πίστεως Ναθαναήλ· ὁ δὲ Φίλιππος, ὁ ἐκ τῆς Βηθσαϊδὰ καταγόμενος, τῆς πατρίδος Ἀνδρέου καὶ Πέτρου, κατ' οἰκονομίαν Θεοῦ εὑρέθη τότε ἐν τῇ Γαλιλαίᾳ. Θαυμαστὸς δέ ἐστι καὶ ὁ τρόπος, δι' οὗ ὁ Ἰησοῦς Χριστὸς ἐκάλεσε τὸν Φίλιππον, καὶ ἡ τελεία πρὸς τὸν Ἰησοῦν Χριστὸν ὑπακοὴ τοῦ Φιλίππου. Ἕνα μόνον λόγον εἶπε πρὸς αὐτὸν ὁ Ἰησοῦς, Ἀκολούθει μοι, αὐτὸς δὲ, εὐθὺς καταλιπὼν τὰ πάντα, ἠκολούθησεν αὐτῷ. Ὡς φαίνεται, ἢ δεδιδαγμένος ἦν πρότερον ὁ Φίλιππος τὰ περὶ τοῦ Ἰησοῦ Χριστοῦ ὑπὸ Ἀνδρέου καὶ Πέτρου τῶν συμπολιτῶν αὐτοῦ, ἢ ἡ δραστικὴ χάρις τοῦ λόγου τοῦ Ἰησοῦ Χριστοῦ, ἢ καὶ τὰ δύω ταῦτα θαυμασίως ἐνήργησαν εἰς τὴν ἀγαθὴν αὐτοῦ προαίρεσιν. Ποσάκις δὲ ὁ Χριστὸς προσκαλεῖ καὶ ἡμᾶς ὁμοίως διὰ τῆς φωνῆς τοῦ Εὐαγγελίου, ἵνα, ἀφέντες τὴν ματαιότητα, ἀκολουθήσωμεν αὐτῷ, ἡμεῖς δὲ οὐδόλως ὑπακούομεν εἰς τὸ δεσποτικὸν αὐτοῦ κάλεσμα, ἀλλὰ μένομεν στερεοὶ καὶ ἀσάλευτοι εἰς τὰ τῆς σαρκὸς ἡμῶν θελήματα; Ὅτι δὲ ὁ Φίλιππος οὐ μόνον ἠκολούθησε τῷ Χριστῷ εὐθὺς μετὰ τὸ κάλεσμα, ἀλλὰ καὶ πολὺν ζῆλον ἔδειξε καὶ προθυμίαν μεγάλην, ἵνα καὶ ἄλλοι ἀκολουθήσωσιν αὐτῷ, φανερόν ἐστιν ἐκ τῶν ἑξῆς τοῦ Εὐαγγελιστοῦ λόγων.

Ἰωάν. α'. 46. Εὑρίσκει Φίλιππος τὸν Ναθαναὴλ, καὶ λέγει αὐτῷ· Ὃν ἔγραψε Μωϋσῆς ἐν τῷ νόμῳ, καὶ οἱ Προφῆται, εὑρήκαμεν Ἰησοῦν, τὸν υἱὸν τοῦ Ἰωσὴφ, τὸν ἀπὸ Ναζαρέτ.

Ἀκούεις προθυμίαν καὶ ζῆλον; Εὑρίσκει, λέγει ὁ Εὐαγγελιστὴς, ὁ Φίλιππος τὸν Ναθαναὴλ, ἵνα νοήσωμεν, ὅτι ἐζήτησεν αὐτὸν προθύμως, διότι καὶ ἡμεῖς τότε λέγομεν τὸ, εὑρήκαμεν, ὅταν πρότερον ἐζητήσαμεν· εὑρὼν δὲ, ἐπιχειρεῖ ἑλκύσαι αὐτὸν εἰς τὴν εἰς Χριστὸν πίστιν διὰ τῆς μαρτυρίας τοῦ Μωϋσέως, τῆς ἐν τῷ νόμῳ γεγραμμένης, καὶ διὰ τῶν προφητικῶν λόγων· ἐκ τούτου δὲ μανθάνομεν, ὅτι ὁ Φίλιππος πεπαιδευμένος ἦν εἰς τὰ τοῦ νόμου διδάγματα, καὶ εἰς τὰ τῶν Προφητῶν βιβλία. Εἶπε δὲ πρὸς τὸν Ναθαναὴλ οὐχὶ εὕρηκα, ἀλλ' Εὑρήκαμεν, ἵνα δείξῃ, ὅτι ὑπὲρ πάντων ὁ Χριστὸς ἐσαρκώθη, καὶ ὅτι οἱ εἰς αὐτὸν πιστεύοντες, ἀγαπῶντες τὸν πλησίον ὡς ἑαυτοὺς, κοινὰ καὶ οὐχὶ ἴδια λογίζονται πάντα τὰ ἀγαθά. Καὶ ὀνομάζει μὲν τὸν Ἰησοῦν Χριστὸν υἱὸν τοῦ Ἰωσὴφ, ἢ ἐπειδὴ οὕτως οἱ πολλοὶ αὐτὸν καὶ ἐνόμιζον, καὶ ὠνόμαζον, ἢ ἐπειδὴ τότε καὶ αὐτὸς οὐκ ἐγίνωσκεν ἀκριβῶς, ὅτι ὁ Ἰησοῦς Χριστὸς οὐκ ἦν υἱὸς τοῦ Ἰωσὴφ, ἀλλ' Υἱὸς τοῦ Θεοῦ. Ἐπιγράφει δὲ αὐτῷ πατρίδα τὴν Ναζαρὲτ, ἢ ἐπειδὴ οὐκ ἐγίνωσκεν, ὅτι ἐν Βηθλεὲμ ἐγεννήθη, ἢ ἐπειδὴ ἐν τῇ Ναζαρὲτ ἀνετράφη, ὅθεν καὶ Ναζωραῖος, καὶ Ναζαρηνὸς ὠνομάσθη. Ἀκούσας δὲ ὁ Ναθαναὴλ τὸ ὄνομα τῆς Ναζαρὲτ, καὶ ἀπορήσας, ἠρώτησε τὸν Φίλιππον· Ματ. β'. 1. Λουκ. δ'. 16. Μάρκ. ι'. ιϛ'. 47. 16.

Ἰωάν. α'. 47. Καὶ εἶπεν αὐτῷ Ναθαναήλ· Ἐκ Ναζαρὲτ δύναταί τι ἀγα-

γαθὸν εἶναι; Λέγει αὐτῷ Φίλιππος· Ἔρχου καὶ ἴδε·

Ἐπειδὴ ἡ Ναζαρὲτ εἶχε κακὴν φήμην, καθότι πολλοὶ ἐθνικοὶ ἐν αὐτῇ κατῴκουν, ἢ ἐπειδὴ ὁ Χριστὸς ἔμελλε γεννηθῆναι ἐν τῇ Βηθλεὲμ, κατὰ τὰς τῶν Προφητῶν προῤῥήσεις, διὰ τοῦτο ὁ Ναθαναὴλ, ἀκούσας, ὅτι ὁ Χριστὸς κατάγεται ἐκ τῆς Ναζαρὲτ, ἐξηπόρησεν· ὅμως οὐδὲ ἠπίστησεν, οὐδὲ ἤλεγξε τὸν Φίλιππον ὡς ψευδόμενον, ἢ ὡς ἀπατηθέντα, ἀλλὰ, θέλων μαθεῖν τὴν ἀλήθειαν, καὶ πληροφορηθῆναι, εἶπε· Σὺ μὲν, ὦ Φίλιππε, λέγεις, ὅτι ὁ Χριστὸς, ὁ ἐν τῇ Ναζαρὲτ γεννηθεὶς, ἐστὶν αὐτὸς ὁ ὑπὸ τοῦ νόμου καὶ τῶν Προφητῶν προκηρυχθεὶς, ἀλλ' ἆρά γε δύναται ἡ κακόφημος Ναζαρὲτ βλαστῆσαί τι καλόν; Ἐκ Ναζαρὲτ δύναταί τι ἀγαθὸν εἶναι; Ἐπειδὴ δὲ ἤκουσεν ὁ Φίλιππος, ὅτι τὸ πρῶτον αὐτοῦ ἐπιχείρημα ἀπορίαν προεξένησεν εἰς τὸν Ναθαναὴλ, προβάλλει εἰς αὐτὸν ἄλλο, πολλῷ ἰσχυρότερον· Ἔρχου, λέγει, καὶ ἴδε τὸν Ἰησοῦν Χριστόν· τοῦτο ἀρκεῖ σοι, ἵνα πιστεύσῃς εἰς ὅσα ἐγὼ εἶπόν σοι. Ἀλλὰ πόθεν ὁ Φίλιππος πεπληροφορημένος ἦν, ὅτι, ἐὰν μόνον ἔλθῃ ὁ Ναθαναὴλ, καὶ ἴδῃ τὸν Ἰησοῦν Χριστὸν, πιστεύει εἰς αὐτόν; Τοσαύτην χάριν καὶ δύναμιν εἶχεν ὁ λόγος τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὥστε, ὅταν ἤνοιγε τὸ στόμα αὐτοῦ καὶ ἐλάλει, ἔπειθε, καὶ ἐφεῖλκε πρὸς αὐτὸν πάντας τοὺς ἀξίους τῆς εἰς αὐτὸν πίστεως· Καὶ πάντες, λέγει ὁ Εὐαγγελιστὴς Λουκᾶς, ἐμαρτύρουν αὐτῷ, καὶ ἐθαύμαζον ἐπὶ τοῖς λόγοις τῆς χάριτος, τοῖς ἐκπορευομένοις ἐκ τοῦ στόματος αὐτοῦ. (Λουκ. δ. 22.) Τοῦτο ἐμπράκτως ἐγνώρισεν ὁ Φίλιππος, διότι, ἕνα μόνον λόγον ἀκούσας ἀπὸ τοῦ Ἰησοῦ Χριστοῦ, ἤγουν τὸ Ἀκολούθει μοι, ἐθέλχθη ὑπὸ τοῦ θείου ἔρωτος, καὶ ἐπίστευσε, καὶ τὰ πάντα καταλιπὼν, ἠκολούθησεν αὐτῷ· ταύτην οὖν ἔχων τὴν πίστιν, καὶ τὴν πεποίθησιν, εἶπε πρὸς τὸν Ναθαναὴλ, Ἔρχου, καὶ ἴδε. Ὁ δὲ Ναθαναὴλ, ὡς ἤκουσε ταῦτα, σπεύσας ἦλθε πρὸς τὸν Ἰησοῦν Χριστόν.

Εἶδεν ὁ Ἰησοῦς τὸν Ναθαναὴλ ἐρχόμενον πρὸς αὐτὸν, καὶ λέγει περὶ αὐτοῦ· Ἴδε ἀληθῶς Ἰσραηλίτης, ἐν ᾧ δόλος οὐκ ἔστι. Ἰωάν. ά. 48.

Ἰδοὺ τί βλέπει ὁ Ναθαναὴλ, ἐλθὼν πρὸς τὸν Ἰησοῦν Χριστόν· βλέπει καρδιογνώστην, ὅστις ἀνεκάλυψε τὰ ἀπόκρυφα τῆς καρδίας αὐτοῦ· Ἴδε ἀληθῶς Ἰσραηλίτης, ἐν ᾧ δόλος οὐκ ἔστι· Βλέπε, εἶπεν ὁ Κύριος, ὅτε εἶδε τὸν Ναθαναὴλ ἐρχόμενον πρὸς αὐτὸν, βλέπε ἄνθρωπον, ἔχοντα πίστιν ὀρθὴν, νοῦν ἀφιερωμένον εἰς τὸν Θεὸν, καὶ καρδίαν ἄδολον καὶ καθαράν. Κἂν δὲ τοιοῦτον μέγαν ἔπαινον ἤκουσεν ὁ Ναθαναὴλ, ὅμως οὐδόλως ἐχαυνώθη, καθὼς πολλοὶ, ὅταν ἀκούωσι τοὺς περὶ αὐτῶν ἐπαίνους· ὁ ἔπαινος οὐκ ἐξενεύρισε τὸν τόνον τῆς ψυχῆς αὐτοῦ, ἀλλὰ μετὰ ἀκριβείας περιεργάζετο, μαθεῖν θέλων, ἐὰν ἀληθῶς ὁ μετ' αὐτοῦ λαλῶν Ἰησοῦς, ἦν ὁ προσδοκώμενος Χριστός.

Λέγει αὐτῷ Ναθαναήλ· Πόθεν με γινώσκεις; Ἀπεκρίθη ὁ Ἰησοῦς, καὶ εἶπεν αὐτῷ· Πρὸ τοῦ σε Φίλιππον φωνῆσαι, ὄντα ὑπὸ τὴν συκῆν, εἶδόν σε. Αὐτόθι. 49.

Ὁ

Ὁ μὲν Ναθαναὴλ ἐρωτᾷ τὸν Ἰησοῦν Χριστὸν ὡς ἄνθρωπον· Πόθεν, λέγει, γινώσκεις, ὅτι εἰμὶ ἀληθῶς Ἰσραηλίτης; πόθεν γνωρίζεις, ὅτι οὐκ ἔχω δόλον ἐν τῇ καρδίᾳ μου; εἶδές με ἄλλοτε; ἢ ἤκουσας περὶ ἐμοῦ; Πόθεν με γινώσκεις; Ὁ δὲ Ἰησοῦς Χριστὸς ἀποκρίνεται πρὸς αὐτὸν οὐχ ὡς ἄνθρωπος, ἀλλ' ὡς Θεός· Πρὶν, λέγει, ἢ ὁ Φίλιππος προσκαλέσῃ σε, ὑποκάτω τῆς συκῆς, ἐγώ σε εἶδον, καί σε ἐγνώρισα. Ἐπειδὴ δὲ ὁ Ναθαναὴλ πεπληροφορημένος ἦν, ὅτι, ὅτε ὁ Φίλιππος εὗρεν αὐτὸν ὑποκάτω τῆς συκῆς, οὐδεὶς ἄλλος ἦν ἐκεῖ, καὶ ὅτι κατὰ μόνας αὐτοὶ οἱ δύω ἐλάλησαν, οὐδόλως δὲ ἐδυνήθη ὑποπτεῦσαι, ὅτι ὁ Φίλιππος ἐφανέρωσε τὰ περὶ αὐτοῦ εἰς τὸν Ἰησοῦν, καθότι τὸν περὶ αὐτοῦ ἔπαινον ἐξεφώνησεν ὁ Ἰησοῦς, ὅτε εἶδεν αὐτὸν ἐρχόμενον, ἤγουν πρὶν ἢ αὐτός τε καὶ ὁ Φίλιππος ἔλθωσι πρὸς αὐτόν· διὰ τοῦτο, ἐκπλαγεὶς ἐπὶ τῇ προορατικῇ καὶ κρυφιογνωστικῇ δυνάμει τοῦ Κυρίου Ἰησοῦ, ἐπίστευσεν, ὅτι αὐτός ἐστιν ὁ Χριστὸς, ὅθεν καὶ ἀπεκρίθη, λέγων·

Ἰωάν. α. 50. **Ἀπεκρίθη Ναθαναὴλ, καὶ λέγει αὐτῷ· Ῥαββὶ, σὺ εἶ ὁ Υἱὸς τοῦ Θεοῦ, σὺ εἶ ὁ Βασιλεὺς τοῦ Ἰσραήλ.**

Ὁ μὲν Πέτρος ἤκουσε πρῶτον πολλάκις τὴν οὐράνιον διδασκαλίαν τοῦ Ἰησοῦ Χριστοῦ, καὶ εἶδε πρῶτον τὰ ἐξαίσια αὐτοῦ θαύματα, ἔπειτα ὡμολόγησεν, ὅτι αὐτός ἐστιν ὁ Υἱὸς τοῦ Θεοῦ· ὁ δὲ Ναθαναὴλ, οὐδὲ τὰς πολλὰς διδασκαλίας τοῦ Ἰησοῦ Χριστοῦ ἀκούσας, οὐδὲ τὰ θαύματα αὐτοῦ ἰδὼν, ὡμολόγησεν ὁμοίως, ὅτι ὁ Ἰησοῦς Χριστὸς ἐστὶν ὁ Υἱὸς τοῦ Θεοῦ· καὶ ὅμως τὸν μὲν Πέτρον ἐμακάρισεν ὁ Θεάνθρωπος, καὶ εἶπεν, ὅτι ὁ Θεὸς καὶ Πατὴρ ἀπεκάλυψεν
αὐτῷ τὴν ὁμολογίαν· Μακάριος εἶ, Ματ. ις'. 17.
Σίμων Βὰρ Ἰωνᾶ, ὅτι σὰρξ καὶ αἷμα οὐκ ἀπεκάλυψέ σοι, ἀλλ' ὁ Πατήρ μου ὁ ἐν τοῖς οὐρανοῖς· περὶ δὲ τοῦ Ναθαναὴλ οὐδὲν τοιοῦτον εἶπεν, ὅτε ἤκουσε τὴν ὁμολογίαν αὐτοῦ. Ποῖον δὲ ἄραγε τὸ αἴτιον; Ἡ μὲν τοῦ Πέτρου ὁμολογία ἦν τελεία, ἡ δὲ τοῦ Ναθαναὴλ ἀτελής· καὶ οἱ δύω ὡμολόγησαν, ὅτι ὁ Χριστὸς ἐστὶν Υἱὸς τοῦ Θεοῦ, ἀλλ' ὁ Ναθαναὴλ, συνάψας τὸ, Σὺ εἶ ὁ Βασιλεὺς τοῦ Ἰσραὴλ, ἐσμίκρυνε τῆς ὁμολογίας τὸ μέγεθος· διότι ὁ Χριστὸς, ὁ τοῦ Θεοῦ Υἱὸς, οὐκ ἔστι μόνου τοῦ Ἰσραὴλ Βασιλεὺς, ἀλλὰ πάσης τῆς οἰκουμένης, καὶ πάντων τῶν ὁρατῶν καὶ ἀοράτων κτισμάτων. Διὰ τοῦτο οὖν ἐμακάρισεν ὁ Κύριος τὸν Πέτρον, καὶ ἐβεβαίωσε τὴν ὁμολογίαν αὐτοῦ,
εἰπών· Καὶ ἐπὶ ταύτῃ τῇ Πέ- Αὐτόθι. 18.
τρα, ἤγουν τῇ ὁμολογίᾳ, ἣν ὡμολόγη-
σας, εἰπών· Σὺ εἶ ὁ Χριστὸς ὁ Υἱὸς Αὐτόθι. 16.
τοῦ Θεοῦ τοῦ ζῶντος, οἰκοδομήσω μου τὴν Ἐκκλησίαν, εἰς δὲ τὴν ἀτελῆ τοῦ Ναθαναὴλ ὁμολογίαν προσέθετο τὰ ἑξῆς λόγια·

**Ἀπεκρίθη ὁ Ἰησοῦς, καὶ εἶ- Ἰωάν. α. 51.
πεν αὐτῷ· Ὅτι εἶπόν σοι, εἶ-
δόν σε ὑποκάτω τῆς συκῆς,
πιστεύεις; μείζω τούτων ὄ-
ψει. Καὶ λέγει αὐτῷ· Ἀ- 52.
μὴν ἀμὴν λέγω ὑμῖν, ἀπ' ἄρ-
τι ὄψεσθε τὸν οὐρανὸν ἀνεῳ-
γότα, καὶ τοὺς Ἀγγέλους
τοῦ Θεοῦ ἀναβαίνοντας καὶ
καταβαίνοντας ἐπὶ τὸν Υἱὸν
τοῦ ἀνθρώπου.**

Σύ,

Σὺ, λέγει, πιστεύεις εἰς ἐμὲ, ἐπειδὴ ἐγνώρισας, ὅτι εἰμὶ κρυφιογνώστης· σὺ ἐπίστευσας εἰς ἐμὲ, ἐπειδὴ εἶπόν σοι, ὅτι, καὶ μὴ παρὼν, εἶδόν σε ὑποκάτω τῆς συκῆς, πρὶν ἢ καλέσῃ σε ὁ Φίλιππος· ὅμως ἀπὸ τοῦ νῦν καὶ εἰς τὸ ἑξῆς πολλῷ μείζονα τούτων τῶν ἔργων, ὧν εἶδες, μέλλεις ἰδεῖν, καὶ ἑπομένως πολλῷ τελειοτέρα ἔσεται ἡ πρὸς ἐμὲ πίστις σου. Σὺ μὲν λέγεις, ὅτι εἰμὶ Βασιλεὺς τοῦ Ἰσραὴλ, μετὰ δὲ ταῦτα, ὅταν φανῇ ὁ οὐρανὸς ἀνεῳγμένος, καὶ οἱ Ἄγγελοι τοῦ Θεοῦ ἀναβαίνοντες καὶ καταβαίνοντες πρὸς ὑπηρεσίαν μου, τότε κατανοήσουσιν οἱ ἄνθρωποι, ὅτι οὐ μόνον τοῦ Ἰσραὴλ, ἀλλὰ καὶ πάσης τῆς κτίσεως εἰμὶ Βασιλεύς. Ταῦτα δὲ εἶπεν ὁ Θεάνθρωπος, σημαίνων τοὺς Ἀγγέλους, οἵτινες, μετὰ τὴν νηστείαν, καὶ τὴν κατὰ τοῦ Διαβόλου νίκην αὐτοῦ, προσῆλθον καὶ διηκόνουν αὐτῷ· καὶ τὸν Ἄγγελον, τὸν Ματ. δ'. 11.
εἰς τὸν καιρὸν τοῦ πάθους αὐτοῦ κατελθόντα ἀπ' οὐρανοῦ καὶ ἐνισχύοντα αὐτόν· καὶ τοὺς Ἀγγέλους, οὓς εἶδεν ἡ Λουκ. κβ'. 43.
Μαρία ἐν λευκοῖς καθεζομένους ἕνα πρὸς τῇ κεφαλῇ, καὶ ἕνα πρὸς τοῖς ποσὶν, ὅπου ἔκειτο τὸ σῶμα αὐτοῦ· καὶ τοὺς δύω Ἀγγέλους τοὺς Ἰωάν. κ'. 12.
φανέντας ἐν τῷ ὄρει τοῦ Ἐλαιῶνος, ἐν ἐσθῆτι λευκῇ, ὅτε ἀνελήφθη εἰς τὸν οὐρανόν. Πραξ. α'. 10.

# ΟΜΙΛΙΑ

## ΜΕΤΑ ΤΟ ΚΑΤΑ

# ΙΩΑΝΝΗΝ

## ΕΥΑΓΓΕΛΙΟΝ ΤΗΣ ΠΡΩΤΗΣ ΚΥΡΙΑΚΗΣ ΤΩΝ ΝΗΣΤΕΙΩΝ.

Ὠφέλιμα καὶ σωτήριά εἰσι πάντα τὰ λόγια τοῦ σημερινοῦ Εὐαγγελίου, οὗτος ὅμως ὁ λόγος τοῦ Κυρίου ἡμῶν
Ἰωάν. α'. 49. Ἰησοῦ Χριστοῦ· Πρὸ τοῦ σε Φίλιππον φωνῆσαι, ὄντα ὑπὸ τὴν συκῆν, εἶδόν σε, πολλὴν καὶ μεγάλην ὠφέλειαν προξενεῖ εἰς πάντας τοὺς πιστούς. Οὗτος ὁ λόγος εἵλκυσε μὲν τότε τὸν Ναθαναὴλ εἰς τὴν πίστιν τοῦ Χριστοῦ, εἰς δὲ τοὺς πιστοὺς ἐμφυτεύει ἄχρι τῆς σήμερον δύω μεγάλας ἀρετὰς, ἤγουν τὸν φόβον τοῦ Θεοῦ, καὶ τὴν πρὸς τὸν Θεὸν ἐλπίδα. Ὁ φόβος τοῦ Θεοῦ ἐμποδίζει ἡμᾶς ἀπὸ πάσης ἁμαρτίας· ἡ πρὸς τὸν Θεὸν ἐλπὶς οὐ μόνον στηρίζει ἡμᾶς εἰς τὴν ἐργασίαν τῶν θείων αὐτοῦ ἐντολῶν, ἀλλὰ καὶ παραμυθίαν μεγάλην φέρει εἰς τὴν καρδίαν ἡμῶν ἐν πάσαις ταῖς θλιβεραῖς τῆς παρούσης ζωῆς περιστάσεσιν.

Ὁ Θεὸς, ἄπειρον ἔχων τὴν οὐσίαν, ἐστὶ πανταχοῦ παρὼν, καὶ τὰ πάντα πληρῶν· Ποῦ πορευθῶ ἀπὸ τοῦ Ψαλ. ρλη'. 6, 9.
πνεύματός σου, ἔλεγεν ὁ ἅγιος προφήτης Δαβὶδ, καὶ ἀπὸ τοῦ προσώπου σου ποῦ φύγω; Ἐὰν ἀναβῶ εἰς τὸν οὐρανὸν, σὺ ἐκεῖ εἶ, ἐὰν καταβῶ εἰς τὸν ᾅδην, πάρει. Ἐὰν ἀναλάβω τὰς πτέρυγάς μου κατ' ὄρθρον, καὶ κατασκηνώσω εἰς τὰ ἔσχατα τῆς θαλάσσης, καὶ γὰρ ἐκεῖ ἡ χείρ σου ὁδηγήσει με, καὶ κα-

*καθέξει με ἡ δεξιά σου.* Τοῦτο τὸ μυστήριον ὁ νοῦς τοῦ ἀνθρώπου, διὰ τὴν στενότητα αὐτοῦ, οὐ χωρεῖ, σκιωδῶς ὅμως καὶ ἀτελῶς κατανοοῦμεν αὐτὸ, βλέποντες τὸν ἥλιον, καὶ παρατηροῦντες τὸν ἀέρα. Ὁ ἥλιος καὶ ὁ ἀὴρ εἰσὶ δύω κτίσματα τοῦ Θεοῦ ὑλικὰ, πεπερασμένα, ἄψυχα· ὅμως ὁ ἥλιος τὴν μὲν ἡμέραν ἐφαπλοῖ τὰς ἀκτῖνας αὐτοῦ, καὶ φωτίζει ὅλον τὸ ἓν ἡμισφαίριον τῆς γῆς, τὴν δὲ νύκτα ὅλον τὸ ἕτερον ἡμισφαίριον αὐτῆς· βλέπει δὲ ὁ καθεὶς ἐπίσης καὶ τὰς ἀκτῖνας, καὶ ὅλον τὸν ἥλιον· ὁ ἀὴρ πληροῖ ὅλην τὴν ἀτμοσφαῖραν, καὶ περιλαμβάνει ὅλην τὴν γῆν, καὶ εὑρίσκεται εἰς πάντα τὰ μέρη αὐτῆς, οὐκ ἔστι δὲ μέρος γῆς, οὐδὲ τόπος, ἐν ᾧ οὐκ ἔστιν ἀήρ. Βλέπε δὲ τὴν διαφορὰν τῶν κτισμάτων καὶ τοῦ κτίστου· οὐδὲ ὁ ἥλιος, οὐδὲ ὁ ἀὴρ ἐστὶν ὅλος πανταχοῦ, οὐδὲ ὅλος ἐν παντὶ μέρει, ὅπου δὲ εἰσιν, ἐκεῖ καὶ περιορίζονται· ὁ Θεός ἐστιν ὅλος εἰς τὸν σύμπαντα κόσμον, καὶ ὅλος ἐν παντὶ μέρει τοῦ κόσμου, μηδόλως μηδὲ ὑπὸ τοῦ ὅλου κόσμου, μηδὲ ὑπὸ τῶν μερῶν αὐτοῦ περιλαμβανόμενος. Ὁ ἥλιος καὶ ὁ ἀὴρ οὐδὲ βλέπουσιν, οὐδὲ ἀκούουσιν, οὐδὲ διακρίνουσιν· ὁ Θεὸς βλέπει καὶ τὰ ἀπόκρυφα, ἀκούει καὶ τὰ μήπω ἐκφωνηθέντα λόγια, διακρίνει καὶ τὰ νοήματα· ὁ Φίλιππος λαλεῖ μετὰ τοῦ Ναθαναὴλ κατὰ μόνας ὑποκάτω τῆς συκῆς, ὁ Θεὸς, καὶ πρὶν ἢ ἀνοίξῃ τὸ στόμα αὐτοῦ ὁ Φίλιππος, βλέπει τὸν Ναθαναὴλ, καὶ ἀκούει τὰ
Ιωάν. α'. 49. λόγια τοῦ Φιλίππου· *Πρὸ τοῦ σε Φίλιππον φωνῆσαι, ὄντα ὑπὸ τὴν συκῆν, εἶδόν σε·* καὶ διακρίνει τὴν εὐσέβειαν τοῦ νοὸς, καὶ τὴν καθαρότητα
Αὐτόθι. 48. τῆς καρδίας τοῦ Ναθαναήλ· *Ἴδε,* λέγει, *ἀληθῶς Ἰσραηλίτης, ἐν ᾧ δόλος οὐκ ἔστιν.*

*Ἐκ τούτου τί μανθάνομεν ἡμεῖς; Ἐκ τούτου ἐγὼ μανθάνω, ὅτι ὁ Θεὸς ἐστὶν ἐνώπιόν μου διαπαντὸς, καὶ βλέπει πᾶσαν πρᾶξίν μου, καὶ ἀκούει πάντα τὰ λόγιά μου, καὶ ζυγοστατεῖ πᾶσαν ἐπιθυμίαν τῆς καρδίας μου, καὶ ἐξερευνᾷ πάντα λεπτὸν καὶ ἀπόκρυφον λογισμὸν τοῦ νοός μου.* Ὁ Πατριάρχης Ἰακὼβ, ὅταν ἐνόησεν, ὅτι ὁ Θεὸς παρεστάθη ἐνώπιον αὐτοῦ, τόσον ἐτρόμαξεν, ὥστε μετὰ φόβου πολλοῦ ἐβόησεν· *Ὡς* Γεν. κη'. 17.
*φοβερὸς ὁ τόπος οὗτος.* Τὸν Μανωὲ τόσος φόβος καὶ τρόμος περιέλαβεν, ὅτε ἐνόμισεν, ὅτι ὁ Θεὸς παρεστάθη ἐνώπιον αὐτοῦ, ὥστε ἀπεφάσισεν, ὅτι ἀποθνήσκει καὶ αὐτὸς καὶ ἡ γυνὴ αὐ-
τοῦ· *Θανάτῳ ἀποθανούμεθα,* ἔλε- Κριτ. ιγ'. 22.
γε πρὸς αὐτὴν, *ὅτι Θεὸν εἴδομεν.* Ὁ Προφήτης Δανιὴλ, ὅτε εἶδε τὴν ὀπτασίαν τὴν μεγάλην, ἐξέλιπον αἱ δυνάμεις αὐτοῦ, καὶ ἔπεσεν εἰς τὴν γῆν· κἂν δὲ ἐνίσχυσεν αὐτὸν ὁ Ἄγγελος, εἰ-
πὼν πρὸς αὐτόν· *Μὴ φοβοῦ Δανιήλ·* Δαν. ι'. 12, 19.
καὶ πάλιν, *Μὴ φοβοῦ ἀνὴρ ἐπιθυμιῶν,* ὅμως ἀπὸ τοῦ φόβου αὐτοῦ ἐστράφησαν τὰ ἐντόσθια αὐτοῦ. Ἐὰν οὖν αὐτοὶ, ἄνθρωποι ὄντες ἅγιοι καὶ δίκαιοι, τόσον ἐφοβήθησαν, ὅταν ἐσυλλογίσθησαν, ὅτι ὁ Θεὸς παρέστη ἐνώπιον αὐτῶν, πόσος καὶ ποῖος φόβος καὶ τρόμος πρέπει νὰ περιλαμβάνῃ τὴν ψυχὴν καὶ τὴν καρδίαν ἐμοῦ τοῦ ἁμαρτωλοῦ, ὅταν συλλογίζωμαι, ὅτι ὁ Θεὸς παρίσταται ἐνώπιόν μου; Ὅστις ἔχει πάντοτε τοῦτον τὸν λογισμὸν εἰς τὸν νοῦν αὐτοῦ, ἐκεῖνος βέβαια οὐδέποτε ἁμαρτάνει, διότι πρῶτον φεύγει ἀφ' ἡμῶν ὁ φόβος τοῦ Θεοῦ, ἔπειτα ἁμαρτάνομεν· διὰ τοῦτο ὁ μὲν Προφητάναξ ἔλεγε περὶ τῶν
ἁμαρτανόντων· *Οὐκ ἔστι φόβος Θεοῦ* Ψαλ. ιγ'. 3.
*ἀπέναντι τῶν ὀφθαλμῶν αὐτῶν·* ὁ δὲ ἅγιος Λῃστὴς ἤλεγχε τὸν πονηρὸν
Λῃστὴν λέγων· *Οὐδὲ φοβῇ σὺ τὸν* Λουκ. κγ'. 40.
*Θεόν;*

Τίς

Τίς ποτε τολμᾷ νὰ καταφρονήσῃ τοὺς νόμους τοῦ Βασιλέως, ἢ νὰ πράξῃ μικρὰν ἀταξίαν ἔμπροσθεν τῶν ὀφθαλμῶν αὐτοῦ; διατί καθεὶς ἵσταται ἐνώπιον τοῦ ἐπιγείου Βασιλέως μετὰ τοσαύτης συστολῆς, προσοχῆς, εὐταξίας, καὶ εὐλαβείας; Τὸ διατί ἐστὶ φανερόν· διότι φοβεῖται τὴν ὀργὴν καὶ τὴν τιμωρίαν τοῦ παρισταμένου Βασιλέως. Ἐὰν οὖν, συλλογιζόμενος τὴν τιμωρίαν τοῦ ἐπιγείου Βασιλέως, οὐ τολμᾷς οὐδὲ μικρὰν ἀταξίαν πρᾶξαι ἐνώπιον αὐτοῦ, πόσῳ μᾶλλον, ἐὰν συλλογίζεσαι τὴν τιμωρίαν τοῦ ἐπουρανίου Βασιλέως καὶ Θεοῦ, οὐ τολμήσεις πρᾶξαι τὴν ἀνομίαν, καὶ τὴν ἁμαρτίαν ἔμπροσθεν εἰς τὰ ὄμματα αὐτοῦ; Τὴν μὲν τιμωρίαν τοῦ ἐπιγείου Βασιλέως ἴσως δυνηθῇς νὰ ἀποφύγῃς, ἐπειδὴ ἡ δύναμις καὶ ἡ ἐξουσία αὐτοῦ ἐστὶ περιωρισμένη· ἀπὸ δὲ τῆς παιδείας τοῦ ἐπουρανίου Βασιλέως κατ' οὐδένα τρόπον δύνασαι νὰ φυλαχθῇς, ἐπειδὴ ἡ δύναμις αὐτοῦ ἐστὶ παντοδύναμος, τὸ κράτος αὐτοῦ ἀπροσμάχητον, ἡ ἐξουσία αὐτοῦ ἀπεριόριστος καὶ ἄπειρος, τὰ πάντα εἰσὶν ὑπὸ τὴν ἐξουσίαν αὐτοῦ, τὰ πάντα ὑπόκεινται εἰς τὸ νεῦμα τοῦ θελήματος αὐτοῦ, τὰ πάντα φρίττουσιν ἀπὸ προσώπου τῆς δυνάμεως αὐτοῦ· ὅλος ὁ οὐρανὸς ἀλλοιοῦται, ἐὰν
Ἰώβ. κϛ'. 11. ἐπιτιμήσῃ· Στύλοι οὐρανοῦ ἐπετάσθησαν, καὶ ἐξέστησαν ἀπὸ τῆς ἐπιτιμήσεως αὐτοῦ· ὅλη ἡ γῆ τρέμει, ἐὰν ἐπιβλέψῃ εἰς αὐτήν· πάντα τὰ ὄρη μεταβάλλονται εἰς καπνόν, ἐὰν θε-
Ψαλ. ργ'. 33. λήσῃ· Ὁ ἐπιβλέπων ἐπὶ τὴν γῆν καὶ ποιῶν αὐτὴν τρέμειν, ὁ ἁπτόμενος τῶν ὀρέων καὶ καπνίζονται. Ἐὰν παροργίσῃς τὸν Βασιλέα, ὅταν προστάζῃ τὰ ἀσεβῆ καὶ ἄνομα, προστρέχεις εἰς τὸν Θεόν, ὅστις, παντοδύναμος ὤν, δύναται διαφυλάξαι σε ἀπὸ
Δαν. γ'. 17. τῆς βασιλικῆς τιμωρίας· Ἔστι γὰρ Θεὸς ἡμῶν, ἔλεγον οἱ τρεῖς Παῖδες πρὸς τὸν Ναβουχοδονόσορ, ἐν οὐρανοῖς, ᾧ ἡμεῖς λατρεύομεν, δυνατὸς ἐξελέσθαι ἡμᾶς ἐκ τῆς καμίνου τοῦ πυρὸς τῆς καιομένης, καὶ ἐκ τῶν χειρῶν σου, Βασιλεῦ, ῥύσεται ἡμᾶς· ἐὰν δὲ παροργίσῃς τὸν Θεόν, καταφρονῶν τοὺς νόμους αὐτοῦ, ποῦ προστρέχεις; τίς δύναται λυτρῶσαί σε ἐκ τῶν παντοδυνάμων αὐτοῦ χειρῶν; τίς δύναται εἰπεῖν αὐτῷ, Διατί παιδεύεις αὐτὸν τὸν ἄνθρωπον; οὐδείς, οὐδὲ τῶν ἐπὶ γῆς ἀνθρώπων, οὐδὲ τῶν ἐν οὐρανοῖς Ἀγγέλων· Οὐκ ἔστι, λέγει ὁ προφήτης Δανιήλ, ὃς ἀντιποιήσεται τῇ χειρὶ αὐτοῦ καὶ ἐρεῖ Δαν. δ'. 35.
αὐτῷ, Τί ἐποίησας; Ἡ τιμωρία τοῦ ἐπιγείου Βασιλέως, κἂν μεγάλη, κἂν βαρυτάτη, κἂν θανατηφόρος, ἐστὶν ὅμως πρόσκαιρος, παύει, ἔχει τέλος· ἡ δὲ τοῦ ἐπουρανίου Βασιλέως τιμωρία, ἄλλοτε μέν ἐστι μόνον πρόσκαιρος, ἄλλοτε δὲ μόνον αἰώνιος, καὶ ἄλλοτε πρόσκαιρος ἅμα καὶ αἰώνιος. Ἐὰν λοιπόν, φοβούμενος τὴν παίδευσιν τοῦ ἐπιγείου Βασιλέως, οὐ τολμᾷς ἐπὶ τῇ παρουσίᾳ αὐτοῦ ποιῆσαι οὐδὲ μικρὰν ἀταξίαν, πολλῷ μᾶλλον, ἐὰν φοβῆσαι τὴν παίδευσιν τοῦ Θεοῦ, οὐδεμίαν, οὐδὲ κἂν μικρὰν ἁμαρτίαν πράττεις ἐνώπιον αὐτοῦ. Σημείωσαι δέ, ὅτι ἔμπροσθεν τοῦ ἐπιγείου Βασιλέως ἔργον μὲν ἄτακτον οὐ πράττεις, καὶ λόγον ἄπρεπον οὐ λέγεις, ἐπειδὴ αὐτὸς καὶ τὸ ἔργον σου βλέπει, καὶ τὸν λόγον σου ἀκούει, συλλογίζεσαι ὅμως ἀκινδύνως ἐνώπιον αὐτοῦ ὅσα αἰσχρὰ καὶ παράλογα βούλεσαι, καὶ ἐπιθυμεῖς, ὅσας ῥυπαρὰς ἐπιθυμίας θέλεις, ἐπειδὴ αὐτὸς οὐδὲ τοὺς λογισμοὺς τοῦ νοός σου βλέπει, οὐδὲ τὰς ἐνθυμήσεις τῆς καρδίας σου γνωρίζει· ἐνώπιον ὅμως τοῦ ἐπουρανίου Βασιλέως καὶ Θεοῦ μὴ τολμήσῃ μηδὲ ὁ νοῦς σου

γεν-

γεννῆσαι αἰσχροὺς λογισμοὺς, μηδὲ ἡ καρδίασου πονηρὰς ἐπιθυμίας, διότι αὐτὸς οὐ μόνον βλέπει τὰς πράξειςσου, καὶ ἀκούει τὰ λόγιά σου, ἀλλὰ καὶ τοὺς ἀποκρύφους διαλογισμοὺς τοῦ νοός σου ἐξετάζει, καὶ τὰς λεπτὰς ἐπιθυμίας τῆς
Ἰερ. ιζ'. 10. καρδίαςσου διακρίνει· Ἐγὼ Κύριος, λέγει ὁ Θεὸς, ἐτάζων καρδίας, καὶ δοκιμάζων νεφροὺς, τοῦ δοῦναι ἑκάστῳ κατὰ τὰς ὁδοὺς αὐτοῦ, καὶ κατὰ τοὺς καρποὺς τῶν ἐπιτηδευμάτων αὐτοῦ· τοῦτο δὲ αὐτὸ ἐσήμα-
Ματ. ί. 30. νεν ὁ Θεὸς, ὅταν εἶπεν· Ὑμῶν δὲ καὶ αἱ τρίχες τῆς κεφαλῆς πᾶσαι ἠριθμημέναι εἰσίν.

Ἀλλὰ πρὸς ταῦτα ἀποκρίνεσαι, λέγων· Τὸν μὲν ἐπίγειον Βασιλέα ἐγὼ βλέπω ὀφθαλμοφανῶς, τὸν δὲ Βασιλέα τὸν ἐπουράνιον οὐδόλως βλέπω. Πῶς; τὸν Βασιλέα τῆς δόξης, τὸν Ποιητὴν τῆς κτίσεως οὐ βλέπεις; ὅπου καὶ ἂν στραφῇς, καὶ ὅπου ἐνατενίσῃς, ἐκεῖ βλέπεις αὐτόν· τί βλέπεις, ὅταν ὑψώσῃς τὰ ὄμματά σου ἄνω; βλέπεις τὸν οὐρανὸν, τὸν ἥλιον, τὴν σελήνην, τοὺς πλανήτας, τοὺς ἀστέρας· τί βλέπεις, ὅταν καταβιβάσῃς τοὺς ὀφθαλμούς σου κάτω; βλέπεις τὴν γῆν, τὴν θάλασσαν, τὸν χόρτον, τὰ δένδρα, τοὺς καρποὺς, τὰ ζῶα, τὸν ἄνθρωπον. Ἀλλ' αὐτὰ, λέγεις, οὐκ εἰσὶν ὁ Θεός. Ἀληθῶς αὐτὰ οὐκ εἰσὶν ὁ Θεὸς· ἀλλ' εἰσὶ ποιήματα τοῦ Θεοῦ· καθὼς δὲ, βλέπων οἰκίαν, νοεῖς ἐξ ἀνάγκης οἰκοδόμον, βλέπων ὕφασμα, νοεῖς ὑφάντην, βλέπων ναῦν, νοεῖς ναυπηγὸν, βλέπων κῆπον, νοεῖς κηπωρὸν, βλέπων εἰκόνα, νοεῖς ζωγράφον· οὕτω βλέπων διὰ τῶν αἰσθητῶν ὀφθαλμῶν τὰ ποιήματα, βλέπεις ἐξ ἀνάγκης διὰ τῶν νοερῶν ὀφθαλμῶνσου τὸν τούτων Ποιητὴν καὶ Δημιουργὸν, ἤγουν τὸν Θεόν. Ἀπὸ κτίσεως κόσμου βλέποντες οἱ ἄνθρωποι τὰ ὁρατὰ κτίσματα, βλέπουσιν ἐν αὐτοῖς τὰς ἀοράτους τοῦ Θεοῦ τελειότητας, βλέπουσι τὴν ἀΐδιον αὐτοῦ δύναμιν, βλέπουσι τὴν Θεότητα αὐτοῦ· διὰ τοῦτο οὐδεμίαν ἔχουσιν ἀπολογίαν, ὅταν οὐ πιστεύωσιν, ὅτι ἐστὶ Θεὸς, καὶ ὅταν λέγωσιν, ὅτι οὐ βλέπουσιν αὐτὸν πανταχοῦ· Τὰ γὰρ ἀόρατα αὐτοῦ, εἶ- Ῥωμ. ά. 20.
πεν ὁ πάνσοφος Παῦλος, ἀπὸ κτίσεως κόσμου, τοῖς ποιήμασι νοούμενα καθορᾶται, ἥ τε ἀΐδιος αὐτοῦ δύναμις καὶ θειότης· εἰς τὸ εἶναι αὐτοὺς ἀναπολογήτους.

Πρὸς τούτοις οὐκ αἰσθάνεσαι, ὅτι ὁ ἄνθρωπος ἔχει ὄμματα ψυχικὰ, καθὼς ἔχει καὶ ὄμματα σωματικά; ποσάκις διὰ τῶν ὀμμάτων τοῦ νοός σου βλέπεις καὶ φίλων καὶ ἐχθρῶν πρόσωπα, καὶ οἰκίας, καὶ ναοὺς, καὶ τραπέζας, καὶ ποταμοὺς, καὶ θαλάσσας, καὶ πηγὰς, καὶ πᾶν εἴτι ἄλλο θέλεις; οὐκ ἔμαθες, ὅτι τὸ φῶς τῆς πίστεως φωτίζει τὰ ὄμματα τοῦ νοὸς περισσότερον, ἢ τὸ φῶς τοῦ ἡλίου τὰ ὄμματα τοῦ σώματος, καὶ ἑπομένως, ὅτι τὰ ὑπὸ τῆς πίστεως πεφωτισμένα ὄμματα τοῦ νοὸς βλέπουσι τελειότερα τῶν ὀμμάτων τοῦ σώματος, τῶν αὐγαζομένων διὰ τῶν ἡλιακῶν ἀκτίνων; οἱ σωματικοὶ ὀφθαλμοὶ πολλάκις ἀπατῶσι· βλέπεις τὸν ἥλιον μικρότερον τῆς γῆς, καὶ ὅμως αὐτός ἐστιν ἀσυγκρίτως μείζων· βλέπεις μακρόθεν τὴν μεγαλόπολιν, μικρὰν ὡς ἕνα οἰκίσκον· βλέπεις τὴν ἄθλαστον κώπην μέσα εἰς τὸ ὕδωρ τεθλασμένην· οἱ ὀφθαλμοὶ τῆς πίστεως οὐδέποτε πλανῶσιν ἡμᾶς· διὰ τοῦτο ὁ τρισμακάριος Πέτρος, κἂν εἶδεν ὀφθαλμοφανῶς τὸν σαρκωθέντα Χριστὸν, καὶ τὰ θαυμάσια αὐτοῦ, καὶ τὴν θείαν αὐτοῦ μεταμόρφωσιν, καὶ τὸ πάθος, καὶ τὴν ταφὴν, καὶ τὴν ἀνάστασιν αὐτοῦ, βεβαιότερον ὅμως ἐλογίζετο τὸν λόγον τῶν Προφητῶν, τῶν μαρτυρούντων τὰ περὶ τοῦ Ἰησοῦ Χριστοῦ,

Β΄. Πέτρ. τοῦ, ἢ ὅσα εἶδε καὶ ἤκουσε· Καὶ ἔχο-
α΄. 19. μεν, ἔλεγε, βεβαιότερον τὸν προ
φητικὸν λόγον. Κἂν οὖν μὴ βλέπῃς
τὸν Θεὸν διὰ τῶν ὀμμάτων τοῦ σώμα-
τος, βλέπεις ὅμως αὐτὸν διὰ τῶν ὀφθαλ-
μῶν τῆς ψυχῆς σου, ἔχεις δὲ περὶ τού-
του καὶ τὸν προφητικὸν λόγον βεβαιότε-
ρον τῶν ὀμμάτων σου· ἀκούεις τὸν προ-
Ψαλ. ιε΄. 8. φήτην Δαβὶδ, λέγοντα· Προωρώμην
τὸν Κύριον ἐνώπιόν μου διαπαν-
τὸς, ὅτι ἐκ δεξιῶν μου ἐστὶν, ἵνα
μὴ σαλευθῶ. Κἂν δὲ, κατὰ τὸν θεη-
Πράξ. β΄. 25. γόρον Πέτρον, ταῦτα τοῦ Δαβὶδ τὰ λό-
για καὶ τὰ ἑπόμενα αὐτοῖς ἐῤῥέθησαν
διὰ τὸν θεάνθρωπον Ἰησοῦν, ἁρμόζουσιν
ὅμως κατὰ τὴν ἠθικὴν ἔννοιαν καὶ εἰς
πάντα ἄνθρωπον πιστεύοντα εἰς τὸν
Θεόν. Ἔχεις δὲ καὶ τὸν εὐαγγελικὸν
λόγον, ὃν εἶπεν ὁ Κύριος πρὸς τὸν Να-
Ἰωάν. α΄. 49. θαναήλ· Πρὸ τοῦ σε Φίλιππον φω-
νῆσαι, ὄντα ὑπὸ τὴν συκῆν, εἶδόν
σε· καὶ ὁ μὲν προφητικὸς λόγος διδά-
σκει σε, ὅτι βλέπεις διαπαντὸς τὸν Θεὸν
ἱστάμενον ἐκ δεξιῶν σου, ὁ δὲ εὐαγγελι-
κὸς, ὅτι ὁ Θεὸς βλέπει καὶ παρατηρεῖ
πάντα τὰ ἔργα σου.

Ὅταν ταῦτα διαπαντὸς συλλογιζώμεθα, τότε κἂν ὁρμᾷ ἡ θέλησις ἡμῶν πρὸς τὴν ἁμαρτίαν, ἀναχαιτίζουσιν ὅμως αὐτὴν αἱ φωναὶ τῆς συνειδήσεως· Μὴ, κράζει αὐτὴ καὶ βοᾷ, μὴ ποιήσῃς τὰ
Α΄. Κορ. ϛ΄. 15. μέλη σου πόρνης μέλη, διότι ἐκ δεξιῶν
σου ἵσταται, καὶ βλέπει τὴν αἰσχρουρ-
Ἑβ. ιγ΄. 4. γίαν σου ὁ κρίνων πόρνους καὶ μοι-
χούς. Μὴ ἁπλώσῃς τὰς χεῖράς σου εἰς
τὴν ἀδικίαν, διότι ἐκ δεξιῶν σου ἵσταται
καὶ βλέπει σε ὁ δίκαιος Κριτὴς, ὁ ἀπο-
πέμπων τοὺς ἐργάτας τῆς ἀδικίας ὅπου
Λουκ. ιγ΄. 28. ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν
ὀδόντων. Μὴ πράξῃς τὴν ἁμαρτίαν,
διότι ἔμπροσθέν σου ἵσταται καὶ βλέπει
Ψαλ. ε΄. 6. σε ὁ μισῶν πάντας τοὺς ἐργαζομέ-
νους τὴν ἀνομίαν. Μὴ ἀνοίξῃς τὸ
στόμα σου, καὶ λαλήσῃς βλασφημίαν, ἢ
ψεῦδος, ἢ συκοφαντίαν, ἢ κατάκρισιν, Ἀποκ. ιϛ΄.
διότι ἔμπροσθέν σου ἵσταται καὶ ἀκούει 10.
ὁ κρίνων καὶ κολάζων πάντας τοὺς ἀ-
θυροστόμους. Μὴ προσηλώσῃς τὸν νοῦν
σου εἰς λογισμοὺς πονηρίας, διότι βλέ-
πει αὐτοὺς ὁ παντεπόπτης, ὁ ἔμπροσθέν
σου ἱστάμενος, ὁ ἐτάζων καρδίας Ἱερ. ιζ΄.
καὶ νεφροὺς, καὶ ἀριθμῶν τὰς τρίχας 10. Ματ. ι΄.
τῆς κεφαλῆς ἡμῶν. Τίς οὐκ ἐντρέπεται 30.
νὰ πράξῃ τὰ αἰσχρὰ ἔργα ἔμπροσθεν τῶν ἀνθρώπων; σὺ δὲ οὐκ αἰσχύνῃ ἐκτελέσαι αὐτὰ ἔμπροσθεν εἰς τὰ ὄμματα τοῦ Θεοῦ; τοὺς μὲν ἀνθρώπους φοβεῖσαι, τὸν δὲ Δημιουργὸν τῆς κτίσεως οὐ τρέμεις; Ὅσοι πεπλανημένοι ἐπίστευον, ὅτι ὁ ἥλιός ἐστιν ὁ Θεὸς, αὐτοὶ ἡμάρτανον τὴν νύκτα, ἐπειδὴ ἦσαν πεπληροφορημένοι, ὅτι οὐκ ἔβλεπεν αὐτοὺς ὁ Θεὸς αὐτῶν· ὅστις δὲ πιστεύει, ὅτι ὁ Θεὸς καὶ τὴν ἡμέραν, καὶ τὴν νύκτα, καὶ ἐν παντὶ καιρῷ καὶ τόπῳ ἵσταται ἐνώπιον αὐτοῦ, ἐκεῖνος οὐδέποτε σαλεύει, ἤγουν οὐδέποτε πίπτει εἰς τὴν ἁμαρτίαν·
Προωρώμην τὸν Κύριον ἐνώπιόν Ψαλ. ιε΄.
μου διαπαντὸς, ὅτι ἐκ δεξιῶν μου 8.
ἐστὶν, ἵνα μὴ σαλευθῶ. Ὅστις τοῦτο πιστεύει, καὶ τοῦτο πάντοτε συλλογίζεται, ἐκεῖνος, ὁσάκις ἔρχεται εἰς αὐτὸν ἡ ἐπιθυμία τῆς ἁμαρτίας, ἀνθίσταται, καὶ λέγει τὸν λόγον, ὃν εἶπε πρὸς τὴν Αἰγυπτίαν ὁ Πατριάρχης Ἰωσὴφ, ὅτε προέτρεπεν αὐτὸν, ἵνα πράξῃ τὴν
ἁμαρτίαν· Καὶ πῶς ποιήσω τὸ ῥῆ- Γεν. λθ΄.
μα τὸ πονηρὸν τοῦτο, καὶ ἁμαρ- 9.
τήσομαι ἐναντίον τοῦ Θεοῦ;

Ὁ μὲν προφητικὸς λόγος, Προω- Ψαλ. ιε΄.
ρώμην τὸν Κύριον ἐνώπιόν μου 8.
διαπαντὸς, ὅτι ἐκ δεξιῶν μου ἐ-
στὶν, ἵνα μὴ σαλευθῶ, ἐστὶν ὁ φύ-
λαξ καὶ τὸ προπύργιον κατὰ τῆς ἁμαρ-
τίας· ὁ δὲ εὐαγγελικὸς, Πρὸ τοῦ σε Ἰωάν. α΄.
Φίλιππον φωνῆσαι, ὄντα ὑπὸ τὴν 49.

συχὴν, εἶδόν σε, προτρέπει εἰς τὴν ἀρετήν. Ὁ προφητικὸς λόγος διαφυλάττει ἡμᾶς ἀπὸ τῆς ἁμαρτίας, ὁ εὐαγγελικὸς προθυμοποιεῖ καὶ στηρίζει εἰς τὴν κατόρθωσιν τῶν καλῶν ἔργων.

Οὐδέποτε ἄλλοτε ὁ δοῦλος ποιεῖ τὸ ἔργον αὐτοῦ προθυμότερα, εἰμὴ, ὅταν ὁ τούτου δεσπότης, παριστάμενος ἐνώπιον αὐτοῦ, βλέπει τὸ ἔργον αὐτοῦ· τοῦ δεσπότου ἡ παρουσία καθ' ὑπερβολὴν προθυμοποιεῖ τὴν τοῦ δούλου καρδίαν· ὅθεν καὶ ἡ κοινὴ παροιμία, ὀφθαλμὸς Βασιλέως πιαίνει ἵππον. Ἀλλὰ διατί τοῦτο; Διότι, ὅταν ὁ δοῦλος συλλογίζηται, ὅτι αὐτὸς ὁ δεσπότης αὐτοῦ βλέπει καὶ τὸν κόπον, καὶ τὴν προθυμίαν τοῦ ἔργου αὐτοῦ, τότε ἐλπίζει πλουσιωτέραν τὴν μισθαποδοσίαν, καὶ τὴν ἀγάπην, καὶ προστασίαν τοῦ κυρίου αὐτοῦ. Ὅταν οὖν νηστεύῃς, ἢ προσεύχεσαι, ἢ προστατεύῃς τὸν ὀρφανὸν, ἢ ἐλεῇς τὴν χήραν, συλλογίζησαι δὲ, ὅτι αὐτὸς ὁ Κύριος καὶ Δεσπότης καὶ Θεός σου ἐστὶ παρὼν, καὶ βλέπει καὶ τῆς νηστείας σου τὸν κόπον, καὶ τῆς προσευχῆς σου τὴν προσοχὴν, καὶ τῆς ἀγρυπνίας σου τὴν στενοχωρίαν, καὶ τῆς ἐλεημοσύνης σου τὴν προθυμίαν· ὅταν, λέγω, πράττῃς τὸ καλὸν ἔργον, καὶ πιστεύῃς, ὅτι ὁ Θεὸς, παρὼν, βλέπει καὶ τὴν διάθεσιν τῆς καρδίας σου, καὶ τὴν εὐλάβειαν τῆς ψυχῆς σου, καὶ γράφει αὐτὰ μετὰ πασῶν τῶν περιστάσεων αὐτῶν εἰς ἐκεῖνα τὰ βιβλία, τὰ ὁποῖα ἀναγινώσκονται ἐν τῇ ἡμέρᾳ τῆς ἀνταποδόσεως· τότε, πεπληροφορημένος ὢν, ὅτι ἐκχέει ὁ Θεὸς ἐπὶ σοὶ τὸ ἔλεος καὶ τὴν χάριν αὐτοῦ, πολλὰ πρόθυμος γίνεσαι εἰς τῆς ἀρετῆς τὴν ἐργασίαν, τότε μετὰ μεγάλης σπουδῆς προσφέρεις ὑπὲρ αὐτῆς τοὺς ἱδρῶτάς σου, τότε εἰς αὐτὴν ἀφιεροῖς ὅλον τὸν πόθον σου, καὶ στηρίζεις ἐπ' αὐτὴν τὴν ψυχὴν καὶ τὴν καρδίαν σου.



Ὁ προφήτης Δαβὶδ μαρτυρεῖ, ὅτι, ὅταν ἐσυλλογίζετο, ὅτι ὁ Θεὸς ἐστὶ διαπαντὸς ἐνώπιον αὐτοῦ, τότε εἶχεν, ἐκτὸς τῆς πνευματικῆς ὠφελείας, καὶ ἄλλην ὠφέλειαν ἐπίγειον καὶ σωματικήν. Ἐπειδὴ, λέγει, βλέπω τὸν Κύριον ἐνώπιόν μου διαπαντὸς, οὐχὶ μόνον οὐ πίπτω εἰς τῆς ἁμαρτίας τὸ βάραθρον, οὐδὲ σαλεύω ἀπὸ τῆς ἀρετῆς τὸν δρόμον, ἀλλὰ πρὸς τούτοις ἡ πρὸς τὸν Θεὸν ἐλπὶς εἰς πᾶσαν θλῖψιν μου εὐφραίνει τὴν καρδίαν μου, καὶ πληροῖ αἰνέσεως περιχαροῦς τὴν γλῶσσάν μου· Προωρώμην τὸν Κύριον ἐνώπιόν μου διαπαντὸς, ὅτι ἐκ δεξιῶν μου ἐστὶν, ἵνα μὴ σαλευθῶ. Διὰ τοῦτο ηὐφράνθη ἡ καρδία μου, καὶ ἠγαλλιάσατο ἡ γλῶσσά μου, ἔτι δὲ καὶ ἡ σάρξ μου κατασκηνώσει ἐπ' ἐλπίδι. (Ψαλ. ιε'. 8, 9.) Τοῦτο δὲ οὐ μόνον ἀληθές ἐστι καὶ βέβαιον, ἀλλὰ καὶ αἰσθητὸν γίνεται εἰς καιρὸν θλίψεως καὶ συμφορᾶς· δυναστεύει σε ὁ δυνατὸς, ἐπιβουλεύει τὴν τιμήν σου, ἁρπάζει τὰ ὑπάρχοντά σου, κατατυραννεῖ σε ἀδίκως· πάσχεις, στενάζεις, κλαίεις, τρέχει ὁ νοῦς σου ἔνθεν κἀκεῖθεν, ἵνα εὕρῃ σοι παρηγορίαν, ἀλλ' οὐδὲ καταφυγὴν ἔχεις, οὐδὲ ἀντίληψιν εὑρίσκεις· ἐν τούτοις συλλογίζεσαι, ὅτι ὁ Θεός ἐστιν ἔμπροσθέν σου, καὶ βλέπει καὶ τοῦ ἀδικοῦντός σε τὴν δυναστείαν, καὶ τῆς καρδίας σου τὴν θλῖψιν· Αὐτὸς, λέγεις, ἐστὶ δίκαιος, αὐτὸς παντοδύναμος, αὐτὸς πανοικτίρμων, αὐτὸς βλέπει ὅσα ἀδίκως πάσχω· ὁ λογισμὸς οὗτος φέρει εἰς τὴν ψυχήν σου τοῦ Θεοῦ τὴν ἐλπίδα· Αὐτὸς λοιπὸν, λέγεις, ἔσεταί μοι προστάτης, αὐτὸς ποιήσει τὴν ἐκδίκησίν μου, αὐτὸς ἀπολυτρώσει με ἀπὸ τῆς δυναστείας τοῦ ἀδικοῦντός με· αὐτὴ ἡ κραταιὰ ἐλπὶς ἡσυχάζει τὸ πάθος σου, παύει τὸν στεναγμόν σου, σπογγίζει τὰ δάκρυά σου, φέρει εὐφροσύνην εἰς τὴν καρδίαν σου, καὶ

δέν-

δέησιν μετὰ ἀγαλλιάσεως εἰς τὴν γλῶσσάν σου. Ἀσθενῶ βαρέως· οὐδὲ οἱ ἰατροί με ἰατρεύουσιν, οὐδὲ τὰ βότανα μὲ ὠφελοῦσιν, αὐξάνουσιν οἱ πόνοι, πολλαπλασιάζονται αἱ ὀδύναι, ἡ στενοχωρία μου γίνεται ἀφόρητος, παρηγορίαν οὐδαμοῦ οὐδεμίαν εὑρίσκω, ὅθεν με περικυκλοῖ καὶ ὁ φόβος τοῦ θανάτου· ἀλλ' ἐν τούτοις συλλογίζομαι, ὅτι ὁ Θεός ἐστιν ἐνώπιόν μου, καὶ βλέπει τὴν ἐλεεινήν μου κατάστασιν· Παντοδύναμε, λέγω, ἄπειρός ἐστιν ἡ φιλανθρωπία σου, καὶ ἡ εὐσπλαγχνία σου ἄμετρος, βλέπεις τοὺς πόνους μου, ἀκούεις τὰς ὀδυνηρὰς φωνάς μου, ἐλέησον τὸ πλάσμα σου, καὶ μὴ παρατηρήσῃς τὰς ἁμαρτίας μου· ὁ λογισμὸς οὗτος φέρει τὴν ἐλπίδα τῆς ἰατρείας μου εἰς τὴν ψυχήν μου, αὕτη δὲ ἡ ἐλπὶς παρηγορεῖ τοὺς πόνους μου, διώκει τὸν φόβον μου, ἡσυχάζει τὴν ζάλην τῆς καρδίας μου· τοῦτο αὐτὸ συμβαίνει καὶ εἰς τοὺς κινδύνους, καὶ εἰς τὰς θλίψεις, καὶ εἰς πᾶσαν συμφορὰν καὶ ἀνάγκην. Πολλάκις διὰ τὴν σφοδρότητα τοῦ πάθους ἀποδυσπετεῖ ἡ ψυχή, καὶ οὐδεμίαν δέχεται παρηγορίαν· οὐδὲ τὰ βοηθήματα τῶν συγγενῶν, οὐδὲ ἡ προστασία τῶν
Ψαλ. οϛ'. 3. δυνατῶν φέρει παρηγορίαν· Ἀπηνήνατο παρακληθῆναι ἡ ψυχή μου· ἐὰν τότε ἐνθυμηθῇς, ὅτι ὁ Θεός ἐστιν ἐκ δεξιῶν σου, ὅστις πάντα δύναται, ἔρχεται εὐθὺς ἡ παρηγορία καὶ ἡ εὐφροσύνη τοῦ Θεοῦ εἰς τὴν καρδίαν σου· Ἐμνήσθην τοῦ Θεοῦ, καὶ εὐφράνθην. Ψαλ. οϛ'. 3.

Θεὲ καὶ Κύριε τοῦ ἐλέους, ἀληθῶς ἄπειρόν ἐστι τὸ πέλαγος τῆς πρὸς τοὺς ἀνθρώπους φιλανθρωπίας σου· ἔδειξας τρόπον εὐκολώτατον, διὰ τοῦ ὁποίου φεύγομεν τὴν ἁμαρτίαν, καὶ στηριζόμεθα εἰς τὴν ἀρετήν· διὰ τοῦ αὐτοῦ δὲ τρόπου καὶ παρηγορίαν εὑρίσκομεν εἰς πάσας τὰς τῆς παρούσης ζωῆς συμφοράς. Ὁ τρόπος, ἀγαπητοί μου ἀδελφοί, οὐδὲ κόπον ζητεῖ, οὐδὲ δαπάνην, οὐδὲ ἐνόχλησιν φέρει, οὐδὲ ταραχήν· μηδὲν πράξῃς, μηδὲν ἐπιθυμήσῃς, ἐὰν μὴ πρῶτον στοχασθῇς, ὅτι ὁ Θεὸς παρίσταται ἐνώπιόν σου, καὶ βλέπει πάντα τὰ κινήματά σου· ἐὰν τοῦτο ποιῇς, φεύγεις πᾶσαν ἁμαρτίαν, καὶ πρόθυμος γίνεσαι εἰς πᾶσαν ἀρετήν. Εἰς τοὺς κινδύνους, εἰς τὰς θλίψεις, εἰς τὰς συμφοράς, εἰς τὰς ἀνάγκας, εἰς πᾶσάν σου περίστασιν ἐνθυμήθητι, ὅτι ὁ Θεὸς ἐκ δεξιῶν σου ἐστί, καὶ βλέπει τὰς περιστάσεις σου· ἐὰν τοῦτο ποιῇς, ἔχεις παντὸς πάθους σου ταχεινὴν παρηγορίαν, καὶ βεβαίαν ἀπαλλαγήν· Ἐμνήσθην τοῦ Θεοῦ, καὶ εὐφράνθην.

# ΕΡΜΗΝΕΙΑ

ΕΙΣ ΤΟ ΚΑΤΑ

# ΜΑΡΚΟΝ

## ΕΥΑΓΓΕΛΙΟΝ ΤΗΣ ΔΕΥΤΕΡΑΣ ΚΥΡΙΑΚΗΣ ΤΩΝ ΝΗΣΤΕΙΩΝ.

Τὴν ἱστορίαν τοῦ Παραλύτου, τὴν ἐν τῷ σημερινῷ Εὐαγγελίῳ ἀναγνωσθεῖσαν, διαλαμβάνει οὐ μόνον ὁ Εὐαγγελιστὴς
Ματ. θ'. Μάρκος, ἀλλὰ καὶ ὁ Ματθαῖος, καὶ ὁ
Λουκ. ε'. Λουκᾶς. Ὁ θεόπνευστος Μάρκος, ὅστις ἔγραψε τὸ Εὐαγγέλιον αὐτοῦ μετὰ τὸν Ματθαῖον, προσέθετο εἰς τὴν ἱστορίαν ταύτην τινὰς περιστάσεις, ὑπὸ τοῦ Ματθαίου σιωπηθείσας, τοῦτο αὐτὸ δὲ ἐποίησε καὶ ὁ θεηγόρος Λουκᾶς. Παραδείγματος χάριν ὁ μὲν Ματθαῖος εἶπεν, ὅτι τοῦτο τὸ θαῦμα ἐγένετο ἐν τῇ ἰδίᾳ πόλει τοῦ Ἰησοῦ Χριστοῦ· ὁ δὲ Μάρκος ἐφανέρωσε τὸ ὄνομα τῆς πόλεως, εἰπών,
Μάρκ. β'. 1. ὅτι ἡ πόλις αὕτη ὠνομάζετο Καπερναοὺμ· ὁ Ματθαῖος ἔγραψε συντόμως, ὅτι ἔφε-
Ματ. θ'. 2. ρον ἔμπροσθεν τοῦ Ἰησοῦ Χριστοῦ τὸν Παράλυτον ἐπὶ κλίνης βεβλημένον· ὁ Μάρκος, περιγράφων πλατύτερον τὴν αὐ-
Λούκ. ε'. 19. τὴν ὑπόθεσιν, ὁμοίως καὶ ὁ Λουκᾶς, διηγεῖται ὅσα ἐποίησαν οἱ βαστάζοντες τὸν Παράλυτον, ἵνα παραστήσωσιν αὐτὸν ἐνώπιον τοῦ Ἰησοῦ Χριστοῦ. Ὅτε ἦλθε
Μάρκ. β'. 1. κ. τ. λ. πάλιν, λέγει ὁ ἱερὸς Μάρκος, εἰς τὴν Καπερναοὺμ ὁ Ἰησοῦς, καὶ ἠκούσθη, ὅτι εἰσέβη εἰς ἕνα τῶν ἐν αὐτῇ οἴκων, τότε τοσοῦτον πλῆθος ἀνθρώπων συνήχθη ἐκεῖ, καὶ ἤκουε τὴν οὐράνιον αὐτοῦ διδασκαλίαν, ὥστε, διὰ τὸ πολὺ πλῆθος, τὸ καὶ ἐν αὐτῇ τῇ θύρᾳ ἑστός, οὐκ ἠδύναντο οἱ τὸν Παράλυτον βαστάζοντες πλησιάσαι πρὸς τὸν Ἰησοῦν Χριστόν· τεχνητευθέντες οὖν, ἀνέβησαν ἐπάνω εἰς τὴν στέγην τῆς οἰκίας, συναναβιβάσαντες καὶ τὸν κράββατον, ἐν ᾧ ἔκειτο ὁ Παράλυτος· ἀνασκαλίσαντες δὲ καὶ τρυπήσαντες τὴν στέγην, κατεβίβασαν ἐκεῖθεν τὸν Παράλυτον σὺν τῇ κλίνῃ αὐτοῦ, καὶ ἔστησαν αὐτὸν ἐνώπιον τοῦ Σωτῆρος ἡμῶν. Ἐκ τούτου δὲ βλέπομεν καθαρά, ὅτι μεγάλην πίστιν εἶχον εἰς τὸν Ἰησοῦν Χριστὸν ὁ Παράλυτος, καὶ οἱ τοῦτον βαστάζοντες, διότι, ἐὰν οὐκ ἐπίστευον ἀδιστάκτως, ὅτι ἐπιτυγχάνουσι τῆς ἰατρείας, οὐδὲ ὁ Παράλυτος ὑπέμενε τόσον κίνδυνον, οὐδὲ οἱ τοῦτον βαστάζοντες τόσον κόπον, ὅσος ἦν ἀναγκαῖος, ἵνα ἀναβιβάσωσιν ἐπάνω εἰς τὴν στέγην, καὶ πάλιν καταβιβάσωσιν ἐκεῖθεν τὸν κράββατον, ἐν ᾧ αὐτὸς ἔκειτο· διὰ τοῦτο οὖν
εἶπεν ὁ Εὐαγγελιστής, Ἰδὼν δὲ ὁ Ἰη- Μάρκ. β'.
σοῦς τὴν πίστιν αὐτῶν. Πρὸς τού- 5.
τοις ὁ μὲν Ματθαῖος εἶπε μόνον, ὅτι ὁ Ἰησοῦς Χριστὸς εἶδε τοὺς λογισμοὺς τῶν
Γραμματέων· Καὶ ἰδὼν ὁ Ἰησοῦς Ματ. θ'.
τὰς ἐνθυμήσεις αὐτῶν, ὁ δὲ Μάρ- 4.
κος ἐδίδαξεν ἡμᾶς καὶ τὸ διὰ τίνος δυνάμεως ὁ Κύριος Ἰησοῦς εἶδε καὶ ἐγνώρισε τί διελογίζοντο οἱ Γραμματεῖς·
Καὶ εὐθέως, λέγει, ἐπιγνοὺς ὁ Ἰη- Μάρκ. β'.
σοῦς τῷ πνεύματι αὐτοῦ, ὅτι οὕ- 8.
τω διαλογίζονται ἐν ἑαυτοῖς. Διὰ τούτου δὲ ἐφανέρωσεν ὁ θεῖος Μάρκος, ὅτι ὁ Ἰησοῦς Χριστὸς οὐκ ἦν ἄνθρωπος μόνον ἅγιος, καὶ χάριτος Θεοῦ ἠξιωμένος, ἀλλὰ Υἱὸς Θεοῦ, καὶ Θεὸς ἀληθινὸς

νὸς καὶ ἄνθρωπος· διότι τὸ μὲν προορατικὸν καὶ διορατικὸν χάρισμα ἔλαβον καὶ οἱ Προφῆται, καὶ πολλοὶ τῶν ἁγίων, οἵτινες καὶ τὰ μέλλοντα ἔβλεπον, καὶ τοὺς διαλογισμοὺς τῶν ἀνθρώπων ἐγνώριζον· πλὴν ἔβλεπον αὐτὰ οὐκ ἐν τῷ πνεύματι αὐτῶν, ἀλλὰ διὰ τῆς χάριτος τοῦ ἁγίου Πνεύματος, τῆς φωτιζούσης τὸν νοῦν αὐτῶν· ὁ δὲ Ἰησοῦς Χριστὸς οὐ διὰ τῆς χάριτος τοῦ Πνεύματος, ἀλλὰ δι' αὐτοῦ τοῦ ἁγίου Πνεύματος, τοῦ ἐν
Κολ. β'. 9. αὐτῷ καὶ σὺν αὐτῷ· ἐπειδὴ γὰρ ἐν αὐτῷ κατοικεῖ πᾶν τὸ πλήρωμα τῆς Θεότητος σωματικῶς, ἀχώριστος δὲ τοῦ Πατρὸς καὶ τοῦ ἁγίου Πνεύματος ὁ Υἱὸς καὶ Λόγος τοῦ Θεοῦ, διὰ τοῦτο ἐγνώρισε τοὺς διαλογισμοὺς τῶν Γραμματέων, οὐ διὰ τῆς χάριτος καὶ ἐνεργείας τοῦ παναγίου Πνεύματος, ἀλλὰ δι' αὐτοῦ τοῦ παναγίου Πνεύματος, τοῦ ἀδιαιρέτου καὶ ἀχωρίστου ἀπὸ τῆς μιᾶς Θεότητος.

Ἐπειδὴ δὲ τὰ λοιπά, ὅσα περὶ τῆς ἱστορίας τοῦ Παραλυτικοῦ διηγεῖται ὁ ἱερὸς Μάρκος, τὰ αὐτά εἰσι τοῖς τοῦ ἁγίου Ματθαίου· ταῦτα δὲ διηρμηνεύθησαν εἰς τὸ τῆς ἕκτης Κυριακῆς Εὐαγγέλιον τὸ ἐκ τοῦ κατὰ Ματθαῖον· διὰ τοῦτο ἐγκαταλιμπάνομεν αὐτά, ἵνα ἀφιερώσωμεν τὸν λόγον εἰς τῆς μετακομιδῆς τοῦ Παραλύτου τὴν ὑπόθεσιν, τὴν σιωπηθεῖσαν μὲν ὑπὸ τοῦ Ματθαίου διὰ τὸ σύντομον, περιγραφεῖσαν δὲ ὑπὸ τοῦ Μάρκου, διὰ τὴν ἐξ αὐτῆς ἀναπηγάζουσαν ὠφέλειαν.

# ΟΜΙΛΙΑ

ΜΕΤΑ ΤΟ ΚΑΤΑ

# ΜΑΡΚΟΝ

## ΕΥΑΓΓΕΛΙΟΝ ΤΗΣ ΔΕΥΤΕΡΑΣ ΚΥΡΙΑΚΗΣ ΤΩΝ ΝΗΣΤΕΙΩΝ.

Παντεπόπτης ὢν ὁ θεάνθρωπος Ἰησοῦς, βλέπει οὐ μόνον πάντα τὰ φανερὰ καὶ κρυπτὰ πράγματα, ἀλλὰ καὶ αὐτοὺς τοὺς ἀποκρύφους διαλογισμοὺς τῶν καρδιῶν. Ἐὰν βλέπῃ τί διαλογίζεται ὁ νοῦς τῶν Γραμματέων, πολλῷ μᾶλλον βλέπει τί πράττουσιν οἱ φέροντες πρὸς αὐτὸν τὸν Παράλυτον. Αὐτοί, βαστάζοντες τὴν κλίνην, ἐν ᾗ αὐτὸς κατέκειτο, ἦλθον εἰς τὴν θύραν τοῦ οἴκου, ὅπου ὁ Ἰησοῦς ἐδίδασκε· μὴ δυνηθέντες δέ, διὰ τὸ ἐκεῖ πλῆθος τοῦ λαοῦ, οὐδὲ δι' ἐκείνης τῆς θύρας, οὐδὲ δι' ἄλλης εἰσελθεῖν εἰς τὸν οἶκον, καὶ παραστῆσαι τὸν Παράλυτον ἐνώπιον τοῦ Κυρίου Ἰη-
Λουκ. ε'. 19. σοῦ, ἀνέβησαν ἐπάνω εἰς τὸ δῶμα· Καὶ μὴ εὑρόντες, λέγει ὁ θεηγόρος Λουκᾶς, διὰ ποίας εἰσενέγκωσιν αὐτόν, διὰ τὸν ὄχλον, ἀναβάντες ἐπὶ τὸ δῶμα, διὰ τῶν κεράμων καθῆκαν αὐτὸν σὺν τῷ κλινιδίῳ εἰς τὸ μέσον ἔμπροσθεν τοῦ Ἰησοῦ. Φανερὸν οὖν, ὅτι καὶ κλίμακες, καὶ σχοινία, καὶ ξύλα, καὶ κτύποι ἐγένοντο, καὶ ἄλλα ὅσα ἀναγκαῖά εἰσι, ἵνα ἀναβιβάσωσιν ἐπὶ τὸ δῶμα τὴν κλίνην, ὅπου ἔκειτο ὁ Παράλυτος. Τίς δὲ ἀμφιβάλλει, ὅτι ταῦτα πάντα καὶ ἔβλεπε καὶ ἤκουεν ὁ Ἰησοῦς, ὁ καὶ τὰς κρυπτὰς ἐνθυμήσεις τῶν ἀνθρώπων βλέπων καὶ γινώσκων; καὶ ὅμως αὐτὸς ἐσιώπα. Ἀναβαίνουσι τέλος πάντων ἐπὶ τοῦ δώ-

ματος, ἀποστεγάζουσι τὴν σκέπην τοῦ οἴκου, καὶ καταβιβάζουσι τὸν κράββατον· ὅθεν γίνονται πάλιν ἰσχυρότεροι κτύποι, καὶ ἀκούονται κραυγαὶ, ὅσαι ἀκούονται, ὅταν οἱ ἄνθρωποι καταβιβάζωσιν ἀφ' ὑψηλοῦ τόπου μέγα βάρος. Ὁ Ἰησοῦς Χριστὸς βλέπει ἀναμφιβόλως καὶ ἀκούει ταῦτα πάντα, πλὴν σιωπᾷ· τότε μόνον ἤνοιξε τὸ στόμα αὐτοῦ, καὶ ἐλάλησεν, ὅτε εἶδε τὸν Παράλυτον ἐνώπιον αὐτοῦ ἐν τῷ κραββάτῳ αὐτοῦ κα-
Μάρκ. β'. 5, 11. τακείμενον· τότε μόνον ἐξεφώνησε, Τέκνον, ἀφέωνταί σοι αἱ ἁμαρτίαι σου, ἔπειτα καὶ τὸ, Σοὶ λέγω, ἔγειραι, καὶ ἆρον τὸν κράββατόν σου, καὶ ὕπαγε εἰς τὸν οἶκόν σου. Ἀλλ' ἄρά γε οὐκ ἠδύνατο αὐτὸς ὁ τὰ πάντα γινώσκων, καὶ τὰ πάντα δυνάμενος, νὰ ἐκφωνήσῃ ταῦτα τὰ λόγια εὐθὺς ὅτε εἶδε τοὺς βαστάζοντας τὸν Παράλυτον, ἐλθόντας μὲν εἰς τὴν θύραν τοῦ οἴκου, ἀγωνιζομένους δὲ δι' αὐτῆς εἰσελθεῖν, μὴ δυνηθέντας δὲ διὰ τὸν ὄχλον; αὐτὸς οὐ μόνον ἔβλεπεν ὅσα ἔπραττον οἱ τὸν Παράλυτον βαστάζοντες, ἀλλὰ καὶ τὴν πίστιν αὐτῶν τε καὶ τοῦ Παραλύτου ἐγνώριζε· διατί λοιπὸν ἠθέλησεν, ἵνα πρῶτον καὶ ὁ Παράλυτος ὑπομείνῃ τοσαύτην ταλαιπωρίαν, καὶ οἱ τοῦτον βαστάζοντες τοσούτους κόπους, καὶ ἔπειτα νὰ δείξῃ τὸ ἔλεος, καὶ τὸ ἐξαίσιον αὐτοῦ θαυμάσιον;

Τοῦτο, ἀδελφοί μου Χριστιανοὶ, ἐστὶ μάθημα ἅγιον, πολλῆς ψυχικῆς καὶ σωματικῆς ὠφελείας πρόξενον. Διὰ τούτου διδάσκει ἡμᾶς ὁ Θεάνθρωπος, ὅτι τότε αὐτὸς ἐκπληροῖ τὰ ζητήματα ἡμῶν, καὶ προφθάνει τὰς χρείας ἡμῶν καὶ ἀνάγκας, ὅταν ἡμεῖς πρῶτον ποιήσωμεν ὅσα δυνάμεθα. Τοῦ Παραλύτου τὸ παράδειγμα ἀρκετὰ ἐφανέρωσεν, ὅτι ὁ Θεὸς ἠθέλησεν, ἵνα πρῶτον πράξῃ ὁ Παράλυτος ὅσα ἐδύνατο, ἔπειτα αὐτὸς νὰ ἐπιχορηγήσῃ εἰς αὐτὸν καὶ τὴν ἄφεσιν τῶν ἁμαρτιῶν, καὶ τὴν ὑγείαν τοῦ σώματος. Ἐὰν δὲ ἐξετάσῃς τὰς θείας Γραφὰς, πολλὰ εὑρίσκεις παραδείγματα, τοῦτο αὐτὸ ἐπιβεβαιοῦντα· ἓν ὅμως μεταξὺ τῶν ἄλλων τόσον φανερὰ ἀποδείκνυσι τῆς ὑποθέσεως ταύτης τὴν ἀλήθειαν, ὥστε μακρὰν διώκει πᾶσαν ἀμφιβολίαν, καὶ ἐντελῶς πείθει τὸν νοῦν παντὸς ἀνθρώπου.

Ὅταν ὁ Ἀπόστολος Παῦλος ὑπὸ Φήστου τοῦ ἡγεμόνος παρεδόθη δέσμιος εἰς Ἰούλιον τὸν ἑκατοντάρχην, ἵνα, ὑπ' αὐτοῦ τηρούμενος, διέλθῃ ἀπὸ τῆς Καισαρείας εἰς τὴν Ῥώμην, καὶ παρασταθῇ εἰς τὸ κριτήριον τοῦ Καίσαρος, τότε ἔπνευσαν ἄνεμοι εἰς τὴν θάλασσαν τοσοῦτον ἐναντίοι καὶ σφοδροὶ, καὶ χειμὼν ἠγέρθη τοσοῦτον σκοτεινὸς καὶ ταραχώδης, ὥστε, ἀπελπισθέντες πάντες οἱ σὺν τῷ Παύλῳ πλέοντες, ἔμειναν πολλὰς ἡμέρας νήστεις. Ὁ οὖν Παῦλος, σταθεὶς εἰς τὸ μέσον αὐτῶν, ἐνουθέτησεν αὐτοὺς, καὶ ἐθάρρυνεν· Εὐκάρδιοι γίνεσθε, εἶπε, καὶ μὴ λυπεῖσθε, οὐδεὶς καταποντισθήσεται, πάντες ὑμεῖς σωθήσεσθε, μόνον δὲ τὸ πλοῖον ἀπολεσθήσεται· Καὶ τὰ νῦν παραινῶ ὑμᾶς Πράξ. κζ'. 22.
εὐθυμεῖν· ἀποβολὴ γὰρ ψυχῆς οὐδεμία ἔσται ἐξ ὑμῶν, πλὴν τοῦ πλοίου· ἐπιβεβαιοῖ δὲ τὸν λόγον αὐτοῦ, λέγων· Ἄγγελος τοῦ Θεοῦ, τοῦ ὁποίου ἐγώ εἰμι δοῦλος καὶ λάτρης, παρεστάθη εἰς ἐμὲ ταύτην τὴν νύκτα, καὶ εἶπέ μοι· Παῦλε, μὴ φοβοῦ, παρασταθῆναι μέλλεις ἐνώπιον τοῦ Καίσαρος· ὁ δὲ Θεὸς ἐχάρισέ σοι πάντας τοὺς μετὰ σοῦ πλέοντας· Παρέστη γάρ μοι τῇ Αὐτόθι. 23, 24.
νυκτὶ ταύτῃ Ἄγγελος τοῦ Θεοῦ, οὗ εἰμὶ, ᾧ καὶ λατρεύω, λέγων· Μὴ φοβοῦ Παῦλε· Καίσαρί σε δεῖ παραστῆναι· καὶ ἰδοὺ κεχάρισταί σοι ὁ Θεὸς πάντας τοὺς πλέοντας

με-

μετὰ σοῦ· διὰ τοῦτο, λέγει, λάβετε θάῤῥος, ἐπειδὴ ἐγὼ πιστεύω εἰς τὸν Θεὸν, ὅτι ὅσα αὐτὸς ἐφανέρωσέ μοι, ἐκπληρωθήσονται· πρέπει δὲ νὰ ἐκπέσω-
Πράξ. κζ΄. 25, 26. μεν εἰς μίαν τῶν νήσων· Διὸ εὐθυμεῖτε, ἄνδρες· πιστεύω γὰρ τῷ Θεῷ, ὅτι οὕτως ἔσται καθ' ὃν τρόπον λελάληταί μοι. Εἰς νῆσον δέ τινα δεῖ ἡμᾶς ἐκπεσεῖν. Μετὰ δέ τινας ἡμέρας, ἰδόντες οἱ ναῦται γῆν, καὶ θέλοντες διασῶσαι ἑαυτοὺς ἀπὸ τοῦ κινδύνου, ἔῤῥιψαν τὴν σκάφην εἰς τὴν θάλασσαν, ἵνα, εἰσελθόντες ἐν αὐτῇ, φύγωσιν ἐκ τοῦ πλοίου· τοῦτο δὲ ἰδὼν ὁ Παῦλος, εἶπεν εὐθὺς ἀνυποστόλως πρὸς τὸν Ἑκατόνταρχον καὶ τοὺς στρατιώτας· Ἐὰν οἱ ναῦται μὴ μείνωσιν ἐν τῷ πλοίῳ,
Αὐτόθι. 31. ὑμεῖς οὐ δύνασθε σωθῆναι· Εἶπεν ὁ Παῦλος τῷ Ἑκατοντάρχῃ καὶ τοῖς στρατιώταις· Ἐὰν μὴ οὗτοι μείνωσιν ἐν τῷ πλοίῳ, ὑμεῖς σωθῆναι οὐ δύνασθε. Τοῦτό ἐστι πρᾶγμα παράδοξον· ὁ Θεὸς εἶπεν εἰς τὸν Παῦλον, ὅτι ἐχαρίσατο εἰς αὐτὸν πάντας τοὺς μετ' αὐτοῦ πλέοντας, καὶ ὑπεσχέθη αὐτῷ, ὅτι οὐδεὶς τῶν μετ' αὐτοῦ ἀπολεσθήσεται. Ὁ Παῦλος ἐπίστευσεν εἰς τὰ λόγια τοῦ Θεοῦ· Πιστεύω γὰρ, εἶπε, τῷ Θεῷ, ὅτι οὕτως ἔσται καθ' ὃν τρόπον λελάληταί μοι· οὐ μόνον δὲ ἐπίστευσεν εἰς τὰς ὑποσχέσεις τοῦ Θεοῦ, ἀλλὰ καὶ ἐκήρυξεν αὐτὰς ἐνώπιον πάντων τῶν ἐν τῷ πλοίῳ, οἵτι-
Αὐτόθι. 37. νες ἦσαν ψυχαὶ διακόσιαι ἑβδομήκοντα ἕξ· ἔπειτα κρεμᾷ τὴν σωτηρίαν ἐκείνων τῶν ἀνθρώπων, οὐχὶ εἰς ὅσα εἶπε, καὶ ὑπεσχέθη εἰς αὐτὸν ὁ Θεὸς, ἀλλ' εἰς τὴν ὑπηρεσίαν καὶ βοήθειαν τῶν ναυτῶν· Ἐὰν, λέγει, λείψῃ τῶν ναυτῶν ἡ βοήθεια, ἐὰν οἱ ναῦται φύγωσιν, ὑμεῖς οὐ δύνασθε σωθῆναι· Ἐὰν μὴ οὗτοι μείνωσιν ἐν τῷ πλοίῳ, ὑμεῖς σωθῆναι οὐ δύνασθε. Εἶχεν ἄρά γε χρείαν ὁ παντοδύναμος Θεὸς τῆς βοηθείας τριάκοντα ἢ τεσσαράκοντα ναυτῶν, ἵνα διασώσῃ τοὺς ἐν τῷ πλοίῳ ἐκείνῳ; τοῦτό ἐστιν ἄτοπον, καὶ ἄπρεπον τῷ Θεῷ. Οὐδὲν ἄλλο, ἀδελφοὶ, διὰ τούτου ἐφανέρωσεν εἰς ἡμᾶς ὁ Θεὸς, εἰμὴ ἐκεῖνο, ὅπερ ἐφανέρωσε, καὶ ὅταν ἰάτρευσε τὸν Παράλυτον, ἤγουν τὸ, ὅτι, ἐπειδὰν ἡμεῖς πράξωμεν ὅσα δυνάμεθα, τότε αὐτὸς ἐκτείνει τὴν παντοδύναμον χεῖρα τῆς βοηθείας αὐτοῦ, καὶ διασώζει ἡμᾶς.

Ἀλλὰ διατί ὁ Θεὸς, οὐ μόνον διὰ τὴν σωματικὴν βοήθειαν, ἀλλὰ καὶ διὰ τὴν σωτηρίαν τῆς ψυχῆς τῶν ἀνθρώπων, ζητεῖ τὰ ἔργα αὐτῶν; τί ἐστιν ἡ δύναμις τῆς χειρὸς ὀλίγων, ἢ καὶ χιλιάδων ναυτῶν, πρὸς τὴν ἄπειρον τοῦ Θεοῦ δύναμιν; ποίαν ἀναλογίαν ἔχει ἡ ὀλίγη ταλαιπωρία τοῦ Παραλύτου, καὶ ὁ βραχὺς κόπος τῶν βασταζόντων αὐτὸν, πρὸς τὸ χάρισμα τῆς ἀφέσεως τῶν ἁμαρτιῶν, καὶ τῆς σωματικῆς αὐτοῦ ἰατρείας; ποῖον βάρος ἔχουσι, καὶ ποίου λόγου ἄξιά εἰσι τὰ ἔργα ἡμῶν; τὰ πρὸς τὸν Θεὸν χρέη τοῦ ἀνθρώπου εἰσὶν ἄμετρα, καὶ ἀνεκπλήρωτα.

Ὁ Θεός ἐστιν ὁ πλάστης ἡμῶν· ἰδοὺ χρέος πρῶτον, τὸ χρέος δηλαδὴ τῆς ἀγάπης· ἐπειδὴ ἔπλασεν ἡμᾶς, χρέος ἔχομεν, ἵνα ἀγαπῶμεν αὐτὸν ἐξ ὅλης ψυχῆς καὶ καρδίας, καὶ ἰσχύος καὶ διανοίας. Ὁ Θεὸς ἐστὶ Βασιλεὺς καὶ Δεσπότης πάντων τῶν ἀνθρώπων, καὶ πάσης τῆς ὁρατῆς καὶ ἀοράτου κτίσεως· ἰδοὺ χρέος δεύτερον, τὸ χρέος τῆς ὑπακοῆς, τὴν ὁποίαν χρεωστεῖ πᾶς ὑπήκοος πρὸς τὸν Βασιλέα, καὶ πᾶς δοῦλος πρὸς τὸν δεσπότην αὐτοῦ. Ὁ Θεὸς ἐστὶ πατὴρ ἡμῶν· ἰδοὺ τρίτον χρέος, ἤγουν τὸ χρέος τῆς τιμῆς, τὴν ὁποίαν χρεωστεῖ πᾶς υἱὸς πρὸς τὸν πατέρα αὐτοῦ. Ὁ Θεὸς ἐστὶ κριτὴς, ὅστις μέλλει κρῖναι

πάν-

πάντα τὰ ἔργα ἡμῶν· ἰδοὺ χρέος τέ-
ταρτον, τὸ χρέος τοῦ φόβου, τὸ ὁποῖον
ἔχει πᾶς κρινόμενος πρὸς τὸν κριτὴν αὐ-
τοῦ. Ὁ Θεὸς ἐστὶν εὐεργέτης· ὁ ἥλιος,
ὅστις ἡμᾶς φωτίζει, ὁ ἀὴρ, ὃν ἀναπνέο-
μεν, τὸ ὕδωρ, ὅπερ πίνομεν, ἡ γῆ, εἰς
τὴν ὁποίαν πατοῦμεν, ἡ ζωὴ, ἡ ὑγεία,
ἡ τροφὴ, πάντα ὅσα ἔχομεν, τοῦ Θεοῦ
εἰσίν· ὁ Θεὸς δίδωσιν αὐτὰ εἰς τοὺς ἀν-
θρώπους· ἰδοὺ χρέος πέμπτον, τὸ χρέος
τῆς εὐχαριστίας, τὴν ὁποίαν χρεωστεῖ ὁ
εὐεργετούμενος πρὸς τὸν εὐεργέτην αὐ-
τοῦ. Ὁ Θεὸς ἐστὶν ὁ Σωτὴρ ἡμῶν· αὐ-
Ἰωάν. γ'. 16. τὸς οὕτως ἠγάπησε τὸν κόσμον,
ὥστε τὸν Υἱὸν αὐτοῦ τὸν μονογε-
νῆ ἔδωκεν, ἵνα πᾶς ὁ πιστεύων
εἰς αὐτὸν μὴ ἀπόληται, ἀλλ' ἔχῃ
ζωὴν αἰώνιον· αὐτὸς δι' ἡμᾶς τοὺς
ἀνθρώπους ἐγένετο ἄνθρωπος, διὰ τὴν
ἡμετέραν σωτηρίαν ὑπέμεινε πάθος ἐπο-
νείδιστον, ἐξουδένωσιν σταυρώσεως, θά-
Ματ. κε'. 34. νατον ἐπώδυνον· αὐτὸς ἀπὸ καταβο-
λῆς κόσμου ἡτοίμασεν εἰς ἡμᾶς βασι-
λείαν, τῆς ὁποίας ἡ δόξα ἐστὶν ἀμάραν-
τος, ἡ χαρὰ ἀμετάβλητος, τὸ φῶς ἀνέ-
σπερον, τὰ ἀγαθὰ ἀνεκλάλητα, ἡ διάρ-
κεια αἰώνιος· ἰδοὺ χρέος ὑπέρτατον, ἀ-
σύγκριτον, ὑπερεξέχον πάντα ὅσα ὀνο-
μάζομεν χρέη· χρέος, τὸ ὁποῖον οὐδέ
ποτε δύναται ἐκπληρῶσαι ὁ ἄνθρωπος,
κἂν ζήσῃ ἀπεράντους αἰῶνας, κἂν κα-
τορθώσῃ πάσας τὰς θεωρητικὰς καὶ
πρακτικὰς ἀρετάς. Ἐκ τούτων κατανοοῦ-
μεν τὴν ἀλήθειαν τοῦ λόγου, ὃν εἶπεν ὁ
Λουκ. ιζ'. 10. Κύριος ἡμῶν Ἰησοῦς Χριστός· Ὅταν
ποιήσητε, εἶπε, πάντα τὰ διαταχ-
θέντα ὑμῖν, λέγετε· Ὅτι δοῦλοι
ἀχρεῖοί ἐσμεν· ὅτι ὃ ὠφείλομεν
ποιῆσαι, πεποιήκαμεν. Ὅ,τι κα-
λὸν καὶ ἂν πράξω, καὶ πάντα δὲ ἐὰν
πράξω ὅσα προστάττει ὁ Θεὸς, δοῦλος
ἀχρεῖός εἰμι, καὶ εὐτελὴς καὶ οὐτιδανός·
οὐδεμίαν χάριν ὑπὲρ τῶν ἔργων μου χρεω-
στεῖ μοι ὁ Θεός;· μήπως χρεωστεῖ χά-
ριν ὁ δεσπότης εἰς τὸν δοῦλον αὐτοῦ, ὅ-
ταν ποιῇ τὰ προστάγματα αὐτοῦ; Μὴ Λουκ. ιζ'. 9.
χάριν ἔχει τῷ δούλῳ ἐκείνῳ, ὅτι
ἐποίησε τὰ διαταχθέντα αὐτῷ;

Τὰ ἔργα τῶν ἀνθρώπων οὐδέ ποτε
εἰσὶ τέλεια· οὐδεμία ἀρετὴ ἀνθρώπινος
ἔχει τὴν πρέπουσαν τελειότητα, ἀλλ' ἐ-
στὶ πάντοτε ἀτελής· ἀτελὴς, ἢ ἐπειδὴ
οὐκ ἐπιμένομεν στερεοὶ ἕως τέλους, διό-
τι σήμερον σωφρονοῦμεν, καὶ αὔριον πί-
πτομεν εἰς τῆς ἀσελγείας τὴν ἁμαρτίαν·
σήμερον ἐσμὲν πρᾶοι, αὔριον γινόμεθα
θυμώδεις· σήμερον ἐλεοῦμεν, αὔριον ἁρ-
πάζομεν· ἢ ἀτελὴς, ἐπειδὴ μιαίνομεν αὐ-
τὴν διὰ τῆς κακίας· νηστεύω, ἀλλὰ κα-
τακρίνω τὸν ἀδελφόν μου· προσεύχομαι,
ἀλλ' ὁ νοῦς μου συλλογίζεται αἰσχροὺς
λογισμούς· ποιῶ ἐλεημοσύνας, ἀλλ' ἵνα
δοξασθῶ ὑπὸ τῶν ἀνθρώπων· δικαίως
λοιπὸν ὁ προφήτης Ἡσαΐας εἶπεν· Ὡς Ἡσ. ξδ'. 6.
ῥάκος ἀποκαθημένης πᾶσα ἡ δι-
καιοσύνη ἡμῶν.

Ἡμεῖς εἰς τὴν κατόρθωσιν τῶν κα-
λῶν ἔργων πολλὰ ὀλίγον, καὶ σχεδὸν
οὐδὲν συνεισφέρομεν ἐκ μέρους ἡμῶν· ἡ-
μεῖς οὐδὲν καλὸν ἔργον δυνάμεθα ποιῆ-
σαι χωρὶς τῆς τοῦ Θεοῦ συνεργείας
καὶ βοηθείας· Χωρὶς ἐμοῦ, εἶπεν ὁ Ἰωάν. ιε'. 5.
Κύριος, οὐ δύνασθε ποιεῖν οὐδέν·
ὁ Θεός ἐστιν, ὅστις καὶ τὴν θέλησιν ἡ-
μῶν ζήλου πληροῖ καὶ προθυμίας εἰς
τὴν ἐργασίαν τῶν καλῶν ἔργων, καὶ δύ-
ναμιν ἐπιχορηγεῖ εἰς ἡμᾶς, καὶ ἀνδρείαν,
καὶ ὑπομονὴν, καὶ ὅσα ἀναγκαῖα εἰς τῆς
ἀρετῆς τὴν κατόρθωσιν· ἡμεῖς οὐδεμίαν
ἄλλην μετοχὴν ἔχομεν εἰς τοῦ καλοῦ ἔρ-
γου τὴν ἐργασίαν, εἰμὴ μίαν μόνην κλί-
σιν, μίαν ψιλὴν διάθεσιν εἰς τὸ ἀγα-
θὸν, καὶ καρδίαν ἁπαλὴν, εἰς τὴν ὁποίαν
ἐντυποῦνται τῆς θείας χάριτος οἱ φω-
τισμοί· Ὁ δὲ Θεός ἐστιν ὁ ἐνερ- Φιλιπ. β'. 13.
γῶν ἐν ὑμῖν, λέγει ὁ θεῖος Ἀπό-
στο-

στολος, καὶ τὸ θέλειν καὶ τὸ ἐνεργεῖν.

Ἐὰν στοχασθῇς πάσας τὰς ἀρετὰς, ὅσας κατώρθωσαν οἱ Προφῆται, οἱ Ἀπόστολοι, οἱ Μάρτυρες, οἱ Ὁμολογηταὶ, οἱ Ἱεράρχαι, οἱ Ἀσκηταὶ, πάντες οἱ ἀπ' αἰῶνος Ἅγιοι, καὶ ἔτι ὅσας κατορθῶσαι μέλλουσιν ἕως τῆς συντελείας τοῦ κόσμου οἱ δοῦλοι τοῦ Θεοῦ, συλλογισθῇς δὲ ὑποθετικῶς, ὅτι ἑκάστη τούτων τῶν ἀρετῶν ἐστιν ὑπερτελεία· πᾶσαι ὁμοῦ αἱ τοιαῦται ἀρεταὶ, ὡς πρὸς τὴν βασιλείαν, τὴν ἡτοιμασμένην εἰς τοὺς δικαίους, εἰσὶν ὡς τὸ οὐδὲν, εἰσὶν ὡς μία ῥανὶς ὕδατος πρὸς ὅλην τὴν θάλασσαν, καὶ τοὺς ποταμοὺς, καὶ τὰς λίμνας, καὶ πᾶν τὸ ὕδωρ τὸ ἐπὶ τῆς γῆς, καὶ ἔτι ἀσυγκρίτως περισσότερον· ἢ ὥσπερ εἷς κόκκος ἄμμου πρὸς πάντας τοὺς κόκκους τῆς ἄμμου, καὶ τοῦ χώματος, καὶ τοῦ κονιορτοῦ τῆς γῆς, καὶ ἔτι ἀσυγκρίτως περισσότερον· διότι ὅσοι καὶ ἂν ἦσαν οἱ ὑπὲρ τῶν τοιούτων ἀρετῶν κόποι, ἦσαν ὅμως πρόσκαιροι, καὶ τέλος ἔλαβον, τὸ δὲ ὑπὲρ τούτων βραβεῖον, ἤγουν ἡ μέλλουσα τοῦ Θεοῦ δόξα ἐστὶν αἰώνιος, καὶ οὐδέ ποτε ἔχει τέλος· δικαίως λοιπὸν ὁ οὐρανοβάμων
Ῥωμ. ή. 18. Παῦλος ἔλεγε· Λογίζομαι γὰρ, ὅτι οὐκ ἄξια τὰ παθήματα τοῦ νῦν καιροῦ πρὸς τὴν μέλλουσαν δόξαν ἀποκαλυφθῆναι εἰς ἡμᾶς.

Ἐὰν λοιπὸν τὰ ἔργα ἡμῶν, καὶ καθότι χρεωστοῦνται εἰς τὸν Θεὸν, καὶ καθότι εἰσὶν ἀτελῆ, καὶ καθότι ὀλίγην μετοχὴν ἔχομεν εἰς τὴν τούτων ἐργασίαν, καὶ καθότι οὐκ εἰσὶν ἄξια πρὸς τὴν μέλλουσαν δόξαν, εἰσὶ πολλὰ εὐτελῆ, διατί ζητεῖ αὐτὰ ὁ Θεὸς παρ' ἡμῶν, ὅταν θέλῃ, ἵνα εὐεργετήσῃ εὐεργεσίαν πρόσκαιρον, ἢ ἵνα ἐπιδαψιλεύσῃ σωτηρίαν αἰώνιον; διατί ἐδίδαξεν, ὅτι ἀνταμείβει καθένα κατὰ τὰ ἔργα αὐτοῦ;

Ὃς ἀποδώσει ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ· διατί τόση τιμὴ, τόση ἐξαίρεσις, καὶ τοσαύτη καὶ τοιαύτη ἀνταπόδοσις διὰ ἔργα τόσον εὐτελῆ καὶ μικροπρεπῆ; Ῥωμ. β. 6. Διότι ὁ Θεὸς ἐστὶ δίκαιος, ἅμα δὲ καὶ ἐλεήμων· καὶ καθὸ μὲν δίκαιος, ζητεῖ παρ' ἡμῶν ἐκεῖνο, ὅπερ δυνάμεθα ποιῆσαι, καθὸ δὲ ἐλεήμων, κἂν ὀλίγον, κἂν μικρὸν, κἂν οὐτιδανὸν τὸ ἔργον ἡμῶν, δέχεται τοῦτο ὡς μέγα καὶ πολὺ, καὶ λογίζεται αὐτὸ ἄξιον τῶν ἀπείρων αὐτοῦ εὐεργεσιῶν καὶ ἀνταποδόσεων· καθὸ μὲν ἐλεήμων οὐδὲ τὴν τιμὴν, οὐδὲ τὸ βάρος τοῦ ἔργου ἡμῶν βλέπει, καθὸ δὲ δίκαιος, ζητεῖ τοῦτο, καὶ χωρὶς τούτου οὐδὲ εὐεργετεῖ, οὐδὲ σώζει.

Εὐεργέτησεν ἀληθῶς ὁ Θεάνθρωπος τὴν Χαναναίαν, εἶπεν εἰς αὐτὴν, Γεννηθήτω σοι ὡς θέλεις, ἰάτρευσε Ματ. ιέ. 28.
τὴν θυγατέρα αὐτῆς, ἀλλ' αὐτὴ πρῶτον ἔτρεξεν εἰς συνάντησιν τοῦ Ἰησοῦ Χριστοῦ, εἶτα ἔκραζεν ὄπισθεν αὐτοῦ· Ἐλέησόν με, Κύριε, Υἱὲ Δαβίδ· Αὐτόθι. 22.
ἔπειτα ἦλθεν ἐνώπιον αὐτοῦ, καὶ προσκυνήσασα αὐτὸν, ἐβόησε μεγάλῃ τῇ φωνῇ, Κύριε, βοήθει μοι· μετὰ ταῦτα, Αὐτόθι. 25.
κἂν παρωμοιώθη τοῖς κυναρίοις, ὑπέφερε μετὰ χαρᾶς τὸν ὀνειδισμόν· ἑνὶ λόγῳ, πρῶτον ἐποίησεν ὅσα ἐδυνήθη, ἔπειτα ἔλαβεν ὅπερ ἐπόθει. Ἔδωκεν ἀληθῶς τὸ φῶς εἰς τὸν ἐκ γενετῆς τυφλὸν, ἀλλὰ πρὸ τῆς ἰατρείας προηγήθη ἡ πίστις καὶ ἡ ὑπακοὴ τοῦ Τυφλοῦ, διότι ὡς ἤκουσεν αὐτὸς τὸ, Ὕπαγε, Ἰωάν. θ'. 7.
νίψαι εἰς τοῦ Σιλωὰμ τὴν κολυμβήθραν, ἔτρεξε, κἂν τυφλὸς ἦν, καὶ ἀπελθὼν ἐνίψατο. Ἐκαθάρισεν ἀληθῶς τοὺς δέκα λεπροὺς, ἀλλὰ πρῶτον ἐκραύγασαν αὐτοὶ μεγαλοφώνως, Ἰησοῦ ἐπιστάτα, ἐλέησον ἡμᾶς, ἔπειτα, δείξαντες τὴν πίστιν καὶ τὴν ὑπακοὴν αὐτῶν, ἐπορεύθησαν πρὸς τοὺς ἱερεῖς, ἵνα Λουκ. ιζ'. 13.

δεί-

δείξωσι τὰ λελεπρωμένα αὐτῶν μέλη.
Ἀνέστησεν ἀληθῶς τὸν Λάζαρον ἐκ τῶν
νεκρῶν, ἀλλὰ πρῶτον ἡ μὲν Μάρθα ὡ-
μολόγησεν αὐτὸν Υἱὸν Θεοῦ, ἔπειτα ἡ
Μαρία ἔχυσε δάκρυα εἰς τοὺς πόδας αὐ-
τοῦ, μετὰ ταῦτα οἱ φίλοι τοῦ Λαζάρου,
Ἰωάν. ιά. ἦραν τὸν λίθον ἐκ τοῦ μνήματος.
41. Ἐδωρήσατο ἀληθῶς εἰς τὸν Λῃστὴν τὸν
παράδεισον, ἀλλὰ βλέπε πῶς καὶ αὐ-
τὸς ἐποίησε πρῶτον εἴτι ἐδυνήθη· ἐν τῷ
σταυρῷ κρεμάμενος, οὐδὲν μέλος εἶχεν
ἐλεύθερον, εἰμὴ μόνον τὴν γλῶσσαν· δι᾽
αὐτῆς οὖν πρῶτον ἐνουθέτησε τὸν πονη-
Λουκ. κγ΄. ρὸν Λῃστήν· Οὐδὲ φοβῇ σύ, εἶπε, τὸν
40. Θεόν, ὅτι ἐν τῷ αὐτῷ κρίματι εἶ;
ἔπειτα ἐξωμολογήθη, ὅτι διὰ τὰς ἁμαρ-
Αυτ. 41. τίας αὐτοῦ ἐστὶν ἄξιος θανάτου· Καὶ
ἡμεῖς μὲν δικαίως· ἄξια γὰρ ὧν
ἐπράξαμεν ἀπολαμβάνομεν· οὗ-
τος δὲ οὐδὲν ἄτοπον ἔπραξε· με-
Αυτ. 42. τὰ ταῦτα ἐβόησε λαμπρᾷ τῇ φωνῇ· Μνή-
σθητί μου, Κύριε, ὅταν ἔλθῃς ἐν
τῇ βασιλείᾳ σου· πρῶτον, λέγω, ἐ-
ποίησε ταῦτα πάντα, ἔπειτα ἔλαβε τὸν
παράδεισον.

Θέλει, ναί, ὁ Θεὸς τὴν σωτηρίαν
πάντων τῶν ἀνθρώπων, ἀλλὰ θέλει, ἵνα
πληρωθῇ πρῶτον ἡ δικαιοσύνη αὐτοῦ, ἔ-
πειτα ἐκχέῃ τὸ ἄπειρον ἔλεος αὐτοῦ.
Ἐὰν δὲ μὴ εὐαρεστήσωμεν τῇ δικαιοσύνῃ
αὐτοῦ, οὐ μόνον οὐκ ἐλεεῖ ἡμᾶς, ἀλλὰ
καὶ παιδεύει παίδευσιν αἰώνιον.

Τὸν εἰσελθόντα εἰς τὸν νυμφῶνα
χωρὶς τοῦ γάμου τὸ ἔνδυμα, ἤλεγξε, καὶ
Ματ. κβ΄. δεδεμένον ἐξέβαλεν εἰς τὸ σκότος τὸ
13. ἐξώτερον, ἐπειδὴ οὐκ ἐφρόντισεν, ἵνα
στολισθῇ ὡς ἔπρεπε. Πέντε παρθένοι
ἦλθον εἰς τοὺς γάμους, ἀλλ᾽ εὗρον κε-
κλεισμένην τῆς βασιλείας τὴν θύραν,
Αυτ. κέ. ἔκρουσαν, παρεκάλεσαν, Κύριε, Κύριε,
11. εἶπον, ἄνοιξον ἡμῖν· ἀλλ᾽ ὁ νυμφίος
αὐτῶν οὐκ ἤνοιξε τὴν θύραν, ἀλλ᾽ ἀπε-
κρίθη, ὅτι οὐ γνωρίζει αὐτάς, ἐπειδὴ ἐ-
νύσταξαν, καὶ οὐκ ἔβαλον ἔλαιον εἰς τὰς
λαμπάδας αὐτῶν. Ἔρχεται ὁ δοῦλος, ὁ
τὸ ἓν τάλαντον λαβών, ἐνώπιον τοῦ δε-
σπότου αὐτοῦ· Κύριε, λέγει, ἰδοὺ τὸ τά-
λαντόν σου, ἔχεις τὸ σόν· ὁ δὲ δεσπό- Ματ. κέ.
της αὐτοῦ, ἐπειδὴ ἐκεῖνος, ἀμελήσας, οὐκ 25.
ἐπολυπλασίασε τὸ δοθὲν αὐτῷ τάλαν-
τον, πρῶτον μὲν ὠνείδισεν αὐτόν, Πονη- Αυτ. 26.
ρὲ δοῦλε, εἶπε, καὶ ὀκνηρέ, εἶτα ὡς
δοῦλον ἀχρεῖον ἔβαλεν αὐτὸν ὅπου ἐστὶν
ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν Αυτ. 30.
ὀδόντων. Παραστήσονται ἐνώπιον τοῦ
θρόνου τῆς δόξης τοῦ Θεοῦ καὶ οἱ ἐλεή-
μονες καὶ οἱ ἀνελεήμονες· τότε οὖν αὐ-
τὸς τοὺς μὲν ἐλεήμονας, διὰ τὴν ἐλεημο-
σύνην αὐτῶν, βάλλει εἰς τὰ δεξιά, κη-
ρύττει ἐνώπιον πάσης τῆς κτίσεως, ὅτι
ἐλεήσαντες τοὺς πτωχούς, ἠλέησαν αὐ-
τόν, ὀνομάζει αὐτοὺς εὐλογημένους τοῦ
Πατρὸς αὐτοῦ, ἀνοίγει τὴν θύραν τῆς
βασιλείας, καὶ εἰσάγει αὐτοὺς ἐκεῖ· Δεῦ- Αυτ. 34.
τε, λέγει πρὸς αὐτούς, οἱ εὐλογημέ-
νοι τοῦ Πατρός μου, κληρονομή-
σατε τὴν ἡτοιμασμένην ὑμῖν βα-
σιλείαν ἀπὸ καταβολῆς κόσμου·
τοὺς δὲ ἀνελεήμονας, διὰ τὴν ἀσπλαγ-
χνίαν τῆς καρδίας αὐτῶν, βάλλει ἐς τὰ
ἀριστερά, ἐλέγχει αὐτοὺς ὡς μὴ σπλαγ-
χνισθέντας αὐτόν, ὀνομάζει αὐτοὺς κα-
τηραμένους, καὶ ἀποπέμπει εἰς τὸ πῦρ Αυτ. 41.
τὸ αἰώνιον, τὸ ἡτοιμασμένον τῷ
Διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐ-
τοῦ.

Ἀδελφοί μου λοιπὸν ἀγαπητοί, μὴ
ζητῶμεν τὰ ἀδύνατα καὶ ἄπρεπα. Ἡ-
μεῖς θέλομεν τὸν Θεὸν μόνον ἐλεήμονα·
τοῦτο δέ ἐστιν ἀδύνατον, ἐπειδὴ αὐτὸς
κατὰ φύσιν ὅσον ἐστὶν ἐλεήμων, ἄλλο
τόσον ἐστὶ καὶ δίκαιος· ἄπειρον ἔχει
τὸ ἔλεος, ἄπειρον ἔχει καὶ τὴν δικαιο-
σύνην. Ἄκουε τὸν Προφήτην αὐτοῦ πῶς
οὐ χωρίζει τὸ ἔλεος ἀπὸ τῆς δικαιοσύνης,
ἀλλ᾽ ὑμνολογῶν τὸ ἔλεος αὐτοῦ, συνδοξο-

λογεῖ ὁμοῦ καὶ τὴν αὐτοῦ δικαιοσύνην·
Ψαλ. ρ. Ἔλεον, λέγει, καὶ κρίσιν ᾄσομαί
1, 2. σοι, Κύριε· ψαλῶ, καὶ συνήσω ἐν ὁδῷ ἀμώμῳ. Ἡμεῖς ἐλπίζομεν, ὅτι, ὅταν εὑρισκώμεθα εἰς ἀνάγκας, λέγοντες ἓν μόνον Κύριε ἐλέησον, ἢ μίαν μόνην ψυχρὰν προσευχὴν, ὁ Θεὸς εὐθὺς, διὰ τὸ ἄπειρον αὐτοῦ ἔλεος, εἰσακούει τὴν δέησιν ἡμῶν, καὶ ἀπαλλάττει ἡμᾶς ἀπὸ τῶν θλιβερῶν περιστάσεων· οὐδόλως δὲ στοχαζόμεθα, ὅτι ὁ Θεὸς, δίκαιος ὢν, θέλει, ἵνα καὶ ἡμεῖς ποιήσωμεν εἴτι δυνάμεθα πρὸς τὴν ἀπόλαυσιν τοῦ ποθουμένου· ἐκ τούτου οὖν συμβαίνει τὸ, ὅτι ζητοῦμεν πολλάκις, καὶ οὐκ ἀπολαμβάνομεν, παρακαλοῦμεν, καὶ οὐκ εἰσακουόμεθα.

Ὅταν ἀσθενῇς, ἀφιέρωσον πᾶσαν τὴν ἐλπίδα τῆς ὑγείας σου εἰς τὸν Θεὸν, καὶ αὐτὸν παρακάλει μετὰ πάσης εὐλαβείας καὶ ταπεινοφροσύνης, πλὴν ποίησον καὶ τὸ εἴτι δύνασαι· κάλεσον τὸν ἰατρὸν, φύλαξον δίαιταν, πίε τὰ ἀντιφάρμακα, ἐπίθες τὰ ἔμπλαστρα. Ὁ Θεός ἐστι καὶ τῆς ἀσθενείας σου ὁ διώκτης, καὶ τῆς ὑγείας σου ὁ δοτὴρ, πλὴν τότε χαρίζεταί σοι καὶ τὴν ὑγείαν καὶ τὴν ζωὴν, ὅταν μετέλθῃς καὶ τὰ πρέποντα ἰατρικά. Τοῦτο ἐποίησεν ὁ Βασιλεὺς Ἐζεκίας· αὐτὸς παρὰ Θεοῦ ἤλπισε τὴν ἰατρείαν τῆς θανατηφόρου αὐτοῦ ἀσθενείας, καὶ παρ' αὐτοῦ μετὰ πολλῶν καὶ θερμῶν δακρύων ἐζήτησε καὶ τὴν ζωὴν καὶ τὴν ὑγείαν, πλὴν ἔτριψε καὶ τὴν παλάθην τῶν σύκων, καὶ ἐπέθηκε τὸ ἐξ αὐτῶν ἔμπλαστρον ἐπὶ τὸ ἀσθενὲς αὐτοῦ μέλος, κατὰ τὴν συμβουλὴν τοῦ προφήτου Ἡσαΐου, ὅστις εἶπε πρὸς
Ἡσ. λη. αὐτόν· Λάβε παλάθην σύκων, καὶ
21. τρίψον, καὶ κατάπλασαι, καὶ ὑγιὴς ἔσῃ. Βλέπεις, πῶς ὁ ἴδιος Θεὸς θέλει, ἵνα μετερχώμεθα εἰς τὰς ἀσθενείας ἡμῶν τὰ ἰατρικὰ, τὰ ὁποῖα αὐτὸς ἔπλασεν;

Ἐὰν ὑπάρχῃς πτωχὸς καὶ ἄπορος, παρὰ Θεοῦ ἔλπιζε τὴν παρηγορίαν τῆς πτωχείας σου, πλὴν μὴ σταυρώσῃς τὰς χεῖράς σου, μὴ μένῃς ἀργὸς καὶ ἀκίνητος, περιμένων, ἵνα οὐρανόθεν καταβῇ ἐπὶ σοὶ ἡ βοήθεια, ἀλλ' ἐργοχείρησον, ὑπηρέτησαι, ποίησον εἴτι δύνασαι, τότε δὲ ὁ Θεὸς ἀνοίγει σοι θύραν κυβερνήσεως, καὶ λύει τὴν πτωχείαν σου. Δύω γυναῖκες, πενθερὰ καὶ νύμφη, ἡ Νωεμὶν καὶ ἡ Ρούθ, ἦσαν πάμπτωχοι καὶ ἄποροι, παρὰ Θεοῦ δὲ ἤλπιζον παρηγορίαν τῆς ἀνάγκης αὐτῶν· ὅμως οὐκ ἐκάθησαν ἀργαὶ καὶ ὀκνηραὶ, ἀλλ' ἡ μὲν Ῥοὺθ εἶπε
πρὸς τὴν πενθερὰν αὐτῆς· Πορευθῶ Ῥούθ. β.
δὴ εἰς ἀγρὸν, καὶ συνάξω ἐν τοῖς 2.
στάχυσι κατόπισθεν οὗ ἐὰν εὕρω χάριν ἐν ὀφθαλμοῖς αὐτοῦ· ἡ δὲ Νωεμὶν ἔστερξε τοῦτο μετὰ χαρᾶς· Εἶπε δὲ αὐτῇ, Πορεύου θύγατερ. Ἦλθεν οὖν ἡ Ῥοὺθ εἰς τὸν ἀγρὸν τοῦ Βοὸζ, καὶ, ἀκολουθοῦσα ὀπίσω τῶν θε-
ριστῶν, ἐθέριζεν ἀπὸ πρωΐθεν καὶ Αὐτ. 7.
ἕως ἑσπέρας ἐκείνους τοὺς στάχυας, τοὺς ὁποίους οἱ θερισταὶ παραβλέποντες ἐγκατέλειπον· τότε οὖν ὁ Θεὸς ἐξέχεε τὸ ἔλεος αὐτοῦ ἐπ' αὐτὴν, τότε οὐ μόνον ἔλυσε τὴν πτωχείαν αὐτῆς τε καὶ τῆς πενθερᾶς αὐτῆς, ἀλλὰ κατέστησεν αὐτὴν σύζυγον τοῦ Βοὸζ, καὶ πρόγονον τοῦ Δαβίδ.

Ἀλλὰ κατὰ ταύτην, λέγεις, τὴν διδασκαλίαν, ὅταν ἡμεῖς οὐδὲν δυνάμεθα ποιῆσαι, τότε ἐγκαταλείπει ἡμᾶς ὁ Θεός. Οὐχί, τοῦτο οὐκ ἔστιν ἀληθινὸν, διότι ὁ Θεὸς, δίκαιος ὢν, οὐ ζητεῖ τὰ ἀδύνατα, ἀλλὰ τὰ δυνατά· ὅταν ἀληθῶς οὐδὲν δυνάμεθα ποιῆσαι, τότε καὶ ἡ δικαιοσύνη καὶ τὸ ἔλεος τοῦ Θεοῦ οὐκ ἐγκαταλείπουσιν ἡμᾶς, τότε δικαίως εὐσπλαγχνίζεται ὁ Θεὸς, καὶ ἐπιχορηγεῖ εἰς ἡμᾶς τὴν θείαν αὐτοῦ βοήθειαν. Ὁ μὲν Τωβὶτ, πλούσιος ὢν, ἐπτώχευσε, καὶ ἐτυ-

τυ-

τυφλώθη, ἡ δὲ γυνή αὐτοῦ Ἄννα ἔμεινε πτωχή, ἀλλ' ὑγιής· τὸν Τωβὶτ, ὅστις, τυφλὸς ὢν, οὐδὲν ἐδύνατο ποιῆσαι, ἔτρεφεν ὁ Ἀχιάχαρος, ὑπὸ Θεοῦ φωτισθείς· τὴν δὲ Ἄνναν, ἥτις ἐδύνατο ἐργοχειρεῖν, ξαίνουσα, καὶ ὑφαίνουσα ἔρια εἰς τὴν γυναικωνίτιδα αὐτῆς, ἔτρεφεν ὁ Θεὸς διὰ
Τωβίτ.β'. 10, 11, 12. τοῦ ἔργου τῶν χειρῶν αὐτῆς· *Ἀχιάχαρος δὲ, λέγει αὐτὸς ὁ Τωβὶτ, ἔτρεφέ με ἕως οὗ ἐπορεύθην εἰς τὴν Ἐλυμαΐδα. Καὶ ἡ γυνή μου Ἄννα ἠριθεύετο ἐν τοῖς γυναικείοις, καὶ ἀπέστελλε τοῖς κυρίοις. Καὶ ἀπέδωκαν αὐτῇ καὶ αὐτοὶ τὸν μισθὸν, προσδόντες καὶ ἔριφον.*

Θέλεις, ἵνα ἀπαλλαχθῇς ἀπὸ τῆς ἁμαρτίας, τῆς ὁποίας ἐκ νεότητός σου γέγονας δοῦλος; Πίστευσον ἐξ ὅλης ψυχῆς καὶ καρδίας σου, ὅτι, χωρὶς τῆς βοηθείας τοῦ Θεοῦ, καὶ τῆς δραστικῆς αὐτοῦ χάριτος, οὐ δύνασαι λυθῆναι τοῦ δεσμοῦ τῆς ἁμαρτίας· πλὴν μὴ μένῃς ἀργὸς καὶ ἀκίνητος, περιμένων, ἵνα οὐρανόθεν καταβῇ ἡ ἀπολύτρωσίς σου, ἀλλὰ νήστευσον, ἀγρύπνησον, προσεύχου πᾶσαν ὥραν, κακοπάθησον, πρὸ πάντων δὲ φεῦγε τὴν αἰτίαν τῆς ἁμαρτίας, τότε δὲ καὶ ἡ δικαιοσύνη καὶ τὸ ἔλεος τοῦ Θεοῦ ἐλευθεροῖ τὴν ψυχήν σου ἀπὸ τῆς αἰχμαλωσίας τοῦ Διαβόλου, καὶ ἁρπάζει σε ἀπὸ τοῦ στόματος τοῦ ᾅδου. Ἐπιθυμεῖς τὴν σωτηρίαν τῆς ψυχῆς σου; Παρὰ Θεοῦ ἔλπιζε αὐτήν· πίστευε ἀδιστάκτως, ὅτι αὐτός ἐστιν ὁ σωτὴρ τῶν ψυχῶν ἡμῶν, αὐτὸς μόνος δύναται σῶσαι ἡμᾶς, πλὴν μὴ μένῃ ἡ θέλησίς σου ἀργὴ καὶ στεῖρα, ἀλλ' ἔστω ἐργαστικὴ καὶ καρποφόρος· ἀγάπη, ταπείνωσις, πραότης, δικαιοσύνη, ἐγκράτεια, σωφροσύνη, ἀλήθεια, φυλακὴ πασῶν τῶν ἐντολῶν τοῦ Θεοῦ, ταῦτά εἰσι τὰ ἔργα, τὰ ὁποῖα ἐὰν καρποφορήσῃ ἡ θέλησίς σου, τότε καὶ ἡ δικαιοσύνη καὶ τὸ ἔλεος τοῦ Θεοῦ ἀνοίγουσί σοι τὴν θύραν τῆς ἐπουρανίου βασιλείας, ἵνα εἰσελθὼν ἀπολαύσῃς τῆς αἰωνίου δόξης καὶ μακαριότητος, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα, καὶ ἡ δικαιοσύνη, καὶ τὸ ἔλεος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

# ΕΡΜΗΝΕΙΑ

ΕΙΣ ΤΟ ΚΑΤΑ

# ΜΑΡΚΟΝ

## ΕΥΑΓΓΕΛΙΟΝ ΤΗΣ ΤΡΙΤΗΣ ΚΥΡΙΑΚΗΣ ΤΩΝ ΝΗΣΤΕΙΩΝ.

Ἡ ἀρχὴ παντὸς ἀγῶνος ἔχει δυσκολίαν μεγάλην, ἐπειδὴ παρίσταται ἐνώπιον τῶν ὀφθαλμῶν ἡμῶν ὅλος ὁ κόπος, ὅσος ἀναγκαῖός ἐστιν εἰς τὴν τούτου τελείωσιν· διὰ τοῦτο ἡ ἀρχὴ λογίζεται ὡς τὸ ἥμισυ τοῦ ὅλου ἔργου· Ἀρχὴ δέ τοι ἥμισυ τοῦ παντός. Εἰς τὸ μέσον τοῦ ἀγῶνος ὁ καταβληθεὶς κόπος φέρει ἀδυναμίαν, ἡ δὲ ἀδυναμία ποιεῖ τὸ λοιπὸν ἥμισυ δυσκολώτερον τῆς ἀρχῆς τοῦ ὅλου· εἰς δὲ τὸ τέλος τοῦ ἀγῶνος, κἂν διὰ τὴν αὔξησιν τῆς ἀδυναμίας ἡ δυσκολία αὐξάνῃ, ἐπειδὴ ὅμως βλέπομεν ἐγγὺς τοῦ ἔργου τὸ τέλος, ἡ χαρὰ καὶ τὴν ἀδυναμίαν διώκει, καὶ τὴν δυσκολίαν λύει. Ἐις τὸ μέσον λοιπὸν παντὸς κοπιαστικοῦ ἔργου ἀναφαίνεται τῆς δυσκολίας τὸ μέγεθος· ἐκ τούτου δὲ πολλοὶ περὶ τὸ μέσον τοῦ ἀγῶνος ἀτονοῦντες καὶ πίπτοντες, ἐγκαταλιμπάνουσιν ἀτελὲς τὸ ἔργον αὐτῶν. Ἡμεῖς, ὦ Χριστιανοὶ, ἐφθάσαμεν Θεοῦ χάριτι σχεδὸν εἰς αὐτὸ τὸ μέσον τοῦ τῆς νηστείας δρόμου, ὅπου καὶ ἡ ἀδυναμία ἡμᾶς περιεκύκλωσε, καὶ ἡ δυσκολία ηὔξησε· πλὴν θαρσεῖτε· ἰδοὺ δύω ἰσχυρὰ καὶ κραταιότατα βοηθήματα· τὸ ἓν τούτων ἐστὶν ὁ πανάγιος Σταυρὸς, τὸ ζωοδώρητον ξύλον, τοῦ κόσμου ἡ χαρὰ, τῶν πιστῶν ἡ δύναμις, τῶν δικαίων τὸ στήριγμα, τῶν ἁμαρτωλῶν ἡ ἐλπίς· διὰ τοῦτο σήμερον προβάλλει αὐτὸν ἡ ἁγία μήτηρ ἡμῶν, ἡ τοῦ Χριστοῦ Ἐκκλησία, ἵνα, εὐλαβῶς αὐτὸν ἀσπαζόμενοι, λάβωμεν χάριν καὶ δύναμιν πρὸς τελείωσιν τοῦ τῆς νηστείας θείου ἀγῶνος· τὸ δὲ ἕτερον βοήθημα ἐστὶν ἡ δεσποτικὴ φωνὴ τοῦ σημερινοῦ Ἐυαγγελίου, ἥτις προσκαλεῖ ἡμᾶς, ἵνα ἄρωμεν τὸν σταυρὸν ἡμῶν, καὶ ἀκολουθήσωμεν τῷ καλοῦντι Χριστῷ· διὰ τοῦτο δὲ σήμερον ἡ τοιαύτη φωνὴ ἐκηρύχθη, ἵνα ἐνστάξῃ εἰς τὰς καρδίας ἡμῶν τὴν δύναμιν τῆς θείας χάριτος, δι᾽ αὐτῆς δὲ προθύμως ἐκτελέσωμεν τὸ ἅγιον τῆς νηστείας στάδιον. Ἀλλὰ τὸ μὲν πανσέβαστον τοῦ Σταυροῦ ξύλον καθεὶς βλέπει, καὶ καθεὶς, μετὰ πίστεως καὶ εὐλαβείας ἀσπαζόμενος, λαμβάνει χάριν Θεοῦ καὶ δύναμιν· ἡ δὲ εὐαγγελικὴ φωνὴ χρείαν ἔχει ἐξηγήσεως, ἵνα καθεὶς, τὸ νόημα αὐτῆς κατανοήσας, λάβῃ τὸν φωτισμὸν τοῦ παναγίου Πνεύματος, καὶ τὴν θείαν τούτου δύναμιν. Καθὼς οὖν μετ᾽ εὐλαβείας ἀσπάζεσθε τὸν τίμιον Σταυρὸν, οὕτω μετὰ προσοχῆς ἀκούσατε τοῦ εὐαγγελικοῦ λόγου τὴν ἐξήγησιν.

Εἶπεν ὁ Κύριος· Ὅστις θέλει ὀπίσω μου ἀκολουθεῖν, ἀπαρνησάσθω ἑαυτὸν, καὶ ἀράτω τὸν σταυρὸν αὐτοῦ, καὶ ἀκολουθείτω μοι. Μάρκ. η. 34.

Ἀ-

Ἀκούεις θεϊκὴν σοφίαν, καὶ θαυμασιωτάτην μεγαλοπρέπειαν; Οὐδὲ ἀναγκάζει, κἂν ἔχῃ τὴν δύναμιν· οὐδὲ προστάττει, κἂν ἔχῃ τὴν ἐξουσίαν· ἀλλ᾽ ἀφεὶς εἰς τὸν καθένα τὸ αὐτεξούσιον αὐτοῦ ἐλεύθερον, προσκαλεῖ μόνον πάντας, ἐπειδὴ θέλει ὡς φιλάνθρωπος πάντων τὴν σωτηρίαν· Ὅστις, λέγει, ἐξ ἰδίας γνώμης καὶ προαιρέσεως θέλει, ἵνα ἀκολουθῇ ὀπίσω μου, ἤγουν ἵνα γένηται μαθητής μου, καὶ μιμηθῇ τὰ ἔργα μου, ἐκεῖνος ἀνάγκη ἐστὶν, ἵνα πράξῃ τρία τινά· ἵνα ἀρνηθῇ ἑαυτὸν, ἵνα ἄρῃ τὸν ἴδιον σταυρὸν αὐτοῦ, καὶ ἵνα ἀκολουθῇ ὀπίσω μου. Ἀλλὰ ποῖός ἐστιν οὗτος ὁ ἑαυτὸς ἡμῶν; καὶ ποῖός ἐστιν ὁ ἴδιος τοῦ καθενὸς σταυρός; Ὁ ἑαυτὸς ἡμῶν ἐστὶν ἐκεῖνος ὁ ὑπὸ τοῦ Ἀποστόλου
Ῥωμ. ϛʹ. 6. Παύλου ὀνομαζόμενος Παλαιὸς ἄνθρωπος· καὶ σῶμα δὲ τῆς ἁμαρτίας αὐτὸν ὀνομάζει ὁ αὐτὸς Παῦλος, ἐπειδὴ μετὰ τὴν παράβασιν τῶν πρωτοπλά-
Γεν. ηʹ. 21. στων ἔγκειται ἡ διάνοια τοῦ ἀνθρώπου ἐπιμελῶς ἐπὶ τὰ πονηρὰ ἐκ νεότητος αὐτοῦ. Τοῦτον οὖν τὸν παλαιὸν ἄνθρωπον τῆς ἁμαρτίας, λέγει, ὅτι πρέπον ἐστὶν, ἵνα ἀρνηθῶμεν. Ἀλλὰ πῶς δυνάμεθα τοῦτο ποιῆσαι; Κατὰ τὸν αὐτὸν τρόπον, καθ᾽ ὃν ἀρνούμεθα ἄλλον τινὰ ἄνθρωπον. Πῶς ἀρνεῖσαι τὸν φίλον σου, ἢ τὸν συγγενῆ σου; Ἀποστρεφόμενος αὐτὸν, καὶ φεύγων ἀπ᾽ αὐτοῦ, καὶ μισῶν πάντα τὰ ἔργα αὐτοῦ· τότε οὖν ἀρνούμεθα ἑαυτούς, ὅταν φεύγωμεν τὴν φιλίαν τῆς σαρκὸς, καὶ ἀποστρεφώμεθα πάσας τὰς πονηρὰς αὐτῆς πράξεις. Σταυρὸς δὲ ἴδιος τοῦ καθενὸς ἐστὶν ἡ νέκρωσις τῶν παθῶν καὶ τῶν πονηρῶν ἐπιθυμιῶν αὐτοῦ· τότε οὖν αἴρομεν τὸν σταυρὸν ἡμῶν, ὅταν νεκρώσωμεν τὰ πάθη ἡμῶν καὶ τὰς κακὰς
Γαλ. εʹ. 24. ἐπιθυμίας· Οἱ δὲ τοῦ Χριστοῦ, ἤγουν οἱ δοῦλοι τοῦ Ἰησοῦ Χριστοῦ, τὴν σάρκα ἐσταύρωσαν σὺν τοῖς παθήμασι καὶ ταῖς ἐπιθυμίαις. Ἐπειδὴ δὲ καὶ τὸ πάλαι τινὲς διὰ πολλῆς στενοχωρίας καὶ βασάνου κατεδάμαζον τῆς σαρκὸς τὰ πάθη, καὶ ἄχρι δὲ τῆς σήμερον πολλοὶ ἀσκηταὶ τοῦ γένους τῶν Ἰνδῶν τυραννικῶς διὰ διαφόρων τρόπων καταβασανίζουσι τὴν σάρκα, ὡς καὶ ἡμεῖς ἰδίοις ὀφθαλμοῖς αὐτοὺς εἴδομεν, ποιοῦσι δὲ ταῦτα οὐκ ἀκολουθοῦντες τῷ Χριστῷ, ἀλλὰ δουλεύοντες τὸ πάθος τῆς ἰδίας κενοδοξίας, καὶ τὴν πεπλανημένην αὐτῶν φαντασίαν, θέλοντες, ἵνα θαυμάζωνται καὶ ἐπαινῶνται ὑπὸ τῶν ἀνθρώπων· διὰ τοῦτο ὁ Κύριος εἶπεν οὐ μόνον τὸ, Ἀπαρνησάσθω ἑαυτὸν, καὶ ἀράτω τὸν σταυρὸν αὐτοῦ, ἀλλὰ προσέθηκε καὶ τὸ, Ἀκολουθείτω μοι. Ἰδοὺ δὲ συντόμως ὅλη ἡ ἔννοια τούτων τῶν εὐαγγελικῶν λόγων· Ὅστις θέλει γενέσθαι μαθητὴς τοῦ Ἰησοῦ Χριστοῦ, ἐκεῖνος πρέπον ἐστὶν, ἵνα ἀποστραφῇ καὶ μισήσῃ πᾶσαν ἁμαρτίαν, ἵνα νεκρώσῃ πάντα τὰ πάθη αὐτοῦ, καὶ πάσας τὰς πονηρὰς αὐτοῦ ἐπιθυμίας, καὶ ἵνα ἀκολουθήσῃ, ἤγουν μιμηθῇ τὰ ἔργα τοῦ Ἰησοῦ Χριστοῦ. Ἐφανέρωσε δὲ ὁ Θεάνθρωπος καὶ τὸ διατί ζητεῖ ταῦτα τὰ τρία ἔργα παρὰ τῶν μαθητῶν αὐτοῦ, εἰπών·

Ὃς γὰρ ἂν θέλῃ τὴν ψυχὴν Μάρκ. ηʹ. 35.
αὐτοῦ σῶσαι, ἀπολέσει αὐτήν· ὃς δ᾽ ἂν ἀπολέσῃ τὴν ψυχὴν αὐτοῦ ἕνεκεν ἐμοῦ καὶ τοῦ Εὐαγγελίου, οὗτος σώσει αὐτήν.

Ἡ ψυχὴ τοῦ ἀνθρώπου ἐστὶν ἀθάνατος· πῶς οὖν δύναται ὁ ἄνθρωπος

ἀπο-

ἀπολέσαι αὐτὴν δι' ἀγάπην τοῦ Ἰησοῦ Χριστοῦ καὶ τοῦ Εὐαγγελίου; πῶς δὲ διὰ τῆς τοιαύτης ἀπωλείας σώσει αὐτήν; Ψυχὴν ὧδε λέγει, οὐχὶ τὴν οὐσίαν τῆς ψυχῆς, ἀλλὰ τὰς πονηρὰς αὐτῆς ἐπιθυμίας· ὅστις οὖν ἀπολέσῃ τὰς κακὰς τῆς ψυχῆς αὐτοῦ ἐπιθυμίας, τὴν ὑπερηφάνειαν, τὸν φθόνον, τὸ μῖσος, τὴν ἀσπλαγχνίαν, καὶ τὰ λοιπὰ πάθη αὐτῆς, οὐχὶ διὰ ὑπόκρισιν, ἢ διὰ φιλοδοξίαν, ἀλλὰ δι' ἀγάπην τοῦ Ἰησοῦ Χριστοῦ, καὶ διὰ τὴν φυλακὴν τῶν ἐντολῶν τοῦ Εὐαγγελίου, ἐκεῖνος σώζει τὴν ψυχὴν αὐτοῦ εἰς τὴν αἰώνιον ζωήν, ἤγουν κληρονομεῖ τὴν αἰώνιον σωτηρίαν· ὅστις δὲ περιποιεῖται τὰς κακὰς τῆς ψυχῆς ἐπιθυμίας, ἐκεῖνος ἀπολεῖ τὴν ψυχὴν αὐτοῦ, ἤγουν παραδίδωσιν αὐτὴν εἰς τὴν ἀτελεύτητον κόλασιν. Ἔχει δὲ καὶ ἄλλο νόημα ὁ λόγος. Ψυχὴν ἡ θεία Γραφὴ ὀνομάζει καὶ τὸν ἑαυτὸν ἡμῶν· Ὁ φιλῶν τὴν ψυχὴν αὐτοῦ, λέγει ὁ εὐαγγελιστὴς Ἰωάννης, ἀπολέσει αὐτήν· καὶ ὁ μισῶν τὴν ψυχὴν αὐτοῦ ἐν τῷ κόσμῳ τούτῳ, εἰς ζωὴν αἰώνιον φυλάξει αὐτήν· εἰπὼν οὖν ὁ Κύριος ἀνωτέρω, Ἀπαρνησάσθω ἑαυτὸν, τοῦτο τὸ, ἑαυτὸν, ὠνόμασε ψυχήν· προσέθηκε δὲ τὸν λόγον, δι' ὃν πρέπον ἐστὶν, ἵνα ἀρνηθῇ ἑαυτὸν, ὅστις θέλει τὴν σωτηρίαν αὐτοῦ· Διότι, λέγει, ὅστις θέλει σῶσαι τὴν ψυχὴν αὐτοῦ, ἤγουν ὅστις θέλει σῶσαι ἑαυτὸν, ἐκεῖνος ἀπολεῖ ἑαυτόν· ὅστις δὲ ἀπολέσῃ ἑαυτὸν οὐχὶ διὰ ἰσχυρογνωμίαν, οὐδὲ διὰ τὴν πλάνην τῆς φαντασίας αὐτοῦ, ἀλλὰ διὰ ἀγάπην τοῦ Ἰησοῦ Χριστοῦ, καὶ διὰ τὰ εὐαγγελικὰ δόγματα, ἐκεῖνος σώζει ἑαυτὸν εἰς τὴν ζωὴν τὴν αἰώνιον. Βλέπομεν τοῦτο ἐκτετελεσμένον εἰς τὸν καιρὸν τῶν διωγμῶν τῆς χριστιανικῆς πίστεως. Ὅστις τότε ἀπώλεσεν ἑαυτὸν, ἤγουν παρέδωκε τὴν ζωὴν αὐτοῦ εἰς θάνατον, ἵνα μὴ ἀρνηθῇ τὸν Ἰησοῦν Χριστὸν, καὶ τὴν εὐαγγελικὴν ἀλήθειαν, ἐκεῖνος ἔσωσεν ἑαυτὸν, ἅγιος γενόμενος, καὶ εἰς τὸν χορὸν τῶν πανενδόξων Μαρτύρων συνταχθείς. Ὅστις δὲ ἔσωσεν ἑαυτὸν, ἤγουν ἐφύλαξε τὴν ζωὴν αὐτοῦ ἀπὸ τοῦ θανάτου, ἀρνητὴς γενόμενος τοῦ Ἰησοῦ Χριστοῦ, καὶ τοῦ Εὐαγγελίου, ἐκεῖνος ἀπώλεσεν ἑαυτὸν, ἀνάξιος γενόμενος τῆς οὐρανίου βασιλείας, καὶ μετὰ τῶν καταδίκων ἀποστατῶν συναριθμηθείς. Ἐπειδὴ δὲ, εἴτε τὴν νίκην νοήσῃς τῶν πονηρῶν τῆς ψυχῆς ἐπιθυμιῶν, εἴτε τὴν παράδοσιν τῆς ζωῆς εἰς θάνατον, ἔργον ἐστὶ δύσκολον, διὰ τοῦτο, ἐνισχύων ὁ Κύριος τοὺς ἀνθρώπους εἰς τὴν κατόρθωσιν τούτου τοῦ δυσκόλου ἔργου, ἐπάγει τὸν λόγον τὸν πείθοντα πάντας, λέγων·

(Ἰωάν. ιβ'. 25.)

Τί γὰρ ὠφελήσει ἄνθρωπον, ἐὰν κερδήσῃ τὸν κόσμον ὅλον, καὶ ζημιωθῇ τὴν ψυχὴν αὐτοῦ; (Μάρκ. ή. 36.)
Ἢ τί δώσει ἄνθρωπος ἀντάλλαγμα τῆς ψυχῆς αὐτοῦ; 37.

Ἐκέρδησας τοῦ Κροίσσου τὸ χρυσίον καὶ τοῦ Ἀλεξάνδρου τὰ κτήματα, ἀπήλαυσας τοῦ Σαρδαναπάλου τὰς τρυφὰς, ἐκέρδησας ὅλον τὸν κόσμον, ποία ἡ ὠφέλειά σου, ἐὰν, ἀρνησάμενος τὸν Ἰησοῦν Χριστὸν, ἢ καταφρονήσας τὰς ἐντολὰς αὐτοῦ, βλάψῃς τὴν ψυχήν σου; Πᾶν τοῦ κόσμου πρᾶγμα ἔχει τὸ ἰσότιμον αὐτοῦ, ὅθεν καὶ δι' αὐτοῦ ἀνταλλάττεται· δίδως χρυσίον, καὶ λαμβάνεις ἰσότιμον ἀργύριον· δίδως λίθους τιμίους, μαργαρίτας, ἀγροὺς, ἀμπελῶνας, πόλεις, χώρας, καὶ πᾶν ἄλλο τοῦ κόσμου πρᾶγμα, ἀλλὰ λαμβάνεις τὸ τούτων ἰσοστάσιον·

σιον· ἀπολεῖς τοῦτο, ἀλλὰ κερδαίνεις; ἄλλο ἰσόῤῥοπον· παντὸς κοσμικοῦ πράγματος γίνεται ἰσοδύναμος ἡ ἀνταλλαγή· ἡ δὲ ψυχὴ οὐκ ἔχει ἰσότιμον ἀντάλλαγμα, οὐχ εὑρίσκεις ἐν τῷ κόσμῳ πρᾶγμα ἰσότιμον καὶ ἄξιον τῆς ψυχῆς. Διατί δὲ ταῦτα;

Μάρκ. η΄. 38. Ὃς γὰρ ἂν ἐπαισχυνθῇ με καὶ τοὺς ἐμοὺς λόγους ἐν τῇ γενεᾷ ταύτῃ τῇ μοιχαλίδι καὶ ἁμαρτωλῷ, καὶ ὁ Υἱὸς τοῦ ἀνθρώπου ἐπαισχυνθήσεται αὐτὸν, ὅταν ἔλθῃ ἐν τῇ δόξῃ τοῦ Πατρὸς αὐτοῦ μετὰ τῶν Ἀγγέλων τῶν ἁγίων.

Ἰδοὺ ὁ λόγος, καὶ τὸ διατί οὐδεμίαν ὠφέλειαν ἔχει ὁ ἄνθρωπος ἐκ τοῦ κόσμου ὅλου, ὅταν βλάψῃ τὴν ψυχὴν αὐτοῦ, καὶ τὸ διατί οὐχ εὑρίσκει ἀντάλλαγμα ἰσοστάσιον αὐτῇ· Διότι, λέγει, ὅστις, ἢ καθότι ἐντρέπεται τὸ πάθος, τὸν σταυρὸν, καὶ τὴν ταφήν μου, ἢ δι᾽ ἄλλην ὁποιανδήποτε αἰτίαν ἀρνεῖται τὴν ἐμὴν Θεότητα, καὶ περιφρονεῖ τὰς ἐντολάς μου ἐν τῇ γενεᾷ ταύτῃ, ἤγουν ἐνώπιον τῶν ἐν τῷ κόσμῳ τούτῳ ἀνθρώπων, ἐκεῖνον ἐγὼ δείξω κατῃσχυμένον, ὅταν ἔλθω πάλιν εἰς τὸν κόσμον ἔνδοξος ὡς Θεὸς μετὰ τῶν ἁγίων Ἀγγέλων· καὶ αὐτὸς μὲν εἰς τοῦτον τὸν κόσμον ἀρνησάμενος, ὅτι εἰμὶ Θεὸς, καὶ καταφρονήσας τὰς ἐντολάς μου, καταισχύνει τὸ μυστήριον τῆς ἐνανθρωπήσεώς μου, καὶ τοῦ Εὐαγγελίου μου τὸ κήρυγμα· ἐγὼ δὲ, ὅταν ἔλθω ἐν τῇ δόξῃ τοῦ Πατρός μου, ἵνα κρίνω τὸν κόσμον, τότε ἐμπλήσω αὐτὸν αἰσχύνης καὶ ἐντροπῆς,
Λουκ. ιγ΄. 27. εἰπών· Λέγω ὑμῖν, οὐκ οἶδα ὑμᾶς πόθεν ἐστέ· ἀπόστητε ἀπ᾽ ἐμοῦ πάντες οἱ ἐργάται τῆς ἀδικίας· τοῦτο δὲ ἐστὶν ὁ χωρισμὸς ἀπὸ τοῦ Θεοῦ, καὶ ἡ βάσανος τῆς αἰωνίου κολάσεως· τότε δὲ τί ὠφελεῖ τὸν ἄνθρωπον ὅλος ὁ κόσμος; ἢ τί ἂν δώσῃ τότε ὁ ἀποστάτης καὶ ὁ ἁμαρτωλὸς, ἵνα ἐλευθερώσῃ τὴν ψυχὴν αὐτοῦ ἀπὸ τοῦ πυρὸς τῆς κολάσεως; Μοιχαλίδα δὲ καὶ ἁμαρτωλὸν ὠνόμασε τὴν γενεὰν, ἤγουν τὸ γένος τῶν ἀνθρώπων, ἐπειδὴ καθὼς ἡ ἐγκαταλιμπάνουσα τὸν ἴδιον ἄνδρα, καὶ πορευομένη μετὰ ἄλλου τινὸς ξένου, γίνεται μοιχαλὶς καὶ ἁμαρτωλὸς, οὕτω μοιχαλὶς καὶ ἁμαρτωλὸς γίνεται ἡ ψυχὴ, ἥτις, ἐγκαταλιμπάνουσα τὸν Θεὸν, προσκυνεῖ τὰ εἴδωλα, ἢ ἀποστατοῦσα ἀπὸ τῆς ὑπακοῆς τῶν ἐντολῶν τοῦ Θεοῦ, γίνεται δούλη τῶν θελημάτων τοῦ Διαβόλου· οὕτω δὲ ὠνόμασε τὸ γένος τῶν ἀνθρώπων, ἢ καθότι τὸ περισσότερον μέρος αὐτῶν ἄπιστοί εἰσι, καὶ τῶν ἐντολῶν τοῦ Θεοῦ παραβάται· ἢ καθότι καὶ οἱ ἀρνούμενοι τὴν πίστιν, τοῦτο ποιοῦσιν οὐχ ὑπὸ τῶν πιστῶν, ἀλλ᾽ ὑπὸ τῶν ἀπίστων ἀναγκαζόμενοι· καὶ οἱ ἁμαρτάνοντες οὐχ ὑπὸ τῶν δικαίων, ἀλλ᾽ ὑπὸ τῶν ἁμαρτωλῶν προτρεπόμενοι, τὴν ἁμαρτίαν ποιοῦσιν. Ἐπειδὴ δὲ ὁ Θεάνθρωπος εἶπεν, ὅτι, ὅταν ἔλθῃ πάλιν εἰς τὸν κόσμον, ἔρχεται οὐχὶ ταπεινὸς ὡς ἄνθρωπος, ἀλλ᾽ ἐν τῇ δόξῃ τοῦ Πατρὸς αὐτοῦ ὡς Θεὸς, ἵνα περὶ τούτου πληροφορήσῃ τοὺς μαθητὰς αὐτοῦ, ὑπόσχεται τὰ ἑξῆς.

Καὶ ἔλεγεν αὐτοῖς· Ἀμὴν Μάρκ. θ΄. 1.
λέγω ὑμῖν, ὅτι εἰσί τινες τῶν ὧδε ἑστηκότων, οἵτινες οὐ μὴ γεύσωνται θανάτου, ἕως ἂν ἴδωσι τὴν βασιλείαν τοῦ Θεοῦ ἐληλυθυῖαν ἐν δυνάμει.

*Βασιλείαν Θεοῦ ὀνομάζει τὴν δόξαν τῆς θείας αὐτοῦ μεταμορφώσεως. Ὅτε μετεμορφώθη ἐν τῷ ὄρει τῷ Θαβὼρ, τότε ἐπέλαμψεν ἀκτὶς τῆς θείας αὐτοῦ δόξης, ἐκείνης δηλαδὴ τῆς δόξης τοῦ Πατρὸς αὐτοῦ, μεθ' ἧς ἔρχεται κρῖναι ζῶντας καὶ νεκρούς· ἐκείνης τῆς δόξης, ἧς ἀπολαύσουσιν οἱ δίκαιοι ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν· ὅθεν τὸ μὲν πρόσωπον* (Ματ. ιζ'. 2.) *αὐτοῦ ἔλαμψεν ὡς ὁ ἥλιος, τὰ δὲ ἱμάτια αὐτοῦ ἐγένοντο λευκὰ ὡς τὸ φῶς· οἱ δὲ μαθηταὶ αὐτοῦ, μὴ δυνάμενοι ἐνατενίσαι εἰς τὸ πανυπέρλαμ-* (Αὐτ. 6.) *προν ἐκεῖνο καὶ θεῖον φῶς, ἔπεσον ἐπὶ πρόσωπον αὐτῶν, καὶ ἐφοβήθησαν σφόδρα. Ταύτην, λέγει, τὴν δόξαν τοῦ Θεοῦ, εἰσί τινες τῶν ὧδε παρισταμένων, ἤγουν ὁ Πέτρος, καὶ ὁ Ἰάκωβος, καὶ ὁ Ἰωάννης, οἵτινες οὐκ ἀποθανοῦνται, ἕως ἂν ἴδωσιν αὐτήν. Ἀληθῶς δὲ οὗτοι οἱ τρεῖς Ἀπόστολοι· εἶδον τὴν δόξαν ταύτην ἐν τῷ ὄρει τῷ Θαβὼρ, ἐκλάμψασαν ἐκεῖ τῇ δυνάμει τῆς Θεότητος τοῦ Ἰησοῦ Χριστοῦ· ἤκουσαν δὲ καὶ τὴν οὐρανόθεν ἐνεχθεῖσαν φωνήν· Οὗτός ἐστιν ὁ Υἱός μου ὁ ἀγαπητὸς, ἐν ᾧ εὐδόκησα· αὐτοῦ ἀκούετε.* (Ματ. ιζ'. 5.)

# ΟΜΙΛΙΑ

### ΜΕΤΑ ΤΟ ΚΑΤΑ

# ΜΑΡΚΟΝ

## ΕΥΑΓΓΕΛΙΟΝ ΤΗΣ ΤΡΙΤΗΣ ΚΥΡΙΑΚΗΣ ΤΩΝ ΝΗΣΤΕΙΩΝ.

*Εἰς ὕψος μέγα ἀνεβίβασεν ὁ θεάνθρωπος Ἰησοῦς τὴν ἀξίαν καὶ τιμὴν τῆς τοῦ ἀνθρώπου ψυχῆς· παρέστησεν αὐτὴν τιμιωτέραν ὅλου τοῦ κόσμου· εἶπεν, ὅτι οὐδὲν τῶν ἐν τῷ κόσμῳ πραγμάτων ἐστὶν ἰσότιμον τῆς ψυχῆς ἀντάλλαγμα. Ἀλλὰ τί ἄρά γε ἐστὶν ἡ τοσοῦτον πολύτιμος, ἢ ὀρθότερον εἰπεῖν, ἡ πανυπέρτιμος καὶ ἀτίμητος ψυχή; πόθεν παρήχθη; ποία ἡ οὐσία καὶ φύσις αὐτῆς; πόσος ὁ τῆς διαρκείας αὐτῆς καιρός;*

*Πολλοὶ τῶν παλαιῶν εἰδωλολατρῶν πολλὰ ἐκοπίασαν, ἵνα ταῦτα κατανοήσωσιν, ἀλλὰ μὴ ἔχοντες τὸ φῶς τῆς θείας Ἀποκαλύψεως ὁδηγὸν τοῦ κόπου αὐτῶν, ματαίως ἐκοπίασαν. Τούτων ἄλλοι μὲν διὰ τοῦ φωτὸς τῆς φύσεως ἀνέβησαν ἕως εἰς τινὰ βαθμὸν κατανοήσεως, ἔπειτα, μὴ δυνάμενον τὸ φῶς ἐκεῖνο νὰ ἐκτανθῇ εἰς τὰ ὑψηλότερα, ἐγκατέλιπεν αὐτοὺς, ὅθεν ἔπεσον εἰς παράλογα σφάλματα· ἄλλοι δὲ, ἢ μὴ φωτισθέντες ὅσον ἀναγκαῖον, ἢ ἐναντιούμενοι καὶ εἰς τὸ φῶς τῆς φύσεως, οὕτως ἐλάλησαν περὶ ψυχῆς, ὥσπερ ἂν εἰ ἦσαν μωροὶ καὶ ἀσύνετοι· ἐκ τούτου σχεδὸν ὅσοι ἐθνικοὶ φιλόσοφοι, τόσαι καὶ αἱ περὶ ψυχῆς γνῶμαι. Ὁ μὲν Κικέρων ἔλεγεν, ὅτι ἡ* (Ὅρα τὸ τῆς Ἐγκυκλοπ. Λεξικ.) *ψυχὴ ἐκ Θεοῦ ἐδόθη, ὁ δὲ Ἐπίκτητος, ὁ Σένεκας, ὁ Μάρκος ὁ Ἀντωνῖνος, ὅτι ἐστὶ μέρος τῆς θείας οὐσίας, οἱ δὲ Ἐπικούρειοι, ὅτι ἐστὶ ποιότης· ὁ μὲν Θαλῆς ἐνόμιζεν αὐτὴν φύσιν, ἐν ἑαυτῇ διαπαντὸς κινουμένην, ὁ δὲ Πυθαγόρας, ἀριθμὸν αὐτοκίνητον, ὁ δὲ Πλάτων, οὐσίαν πνευματικὴν δι' ἁρμονικοῦ ἀριθμοῦ*

κι-

κινουμένην· ὁ Ἀριστοτέλης, ἐντελέχειαν· ὁ Δικαίαρχος, ἁρμονίαν καὶ συμφωνίαν τῶν τεσσάρων στοιχείων· ὁ Ἀσκληπιάδης ὁ ἰατρὸς, κοινὴν πασῶν ὁμοῦ τῶν αἰσθήσεων ἐνέργειαν· ὁ Ἡράκλειτος, ἀναθυμίασιν· ὁ Ἐμπεδοκλῆς, σύνθεσιν πάντων τῶν στοιχείων· ὁ μὲν Δημόκριτος καὶ ὁ Λεύκιππος ἐκ πυρὸς πεποιημένην, ὁ δὲ Ἐπίθορμος, ἐκ τοῦ ἡλίου, ὁ δὲ Ἵππων, ἐξ ὕδατος, ὁ δὲ Ξενοφάνης, ἐξ ὕδατος καὶ γῆς· ὁ μὲν Κρίτιος ἔλεγεν, ὅτι ἡ ψυχή ἐστι τὸ αἷμα, ὁ δὲ Ἱπποκράτης, πνεῦμα ἐν ὅλῳ τῷ σώματι ἐφηπλωμένον, ὁ δὲ Κριτόλαος, πέμπτη οὐσία. Πάντες, ὡς ἀκούετε, ἀσύμφωνοι ἦσαν περὶ τῆς ἀρχῆς καὶ φύσεως τῆς ψυχῆς, ἔλεγον δὲ περὶ αὐτῆς ἀναπόδεικτα, ἀκατάστατα, παράλογα, ἄτοπα· ἦσαν ὅμως, πλὴν τῶν θνητοψύχων Ἐπικουρείων, πάντες οἱ λοιποὶ σύμφωνοι περὶ τοῦ, ὅτι ἡ ψυχὴ διαμένει ζῶσα καὶ μετὰ θάνατον, ἤγουν περὶ τοῦ, ὅτι ἡ ψυχή ἐστιν ἀθάνατος. Μαρτυρεῖ τοῦτο ἡ διδασκαλία τοῦ Πυθαγόρου καὶ Πλάτωνος, ἡ περὶ τῆς μετεμψυχώσεως, τουτέστι τῆς ἀπὸ σώματος εἰς σῶμα μεταβάσεως τῆς ψυχῆς, καὶ τελευταῖον τῆς ἑνώσεως αὐτῆς μετὰ τοῦ Θεοῦ. Μαρτυρεῖ τοῦτο ἡ μετὰ θάνατον ἀποθέωσις τινῶν ἀνθρώπων· μαρτυροῦσι τοῦτο αἱ μετὰ θάνατον πιστευόμεναι παρ' αὐτῶν τρυφαὶ, καὶ τιμωρίαι· ὅθεν καὶ Χάρωνα ἐκήρυττον, μετακομίζοντα τὰς ψυχὰς εἰς ἄλλον βίον, καὶ νήσους Μακάρων, εἰς τὰς ὁποίας ἔζων οἱ δίκαιοι, καὶ Φλεγέθοντα, καὶ Κωκυτὸν, εἰς τοὺς ὁποίους ἐβασανίζοντο οἱ πταῖσται. Βεβαιοῦσι τοῦτο τοῦ Κικέρωνος τὰ λόγια· „ Ἐπίστευον, λέγει αὐτὸς, πάντες οἱ ἀρχαῖοι, ὅτι ὁ θάνατος οὐκ ἐξαλείφει πᾶσαν αἴσθησιν, καὶ ὅτι ὁ ἄνθρωπος ἐξελθὼν ἐκ ταύτης τῆς ζωῆς οὐκ ἐξουδενοῦται." Πολλῷ δὲ περισσότερον βεβαιοῦσι τοῦτο τοῦ Σωκράτους τὰ λόγια πρὸς τοὺς περιεστῶτας αὐτοῦ φίλους· „ Δύω, εἶπε, πρόκεινται ὁδοὶ εἰς τὰς ψυχὰς τῶν ἀνθρώπων, ὅταν ἐξέρχωνται τοῦ σώματος· ὅσαι μὲν ψυχαὶ ἐδουλώθησαν καὶ ἐτυφλώθησαν ὑπὸ τῶν ἀνθρωπίνων παθῶν, ἐκεῖναι, ἐλεγχόμεναι ὑπὸ τῶν ἰδίων καὶ οἰκιακῶν σφαλμάτων, ἢ ὑπὸ τῶν ἀδιορθώτων ἀδικιῶν, πορεύονται εἰς τὴν ὁδὸν, τὴν παντελῶς ἐναντίαν ἐκείνης τῆς ὁδοῦ, ἥτις φέρει εἰς τὴν κατοικίαν τῶν Θεῶν· τὸ ἐναντίον δὲ, ὅσαι δηλαδὴ ψυχαὶ ἐφύλαξαν τὴν ἰδίαν ἀθωότητα καὶ καθαρότητα, καὶ διετήρησαν ἑαυτὰς ὅσον ἐδυνήθησαν ἀπὸ τοῦ μολυσμοῦ τῶν αἰσθήσεων, ζήσασαι δὲ ἐν ἀνθρωπίνοις σώμασιν, ἐμιμήθησαν τὴν ζωὴν τῶν Θεῶν, εἰς ἐκείνας ἡ ὁδὸς τοῦ οὐρανοῦ, ὅθεν ἦλθον, ἐστὶν ἀνεῳγμένη." Ἐκ τούτου βλέπομεν, ὅτι καὶ οἱ ἐθνικοὶ ἐπίστευον τὴν ἀθανασίαν τῆς ψυχῆς, καὶ τὴν ἀνταπόδοσιν τῶν ἔργων, κἂν καὶ ἡ περὶ τούτου διδασκαλία αὐτῶν πλήρης ἦν δεισιδαιμονιῶν καὶ σφαλμάτων.

Ἡμεῖς ἔχομεν διδάσκαλον τὸν λόγον τοῦ Θεοῦ, ὅστις εἰς τὸ σκότος ταύ- Β'. Πέτρ.
της τῆς ζωῆς φέγγει ὡς λύχνος, καὶ ὁδηγεῖ ἡμᾶς εἰς τὴν κατανόησιν οὐχὶ πάν- α'. 19.
των, ἀλλ' ἐκείνων μόνον, ὅσα ἀναγκαῖά εἰσι πρὸς τὴν ἡμῶν σωτηρίαν· τὰ δὲ λοιπὰ τότε κατανοήσομεν, ὅταν, ἐξελθόντες ἀπὸ τοῦ αὐχμηροῦ τόπου τοῦ σώματος ἡμῶν, φθάσωμεν ἐκεῖ, ὅπου ἡ ἡμέρα διαυγάζει, καὶ ὅπου ὁ φωσφόρος Ἰησοῦς, ὁ Ποιητὴς τῶν ἁπάντων, ἀνατέλλει καὶ ἀποκαλύπτει πάντα. Ἐὰν οὖν προσέχωμεν εἰς αὐτὸν τοῦ Θεοῦ τὸν λόγον, ἡμεῖς μανθάνομεν εὐθὺς, τίς ἐστιν ὁ ποιητὴς τῆς ψυχῆς, ποία ἐστὶν ἡ φύσις αὐτῆς, πόσος ὁ τῆς διαρκείας αὐτῆς καιρὸς, ποῖον τὸ ἔργον αὐτῆς, καὶ διὰ ποῖον τέλος ἐπλάσθη.

Γεν. β'. Καὶ ἐνεφύσησε, λέγει, εἰς τὸ
7. πρόσωπον αὐτοῦ πνοὴν ζωῆς, καὶ
ἐγένετο ὁ ἄνθρωπος εἰς ψυχὴν
ζῶσαν. Ὁ Θεὸς οὐδὲ πνεύμονας ἔχει,
οὐδὲ στόμα, οὐδὲ χείλη, ἵνα φυσήσῃ·
ἀλλ' ἐπειδὴ, ὅταν ἔπλασε τὸ σῶμα, εἶ-
Αὐτόθι. πε· Καὶ ἔπλασεν ὁ Θεὸς τὸν ἄν-
θρωπον, χοῦν λαβὼν ἀπὸ τῆς γῆς,
διὰ τοῦτο, ἵνα διδάξῃ, ὅτι ἡ ψυχὴ οὐκ
ἔστι χῶμα, ἀλλὰ πνεῦμα, οὐκ ἔστι σῶ-
μα ὑλικὸν, ἀλλὰ οὐσία ἄϋλος, ἔλαβε
τὴν λέξιν, ἐνεφύσησε, δι' αὐτῆς παραστή-
σας τὴν διαφορὰν τὴν μεταξὺ σώματος
καὶ πνεύματος· διότι, κἂν καὶ αὐτὸ τὸ
ἐμφύσημα ὑλικὸν ὑπάρχῃ καὶ σωματι-
κὸν, ὅμως καθὸ ἀόρατον, καθὸ κινητι-
κὸν, καθὸ ἐνεργητικὸν, ἔχει τινὰ ὁμοιό-
τητα μετὰ τῆς ψυχῆς· ὅθεν εἶπεν, ἔ-
πλασε, καὶ ἐνεφύσησεν, ἵνα διδάξῃ
ἡμᾶς, ὅτι ἄλλο ἐστὶ τὸ σῶμα, καὶ ἄλ-
λο ἡ ψυχή. Τὸ σῶμά ἐστι σύνθετον,
τὸ δὲ σύνθετον διαλύεται εἰς ἐκεῖνα ἐκ
τῶν ὁποίων σύγκειται· ὅθεν τὸ σῶμά
ἐστι κατὰ φύσιν φθαρτόν. Τὸ πνεῦμά
ἐστιν ἁπλοῦν, τὸ ἁπλοῦν οὐδέποτε δια-
λύεται· διὰ τοῦτο ἡ ψυχή ἐστιν ἄφθαρ-
Αὐτόθι. τος καὶ ἀθάνατος· Καὶ ἔπλασεν ὁ
Θεὸς τὸν ἄνθρωπον χοῦν λαβὼν
ἀπὸ τῆς γῆς· καὶ ἐνεφύσησεν εἰς
τὸ πρόσωπον αὐτοῦ πνοὴν ζωῆς.
Ἐκ ταύτης τῆς διδασκαλίας τοῦ Θεοῦ ἔ-
μαθον οἱ εὐσεβεῖς, ὅτι καὶ τὸ σῶμα
καὶ ἡ ψυχὴ ἐπλάσθησαν ὑπὸ Θεοῦ· ἀλ-
λὰ τὸ μὲν σῶμά ἐστιν ὑλικὸν, γήϊνον,
ὁρατὸν, θνητὸν, καὶ φθαρτόν· ἡ δὲ ψυ-
χή ἐστι πνεῦμα ἄϋλον, νοερὸν, ἀόρατον,
ἀθάνατον, ἄφθαρτον. Καὶ εἰς μὲν τὸ
πρόσωπον τῶν πρωτοπλάστων τότε ἐμ-
φυσήσας ὁ Θεὸς, ἔπλασε τὴν ψυχὴν αὐ-
τῶν· νῦν δὲ παντὸς ἀνθρώπου ψυχὴν
πλάττει, ὡς οἶδεν αὐτὸς, ἐν αὐτῷ τῷ
Ζαχ. ιβ'. σώματι αὐτοῦ· Λέγει Κύριος, ἐκτεί-
1. νων οὐρανὸν, καὶ θεμελιῶν τὴν
γῆν, καὶ πλάσσων πνεῦμα ἀνθρώ-
που ἐν αὐτῷ.

Ἐξ αὐτοῦ τοῦ λόγου τοῦ Θεοῦ μαν-
θάνομεν καὶ ποῖόν ἐστι τὸ ἔργον τῆς
ψυχῆς. Ἡ θεία Γραφὴ περιέγραψε πρῶ-
τον τὴν πλάσιν τοῦ σώματος, ἔπειτα
καὶ τὴν τῆς ψυχῆς· ἐφανέρωσε δὲ, ὅτι
ὁ Θεὸς διὰ τῆς εὐλογίας αὐτοῦ ἄλλα
μὲν χαρίσματα ἔδωκεν εἰς τὸ σῶμα,
ἄλλα δὲ εἰς τὴν ψυχήν. Εἰς τὸ σῶμα
ἔδωκε τὴν αὔξησιν, τὸν πληθυσμὸν, τὴν
δύναμιν τοῦ πληρῶσαι τὴν γῆν, καὶ κα-
τακρατῆσαι αὐτῆς· Καὶ εὐλόγησεν Γεν. α'.
αὐτοὺς ὁ Θεὸς, λέγων· Αὐξάνεσ- 28.
θε, καὶ πληθύνεσθε, καὶ πληρώ-
σατε τὴν γῆν, καὶ κατακυριεύσα-
τε αὐτῆς· εἰς τὴν ψυχὴν ἔδωκε τὸ ἄρ-
χειν, ἤγουν τὴν ἐξουσίαν, τὴν κυριότητα,
τὴν δεσποτείαν πάντων τῶν γηΐνων πραγ-
μάτων, καὶ πάσης τῆς γῆς· Καὶ ἄρ- Αὐτόθι.
χετε τῶν ἰχθύων τῆς θαλάσσης,
καὶ τῶν πετεινῶν τοῦ οὐρανοῦ,
καὶ πάντων τῶν κτηνῶν καὶ πά-
σης τῆς γῆς. Ἐπειδὴ δὲ ἔδωκεν ὁ Θεὸς
εἰς τὴν ψυχὴν τοῦ ἀνθρώπου τὸ ἄρ-
χειν, ἔδωκεν εἰς αὐτὴν καὶ πάσας τὰς
δυνάμεις, ὅσαι εἰσὶν ἀναγκαῖαι, ἵνα ἄρ-
χῃ καὶ ἐξουσιάζῃ· ταύτας δὲ τὰς θαυ-
μασίας δυνάμεις τῆς ψυχῆς καθεὶς καὶ
βλέπει, καὶ αἰσθάνεται.

Ἡ ψυχὴ διὰ τοῦ νοὸς αὐτῆς ἐν ῥι-
πῇ ὀφθαλμοῦ ἀναβαίνει εἰς τὸν οὐρα-
νὸν, καταβαίνει εἰς τὸν ᾅδην, περιέρχε-
ται τὴν γῆν, ἐμβαίνει εἰς τὰς πόλεις,
εἰσέρχεται εἰς πάντα τόπον, νοεῖ εἴτι
θέλει· μνημονεύει τὰ παρελθόντα, συλ-
λογίζεται τὰ ἐνεστῶτα, προνοεῖ τὰ μέλ-
λοντα· ζυγοστατεῖ, ἀνακρίνει, συμβιβά-
ζει, διαχωρίζει καὶ τοὺς ἰδίους αὐτῆς
συλλογισμούς. Αὐτὴ μανθάνει διαφό-
ρους γλώσσας, τέχνας παντοίας, ἐπι-
στήμας ὑψηλάς· ὅσας διαλέκτους ἀκούε-
τε, ὅσα βιβλία ἀναγινώσκετε, ὅσα τεχ-
νη-

νητὰ πράγματα βλέπετε, τῆς ψυχῆς ἡμῶν εἰσὶν ἔργα. Αὐτὴ ἐφεῦρε φιλοτεχνήματα, διὰ τῶν ὁποίων διαπερῶμεν τὰ μακρὰ τῆς θαλάσσης διαστήματα, βυθιζόμεθα εἰς τὸ βάθος τῆς θαλάσσης, καὶ ἀνάγομεν τοὺς μαργαρίτας, καταβαίνομεν εἰς τοὺς κόλπους τῆς γῆς, καὶ ἐξάγομεν τὰ μέταλλα· μετροῦμεν τὸ μέγεθος τοῦ ἡλίου καὶ τῆς σελήνης, καὶ λοιπῶν πλανητῶν, ἔτι δὲ καὶ τὰ μεταξὺ αὐτῶν διαστήματα· ἀναλογιζόμεθα τὸν καιρὸν τῆς τούτων περιόδου, τῆς ἀνατολῆς, τῆς δύσεως, τῆς συζυγίας, τῆς ἐκλείψεως, τῆς μεταξὺ ἀλλήλων καὶ τῆς γῆς ἀποστάσεως· συνάγομεν καὶ σκορπίζομεν τὸ πῦρ, εἰσάγομεν καὶ ἐξάγομεν τὸν ἀέρα, γνωρίζομεν τὸ μέτρον τῆς δυνάμεως τοῦ πυρὸς, τοῦ ὕδατος, τῶν ἀνέμων· βλέπομεν καὶ ἐκεῖνα, ὅσα ἢ διὰ τὴν μικρότητα, ἢ διὰ τὸ διάστημα φεύγουσι τῶν ὀφθαλμῶν τὴν ὅρασιν. Αὐτὴ εὗρε μικροσκόπια, τηλεσκόπια, πυρόμετρα, ὑγρόμετρα, βαρόμετρα, θερμόμετρα, ἀνεμόμετρα· αὐτὴ νοεῖ λύσεις προβλημάτων πάσης ὑποθέσεως, ἀναλογισμοὺς μακροσκελεῖς καὶ δυσαναλογίστους, εὑρέσεις πραγμάτων ἀποκρύφων. Ἡ ψυχὴ ἠθολογεῖ, φυσιολογεῖ, γεωμετρολογεῖ, βοτανολογεῖ, μετεωρολογεῖ, ἰατρολογεῖ, ἀστρονομεῖ, ὀντολογεῖ, πνευματολογεῖ, ψυχολογεῖ, θεολογεῖ· διὰ τούτων δὲ τῶν ἔργων αὐτῆς ἄρχει καὶ δεσπόζει πάντων τῶν ἐν γῇ πραγμάτων, καὶ αὐτῆς ὅλης τῆς γῆς. Βλέπεις πόση ἡ διαφορὰ μεταξὺ τοῦ λογικοῦ ἀνθρώπου, καὶ τοῦ ἀλόγου ζώου; ποῖον τῶν ἀλόγων ζώων, ἢ τῶν πετεινῶν, ἢ τῶν νηκτῶν, ἢ τῶν ἑρπετῶν, ἢ τῶν τετραπόδων δύναται νὰ πράξῃ, οὐ λέγω πάντα, ἀλλ' ἓν μόνον μετὰ τῆς αὐτῆς τελειότητος, μετὰ τῆς ὁποίας πράττει ταῦτα πάντα ὁ ἄνθρωπος; Ὅστις ταῦτα συλλογίζεται, ἐκεῖνος θαυμάζει καὶ ἐξίσταται, βλέπων τὴν τόσην εὐγένειαν καὶ χάριν τῆς ψυχῆς, θαυμάζει δὲ μᾶλλον καὶ ὑπερυψοῖ τὴν παντοδύναμον σοφίαν τοῦ Θεοῦ, τοῦ τῆς ψυχῆς δημιουργοῦ, καὶ βοᾷ μετὰ τοῦ Προφητάνακτος· Ἐθαυμαστώθη ἡ γνῶσίς σου ἐξ Ψαλ. ρλή. 6.
ἐμοῦ, ἐκραταιώθη, οὐ μὴ δύνωμαι πρὸς αὐτήν. Μωροὶ λοιπὸν καὶ ἀνόητοι καὶ κατῃσχυμένοι εἰσὶν ὅσοι λέγουσιν, ὅτι ὁ λογικὸς ἄνθρωπος οὐδὲν διαφέρει τῶν ἀλόγων ζώων.

Ἐὰν ὁ Θεὸς ἔδωκεν εἰς τὴν ψυχὴν τὴν ἐξουσίαν καὶ κυριότητα πάντων τῶν ἐπὶ γῆς, πολλῷ περισσότερον ἔδωκεν εἰς αὐτὴν τὴν δεσποτείαν τοῦ σώματος, εἰς τὸ ὁποῖον κατοικεῖ· ἔδωκε, ναὶ, εἰς αὐτὴν καὶ τὴν ἐξουσίαν τοῦ σώματος, καταστήσας αὐτὴν μὲν κυρίαν καὶ δέσποιναν, τὸ δὲ σῶμα δοῦλον καὶ ὑπηρέτην αὐτῆς· πλὴν ἔδωκεν εἰς αὐτὴν καὶ τὸ ἐλεύθερον καὶ αὐτεξούσιον· Αὐτὸς Σειρ. ιέ. 14.
ἐξ ἀρχῆς ἐποίησεν ἄνθρωπον, καὶ ἀφῆκεν αὐτὸν ἐν χειρὶ διαβουλίου αὐτοῦ. Ὅθεν, ὅταν αὐτὴ, μένουσα εἰς τὴν ἑαυτῆς κυριότητα, ἐξουσιάζῃ καὶ ὁδηγῇ καὶ διευθύνῃ τὸ σῶμα, τὸ δὲ σῶμα ἐξουσιάζεται ὑπ' αὐτῆς, καὶ δουλεύῃ καὶ ὑπηρετῇ αὐτὴν, τότε βλέπεις καὶ γνωρίζεις ποῖόν ἐστι τὸ ἔργον τῆς ψυχῆς· ἔργον θαυμάσιον, ἔργον τοῦ ὁποίου οὐδὲ ἴχνος φαίνεται εἰς τὰ ἔργα τῶν ἀλόγων ζώων, ἔργον, τὸ ὁποῖον φέρει αὐτὴν εἰς ἐκεῖνο τὸ μακάριον τέλος, δι' ὃ ἐπλάσθη.

Βλέπε τὸν Ἀβραάμ. Εἰς αὐτὸν ἡ ψυχὴ προστάττει, τὸ σῶμα ὑπακούει· αὐτὸς ἕνα λόγον τοῦ Θεοῦ ἤκουσεν· Ἔ- Γεν. ιβ'. 1.
ξελθε ἐκ τῆς γῆς σου, καὶ ἐκ τῆς συγγενείας σου, καὶ ἐκ τοῦ οἴκου τοῦ πατρός σου· καὶ εὐθὺς φεύγει ἐκ τοῦ οἴκου τοῦ πατρὸς αὐτοῦ, καὶ ἐγκαταλιμπάνει συγγενεῖς, φίλους, καὶ πατρίδα· τουτέστιν ὑπακοή. Συμβαίνει μάχη μεταξὺ τῶν ποιμένων αὐτοῦ, καὶ τῶν ποιμένων τοῦ Λὼτ τοῦ ἀνεψιοῦ

αὐ-

αὐτοῦ· ὁ Ἀβραὰμ ἡσυχάζει τὴν μάχην·
Πᾶσα ἡ γῆ, λέγει πρὸς τὸν Λώτ, ἐνώ-
πιόν σου ἐστί, λάβε ὁποῖον μέρος ἀρέ-
Γεν. ιγ'. σει σοι· Εἰ σὺ εἰς ἀριστερά, ἐγὼ
9. εἰς δεξιά· εἰ δὲ σὺ εἰς δεξιά, ἐγὼ
εἰς ἀριστερά· τοῦτό ἐστι δικαιοσύνη.
Κατατροπώσας τοὺς ἐχθροὺς τοῦ Βασι-
λέως τῶν Σοδόμων, ἠλευθέρωσε τοὺς
αἰχμαλώτους ἀνθρώπους, καὶ τοὺς ἵπ-
πους, καὶ πάντα τὰ ὑπάρχοντα, ὅσα οἱ
ἐχθροὶ αὐτοῦ ἥρπασαν· ὁ Βασιλεύς,
αἰσθανόμενος τὸ χρέος αὐτοῦ, λέγει πρὸς
τὸν Ἀβραάμ· Δός μοι τοὺς ἄνδρας, τοὺς
δὲ ἵππους λάβε σὺ διὰ τὸν κόπον σου·
Αὐτ. ιδ'. Εἶπε δὲ Βασιλεὺς Σοδόμων πρὸς
21. Ἄβραμ· Δός μοι τοὺς ἄνδρας, τὴν
δὲ ἵππον λάβε σεαυτῷ· ὁ δὲ Ἀ-
βραὰμ οὐδὲ ἓν σπαρτίον ἠθέλησεν ἐξ
Αὐτόθι. αὐτῶν· Εἶπε δὲ Ἄβραμ πρὸς τὸν
22, 23. Βασιλέα Σοδόμων· Ἐκτενῶ τὴν
χεῖρά μου πρὸς Κύριον τὸν Θεόν,
ὃς ἔκτισε τὸν οὐρανὸν καὶ τὴν
γῆν, εἰ ἀπὸ σπαρτίου ἕως σφαιρω-
τῆρος ὑποδήματος λήψομαι ἀπὸ
πάντων τῶν σῶν· τοῦτό ἐστιν ἀληθι-
νὴ εὐεργεσία. Καθήμενος ὁ Ἀβραὰμ ἐ-
πὶ τῆς θύρας τῆς σκηνῆς αὐτοῦ, περιέ-
μενε τοὺς ἐκεῖθεν διερχομένους ξένους,
ἵνα παντὶ τρόπῳ ὑπηρετήσῃ, καὶ φιλο-
Αὐτ. ιη'. ξενήσῃ αὐτούς· Κύριε, ἔλεγε πρὸς τὸν
3. διαβαίνοντα ξένον, εἰ ἄρα εὗρον χά-
ριν ἐναντίον σου, μὴ παρέλθῃς
τὸν παῖδά σου· τοῦτό ἐστι συμπάθεια
καὶ εὐσπλαγχνία. Ὁ Παντοκράτωρ Θεὸς
συνομιλεῖ μετὰ τοῦ Ἀβραάμ, καὶ συμ-
φωνολογεῖ μετ' αὐτοῦ περὶ τῆς ἀπωλείας
τῶν Σοδόμων· ὁ δὲ Ἀβραὰμ ὀνομάζει
Αὐτ. 27. ἑαυτὸν γῆν καὶ σποδόν· Ἐγὼ δέ εἰμι
γῆ καὶ σποδός· τοῦτό ἐστι ταπεινο-
φροσύνη. Αὐτὸς τέλος πάντων ὁ Ἀβραὰμ
καὶ τῶν ἰδίων αὐτοῦ σπλάγχνων, ἤγουν
τοῦ Ἰσαὰκ τοῦ ἀγαπητοῦ υἱοῦ αὐτοῦ,
προετίμησε τοῦ Θεοῦ τὸ πρόσταγμα, ὅ-
θεν ἐξέτεινε τὴν χεῖρα αὐτοῦ, ἵνα λάβῃ
τὴν μάχαιραν, καὶ σφάξῃ αὐτόν· Καὶ Γεν. κβ'.
ἐξέτεινεν Ἀβραὰμ τὴν χεῖρα αὐ- 10.
τοῦ λαβεῖν τὴν μάχαιραν, σφά-
ξαι τὸν υἱὸν αὐτοῦ· τοῦτό ἐστιν ἡ
τελεία εἰς τὸν Θεὸν ὑπακοὴ καὶ ἡ ἀ-
γάπη.

Εἰς τὸν Ἰωσὴφ ἡ ψυχὴ ἐξουσιάζει, τὸ σῶμα δουλεύει· εἰς τὸν Ἰωσὴφ λοιπὸν βλέπεις τῆς σωφροσύνης τὴν ἀρετήν, ὅταν νικᾷ τοὺς πειρασμοὺς τῆς Αἰγυπτίας· εἰς αὐτὸν βλέπεις τὴν φρόνησιν καὶ τὴν πρόνοιαν, ὅταν οἰκονομῇ τὴν ἀκαρπίαν τῆς Αἰγύπτου· βλέπεις τὴν δικαιοσύνην, ὅταν σιτομετρῇ εἰς πάντας, καὶ οὐδένα ἐγκαταλείπῃ· βλέπεις τὴν ἀμνησικακίαν, ὅταν λέγῃ πρὸς τοὺς πωλήσαντας αὐτὸν ἀδελφούς, καὶ τρέμοντας
τῆς μνησικακίας τὴν ἐκδίκησιν· Μὴ φο- Αὐτ. ν'.
βεῖσθε, ἐγὼ διαθρέψω ὑμᾶς, καὶ 21.
τοὺς οἴκους ὑμῶν· Καὶ παρεκάλεσεν αὐτούς, καὶ ἐλάλησεν αὐτῶν εἰς τὴν καρδίαν.

Ἡ ψυχὴ τοῦ Ἰὼβ ἐστὶν ἡ κυρία καὶ ἡ δέσποινα, τὸ σῶμα αὐτοῦ ἐστὶ δοῦλος καὶ ὑπηρέτης· ὅθεν εἰς αὐτὸν βλέπομεν τόσην ἀνδρείαν ἐναντίον εἰς τὰς αἰφνιδίους καὶ ὑπερβολικὰς δυστυχίας, τόσην μεγαλοψυχίαν εἰς τὴν ἐσχάτην πτωχείαν καὶ ἀπορίαν, τόσην ὑπομονὴν εἰς τὴν ἀσθένειαν καὶ εἰς τὰς πληγὰς καὶ ὀδύνας, ὥστε φαίνεται ἡμῖν, ὅτι ὁ Ἰὼβ οὐ φορεῖ σάρκα καὶ σῶμα, ἀλλ' ἐστὶν ἄσαρκος καὶ ἀσώματος.

Ἐὰν ἐρευνήσῃς τὴν ζωὴν καὶ τὸ πολίτευμα τῶν Προφητῶν, τῶν Ἀποστόλων, τῶν Μαρτύρων, τῶν Ὁσίων, πάντων τῶν ἁγίων, βλέπεις καὶ γνωρίζεις πόση ἐστὶν ἡ εὐγένεια τῆς ψυχῆς, καὶ ποῖα εἰσὶ τὰ ἔργα αὐτῆς, καὶ πόσον διαφέρει ὁ ἄνθρωπος τῶν ἀλόγων ζώων. Ποῦ εἶδες, ἢ ποῦ ἀνέγνως, ἢ ποῦ ἤκουσας εἰς τὰ ἄλογα ζῶα ἢ δικαιοσύνην, ἢ σωφρο-

σύ-

σύνην, ἢ μεγαλοψυχίαν, ἢ φιλοξενίαν, ἢ αἴσθησιν ὅτι ἐστὶ Θεὸς, ἢ ἴχνος ἀγάπης καὶ ὑπακοῆς εἰς αὐτόν;

Ὅταν δὲ ἀκολουθήσῃ τὸ ἐναντίον, ἤγουν ὅταν ἡ ψυχὴ ὑποδουλώσῃ τὴν θέλησιν αὐτῆς εἰς τὰς ἐπιθυμίας τοῦ σώματος, καὶ ὑποτάξῃ τὴν ἐξουσίαν αὐτῆς εἰς τῆς σαρκὸς τὰ πάθη· ὅταν, λέγω, τὸ σῶμα ἁρπάξῃ τῆς ψυχῆς τὴν κυριότητα, καὶ καταστήσῃ τὴν δέσποιναν, ἤγουν τὴν ψυχὴν, δούλην αὐτοῦ· τότε ἀποσβέννυται τῆς ψυχῆς τὸ κάλλος, καὶ μαραίνεται ἡ ὡραιότης, καὶ ἐκλείπει ἡ μεγαλοπρέπεια, καὶ ἀφανίζονται τὰ ἔργα αὐτῆς· τότε οὐδὲν ἄλλο βλέπεις, εἰμὴ σῶμα, σάρκα, πάθη· τότε οὐδὲν ἄλλο βλέπεις, εἰμὴ τὴν δολιότητα τῆς ἀλώπεκος, τοὺς μετασχηματισμοὺς τοῦ χαμαιλέοντος, τὰς ἁρπαγὰς τοῦ ἱέρακος, τὴν ὠμότητα τοῦ λέοντος, τὴν μνησικακίαν τῆς καμήλου, τὴν κοιλιοδουλείαν καὶ τὸν βόρβορον τοῦ χοίρου· τότε ἔργον ψυχῆς οὐδόλως φαίνεται· οὐ βλέπεις ἄνθρωπον λογικὸν, ἀλλὰ ζῶον ἄλογον, διότι αὐτὸς ἐξέπεσε τοῦ ὕψους τῆς τιμῆς, εἰς τὴν ὁποίαν ὁ Θεὸς αὐτὸν ὕψωσε, καὶ κατεστάθη ὅμοιος τοῖς ἀλόγοις ζώοις· οὗτος δὲ ἐστιν ὁ λόγος τοῦ ἱεροψάλτου
Ψαλ. μή. 12. Δαβίδ· Ἄνθρωπος ἐν τιμῇ ὢν, οὐ συνῆκε, παρασυνεβλήθη τοῖς κτήνεσι τοῖς ἀνοήτοις, καὶ ὡμοιώθη αὐτοῖς.

Ψυχή μου παναθλία, πῶς οὐ γνωρίζεις τὴν θείαν σου εὐγένειαν; πῶς φαίνεσαι τοσοῦτον ἀχάριστος εἰς ἐκεῖνον τὸν πανάγαθον Εὐεργέτην, ὅστις ἔδωκέ σοι τόσα προτερήματα, ὅστις ἐπλούτισέ σε διὰ τοσούτων δωρεῶν καὶ χαρίτων; πῶς στέργεις, καὶ δίδως τὴν θέλησίν σου εἰς τὴν ἐξουσίαν τοῦ δούλου σου, καὶ τὴν δεσποτείαν σου εἰς τὰς χεῖρας τοῦ ἐχθροῦ σου; πῶς καταδέχεσαι, καὶ γίνεσαι δούλη τοῦ δούλου σου, καὶ ὑπηρετεῖς τὸν ὑπηρέτην σου; θέλγει σε ἀληθῶς τὸ σῶμα διὰ τῆς θανατηφόρου τῶν ἡδονῶν γλυκύτητος, καταφλογίζει σε ἀληθῶς διὰ τοῦ ὀλεθρίου πυρὸς τῶν ἰδίων παθημάτων· ἀλλὰ σὺ ἐδιδάχθης καὶ ἔμαθες, ὅτι, ἐὰν μὲν νικήσῃς, σώζεις σεαυτὴν καὶ τὸ σῶμα, ἐὰν δὲ νικηθῇς, κολάζεις σεαυτὴν καὶ ἐκεῖνο. Ἔχεις τὸ αὐτεξούσιον, ἔχεις τὴν παρὰ Θεοῦ δοθεῖσάν σοι δύναμιν, ἑτοιμός ἐστι πρὸς βοήθειάν σου τοῦ πανοικτίρμονος Θεοῦ ἡ δραστήριος χάρις· ἀνάστα λοιπὸν, τί καθεύδεις; τὸ πότε μέλλεις χωρισθῆναι ἀπὸ τοῦ σώματός σου, ἐστὶν ἀγνώριστον καὶ ἄδηλον· οὐκ οἶδας οὐδὲ τὴν ἡμέραν, οὐδὲ τὴν ὥραν, καθ᾽ ἣν ὁ Θεὸς χωρίζει σε ἀπὸ τοῦ σώματός σου· μετὰ δὲ τὸν χωρισμόν σου ἐλπὶς διορθώσεως ἢ μετανοίας οὐδεμία· ἕως πότε λοιπὸν κατάκεισαι; ἕως πότε δουλεύεις τὴν δουλείαν τῆς αἰωνίου σου καταδίκης; ἀνάστα, ἀνάλαβε τὴν δεσποτείαν σου, ὑπόταξον τὸν δοῦλόν σου, τελείωσον τὸ ἔργον σου· ἵνα σὺν αὐτῷ τῷ δούλῳ σου εἰσέλθῃς εἰς τὸν νυμφῶνα τῆς θείας δόξης, εἰς τὰς λαμπρότητας τῶν ἁγίων, εἰς τὴν βασιλείαν τὴν αἰώνιον, ἣν ἀπὸ καταβολῆς κόσμου ἡτοίμασέ σοι ὁ πανυπεράγαθος Θεὸς, ὁ ἐκ τοῦ μὴ ὄντος πλάσας σε. Ἀμήν.

# ΟΜΙΛΙΑ

### ΜΕΤΑ ΤΟ ΚΑΤΑ

# ΜΑΡΚΟΝ

## ΕΥΑΓΓΕΛΙΟΝ ΤΗΣ ΤΕΤΑΡΤΗΣ ΚΥΡΙΑΚΗΣ ΤΩΝ ΝΗΣΤΕΙΩΝ.

Τὴν ἐξήγησιν τῶν ἐλεεινῶν παθημάτων
τοῦ σεληνιαζομένου, καὶ τῆς ἰατρείας,
τῆς εἰς αὐτὸν θαυματουργικῶς γενομέ-
νης, ἠκούσατε, ὅτε ἀνεγνώσθη τὸ ἐκ τοῦ
κατὰ Ματθαῖον Ἐυαγγέλιον τῆς δεκά-
της Κυριακῆς. Ἐπειδὴ δὲ ὁ θεηγόρος
Μάρκος, ὅστις μετὰ τὸν θεσπέσιον Ματ-
θαῖον ἔγραψε τὸ ἅγιον αὐτοῦ Ἐυαγγέ-
λιον, προσέθηκεν εἰς τὴν αὐτὴν ἱστορίαν
τοῦ σεληνιαζομένου, τὴν σήμερον ἀνα-
γνωσθεῖσαν, μίαν πολλὰ ἀξιόλογον πε-
ρίστασιν, ἥτις οὐ μόνον ὑπὸ τοῦ Ματ-
θαίου, ἀλλὰ καὶ ὑπὸ τοῦ εὐαγγελι-
στοῦ Λουκᾶ ἐσιωπήθη· διὰ τοῦτο πρέ-
πον ἐστὶν, ἵνα σήμερον περὶ ταύτης τῆς
περιστάσεως λαλήσωμεν. Ἠρώτησε, λέ-
γει ὁ ἱερὸς Μάρκος, ὁ Ἰησοῦς Χριστὸς
τὸν πατέρα τοῦ σεληνιαζομένου, πόσος
καιρός ἐστιν, ἐξότου ἐκείνη ἡ ἀσθένεια
Μάρκ. θ'. ἐβασάνιζε τὸν ὑιὸν αὐτοῦ· Καὶ ἐπη-
21. ρώτησε τὸν πατέρα αὐτοῦ· Πό-
σος χρόνος ἐστὶν, ὡς τοῦτο γέγο-
νεν αὐτῷ; ὁ δὲ πατὴρ τοῦ ἀσθενοῦς
ἀπεκρίθη, ὅτι ἀπὸ τῆς παιδικῆς αὐτοῦ
ἡλικίας πάσχει ὁ ὑιὸς αὐτοῦ· Ὁ δὲ
εἶπε· Παιδιόθεν. Τοῦτο τὸ ἐρώτη-
μα τοῦ Ἰησοῦ Χριστοῦ ἐστὶν ὑπόθεσις
οὐ μόνον ἀξία πολλῆς περιεργείας, ἀλ-
λὰ καὶ μεγάλης ὠφελείας πρόξενος.

Ὅταν ὁ Λάζαρος ἀπέθανεν εἰς τὴν
Βηθανίαν, τότε ὁ Ἰησοῦς Χριστὸς εὑρίσ-
Ἰωάν. ί. κετο πέραν τοῦ Ἰορδάνου εἰς τὸν
40. τόπον, ὅπου ἦν Ἰωάννης τὸ πρῶ-
τον βαπτίζων· καὶ ὅμως, γνωρίσας
τὴν ὥραν, καθ' ἣν ὁ Λάζαρος ἀπέθανεν,
εἶπε πρὸς τοὺς μαθητὰς αὐτοῦ παῤῥη-
σίᾳ· Λάζαρος ἀπέθανε· καὶ χαί- Ἰωάν. ιά.
ρω δι' ὑμᾶς, ἵνα πιστεύσητε, ὅτι 14, 15.
οὐκ ἤμην ἐκεῖ. Διαλέγονται ἐν τῇ ὁ-
δῷ οἱ μαθηταὶ αὐτοῦ μεταξὺ αὐτῶν πε-
ρὶ τοῦ, τίς αὐτῶν ἐστὶ μείζων· ὁ δὲ
Θεάνθρωπος ἐγνώρισε, κἂν οὐκ ἤκουσε,
περὶ τίνος διελέγοντο, ὅθεν καὶ εἶπε
πρὸς αὐτούς· Εἴτις θέλει πρῶτος Μάρκ. θ'.
εἶναι, ἔσται πάντων ἔσχατος, καὶ 35.
πάντων διάκονος. Ἄλλοτε πάλιν,
μὴ κατανοήσαντες οἱ μαθηταὶ τὰ ὑπ'
αὐτοῦ λεγόμενα, ἤθελον ἐρωτῆσαι αὐτόν·
αὐτὸς δὲ, γνωρίσας τοῦτο, ἀπεκρίθη πρὸς
αὐτοὺς πρὶν ἢ ἐρωτήσωσιν αὐτόν· Ἔ- Ἰωάν. ιϛ'.
γνω οὖν ὁ Ἰησοῦς, ὅτι ἤθελεν αὐ- 19.
τὸν ἐρωτᾷν, καὶ εἶπε πρὸς αὐ-
τούς· Περὶ τούτου ζητεῖτε μετ'
ἀλλήλων, ὅτι εἶπον· Μικρὸν καὶ
οὐ θεωρεῖτέ με· καὶ πάλιν μικρὸν
καὶ ὄψεσθέ με; Ὁ Σίμων ὁ Φαρι-
σαῖος εἶπεν ἐν ἑαυτῷ, ἤγουν ἐσυλλο- Λουκ. ζ.
γίσθη μόνον, ὅτι, ἐὰν ὁ Ἰησοῦς Χριστὸς 39.
ἦν προφήτης, ἐγνώριζεν, ὅτι ἡ γυνὴ, ἥτις
προσέφερεν αὐτῷ τὸ μῦρον, ἦν ἁμαρτω-
λός· ὁ δὲ Ἰησοῦς βλέπει εὐθὺς τὸν ἀ-
πόκρυφον αὐτοῦ λογισμὸν, καὶ λέγει
πρὸς αὐτόν· Σιμων, ἔχω σοί τι εἰ- Ἀυτ. 40.
πεῖν· ἔπειτα ἐφανέρωσεν εἰς αὐτὸν ὅσα
ἐκεῖνος διελογίζετο περὶ τῆς γυναικός.
Οἱ Γραμματεῖς ἔνδον εἰς τὸ βάθος τῆς

καρ-

καρδίας αὐτῶν διαλογίζονται, ὅτι ὁ Ἰησοῦς Χριστὸς λαλεῖ βλασφημίας· αὐτὸς δὲ βλέπει εὐθὺς τοὺς κεκρυμμένους διαλογισμοὺς αὐτῶν, καὶ ἐλέγχει αὐτοὺς
Μάρκ. β'. 8. μετὰ παῤῥησίας· Τί ταῦτα, λέγει, διαλογίζεσθε ἐν ταῖς καρδίαις ὑμῶν; Ἀλλὰ τίς ἡ χρεία τῶν ἀποδείξεων; τίς τῶν πιστῶν ἀμφιβάλλει, ὅτι ὁ Ἰησοῦς Χριστὸς, Θεὸς ὢν ἀληθινὸς, καὶ τὰ φανερὰ καὶ τὰ ἀπόκρυφα, καὶ τὰ παρελθόντα, καὶ τὰ ἐνεστῶτα, καὶ τὰ μέλλοντα πράγματα, καὶ τοὺς καιροὺς, καὶ τὰς ἡμέρας, καὶ τὰς ὥρας ἐγίνωσκε, καὶ οὐδὲν αὐτὸν ἐλάνθανε;

Τὸ πνεῦμα τὸ ἄλαλον καὶ κωφὸν οὐδεμίαν ἐξουσίαν εἶχεν, ἵνα βασανίζῃ τοῦ Θεοῦ τὸ πλάσμα, ἐὰν αὐτὸς ὁ Θεὸς οὐκ ἔδιδεν εἰς αὐτὸ τὴν ἄδειαν, διότι οὐδὲ τὸν Ἰὼβ ἐτόλμησε πειράξαι ὁ Διάβολος, χωρὶς τῆς τοῦ Θεοῦ συγχωρήσεως· ὅθεν ὁ Ἰησοῦς Χριστὸς, ὡς Θεὸς, καὶ τὴν ἡμέραν καὶ τὴν ὥραν ἐγίνωσκεν, ἐξ ἧς τὸ πονηρὸν πνεῦμα ἐβασάνιζεν ἐκεῖνον τὸν τρισάθλιον ἄνθρωπον. Διατί λοιπὸν ἠρώτησε τὸν πατέρα αὐτοῦ, πόσος καιρός ἐστιν, ἐξότου πάσχει;
Αὐτ. θ'. 21. Πόσος χρόνος ἐστὶν, ὡς τοῦτο γέγονεν αὐτῷ; ποίαν δύναμιν ἔχει ὁ καιρὸς, εἴτε πολύς ἐστιν, εἴτε ὀλίγος, πρὸς τὴν παντοδυναμίαν τοῦ Θεοῦ; μήπως συναντᾷ ὁ Θεὸς περισσοτέραν δυσκολίαν διὰ τὴν ἰατρείαν τῶν πολυχρονίων ἀῤῥωστημάτων, ὀλιγωτέραν δὲ διὰ τὴν τῶν ὀλιγοχρονίων; ἢ μήπως δυσκολώτερόν ἐστιν εἰς αὐτὸν, ἵνα ἐκτοπίσῃ τὸν Δαίμονα ἐκ τοῦ τόπου, ἐν ᾧ κατῴκησε πολὺν καιρὸν, εὐκολώτερον δὲ, ἵνα διώξῃ αὐτὸν ἐκ τοῦ τόπου, ἐν ᾧ ὀλίγον καιρὸν διέτριψεν; Εἰς τὸν Θεὸν τὰ πάντα ἐπίσης εἰσὶ δυνατὰ, ἐπειδὴ ἡ δύναμις αὐτοῦ οὐδὲ μέτρον ἔχει, οὐδὲ πέρας, ἀλλ' ἐστὶν ἄμετρος, ἀπέραντος, ἄπειρος· καθὼς δὲ τὰ πάντα εἰσὶν ὑπὸ τὴν ἐξουσίαν τοῦ Θεοῦ, οὕτως ὑπὸ τὴν ἐξουσίαν αὐτοῦ ἐστὶ καὶ ὁ καιρός· καὶ ὑπέταξε μὲν εἰς τὸν ἄνθρωπον πολλὰ καὶ ἀναρίθμητα πράγματα, πλὴν τὸν καιρὸν ἐκράτησεν αὐτὸς ὑπὸ τὴν ἐξουσίαν αὐτοῦ· Οὐχ ὑμῶν ἐστὶν, εἶπε, Πράξ. α'. 7.
γνῶναι χρόνους ἢ καιροὺς, οὓς ὁ Πατὴρ ἔθετο ἐν τῇ ἰδίᾳ ἐξουσίᾳ. Ἐπειδὴ οὖν ἡμεῖς οὐδεμίαν ἐξουσίαν ἔχομεν εἰς τὸν καιρὸν, διὰ τοῦτο ἠρώτησε τὸν πατέρα τοῦ ἀσθενοῦς, Πόσος χρόνος ἐστὶν, ὡς τοῦτο γέγονεν αὐτῷ; οὐχ ἵνα αὐτὸς μάθῃ, ὁ τὰ πάντα εἰδὼς, ἀλλ' ἵνα μάθωμεν ἡμεῖς, οἱ μὴ εἰδότες τοὺς χρόνους καὶ τοὺς καιροὺς, ὅτι ἀνάγκη ἐστὶν, ἵνα πολλὴν ἔχωμεν φροντίδα καὶ προσοχὴν εἰς τὸν καιρὸν, καὶ μὴ παραβλέπωμεν μηδὲ τὸ μικρότερον αὐτοῦ μέρος, μηδὲ κἂν μίαν καιροῦ στιγμήν.

Τοῖς πᾶσιν ὁ χρόνος, εἶπεν ὁ Ἐκκλ. γ'. 1.
σοφὸς Ἐκκλησιαστὴς, ἤγουν εἰς πάντα τὰ ἐν κόσμῳ πράγματα ἀναγκαῖός ἐστιν ὁ καιρός. Ποῖον πρᾶγμα εἰς τὸν κόσμον ἢ αὐξάνει, ἢ στερεοῦται, ἢ ἀπαρτίζεται, ἢ μεταβάλλεται, ἢ φθείρεται, χωρὶς τοῦ καιροῦ; Τοῖς πᾶσιν ὁ χρόνος. Τοῦτο βλέπομεν καὶ εἰς τὰ φυτὰ, καὶ εἰς τὰ ἄνθη, καὶ εἰς τοὺς καρποὺς, καὶ εἰς τὰ ζῶα, καὶ εἰς τοὺς λίθους, καὶ εἰς τὰ ἐργόχειρα, καὶ εἰς αὐτὰ τὰ ἠθικὰ ἔργα τῶν ἀνθρώπων. Ὁ καιρὸς ἀναγκαῖός ἐστι καὶ διὰ τὴν γένεσιν, ἢ τὴν ἀρχὴν τούτων, καὶ διὰ τὴν αὔξησιν, καὶ διὰ τὴν στερέωσιν, καὶ διὰ τὴν μεταβολὴν, καὶ διὰ τὴν φθοράν· Τοῖς πᾶσιν ὁ χρόνος· τοῦτο ἀληθές ἐστι καὶ βέβαιον. Τὸ δὲ ἑξῆς, τὸ ὁποῖον εὐθὺς μετὰ τοῦτο λέγει ὁ αὐτὸς Ἐκκλησιαστὴς, ἤγουν τὸ, Καὶ καιρὸς παντὶ πράγματι ὑπὸ τὸν οὐρανὸν, ὅσον ἐστὶν ἀληθὲς καὶ βέβαιον, ἄλλο τόσον ἐστὶν ἐπικίνδυνον· Ἔχει, λέγει, πᾶν πρᾶγμα

τῶν ἐν τῷ κόσμῳ τὸν ἁρμόδιον αὐτοῦ καιρόν· ἐὰν μὲν τελειωθῇ εἰς τὸν καιρὸν αὐτοῦ, ὠφελεῖ, ἐὰν δὲ ἀμεληθῇ ὁ καιρὸς αὐτοῦ, βλάπτει· ἔσπειρας, ὅτε ἐστὶ καιρὸς τοῦ σπείρειν; εἰς τὸν καιρὸν τοῦ θέρους θερίζεις, καὶ γεμίζεις τὴν ἀποθήκην σου· παρέβλεψας τὸν ἁρμόδιον καιρὸν τοῦ σπείρειν; εἰς τὸν καιρὸν τοῦ θέρους οὐδὲν θερίζεις, καὶ μένεις γυμνὸς καὶ νήστης· ἐπραγματεύθης εἰς τὸν ἁρμόδιον καιρὸν τῆς πραγματείας; κερδαίνεις· ἐνύσταξες εἰς τὸν καιρὸν τῆς ἐμπορικῆς πανηγύρεως; ζημιοῦσαι· ἀντέστης εἰς τὸν πρέποντα καιρὸν ἐναντίον εἰς τὰ στρατεύματα τῶν ἐχθρῶν; λαμβάνεις τὴν νίκην· ἐξηγέρθης κατ᾽ αὐτῶν μετὰ τὴν παρέλευσιν τοῦ ἁρμοδίου καιροῦ; νικῶσιν ἐκεῖνοι· Καὶ καιρὸς παντὶ πράγματι ὑπὸ τὸν οὐρανόν. Τοῦτο, καθὼς ἀληθεύει εἰς πάντα τοῦ κόσμου τὰ πράγματα, οὕτως ἀληθεύει καὶ εἰς τὸ ἔργον τῆς σωτηρίας ἡμῶν· δύω δὲ μόναι διαφοραί εἰσι μεταξὺ τῶν πραγμάτων τοῦ κόσμου, καὶ τοῦ ἔργου τῆς σωτηρίας· εἰς τοῦ κόσμου τὰ πράγματα, ἐὰν παραβλέψῃς τὸν ἁρμόδιον καιρόν, ἡ ζημία σου ἐνδέχεται νὰ εὕρῃ θεραπείαν, εἰς δὲ τὰ ἔργα τῆς σωτηρίας, ἐὰν προδώσῃς τὸν καιρόν, ἡ ζημία σου ἐστὶν ἀθεράπευτος· εἰς ἐκεῖνα ἡ βλάβη ἐστὶ πρόσκαιρος, εἰς ταῦτα αἰώνιος.

Καιρὸς ἁρμόδιος διὰ τὴν ψυχικὴν σωτηρίαν ἐστὶ πᾶσα στιγμὴ τοῦ καιροῦ τῆς ζωῆς ἡμῶν· ὅστις περιφρονεῖ μίαν στιγμὴν τοῦ καιροῦ τῆς ζωῆς αὐτοῦ, ἐκεῖνος κινδυνεύει τῆς ψυχῆς αὐτοῦ τὴν σωτηρίαν. Ἀλλὰ διατὶ τοῦτο; Διότι ὁ μὲν καιρός, ὁ παρελθών, ἐπέρασεν, ὅθεν οὐδὲν ὠφελεῖ σε, οὐδὲ πρὸς κατόρθωσιν τῆς ἀρετῆς, οὐδὲ πρὸς ἐπιστροφὴν καὶ μετάνοιαν· ὁ καιρὸς ὁ μέλλων οὐκ ἔστιν ὑπὸ τὴν ἐξουσίαν ἡμῶν· οὐδεὶς οἶδεν, ἐὰν ζήσῃ οὐχὶ μόνον ἕως αὔριον, ἀλλ᾽ οὐδὲ ἕως τῆς ἐφεξῆς ὥρας· πόσους εἴδομεν, νῦν μὲν ζῶντας, λαλοῦντας, περιπατοῦντας, μετὰ δὲ ὀλίγας στιγμάς, νεκρούς, ἀλάλους, ἀκινήτους; μόνος ὁ παρὼν καιρὸς χρησιμεύει, καθότι ἐν αὐτῷ δύναται ὁ ἄνθρωπος καὶ νὰ μετανοήσῃ, καὶ νὰ κατορθώσῃ τῆς ἀρετῆς τὰ ἔργα· ἀλλὰ καὶ αὐτὸς διαιρεῖται, καὶ ὑποδιαιρεῖται, καὶ πάλιν διαιρεῖται, καὶ καταντᾷ εἰς στιγμάς, αἱ ὁποῖαι ἐν ῥιπῇ ὀφθαλμοῦ παρέρχονται· διαιρεῖται ὁ καιρὸς εἰς ἡμέρας, εἰς ὥρας, εἰς λεπτὰ πρῶτα τῆς ὥρας, καὶ εἰς λεπτὰ δεύτερα, καὶ εἰς λεπτὰ λεπτῶν ἄμετρα· διὰ τοῦτο οἱ φυσιολογοῦντες λέγουσιν, ὅτι ὁ καιρὸς διαιρεῖται ἐπ᾽ ἄπειρον, καθὼς καὶ ἡ γραμμή. Ἡ σήμερον ἡμέρα αὔριον παρῆλθεν· οὐκ ἐκατώρθωσας σήμερον τὴν ἀρετήν, λοιπὸν ἀπώλεσας τὸν καιρὸν τῆς σημερινῆς ἡμέρας, αὔριον δὲ οὐκ οἶδας τί συμβαίνει· τὸ αὐτὸ εἰπὲ καὶ περὶ τῆς ὥρας ταύτης, καὶ περὶ τοῦ ἐνεστῶτος λεπτοῦ· διὰ τοῦτο ὁ πάνσοφος τοῦ Χριστοῦ Ἀπόστολος ἐδίδασκε, λέγων· Βλέπετε οὖν πῶς ἀκριβῶς Ἐφεσ. ε. 15, 16.
περιπατεῖτε· μὴ ὡς ἄσοφοι, ἀλλ᾽ ὡς σοφοί, ἐξαγοραζόμενοι τὸν καιρόν, ὅτι αἱ ἡμέραι πονηραί εἰσι· Μὴ περιπατῇς, λέγει, τὸν δρόμον τῆς ζωῆς σου ἀπερισκέπτως ὡς ἄσοφος, φανταζόμενος, ἅτι ἔχεις καιρὸν ζωῆς πολύν, καὶ μετρῶν τὰς ἡμέρας τῆς ζωῆς σου ἐπάνω εἰς τὸν μέλλοντα καιρόν, ἀλλὰ περιπάτει ὡς σοφός, μετὰ πάσης ἀκριβείας συλλογιζόμενος, ὅτι πολλὰ βραχὺς καὶ ἀκαριαῖός ἐστιν ὁ καιρός, ὅστις δύναται χρήσιμος γενέσθαι σοι, καὶ ὅτι αἱ ἡμέραι εἰσὶν ἀπατηλαί, ἐπειδή, ὅστις βάλλει τὸ θεμέλιον τῶν ἔργων αὐτοῦ ἐπάνω εἰς αὐτάς, ἐκεῖνος πλανᾶται· ὡς σοφὸς ἐξαγόραζε τὸν ἐνεστῶτα καιρόν, δοὺς πάντα τὰ ἐγκόσμια, ὅτε

τοῦ-

τοῦτο ζητοῦσιν αἱ ἀναγκαστικαὶ περι-
στάσεις, ἵνα μὴ καὶ κατ' αὐτὸν τὸν ἐνε-
στῶτα καιρὸν, τὸν καὶ μόνον χρήσιμον,
μείνῃς γυμνὸς τῶν τῆς ἀρετῆς κατορθω-
μάτων· οὐδεμίαν ἀναβολὴν ἐπιδέχονται
τῆς ἀρετῆς τὰ ἔργα, ἐπειδὴ ὁ καιρὸς ἀ-
πατᾷ καὶ φεύγει.

Πότε θέλεις, ἔλεγεν ὁ Μωϋσῆς πρὸς
τὸν Φαραὼ, ἵνα προσευχηθῶ περὶ σοῦ
πρὸς τὸν Θεόν; Ἄυριον, ἀπεκρίνετο ἐ-
Ἐξόδ. η΄. κεῖνος· Ὁ δὲ εἶπεν, Εἰς αὔριον· κα-
10. ταφρονεῖ τὸ σήμερον, τὸ ἐν ταῖς χερσὶν
αὐτοῦ, καὶ θεμελιοῖ τὴν ἐλπίδα αὐτοῦ
εἰς τὸ αὔριον, τὸ ἄδηλον καὶ ἀβέβαιον.
Αὐτόθι. Ἐξαπόστειλον αὐτὴν τὴν ὥραν, ἔλε-
1. γεν ὁ Μωϋσῆς πρὸς αὐτὸν, τὸν λαόν
μου, ἵνα μοι λατρεύσωσιν· ὁ δὲ
Φαραὼ ἀπεκρίνετο, Ἐξαποστελῶ αὐτοὺς
μετὰ ταῦτα· Ἐξαποστελῶ, καὶ πά-
λιν Ἐξαποστελῶ, ἔλεγεν, ἕως οὗ τέ-
λος πάντων, ἀντὶ νὰ μετανοήσῃ καὶ διορ-
θωθῇ, κατεποντίσθη εἰς τὰ βάθη τῆς
ἐρυθρᾶς θαλάσσης. Φοβερὸν τοῦτο τὸ
παράδειγμα διὰ ἐκείνους τοὺς ἁμαρτω-
λοὺς, οἵτινες ἀναβάλλουσι τῆς μετα-
νοίας καὶ διορθώσεως τὸν καιρόν. Ἄυ-
ριον μετανοῶ, καὶ πάλιν αὔριον, ἕως οὗ
ἔρχεται αἰφνίδιος ἡ φοβερὰ ὥρα τοῦ θα-
νάτου, καὶ ἀποθνήσκοντες ἀμετανόητοι,
καταποντίζονται εἰς τὰ βασανιστήρια
τῆς κολάσεως. Ἔστιν ὅμως καὶ ἄλλο
φοβερώτερον παράδειγμα καὶ δι' αὐτοὺς
τοὺς φιλαρέτους ἀνθρώπους, ὅταν, περι-
φρονοῦντες τὰς στιγμὰς τοῦ καιροῦ, μέ-
νωσιν ἀργοὶ ἀπὸ τῆς ἀρετῆς τὰ ἔργα.

Πέντε παρθένοι, λέγει, μωραὶ, εἰς
τὸν καιρὸν, καθ' ὃν ἔπρεπε νὰ ἀγοράσω-
σιν ἔλαιον διὰ τὰς λαμπάδας αὐτῶν
ἀμελήσασαι οὐκ ἠγόρασαν· ἄλλαι δὲ
πέντε παρθένοι φρόνιμοι, ἐπιμεληθεῖ-
σαι, ἠγόρασαν ἐν τῷ πρέποντι καιρῷ
ἔλαιον διὰ τὰς λαμπάδας αὐτῶν. Ἐν
τῷ μέσῳ τῆς νυκτὸς ἠκούσθη φωνὴ, λέ-
γουσα· Ἰδοὺ ὁ νυμφίος ἔρχεται, Ματ. κέ.
ἐξέρχεσθε εἰς ἀπάντησιν αὐτοῦ· 6.
καὶ αἱ μὲν φρόνιμοι, ἔχουσαι ἕτοιμον
τὸ ἔλαιον, ἠυτρέπισαν εὐθὺς τὰς λαμ-
πάδας αὐτῶν, ἐξῆλθον εἰς ἀπάντησιν
τοῦ νυμφίου, καὶ εἰσῆλθον μετ' αὐτοῦ
εἰς τοὺς γάμους· αἱ δὲ μωραὶ, μὴ ἔ-
χουσαι ἕτοιμον τὸ ἔλαιον, ἔτρεξαν πρὸς
τοὺς πωλοῦντας, ἵνα ἀγοράσωσιν. Ἐν
τοσούτῳ δὲ ἐκλείσθη ἡ θύρα τοῦ θείου
νυμφῶνος· ἦλθον δὲ ὕστερον, καὶ ἔκρουον
τὴν θύραν, καὶ ἐκραύγαζον, Κύριε, Αὐτόθι.
Κύριε, ἄνοιξον ἡμῖν, πλὴν εἰς μά- 11.
την, ἐπειδὴ ὁ νυμφίος ἀπεκρίθη, ὅτι
οὐδόλως γνωρίζει αὐτάς· Ὁ δὲ ἀπο- Αὐτόθι.
κριθεὶς εἶπεν· Ἀμὴν λέγω ὑμῖν, 12.
οὐκ οἶδα ὑμᾶς. Παρθένοι καὶ αἱ μω-
ραὶ, παρθένοι καὶ αἱ φρόνιμοι, ἦγουν
ἐπίσης ἦσαν ἀγαθαὶ καὶ ἐνάρετοι· καὶ
ἐκείνων καὶ τούτων τὸ πολίτευμα ἦν
καθαρὸν καὶ ἀμόλυντον· ἀλλὰ τὰς μὲν
πέντε ὠνόμασε φρονίμους, ἐπειδὴ, γνω-
ρίσασαι τοῦ καιροῦ τὸ ἄδηλον, ἐγρηγό-
ρουν, καὶ ἦσαν πάντοτε ἕτοιμοι, τὰς δὲ
λοιπὰς πέντε, μωρὰς ἐκάλεσεν, ἐπειδὴ,
ἐλπίσασαι εἰς τὸν μέλλοντα καιρὸν, ἐ-
νύσταξαν ὅτε ἦν ὁ ἁρμόδιος τῆς ἑτοιμα-
σίας καιρὸς, καὶ εὑρέθησαν ἀνέτοιμοι
εἰς τὴν ὥραν τοῦ θανάτου· ὅθεν αἱ μὲν
φρόνιμοι εἰσῆλθον εἰς τοῦ Θεοῦ τὴν δό-
ξαν καὶ τὴν μακαριότητα, αἱ δὲ μωραὶ
ἐκλείσθησαν ἔξω τοῦ θείου νυμφῶνος,
καὶ ἐστερήθησαν τῆς ἐπουρανίου βασι-
λείας. Χριστιανοὶ, ὅσοι ζῆτε ἐν παρθε-
νίᾳ καὶ καθαρότητι, ὅσοι συνάγετε τὰ
εὐωδέστατα τῶν ἀρετῶν ἄνθη, ὅσοι στο-
λίζετε τὴν ψυχὴν ὑμῶν διὰ τῆς ὡραιό-
τητος τῶν καλῶν ἔργων, προσέχετε κα-
λῶς, μὴ ἀμελεῖτε ποτὲ, οὐδὲ κἂν μίαν
στιγμὴν, τῆς ἀρετῆς τὰ κατορθώματα,
γρηγορεῖτε διαπαντὸς, καὶ μὴ θαρρεῖτε
εἰς τὸν μέλλοντα καιρὸν, ἵνα μὴ τύχῃ
καὶ ἔλθῃ ἐξαίφνης ὁ νυμφίος, καὶ εὕρῃ

ἀνέτοιμον καὶ ἐσβεσμένην τὴν τῆς ψυχῆς ὑμῶν λαμπάδα.

Δυστυχεῖς ἄνθρωποι καὶ ταλαίπωροι, οἵτινες, ὡς μωροὶ καὶ ἀνόητοι πλανώμενοι, προδίδομεν ὅλον τὸν καιρὸν τῆς ζωῆς ἡμῶν, ἀπὸ τῆς πρώτης νεότητος ἕως τοῦ ἐσχάτου γήρατος· ὁ καιρὸς τῆς νεότητος ἐστὶν ὁ καιρὸς ὁ ἁρμόδιος διὰ τῆς ἀρετῆς τὰ κατορθώματα· Ἐν τίνι, ἐρωτᾷ ὁ προφήτης τοῦ Θεοῦ, κατορθώσει νεώτερος τὴν ὁδὸν αὐτοῦ; ἔπειτα ἀποκρίνεται, λέγων· Ἐν τῷ φυλάξασθαι τοὺς λόγους σου. Τότε λοιπὸν, ἤγουν εἰς τὸν καιρὸν τῆς νεότητος, χρείαν ἔχει ὁ νέος συναναστροφῆς τιμίων καὶ ἐναρέτων ἀνδρῶν, ἵνα καὶ ἀκούῃ τὰς φρονίμους αὐτῶν συμβουλὰς, καὶ βλέπῃ τὸ ἅγιον τῆς ζωῆς αὐτῶν παράδειγμα. Τότε ἐστὶν ἀνάγκη, ἵνα καὶ διὰ τῆς νηστείας, καὶ διὰ τῆς ἀγρυπνίας, καὶ διὰ πάσης ἄλλης κακουχίας καταδαμάσας τῆς σαρκὸς τὴν φλόγα, ἀγοράσῃ τὸν πολύτιμον μαργαρίτην τῆς σωφροσύνης, ἥτις ἐστὶν ἡ μήτηρ τῆς ὑγείας καὶ τῆς τιμῆς, καὶ ἐλευθεροῖ αὐτὸν καθ᾽ ὅλην τὴν ζωὴν αὐτοῦ ἀπὸ τῶν πολλῶν καὶ ὀλεθρίων κακῶν, ὅσα προξενεῖ ἡ ἀσωτεία καὶ ἡ ἀσέλγεια. Τότε ἐστὶν ὁ ἁρμόδιος καιρὸς, καθ᾽ ὃν πρέπον ἐστὶν, ἵνα μετὰ πάσης ἐπιμελείας καὶ προσοχῆς ἀπέχῃ ἀπὸ πάσης ἁμαρτίας, καὶ φυλάττῃ ἀκριβῶς πάντα τὰ θεῖα προστάγματα· διότι εἴτι καὶ ἂν μάθῃ, καὶ συνεθίσῃ τότε, ἐκείνῳ ἀκολουθεῖ ἔπειτα ἕως ἐσχάτης αὐτοῦ ἀναπνοῆς. Οἱ νέοι ὅμως ῥίπτουσιν ἑαυτοὺς εἰς τὰς συναναστροφὰς τῶν πονηρῶν καὶ διεφθαρμένων ἀνθρώπων, βυθίζονται εἰς τὰς ἡδονὰς τῆς σαρκὸς, καὶ ὑπὸ τῆς ματαιότητος τοῦ κόσμου ἀνεμιζόμενοι, οὐδὲ κἂν συλλογίζονται ποῖαί εἰσιν αἱ ἐντολαὶ τοῦ Θεοῦ· Κατὰ τὸ παρὸν, λέγει ὁ νέος, πρέπον ἐστὶν, ἵνα ἀπολαύσω τὰ ἀγαθὰ τοῦ κόσμου, καὶ εὐφρανθῶ ἐπὶ τῇ νεότητί μου, ὅταν δὲ γηράσω, τότε συλλογίζομαι περὶ τῆς μελλούσης ζωῆς, καὶ φροντίζω, ἵνα διορθώσω τὰ ἤθη μου. Ἆ, πεπλανημένε, καὶ πῶς οὐδόλως συλλογίζεσαι, πόσον δύσκολόν ἐστιν, ἵνα ἐγκαταλείψῃς τὰς ἁμαρτίας, ὅσας ἐκ νεαρᾶς ἡλικίας ἐσυνήθησας; πῶς οὐκ ἀκούεις τὸν δεσπότην σου, ὅστις διὰ τοῦτο ἠρώτησε, Πόσος χρόνος ἐστὶν, ὡς τοῦτο γέγονεν αὐτῷ; ἵνα μάθῃς, ὅτι ἡ πολυκαιρία φέρει τὴν συνήθειαν, ἡ δὲ συνήθεια τὴν ἕξιν, ἡ δὲ ἕξις γίνεται ἄλλη φύσις, σχεδὸν ἀμετάβλητος; καὶ πῶς οὐ βλέπεις, ὅτι τὸ θέριστρον τοῦ θανάτου θερίζει ἐπίσης καὶ νέους καὶ γέροντας; τίς βεβαιοῖ καὶ πείθει σε, ὅτι φθάνεις εἰς τὸ γῆρας, καὶ οὐκ ἀποθνήσκεις εἰς τὴν ἀκμὴν τῆς ἡλικίας σου;

Ψαλ. ριή. 9.

Ἀλλ᾽ ἔστω· ἐφθάσαμεν τέλος πάντων καὶ εἰς τὸ γῆρας· τὸ γῆρας οὐκ ἔρχεται μόνον, ἀλλὰ φέρει μεθ᾽ ἑαυτοῦ καὶ τοῦ θανάτου τὰ προμηνύματα καὶ τὰ σημεῖα· ἀσθενοῦσι τὰ ὄμματά μου, οὐ βλέπω ὡς τὸ πρότερον· χαυνοῦται ἡ ἀκοή μου, οὐκ ἀκούω, καθὼς ἤκουον· ἐλαττοῦται ἡ δύναμίς μου, τρέμουσι τὰ γόνατά μου, μαδίζεται ἡ κεφαλή μου, ἐκλείπει ἡ μνήμη μου· σήμερον πονεῖ ἡ κεφαλή μου, αὔριον ὁ στόμαχός μου, ἔρχονταί μοι βῆξ καὶ φλέγματα καὶ ἀγρυπνίαι καὶ πόνοι ἀλλεπάλληλοι. Ταῦτά εἰσιν οἱ πρόδρομοι τοῦ θανάτου, ἡ ἀρχὴ τῆς φθορᾶς μου, σάλπιγγές εἰσιν, αἵτινες σαλπίζουσιν εἰς τὰ ὦτά μου, καὶ λέγουσιν· Ὁ καιρὸς ἐπλησίασεν, ἀνάστα. Ὁ νέος πλανᾶται, ἐπειδὴ περιμένει τὸ γῆρας· σὺ δὲ, γέρων, τί ἄλλο περιμένεις ἀπὸ ὥρας εἰς ὥραν, εἰμὴ τὸν θάνατον; ἀλλ᾽ ἄραγε βλέπω τοῦ θανάτου τὰ σημεῖα; ἄραγε ἀκούω τοῦ θανάτου τὴν σάλπιγγα; ἄραγε αἰσθάνομαι

μαι τὴν φθορὰν τοῦ σώματός μου; ὁ
καιρὸς τοῦ γήρατος ἐστὶ καιρὸς κατανύ-
ξεως καὶ δακρύων, ἵνα δηλονότι κλαίῃ
ὁ γέρων, συλλογιζόμενος τῶν ἁμαρτιῶν
αὐτοῦ τὸ πλῆθος· ὁ καιρὸς τοῦ γήρα-
τος ἐστὶ καιρὸς, ἵνα ἐγκαταλείψωμεν
καὶ τὴν δουλείαν τῆς ἁμαρτίας, καὶ τὰς
τρυφὰς τῆς ζωῆς, καὶ πᾶσαν τὴν μα-
ταιότητα τοῦ κόσμου.

Προσκαλεῖ ὁ Βασιλεὺς ὁ Δαβὶδ τὸν
Βερζελλὶ τὸν Γαλααδίτην· Ἐλθὲ, λέ-
γει πρὸς αὐτὸν, εἰς τὴν βασιλικήν μου
αὐλὴν, ἵνα θρέψωσε, καὶ ἀναπαύσω τὸ
Β'. Βασ. γῆράς σου· Καὶ εἶπεν ὁ Βασιλεὺς
ιθ'. 33. πρὸς Βερζελλὶ, Σὺ διαβήσῃ με-
τ' ἐμοῦ, καὶ διαθρέψω τὸ γῆράς
σου μετ' ἐμοῦ ἐν Ἱερουσαλήμ. Ἄ-
κουσον νῦν μετὰ πόσης φρονήσεως ἀπε-
κρίθη ὁ γέρων Βερζελλὶ πρὸς τὸν Βα-
σιλέα· Ἀλλὰ πόσαι, λέγει, ὦ Βασι-
λεῦ, εἰσὶν εἰς τὸ ἑξῆς αἱ ἡμέραι τῆς
ζωῆς μου, ἵνα ἔλθω μετὰ σοῦ εἰς τὴν
Αὐτ. 34. Ἱερουσαλήμ; Καὶ εἶπε Βερζελλὶ
πρὸς τὸν Βασιλέα, Πόσαι ἡμέραι
ἐτῶν ζωῆς μου, ὅτι ἀναβήσομαι
μετὰ τοῦ Βασιλέως εἰς Ἱερουσα-
λήμ; Ἀκούεις γεροντικὴν καὶ ἀληθινὴν
φρόνησιν; Συλλογιζόμενος τὸ γῆρας αὐ-
τοῦ, ἀποφασίζει, ὅτι ὀλίγαι εἰσὶν αἱ ἡ-
μέραι τῆς ζωῆς αὐτοῦ· Ἐγὼ, λέγει,
Βασιλεῦ, εἰμὶ σήμερον ὀγδοήκοντα ἐτῶν·
ἄραγε δὲ γνωρίζω ἐγὼ εἰς τὸ ἑξῆς τὴν
εὐτυχίαν καὶ τὴν δυστυχίαν; ἢ αἰσθά-
νομαι τί τρώγω, καὶ τί πίνω; ἢ ἀκούω
τὴν φωνὴν τῶν ψαλτῶν καὶ τῶν ψαλ-
Αὐτ. 35. τρίων; Υἱὸς ὀγδοήκοντα ἐτῶν ἐγώ
εἰμι σήμερον· εἰ μὴν γνώσομαι
ἀναμέσον ἀγαθοῦ καὶ κακοῦ, ἢ
γνώσεται ὁ δοῦλός σου ἔτι ὃ φά-
γομαι ἢ πίομαι, ἢ ἀκούσομαι ἔτι
φωνὴν ᾀδόντων καὶ ᾀδουσῶν; Ἀ-
κούεις, μετὰ πόσης διακρίσεως γνωρίζει
τὰ σημεῖα τοῦ θανάτου, καὶ μετὰ πό-
σης ἐπιμελείας φεύγει πᾶσαν κοσμικὴν
τιμὴν καὶ σαρκικὴν τρυφὴν καὶ ἡδυπά-
θειαν; Παραιτησόνμε, λέγει, ὦ Βασι-
λεῦ, ἵνα ἡσυχάσω, καὶ ἀποθάνω εἰς
τὴν Πατρίδα μου, πλησίον εἰς τὸν τάφον
τοῦ πατρός μου καὶ τῆς μητρός μου·
Καθισάτω δὴ ὁ δοῦλός σου, καὶ
ἀποθανοῦμαι ἐν τῇ πόλει μου, Β'. Βασ.
παρὰ τῷ τάφῳ τοῦ πατρός μου καὶ τῆς ιθ'. 37.
μητρός μου. Ἀκούεις τί συλλογίζεται ὁ
φρόνιμος γέρων ὁ Βερζελλί; οὐδὲν ἄλλο
μελετᾷ, εἰμὴ τὸν θάνατον καὶ τὸν
τάφον.

Γέροντες, ὅσοι ταῦτα ἀκούετε, τί
λέγετε; ἐνθυμᾶσθε καὶ ὑμεῖς, ὡς ὁ
Βερζελλὶ, τὴν ὀλιγότητα τῶν ἡμερῶν ὑ-
μῶν; φεύγετε καὶ ὑμεῖς, καθὼς ἐκεῖνος,
πάσας τοῦ κόσμου τὰς τρυφὰς καὶ τὰς
ματαιότητας; μελετᾶτε καὶ ὑμεῖς, κα-
θὼς ὁ Βερζελλὶ, τὸν θάνατον καὶ τὸν
τάφον; μετανοεῖτε κἂν εἰς τὸ γῆρας; ἔρ-
χεσθε κἂν περὶ τὴν ἑνδεκάτην ὥ- Ματ. κ'.
ραν εἰς τὴν ἐργασίαν τοῦ ἀμπελῶνος 6.
τοῦ Κυρίου Ἰησοῦ Χριστοῦ; καὶ κατ' αὐ-
τὴν τὴν ὥραν δέχεται ὑμᾶς ὁ φιλανθρω-
πότατος καὶ πολυέλεος Ἰησοῦς· καὶ κα-
τ' αὐτὴν τὴν ὥραν, ἐὰν μετανοήσητε, καὶ
ἔλθητε πρὸς αὐτὸν, λαμβάνετε τὸν μι-
σθὸν, ὃν λαμβάνουσιν ἐκεῖνοι, οἵτινες
ἐκοπίασαν εἰς τὰ κατορθώματα τῆς ἀ-
ρετῆς ἀπὸ τῆς πρώτης ὥρας. Φεῦ τῆς
δυστυχίας! βλέπομεν καὶ γέροντας, τρέ-
χοντας ἄνω καὶ κάτω, ἵνα συνάξωσιν
ἀργύρια, καὶ λάβωσι τιμὰς ἐπιγείους,
καὶ κοσμικὰ ἀξιώματα· βλέπομεν γέ-
ροντας, καθημένυς εἰς ἀβροδιαίτους τρα-
πέζας, καὶ ἀκορέστως τρώγοντας καὶ
πίνοντας· βλέπομεν γέροντας, ἐν μέσῳ
τῶν νέων χορεύοντας, καὶ ψάλλοντας,
καὶ ἀτακτοῦντας, καὶ τὸ γῆρας αὐτῶν
καταισχύνοντας, καὶ φθείροντας καὶ αὐ-
τὰ τῶν νέων τὰ ἤθη.

Αληθῶς πολλοὶ λόγοι πείθουσιν,
ὅτι

ὅτι οἱ γέροντες πρέπον ἐστὶν, ἵνα φοβῶνται τὸν θάνατον πολλῷ περισσότερον τῶν νέων· τὰ πράγματα ὅμως βεβαιοῦσι τὸ ἐναντίον. Ἡμεῖς βλέπομεν σχεδὸν καθ' ἑκάστην ἡμέραν, ὅτι ὁ θάνατος θερίζει πολλοὺς νέους. εἰς αὐτὸ τὸ ἄνθος τῆς νεότητος αὐτῶν· ματαία λοιπὸν ἐστὶν ἡ ἐλπὶς τοῦ γήρατος· ἐπίσης λοιπὸν ἀβέβαιός ἐστιν ἡ ὥρα τοῦ θανάτου καὶ εἰς τοὺς γέροντας, καὶ εἰς τοὺς προβεβηκότας, καὶ εἰς τοὺς νέους, καὶ εἰς τὰ παιδία, καὶ εἰς αὐτὰ τὰ βρέφη· πᾶς ἄνθρωπος λοιπὸν ὁποιασδήποτε ἡλικίας πλανᾶται, ὅταν ἀποφασίζῃ νὰ μετανοήσῃ τὸ ἐρχόμενον ἔτος, ἢ τὸν ἐρχόμενον μῆνα, ἢ τὴν ἐρχομένην ἡμέραν, ἐπειδὴ οὐδεὶς οἶδε τί συμβαίνει αὔριον, ζῇ δηλαδὴ, ἢ ἀποθνήσκει. Διὰ τοῦτο ὁ σοφώτατος Παῦλος, προσκαλῶν τοὺς ἀνθρώπους εἰς μετάνοιαν, πρῶτον
Ἡσ. μθ'. 8. μὲν εἶπε τοῦ Θεοῦ τὰ λόγια· Καιρῷ δεκτῷ ἐπήκουσά σου, καὶ ἐν ἡμέρᾳ σωτηρίας ἐβοήθησά σοι· ἔπειτα ἐξήγησεν αὐτὰ, λέγων· Ὅτι ὁ καιρὸς ὁ εὐπρόσδεκτος τῆς μετανοίας ἐστὶν ὁ νῦν καιρὸς, καὶ ἡ ἡμέρα τῆς σωτηρίας
Β'. Κορ. ϛ'. 5. ἐστὶν ἡ παροῦσα ἡμέρα· Ἰδοὺ, λέγει, νῦν καιρὸς εὐπρόσδεκτος, ἰδοὺ νῦν ἡμέρα σωτηρίας.

Ἀκούετε Χριστιανοί; Νῦν, λέγει, κατὰ τὸ παρὸν ἐστὶν ὁ καιρὸς ὁ εὐπρόσδεκτος, ἡ σήμερον ἡμέρα ἐστὶν ἡ ἡμέρα τῆς σωτηρίας ἡμῶν· τὰς παρούσας δὲ ἡμέρας ἐξόχως ἐδιώρισεν ἡ τοῦ Θεοῦ Ἐκκλησία, ἵνα μετανοήσωμεν, καὶ, ἀφέντες τὴν ἁμαρτίαν, κατορθώσωμεν τὴν ἀρετήν· Ἀποθώμεθα οὖν, ἀδελφοὶ, τὰ ἔργα τοῦ σκότους, καὶ ἐνδυσώμεθα τὰ ὅπλα τοῦ φωτός. Ῥωμ. ιγ'. 12.
Ἡ ἁμαρτία ἐστὶ σκότος, ἐπειδὴ τοσοῦτον σκοτίζει τὸν ἄνθρωπον, ὥστε καὶ θέλει καὶ πράττει ὅσα ἀφανίζουσιν αὐτόν. Ἡ ἀρετὴ ἐστὶ φῶς, ἐπειδὴ τοσοῦτον φωτίζει τὸν νοῦν τοῦ ἀνθρώπου, ὥστε καὶ θέλει καὶ πράττει τὰ πρὸς τὴν σωτηρίαν αὐτοῦ. Πολυφαγίαι, πολυποσίαι, ἀσωτεῖαι, ἀσέλγειαι, μάχαι, φθόνοι, φόνοι, ὑπερηφάνειαι, ἀδικίαι, ἁρπαγαὶ, φιλαργυρίαι, αὐτὰ καὶ ἄλλα ὅμοια εἰσὶ τὰ ἔργα τοῦ σκότους. Ἐγκράτεια, νηστεία, προσευχὴ, σωφροσύνη, ἀγάπη, ἐλεημοσύνη, ταπείνωσις, κατάνυξις, δάκρυα, μετάνοια, ἐξομολόγησις, αὐτὰ καὶ τὰ τούτοις ὅμοια εἰσὶ τὰ ὅπλα τοῦ φωτός· Ἀποθώμεθα οὖν τὰ ἔργα τοῦ σκότους, καὶ ἐνδυσώμεθα τὰ ὅπλα τοῦ φωτός. Ἰδοὺ νῦν καιρὸς εὐπρόσδεκτος, ἰδοὺ νῦν ἡμέρα σωτηρίας· μηδεὶς εἴπῃ, Ἔχω καιρὸν, ἵνα μετὰ ταῦτα μετανοήσω, διότι οὐδεὶς ἄλλον καιρὸν ἔχει, εἰμὴ τὸν παρόντα· Γρηγορεῖτε λοιπὸν, καὶ μὴ Ματ. κε'. 13.
προδίδετε τὸν νῦν καιρὸν, ὅτι οὐκ οἴδατε τὴν ἡμέραν οὐδὲ τὴν ὥραν, ἐν ᾗ ὁ Υἱὸς τοῦ ἀνθρώπου ἔρχεται.

# ΕΡΜΗΝΕΙΑ

ΕΙΣ ΤΟ ΚΑΤΑ

# ΜΑΡΚΟΝ

## ΕΥΑΓΓΕΛΙΟΝ ΤΗΣ ΠΕΜΠΤΗΣ ΚΥΡΙΑΚ. ΤΩΝ ΝΗΣΤΕΙΩΝ.

Τρεῖς ἁγίας καὶ ψυχοσωτηρίους ὑποθέσεις διαλαμβάνει τὸ σήμερον ἀναγνωσθὲν ἱερὸν Εὐαγγέλιον· τὴν προφητείαν περὶ τοῦ πάθους τοῦ Κυρίου Ἰησοῦ Χριστοῦ, τὴν αἴτησιν τῶν υἱῶν τοῦ Ζεβεδαίου, καὶ τὴν νουθεσίαν τοῦ Θεανθρώπου διὰ τὴν ἀγανάκτησιν τῶν λοιπῶν δέκα Ἀποστόλων. Ἡ προφητεία τοῦ Κυρίου Ἰησοῦ προεφανέρωσε πάντα ὅσα αὐτὸς παθεῖν ἔμελλεν, ἔτι δὲ καὶ τὸν θάνατον, καὶ τὴν τριήμερον αὐτοῦ ἀνάστασιν. Τὸ ζήτημα τοῦ Ἰακώβου καὶ Ἰωάννου ἐξήγαγε τὴν ἀπόκρισιν τοῦ Θεανθρώπου, δι᾽ ἧς ἐμάθομεν, τίνες εἰσὶν οἱ ἄξιοι τῆς ἐπουρανίου αὐτοῦ βασιλείας. Ἡ πρὸς τοὺς ἀγανακτήσαντας Ἀποστόλους νουθεσία ἐδίδαξε τὸν τρόπον, δι᾽ οὗ πᾶς ὁ πιστεύων εἰς αὐτὸν ἀναβαίνει εἰς τὸν βαθμὸν τῆς ἀληθινῆς δόξης καὶ ἁγιότητος. Μακάριος ἀληθῶς ἐκεῖνος ὁ ἄνθρωπος, ὅστις προσηλώσῃ τὸν νοῦν αὐτοῦ, ἵνα καταλάβῃ τὸ νόημα τούτων τῶν τριῶν ἁγίων μαθημάτων, ἔπειτα, μελετῶν αὐτὰ συχνά, πράττει ὅσα αὐτὰ διδάσκουσιν.

Μάρκ. ι. 32. Τῷ καιρῷ ἐκείνῳ, παραλαμβάνει ὁ Ἰησοῦς τοὺς δώδεκα μαθητὰς αὐτοῦ, καὶ ἤρξατο λέγειν τὰ μέλλοντα αὐτῷ συμβαίνειν.

Καὶ ἄλλοτε μὲν ὁ Θεάνθρωπος Ἰησοῦς προεῖπεν εἰς τοὺς Μαθητὰς αὐτοῦ τὰ περὶ τοῦ πάθους καὶ τῆς ἀναστάσεως αὐτοῦ, ὡς μαρτυρεῖ οὐ μόνον ὁ Εὐαγγελιστὴς Μάρκος, ἀλλὰ καὶ ὁ Ματθαῖος, καὶ ὁ Λουκᾶς· ὅταν δὲ ἀνέβαινεν εἰς τὰ Ἱεροσόλυμα, τότε καὶ ἐν αὐτῇ τῇ ὁδῷ παρέλαβε κατ᾽ ἰδίαν, λέγει ὁ ἱερὸς Ματθαῖος, τοὺς Μαθητὰς αὐτοῦ, καὶ ἤρξατο λέγειν τὰ μέλλοντα αὐτῷ συμβαίνειν, ἤγουν ὅσα πάθη ἔμελλε παθεῖν, ἔτι δὲ καὶ τὸν θάνατον, καὶ τὴν ἐκ νεκρῶν αὐτοῦ ἀνάστασιν. Καὶ παρέλαβε μὲν αὐτοὺς κατὰ μόνας, ἐπειδὴ αὐτοὶ μόνοι ἦσαν ἄξιοι τῆς ἀκροάσεως τῶν τοιούτων μεγάλων καὶ ὑψηλῶν Μυστηρίων· προεῖπε δὲ πρὸς αὐτοὺς τὰ περὶ τοῦ πάθους καὶ τῆς ἀναστάσεως αὐτοῦ, ἵνα πιστώσῃ αὐτούς, ὅτι ἐστὶ Θεὸς ἀληθινός, καὶ ἑκουσίως παραδίδωσι τὸ ἄχραντον αὐτοῦ σῶμα εἰς τὰ πάθη· καὶ ἵνα μὴ τὸ αἰφνίδιον καὶ λύπην ἀνείκαστον εἰς αὐτοὺς προξενήσῃ, καὶ τὴν ψυχὴν αὐτῶν καταταράξῃ· καὶ ἵνα, ἐμφυτεύσας εἰς τὴν καρδίαν αὐτῶν τῆς ἀναστάσεως αὐτοῦ τὴν ἐλπίδα, διασκεδάσῃ τῆς θλίψεως τὴν πικρότητα. Ἄκουσον δὲ πῶς συντόμως προλέγει καθὲν τῶν παθῶν αὐτοῦ, καὶ τὸν θάνατον, καὶ τὴν ἀνάστασιν.

Μάρκ. η. 31. καὶ θ. 31. Ματ. ις. 21. καὶ ιζ. 22. Λουκ. θ. 22. Ματ. κ. 17.

Ὅτι ἰδού, ἀναβαίνομεν εἰς Ἱεροσόλυμα, καὶ ὁ Υἱὸς τοῦ Μάρκ. ι. 33.

ἀν-

ἀνθρώπου παραδοθήσεται τοῖς
Ἀρχιερεῦσι καὶ τοῖς Γραμ-
ματεῦσι, καὶ κατακρινοῦσιν
αὐτὸν θανάτῳ, καὶ παραδώ-
σουσιν αὐτὸν τοῖς ἔθνεσι·
34. καὶ ἐμπαίξουσιν αὐτῷ, καὶ
μαστιγώσουσιν αὐτὸν, καὶ ἐμ-
πτύσουσιν αὐτῷ, καὶ ἀποκτε-
νοῦσιν αὐτόν· καὶ τῇ τρίτῃ
ἡμέρᾳ ἀναστήσεται.

Θαυμαστὴ ἀληθῶς αὕτη ἡ πρόρρησις, ἥτις μετὰ πάσης ἀκριβείας ἔλαβε τὴν ἔκβασιν αὐτῆς! Ἰδοὺ, λέγει, ἀναβαίνομεν εἰς Ἱεροσόλυμα, ὅπου ἑτοιμάζονταί μοι τὰ πάθη· Καὶ ὁ Υἱὸς τοῦ ἀνθρώπου παραδοθήσεται τοῖς Ἀρχιερεῦσι καὶ Γραμματεῦσι· τοῦτο τέλος ἔλαβε τότε, ὅτε (Ματ. κϛ΄. 14, 15, 16.) πορευθεὶς εἷς τῶν δώδεκα, ὁ λεγόμενος Ἰούδας Ἰσκαριώτης, πρὸς τοὺς Ἀρχιερεῖς, εἶπε· Τί θέλετέ μοι δοῦναι, κἀγὼ ὑμῖν παραδώσω αὐτόν; Οἱ δὲ ἔστησαν αὐτῷ τριάκοντα ἀργύρια. Καὶ ἀπὸ τότε ἐζήτει εὐκαιρίαν, ἵνα αὐτὸν παραδῷ· ὅτε δὲ εὗρε τὴν εὐκαιρίαν, τότε διὰ τοῦ φιλήματος παρέδωκεν αὐτόν. Καὶ κατακρινοῦσιν αὐτὸν θανάτῳ· ἡ προφητεία αὕτη ἐπληρώθη, ὅταν (Αὐτόθι. 39, 66.) οἱ Ἀρχιερεῖς, καὶ οἱ Πρεσβύτεροι, καὶ τὸ Συνέδριον ὅλον, ἀποκριθέντες, εἶπον· Ἔνοχος θανάτου ἐστί. Καὶ παραδώσουσιν αὐτὸν τοῖς ἔθνεσιν· ἐθνικὸς ἦν ὁ Πόντιος ὁ Πιλάτος ὁ Ἡγεμὼν, ὁμοίως ἐθνικοὶ ἦσαν καὶ οἱ στρατιῶται αὐτοῦ· τότε οὖν ἐπληρώθη ἡ εἰς τὰς χεῖρας τῶν ἐθνῶν παράδοσις τοῦ Ἰησοῦ, ὅτε (Αὐτ. κζ΄. 2.) δήσαντες αὐτὸν, ἀπήγαγον, καὶ παρέδωκαν αὐτὸν Ποντίῳ Πιλάτῳ τῷ Ἡγεμόνι, ὁ δὲ Πιλάτος παρέδωκεν αὐτὸν εἰς τοὺς στρατιώτας αὐτοῦ, ἵνα σταυρωθῇ. Καὶ ἐμπαίξουσιν αὐτῷ· τοῦτο τέλος ἔλαβεν, ὅτε οἱ στρατιῶται περιέθηκαν αὐτῷ χλαμύδα κοκκίνην, (Ματ. κζ΄. 28.) καὶ ἐπὶ μὲν τὴν κεφαλὴν αὐτοῦ ἐπέθηκαν τὸν ἀκάνθινον στέφανον, εἰς δὲ τὴν δεξιὰν αὐτοῦ ἔδωκαν κάλαμον, ἔπειτα, κλίνοντες τὰ γόνατα ἐνώπιον αὐτοῦ, περιέπαιζον αὐτὸν, λέγοντες· (Αὐτ. 29.) Χαῖρε ὁ Βασιλεὺς τῶν Ἰουδαίων. Πρῶτον εἰς τὴν οἰκίαν τοῦ Ἀρχιερέως (Αὐτ. κϛ΄. 67.) ἄλλοι μὲν ἐκολάφισαν αὐτὸν, ἄλλοι δὲ ἐῤῥάπισαν· ἔπειτα ὁ Πιλάτος (Αὐτ. κζ΄. 26.) ἐφραγγέλλωσεν αὐτὸν, μετὰ ταῦτα δὲ οἱ στρατιῶται, λαβόντες τὸν κάλαμον ἐκ τῶν χειρῶν αὐτοῦ, ἔτυπτον εἰς τὴν κεφαλὴν (Αὐτ. 30.) αὐτοῦ· τοῦτο δέ ἐστι τὸ, Καὶ μαστιγώσουσιν αὐτόν. Οἱ ἐν τῷ Συνεδρίῳ ἐνέπτυσαν εἰς τὸ πρόσωπον (Αὐτ. κϛ΄. 67.) αὐτοῦ, καὶ οἱ στρατιῶται τοῦ Ἡγεμόνος ὁμοίως, καὶ οὕτως ἐπληρώθη τὸ ῥηθὲν, Καὶ ἐμπτύσουσιν αὐτῷ. (Αὐτ. κζ΄. 30.) Ἐλθόντες δὲ ἐπάνω εἰς τὸ ὄρος τοῦ Γολγοθᾶ, ἐκεῖ σταυρικῷ θανάτῳ ἀπέκτειναν αὐτὸν, κατὰ τὴν προφητείαν αὐτοῦ, τὴν λέγουσαν· Καὶ ἀποκτενοῦσιν αὐτόν. Ὅτι δὲ τῇ τρίτῃ ἡμέρᾳ ἀνέστη ἐκ τῶν νεκρῶν, μαρτυροῦσιν οἱ Εὐαγγελισταὶ, οἱ αὐτόπται καὶ μάρτυρες, λέγοντες, ὅτι τῇ παρασκευῇ παρέδωκε τὸ πνεῦμα ἐπάνω εἰς τὸ ξύλον (Ἰωάν. ιθ΄. 30, 31. Ματ. κη΄. 1.) τοῦ σταυροῦ, εἰς μίαν δὲ σαββάτων, ἤγουν τῇ Κυριακῇ, ἀνέστη ἐκ τῶν νεκρῶν. Καθ' ὃν δὲ καιρὸν ὁ Κύριος Ἰησοῦς προέλεγε τοῖς Μαθηταῖς αὐτοῦ τὰ περὶ τοῦ πάθους καὶ τῆς ἀναστάσεως αὐτοῦ, ἰδοὺ δύω ἐξ αὐτῶν πλησιάζουσι πρὸς αὐτόν.

Καὶ προσπορεύονται αὐτῷ Ἰά- Μάρκ. ι.
κωβος καὶ Ἰωάννης, οἱ υἱοὶ 35.

Ζε-

Ζεβεδαίου, λέγοντες· Διδάσκαλε, θέλομεν ἵνα ὃ ἐὰν
36. αἰτήσωμεν, ποιήσῃς ἡμῖν. Ὁ δὲ εἶπεν αὐτοῖς· Τί θέλετε
37. ποιῆσαί με ὑμῖν; Οἱ δὲ εἶπον αὐτῷ· Δὸς ἡμῖν, ἵνα εἷς ἐκ δεξιῶν σου, καὶ εἷς ἐξ εὐωνύμων σου καθίσωμεν ἐν τῇ δόξῃ σου·

Ματ. κ'. 20. Διατί ὁ μὲν Εὐαγγελιστὴς Ματθαῖος λέγει, ὅτι ἡ μήτηρ τῶν υἱῶν τοῦ Ζεβεδαίου μετὰ τῶν υἱῶν αὐτῆς προσῆλθε πρὸς τὸν Ἰησοῦν Χριστὸν, καὶ ὅτι αὐτὴ, προσκυνήσασα αὐτὸν, ἐζήτησε τὴν πρωτοκαθεδρίαν ὑπὲρ τῶν υἱῶν αὐτῆς· ὁ δὲ Μάρκος οὐδὲν περὶ τῆς μητρὸς αὐτῶν εἶπε; Διότι οὐ μόνον ἡ μήτηρ, ἀλλὰ μετ' αὐτῆς καὶ οἱ υἱοὶ αὐτῆς παρεστάθησαν ἐνώπιον τοῦ Ἰησοῦ Χριστοῦ, ὡς καὶ αὐτὸς ὁ Ματθαῖος μαρτυρεῖ· οὐ μόνον
Μάρκ. ί. 38. δὲ τὸ δεύτερον ἐρώτημα, ἤγουν τὸ, Δύνασθε πιεῖν τὸ ποτήριον, ὃ ἐγὼ πίνω; ἀλλὰ καὶ ἡ νουθεσία τοῦ Ἰησοῦ Χριστοῦ, οὐ πρὸς τὴν μητέρα, ἀλλὰ πρὸς τοὺς υἱοὺς αὐτῆς ἐπέβλεπε, καθὼς καὶ ὁ Ματθαῖος ἐπιβεβαιοῖ. Πρὸς τούτοις δὲ, ἐπειδὴ κἂν ἡ μήτηρ ἐλάλησεν, ὅμως τὰ λόγια εἶπε τῶν υἱῶν αὐτῆς, ὑπ' αὐτῶν συμβουλευθεῖσα, διὰ τοῦτο ὁ θηγόρος Μάρκος, φίλος ὢν τῆς συντομίας, σιωπήσας τὰ περὶ τῆς μητρὸς, παρέστησε τοὺς υἱοὺς αὐτῆς, καὶ πλησιάσαντας πρὸς τὸν Ἰησοῦν Χριστὸν, καὶ ἐρωτηθέντας ὑπ' αὐτοῦ, κἂν αὐτὸς, ὡς καρδιογνώστης, ἐγνώριζεν, ὅτι ζητοῦσι τὴν προεδρίαν· παρέλαβον δὲ αὐτοὶ τὴν μητέρα αὐτῶν, πρῶτον μὲν, ἐπειδὴ ᾐσχύνοντο ζητῆσαι ἀμέσως παρὰ τοῦ Ἰησοῦ Χριστοῦ τὰ τοιαῦτα πρωτεῖα, δεύτερον δὲ, ἐπειδὴ ἐνόμισαν, ὅτι ἡ ἱκεσία τῆς μητρὸς αὐτῶν δυσωπεῖ περισσότερον τὸν Θεάνθρωπον. Πόθεν δὲ παρακινηθέντες οὗτοι οἱ δύω Ἀπόστολοι, ἐζήτησαν τότε παρὰ τοῦ Ἰησοῦ Χριστοῦ τὴν προεδρίαν; Αὐτοὶ, ἀκούσαντες αὐτὸν λαλοῦντα περὶ τῆς βασιλείας αὐτοῦ, καὶ λέγοντα, ὅτι ἐκεῖ οἱ Ἀπόστολοι καθίσουσιν ἐπὶ δώδεκα θρόνους, ἐνόμιζον, Ματ. ιθ'. 28.
ὅτι ἡ βασιλεία αὐτοῦ ἐστὶν ἐπίγειος· βλέποντες δὲ τότε αὐτὸν ἀναβαίνοντα εἰς τὴν Ἱερουσαλὴμ, καὶ διδάσκοντα τὰ περὶ τοῦ πάθους αὐτοῦ, ἐσυλλογίσθησαν, ὅτι ἀναβαίνει ἐκεῖ, ἵνα καθίσῃ εἰς τὸν θρόνον τῆς βασιλείας αὐτοῦ, μετὰ δὲ τοῦτο ἀκολουθήσουσιν αὐτῷ τὰ πάθη· ὅθεν ἐζήτησαν, ἵνα ἐν τῇ βασιλείᾳ αὐτοῦ ὁ μὲν εἷς αὐτῶν καθίσῃ ἐκ δεξιῶν αὐτοῦ, ὁ δὲ ἕτερος ἐξ ἀριστερῶν. Τί δὲ πρὸς ταῦτα ἀπεκρίθη ὁ Θεάνθρωπος;

Ὁ δὲ Ἰησοῦς εἶπεν αὐτοῖς· Μάρκ. ί. 38.
Οὐκ οἴδατε τί αἰτεῖσθε· δύνασθε πιεῖν τὸ ποτήριον, ὃ ἐγὼ πίνω, καὶ τὸ βάπτισμα, ὃ ἐγὼ βαπτίζομαι, βαπτισθῆναι;

Βλέπε μετὰ πόσης σοφίας ἐδιώρθωσε τὴν ἐσφαλμένην αὐτῶν ὑπόληψιν. Ὑμεῖς, λέγει, νομίζετε, ὅτι ἡ βασιλεία μου ἐστὶ κοσμικὴ καὶ ἐπίγειος, καὶ ὅτι οἱ θρόνοι, περὶ ὧν ἐγὼ ἐλάλησα, εἶσι θρόνοι ὑλικοὶ καὶ κοσμικοὶ, καὶ διὰ τοῦτο ζητεῖτε, ἵνα εἷς ἐξ ὑμῶν καθίσῃ ἐκ δεξιῶν μου, καὶ ὁ ἕτερος ἐξ εὐωνύμων μου· πλὴν οὐ γινώσκετε τί ζητεῖτε· διότι ἄλλο ἐστὶν ἡ βασιλεία μου, καὶ ἄλλο ὑμεῖς ζητεῖτε· ἐκεῖ οὐκ εἰσὶ θρόνοι κοσμικοὶ, καὶ καθέδραι ὑλικαὶ, ἀλ-

ἀλλὰ θρόνος ἐστὶν ἡ στερεὰ καὶ ἀμε-
τάτρεπτος θεία δόξα, καὶ πρωτοκαθε-
δρία ἡ ὑπεροχὴ τῆς θείας δόξης καὶ
τιμῆς· διὸ οὐκ οἴδατε τί αἰτεῖσθε. Τοῦ-
το δὲ εἰπών, ἐρωτᾷ αὐτούς, κἂν οὐδεμίαν
ἔχῃ χρείαν τοῦ ἐρωτᾷν, ὡς τὰ πάντα
εἰδώς, ἵνα αὐτοὶ μὲν τὴν προθυμίαν
αὐτῶν δείξωσιν, αὐτὸς δὲ, ἐκ τῆς ἀπο-
κρίσεως αὐτῶν ἀφορμὴν λαβών, διδάξῃ
αὐτοὺς τίνες εἰσὶν οἱ ἄξιοι τῆς τοσαύ-
της χάριτος καὶ δόξης· Ὑμεῖς, λέγει,
ζητεῖτε πρωτοκαθεδρίαν εἰς τὴν βασι-
λείαν μου, ἀλλὰ δύνασθε ἆραγε ὑμεῖς
πιεῖν τὸ ποτήριον, ὃ ἐγὼ πίνω,
ἤγουν δύνασθε ἀποθανεῖν διὰ σταυρι-
κοῦ θανάτου, καθὼς ἐγώ; δύνασθε ὑμεῖς
βαπτισθῆναι τὸ βάπτισμα, ὃ ἐγὼ
βαπτίζομαι, ἤγουν δύνασθε ὑπομεῖναι
τὸ πλῆθος τῶν παθῶν, εἰς ὅσα ἐγὼ
καταβυθίζομαι; Φανερὸν δέ ἐστιν, ὅτι
ποτήριον μὲν ὠνόμασε τὸν θάνατον αὐ-
τοῦ, βάπτισμα δὲ τὸ πάθος, ἐπειδὴ
καὶ ὅταν προσηύχετο, ἵνα παρέλθῃ ἀ-
Ματ. κϛ'. π' αὐτοῦ ὁ θάνατος, Πάτερ μου, εἶπεν,
39. εἰ δυνατόν ἐστιν, παρελθέτω ἀπ'
ἐμοῦ τὸ ποτήριον τοῦτο· καὶ ὅταν
ἐφανέρωσεν εἰς τοὺς Μαθητὰς αὐτοῦ,
ὅτι ὑπερβολικὰ ἐπιθυμεῖ τὸ πάθος διὰ
Λουκ. ιβ'. τὴν σωτηρίαν τῶν ἀνθρώπων, Βάπτισ-
50. μα, εἶπεν, ἔχω βαπτισθῆναι, καὶ
πῶς συνέχομαι ἕως οὗ τελεσθῇ;
ποτήριον ὠνόμασε τὸν θάνατον, ἐπειδή,
καὶ ἡμεῖς, ὁσάκις πίνομεν τὸ ποτήριον
Α'. Κορ. ιά. τῆς θείας Εὐχαριστίας, τὸν θάνατον
26. αὐτοῦ καταγγέλλομεν· βάπτισμα
Κολ. β'. δέ, τὸ πάθος καὶ τὴν ταφήν, ἐπειδὴ
12. καὶ ἡμεῖς, ὅσοι εἰς Χριστὸν ἐβαπτίσθη-
μεν, συνετάφημεν αὐτῷ ἐν τῷ βαπτίσ-
ματι. Τί δὲ πρὸς τοῦτο τὸ ἐρώτημα
τοῦ Κυρίου Ἰησοῦ ἀπεκρίθησαν οἱ δύω
Ἀπόστολοι;

Μάρκ. ί. 39. Οἱ δὲ εἶπον αὐτῷ· Δυνάμε-
θα. Ὁ δὲ Ἰησοῦς εἶπεν αὐ-
τοῖς· Τὸ μὲν ποτήριον, ὃ ἐ-
γὼ πίνω, πίεσθε, καὶ τὸ
βάπτισμα, ὃ ἐγὼ βαπτίζο-
μαι, βαπτισθήσεσθε. Τὸ δὲ 40.
καθίσαι ἐκ δεξιῶν μου καὶ ἐξ
εὐωνύμων μου, οὐκ ἔστιν ἐμὸν
δοῦναι, ἀλλ' οἷς ἡτοίμασται.

Οἱ μὲν Ἀπόστολοι λέγουσιν, ὅτι
δύνανται καὶ τὰ πάθη ὑπὲρ αὐτοῦ ὑπο-
μεῖναι καὶ τὸν θάνατον, ὁ δὲ Θεάνθρω-
πος ἐπιβεβαιοῖ τοῦτο, ὅπερ καὶ ἐγένετο·
διότι τὸν μὲν Ἰάκωβον μαχαίρᾳ ἐφόνευ- Πράξ. ιβ'. 2.
σεν ὁ Ἡρώδης, τὸν δὲ Ἰωάννην ἐξορίᾳ
κατεδίκασεν εἰς τὴν Πάτμον ὁ Δομε-
τιανός· Ὅμως γινώσκετε, λέγει, ὅτι αὐ- Νικηφ. ἱστορ. β'.
τοὺς τοὺς ἐκ δεξιῶν καὶ ἀριστερῶν θρό- γ'. κ. θ'.
νους, ἤγουν αὐτὸ τὸ ὑπερβάλλον τῆς
δόξης, οὐκ ἔστιν ἐμὸν δοῦναι, ἤγουν
οὐκ ἔστιν ἔργον τῆς δικαιοσύνης μοὺ δοῦ-
ναι ὑμῖν τοῦτο, (καθὼς ὑμεῖς στοχά-
ζεσθε) ἢ καθότι ἐστὲ Μαθηταί μου, ἢ
καθότι ἐστὲ φίλοι μου, διότι ἡ τοιαύτη
δόξα οὐδὲ διὰ φιλίαν, οὐδὲ διὰ προσω-
ποληψίαν δίδοται· πρὸς ἐκείνους δὲ μό-
νον δίδοται, ὑπὲρ ὧν διὰ τὴν τελειό-
τητα τῆς ἀρετῆς αὐτῶν ἡτοιμάσθη. Ὑ-
πὸ τίνος δὲ ἡτοιμάσθη, ἐφανέρωσεν ὁ
ἱερὸς Ματθαῖος, εἰπών· Ἀλλ' οἷς ἡ- Ματ. κ'.
τοίμασται ὑπὸ τοῦ Πατρός μου. 23.
Μὴ νομίσῃς δέ, καθὼς οἱ Ἀρειανοί, ὅτι
διὰ τούτου τοῦ λόγου ἐφανέρωσεν ὁ Υἱὸς
ἑαυτὸν κατώτερον τοῦ Πατρὸς αὐτοῦ,
διότι ἀλλαχοῦ ἐδίδαξε, λέγων· Ἐγὼ Ἰωάν. ί.
καὶ ὁ Πατὴρ ἕν ἐσμεν· εἶπε δὲ τοῦ- 30.
το ὡς ἄνθρωπος· διότι ὡς μὲν Θεὸς
σὺν τῷ Πατρὶ καὶ τῷ Πνεύματι ἀπὸ Ματ. κέ.
καταβολῆς κόσμου βασιλείαν ἡτοί- 34.
μασε διὰ τοὺς δικαίους, ὡς δὲ ἄνθρω-
πος

πος οὐκ ἀφ' ἑαυτοῦ εἶχε τὴν ἐξουσίαν τοῦ κρίνειν, καὶ ἑτοιμάζειν βασιλείαν καὶ δόξαν, ἀλλὰ παρὰ τοῦ Θεοῦ καὶ Πατρὸς ἔλαβε τὴν τοιαύτην ἐξουσίαν·
Ματ. κή. 18. διὸ καὶ ἔλεγεν· Ἐδόθη μοι πᾶσα ἐξουσία ἐν οὐρανῷ καὶ ἐπὶ γῆς. Τί δὲ εἶπον οἱ λοιποὶ δέκα Ἀπόστολοι, ὅτε ἤκουσαν τὸ ζήτημα τῶν δύω, τοῦ Ἰακώβου καὶ Ἰωάννου, καὶ τὴν ἀπόκρισιν τοῦ Ἰησοῦ Χριστοῦ;

Μάρκ. ί. 41. Καὶ ἀκούσαντες οἱ δέκα, ἤρξαντο ἀγανακτεῖν περὶ Ἰακώβου καὶ Ἰωάννου.

Θαυμαστὸν πρᾶγμα! ὁ Ἰάκωβος καὶ ὁ Ἰωάννης νομίζουσιν, ὅτι ἡ βασιλεία τοῦ Ἰησοῦ Χριστοῦ ἐστὶν ἐπίγειος· καὶ ὁ μὲν Ἰησοῦς Χριστὸς λαλεῖ περὶ τοῦ πάθους καὶ τοῦ θανάτου καὶ τῆς ἐκ νεκρῶν ἀναστάσεως αὐτοῦ, ἐκεῖνοι δὲ, πλησιάσαντες πρὸς αὐτὸν, ζητοῦσι πρωτεῖα καὶ πρωτοκαθεδρίας· οἱ δὲ λοιποὶ δέκα Ἀπόστολοι ἀγανακτοῦσι, ταῦτα ἀκούσαντες. Ἀκαταγοησία, φιλοδοξία, καὶ ἀγανάκτησις εἰς τοὺς Ἀποστόλους, ἤγουν εἰς τὰ σκεύη τῆς ἐκλογῆς, εἰς ἐκεί-
Ἰωάν. ιέ. 19. νους, οὓς ὁ Θεὸς ἐξελέξατο ἐκ τοῦ κόσμου; τοῦτο εὐδόλως θαυμαστόν ἐστιν· ἄνθρωποι ἦσαν οἱ Ἀπόστολοι ἁλιεῖς,
Πράξ. δ'. 13. ἀγράμματοι, καὶ ἰδιῶται· διὰ τοῦτο οὐδὲ ὁ νοῦς αὐτῶν κατελάμβανε τὰ ὑψηλὰ καὶ ἐπουράνια νοήματα, οὐδὲ ἡ καρδία αὐτῶν ἐλευθέρα ἦν τῶν ἀνθρωπίνων παθῶν. Ἐπὶ ταυτοῦ δὲ τοιούτους ἐξελέξατο ὁ Θεὸς διὰ τὸ εὐαγγελικὸν κή-
Α'. Κορ. ά. 29. ρυγμα, ἵνα μὴ καυχηθῇ δύναμις ἀνθρώπου, ὅτι αὐτὴ ἥπλωσεν εἰς τὸν κόσμον τῆς πίστεως τὸ κήρυγμα. Τοιοῦτοι ἦσαν τότε οἱ Ἀπόστολοι κατὰ φύσιν, ὕστερον δὲ, ἤγουν μετὰ τὴν Χριστοῦ ἀνά-
Λουκ. κδ'. 45. στασιν, καὶ τὸν νοῦν αὐτῶν διήνοιξεν ὁ Θεάνθρωπος τοῦ συνιέναι τὰς Γραφὰς, καὶ Πνεύματος ἁγίου ἐπλήρωσεν αὐτοὺς ἐν τῇ ἡμέρᾳ τῆς Πεντηκοστῆς· διὸ καὶ ἐλάλουν γλώσσας καὶ προεφήτευον, καὶ θείας χάριτος πληρω- Πράξ. β'. 4.
θέντες, γεγόνασι πάνσοφοι, πανάρετοι, καὶ τέλειοι. Ἄκουσον δὲ νῦν καὶ τὴν ἐπουράνιον νουθεσίαν τοῦ Θεανθρώπου.

Ὁ δὲ Ἰησοῦς, προσκαλεσάμενος αὐτοὺς, λέγει αὐτοῖς· Μάρκ. ί. 42.
Οἴδατε, ὅτι οἱ δοκοῦντες ἄρχειν τῶν ἐθνῶν, κατακυριεύουσιν αὐτῶν· καὶ οἱ μεγάλοι αὐτῶν κατεξουσιάζουσιν αὐτῶν. Οὐχ οὕτω δὲ ἔσται ἐν 43.
ὑμῖν· ἀλλ' ὃς ἐὰν θέλῃ γενέσθαι μέγας ἐν ὑμῖν, ἔσται 44.
ὑμῶν διάκονος· Καὶ ὃς ἐὰν θέλῃ ὑμῶν γένεσθαι πρῶτος, ἔσται πάντων δοῦλος.

Βλέπε μετὰ πόσης σοφίας καὶ πραότητος ἐλέγχει καὶ ἐπανορθοῖ τὸ σφάλμα τῶν μαθητῶν αὐτοῦ, καὶ ἀναβιβάζει τὸν νοῦν αὐτῶν ἀπὸ τῆς γῆς εἰς τὸν οὐρανὸν, διδάσκων αὐτοὺς, ὅτι τὰ ἔργα τῶν ἐθνικῶν, ἤγουν τῶν δούλων τοῦ κόσμου, εἰσὶν ἐναντία τῶν ἔργων τῶν μαθητῶν αὐτοῦ· Οἱ Ἄρχοντες, λέγει, Ματ. κ'. 25.
τῶν ἐθνῶν, καθὼς καὶ ὑμεῖς γινώσκετε, ζητοῦσι πρωτεῖα, καὶ κατακυριεύουσι τῶν λαῶν αὐτῶν· καὶ οἱ μεταξὺ αὐτῶν μεγάλοι, καθότι ἢ πλούσιοί εἰσιν, ἢ ἀξιωματικοὶ, κατεξουσιάζουσιν αὐτῶν· ὑμεῖς δὲ οἱ ἐμοὶ μαθηταὶ, οἵ τινες ἐστὲ ἄνθρωποι οὐχὶ κοσμικοὶ, ἀλλ' ἐπουράνιοι, οὐκ ἔστι πρέπον, ἵνα τοιουτοτρόπως πο-

λιτεύησθε· ἀλλ᾽ ὅστις ἐξ ὑμῶν θέλει γενέσθαι μέγας, ἐκεῖνος γενέσθω ὑπηρέτης ὑμῶν· καὶ ὅστις θέλει γενέσθαι πρῶτος, ἐκεῖνος ἔστω πάντων τῶν ἄλλων δοῦλος. Ἀλλὰ διατί ἡ ὑπηρεσία, καὶ ἡ δουλεία ὑψοῖ τὸν ἄνθρωπον; Διότι ὅστις γίνεται ὑπηρέτης καὶ δοῦλος τῶν ἄλλων, ἐκεῖνος ἔχει τῆς ταπεινοφροσύνης τὴν ἀρετήν· ἡ δὲ ταπεινοφροσύνη ὑψοῖ τὸν ἄνθρωπον ὑπεράνω τῶν ἄλλων ἀνθρώπων, καὶ δίδωσιν εἰς αὐτὸν τὸ πρωτεῖον, καὶ τὴν πρωτοκαθεδρίαν τὴν ἀληθινὴν
Λουκ. ιη'. 14. καὶ αἰώνιον· Ὁ δὲ ταπεινῶν ἑαυτὸν, ὑψωθήσεται·
Παροιμ. γ'. 34. Ταπεινοῖς δὲ δίδωσι χάριν. Ἵνα δὲ εἰς τὰς καρδίας τῶν Μαθητῶν αὐτοῦ ἐμφυτεύσῃ ὁ Θεάνθρωπος τοῦτο τὸ ἐπουράνιον μάθημα, προβάλλει εἰς αὐτοὺς τὸ ἑαυτοῦ παράδειγμα.

Μάρκ. ι'. 45. **Καὶ γὰρ ὁ Υἱὸς τοῦ ἀνθρώπου οὐκ ἦλθε διακονηθῆναι, ἀλλὰ διακονῆσαι, καὶ δοῦναι τὴν ψυχὴν αὐτοῦ λύτρον ἀντὶ πολλῶν.**

Διότι καὶ ἐγὼ, λέγει, οὐκ ἦλθον εἰς τὸν κόσμον τοῦτον, ἵνα ὑπηρετηθῶ ὑπὸ τῶν ἀνθρώπων, ἀλλ᾽ ἵνα ὑπηρετήσω τὰ περὶ τῆς σωτηρίας αὐτῶν· οὐ μόνον δὲ ἦλθον, ἵνα ὑπηρετήσω, ἀλλὰ καὶ ἵνα ἀποθάνω, καὶ διὰ τοῦ θανάτου μου λυτρώσω ἀπὸ τῆς δουλείας τοῦ Διαβόλου τὸ ἀνθρώπινον γένος. Καὶ ὑπηρέτησε μὲν ὁ Θεάνθρωπος τοὺς ἀνθρώπους, διδάσκων αὐτοὺς τῆς θεογνωσίας καὶ ἀρετῆς τὰ μαθήματα, διώκων ἀπ᾽ αὐτῶν τὰ Δαιμόνια, ἰατρεύων τὰ πάθη,
καὶ θεραπεύων τὰς αὐτῶν ἀσθενείας· διη- Ἰωάν. ιγ'. 4.
κόνησε δὲ τοὺς ἀνθρώπους, καὶ ὅτε ὡς δοῦλος ἐζώσθη τὸ λέντιον, καὶ ἔνιψε τοὺς πόδας τῶν ἰδίων Μαθητῶν· ἔδωκε δὲ τὴν ψυχὴν αὐτοῦ λύτρον ἀντὶ πολλῶν, προσενεγκὼν ἑαυτὸν, ἐπάνω εἰς τὸ ξύλον τοῦ σταυροῦ, ἱλαστήριον πρὸς τὴν Θεότητα θυσίαν, δι᾽ ἧς ἐξηγόρασεν ἡμᾶς ἐκ τῆς τοῦ ἐχθροῦ ἡμῶν τυραννίας. Ἀντὶ πολλῶν δὲ εἶπε, καὶ οὐχὶ ἀντὶ πάντων, κἂν ὑπὲρ πάντων τῶν ἀνθρώπων ἀπέθανεν, ἐπειδὴ ὁ θάνατος αὐτοῦ οὐκ ἔσωσε πάντας, ἀλλὰ πολλοὺς, τοὺς εἰς αὐτὸν δηλονότι πιστεύσαντας, καὶ τὰς ἁγίας αὐτοῦ ἐντολὰς φυλάξαντας.

---

# ΟΜΙΛΙΑ

ΜΕΤΑ ΤΟ ΚΑΤΑ

# ΜΑΡΚΟΝ

## ΕΥΑΓΓΕΛΙΟΝ ΤΗΣ ΠΕΜΠΤΗΣ ΚΥΡΙΑΚΗΣ ΤΩΝ ΝΗΣΤΕΙΩΝ.

Η νουθεσία τοῦ Κυρίου Ἰησοῦ Χριστοῦ πρὸς τοὺς Μαθητὰς αὐτοῦ σκοπὸν εἶχε τὴν ταπεινοφροσύνην· διατί οὖν προβάλλει εἰς αὐτοὺς οὐ μόνον τῆς ταπεινώσεως, ἀλλὰ καὶ τῆς ὑπερβολικῆς αὐτοῦ ἀγάπης τὸ παράδειγμα; εἶπεν, Ἐγὼ ἦλθον εἰς τὸν κόσμον, οὐχ ἵνα ὑπηρετηθῶ ὑπὸ τῶν ἀνθρώπων, ἀλλ' ἵνα ὑπηρετήσω αὐτούς· τοῦτο ἀρκετὸν ὑπὲρ πᾶν ἄλλο ταπεινοφροσύνης παράδειγμα. Ὅταν βλέπωμεν τὸν Βασιλέα τῶν βασιλευόντων, τὸν Δημιουργὸν τοῦ οὐρανοῦ καὶ τῆς γῆς, τὸν Ἐξουσιαστὴν πάσης τῆς ὁρωμένης καὶ ἀοράτου κτίσεως· ὅταν βλέπωμεν τὸν παντοδύναμον καὶ παντεξούσιον Θεὸν, τὸν ὑπὸ πάσης τῆς ἐπουρανίου στρατιᾶς τῶν Ἀγγέλων προσκυνούμενον καὶ λατρευόμενον, ὑπηρετοῦντα τοὺς ἀνθρώπους, καὶ πλύνοντα τοὺς πόδας τῶν δούλων, ποῖον ἄλλο, ἢ μεῖζον, ἢ ἰσχυρότερον, ἢ δραστικώτερον τούτου τῆς ταπεινοφροσύνης παράδειγμα; ποῖον ἄλλο, πλὴν τούτου τοῦ παραδείγματος, δύναται περισσότερον νὰ καταπείσῃ ἡμᾶς, ἵνα μὴ τὰ ὑψηλὰ ἀλλὰ τὰ ταπεινὰ στοχαζώμεθα; διατί λοιπὸν εἰς τῆς ταπεινοφροσύνης αὐτοῦ τὸ παράδειγμα συνάψας καὶ τὸ τῆς ὑπερβολικῆς αὐτοῦ
Μάρκ. ι. 45. ἀγάπης, εἶπε· Καὶ γὰρ ὁ Υἱὸς τοῦ ἀνθρώπου οὐκ ἦλθε διακονηθῆναι, ἀλλὰ διακονῆσαι, καὶ δοῦναι τὴν ψυχὴν αὐτοῦ λύτρον ἀντὶ πολλῶν;

Οἱ μὲν δύω Ἀπόστολοι, ὁ Ἰάκωβος καὶ ὁ Ἰωάννης, ζητήσαντες παρὰ τοῦ Ἰησοῦ Χριστοῦ πρωτεῖα καὶ πρωτοκαθεδρίας, ἔδειξαν σημεῖα ὑπερηφανείας· οἱ δὲ λοιποὶ δέκα, ἀγανακτήσαντες διὰ τὸ ζήτημα τῶν δύω, ἔδειξαν φθόνου σημεῖα· ὁ δὲ φθόνος στέρησίς ἐστι τῆς ἀγάπης· διὰ τοῦτο οὖν ἐσύναψεν ὁ Θεάνθρωπος εἰς τὴν διδασκαλίαν τῆς ταπεινοφροσύνης τὸ παράδειγμα τῆς ἀγάπης, ἵνα οὐ μόνον τοὺς δύω, ἀλλὰ καὶ τοὺς λοιποὺς δέκα νουθετήσῃ.

Τὰ λόγια τοῦ Θεανθρώπου Ἰησοῦ οὐκ ἐπέβλεπον μόνον ἐπὶ τὴν διόρθωσιν τῶν Μαθητῶν αὐτοῦ, ἀλλὰ καὶ ἐπὶ τὴν σωτηρίαν πάντων τῶν εἰς αὐτὸν πιστευόντων· διὰ τοῦτο δὲ ἐσύναψε τὸ παράδειγμα τῆς ταπεινοφροσύνης μετὰ τοῦ παραδείγματος τῆς ἀγάπης, ἵνα καὶ τὸν κόσμον ὅλον διδάξῃ, ὅτι αὐταὶ αἱ δύω μεγάλαι ἀρεταὶ εἰσὶν ἀχώριστοι, καθὼς ὁ ἥλιος ἀπὸ τοῦ φωτὸς, καὶ τὸ πῦρ ἀπὸ τῆς θερμότητος, καὶ τὸ σῶμα ἀπὸ τῆς βαρύτητος.

Ἡ πρὸς Θεὸν ἀγάπη ἔχει ὅρον ὅλον τὸν ἄνθρωπον, ἐπειδὴ χρέος ἔχομεν, ἵνα ἀγαπῶμεν τὸν Θεὸν ἐξ ὅλης καρ- Λουκ. ι.
δίας, ἐξ ὅλης ψυχῆς, ἐξ ὅλης ἰσ- 27.
χύος, καὶ ἐξ ὅλης τῆς διανοίας· εἰς τὴν πρὸς τὸν πλησίον ἀγάπην ἔβαλεν ὁ Θεὸς ὅρον τὴν ἰσότητα· Ἀγαπή- Ματ. ιθ'.
σεις, εἶπε, τὸν πλησίον σου ὡς σεαυ- 19.
τόν. Βλέπε δὲ πῶς ἡ ἀγάπη τοῦ πλησίον

σῖον συνηνωμένη ἐστὶ μετὰ τῆς ταπεινοφροσύνης, καὶ πῶς, ἐὰν φύγῃ ἡ ἀγάπη ἀπὸ τῆς καρδίας ἡμῶν, φεύγει εὐθὺς καὶ ἀπὸ τοῦ νοὸς ἡμῶν ἡ ταπείνωσις· ὁμοίως, ἐὰν φύγῃ ἡ ταπείνωσις, φεύγει εὐθὺς καὶ ἡ ἀγάπη.

Ὅταν ἐγὼ ἀγαπῶ τὸν πλησίον μου, κατὰ τὸν ὅρον τῆς ἐντολῆς τοῦ Θεοῦ, τότε εἶτι καὶ ἂν πράττω ὑπὲρ τοῦ ἑαυτοῦ μου, τοῦτο αὐτὸ πράττω καὶ ὑπὲρ τοῦ πλησίον μου· ἐν ὅσῳ λοιπὸν ἀγαπῶ τὸν πλησίον μου, καθὼς τὸν ἑαυτόν μου, ἀδύνατόν ἐστιν, ἵνα θελήσω καὶ στέρξω νὰ λάβω προτίμησιν ἀπ' αὐτοῦ· ἀδύνατόν ἐστιν, ἵνα θελήσω, διὰ τὴν ἐμὴν τιμὴν, τὴν ἀτιμίαν ἐκείνου. Ὅταν θέλω προτίμησιν, πρωτοκαθεδρίαν, ὑπεροχὴν ἀπὸ τοῦ πλησίον μου· ὅταν ὀργίζωμαι κατ' ἐκείνου, ὅστις οὐ παραχωρεῖ εἰς ἐμὲ τὸ πρωτεῖον, καὶ ἀγανακτῶ κατ' ἐκείνου, ὅστις οὐ προσκυνεῖ με, καὶ θέλω, ἵνα συλλογίζωνται οἱ ἄνθρωποι, ὅτι εἰμὶ ἀνώτερος τῶν ἄλλων ἀνθρώπων, τότε οὐκ ἀγαπῶ τὸν πλησίον μου ὡς τὸν ἑαυτόν μου, ἀλλ' ἀγαπῶ τὸν ἑαυτόν μου περισσότερον τοῦ πλησίον μου· φανερὸν λοιπόν ἐστιν, ὅτι τότε θέλω προτίμησιν καὶ πρωτεῖον, ὅταν οὐκ ἔχω τὴν ὑπὸ Θεοῦ διορισθεῖσαν ἀγάπην τοῦ πλησίον μου· φεύγει ἀπὸ τῆς καρδίας μου ἡ ἀγάπη, διὰ τοῦτο φεύγει ἀπὸ τοῦ νοός μου καὶ ἡ ταπείνωσις· ἐν ὅσῳ ἀγαπῶ τὸν πλησίον μου καθὼς τὸν ἑαυτόν μου, οὐδένα τόπον εὑρίσκει ἐν ἐμοὶ ἡ ὑπερηφάνεια, ἀλλὰ φεύγει μακρὰν ἀπ' ἐμοῦ.

Ὁ ταπεινὸς ἄνθρωπος, κἂν εὐγενὴς, κἂν πλούσιος, κἂν ἀξιωματικὸς, κἂν ὑπερέχῃ τοὺς ἄλλους κατὰ πάντα, οὐδὲ τὴν εὐγένειαν, οὐδὲ τὴν σοφίαν, οὐδὲ τὸν πλοῦτον, οὐδὲ τὰ ἀξιώματα, οὐδὲ τὴν ὑπεροχὴν αὐτοῦ στοχάζεται, ἀλλὰ συλλογιζόμενος, ὅτι ἐστὶ γῆ καὶ τῶν σκωλήκων βρῶμα, καθὼς καὶ οἱ λοιποὶ ἄνθρωποι, οὐ μόνον οὐδεμίαν ποτὲ ζητεῖ προτίμησιν, ἀλλὰ σπεύδει πάντοτε, ἵνα προτιμᾷ τοὺς ἄλλους. Ἐὰν ἦσαν πάντες οἱ ἄνθρωποι ταπεινοὶ, ἔβλεπες εἰς τὸν κόσμον ἐκεῖνο, τὸ ὁποῖον παραγγέλλει ὁ Ἀπόστολος Παῦλος, λέγων· Τῇ τιμῇ ἀλλήλους προηγούμενοι· ἔβλεπες τόσην φιλονεικίαν, ἵνα ὁ εἷς παραχωρήσῃ τὸ πρωτεῖον εἰς τὸν ἄλλον, ὅσην βλέπεις τὴν σήμερον, ἵνα ὁ εἷς προκαθίσῃ τοῦ ἄλλου· ἔβλεπες τόσην σπουδὴν, ἵνα ὁ εἷς φανῇ κατώτερος τοῦ ἄλλου, ὅσους ἀγῶνας βλέπεις τὴν σήμερον, ἵνα ὁ εἷς λογισθῇ ἀνώτερος τοῦ ἄλλου. Βλέπε δὲ, πῶς ἡ τοιαύτη ταπείνωσις συνημμένη ἐστὶ μετὰ τῆς ἀγάπης· ὅταν προαιρῆσαι, ἵνα προτιμᾷς τὸν ἄλλον, τότε ποῖον θέλεις νὰ προτιμήσῃς, τὸν φίλον σου, ἢ τὸν ἐχθρόν σου; ἐκεῖνον ὃν ἀγαπᾷς, ἢ ἐκεῖνον τὸν ὁποῖον μισεῖς; φανερόν ἐστιν, ὅτι τὸν φίλον σου, καὶ οὐχὶ τὸν ἐχθρόν σου, τὸν ἀγαπώμενον, καὶ οὐχὶ τὸν μισούμενον προτιμᾷς· ὅταν λοιπὸν, διὰ τὴν ταπείνωσιν τῆς καρδίας σου, προτιμᾷς πάντας, τότε οὐδεμία ἀμφιβολία ἐστὶν, ὅτι ἀγαπᾷς πάντας τόσον, ὅσον ἀγαπᾷς καὶ τὸν ἑαυτόν σου· ἰδοὺ λοιπὸν πῶς συμπεπλεγμένη καὶ συμμεμιγμένη ἐστὶν ἡ ταπείνωσις μετὰ τῆς ἀγάπης.

Ῥωμ. ιβ. 10.

Ὅταν φύγῃ ἡ ταπείνωσις, καὶ προχωρήσῃ εἰς τὸν νοῦν ἡμῶν ἡ ὑπερηφάνεια, τότε οὐδόλως συλλογιζόμεθα, ὅτι μετ' ὀλίγον, ἤγουν μετὰ θάνατον, πάντα ὅσα ἔχομεν ἐκλείπουσιν ὡς ὀνείρατα, ἡμεῖς δὲ πάντες γινόμεθα ἴσοι κατὰ πάντα, ἤγουν σαπρία καὶ γῆ· ὅθεν ἀκούεις τοῦτον μὲν κραυγάζοντα, Ἐμὲ πρέπει τὸ πρωτεῖον, ἐπειδὴ εἶμι εὐγενής· ἐκεῖνον δὲ βοῶντα, Εἰς ἐμὲ πρέπει ὁ ἀνώτερος τόπος, ἐπειδή εἰμι σοφὸς, ἐκεῖνος δὲ, ὅστις ἐκεῖ κάθηται, ἐστὶν ἀμαθής· τότε βλέπεις τὸν πλούσιον, ἀγανακτοῦντα καὶ ὀρ-

ὀργιζόμενον, ἐπειδὴ οὐ προετίμησεν αὐτὸν ὁ πτωχός· βλέπεις τὸν ἀξιωματικὸν τιμωροῦντα τὸν ἰδιώτην, ἐπειδὴ οὐ προσεκύνησεν αὐτὸν ἕως ἐδάφους τῆς γῆς· τότε, λέγω, βλέπεις τῆς ὑπερηφανείας τὰ παγκάκιστα ἔργα πάντα, τὰ ὁποῖα τόσον ἀπέχουσιν ἀπὸ τῆς ἀγάπης, ὅσον ὁ οὐρανὸς ἀπὸ τῆς γῆς.

Ἀνοίξατε νῦν τῆς ψυχῆς τὰ ὄμματα, καὶ ἴδετε τὸν Ἀρχηγὸν τῆς σωτηρίας, τὸν Κύριον τῆς δόξης, τὸν Λυτρωτὴν καὶ Σωτῆρα ἡμῶν. Αὐτὸς ἔχει μυρίους μεγαλοπρεπεστάτους καὶ θείους χαρακτῆρας, ἀφῆκεν ὅμως πάντας, καὶ ἐχαρακτήρισεν ἑαυτὸν διὰ τῆς ταπεινώσεως· τοσοῦτον δὲ ἐμφαντικῶς, ὥστε ὡς μάθημα τοῦτο παρέδωκεν, ἵνα ἡμεῖς περὶ τούτου
Ματ. ιά. 29. μηδεμίαν ἔχωμεν ἀμφιβολίαν· Μάθετε, εἶπεν, ἀπ' ἐμοῦ· ὅτι πρᾶός εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ. Ἀληθῶς τόση ἐστὶν ἡ ταπείνωσις αὐτοῦ, ὥστε ὑπερβαίνει τὴν κατάληψιν οὐ μόνον τοῦ ἀνθρωπίνου, ἀλλὰ καὶ τοῦ ἀγγελικοῦ νοός· Θεὸς παντοκράτωρ, δημιουργὸς καὶ ἐξουσιαστὴς πάντων τῶν ὁρατῶν καὶ ἀοράτων, ὑπὸ τῶν Ἀγγέλων ὑμνούμενος καὶ λατρευόμενος, ὑπὸ πάσης τῆς κτίσεως ὑπακουόμενος καὶ δουλευόμενος, λαμβάνει τοῦ δούλου αὐτοῦ τὴν μορφήν, καὶ γίνεται ἄνθρωπος· κλαυθμηρίζει ὡς βρέφος εἰς τὸ ἐν Βηθλεὲμ σπήλαιον, χέει δάκρυα ὡς φίλος εἰς τὸ μνῆμα τοῦ Λαζάρου, κλαίει ὡς πάσχων ἐπὶ τὴν πόλιν Ἱερουσαλήμ· ὡς κεκοπιακὼς καὶ διψῶν κάθηται εἰς τὸ ἐν τῇ Σαμαρείᾳ φρέαρ, καὶ ὡς νυστάζων κοιμᾶται εἰς τὸ πλοῖον· ὡς συμπαθὴς καταδέχεται τὴν συναναστροφὴν τῶν ἁμαρτωλῶν, καὶ συνεσθίει μετ' αὐτῶν· ὡς πταίστης σύρεται εἰς τὰ κριτήρια καὶ κατακρίνεται, ὡς παθητὸς περιπαίζεται καὶ ὑβρίζεται, ἐμπτύεται καὶ ῥαπίζεται, φραγγελλοῦται καὶ μαστίζεται καὶ ποτίζεται χολὴν καὶ ὄξος, ὡς θνητὸς ἀποθνήσκει καὶ θάπτεται· αὐτὸς δέ ἐστι Θεὸς οὐχὶ κατὰ χάριν, ἀλλὰ κατὰ φύσιν, διότι αὐτὸς οὐχ ἥρπασε τὸ ὄνομα Θεὸς, καθὼς ὁ Κρόνος καὶ ὁ Ζεὺς, καὶ αἱ λοιπαὶ τῶν εἰδωλολατρῶν ψευδοθεότητες, ἀλλὰ, Θεὸς ὢν ἀληθινὸς, ἐγένετο ἄνθρωπος, καὶ ἔδειξε τῆς ταπεινώσεως τὴν ὑπερβολήν·
Ὃς ἐν μορφῇ Θεοῦ ὑπάρχων, οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα Θεῷ· ἀλλ' ἑαυτὸν ἐκένωσε, μορφὴν δούλου λαβὼν, ἐν ὁμοιώματι ἀνθρώπου γενόμενος. Καὶ σχήματι εὑρεθεὶς ὡς ἄνθρωπος, ἐταπείνωσεν ἑαυτὸν, γενόμενος ὑπήκοος μέχρι θανάτου, θανάτου δὲ σταυροῦ. Φιλιπ. β'. 6, 7, 8.

Ἀλλὰ πόθεν αὕτη ἡ παράδοξος καὶ ἀνερμήνευτος κένωσις; πόθεν τοῦτο τὸ μέγα καὶ ἀκατανόητον τῆς ταπεινώσεως αὐτοῦ μυστήριον; Τοῦτο οὐκ ἄλλοθεν προῆλθεν, εἰμὴ ἐκ τῆς ἀγάπης· καρπὸς τῆς ἀγάπης ἐστὶν ἡ ἀνεξιχνίαστος αὐτοῦ ταπείνωσις· περὶ τούτου οὐκ ἄνθρωπος, οὐκ Ἄγγελος, ἀλλ' αὐτὸς ὁ Κύριος καὶ Θεὸς ἐβεβαίωσεν ἡμᾶς, εἰπών·
Οὕτω γὰρ ἠγάπησεν ὁ Θεὸς τὸν κόσμον, ὥστε τὸν Υἱὸν αὐτοῦ τὸν μονογενῆ ἔδωκεν, ἵνα πᾶς ὁ πιστεύων εἰς αὐτὸν μὴ ἀπόληται, ἀλλ' ἔχῃ ζωὴν αἰώνιον. Ἰωάν. γ'. 16.
Ταύτην δὲ τὴν ἀγάπην ἔδειξεν ὁ Θεάνθρωπος, οὐ μόνον καθ' ὅλην τὴν περίοδον τῆς ἐν τῷ κόσμῳ ζωῆς αὐτοῦ, παντοιοτρόπως εὐεργετήσας τὸ γένος τῶν ἀνθρώπων, ἀλλὰ καὶ παραδοὺς ἑαυτὸν εἰς θάνατον διὰ τὴν σωτηρίαν ἡμῶν. Πράξ. ί. 38.
Αὕτη δέ ἐστιν ἀγάπη, τῆς ὁποίας ἄλλη μείζων οὐκ ἔστι·
Μείζονα ταύτης ἀγάπην οὐδεὶς ἔχει, ἵνα τὶς τὴν ψυχὴν αὐτοῦ θῇ ὑπὲρ τῶν φίλων αὐτοῦ· Ἰωάν. ιέ. 13.
καὶ ὅμως αὐτὸς ἔδειξεν ὑπὲρ ἡμῶν μείζονα καὶ ταύτης τῆς ἀγάπης· Μόλις γὰρ Ῥωμ. έ. 7.

ὑπὲρ

ὑπὲρ δικαίου τὶς ἀποθανεῖται· ὑπὲρ γὰρ τοῦ ἀγαθοῦ τάχα τὶς καὶ τολμᾷ ἀποθανεῖν· ἡμεῖς δὲ, ὅτε ὑπὲρ ἡμῶν ἀπέθανεν, οὐκ ἤμεθα
Ῥωμ. ί. 10. φίλοι, ἀλλ' ἐχθροὶ, οὐκ ἤμεθα δίκαιοι, ἀλλ' ἁμαρτωλοί· τοῦτο δέ ἐστι τὸ ὑπερβάλλον τῆς ἀγάπης, τὸ ὁποῖον ἔδειξεν
Ἀυτ. 8. εἰς ἡμᾶς ὁ Θεός· Συνίστησι δὲ τὴν ἑαυτοῦ ἀγάπην εἰς ἡμᾶς ὁ Θεὸς, ὅτι ἔτι ἁμαρτωλῶν ὄντων ἡμῶν Χριστὸς ὑπὲρ ἡμῶν ἀπέθανε.

Βλέπετε λοιπὸν ποῖον σύνδεσμον ἔχει ἡ ἀγάπη μετὰ τῆς ταπεινοφροσύνης· βλέπετε, ὅτι ὅσον μείζων ἡ ἀγάπη, τοσοῦτον βαθυτέρα ἡ ταπείνωσις, καὶ ὅτι οὐδέποτε εὑρίσκεται οὐδὲ ἀγάπη χωρὶς ταπεινώσεως, οὐδὲ ταπείνωσις χωρὶς ἀγάπης; Καὶ μὴ νομίσητε, ὅτι περὶ τούτου ἓν καὶ μόνον ἔχομεν παράδειγμα, τὸ τοῦ Σωτῆρος Χριστοῦ, διότι εἰς πάντας τοὺς ἁγίους τοῦτο αὐτὸ βλέπομεν, ἤγουν τὴν ταπείνωσιν καὶ τὴν ἀγάπην· δύω μόνον προβάλλω ἐκ πάντων τῶν ἁγίων, ἕνα μὲν ἐκ τῶν πρὸ τοῦ νόμου, ἄλλον δὲ ἐκ τῶν μετὰ τὴν εὐαγγελικὴν χάριν.

Πολλὴν ἀγάπην ἔδειξε πρὸς τὸν πλησίον αὐτοῦ ὁ Πατριάρχης Ἀβραὰμ, τοὺς ξένους ὑποδεχόμενος, τὸν Λὼτ ὑπερασπιζόμενος, ὑπὲρ τῶν Σοδόμων εὐχόμενος· ὁ αὐτὸς πολλὴν ἔδειξε καὶ τὴν ταπείνωσιν· Ἐγὼ δὲ, ἔλεγεν, εἰμὶ γῆ καὶ σποδός. Λόγιά εἰσι ταῦτα ἐμφαντικὰ βαθυτάτης ταπεινοφροσύνης· λόγια ὅσον ἀληθινὰ, ἄλλο τόσον ἅγια· λόγιά εἰσι, τὰ ὁποῖα πρέπον ἐστὶν, ἵνα πᾶς ἄνθρωπος καὶ μνημονεύῃ, καὶ ἔχῃ αὐτὰ διαπαντὸς πρὸ τῶν ὀφθαλμῶν αὐτοῦ. Ἐπειδὴ εἰμὶ γῆ, τί καυχᾶται ἡ γῆ κατὰ τῆς γῆς; ἐπειδὴ εἰμὶ σποδὸς, τί ὑπερηφανεύεται ὁ σποδὸς κατὰ τοῦ
Γεν. ιη'. 27. σποδοῦ; Ἐγὼ δὲ εἰμὶ γῆ καὶ σποδός· ἐπειδὴ εἰμὶ γῆ, διατί στοχάζομαι, ὅτι εἰμὶ ἀνώτερος τῆς γῆς, ἤγουν τῶν ἄλλων ἀνθρώπων; ἐπειδὴ εἰμὶ σποδὸς, διατί ζητῶ πρωτεῖα, καὶ πρωτοκαθεδρίαν ἀπὸ τοῦ σποδοῦ; ἐπειδὴ εἰμὶ γῆ καὶ σποδὸς, διατί ὀργίζομαι καὶ ἀγανακτῶ, ὅταν οὐ τιμῶσί με ὡς πλούσιον καὶ ἔνδοξον καὶ σοφόν;

Πόσην ἀγάπην ἔδειξεν ὁ Παῦλος εἰς τὸν πλησίον αὐτοῦ, τρέχων ἀπὸ Ῥωμ. ιε'. 19.
Ἱερουσαλὴμ καὶ κύκλῳ μέχρι τοῦ Ἰλλυρικοῦ, καὶ διδάσκων τὸ Εὐαγγέλιον τοῦ Χριστοῦ, καὶ ὑπομένων τοσούτους κινδύνους, καὶ τόσα πάθη, ὅσα αὐτὸς πρὸς τοὺς Κορινθίους ἔγραφε· Β'. Κορ. ιά. 23. 33.
καὶ πολλὰ λυπούμενος, καὶ ἀδιαλείπτως ὀδυνώμενος ὑπὲρ τῆς ἀπιστίας τῶν Ἰσραηλιτῶν, καὶ εὐχόμενος, ἵνα σωθῶσιν ἐκεῖνοι, αὐτὸς δὲ χωρισθῇ ἀπὸ τοῦ Χριστοῦ; Ὅτι λύπη μοι ἐστὶ μεγάλη, ἔλεγε, καὶ ἀδιάλειπτος ὀδύνη τῇ καρδίᾳ μου. Ἠυχόμην γὰρ αὐτὸς ἐγὼ, ἀνάθεμα εἶναι ἀπὸ τοῦ Χριστοῦ ὑπὲρ τῶν ἀδελφῶν μου, τῶν συγγενῶν μȣ κατὰ σάρκα, οἵτινες εἰσὶν Ἰσραηλῖται. Ῥωμ. θ'. 2, 3, 4.
Ἀκούεις ὑπερβολὴν ἀγάπης; ἄκουσον καὶ βάθος ταπεινώσεως· Ἐγὼ γάρ εἰμι ὁ ἐλάχιστος τῶν Ἀποστόλων· τοῦτό ἐστιν ἡ ταπείνωσις· Ὃς Α'. Κορ. ιέ. 9.
οὐκ εἰμὶ ἱκανὸς καλεῖσθαι Ἀπόστολος· τοῦτό ἐστι τὸ βάθος τῆς ταπεινώσεως. Ὢ φρόνημα ἅγιον καὶ σωτήριον! Δὸς ἡμῖν, Κύριε, τοῦτο τὸ φρόνημα· δὸς, ἵνα ὁ καθεὶς καὶ φρονῇ καὶ λέγῃ, Ἐγὼ εἰμι ὁ ἐλάχιστος τῶν Χριστιανῶν, καὶ οὐκ εἰμὶ ἄξιος, ἵνα ὀνομάζωμαι Χριστιανός· ἐγὼ εἰμι ὁ ἐλάχιστος τῶν ἀνθρώπων, καὶ οὐκ εἰμὶ ἄξιος, ἵνα ὀνομάζωμαι ἄνθρωπος. Ὢ δυὰς ἁγία ἀρετῶν, τῆς ἀγάπης δηλαδὴ καὶ τῆς ταπεινοφροσύνης! ὢ ζεῦγος ἅγιον καὶ ἀδιαίρετον, καὶ σωτηρίας ἐπιγείου καὶ οὐρανίου πρόξενον!

Ἐὰν

Ἐὰν ἡ ἀγάπη καὶ ἡ ταπείνωσις εὑρίσκοντο διαπαντὸς εἰς τὴν καρδίαν πάντων τῶν ἀνθρώπων, ἔπαυε τὸ μῖσος, ἔφευγεν ἡ συκοφαντία, ἠφανίζετο τὸ ψεῦδος, ἔλειπεν ὁ δόλος, ὁ φθόνος, ἡ καταδυναστεία, οὐδὲ ἠκούετο ποτὲ φόνος· ἐξωρίζετο ἡ φιλονεικία, ἐδιώκετο ἡ μάχη καὶ αἱ ὕβρεις καὶ ἡ ἐπιβουλὴ, ἐξέλειπον ἀπὸ τῆς γῆς πάντα τὰ κακά· τότε ἔβλεπες τοὺς ὑπηκόους εὐλαβουμένους καὶ μετὰ πάσης χαρᾶς ὑποτασσομένους εἰς τοὺς Ἄρχοντας, καὶ τοὺς Ἄρχοντας περιποιουμένους καὶ μετὰ πάσης προθυμίας εὐεργετοῦντας τοὺς ὑπηκόους αὐτῶν· τότε ἔβλεπες τὴν εἰρήνην εἰς τὰς πόλεις, τὴν ἀλήθειαν εἰς τὴν ἀγορὰν, τὴν σωφροσύνην εἰς τὰς συναναστροφὰς, τὴν δικαιοσύνην εἰς τὰ συναλλάγματα, τὴν εὐλάβειαν εἰς τὴν Ἐκκλησίαν· τότε ἡ γῆ ἐγίνετο παράδεισος, καὶ ὁ κόσμος οὐρανὸς, καὶ οἱ ἐπίγειοι ἄνθρωποι οὐράνιοι Ἄγγελοι.

Πολλὰ, ὡς φαίνεται, ἐφοβεῖτο ὁ
Ψαλ. νδ'. 4, 5. Δαβὶδ τὴν ὥραν τοῦ θανάτου· Δειλία
θανάτου, ἔλεγεν, ἐπέπεσεν ἐπ' ἐμέ· Φόβος καὶ τρόμος ἦλθεν ἐπ' ἐμὲ, καὶ ἐκάλυψέ με σκότος· ἔπειτα ἐζήτει πτέρυγας, ἵνα φύγῃ τοῦ θανάτου τὰ φόβητρα, καὶ πετασθῇ καὶ
καταπαύσῃ· Καὶ εἶπα, Τίς δώσει Ψαλ. νδ'. 6.
μοι πτέρυγας ὡσεὶ περιστερᾶς, καὶ πετασθήσομαι καὶ καταπαύσω; Ὅστις στοχάζεται μὲν διαπαντὸς, πόσον ὁ Θεὸς ἠγάπησεν αὐτὸν, πόσον ὠφέλιμός ἐστιν ἡ ἀγάπη, καὶ πόσον ἀναγκαία διὰ τὴν σωτηρίαν τῆς ψυχῆς αὐτοῦ· συλλογίζεται δὲ συνεχῶς, ὅτι ἐστὶ γῆ καὶ σποδὸς, ὅτι ἡ ταπείνωσις ὑψοῖ τὸν ἄνθρωπον καὶ ἐν τῷ οὐρανῷ καὶ ἐν τῇ γῇ, καὶ ὅτι χωρὶς αὐτῆς πᾶσα ἀρετὴ ἐστιν ἀνωφελής· εἰς ἐκεῖνον δίδωσιν ὁ Θεὸς τὰς δύω πτέρυγας τῆς περιστερᾶς, ἤγουν τὴν ἀγάπην καὶ τὴν ταπείνωσιν· ὅθεν, ὅταν ἔλθῃ ἡ ὥρα τοῦ θανάτου αὐτοῦ, τότε οὐδὲ φοβεῖται, οὐδὲ τρέμει, οὐδὲ σκοτίζεται, ἀλλ' ἐν ἡσυχίᾳ καὶ εἰρήνῃ ὑπὸ τῶν ἁγίων Ἀγγέλων περικυκλούμενος, πετᾷ ὡς ἡ περιστερὰ, καὶ καταπαύει εἰς τὰ σκηνώματα τοῦ Κυρίου τὰ ἀγαπητὰ καὶ ποθούμενα, ὅπου τὸ φῶς τὸ ἀνέσπερον, ὅπου ἡ χαρὰ ἡ ἀνεκλάλητος, ὅπου ἡ δόξα ἡ ἀτελεύτητος, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα, καὶ ἡ τιμὴ, καὶ ἡ προσκύνησις εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

# ΕΡΜΗΝΕΙΑ

ΕΙΣ ΤΟ ΚΑΤΑ

# ΙΩΑΝΝΗΝ

## ΕΥΑΓΓΕΛΙΟΝ ΤΗΣ ΚΥΡΙΑΚΗΣ ΤΩΝ ΒΑΙΩΝ.

Λαμπρὰ καὶ ἔνδοξος ἡ σήμερον ἑορταζομένη πανήγυρις τῆς εἰς τὴν Ἱερουσαλὴμ εἰσόδου τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. Εἰς ταύτην τὴν θεοδόξαστον εἴσοδον οὐ βλέπεις ἔργα τέχνης, οὐδὲ ἑτοιμασίας κατὰ προσταγὴν, οὐδὲ προσκυνήματα φόβου τέκνα, οὐδὲ τ᾿ ἄλλα ὅσα ἐποίουν οἱ παλαιοὶ τῶν Ῥωμαίων ἀρχιστράτηγοι, ὅταν, νικηταὶ ἐπιστρέφοντες, θριαμβευτικῶς εἰσήρχοντο εἰς τὴν βασιλίδα τῶν πόλεων αὐτῶν· ἀλλὰ βλέπεις ἁπλότητα φυσικὴν, τιμὰς αὐτοπροαιρέτους, εὐλάβειαν, ψυχῆς καρποφορίαν, προφητειῶν Θεοῦ ἐκπλήρωσιν. Ὁ Ἰησοῦς, καθήμενος ἐπὶ πώλου ὄνου, ἵνα πληρώσῃ τὴν περὶ αὐτοῦ μυστηριώδη προφητείαν, ἔρχεται εἰς τὰ Ἱεροσόλυμα· τὸ δὲ πλῆθος τοῦ λαοῦ, καὶ τῶν κατοικούντων εἰς τὴν Ἱερουσαλὴμ, καὶ τῶν ἐλθόντων τότε ἐκεῖ διὰ τὴν ἑορτὴν τοῦ Πάσχα, ἀκούσαντες, ὅτι ὁ Ἰησοῦς ἔρχεται, λαβόντες εὐθὺς ἐν ταῖς χερσὶν αὐτῶν τὰ βαΐα τῶν φοινίκων, τρέχοντες ἐξῆλθον εἰς ἀπάντησιν αὐτοῦ, κράζον-
Ἰωάν. ιβ΄. 13. τες μεγαλοφώνως· Ὡσαννὰ, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου, ὁ Βασιλεὺς τοῦ Ἰσραήλ. Καὶ ἄλλοι μὲν ἐκ τοῦ πλήθους ἔστρωσαν τὰ ἱμάτια αὐτῶν εἰς τὴν ὁδὸν, ἄλλοι δὲ,
Ματ. κά. 8. κόπτοντες κλάδους ἀπὸ τῶν δένδρων, ἐστρώννυον τὴν γῆν, δι᾿ ἧς ἔμελλε διελθεῖν ὁ Ἰησοῦς· ἄλλοι πάλιν, προπορευόμενοι, καὶ ἄλλοι ἀκολουθοῦντες
ἐκραύγαζον· Ὡσαννὰ τῷ Υἱῷ Δα- Ματ. κά. 9.
βίδ· εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου· ὡσαννὰ ἐν τοῖς
ὑψίστοις, ἄλλοι δὲ ἐβόων· Εὐλογη- Μάρκ. ιά. 10.
μένη ἡ ἐρχομένη βασιλεία ἐν ὀνόματι Κυρίου τοῦ πατρὸς ἡμῶν Δαβίδ· ὡσαννὰ ἐν τοῖς ὑψίστοις. Καὶ τὸ μὲν πλῆθος τῶν μαθητῶν αὐτοῦ, ὅτε ἤγγισεν ὁ Ἰησοῦς πλησίον τῆς καταβάσεως τοῦ ὄρους τῶν ἐλαιῶν, ὕψωσαν πάντες τὴν φωνὴν, καὶ ἐδοξολό-
γησαν αὐτὸν, λέγοντες· Εὐλογημένος Λουκ. ιθ΄. 38.
ὁ ἐρχόμενος Βασιλεὺς ἐν ὀνόματι Κυρίου· εἰρήνη ἐν οὐρανῷ, καὶ δόξα ἐν ὑψίστοις· οἱ δὲ ἀπειρόκακοι παῖδες, ὅτε φθάσας εἰς τὴν Ἱερουσαλὴμ εἰσῆλθεν εἰς τὸν Ναὸν, ἐξεβόη-
σαν· Ὡσαννὰ τῷ Υἱῷ Δαβίδ. Τοῦ Ματ. κά. 15.
Λαζάρου ἡ ἀνάστασις, καὶ ἡ ἐνδοξοτάτη εἴσοδος τοῦ Κυρίου Ἰησοῦ Χριστοῦ εἰς τὴν Ἱερουσαλὴμ ἄναψαν τὸν φθόνον τῶν Ἀρχιερέων καὶ Φαρισαίων καὶ τῶν Πρεσβυτέρων τοῦ λαοῦ· ὅθεν ἠκολούθησε τὸ πάθος αὐτοῦ, καὶ ὁ σταυρὸς, καὶ ὁ θάνατος, τῆς σωτηρίας ἡμῶν τὰ ὄργανα. Ἱστορεῖ δὲ ταῦτα τὸ σήμερον ἀναγνωσθὲν Εὐαγγέλιον, ἀρχόμενον οὕτω.

Πρὸ ἓξ ἡμερῶν τοῦ Πάσχα, Ἰωάν. ιβ΄. 1.
ἦλθεν ὁ Ἰησοῦς εἰς Βηθανίαν, ὅπου ἦν Λάζαρος ὁ τεθνηκὼς, ὃν ἤγειρεν ἐκ νεκρῶν.

Ἐ-

Ἐποίησαν οὖν αὐτῷ δεῖπνον
Ἰωάν. ιβ'. 2. ἐκεῖ, καὶ ἡ Μάρθα διηκόνει· ὁ δὲ Λάζαρος εἷς ἦν τῶν συνανακειμένων αὐτῷ.

Ἀναστήσας εἰς τὴν Βηθανίαν ὁ Θεάνθρωπος τὸν Λάζαρον, ἀνεχώρησεν
Ἰωάν. ιά. 54. ἐκεῖθεν, καὶ ἦλθεν εἰς πόλιν τινὰ λεγομένην Ἐφραΐμ. Ἓξ δὲ ἡμέρας πρὸ τῆς ἑορτῆς τοῦ Πάσχα τῶν Ἰουδαίων, ἦλθε πάλιν εἰς τὴν Βηθανίαν, ὅπου εὑρίσκετο καὶ ὁ Λάζαρος, ὃν ἀνέστησεν ἐκ τῶν νεκρῶν. Ἐκεῖ οὖν, ἐν τῇ
Ματ. κς'. 6. οἰκίᾳ Σίμωνος τοῦ Λεπροῦ, ὡς μαρτυ-
Μάρκ. ιδ'. 3. ροῦσιν οἱ Εὐαγγελισταὶ Ματθαῖος καὶ Μάρκος, ἡτοίμασαν δι' αὐτὸν δεῖπνον·
Λουκ. ι'. 40. καὶ ἡ μὲν Μάρθα, καθὼς καὶ ἄλλοτε, ὑπηρέτει, ἑτοιμάζουσα τὰ πρὸς τὸ δεῖπνον, ὁ δὲ Λάζαρος εἷς ἦν καὶ αὐτὸς τῶν συνδειπνούντων μετὰ τοῦ Ἰησοῦ Χριστοῦ.

Ἰωάν. ιά. 40. Ἡ οὖν Μαρία, λαβοῦσα λίτραν μύρου νάρδου πιστικῆς πολυτίμου, ἤλειψε τοὺς πόδας τοῦ Ἰησοῦ, καὶ ἐξέμαξε ταῖς θριξὶν αὐτῆς τοὺς πόδας αὐτοῦ· ἡ δὲ οἰκία ἐπληρώθη τῆς ὀσμῆς τοῦ μύρου.

Ἄλλοι μὲν λέγουσιν, ὅτι, πιστι-
Παρὰ Ἀνων. ἐν τῇ εἰς τὸ κατὰ Μάρκ. Σειρᾷ. κῆς, σημαίνει, ἀξιοπίστου καὶ ἀληθινῆς, ἄλλοι δέ, ὅτι εἶδός ἐστι κατασκευῆς νάρδου, ἥτις ὠνομάζετο πιστική. Ὅτι δὲ Μαρία ἐστὶν ἡ ἀδελφὴ τοῦ Λαζάρου καὶ τῆς Μάρθας, οὐδεμία ἀμφιβολία· ἡ Βηθανία ἡ πατρὶς αὐτῆς, καὶ ὁ Λάζαρος ὁ ἐκεῖ συνανακείμενος, καὶ ἡ Μάρθα ἡ εἰς τὴν ὥραν τοῦ δείπνου ὑπηρετοῦσα, καὶ ἡ περὶ τούτου ὁμόφωνος μαρτυρία τῶν ἐξηγητῶν, εἰσὶν ἀποδείξεις, αἵτινες ἱκανῶς τοῦτο ἐπιβεβαιοῦσιν. Ἀπορία δέ ἐστιν, ἐὰν περὶ τῆς αὐτῆς Μαρίας λαλῶσι καὶ οἱ λοιποὶ τρεῖς Εὐαγγελισταί. Καὶ ὁ μὲν Χρυσόστομος νομίζει, ὅτι οἱ τρεῖς Εὐαγγελισταὶ Παρὰ Βίκτωρι Ἀντιοχ. ἐν τῇ εἰς τὸ κατὰ Μάρκον Σειρᾷ.
περὶ μιᾶς καὶ τῆς αὐτῆς γυναικὸς λαλοῦσιν, ὁ δὲ Ἰωάννης περὶ ἄλλης θαυμαστῆς, ἤγουν τῆς ἀδελφῆς τοῦ Λαζάρου· ὁ δὲ Ὠριγένης λέγει, ὅτι περὶ ἄλλης λαλεῖ ὁ Ματθαῖος, καὶ περὶ ἄλλης ὁ Λουκᾶς· ὁ δὲ Ἀπολινάριος, καὶ ὁ Μοψουεστίας Θεόδωρος βεβαιοῖ, ὅτι περὶ μιᾶς καὶ τῆς αὐτῆς λαλοῦσι καὶ οἱ τέσσαρες Εὐαγγελισταί, ὁ δὲ Ἰωάννης ἀκριβέστερον ἐξέδωκε τὴν ἱστορίαν. Πολλὰ ὅμως πιθανὸν φαίνεται, ὅτι οἱ τρεῖς Εὐαγγελισταί, ὁ Ματθαῖος, καὶ ὁ Μάρκος, καὶ ὁ Ἰωάννης περὶ μιᾶς καὶ τῆς αὐτῆς λαλοῦσιν, ἤγουν τῆς Μαρίας τῆς ἀδελφῆς τοῦ Λαζάρου, ἐπειδὴ συμφώνως καὶ οἱ τρεῖς λέγουσιν, ὅτι τοῦτο τὸ ἔργον ἐγένετο ἐν Βηθανίᾳ, καὶ ὅτι περὶ τούτου ἠγανάκτησαν οἱ Μαθηταί. Ὅτι δὲ ἄλλη ἐστὶν ἡ ὑπὸ τοῦ Λουκᾶ ἱστορουμένη, πείθουσι τὰ ἑξῆς·
αὐτὴ ἦν ἁμαρτωλός, ἤγουν πόρνη· Καὶ Λουκ. ζ'. 37.
ἰδού, λέγει ὁ ἱερὸς Λουκᾶς, γυνὴ ἐν τῇ πόλει, ἥτις ἦν ἁμαρτωλός· ἡ δὲ Μαρία ἦν σώφρων καὶ εὐλαβής, καὶ ὑπὸ Χριστοῦ ἄλλοτε ἐπαινεθεῖσα, ὡς
ἐκλέξασα τὴν ἀγαθὴν μερίδα. Ἐ- Αὐτ. ι'. 42.
κείνη, ὡς φαίνεται, προσέφερε τὸ μύρον Αὐτ. ζ'. 11.
ἐν τῇ πόλει Ναΐν, ἡ δὲ Μαρία ἐν τῇ Βηθανίᾳ. Ἐκείνη ἐν τῇ οἰκίᾳ Σίμωνος τοῦ Φαρισαίου, αὕτη ἐν τῇ οἰκίᾳ Σίμωνος, οὐχὶ τοῦ Φαρισαίου, ἀλλὰ τοῦ καλουμένου Λεπροῦ. Ἐκείνη πολὺν καιρὸν πρὸ τῆς ἑορτῆς τοῦ Πάσχα, αὕτη πρὸ ἓξ ἡμερῶν τοῦ Πάσχα, ἐν ᾧ ὁ Χριστὸς ἐσταυρώθη. Περὶ ἐκείνης ἐσκανδαλίσθη ὁ Σίμων ὁ Φαρισαῖος, νομίσας, ὅτι ὁ Ἰη-

Ἰησοῦς Χριστὸς οὐκ ἐγνώρισεν, ὅτι αὐτή ἐστιν ἁμαρτωλός· περὶ ταύτης ἠγανάκτησαν οἱ μαθηταί, ἐξόχως δὲ ὁ Ἰούδας, τάχα διὰ τὴν ἀπώλειαν τοῦ μύρου. Ἡ Μαρία λοιπόν, ἡ ἀδελφὴ τοῦ Λαζάρου καὶ τῆς Μάρθας, αὐτή, περὶ ἧς καὶ ὁ Ματθαῖος καὶ ὁ Μάρκος λαλοῦσιν, ἤλειψε τοὺς πόδας τοῦ Ἰησοῦ Χριστοῦ διὰ τοῦ πολυτίμου ἐκείνου μύρου τῆς πιστικῆς νάρδου. Τοσοῦτον δὲ εὐῶδες ἦν τὸ μύρον ἐκεῖνο, ὥστε ἐγέμισε τὸν οἶκον τοῦ Σίμωνος εὐωδίας. Τίς δὲ ἐκίνησε τὴν Μαρίαν, ἵνα πράξῃ τοῦτο τὸ ἔργον; Τὴν χρίσιν τῶν μύρων ἐσυνείθιζον εἰς τὰ συμπόσια· οὐ μόνοι οἱ ἐθνικοί, ἀλλὰ καὶ οἱ Ἑβραῖοι· αὐτὴ δέ, ὑπὸ Θεοῦ φωτισθεῖσα, τῦτο ἔπραξεν, ὡς αὐτὸς ὁ Θεάνθρωπος τοῦτο ἐφανέρωσεν,
Ἰωάν. ιβ'. 7. εἰπών· Εἰς τὴν ἡμέραν τοῦ ἐνταφιασμοῦ μου τετήρηκεν αὐτό. Ὅθεν καὶ ὁ τρόπος, δι' οὗ ἡ Μαρία ἤλειψε τὸν Κύριον, ἔξω ἦν τῆς συνηθείας· καὶ ὁ μὲν Ματθαῖος καὶ ὁ Μάρκος λέγουσιν, ὅτι αὐτὴ ἔφερεν ἀλάβαστρον μύρου, ἤγουν ἀγγεῖον ἐξ ἀλαβάστρου λίθου κατεσκευασμένον, καὶ μύρου πεπληρωμένον, καὶ ὅτι κατέχεεν αὐτὸ ἐπὶ τὴν κεφαλὴν τοῦ Ἰησοῦ Χριστοῦ· ὁ δὲ Μάρκος προστίθησιν, ὅτι συνέτριψε τὸ ἀλάβαστρον· ταῦτα δὲ πάντα οὕτω καὶ ἐγένοντο. Πρῶτον μὲν ἡ Μαρία συνέτριψε τὴν κορυφὴν τοῦ ἀγγείου, ἵνα ἀπαρεμποδίστως καὶ ταχέως ἐξέρχηται τὸ μύρον, καὶ τουτέστιν, ὅπερ εἶπεν ὁ
Μάρκ. ιδ'. 3. Μάρκος· Καὶ συντρίψασα τὸ ἀλάβαστρον· ἔπειτα κατέχεε τὸ μύρον ἐ-
Ματ. κς'. 7. πὶ τῆς κεφαλῆς τοῦ Ἰησοῦ Χριστοῦ, τοῦτο δὲ βεβαιοῦσι καὶ ὁ Μάρκος καὶ ὁ Ματθαῖος· μετὰ ταῦτα ἐκ τοῦ ἐναπολειφθέντος ἐν τῷ ἀγγείῳ μύρου ἤλειψε καὶ τοὺς πόδας αὐτοῦ, καὶ ἀπεσπόγγισεν αὐτοὺς διὰ τῶν τριχῶν τῆς κεφαλῆς αὐτῆς· τοῦτο δέ, ὡς σιωπηθὲν ὑπὸ τῶν δύω τούτων Εὐαγγελιστῶν, ἐδιηγήθη ὁ Ἰωάννης, ἱστορήσας καὶ τὰ ἑξῆς λόγια τοῦ προδότου Ἰούδα.

Λέγει οὖν εἷς ἐκ τῶν μαθητῶν αὐτοῦ, Ἰούδας Σίμωνος Ἰσκαριώτης, ὁ μέλλων αὐτὸν παραδιδόναι· Διατί τοῦτο τὸ μύρον οὐκ ἐπράθη τριακοσίων δηναρίων, καὶ ἐδόθη πτωχοῖς; Εἶπε δὲ τοῦτο, οὐχ ὅτι περὶ πτωχῶν ἔμελλεν αὐτῷ, ἀλλ' ὅτι κλέπτης ἦν, καὶ τὸ γλωσσόκομον εἶχε, καὶ τὰ βαλλόμενα ἐβάσταζεν.

Ἰωάν. ιβ'. 4.

Λέγει οὖν εἷς ἐκ τῶν μαθη-
τῶν αὐτοῦ, Ἰούδας Σίμωνος
Ἰσκαριώτης, ὁ μέλλων αὐτὸν
παραδιδόναι· Διατί τοῦτο τὸ 5.
μύρον οὐκ ἐπράθη τριακοσίων
δηναρίων, καὶ ἐδόθη πτωχοῖς;
Εἶπε δὲ τοῦτο, οὐχ ὅτι περὶ 6.
πτωχῶν ἔμελλεν αὐτῷ, ἀλλ'
ὅτι κλέπτης ἦν, καὶ τὸ γλωσ-
σόκομον εἶχε, καὶ τὰ βαλλό-
μενα ἐβάσταζεν.

Ὁ Ματθαῖος λέγει, ὅτι τοῦτο ἰδόντες οἱ Μαθηταί, ἠγανάκτησαν· ὁ δὲ Μάρκος, ὅτι ἦσαν τινὲς ἀγανακτοῦντες πρὸς ἑαυτούς, καὶ ἐνεβριμῶντο κατὰ τῆς γυναικός· ὁ δὲ Ἰωάννης λέγει, ὅτι ὁ Ἰούδας ἐσκανδαλίσθη· πῶς οὖν ταῦτα συμβιβάζονται; Ταῦτα πάντα οὕτως ἐγένοντο, καθὼς οἱ Εὐαγγελισταὶ ἐσημείωσαν· καὶ οἱ μὲν μαθηταί, ἀκούσαντες πρότερον παρὰ τοῦ Ἰησοῦ Χριστοῦ, ὅτι ἀρεστότερόν ἐστιν εἰς αὐτὸν τὸ ἔλεος ὑπὲρ τὴν θυσίαν, ἠγανάκτησαν κατὰ τῆς Μαρίας, νομίζοντες, ὅτι ἐποίησεν ἔργον οὐκ ἀρεστὸν αὐτῷ· ὁμοίως καὶ τινες τῶν ἐκεῖ εὑρεθέντων ἠγανάκτησαν, καὶ σφοδρῶς ἐταράττοντο, καὶ εἶπον, Διατί ἀπωλέσθη τοῦτο τὸ μύρον; αὐτὸ ἐπωλεῖτο ὑπὲρ τὰ τριακόσια δηνάρια, καὶ ἐδίδετο εἰς τοὺς πτωχούς· ὁ δὲ Ἰούδας ἠγανάκτησε καὶ ἐταράχθη, οὐχὶ ἐπειδὴ ἐφρόντιζε περὶ τῶν πτωχῶν, ἀλλ' ἐπειδὴ ἦν κλέπτης, καὶ ἤθελεν, ἵνα βάλῃ τὰ τριακόσια δηνά-

Ματ. κς'. 8. Μάρκ. ιδ'. 4, 5. Ματ. θ'. 13. Μάρκ. ιδ'. 5.

Ὅρα τὸν τάρια, τὰ συμποσοῦντα χρυσοῦς περί-
Καλμ. εἰς που δεκαπέντε, εἰς τὸ γλωσσόκομον, ἤ
τὸ κατὰ γουν εἰς τὸ σακκίον, ὅπερ αὐτὸς ἐβά-
Ἰωάν. ιβ΄. σταζεν ὡς ἐπίτροπος καὶ οἰκονόμος τῶν
κιφάλαιον. ἀναγκαίων εἰς τὴν συνοδίαν τοῦ Ἰησοῦ Χριστοῦ, καὶ ἔπειτα κλέψῃ αὐτὰ κατὰ τὴν συνήθειαν αὐτοῦ. Ἄκουσον δὲ τί πρὸς ταύτας τὰς ἀγανακτήσεις ἀπεκρίθη ὁ Ἰησοῦς Χριστὸς πρὸς τὸν Ἰούδαν.

Ἰωάν. ιβ΄. Εἶπεν οὖν ὁ Ἰησοῦς· Ἄφες
7. αὐτήν· εἰς τὴν ἡμέραν τοῦ ἐν-
ταφιασμοῦ μου τετήρηκεν αὐ-
8. τό. Τοὺς πτωχοὺς γὰρ πάν-
τοτε ἔχετε μεθ᾽ ἑαυτῶν, ἐμὲ
δὲ οὐ πάντοτε ἔχετε.

Ἄφες αὐτήν· διευθύνει ὁ Ἰωάννης τὸν λόγον τοῦ Χριστοῦ πρὸς τὸν Ἰούδαν, ἐπειδὴ αὐτὸν μόνον ἀνέφερε, σιωπήσας τοὺς ἄλλους τοὺς ἀγανακτήσαντας, καθότι περὶ αὐτῶν ἐλάλησαν πλατύτερον οἱ δύω Εὐαγγελισταὶ, ὁ Ματθαῖος καὶ ὁ Μάρκος· ὅθεν καὶ ἡ ἀπόκρισις τοῦ Ἰησοῦ Χριστοῦ πρὸς αὐτοὺς διερμηνεύει τὴν πρὸς τὸν Ἰούδαν συντο-
Μάρκ. ιδ΄. μωτέραν αὐτοῦ ἀπόκρισιν· Τί αὐτῇ
6, 7, 8. κόπους παρέχετε; καλὸν ἔργον εἰργάσατο εἰς ἐμέ. Πάντοτε γὰρ τοὺς πτωχοὺς ἔχετε μεθ᾽ ἑαυτῶν, καὶ ὅταν θέλητε, δύνασθε αὐτοὺς εὖ ποιῆσαι· ἐμὲ δὲ οὐ πάντοτε ἔχετε. Ὃ εἶχεν αὕτη ἐποίησε· προέλαβε μυρίσαι μου τὸ σῶμα εἰς τὸν ἐνταφιασμόν. Διατί, λέγει, ἐνοχλεῖτε αὐτὴν τὴν γυναῖκα; αὐτὴ ἔπραξεν εἰς ἐμὲ ἔργον καλὸν καὶ ἅγιον. Ὑμεῖς λέγετε, ὅτι ἡ τιμὴ τοῦ μύρου, ἤγουν τὰ τριακόσια δηνάρια, ἠδύναντο δοθῆναι τοῖς πτωχοῖς· ἀλλὰ τοὺς πτωχοὺς πάντοτε ἔχετε ἔμπροσθεν εἰς τὰ ὄμματα ὑμῶν, καὶ ὅταν θέλητε, δύνασθε εὐεργετῆσαι αὐτούς· ἐμὲ δὲ οὐκ ἔχετε πάντοτε, διότι μετ᾽ ὀλίγας ἡμέρας ἀποθνήσκω. Αὐτὴ, ὑπὸ Θεοῦ φωτισθεῖσα, καὶ προγνωρίσασα τὸν θάνατόν μου, ἔπραξεν εἰς ἐμὲ εἴτι καὶ ἂν ἐδυνήθη· προέλαβε τὸν θάνατόν μου, καὶ μυρίσασά μου τὸ σῶμα, ἡτοίμασεν αὐτὸ εἰς τὸν μετ᾽ ὀλίγον ἐσόμενον ἐνταφιασμόν
μου· Βαλοῦσα γὰρ αὕτη τὸ μύρον Ματ. κς΄.
τοῦτο ἐπὶ τοῦ σώματός μου, πρὸς 12.
τὸ ἐνταφιάσαι με ἐποίησε. Τοιουτοτρόπως οὖν δικαιολογήσας ὁ Θεάνθρωπος τῆς Μαρίας τὸ ἔργον, καὶ παῤῥησιάσας τὴν ἀρετὴν καὶ τὴν ἐν αὐτῇ χάριν τοῦ Θεοῦ, ἐφανέρωσε καὶ τὸν ὑπὲρ τοῦ ἔργου τούτου μισθὸν αὐτῆς, εἰπών·
Ἀμὴν λέγω ὑμῖν, ὅπου ἂν κηρυχ- Μάρκ. ιδ΄.
θῇ τὸ Εὐαγγέλιον τοῦτο εἰς ὅ- 9.
λον τὸν κόσμον, καὶ ὃ ἐποίησεν Ματ. κς΄.
αὕτη λαληθήσεται εἰς μνημόσυ- 13.
νον αὐτῆς. Βλέπομεν δὲ καὶ ταύτην τοῦ Σωτῆρος ἡμῶν τὴν προφητείαν ὀφθαλμοφανῶς ἐκπληρουμένην, διότι ἄχρι τῆς σήμερον ὅπου διδάσκεται τὸ Εὐαγγέλιον, ἤγουν εἰς τὰ τέσσαρα μέρη τοῦ κόσμου, Εὐρώπην, καὶ Ἀσίαν, καὶ Ἀφρικὴν, καὶ Ἀμερικὴν, ἐκεῖ κηρύττεται τὸ ἅγιον αὐτῆς ἔργον, καὶ μνημονεύεται τὸ σεβάσμιον αὐτῆς ὄνομα. Διηγηθεὶς δὲ ὁ Ἰωάννης τὰ περὶ αὐτῆς, μεταβαίνει εἰς ἄλλην ὑπόθεσιν, λέγων·

Ἔγνω οὖν ὄχλος πολὺς ἐκ τῶν Ἰωάν. ιβ΄.
Ἰουδαίων, ὅτι ἐκεῖ ἐστί, καὶ 9.
ἦλθον οὐ διὰ τὸν Ἰησοῦν μό-
νον, ἀλλ᾽ ἵνα καὶ τὸν Λάζα-
ρον ἴδωσιν, ὃν ἤγειρεν ἐκ νε-
κρῶν. Ἐβουλεύσαντο δὲ οἱ 10.
Ἀρχιερεῖς, ἵνα καὶ τὸν Λά-
ζα-

Ἰωάν. ιβ΄. 11. ζαρον ἀποκτείνωσιν· Ὅτι πολλοὶ δι᾽ αὐτὸν ὑπῆγον τῶν Ἰουδαίων, καὶ ἐπίστευον εἰς τὸν Ἰησοῦν.

Πολὺ πλῆθος λαοῦ ἐκ τῶν Ἰουδαίων ἔμαθον, ὅτι ὁ Ἰησοῦς Χριστὸς εὑρίσκεται ἐκεῖ, ἤγουν εἰς τὴν Βηθανίαν· διὸ ἦλθον ἐκεῖ, οὐ μόνον διὰ τὸν Ἰησοῦν, ἤγουν οὐ μόνον ἵνα ἀκούσωσι τὴν διδασκαλίαν τοῦ Ἰησοῦ Χριστοῦ, ἀλλ᾽ ἵνα ἴδωσι καὶ τὸν Λάζαρον, ὃν αὐτὸς ἀνέστησεν ἐκ νεκρῶν. Οἱ δὲ Ἀρχιερεῖς, βλέποντες, ὅτι πολλοὶ τῶν Ἰουδαίων ἤρχοντο πρὸς τὸν Ἰησοῦν Χριστὸν, θέλοντες ἰδεῖν καὶ τὸν Λάζαρον, ἐρχόμενοι δὲ διὰ τὸν Λάζαρον, ἐπίστευον εἰς τὸν Ἰησοῦν Χριστὸν, καὶ ἐγένετο ὁ Λάζαρος μαγνῆτις ἕλκουσα πρὸς τὴν εἰς Χριστὸν πίστιν, συμβούλιον ἐποίησαν, ἵνα καὶ τὸν Λάζαρον φονεύσωσιν. Ἀνόητοι! ὅστις ἀνέστησε τὸν Λάζαρον ἀποθανόντα, οὐκ ἠδύνατο, ἐὰν ἤθελεν, ἀναστῆσαι αὐτὸν φονευθέντα; Παγκάκιστοι! παντὶ τρόπῳ ἐπιβουλεύετε τὰ ἀνεπιβούλευτα, ἵνα ἐμποδίσητε τῶν ἀνθρώπων τὴν σωτηρίαν. Μετὰ τοῦτο ἱστορεῖ ὁ Εὐαγγελιστὴς καὶ τὰ ἀκολουθήσαντα εἰς τὴν ἐφεξῆς ἡμέραν.

Ἰωάν. ιβ΄. 12. Τῇ ἐπαύριον, ὄχλος πολὺς, ὁ
ἐλθὼν εἰς τὴν ἑορτὴν, ἀκού-
13. σαντες, ὅτι ἔρχεται ὁ Ἰησοῦς
εἰς Ἱεροσόλυμα, ἔλαβον τὰ
βαΐα τῶν φοινίκων, καὶ ἐξῆλ-
θον εἰς ἀπάντησιν αὐτοῦ, καὶ
ἔκραζον· Ὡσαννὰ, εὐλογημέ-
νος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυ-
ρίου, ὁ Βασιλεὺς τοῦ Ἰσραήλ.

Κατὰ τὸ πρόσταγμα τοῦ νόμου, εἰς οὐδεμίαν ἄλλην πόλιν, εἰμὴ εἰς μόνην τὴν Ἱερουσαλὴμ, ἐγίνετο ἡ ἑορτὴ τοῦ ἰουδαϊκοῦ Πάσχα· Οὐ δυνήσῃ θῦσαι τὸ Πάσχα ἐν οὐδεμιᾷ τῶν πόλεών σου, ὧν Κύριος ὁ Θεός σου δίδωσί σοι, ἀλλ᾽ ἢ εἰς τὸν τόπον, ὃν ἂν ἐκλέξηται Κύριος ὁ Θεός σου ἐπικληθῆναι τὸ ὄνομα αὐτοῦ ἐκεῖ· διὰ τοῦτο κατὰ πᾶν ἔτος συνήρχετο εἰς τὴν Ἱερουσαλὴμ πολὺ πλῆθος ἀνθρώπων, ἵνα ἑορτάσωσιν ἐκεῖ τὸ Πάσχα. (Δευτ. ιϛ΄. 5, 6.) Ἐπειδὴ δὲ διεφημίσθη εἰς τὴν Ἱερουσαλὴμ τὸ ἐξαίσιον θαῦμα τῆς ἐκ νεκρῶν ἀναστάσεως τοῦ Λαζάρου, ἐκ τούτου τὸ ἐκεῖ ἄμετρον πλῆθος τοῦ λαοῦ, ἀκούσαντες, ὅτι ἔρχεται ὁ Ἰησοῦς εἰς τὰ Ἱεροσόλυμα, ἔλαβον εἰς τὰς χεῖρας αὐτῶν τὰ βαΐα τῶν φοινίκων, καὶ ἐξελθόντες ἔξω τῆς πόλεως, ἵνα προϋπαντήσωσιν αὐτῷ, ἐκραύγαζον· Ὡσαννὰ, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου. Καὶ ταῦτα μὲν ἔπραττον καὶ ἔλεγον τότε οἱ Ἰουδαῖοι, νομίζοντες, ὅτι ὁ Ἰησοῦς Χριστὸς ἐστὶν ὁ προσδοκώμενος Μεσίας, καὶ ὅτι ἔρχεται εἰς τὴν Ἱερουσαλὴμ, ἵνα, καθίσας εἰς τὸν θρόνον τοῦ Δαβὶδ, βασιλεύσῃ ἐπὶ τὸ γένος τοῦ Ἰσραήλ· καὶ τὰ ἔργα δὲ αὐτῶν καὶ τὰ λόγια ἐκ θείου Πνεύματος ἦσαν, καὶ ἐσήμαινον τὰ περὶ τοῦ Θεανθρώπου. Καὶ τὰ μὲν βαΐα σύμβολα νίκης εἰσὶ, σημαίνοντα, ὅτι ὁ Χριστὸς ἐστιν ὁ νικητὴς τοῦ Διαβόλου καὶ τοῦ θανάτου· τὸ δὲ ἑβραϊκὸν, Ὡσαννὰ, σημαίνει τὸ, σῶσον δὴ, καὶ ὅμοιόν ἐστι τῇ προφητείᾳ τοῦ Δαβὶδ, ὅστις, προφητεύων περὶ τῆς ἐλεύσεως τοῦ Χριστοῦ, ἔλεγεν· Ὦ Κύριε, σῶσον δή· εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου· ἀντὶ δὲ τοῦ, Σῶσον δὴ, κεῖται ἐν τῷ ἑβραϊκῷ ὕφει τὸ, Ὡσαννά.

(Ὅρα τὴν Ἀνάγν. εἰς τὴν εἰς τὸ κατὰ Μάρκ. Σειράν. Ψαλ. ριζ΄. 24.)

Εὐ-

Ἰωάν. ιβ'. 14. **Εὑρὼν δὲ ὁ Ἰησοῦς ὀνάριον,**
**ἐκάθισεν ἐπ' αὐτὸ, καθώς ἐστι**
15. **γεγραμμένον· Μὴ φοβοῦ, θύ-**
**γατερ Σιών· ἰδοὺ ὁ Βασιλεύς**
**σου ἔρχεται, καθήμενος ἐπὶ**
**πῶλον ὄνου.**

Ματ. κά. 1. Ὁ Ἰησοῦς Χριστὸς ἀπέστειλε δύω
Μάρκ. ιά. 1. τῶν μαθητῶν αὐτοῦ, ἵνα φέρωσι πρὸς
αὐτὸν τὸν πῶλον τῆς ὄνου· αὐτοὶ δὲ, ὅ-
Λουκ. ιθ'. 35. ταν ἔφερον αὐτὸν, ἐπέρριψαν ἐπάνω αὐ-
τοῦ τὰ ἱμάτια αὐτῶν, καὶ ἐπεβίβασαν
ἐπ' αὐτὸν τὸν Ἰησοῦν Χριστόν. Ταῦτα
δὲ, ὁμοίως καὶ ἄλλα, σιωπήσας ὁ Ἰωάν-
νης, καθότι ἱστόρησαν αὐτὰ οἱ πρὸ αὐ-
τοῦ γράψαντες Εὐαγγελισταὶ, εἶπε μό-
νον, ὅτι εὑρὼν ὁ Ἰησοῦς ὀνάριον, ἐ-
κάθισεν ἐπ' αὐτῷ, καθώς ἐστι γε-
γραμμένον, ἤγουν κατὰ τὴν τοῦ προφή-
του Ζαχαρίου προφητείαν· ταύτης δὲ τῆς
προφητείας τὸ νόημα, καὶ οὐχὶ πάσας
τὰς λέξεις, ἔγραψεν ὁ Ἰωάννης, ὁμοίως
καὶ ὁ Ματθαῖος, διότι ὁ μὲν Ζαχαρίας,
προφητεύων περὶ τῆς εἰσόδου τοῦ Χρι-
στοῦ εἰς τὴν Ἱερουσαλὴμ, ἐλάλησεν οὕ-
Ζαχ. θ'. 9. τω· Χαῖρε σφόδρα θύγατερ Σιὼν,
κήρυσσε θύγατερ Ἱερουσαλήμ·
ἰδοὺ ὁ Βασιλεύς σου ἔρχεταί σοι
δίκαιος καὶ σώζων, αὐτὸς πραῢς,
καὶ ἐπιβεβηκὼς ἐπὶ ὑποζύγιον
καὶ πῶλον νέον· ὁ δὲ Ἰωάννης εἶπε
τὸ, Μὴ φοβοῦ, θύγατερ Σιὼν, ἐ-
πειδὴ, ὅταν νέος Βασιλεὺς ἤρχετο, ἵνα
καθίσῃ εἰς τὸν θρόνον αὐτοῦ, ἐφοβεῖτο
ὁ λαὸς, συλλογιζόμενοι τὴν αὐστηρότη-
τα καὶ κακίαν τινῶν προτέρων Βασιλέων
αὐτῶν. Τί δὲ σημαίνει ὁ πῶλος τῆς ὄ-
νου, περὶ οὗ ὁ μὲν προφήτης Ζαχαρίας
τοσοῦτον φανερὰ προεφήτευσεν, ὁ δὲ Θεάν-
θρωπος ἐπ' αὐτὸν καθίσας τὴν προφη-
τείαν ἐπλήρωσεν; Ὁ πῶλος τῆς ὄνου,
καθὸ μὲν πῶλος, ἄγριός ἐστι καὶ δυσ-
κολοδάμαστος, καθὸ δὲ ὄνος, ἀκάθαρτός
ἐστι, διὸ οὐδὲ δεκτὸς ἦν εἰς τὰ κατὰ
τὸν νόμον προσφερόμενα τῷ Θεῷ, ἀλλ' Ἐξ. ιγ'. 13.
ἀντηλλάττετο διὰ προβάτου· ἀκάθαρτα
δὲ ἦσαν, διὰ τὴν ἀπιστίαν αὐτῶν, πάν-
τα τῆς γῆς τὰ ἔθνη, καὶ ἄγρια καὶ δυσ-
κολοδάμαστα ὡς ἐστερημένα τῶν τοῦ
Θεοῦ νόμων. Τὸ κάθισμα τοῦ Ἰησοῦ
Χριστοῦ ἐπάνω εἰς τὸν πῶλον τῆς ὄνου,
ἐσήμαινε τὴν εἰς αὐτὸν ὑποταγὴν τῶν
ἐθνικῶν. Βλέπε δὲ, ὅτι οἱ Ἀπόστολοι
φέρουσι τὸν πῶλον τῆς ὄνου πρὸς τὸν
Ἰησοῦν Χριστὸν, καὶ αὐτοὶ ἐπιῤῥίπτου-
σι τὰ ἱμάτια ἐπ' αὐτὸν, καὶ ἐπιβιβά-
ζουσιν ἐπ' αὐτῷ τὸν Σωτῆρα τοῦ κό-
σμου· Καὶ ἤγαγον αὐτὸν, λέγει ὁ Λουκ. ιθ'. 35.
θεηγόρος Λουκᾶς, πρὸς τὸν Ἰησοῦν·
καὶ ἐπιῤῥίψαντες ἑαυτῶν τὰ ἱ-
μάτια ἐπὶ τὸν πῶλον, ἐπεβίβα-
σαν τὸν Ἰησοῦν· σύμβολα ταῦτα καὶ
τύποι φανεροὶ, σημαίνοντες, ὅτι οἱ Ἀ-
πόστολοι, ἁπλώσαντες τὸ εὐαγγελικὸν
κήρυγμα ἐπὶ τὰ ἔθνη, προσήγαγον αὐ-
τὰ, καὶ ὑπέταξαν εἰς τὸν Χριστὸν, ὅ-
στις ἐπλήρωσεν αὐτὰ τῶν θείων αὐτοῦ
χαρισμάτων.

**Ταῦτα δὲ οὐκ ἔγνωσαν οἱ Μα-** Ἰωάν. ιβ'. 16.
**θηταὶ αὐτοῦ τὸ πρῶτον· ἀλ-**
**λ' ὅτε ἐδοξάσθη ὁ Ἰησοῦς, τό-**
**τε ἐμνήσθησαν, ὅτι ταῦτα ἦν**
**ἐπ' αὐτῷ γεγραμμένα, καὶ ταῦ-**
**τα ἐποίησαν αὐτῷ.**

Ποῖα οὐκ ἐγνώρισαν οἱ Μαθηταὶ
τὸ πρῶτον; Ταύτην τοῦ Ζαχαρίου τὴν
προφητείαν, καὶ ὅσα αὐτὴ περὶ τοῦ Ἰη-
σοῦ Χριστοῦ προεῖπε καὶ προετύπωσε·
τότε δὲ κατενόησαν, ὅτι ὁ Προφήτης πε-
ρὶ αὐτοῦ ἐλάλησε ταῦτα, καὶ ὁ λαὸς

ἐποίη-

ἐποίησε τοιαύτην ἔνδοξον ὑπάντησιν καὶ
προπομπὴν, ὅτε ὁ Ἰησοῦς ἐδοξάσθη,
ἤγουν ὅτε, μετὰ τὸ πάθος καὶ τὸν θά-
νατον καὶ τὴν ταφὴν, ἀναστὰς ἐκ τῶν
Λουκ. κδ'. 45. νεκρῶν, διήνοιξεν αὐτῶν τὸν νοῦν
τοῦ συνιέναι τὰς Γραφάς· καὶ ὅτε,
εἰς τοὺς οὐρανοὺς ἀναληφθεὶς, κατέπεμ-
ψεν ἐπ' αὐτοὺς τὸ Πνεῦμα τὸ ἅγιον,
καὶ διὰ τῆς χάριτος αὐτοῦ κατέστησεν
αὐτοὺς πανσόφους, τότε οὐ μόνον ταύ-
την τοῦ Ζαχαρίου τὴν προφητείαν, ἀλ-
λὰ καὶ πάσας τὰς λοιπὰς κατενόησαν.

Ἰωάν. ιβ'. 17. Ἐμαρτύρει οὖν ὁ ὄχλος, ὁ ὢν
μετ' αὐτοῦ, ὅτι τὸν Λάζαρον
ἐφώνησεν ἐκ τοῦ μνημείου, καὶ
18. ἤγειρεν αὐτὸν ἐκ νεκρῶν. Διὰ
τοῦτο καὶ ὑπήντησεν αὐτῷ ὁ
ὄχλος, ὅτι ἤκουσε τοῦτο αὐ-
τὸν πεποιηκέναι τὸ σημεῖον.

Ὁ λαὸς, ὅστις ἦν μετ' αὐτοῦ εἰς
τὴν Βηθανίαν, καὶ ἐλθὼν μετ' αὐτοῦ εἰς
τὴν Ἱερουσαλὴμ, ἰδὼν καὶ πληροφορη-
θεὶς περὶ τῆς ἀναστάσεως τοῦ Λαζά-
ρου, ἐμαρτύρησεν εἰς τὴν Ἱερουσαλὴμ,
ὅτι ἀληθῶς ὁ Ἰησοῦς Χριστὸς ἐφώνησε
τὸν Λάζαρον ἐκ τοῦ μνημείου, εἰπών·
Λάζαρε δεῦρο ἔξω, καὶ ἀνέστησεν Ἰωάν. ια'. 43.
αὐτὸν ἐκ νεκρῶν· ἀλλ' ἐπειδὴ, λέγει, καὶ
πρὸ τῆς μαρτυρίας ταύτης ἠκούσθη εἰς
τὴν Ἱερουσαλὴμ, ὅτι ὁ Κύριος Ἰησοῦς
ἐποίησε τοῦτο τὸ θαῦμα, διὰ τοῦτο τὸ
πλῆθος τοῦ λαοῦ, τὸ εὑρισκόμενον εἰς
τὴν Ἱερουσαλὴμ, ἐξῆλθεν ἐκεῖθεν, καὶ
προϋπήντησεν αὐτῷ μετὰ βαΐων καὶ
κλάδων.

# ΟΜΙΛΙΑ

ΜΕΤΑ ΤΟ ΚΑΤΑ

# ΙΩΑΝΝΗΝ

## ΕΥΑΓΓΕΛΙΟΝ ΤΗΣ ΚΥΡΙΑΚΗΣ ΤΩΝ ΒΑΪΩΝ.

Ὅταν ὁ θεάνθρωπος Ἰησοῦς, διὰ τὴν ἄκραν αὐτοῦ εὐσπλαγχνίαν, ἤρχετο εἰς τὴν Ἱερουσαλὴμ, ἵνα διὰ τὴν σωτηρίαν τῶν ἀνθρώπων ὑπομείνῃ πάθη καὶ σταυρὸν καὶ θάνατον, τότε ὁ μὲν Σίμων ὁ Λεπρὸς, ἡτοίμασεν εἰς αὐτὸν δεῖπνον, ἡ δὲ Μαρία, ἡ τοῦ Λαζάρου ἀδελφὴ, διὰ πολυτίμου μύρου ἤλειψε τοὺς ἀχράντους αὐτοῦ πόδας, καὶ ἀπεσπόγγισεν αὐτοὺς διὰ τῶν τριχῶν τῆς κεφαλῆς αὐτῆς· ὁ λαὸς τῆς Ἱερουσαλὴμ προϋπήντησεν αὐτῷ μετὰ βαΐων· τοῦ δὲ πλήθους ἐκείνου ἄλλοι μὲν ἐστρώννυον εἰς τὴν ὁ-
δὸν κλάδους ἐκ τῶν δένδρων, ἄλλοι δὲ
ἔῤῥιπτον τὰ ἱμάτια αὐτῶν εἰς τὴν γῆν,
διὰ τῆς ὁποίας ἔμελλε διαπεράσαι ὁ
Ἰησοῦς· οἱ Μαθηταὶ αὐτοῦ ἐδοξολόγη-
σαν αὐτὸν, οἱ ἄκακοι παῖδες προσέφερον
αὐτῷ ὑμνολογίαν, τὰ πλήθη τοῦ λαοῦ
ὑπεδέχθησαν αὐτὸν, κράζοντα καὶ βοῶν-
τα· Ὡσαννὰ τῷ Υἱῷ Δαβὶδ, εὐ- Ματ. κα'. 9.
λογημένος ὁ ἐρχόμενος ἐν ὀνό-
ματι Κυρίου· ὡσαννὰ ἐν τοῖς ὑ-
ψίστοις, καὶ ἄλλους ὁμοίους ὕμνους·

*ὁ δὲ προδότης Ἰούδας ἑτοιμάζει εἰς ὑποδοχὴν αὐτοῦ τῆς προδοσίας τὸ φίλημα, καὶ οἱ Ἀρχιερεῖς καὶ τὸ Συνέδριον αὐτῶν συνάγουσι βουλευτήρια, καὶ ἀποφασίζουσι τὸν θάνατον οὐ μόνον τοῦ Ἰησοῦ Χριστοῦ, ἀλλὰ καὶ τοῦ Λαζάρου.*

*Ἡ σήμερον ἡμέρα ἐστὶν ἡ πρὸ ἓξ ἡμερῶν τοῦ Πάσχα· ἡ αὔριον ἐστὶν ἡ πρώτη ἡμέρα τῶν παθῶν, ἡ μετὰ τὴν αὔριον, ἡ δευτέρα, καὶ αἱ ἐφεξῆς ὁμοίως ἕως τοῦ σαββάτου· μετὰ δὲ ἓξ ἡμέρας, μετροῦντες ἀπὸ τῆς σήμερον, ἐπιτελοῦμεν τὸ Πάσχα· τί σημαίνουσι ταῦτα; ἆραγε ἡ ἀνάγνωσις τῶν Εὐαγγελίων τῶν παθῶν τοῦ Ἰησοῦ Χριστοῦ, ἡ τελετὴ τοῦ Νιπτῆρος, τὰ ψάλματα τῆς Ἐκκλησίας, τὰ μηδὲν ἄλλο κηρύττοντα, εἰμὴ τοῦ Χριστοῦ τὰ πάθη, καὶ ὁ ἐτήσιος διορισμὸς τῶν τοιούτων ἡμερῶν, εἰς μάτην γίνονται; Ὀυχί· αὐτὰ γίνονται, ἵνα λάβωμεν κατὰ νοῦν ἐκείνας τὰς ἡμέρας, εἰς τὰς ὁποίας ταῦτα ἐγένοντο, καὶ ἀναλογισθῶμεν, ὅτι αἱ παροῦσαι ἡμέραι ἀναμιμνήσκουσιν ἐκείνας· καὶ ὅτι καὶ κατὰ τὸ παρὸν ἔρχεται ὁ Ἰησοῦς Χριστὸς, οὐχὶ ἀπὸ τῆς Βηθανίας, ἀλλ᾽ ἐξ ὕψους κατοικητηρίου αὐτοῦ, ἵνα εἰσέλθῃ, οὐχὶ εἰς τὴν Ἱερουσαλὴμ, ἀλλ᾽ εἰς τὸν καθένα τῶν εἰς αὐτὸν πιστευόντων· ἔρχεται δὲ, ἵνα συνενωθῇ μεθ᾽ ἡμῶν, καὶ μείνῃ ἐν ἡμῖν. Τοῦτο δὲ τὸ μυστήριον τῆς ἑνώσεως τῶν ἐν τῇ γῇ ἀνθρώπων μετὰ τοῦ ἐνανθρωπήσαντος Θεοῦ παρέδωκεν αὐτὸς ὁ Θεάνθρωπος ὀλίγας ὥρας, πρὶν ἢ παραδοθῇ εἰς τὸ πάθος, ἤγουν τῇ πέμπτῃ ἐν τῇ ὥρᾳ τοῦ δείπνου τοῦ μυστικοῦ, ἐκφωνήσας ταύτην τὴν πανεύσπλαγχνον προσκαλεστικὴν ἅμα καὶ προστακτικὴν φωνήν·*
Ματ. κϛ'. 26,27,28. *Λάβετε, φάγετε· τοῦτό ἐστι τὸ σῶμά μου· Πίετε ἐξ αὐτοῦ πάντες· τοῦτό ἐστι τὸ αἷμά μου. Ταύτης δὲ τῆς ἡμέρας, καὶ τῆς παραδόσεως τούτου τοῦ μυστηρίου τὴν ἀνάμνησιν ποιοῦμεν ἐν τῇ ἁγίᾳ καὶ μεγάλῃ Πέμπτῃ· διὰ τοῦτο δὲ ἡ ἀνάμνησις γίνεται, ἵνα μεταλάβωμεν καὶ ἡμεῖς, καθὼς τότε οἱ θεῖοι Ἀπόστολοι, τὸ σῶμα καὶ τὸ αἷμα τοῦ Ἰησοῦ Χριστοῦ. Διὰ δὲ τῆς μεταλήψεως τοῦ ὑπερφυοῦς τούτου μυστηρίου συνενοῦται μεθ᾽ ἡμῶν ὁ Σωτὴρ ἡμῶν, καὶ μένει ἐν ἡμῖν· Ὁ τρώγων* Ἰωάν. ϛ'. 56.
*μου τὴν σάρκα, καὶ πίνων μου τὸ αἷμα, ἐν ἐμοὶ μένει, κἀγὼ ἐν αὐτῷ. Ποίαν οὖν ἡμεῖς ποιοῦμεν ἑτοιμασίαν πρὸς ὑποδοχὴν αὐτοῦ; τὴν ἁγίαν ἑτοιμασίαν ἐκείνων τῶν εὐλαβεστάτων ἀνθρώπων, τῶν τότε ἀξιοπρεπῶς ὑποδεχθέντων αὐτὸν, ἢ τὴν ὀλέθριον ἑτοιμασίαν, ἣν ἐποίησεν ὁ προδότης Ἰούδας, καὶ τὸ παμπόνηρον τῶν Ἀρχιερέων Συνέδριον;*

*Χριστιανὲ, ὁ Ἰησοῦς ὁ Σωτήρ σου ἔρχεται· ἀλλ᾽ ἆραγε ἑτοιμάζεις καὶ σὺ δι᾽ αὐτὸν δεῖπνον, καθὼς ὁ Σίμων ὁ Λεπρός; Ἀλλ᾽ ἐγὼ, λέγεις, οὐ βλέπω αὐτὸν, πῶς οὖν νὰ ἑτοιμάσω δεῖπνον δι᾽ αὐτόν; Πλανᾶσαι· πᾶσαν ὥραν σχεδὸν βλέπεις αὐτὸν, διότι, ὅταν βλέπῃς τὸν πτωχὸν, τότε βλέπεις αὐτόν· ὅθεν ὅ,τι ἂν ποιήσῃς εἰς τὸν πτωχὸν, ποιεῖς εἰς τὸν Ἰησοῦν Χριστὸν, κατὰ τὸν λόγον αὐτοῦ· Ἀμὴν λέγω ὑμῖν, ἐφ᾽ ὅσον* Ματ. κέ. 40.
*ἐποιήσατε ἑνὶ τούτων τῶν ἀδελφῶν μου τῶν ἐλαχίστων, ἐμοὶ ἐποιήσατε. Ἐὰν κατ᾽ αὐτὰς τὰς ἡμέρας ἀνοίξῃς τὰ σπλάγχνα τῆς καρδίας σου, καὶ δώσῃς δεῖπνον εἰς τοὺς πτωχοὺς, καὶ θρέψῃς τοὺς πεινῶντας, καὶ χορτάσῃς τὸν ὀρφανὸν καὶ τὴν χήραν, τότε ἑτοιμάζεις καὶ σὺ, καθὼς ὁ Σίμων, δεῖπνον εἰς τὸν ἐρχόμενον Ἰησοῦν Χριστὸν, τότε γίνεσαι καὶ σὺ, καθὼς ὁ Σίμων, ἄξιος τῆς ὑποδοχῆς αὐτοῦ· Πλὴν τὰ ἐνόντα δότε ἐλεημοσύνην·* Λουκ. ιά. 41.

νην· καὶ ἰδοὺ πάντα καθαρὰ ὑμῖν ἔσται.

Χριστιανέ, ὁ Κύριός σου ἔρχεται· ἀλείφεις ἄραγε καὶ σὺ διὰ τοῦ μύρου τοὺς παναχράντους αὐτοῦ πόδας, καθὼς ἡ Μαρία; Ἀλλὰ πῶς δύναμαι, λέγεις, τοῦτο ποιῆσαι, μὴ βλέπων αὐτόν; Αὐτὸς ὡς Θεὸς ἐστὶ πανταχοῦ παρών, ἐκ δεξιῶν σου ἵσταται διαπαντός· οὐκ
Ψαλ. ιέ. 8. ἀκούεις τί λέγει ὁ Προφήτης; Προωρώμην τὸν Κύριον ἐνώπιόν μου διαπαντός, ὅτι ἐκ δεξιῶν μου ἐστίν, ἵνα μὴ σαλευθῶ· κἂν μὴ βλέπῃς αὐτὸν διὰ τῶν σωματικῶν σου ὀφθαλμῶν, βλέπεις ὅμως αὐτὸν διὰ τῶν ὀμμάτων τῆς ψυχῆς σου. Ἡ Μαρία ἤλειψε τοὺς πόδας αὐτοῦ διὰ μύρου νάρδου πιστικῆς πολυτίμου, σὺ πλῦνον αὐτοὺς διὰ τῶν θερμῶν τῆς μετανοίας τῶν ἁμαρτιῶν σου δακρύων. Τὸ μύρον τῆς Μαρίας ἐτιμήθη τριακόσια δηνάρια· ἡ τιμὴ τοῦ μύρου τῶν δακρύων σου ἐστὶν ἀτίμητος, ἐπειδὴ τῆς μετανοίας τὸ δάκρυόν ἐστιν
Νύσ. περὶ Μετάν. ἰσοδύναμον τῷ ἁγίῳ Βαπτίσματι· Καὶ δάκρυον στάξαν, λέγει ὁ ἐν ἁγίοις Γρηγόριος ὁ Νύσσης, ἰσοδυναμεῖ τῷ λουτρῷ. Ὅταν ἴδῃ τὰ δάκρυά σου, ἐξαλείφει τὰς ἁμαρτίας σου, καὶ δίδει σοι τὴν αἰώνιον μακαριότητα καὶ σωτηρίαν·
Λουκ. ϛ'. 21. Μακάριοι οἱ κλαίοντες νῦν, ὅτι γελάσονται. Ἡ Μαρία πρῶτον ἤλειψε τοὺς πόδας τοῦ Ἰησοῦ, ἔπειτα ἀπεσπόγγισεν αὐτοὺς διὰ τῶν τριχῶν τῆς κεφαλῆς αὐτῆς· σὺ ἄλειψον αὐτοὺς διὰ τῶν δακρύων σου, ἔπειτα ἀφιέρωσον εἰς αὐτὸν πάντας τοὺς λογισμοὺς τοῦ νοός σου, ὑποτάξας αὐτοὺς εἰς τὸ ἅγιον αὐτοῦ θέλημα. Αἱ τρίχες τῆς κεφαλῆς εἰσὶ τοῦ σώματος βλαστοί, οἱ λογισμοὶ τοῦ νοός εἰσι τῆς καρδίας καρποί· αὐτὸς
Παροιμ. κγ'. 26. δὲ τὴν καρδίαν ἡμῶν ζητεῖ· Δός μοι, υἱέ, σὴν καρδίαν.

Χριστιανοί, ὁ Κύριος ἡμῶν ἔρχεται· ὅσοι λοιπὸν εἰς τὰς προλαβούσας ἡμέρας τῆς ἁγίας τεσσαρακοστῆς ἐνικήσατε τῆς σαρκὸς τὰ πάθη, καὶ κατετροπώσατε τοῦ Διαβόλου τὴν δύναμιν, καὶ ἐλάβετε τὸ τρόπαιον κατὰ τῆς ματαιότητος τοῦ κόσμου, ἐξέλθετε εἰς ἀπάντησιν αὐτοῦ, προϋπαντήσατε αὐτῷ, βαστάζοντες οὐ μόνον τὰ βαΐα, τὰ σύμβολα τῆς νίκης τοῦ θανάτου, ἀλλὰ καὶ αὐτὰ τὰ τρόπαια τῆς ἁμαρτίας. Ὅσοι διὰ τῆς μετανοίας καὶ ἐξομολογήσεως ἐκαθαρίσθητε ἀπὸ τῶν ἁμαρτιῶν ὑμῶν, ὅσοι ἐνηστεύσατε καὶ ἐταπεινώθητε, ὅσοι ἐσωφρονήσατε καὶ ἠλεήσατε, ὅσοι ἐπράξατε τὰ καλὰ ἔργα, ἔχετε τοὺς κλάδους τῶν ἀρετῶν, ὅθεν ἁπλώσατε νῦν τὴν καρδίαν ὑμῶν, καθὼς ὁ λαὸς τὰ ἱμάτια αὐτῶν, καὶ μεταλαβόντες τῶν θείων μυστηρίων, ὑποδεχθῆτε αὐτὸν οὐχὶ εἰς τὸν ναὸν τὸν νομικόν, ὡς οἱ παῖδες, ἀλλ' εἰς τὸν ναὸν τῆς ψυχῆς καὶ τοῦ σώματος ὑμῶν· ὑποδεχθῆτε τὸν Βασιλέα τῆς δόξης, ψάλλοντες ὡς οἱ Μαθηταί·
Εὐλογημένος ὁ ἐρχόμενος Βασιλεὺς ἐν ὀνόματι Κυρίου· εἰρήνη Λουκ. ιθ'. 38.
ἐν οὐρανῷ, καὶ δόξα ἐν ὑψίστοις· καὶ ὑμνολογοῦντες αὐτὸν ὡς οἱ παῖδες
διὰ τοῦ, Ὡσαννὰ τῷ Υἱῷ Δαβίδ. Ματ. κά. 15.

Ὅσοι δέ, εἴτε διὰ τὴν ἀπιστίαν ὑμῶν, οὐ μόνον οὐ δέχεσθε τὸν ἐρχόμενον Ἰησοῦν, ἀλλὰ καὶ ὑβρίζετε, καὶ βλασφημεῖτε, καὶ ἐπιβουλεύεσθε καὶ τὴν εἰς αὐτὸν πίστιν, καὶ τοὺς εἰς αὐτὸν πιστεύοντας, καθὼς τὴν ζωὴν αὐτοῦ καὶ τὴν τοῦ Λαζάρου τῶν ἀπίστων τὸ Συνέδριον· εἴτε ἔχοντες δόλον, ἢ μῖσος, ἢ ἔρωτα, ἢ ἄλλο ἁμάρτημα εἰς τὴν καρδίαν, καθὼς ὁ Ἰούδας τὴν φιλαργυρίαν, ἢ μετανοήσατε καὶ διορθώθητε, ἢ φύγετε καὶ κρυφθῆτε, διότι, ἐὰν πλησιάσητε πρὸς αὐτὸν καὶ μεταλάβητε αὐτοῦ καθὼς ἐκεῖνος, οὐαὶ ὑμῖν· πῦρ ἐστί, τοὺς ἀναξίους φλέγον.

Ἀδελ-

Ἀδελφοί μου ἀγαπητοὶ, ὅση ἐστὶν ἡ εὐσπλαγχνία τοῦ Κυρίου Ἰησοῦ, τόση ἐστὶ καὶ ἡ δικαιοσύνη αὐτοῦ· ἔρχεται ἀληθῶς πραῢς καὶ σώζων, ἀλλ' ἔρχεται καὶ δίκαιος, ὡς εἶπεν ὁ ἅγιος Προφήτης αὐτοῦ· Ἰδοὺ ὁ Βασιλεύς σου, εἶπεν, ἔρχεταί σοι δίκαιος καὶ σώζων, πραῢς, καὶ ἐπιβεβηκὼς ἐπὶ ὑποζύγιον καὶ πῶλον νέον. (Ζαχ. θ'. 9.) Διὰ ἐκείνους, οἵτινες ὑποδέχονται αὐτὸν ἐν ἀγάπῃ, ὡς ὁ Σίμων, ἐν εὐωδίᾳ ἀρετῆς, ὡς ἡ Μαρία, ἐν εὐλαβείᾳ, ὡς ὁ λαὸς ὁ εἰς προϋπάντησιν αὐτοῦ ἐξελθὼν, ἐν καθαρότητι καὶ ἀκακίᾳ, ὡς οἱ παῖδες, ἔρχεται πραῢς καὶ σώζων. Διὰ ἐκείνους δὲ, οἵτινες ἢ οὐδόλως ὑποδέχονται αὐτὸν, καθὼς τῶν ἀνόμων τὸ Συνέδριον, ἢ ἀναξίως ὑποδέχονται αὐτὸν ὡς ὁ φιλάργυρος καὶ ἐμπαθέστατος Ἰούδας, ἐξεφώνησεν ὡς δίκαιος τόσον φοβερὰν καὶ φρικτὴν ἀπόφασιν, ὥστε καὶ τὸ μόνον ἄκουσμα αὐτῆς φέρει φρίκην καὶ τρόμον· τοσοῦτον δὲ δικαία ἐστὶν ἡ ἀπόφασις, ὥστε ποιεῖ πάντα ἄνθρωπον παντελῶς ἀναπολόγητον.

Ἐὰν ὁ Βασιλεύς σου ὁ ἐπίγειος, θέλων ἐλθεῖν εἰς τὸν οἶκόν σου, ἵνα εὐεργετήσῃ σε, ἔστελλε πρῶτον κήρυκα, ἀναγγέλλοντά σοι καὶ λέγοντα· Ἔρχεται ὁ Βασιλεύς σου εἰς τὸν οἶκόν σου, διὸ ἑτοίμασον τὰ πρὸς ὑποδοχὴν αὐτοῦ· σὺ δὲ, μηδόλως περὶ τούτου φροντίσας, βλέπων τὸν Βασιλέα ἐρχόμενον, ἢ ἔκλειες τὴν θύραν τοῦ οἴκου σου κατὰ πρόσωπον αὐτοῦ, μὴ θέλων ὑποδεχθῆναι αὐτὸν, ἢ ἤνοιγες αὐτὴν, αὐτὸς δὲ εἰσελθὼν, οὐ μόνον εὕρισκεν ἀκάθαρτον καὶ καταρρερυπωμένον τὸν οἶκόν σου, ἀλλὰ καὶ ἤκουεν ἀπὸ τοῦ στόματός σου ὕβρεις καὶ περιφρονήσεις· ποίαν ἀπολογίαν εἶχες τότε, κἂν ὁποιανδήποτε τιμωρίαν ἀπεφάσιζε κατὰ σοῦ ὁ Βασιλεὺς ἐκεῖνος; Ὁ Βασιλεὺς ὁ ἐπουράνιος, ὁ Κύριος τοῦ οὐρανοῦ καὶ τῆς γῆς καὶ πάσης τῆς κτίσεως, θέλει, ἵνα ἔλθῃ εἰς τὴν ψυχήν σου, ἵνα σώσῃ αὐτὴν, προκαταγγέλλει σοι δὲ τὴν ἔλευσιν αὐτοῦ διὰ τῆς Ἐκκλησίας, ἥτις κηρύττει, καὶ λέγει σοι· Μετὰ ἓξ ἡμέρας γίνεται τὸ Πάσχα, ἑτοίμασον σεαυτὸν, ἵνα διὰ τῆς μεταλήψεως τῶν ἁγίων Μυστηρίων ὑποδεχθῇς τὸν Βασιλέα τῆς δόξης· σὺ δὲ, ἀναισθητῶν εἰς τοῦτο τὸ κήρυγμα, ἢ οὐδόλως μεταλαμβάνεις τὰ Μυστήρια, ἢ μεταλαμβάνεις αὐτὰ ἀναξίως· τότε ποίαν ἀπολογίαν ἔχεις κατὰ τῆς φοβερᾶς ἀποφάσεως, τὴν ὁποίαν ἐποίησεν ὁ Θεός σου κατὰ σοῦ; Ἀκούσατε οὖν πάντες τὴν φοβερὰν αὐτοῦ ἀπόφασιν, ἵνα, κατανυγέντες τὴν καρδίαν, καὶ τὰς ματαίας προφάσεις ἀφέντες, προσέλθητε πρὸς αὐτὸν μετὰ τῆς πρεπούσης προετοιμασίας. Ἔρχεται νῦν ὁ πολυεύσπλαγχνος Ἰησοῦς, καὶ θέλων εἰσελθεῖν εἰς τὸν οἶκον τῆς ψυχῆς ἡμῶν, προσκαλεῖ πάντας, λέγων· Λάβετε, φάγετε, τοῦτό ἐστι τὸ σῶμά μου. Πίετε ἐξ αὐτοῦ πάντες, τοῦτό ἐστι τὸ αἷμά μου. Ὅσοι δὲ, ἢ ἀναισθητοῦντες ἀποστρέφονται αὐτὸν, ἢ τολμῶντες ὑποδέχονται αὐτὸν ἀναξίως, αὐτὸς μὲν φεύγει ἀπ' αὐτῶν· ἐκεῖνοι δὲ ἐν τῇ ὥρᾳ τοῦ θανάτου ζητοῦσιν αὐτὸν, ἵνα συγχωρήσῃ τὰς ἀνομίας αὐτῶν, καὶ οὐχ εὑρίσκουσιν, ἀλλ' ἀποθνήσκουσιν ἐν ταῖς ἁμαρτίαις αὐτῶν· ἰδοὺ αὐτὰ τὰ λόγια τοῦ Κυρίου· Ἐγὼ ὑπάγω, καὶ ζητήσετέ με, καὶ ἐν τῇ ἁμαρτίᾳ ὑμῶν ἀποθανεῖσθε. (Ἰωάν. η'. 21.)

# ΕΡΜΗΝΕΙΑ

## ΕΙΣ ΤΟ ΚΑΤΑ

# ΙΩΑΝΝΗΝ

## ΕΥΑΓΓΕΛΙΟΝ ΤΗΣ ΚΥΡΙΑΚΗΣ ΠΡΟ ΤΗΣ ΥΨΩΣΕΩΣ.

Ἔχει ἡ ἀλήθεια τῆς χριστιανικῆς πίστεως ἀπόδειξιν τὴν τελειότητα τῶν ἑαυτῆς νόμων, τῶν ἐξαισίων θαυμάτων τὸ πλῆθος, τῶν Ἀποστόλων τὸ κήρυγμα, τὴν μέχρι θανάτου ὁμολογίαν τῶν Μαρτύρων, τὴν χωρὶς ἀνθρωπίνης βοηθείας ἔκτασιν αὐτῆς, εἰς ὀλίγον καιροῦ διάστημα, εἰς τοσαῦτα ἄπιστα καὶ διεφθαρμένα ἔθνη, τὴν νίκην τῶν κατ᾽ αὐτῆς φοβερῶν καὶ ἀκατανικήτων διωγμῶν τῶν ἀπανθρωποτάτων τυράννων, τὴν μεταβολὴν τῶν ἀνθρώπων ἀπὸ τῆς ἐσχάτης κακίας εἰς τῶν ἀρετῶν τὰ ὕψη· ἔχει ὅμως καὶ ἄλλην ἀπόδειξιν τούτων ἰσχυροτέραν, τὰς προφητείας δηλονότι τῶν ἁγίων Προφητῶν. Αὐτοὶ κατὰ σειρὰν, ἀπὸ Ἀβραὰμ ἕως Ἰωάννου τοῦ Προδρόμου, ἤγουν τεσσαρακονταπέντε αἰῶνας καὶ ἐπέκεινα πρὸ τῆς ἐλεύσεως τοῦ Ἰησοῦ Χριστοῦ, καὶ διὰ λόγων, καὶ διὰ τύπων καὶ συμβόλων, προεφήτευσαν καὶ εἶπον τὴν τοῦ Ἰησοῦ Χριστοῦ ἐξ οὐρανοῦ κατάβασιν, τὴν ἐκ παρθένου γέννησιν, τὴν εἰς τὴν Ἱερουσαλὴμ διατριβὴν αὐτοῦ, καὶ τὰ θαύματα, καὶ τὰ πάθη μετὰ τῶν περιστάσεων αὐτῶν, τὸν σταυρὸν καὶ τὰ εἰς τὸν καιρὸν τῆς σταυρώσεως ἀκολουθήσαντα ἐξαίσια θαύματα, τὴν ἐκ νεκρῶν αὐτοῦ ἀνάστασιν, τὴν εἰς οὐρανοὺς ἀνάληψιν, τὴν τοῦ παναγίου Πνεύματος κατάβασιν, τὴν ἐπιστροφὴν τῶν ἀπίστων ἐθνῶν, καὶ τὴν διὰ τῆς εἰς αὐτὸν πίστεως σωτηρίαν τοῦ κόσμου. Περὶ δὲ τῆς ἀληθοῦς γνησιότητος τῶν προφητικῶν βιβλίων, τῶν ὑπὸ τῶν Χριστιανῶν ἀναγινωσκομένων, οὐδεὶς ἀμφιβάλλειν δύναται, ἐπειδὴ τὰ τούτων πρωτότυπα, τὰ διὰ τῆς ἑβραϊκῆς γλώσσης γραφέντα, εὑρίσκονται ἄχρι τῆς σήμερον εἰς τὰς χεῖρας τῶν Ἰουδαίων, τῶν ἀσπόνδων ἐχθρῶν τοῦ Ἰησοῦ Χριστοῦ, ὑπ᾽ αὐτῶν κατ᾽ οἰκονομίαν Θεοῦ φυλαττόμενα. Τὰ βιβλία οὖν τῶν Προφητῶν εἰσὶ τόσαι σάλπιγγες, σαλπίζουσαι καὶ βεβαιοῦσαι τὸ μέγα τῆς εὐσεβείας μυστήριον· αὐτά εἰσι τὰ ἀκράδαντα θεμέλια τῆς εἰς Χριστὸν πίστεως, αὐτὰ βεβαιοῦσι τὰ ἅγια Εὐαγγέλια, καὶ ὅσα οἱ Χριστιανοὶ πιστεύουσιν· ὅθεν δικαίως ὁ μακάριος Πέτρος ἔλεγεν, ὅτι τῶν Προφητῶν ἡ μαρτυρία ἐστὶ βεβαιοτέρα καὶ αὐτῆς τῆς τῶν αἰσθήσεων μαρτυρίας· καὶ αὐτὸς δὲ ὁ Θεάνθρωπος πολλάκις ἐπρόβαλε τῶν Προφητῶν τὰ λόγια πρὸς ἀπόδειξιν τῆς αὐτοῦ Θεότητος, οὐ μόνον δὲ τὰ λόγια, ἀλλὰ καὶ τὰ προφητικὰ περὶ αὐτοῦ σύμβολα. Τὸ σημερινὸν Εὐαγγέλιον περιέχει τὸ σύμβολον τοῦ Σταυροῦ, τὸ προφητικῶς ὑπὸ τοῦ ἁγίου προφήτου Μωϋσέως κατασκευασθέν. Ὅστις ἀνοίξῃ τοῦ σώματος καὶ τῆς ψυχῆς τὰ ὦτα, καὶ μετ᾽ εὐλαβείας ἀκούσῃ, πόσον θαυμασίως τοῦτο τὸ μωσαϊκὸν σύμβολον προεφανέρωσε τοῦ σταυρωθέντος Χριστοῦ τὴν ἐνέργειαν, ἐκεῖνος θαυμασίως στηρίζεται ἐπὶ τὴν πέτραν τῆς πίστεως, καὶ, ἰατρεύ-

Όρ. τὸ Χρον. Γεωργ. τοῦ Συγγ.

Β΄. Πέτ. α΄. 19.

τρεύ-

τρεύσας τὰς πληγὰς τῆς ψυχῆς αὐτοῦ, γίνεται ἄξιος τῆς αἰωνίου ζωῆς καὶ σωτηρίας.

Ἰωάν. γ΄. 13. Εἶπεν ὁ Κύριος· Οὐδεὶς ἀναβέβηκεν εἰς τὸν οὐρανὸν, εἰ μὴ ὁ ἐκ τοῦ οὐρανοῦ καταβὰς, ὁ Υἱὸς τοῦ ἀνθρώπου, ὁ ὢν ἐν τῷ οὐρανῷ.

Ὅτε ὁ Θεάνθρωπος Ἰησοῦς ἐδίδασκε τὸν Νικόδημον, πόσον ἀναγκαῖόν ἐστι διὰ τὴν σωτηρίαν τοῦ ἀνθρώπου τὸ ἅγιον Βάπτισμα, ὁ δὲ Νικόδημος οὐκ ἠδύνατο κατανοῆσαι τὰ λεγόμενα, τότε εἶπε πρὸς αὐτόν· Ἐὰν ὑμεῖς οὐ καταλαμβάνετε τὰ ἐπίγεια, ἤγουν τὰ ἐπὶ γῆς γενόμενα, ὁποῖόν ἐστι τὸ Βάπτισμα, πε-
Αὐτόθι. ρὶ οὗ ἐγὼ ἐλάλησά σοι· ἐὰν εἴπω
12. τὰ ἐπουράνια, ἤγουν τὰ περὶ τῆς ἐκ τοῦ Θεοῦ καὶ Πατρὸς γεννήσεώς μου, καὶ τὰ περὶ τῆς τοῦ Θεοῦ προνοίας καὶ οἰκονομίας, πῶς δύνασθε κατανοῆσαι αὐτά; ὅστις ἀνέβη εἰς τὸν οὐρανὸν, ἐκεῖνος δύναται κατανοῆσαι τὰ τοῦ Θεοῦ· ἀλλ' οὐδεὶς ἀνέβη εἰς τὸν οὐρανὸν, εἰ μὴ ὁ ἐκ τοῦ οὐρανοῦ καταβὰς, ὁ Υἱὸς τοῦ ἀνθρώπου ὁ ὢν ἐν τῷ οὐρανῷ. Βλέπε δὲ πῶς διὰ τούτων τῶν λόγων ἐφανέρωσεν, ὅτι Θεός ἐστι καὶ ἄνθρωπος· τὸ ἀνέβη εἰς τὸν οὐρανὸν, καὶ κατέβη ἐκ τοῦ οὐρανοῦ, καὶ κατὰ τὸν αὐτὸν καιρὸν ἐστὶν ἐν τῷ οὐρανῷ, ἐστὶν ἴδιον μόνου τοῦ Θεοῦ, τοῦ πανταχοῦ παρόντος, καὶ τὰ πάντα πληροῦντος· διὰ τῆς ἀναβάσεως οὖν καὶ καταβάσεως, ἅμα δὲ καὶ τῆς διαμονῆς ἐν τῷ οὐρανῷ, ἐφανέρωσεν, ὅτι ἐστὶ Θεός· διὰ δὲ τοῦ, ὁ Υἱὸς τοῦ ἀνθρώπου, ἔδειξεν, ὅτι ἐστὶ καὶ ἄνθρωπος. Καὶ κατέβη μὲν ἐκ τοῦ οὐρανοῦ, ἄνθρωπος γενόμενος, ἀνέβη δὲ εἰς τὸν οὐρανὸν, ὅτε μετὰ τὴν ἐκ νεκρῶν ἀνάστασιν ἀνελήφθη εἰς τοὺς οὐρανούς· κἂν δὲ κατέβη εἰς τὴν γῆν, οὐδέ ποτε ὅμως ἐχωρίσθη ἐκ τῶν κόλπων τοῦ Πατρὸς, ἀλλ' ἦν διαπαντὸς συνηνωμένος μετ' αὐτοῦ καὶ ἐν τῷ οὐρανῷ, καὶ πανταχοῦ. Ἐπιβεβαιοῖ δὲ, ὅτι Θεός ἐστι καὶ ἄνθρωπος καὶ διὰ τῶν ἑξῆς λόγων.

Καὶ καθὼς Μωσῆς ὕψωσε τὸν Ἰωάν. γ΄. 14.
ὄφιν ἐν τῇ ἐρήμῳ, οὕτως ὑψω-
θῆναι δεῖ τὸν Υἱὸν τοῦ ἀν-
θρώπου· Ἵνα πᾶς ὁ πιστεύων 15.
εἰς αὐτὸν μὴ ἀπόληται, ἀλ-
λ' ἔχῃ ζωὴν αἰώνιον.

Ἀναχωρήσαντες οἱ Ἰσραηλῖται ἀπὸ τῆς Αἰγύπτου, ἦλθον εἰς τὴν ἔρημον Ἐδώμ. Ἐκεῖ οἱ ὄφεις ἔδακνον αὐτοὺς, ὅσοι δὲ ἐδάκνοντο ὑπὸ τῶν ὄφεων, ἐκεῖνοι ἀπέθνησκον. Καὶ ὁ μὲν Μωϋσῆς παρεκάλεσε τὸν Θεὸν, ἵνα ἐλευθερώσῃ τὸν λαὸν ἀπὸ τῆς τοιαύτης τιμωρίας· ὁ δὲ Θεὸς, ἐπακούσας τῆς δεήσεως αὐτοῦ, εἶπεν αὐτῷ· Κατασκεύασον ὄφιν χαλκοῦν, καὶ θὲς αὐτὸν ἐπὶ σημείου, ἤγουν κρέμασον αὐτὸν ἐπὶ στύλου· ὅστις δὲ τραυματισθῇ ὑπὸ ὄφεως, ἐὰν ἐνατενίσῃ καὶ ἴδῃ τὸν ὄφιν τὸν χαλκοῦν, ἐκεῖνος ἰα-
τρεύεται καὶ ζῇ· Καὶ ἔσται ἐὰν δά- Ἀριθ. κά.
κῃ ὄφις ἄνθρωπον, πᾶς ὁ δεδηγ- 8.
μένος ἰδὼν αὐτὸν, ἤγουν τὸν χαλκοῦν ὄφιν, ζήσεται. Τοῦτο ἐποίησεν ὁ Μωϋσῆς· καὶ οἱ μὲν ὄφεις ἔδακνον τοὺς Ἰσραηλίτας, αὐτοὶ δὲ, ἀτενίζοντες, καὶ βλέποντες τὸν ὄφιν τὸν χαλκοῦν, οὐκ ἀ-
πέθνησκον, ἀλλ' ἰατρεύοντο· Καὶ ἐποίη- Αὐτ. 9.
σε Μωϋσῆς ὄφιν χαλκοῦν, καὶ ἔστησεν αὐτὸν ἐπὶ σημείου· καὶ ἐγένετο, ὅταν ἔδακνεν ὄφις ἄνθρωπον,

πον, καὶ ἐπέβλεψεν ἐπὶ τὸν ὄφιν τὸν χαλκοῦν, καὶ ἔζη· σύμβολον τοῦτο καὶ τύπος πολλὰ ἀξιοθαύμαστος. Ὁ μὲν ὄφις ὁ ἑρπετὸς, ὅστις ἔδακνε τοὺς Ἰσραηλίτας ἐν τῇ Ἐδώμ, ἐσήμαινε τὸν ὄφιν τὸν νοητὸν, ἤγουν τὸν Διάβολον, ὅστις ἐτραυμάτισε τοὺς προπάτορας τοῦ γένους τῶν ἀνθρώπων ἐν τῇ Ἐδὲμ, ἔτι δὲ καὶ ἄχρι τῆς σήμερον τραυματίζει τοὺς ἀπογόνους αὐτῶν· ὁ δὲ χαλκὸς, ὁ εἰς ὄφιν σχηματισθεὶς, ἐσήμαινε τὸν Υἱὸν καὶ Λόγον τοῦ Θεοῦ, τὸν λαβόντα
Φιλιπ. β'. 8. δούλου μορφὴν, καὶ σχήματι εὑρεθέντα ὡς ἄνθρωπον. Ὁ χαλκοῦς ὄφις ὑψώθη ἐπὶ σημείου, ὁ Θεάνθρωπος Ἰησοῦς ὑψώθη ἐν τῷ σταυρῷ. Ὅστις ἔβλεπε τὸν χαλκοῦν ὄφιν, τὸν ὑψωθέντα ἐπὶ τοῦ σημείου, ἰατρεύετο ἀπὸ τῶν πληγῶν τοῦ ὄφεως τοῦ ἑρπετοῦ· ὅστις πιστεύει εἰς τὸν ἐπὶ ξύλου κρεμασθέντα Θεάνθρωπον, ἐκεῖνος καθαρίζεται ἀπὸ τῶν τραυμάτων τοῦ ὄφεως τοῦ νοεροῦ. Ὅστις ἔβλεπε τὸν ὄφιν τὸν χαλκοῦν, οὐκ ἀπέθνησκεν, ἀλλ' ἔζη τὴν πρόσκαιρον ζωήν· ὅστις πιστεύει εἰς τὸν Θεάνθρωπον Ἰησοῦν, οὐκ ἀπολεῖται, ἤγουν οὐ κολάζεται, ἀλλ' ἔχει ζωὴν αἰώνιον. Διὰ προστάγματος Θεοῦ ὑψώθη ὁ ὄφις ἐπὶ σημείου· εὐδοκίᾳ τοῦ Θεοῦ καὶ Πατρὸς ὑψώθη ὁ Ἰησοῦς ἐν τῷ σταυρῷ. Βλέπετε πόσην ὁμοιότητα ἔχει ὁ τύπος μετὰ τοῦ τυπουμένου; διὰ τοῦτο οὖν εἶπεν ὁ Ἰησοῦς· Καὶ καθὼς Μωσῆς ὕψωσε τὸν ὄφιν ἐν τῇ ἐρήμῳ, οὕτως ὑψωθῆναι δεῖ τὸν Υἱὸν τοῦ ἀνθρώπου. Ἐπειδὴ δὲ εἶπε, Δεῖ ὑψωθῆναι τὸν Υἱὸν τοῦ ἀνθρώπου, ἤγουν πρέπον ἐστὶν, ἵνα ὑψωθῶ εἰς τὸν σταυρὸν, διὰ τοῦτο διὰ τῶν ἑξῆς λόγων ἐφανέρωσε καὶ τὸ διατί πρέπον ἐστὶν, ἵνα σταυρωθῇ.

Ἰωάν. γ'. 16. Οὕτω γὰρ ἠγάπησεν ὁ Θεὸς τὸν κόσμον, ὥστε τὸν Υἱὸν αὐτοῦ τὸν μονογενῆ ἔδωκεν, ἵνα πᾶς ὁ πιστεύων εἰς αὐτὸν, μὴ ἀπόληται, ἀλλ' ἔχῃ ζωὴν αἰώνιον.

Ἰδοὺ ὁ λόγος τῆς τοῦ Θεοῦ εὐδοκίας, ἐξ ἧς ἐγένετο ἡ ἐνανθρώπησις τοῦ μονογενοῦς Υἱοῦ αὐτοῦ· τοσοῦτον ἠγάπησεν ὁ Θεὸς τὸν κόσμον, ἤγουν τὸ ἀνθρώπινον γένος, ὥστε ἔδωκεν ὑπὲρ τῆς σωτηρίας αὐτῶν τὸν Υἱὸν αὐτοῦ τὸν μονογενῆ, δηλονότι ἐξαπέστειλεν αὐτὸν εἰς τὸν κόσμον, ἵνα, γενόμενος ἄνθρωπος, πάθος ὑπομείνῃ, καὶ σταυρὸν, καὶ θάνατον, ὅπως πᾶς ὁ εἰς αὐτὸν πιστεύσας μὴ ἀπολεσθῇ, εἰς τὴν ἀτελεύτητον κόλασιν καταδικασθεὶς, ἀλλὰ κληρονομήσῃ τὴν αἰώνιον ζωὴν καὶ μακαριότητα. Ἀλλὰ διατί τοσοῦτον ἠγάπησεν ὁ Θεὸς τὸν ἄνθρωπον; Διότι ὁ ἄνθρωπός ἐστι τὸ ἐξαίρετον πάντων τῶν κτισμάτων αὐτοῦ· κτίσμα ἐστὶν ὁ ἄνθρωπος, ὅστις ἐφανέρωσεν ὑπὲρ πάντα τὰ ἄλλα κτίσματα τὴν ἄπειρον σοφίαν καὶ δύναμιν τοῦ Θεοῦ. Ὁ Θεὸς ἐποίησε πρῶτον τὸν οὐρανὸν καὶ τὴν γῆν, ἤγουν πάντα τὰ οὐράνια καὶ τὰ ἐπίγεια, πάντα τὰ πνεύματα καὶ τὰ σώματα· ἔπειτα, ἑνώσας τὸν οὐρανὸν καὶ τὴν γῆν, ἤγουν πνεῦμα καὶ σῶμα, ἐποίησεν ἓν ἐξ αὐτῶν σύνθετον, καὶ τοῦτό ἐστιν ὁ ἄνθρωπος, οὐράνιος καὶ ἐπίγειος, πνεῦμα καὶ σῶμα, ἄϋλος καὶ ὑλικὸς, Θεοῦ εἰκὼν κατὰ τὰς δυνάμεις τῆς ψυχῆς, Θεοῦ ὁμοίωμα κατὰ τὰ κατορθώματα τῆς ἀρετῆς. Ὅταν δοξολογῶσι τὸν Θεὸν οἱ Ἄγγελοι, τότε δοξολογεῖ αὐτὸν ὁ οὐρανός· ὅταν διηγῶνται τὴν δόξαν αὐτοῦ τὰ ὑλικὰ κτίσματα, τότε δοξολογεῖ αὐτὸν ἡ γῆ· ὅταν δὲ λατρεύῃ αὐτῷ ὁ ἄνθρωπος, τότε προσφέ-

φέρει δοξολογίαν εἰς αὐτὸν ὁ οὐρανὸς ὁμοῦ καὶ ἡ γῆ, τὰ πνεύματα ὁμοῦ καὶ τὰ σώματα, πᾶσα ἡ κτίσις ἡ ὁρατὴ καὶ ἡ ἀόρατος· διὰ τοῦτο ὁ ἅγιος αὐτοῦ Προφήτης, ὅταν ἐστοχάζετο τὴν τοῦ ἀνθρώπου πλάσιν καὶ κατασκευὴν, ἐκ-
Ψαλ. ρλή. 5. πληττόμενος, ἐκραύγαζεν· Ἐθαυμαστώθη ἡ γνῶσίς σου ἐξ ἐμοῦ, οὐ μὴ δύνωμαι πρὸς αὐτήν. Ἠγάπησεν ὁ Θεὸς τὸν ἄνθρωπον, ἀγαπήσας εὐπλαγχνίσθη, εὐσπλαγχνισθεὶς εὐδόκησε τὴν ἀπολύτρωσιν αὐτοῦ ἀπὸ τῆς δουλείας τοῦ Διαβόλου, εὐδοκήσας ἀπέστειλε τὸν μονογενῆ αὐτοῦ Υἱὸν εἰς τὸν κόσμον, ἵνα μὴ ἀπολεσθῇ, ἀλλὰ σωθῇ τὸ ἠγαπημένον αὐτοῦ πλάσμα, ὁ ἄνθρωπος.

Ιωάν. γ'. 7. **Οὐ γὰρ ἀπέστειλεν ὁ Θεὸς τὸν Υἱὸν αὐτοῦ εἰς τὸν κόσμον, ἵνα κρίνῃ τὸν κόσμον, ἀλλ' ἵνα σωθῇ ὁ κόσμος δι' αὐτοῦ.**

Ταῦτα τὰ λόγια εἰσὶν ἡ βεβαίωσις τῶν προλαβόντων· προλαβὼν εἶπεν, ὅτι ὁ Θεὸς ἔδωκε τὸν μονογενῆ αὐτοῦ Υἱὸν, ἵνα σωθῶσι πάντες οἱ εἰς αὐτὸν πιστεύοντες· νῦν δὲ λέγει, ὅτι οὐκ ἀπέστειλεν ὁ Θεὸς τὸν Υἱὸν αὐτοῦ εἰς τὸν κόσμον, ἵνα κρίνῃ, ἀλλ' ἵνα σώσῃ αὐτόν. Τοῦτο δὲ ἐγένετο ἐπὶ τῆς πρώτης παρουσίας αὐτοῦ, ὅτε ὡς ἄνθρωπος, περιπατῶν εἰς τὴν Ἱερουσαλὴμ, ἐκάλει πάντας πρὸς μετάνοιαν, ἄλλοτε μὲν λέγων· Εὐαγγελίσασθαι πτωχοῖς Λουκ. δ'.
ἀπέσταλκέ με, ἰάσασθαι τοὺς 18, 19.
συντετριμμένους τὴν καρδίαν, κηρύξαι αἰχμαλώτοις ἄφεσιν, καὶ τυφλοῖς ἀνάβλεψιν, ἀποστεῖλαι τεθραυσμένους ἐν ἀφέσει· Κηρύξαι ἐνιαυτὸν Κυρίου δεκτόν· ἄλλοτε δὲ, Ἦλθε γὰρ ὁ Υἱὸς τοῦ ἀν- Λουκ. ιθ'. 10.
θρώπου ζητῆσαι καὶ σῶσαι τὸ ἀπολωλός· καὶ ἄλλοτε πάλιν, Δεῦτε πρός με πάντες οἱ κοπιῶντες Ματ. ιά. 28.
καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς. Εἰς τὴν δευτέραν ὅμως παρουσίαν αὐτοῦ ἔρχεται οὐχ ἵνα σώσῃ, ἀλλ' ἵνα κρίνῃ τὸν κόσμον, διότι καθὼς, ὅταν ἦλθε τὸ πλήρωμα τοῦ χρόνου, τότε ὁ Θεὸς ἐξαπέστειλε τὸν Γαλ. δ'. 4.
Υἱὸν αὐτοῦ, ἵνα ἐν ἐλέει σώσῃ τὸν κόσμον· οὕτως ἔστησεν ἡμέραν, ἐν Πράξ. ιζ'.
ᾗ μέλλει κρίνειν τὴν οἰκουμένην 31.
ἐν δικαιοσύνῃ, ἐν ἀνδρὶ ᾧ ὥρισε, πίστιν παρασχὼν πᾶσιν, ἀναστήσας αὐτὸν ἐκ νεκρῶν.

---

# ΟΜΙΛΙΑ

ΜΕΤΑ ΤΟ ΚΑΤΑ

# ΙΩΑΝΝΗΝ

## ΕΥΑΓΓΕΛΙΟΝ ΤΗΣ ΚΥΡΙΑΚΗΣ ΠΡΟ ΤΗΣ ΥΨΩΣΕΩΣ.

Κύριε Ἰησοῦ Χριστὲ, κἂν οἱ Ἰουδαῖοι σκανδαλίζωνται, κἂν οἱ Ἕλληνες μωρίαν νομίζωσι, κἂν οἱ ἄπιστοι βλασφημῶσι τοῦ σταυροῦ σου τὸ μυστήριον, ἡμεῖς οἱ Χριστιανοὶ πιστεύομεν καὶ ὁμολογοῦμεν, Α΄. Κορ. ά. 24. ὅτι σὺ εἶ Θεοῦ δύναμις καὶ Θεοῦ σοφία· ὅτι σὺ εἶ ὁ Υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος, ὁ ἐλθὼν εἰς τὸν κόσμον ἁμαρτωλοὺς σῶσαι, ὧν πρῶτός εἰμι ἐγώ. Ἡμεῖς μετὰ πίστεως κηρύττομεν, ὅτι ὁ χαλκοῦς ὄφις ἐσήμαινε Σὲ τὸν Θεάνθρωπον καὶ Σωτῆρα ἡμῶν· καθὼς δὲ ἐκεῖνος ὑψώθη ἐπὶ σημείου, οὕτω, Σὺ Δέσποτα τῶν ἁπάντων, ὑψώθης ἐν τῷ ξύλῳ τοῦ σταυροῦ· καὶ καθὼς ὅσοι ἔβλεπον εἰς ἐκεῖνον ἐθεραπεύοντο ἀπὸ τῶν πληγῶν αὐτῶν, οὕτως οἱ εἰς Σὲ πιστεύοντες καθαρίζονται ἀπὸ τῶν ἰδίων ἁμαρτιῶν· ἐπειδὴ δὲ ἦλθες εἰς τὸν κόσμον, ὡς εἶπας, οὐχ ἵνα κρίνῃς, ἀλλ' ἵνα σώσῃς αὐτόν, καὶ ἵνα μηδεὶς τῶν εἰς Σὲ πιστευόντων ἀπόληται, ἀλλ' ἔχῃ ζωὴν αἰώνιον, ἡμεῖς, ἐπειδὴ εἰς Σὲ πιστεύομεν, μετὰ λόγου συμπεραίνομεν, ὅτι ἐσμὲν τῆς μερίδος τῶν σεσωσμένων, καὶ τῶν κληρονόμων τῆς αἰωνίου ζωῆς καὶ βασιλείας σου.

Τί στοχάζεσθε Χριστιανοί; ἄραγε ἀληθὲς καὶ βέβαιόν ἐστι τοῦτο τὸ συμπέρασμα; Ἀληθὲς φαίνεται καὶ βέβαιον, πλὴν πρέπον ἐστὶν, ἵνα καὶ τὰ ἑξῆς λόγια τοῦ Ἰησοῦ Χριστοῦ στοχασθῶμεν. Αὐτὸς, ὅταν ἐλάλησε περὶ τοῦ σταυροῦ αὐτοῦ, καὶ περὶ τῆς ἐξ αὐτοῦ σωτηρίας, ἐσύναψε καὶ τὸν περὶ τῆς ἀγάπης λόγον, εἰπών· Οὕτω γὰρ ἠγάπησεν ὁ Θεὸς τὸν κόσμον, ὥστε τὸν Υἱὸν αὐτοῦ τὸν μονογενῆ ἔδωκεν, ἵνα πᾶς ὁ πιστεύων εἰς αὐτὸν μὴ ἀπόληται, ἀλλ' ἔχῃ ζωὴν αἰώνιον. Ἰωάν. γ΄. 16. Ταῦτα οὐκ εἰς μάτην εἶπεν, ἀλλ' ἵνα φανερώσῃ, ὅτι ἡ ἀγάπη ἐποίησεν αὐτὸν ἄνθρωπον, καὶ αὐτή ἐστι τὸ αἴτιον τῆς σωτηρίας ἡμῶν· ἐσύναψε τὸν λόγον τῆς πίστεως μετὰ τοῦ λόγου τῆς ἀγάπης, ἵνα διδάξῃ, ὅτι ἐκείνη ἐστὶν ἡ πίστις ἡ σωτηριώδης, ἥτις συνηνωμένη ἐστὶ μετὰ τῆς ἀγάπης, ἢ καθὼς λέγει ὁ θεῖος Ἀπόστολος, ἡ πίστις ἡ δι' ἀγάπης ἐνεργουμένη. Γαλ. έ. 6. Ἐὰν οὖν τοιαύτην πίστιν ἔχωμεν, ἀληθές ἐστι καὶ βέβαιον τὸ συμπέρασμα, ἤγουν ἡ πίστις ἡμῶν ἀληθῶς καὶ ἀναμφιβόλως σώζει ἡμᾶς· ἐὰν δὲ ἡ ἀγάπη λείπῃ, τότε ἡ πίστις ἡμῶν ἐστὶν ὁμοία τῇ πίστει τῶν Δαιμόνων· Διότι καὶ τὰ Δαιμόνια πιστεύουσι καὶ φρίττουσιν, Ἰακ. β΄. 19. ἀγάπην δὲ οὐκ ἔχουσι· διὸ οὐδὲν ἐκ τῆς πίστεως αὐτῶν ὠφελοῦνται. Ἡμεῖς ἐσμὲν πιστοὶ, λοιπὸν ἐν ἡμῖν λείπει, ἡ ἀγάπη· εἰς τὸν νοῦν ἔχομεν τὴν ὀρθὴν πίστιν, ἐὰν βάλωμεν εἰς τὴν καρδίαν ἡμῶν τὴν ἀγάπην, ἡμεῖς ἀναμφιβόλως ἐσμὲν σεσωσμένοι.

Οἱ θηγόροι Προφῆται, οἱ θεοφόροι Α-

Ἀπόστολοι, οἱ ἅγιοι Πατέρες καὶ Διδάσκαλοι ἐκήρυξαν, ὅτι ἡ ἀγάπη ἐστὶν ἡ πηγὴ καὶ ἡ ῥίζα πασῶν τῶν ἀρετῶν, ὅτι χωρὶς αὐτῆς πᾶσα ἀρετὴ ἐστὶ νεκρά, ὅτι εἰς αὐτὴν ἐπιβλέπει ὁ Θεός, καὶ αὐτὴ συνάπτει τὸν ἄνθρωπον μετὰ τοῦ Θεοῦ· πάντες δὲ ἑνὶ στόματι καὶ μιᾷ φωνῇ εἶπον, ὅτι χωρὶς τῆς ἀγάπης οὐδεὶς σώζεται. Ὅστις δὲ ἀκούσῃ τὸν Ἀπόστολον Παῦλον διδάσκοντα περὶ ἀγάπης, καὶ αἰσθανθῇ, ὅτι ἐστὶ γυμνὸς ταύτης τῆς ἀρετῆς, ἀποβάλλει τελείως τὴν ἐλπίδα τῆς ψυχικῆς αὐτοῦ σωτηρίας. Αὐτὸς δὲ ὁ Ἀρχηγὸς καὶ Διδάσκαλος τῆς πίστεως ἡμῶν, Ἰησοῦς ὁ Κύριος, καὶ τὸν ἄσπλαγχνον πλούσιον, καὶ τὸν πλεονέκτην ἄνθρωπον, καὶ τὸν κρύψαντα τὸ τάλαντον, παρέστησε καταδεδικασμένους εἰς τὰς βασάνους τῆς κολάσεως, καὶ εἰς τὰς παρθένους, τὰς μὴ ἐχούσας ἔλαιον εἰς τὰς λαμπάδας αὐτῶν, ἔκλεισε τὴν θύραν τοῦ θείου νυμφῶνος, καὶ τοὺς ἀνελεήμονας ἔπεμψεν εἰς τὸ πῦρ τὸ ἐξώτερον. Ἐὰν δὲ ἐξετάσῃς τὰ θαύματα ὅσα ἐποίησε, καὶ τὸ ἐν τῇ γῇ πολίτευμα αὐτοῦ, καὶ ὅλην τὴν διδασκαλίαν αὐτοῦ, ἀγάπην πανταχοῦ εὑρίσκεις. Ἐκ τούτου οὐδὲν σχεδὸν ἐκκλησιαστικὸν βιβλίον βλέπεις, μὴ περιέχον ἐπαίνους, συμβουλάς, παραγγελίας, φοβερισμοὺς περὶ τῆς ἀγάπης. Ἐκ τούτου δὲ πρεπόντως συμπεραίνομεν, ὅτι οὐδεὶς τῶν Χριστιανῶν ἐστίν, ὅστις ἀγνοεῖ, πόσον ἀναγκαία ἐστὶ διὰ τὴν σωτηρίαν αὐτὴ ἡ μεγάλη

Ματ. κβ'. 40. ἀρετή, ἐκ τῆς ὁποίας ὁ Θεὸς ἐκρέμασεν ὅλον τὸν νόμον καὶ τοὺς Προφήτας· οὐδείς, λέγω, ἀγνοεῖ, ὅτι χωρὶς τῆς ἀγάπης οὐδεὶς δύναται σωθῆναι· διατί λοιπὸν βλέπομεν τόσον πολλὰ ὀλίγους Χριστιανοὺς ἀγαπῶντας τὸν Θεόν, καὶ τὸν πλησίον αὐτῶν; Διότι οὐδεὶς φροντίζει περὶ τῆς ἀγάπης· φροντίζει ὁ καθείς, καὶ κοπιάζει, καὶ κατακόπτεται διὰ τὸν πλοῦτον, διὰ τὰ ἀξιώματα, διὰ τὰς τιμάς, διὰ πᾶν ἄλλο γήϊνον πρᾶγμα, διὰ δὲ τὸ οὐράνιον καὶ σωτηριῶδες τῆς ἀγάπης κτῆμα οὐδεμίαν φροντίδα ἀναλαμβάνουσιν οἱ ἄνθρωποι. Ἀλλὰ πῶς δύναμαι, λέγεις, βαλεῖν εἰς τὴν καρδίαν μου τοιοῦτον ἀτίμητον θησαυρόν; Ὁ τρόπος ἐστὶν εὔκολος, ἐὰν θελήσῃς.

Ὁ Θεὸς ἔπλασε τὸν ἄνθρωπον ἀγαθόν, ὕστερον δὲ εἰσῆλθεν εἰς τὴν καρδίαν αὐτοῦ ἡ κακία· ἡ μὲν ἀρετὴ λοιπὸν ἐστὶ πεφυτευμένη εἰς τὴν ἀνθρωπίνην φύσιν, ἡ δὲ κακία ἐστὶ παρὰ φύσιν. Θέλεις περὶ τούτου ἀπόδειξιν; ἄκουσον. Τὰ κατὰ φύσιν ἀναπαύουσι, τὰ παρὰ φύσιν ταράττουσιν· εἰπὲ οὖν τί σε ἀναπαύει, ἡ ἀρετή, ἢ ἡ κακία; τί σε ταράττει, ἡ ἀρετή, ἢ ἡ ἁμαρτία; καθεὶς αἰσθάνεται, ὅτι ἡ μὲν ἀρετὴ ἀναπαύει τὴν συνείδησιν καὶ εὐφραίνει τὴν ψυχήν, ἡ δὲ ἁμαρτία ταράττει τὸ συνειδός, καὶ λυπεῖ τὴν καρδίαν· φανερὸν λοιπόν ἐστιν, ὅτι ἡ μὲν ἀρετὴ ἐστὶ φυσική, ἡ δὲ ἁμαρτία παρὰ φύσιν· ἐπειδὴ δὲ ἡ ἀγάπη ἐστὶν ἡ πρώτη ἀρετή, καὶ τῶν ἀρετῶν ἡ ῥίζα, ἔχεις λοιπὸν εἰς τὴν καρδίαν σου τὴν ἀγάπην, τὴν ὁποίαν ζητεῖς.

Ἀλλὰ πῶς, λέγεις, ἔχω κατὰ φύσιν τὴν ἀγάπην, ἔπειτα οὐδὲ τὸν Θεὸν ἀγαπῶ, οὐδὲ τὸν πλησίον μου; Κατὰ τὸν αὐτὸν τρόπον, καθ' ὃν ἔχεις τὰ ὄμματα, καὶ οὐ βλέπεις τὸν οὐρανόν, ἀλλὰ βλέπεις τὴν γῆν. Ὅταν προσηλώσῃς τὰ ὄμματά σου εἰς τὴν γῆν, τότε οὐ βλέπεις τὸν οὐρανόν, ἐπειδὴ οὐκ ἔχεις ἄλλα ὄμματα, εἰμὴ ἐκεῖνα, τὰ ὁποῖα προσήλωσας εἰς τὴν γῆν· ὅταν ἀφιερώσῃς ὅλην τὴν ἀγάπην σου εἰς τὸν κόσμον, τότε οὐδὲ τὸν Θεὸν ἀγαπᾷς, οὐδὲ τὸν πλησίον σου, ἐπειδὴ οὐκ ἔχεις ἄλλην

λην ἀγάπην, εἰμὴ ἐκείνην, τὴν ὁποίαν προσήλωσας εἰς τὸν κόσμον. Ἡ ἀγάπη παρομοιάζει τὰ ἥμερα δένδρα· ἔχεις εἰς τὸν κῆπόν σου δένδρον ἥμερον, φέρον καρπούς ὡραίους καὶ γλυκεῖς· ἀλλ' ἐὰν οὐδέποτε γεωργῇς αὐτὸ, ἐκεῖνο γίνεται ἄγριον, καὶ καρποφορεῖ καρποὺς δυσειδεῖς καὶ πικρούς· ἔχεις τὴν ἀγάπην εἰς τὴν καρδίαν σου, ἀλλ' ἐὰν οὐδέποτε καλλιεργῇς αὐτὴν, ἐκείνη γίνεται ἀγρία, καὶ καρποφορεῖ ἁμαρτίας καὶ ἀνομίας.

Ἀλλὰ πῶς, λέγεις, καλλιεργεῖται ἡ ἀγάπη; Τὸ πῶς ἐδίδαξέ σε ὁ Θεός·
[Διυτ. ϛ'. 12.] Πρόσεχε σεαυτῷ, εἶπε, μὴ ἐπιλάθῃ Κυρίου τοῦ Θεοῦ σου· ἀφιέρωσον, λέγει, ὅλην τὴν προσοχήν σου, ἵνα μὴ τύχῃ, καὶ φύγῃ ἐκ τῆς μνήμης σου ὁ Θεός σου. Ἀλλὰ διατί τοῦτο; διότι, ἐὰν φύγῃ ἐκ τῆς μνήμης σου ὁ Θεὸς, φεύγει καὶ ἡ ἀγάπη ἐκ τῆς καρδίας σου. Ἄκουσον δὲ καὶ τούτου τὴν ἀπόδειξιν· ποῖον πρᾶγμα ἀγαπᾷς, ἐκεῖνό, τὸ ὁποῖον ἔχεις πάντοτε εἰς τὴν μνήμην σου, ἢ ἐκεῖνο, τὸ ὁποῖον οὐδέποτε ἐνθυμᾶσαι; ἐκεῖνο βέβαια τὸ ὁποῖον πάντοτε ἐνθυμᾶσαι· ἀδύνατον δέ ἐστιν, ἵνα ἀγαπήσῃς ἐκεῖνο, τὸ ὁποῖον οὐδέποτε οὐδὲ ἐνθυμᾶσαι, οὐδὲ συλλογίζεσαι· ἰδοὺ λοιπὸν ὁ τρόπος, καὶ τὸ μέσον, καὶ τὸ ὄργανον, δἰ οὗ ἡμεῖς θησαυρίζομεν τὸν θησαυρὸν τῆς ἀγάπης, ἡ ἐνθύμησις τοῦ Θεοῦ. Αὐτὸς δὲ ὁ Θεὸς ἐδίδαξε καὶ τὸν τρόπον, διὰ τοῦ ὁποίου ἐξεγείρεται ἡ μνήμη ἡμῶν εἰς
[Ἰησ. ά. 8.] τὴν ἐνθύμησιν αὐτοῦ· Καὶ οὐκ ἀποστήσεται, λέγει, ἡ βίβλος τοῦ νόμου τούτου ἐκ τοῦ στόματός σου, καὶ μελετήσεις ἐν αὐτῇ ἡμέρας καὶ νυκτός. Ἀκούεις τί ἐγείρει τὴν μνήμην σου πρὸς τὴν ἐνθύμησιν τȣ̃ Θεοῦ; Ἡ ἀνάγνωσις τῶν ἁγίων βιβλίων, καὶ ἡ διηνεκὴς μελέτη τῶν νόμων τοῦ Θεοῦ· Μὴ λείψῃ, λέγει, ποτὲ ἡ μελέτη τῶν νόμων μου ἀπὸ τοῦ στόματός σου, μελέτα αὐτοὺς καὶ τὴν ἡμέραν καὶ τὴν
νύκτα· Καὶ ἔσται σοι τὰ ῥήματα [Δευτ. ϛ'. 6, 7.]
ταῦτα, ὅσα ἐγὼ ἐντέλλομαί σοι σήμερον, ἐν τῇ καρδίᾳ σου, καὶ ἐν τῇ ψυχῇ σου. Καὶ προβιβάσεις αὐτὰ τοῖς υἱοῖς σου. Ἀκούετε Πατέρες καὶ μητέρες τί προστάσσει ὑμᾶς ὁ Θεός; Καὶ προβιβάσεις, λέγει, αὐτὰ τοῖς υἱοῖς σου· χρέος λοιπὸν ἀπαραίτητον ἔχετε, ἵνα διδάσκητε τὰ τέκνα ὑμῶν τὸν φόβον τοῦ Θεοῦ, καὶ τὴν
διατήρησιν τῶν ἁγίων αὐτοῦ νόμων· Καὶ [Αὐτόθι.]
λαλήσεις ἐν αὐτοῖς καθήμενος ἐν οἴκῳ, καὶ πορευόμενος ἐν ὁδῷ, καὶ κοιταζόμενος, καὶ διανιστάμενος. Ἀκούετε πάντες ὅσοι πιστεύετε εἰς τὸν Θεὸν, τί αὐτὸς παραγγέλλει ὑμῖν; Ἔχε, λέγει, τὰς ἐντολάς μου. εἰς τὴν καρδίαν σου, καὶ εἰς τὴν ψυχήν σου, καὶ μελέτα αὐτὰς καὶ εἰς τὸν οἶκόν σου, καὶ εἰς τὸν δρόμον, καὶ ὅταν ἔλθῃς εἰς τὴν κλίνην σου, καὶ ὅταν ἐγείρεσαι ἐκ τοῦ ὕπνου σου, ἤγουν εἰς πᾶν ἔργον σου, καὶ περίστασιν, καὶ ὑπόθεσίν σου ἔχε πρὸ τῶν ὀφθαλμῶν σου τὰ προστάγματά μου· αὐτὰ ἐγείρουσι τὴν μνήμην εἰς τὴν ἐνθύμησιν τοῦ Θεοῦ. Ἐὰν οὖν ταῦτα ποιῇς, οὐδέποτε ἐπιλανθάνεσαι τοῦ Θεοῦ· μὴ ἐπιλανθανόμενος δὲ τοῦ Θεοῦ, καλλιεργεῖς τὴν ἀγάπην σου, καὶ τοιουτοτρόπως αὐξάνεις καὶ μεγαλύνεις αὐτὴν, ὥστε οὐδὲν ἄλλο ἀγαπᾷς, εἰμὴ τὸν Θεὸν ἐξ ὅλης ψυχῆς καὶ καρδίας καὶ διανοίας καὶ ἰσχύος σου, καὶ τὸν πλησίον σου ὡς σεαυτόν.

Ἀλλὰ πῶς δύναμαι, ἀποκρίνεσαι, γυναῖκα ἔχων καὶ τέκνα, καὶ οἰκίαν, καὶ δούλους, καὶ μυρίας φροντίδας, καὶ περιστάσεις καὶ ἀνάγκας, νὰ μελετῶ ἡμέρας καὶ νυκτὸς τοὺς θείους νόμους, καὶ νὰ μνημονεύω διαπαντὸς τοῦ Θεοῦ; Τοῦτο εἰς τὴν θέλησίν σου ἵσταται, διό-

διότι τί σε ἐμποδίζει, ἵνα, πρὶν ἢ ἀρχίσῃς πᾶν ἔργον σου, συλλογισθῇς, ὅτι ὁ Θεός ἐστι παρὼν, καὶ βλέπει τί πράττεις; ποῖον ἐμπόδιον ἔχεις, ἵνα εἰς πᾶσαν ὑπόθεσίν σου ἐνθυμηθῇς, ὅτι, ἐὰν παρέβῃς τὴν ἐντολὴν τοῦ Θεοῦ, κολάζεις τὴν ψυχήν σου; ποῖον ἐμπόδιον ἔχεις, ἵνα εἰς πᾶσάν σου ἐργασίαν ἐλπίσῃς εἰς τὸν Θεὸν, καὶ ἐπικαλεσθῇς τὸ ὄνομα τὸ ἅγιον αὐτοῦ; ὅταν τοῦτο πράττῃς, τότε μελετᾷς ἡμέρας καὶ νυκτὸς τοὺς θείους νόμους, καὶ μνημονεύεις διαπαντὸς τοῦ Θεοῦ· τοῦτο δὲ οὐδεμίαν ἔχει δυσκολίαν· δύνασαι δὲ, ἐὰν θέλῃς, νὰ ἐνθυμᾶσαι τὸν Θεὸν καὶ εἰς αὐτὰς τὰς μεγάλας φροντίδας, καὶ περιστάσεις, καὶ ἀνάγκας σου, καθὼς ἐδυνήθησαν καὶ ἄλλοι ἄνθρωποι, ἔχοντες πολλῷ περισσοτέρας καὶ μείζονας τῶν σῶν καὶ φροντίδας, καὶ περιστάσεις, καὶ ἀνάγκας.

Ἀναγκαίαν περίστασιν εἶχεν ὁ Δαβὶδ, ὅτε ἔμελλε νὰ μονομαχήσῃ μετὰ τοῦ γίγαντος Γολιὰθ, ἵνα φροντίσῃ περὶ τῆς ἀναγκαίας ἑτοιμασίας κατὰ τοῦ τοιούτου φοβεροῦ ἐχθροῦ· καὶ ἐφρόντισε μὲν, καὶ ἡτοίμασε τὴν σφενδόνην, καὶ τοὺς πέντε λίθους, πλὴν εἶχεν εἰς τὴν μνήμην αὐτοῦ τὸν Θεόν· ὅθεν εἰς μὲν
Α΄. Βασ. ιζ΄. 37, 45. τὸν Σαοὺλ ἔλεγε· Κύριος, ὃς ἐξείλετό με ἐκ χειρὸς τῆς ἄρκτου, αὐτὸς ἐξελεῖταί με ἐκ χειρὸς τοῦ ἀλλοφύλου τοῦ ἀπεριτμήτου τούτου· εἰς δὲ τὸν Γολιὰθ, Σὺ ἔρχῃ πρός με ἐν ῥομφαίᾳ καὶ ἐν δόρατι καὶ ἐν ἀσπίδι, κἀγὼ πορεύομαι πρὸς σὲ ἐν ὀνόματι Κυρίου Θεοῦ Σαβαώθ. Ἀνάγκην εἶχεν αὐτὸς, ἵνα προσηλώσῃ ὅλον τὸν νοῦν καὶ τὴν προσοχὴν αὐτοῦ, ὅπως διαφυλάξῃ ἑαυτὸν ἀπὸ τῆς κραταιᾶς καὶ θανατηφόρου καταδρομῆς τοῦ φθονεροῦ καὶ ἀχαρίστου Βασιλέως Σαούλ· καὶ ἀληθῶς ἐφρόντιζε, καὶ ἔφευγεν ἐκ τόπου εἰς τόπον, καὶ ἐκρύπτετο εἰς τὰ σπήλαια, πλὴν καὶ ἐν τοιαύταις περιστάσεσιν οὐδέποτε ἔπαυσεν ἐνθυμούμενος τὸν Θεόν· καὶ κατ' αὐτὰς δὲ τὰς ὥρας, εἰς τὰς ὁποίας τὸ συμβὰν, καὶ ἡ εὐκαιρία, καὶ οἱ μετ' αὐτοῦ ὄντες ἠνάγκαζον αὐτὸν, ἵνα θανατώσῃ τὸν Σαοὺλ, καὶ εἰς αὐτὰς, λέγω, τὰς ὥρας, εἰς τὰς ὁποίας καὶ ὁ θυμὸς ἐξάπτεται, καὶ τὸ πάθος σφαδάζει, καὶ ὁ νοῦς σκοτίζεται, αὐτὸς, ἐνθυμηθεὶς τὸν Θεὸν, ἔλεγε· Μηδαμῶς μοι παρὰ Κυρίου, εἰ ποιήσω τὸ ῥῆμα τοῦτο τῷ κυρίῳ μου τῷ χριστῷ Κυρίου, ἐπενέγκαι χεῖρά μου ἐπ' αὐτὸν, ὅτι χριστὸς Κυρίου ἐστὶν οὗτος. Α΄. Βασ. κδ΄. 6. Καὶ ταῦτα μὲν εἶπεν, ὅτε εἶδε τὸν Σαοὺλ μόνον καὶ ἄοπλον εἰσελθόντα εἰς τὸ σπήλαιον, ὅπου αὐτὸς ἐκρύπτετο· ὅταν δὲ ἐν Χεϊλὰ εὗρε τὸν στρατὸν, καὶ τοὺς σωματοφύλακας, καὶ αὐτὸν τὸν Σαοὺλ κοιμώμενον, ἤθελε δὲ ὁ Ἀβεσὰ ἀποκτεῖναι αὐτὸν, καὶ τότε, μνησθεὶς τοῦ Θεοῦ, ἐστράφη πρὸς τὸν Ἀβεσὰ, καὶ εἶπε· Μὴ ταπεινώσῃς αὐτὸν, ὅτι τίς ἐποίσει χεῖρα Αὐτ. κς΄. 9, 10, 11. αὐτοῦ ἐπὶ χριστὸν Κυρίου, καὶ ἀθωωθήσεται; Ζῇ Κύριος, ἐὰν μὴ Κύριος παίσῃ αὐτὸν, ἢ ἡ ἡμέρα αὐτοῦ ἔλθῃ καὶ ἀποθάνῃ, ἢ εἰς πόλεμον καταβῇ καὶ προστεθῇ. Μηδαμῶς μοι παρὰ Κυρίου ἐπενεγκεῖν χεῖρά μου ἐπὶ χριστὸν Κυρίου.

Πόσας φροντίδας εἶχεν ὁ αὐτὸς, καθήμενος ἐπὶ τοῦ βασιλικοῦ θρόνου, καὶ πόσας περιστάσεις καὶ ἀνάγκας, ἵνα ἀπαντήσῃ τοὺς περικυκλοῦντας αὐτὸν ἐχθροὺς, καὶ διαφυλάξῃ τοὺς ὑπηκόους, καὶ κρίνῃ τὸν λαὸν, καὶ διοικήσῃ ὅλην τὴν ἑαυτοῦ βασιλείαν; ὅμως καὶ εἰς τοσοῦτον θόρυβον πολυποικίλων καὶ παντοίων περιστάσεων εὑρισκόμενος, οὐδέ-

δέ ποτε ἐπελανθάνετο τοῦ Θεοῦ κατὰ τὸ
Ψαλ. ριή. θεῖον αὐτοῦ πρόσταγμα· Εἰς τὸν αἰῶ-
93. να οὐ μὴ ἐπιλάθωμαι τῶν δικαιω-
μάτων σου, ὅτι ἐν αὐτοῖς ἔζησάς
με· τὰ προστάγματα τοῦ Θεοῦ ἦσαν τὸ
μελέτημα αὐτοῦ, αἱ ἐντολαὶ τοῦ Θεοῦ
Αὐτ. 24. ἦσαν οἱ σύμβουλοι αὐτοῦ· Καὶ γὰρ
τὰ μαρτύριά σου μελέτη μου ἐστὶ,
αἱ συμβουλίαι μου τὰ δικαιώματά
σου· τὸν νόμον τοῦ Θεοῦ ἠγάπα,
Αὐτ. 97. καὶ αὐτὸν διαπαντὸς ἐμελέτα· Ὡς ἠγά-
πησα τὸν νόμον σου Κύριε, ὅλην
τὴν ἡμέραν μελέτη μου ἐστί.

Μετὰ τοῦτο τὸ παράδειγμα, βλέπετε φανερά, ὅτι οὐδένα τόπον ἔχουσιν αἱ φροντίδες, καὶ αἱ ἀνάγκαι τῶν ὑποθέσεων ἡμῶν, καὶ ὅσα ἄλλα προβάλλομεν, λέγοντες, ὅτι αὐτὰ γίνονται ἐμπόδια τῆς μελέτης τῶν θείων νόμων, καὶ τῆς διηνεκοῦς ἐνθυμήσεως τοῦ Θεοῦ· ἀλλ' εἰσὶ προφάσεις γυμναὶ, τὰς ὁποίας ἡ πλάνη τοῦ νοὸς ἡμῶν ἐφευρίσκει, καὶ ἡ κακὴ συνήθεια στηρίζει, καὶ δίδωσιν εἰς αὐτὰς τὴν πιθανότητα. Βλέπε δὲ πῶς ὁ μὲν Δαβὶδ, ὁ μὴ τοιαύτας προφάσεις προφασιζόμενος, ἀλλὰ τὸν Θεὸν διαπαντὸς ἐνθυμούμενος, τόσον ηὔξησε τὴν ἀγά-
Α'. Ἰωάν. πην τῆς καρδίας αὐτοῦ, ὥστε ὁ Θεός,
δ'. 8. ὅστις ἐστὶν ἀγάπη, ἐμαρτύρησε περὶ αὐ-
Α'. Βασιλ. τοῦ, εἰπών· Εὗρον Δαβὶδ τὸν τοῦ
ιγ'. 14. Ἰεσσαὶ, ἄνδρα κατὰ τὴν καρδίαν
Πράξ. ιγ'. 22. μου· ἡ δὲ ἀγάπη τῆς καρδίας ἡμῶν τῶν προφασιζομένων προφάσεις ἐν ἁμαρτίαις, ἐξαλλοιουμένη καὶ ἐξαγριουμένη, οὐδὲ τὸν Θεὸν ἀγαπᾷ, οὐδὲ τὸν πλησίον, ἀλλὰ προσηλοῦται ὅλη εἰς τὸν κόσμον, εἰς τὰ γήϊνα, εἰς τὴν ματαιότητα, εἰς ἐκεῖνα τὰ πρόσκαιρα πράγματα, ἐκ τῶν ὁποίων μετ' ὀλίγον χωρίζει ἡμᾶς ὁ θάνατος ἐλεεινῶς.

Ἀλλὰ τίνι τρόπῳ ὁ κοσμικὸς ἄνθρωπος δύναται μελετᾷν διαπαντὸς τὸν Θεὸν καὶ τοὺς νόμους αὐτοῦ; Ἐάν, ὅταν πωλῇς ἢ ἀγοράζῃς, ὑπόσχεσαι ἢ συμφωνῇς, διατάσσῃς ἢ κρίνῃς, ὑπουργῇς ἢ συμβουλεύῃς, προστάσσῃς ἢ ἀπο-
φασίζῃς, ἐνθυμᾶσαι τὸ, Ζυγὰ δίκαια, Λευϊτ. ιθ'.
καὶ σταθμία δίκαια, καὶ χοῦς δί- 36.
καιος ἔσται ἐν ὑμῖν· ἐάν, ὅταν ἐπιθυμῇς τὴν αὔξησιν τῶν ὑπαρχόντων σου καὶ τὴν κτῆσιν τοῦ πλούτου, συλλογί-
σαι τὸ, Μὴ ἐλπίζετε ἐπ' ἀδικίαν, Ψαλ. ξά.
καὶ ἐπὶ ἅρπαγμα μὴ ἐπιποθῆ- 10.
τε· πλοῦτος ἐὰν ῥέῃ, μὴ προστίθεσθε καρδίαν· ἐάν, ὅταν ὀρέγησαι τὰ ἀξιώματα καὶ τὴν δόξαν, μνημονεύῃς
τὸ, Πᾶσα δόξα ἀνθρώπου ὡς ἄν- Α'. Πέτρ.
θος χόρτου· ἐξηράνθη ὁ χόρτος, ά. 24.
καὶ τὸ ἄνθος αὐτοῦ ἐξέπεσεν· ἐάν, ὅταν ἡ ἐπιθυμία τῆς σαρκὸς βιάζῃ σε εἰς τὴν ἐκπλήρωσιν τῆς ἁμαρτίας,
στοχασθῇς τὸ, Οὔτε πόρνοι, οὔτε εἰ- Α'. Κορ. ς'.
δωλολάτραι, οὔτε μοιχοὶ, οὔτε 9, 10.
μαλακοὶ, οὔτε ἀρσενοκοῖται, οὔτε κλέπται, οὔτε πλεονέκται, οὔτε μέθυσοι, οὐ λοίδοροι, οὐχ ἅρπαγες, βασιλείαν Θεοῦ οὐ κληρονομήσουσιν· ἐάν, ὅταν μὲν ποιῇς ἐ-
λεημοσύνην, στοχάζεται τὸ, Μὴ γνώτω Ματ. ς'.
ἡ ἀριστερά σου τί ποιεῖ ἡ δεξιά 3, 17.
σου· ὅταν δὲ νηστεύῃς, τὸ, Ἄλειψαί 18.
σου τὴν κεφαλὴν, καὶ τὸ πρόσωπόν σου νίψαι, ὅπως μὴ φανῇς τοῖς ἀνθρώποις νηστεύων· ἑνὶ λόγῳ, ὅταν οὐδὲν ἔργον, κἂν μικρὸν, κἂν εὐτελὲς, στέργῃς ποτὲ νὰ πράξῃς, ἐὰν μὴ πρῶτον ἐρευνήσῃς, ἀρεστόν ἐστιν εἰς τὸν Θεὸν, ἢ οὔ, καὶ ἐὰν μὴ πρῶτον συλλογισθῇς τί περὶ τοῦ ἔργου σου ἐκείνου διορίζει ὁ νόμος τοῦ Θεοῦ, τότε μελετᾷς διαπαντὸς τὸν θεῖον νόμον, καὶ ἐνθυμᾶσαι πάντοτε τὸν Θεόν.

Ἔστι δὲ καὶ ἄλλη μελέτη ταύτης τελειοτέρα, ὅταν ὁ ἄνθρωπος ὑψώσῃ τοῦ νοὸς τὰ ὄμματα, καὶ, προσηλώσας αὐτὰ εἰς τὸν Θεὸν, μελετᾷ καὶ συλλο-

γί-

γίζηται, ὅτι ὁ Θεός, διὰ μὲν τὴν ἰδίαν ἀγαθότητα, ἐποίησε τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ τὴν θάλασσαν, καὶ πάντα τὰ ὁρατὰ καὶ ἀόρατα, διὰ δὲ τὴν φιλανθρωπίαν αὐτοῦ, πλάσας τὸν ἄνθρωπον κατ' εἰκόνα αὐτοῦ καὶ καθ' ὁμοίωσιν, καὶ καταστολίσας αὐτὸν διὰ τῆς λογικῆς δυνάμεως, καὶ τῆς αὐτοπροαιρέτου θελήσεως, πάντα ὑπέταξεν ὑποκάτω τῶν ποδῶν αὐτοῦ· διὰ δὲ τὴν ἀγάπην αὐτοῦ, ἐξαπέστειλε τὸν μονογενῆ αὐτοῦ Υἱὸν εἰς τὸν κόσμον Σωτῆρα καὶ Λυτρωτὴν τοῦ γένους τῶν ἀνθρώπων· διὰ δὲ τὴν πρόνοιαν αὐτοῦ, περικρατεῖ καὶ διευθύνει πάντα τὰ κτίσματα, καὶ προνοεῖ περὶ πάντων, καὶ περὶ ἑνὸς ἑκάστου τῶν ἀν-
Πράξ. ιδ΄. 17. θρώπων, οὐρανόθεν ἡμῖν ὑετοὺς διδοὺς καὶ καιροὺς καρποφόρους, ἐμπιπλῶν τροφῆς καὶ εὐφροσύνης τὰς καρδίας ἡμῶν· διὰ δὲ τὴν εὐσπλαγχνίαν αὐτοῦ, δέχεται τοὺς μετανοοῦντας, καὶ συγχωρεῖ πάσας τὰς ἁμαρτίας αὐτῶν· διὰ δὲ τὸ ἄπειρον ἔλεος αὐτοῦ, ἔχει ἕτοιμον ἀπὸ καταβολῆς κόσμου βασιλείαν καὶ δόξαν αἰώνιον, οὐ μόνον διὰ τοὺς δικαίους, ἀλλὰ καὶ διὰ τοὺς μετανοήσαντας ἁμαρτωλούς.

Μακάριος ἐκεῖνος ὁ ἄνθρωπος, ὅστις ἡμέρας καὶ νυκτὸς ἔχει τοιαύτην μελέτην· αὐτὴ φέρει τὴν πνευματικὴν αἴσθησιν· ὅθεν ὁ ταῦτα μελετῶν αἰσθάνεται, ὅτι ταῦτά εἰσιν ἐπιθυμητότερα τοῦ χρυσίου καὶ τῶν πολυτίμων λίθων, καὶ γλυκύτερα τοῦ μέλιτος καὶ τοῦ κηρίου· Τὰ κρίματα Κυρίου ἀληθινά, Ψαλ. ιη΄. 10, 11.
δεδικαιωμένα ἐπὶ τὸ αὐτό· Ἐπιθυμητὰ ὑπὲρ χρυσίον καὶ λίθον τίμιον πολύν, καὶ γλυκύτερα ὑπὲρ μέλι καὶ κηρίον. Ἡ τοιαύτη αἴσθησις ἀνάπτει εἰς τὴν καρδίαν αὐτοῦ τὸ πῦρ τῆς θείας ἀγαπήσεως, ὅθεν οὐδὲν ἄλλο ἀγαπᾷ, καὶ οὐδὲν ἄλλο ἐπιθυμεῖ, εἰμὴ τὸ Ὂν τὸ ὑπερτέλειον, καὶ εὐεργετικόν, καὶ ἐρασμιώτατον, τουτέστι τὸν Θεόν. Ἐκ τούτου, μακρὰν ἀπέχων ἀπὸ τῆς ἀκαθαρσίας τῶν ἁμαρτημάτων, καὶ διὰ τῆς λαμπρότητος τῶν ἀρετῶν καταστολίζων τὴν ψυχὴν αὐτοῦ, περιμένει τὴν οὐ δι' ἐσόπτρου καὶ αἰνίγματος, ἀλλὰ τὴν πρόσωπον πρὸς πρό- Α΄. Κορ. ιγ΄. 12.
σωπον ἀπόλαυσιν τοῦ Θεοῦ, κραυγάζων ὡς ὁ Προφήτης αὐτοῦ· Ὡς ἀγα- Ψαλ. πγ΄. 1, 2.
πητὰ τὰ σκηνώματά σου, Κύριε τῶν δυνάμεων· ἐπιποθεῖ καὶ ἐκλείπει ἡ ψυχή μου εἰς τὰς αὐλὰς τοῦ Κυρίου· Ἡ καρδία μου καὶ ἡ σάρξ μου ἠγαλλιάσαντο ἐπὶ Θεὸν ζῶντα. Ἐδίψησεν ἡ ψυ- Αὐτ. μα΄. 2.
χή μου πρὸς τὸν Θεὸν τὸν ζῶντα· πότε ἥξω, καὶ ὀφθήσομαι τῷ προσώπῳ τοῦ Θεοῦ;

# ΟΜΙΛΙΑ

ΜΕΤΑ ΤΟ ΚΑΤΑ

# ΜΑΡΚΟΝ

## ΕΥΑΓΓΕΛΙΟΝ ΤΗΣ ΚΥΡΙΑΚΗΣ ΜΕΤΑ ΤΗΝ ΥΨΩΣΙΝ.

Καὶ ἐν τῇ τρίτῃ Κυριακῇ τῶν νηστειῶν
ἀνεγνώσθη τὸ αὐτὸ Εὐαγγέλιον, ὅπερ
καὶ τὴν σήμερον ἠκούσαμεν· ἐπειδὴ δὲ
τότε ἄλον διηρμηνεύθη, διὰ τοῦτο σήμε-
ρον ἀφιεροῦμεν καὶ τὸν νοῦν καὶ τὸν λό-
γον εἰς ταῦτα μόνα τοῦ Κυρίου Ἰησοῦ
Μάρκ. η. 34. τὰ λόγια· Ὅστις θέλει ὀπίσω μου
ἐλθεῖν, ἀπαρνησάσθω ἑαυτὸν,
καὶ ἀράτω τὸν σταυρὸν αὐτοῦ,
καὶ ἀκολουθείτω μοι. Καὶ πρῶτον
μὲν ἐρευνῶ τὸ πόθεν ὁ Θεάνθρωπος ἀ-
φορμὴν ἔλαβεν, ἵνα ταῦτα διδάξῃ· βλέ-
πω δὲ, ὅτι, ὅταν αὐτὸς μὲν ἐδίδαξε παρ-
ῥησίᾳ, ὅτι παραδίδωσιν ἑαυτὸν εἰς τὰ
πάθη καὶ εἰς τὸν θάνατον διὰ τὴν σω-
τηρίαν τοῦ γένους τῶν ἀνθρώπων, ὁ δὲ
Πέτρος ἐπετίμα αὐτῷ, ἵνα μὴ τοῦτο
πράξῃ· τότε πρῶτον μὲν ἤλεγξε τὸν Πέ-
Αὐτόθι. 33. τρον, ὀνομάσας αὐτὸν Σατανᾶν· Ὕπα-
γε ὀπίσω μου Σατανᾶ, ὅτι οὐ φρο-
νεῖς τὰ τοῦ Θεοῦ, ἀλλὰ τὰ τῶν
ἀνθρώπων· ἔπειτα, προσκαλεσάμενος
τὸν ὄχλον καὶ τοὺς Μαθητὰς αὐτοῦ,
ἐξεφώνησεν εὐθὺς ταύτην τὴν διδασκα-
λίαν· Ὅστις θέλει ὀπίσω μου ἐλ-
θεῖν, ἀπαρνησάσθω ἑαυτὸν, καὶ
ἀράτω τὸν σταυρὸν αὐτοῦ, καὶ ἀ-
κολουθείτω μοι. Δεύτερον, στοχαζό-
μενος ποῖον ἦν τὸ σφάλμα τοῦ Πέτρου,
διακρίνω, ὅτι αὐτὸς προέτρεπε τὸν Ἰη-
σοῦν Χριστὸν, ἵνα διαφυλάξῃ τὴν ἰδίαν
ζωὴν, καὶ παραβλέψῃ τῶν ἀνθρώπων
τὴν σωτηρίαν, τουτέστιν ἵνα ἀγαπήσῃ
ἑαυτὸν μόνον, καὶ οὐχὶ τοὺς ἄλλους, ὅ-
περ ἐστὶν, ὅτι προέτρεπε τὸν Ἰησοῦν
Χριστὸν, ἵνα πέσῃ εἰς τῆς φιλαυτίας τὸ
ἁμάρτημα, καθὼς ὁ Σατανᾶς ἐπείραζεν
αὐτὸν, ἵνα πέσῃ εἰς τῆς ὑπερηφανείας
καὶ φιλοχρηματίας τὸ πτῶμα. Τρίτον
ἀκούω τοὺς ἑρμηνευτὰς τούτων τῶν λό-
γων τοῦ Κυρίου, λέγοντας, ὅτι ἄρνησιν
ἑαυτοῦ ὠνόμασεν ὁ Κύριος τὴν ἄρνησιν Χρυσ. εἰς τὴν κατὰ Ματθ. Σευ. καὶ Βικτ. Ἀντιοχ. εἰς τὴν κατὰ Μάρκον.
τῶν σαρκικῶν ἐπιθυμιῶν, καὶ τὴν περι-
φρόνησιν τῆς ἰδίας ζωῆς, καὶ ὅτι τὰ λό-
για ταῦτα οὐδὲν ἄλλο σημαίνουσιν, εἰ-
μὴ τὸ, ὅτι, χρεωστεῖ καθεὶς τῶν μαθη-
τῶν τοῦ Χριστοῦ ἕτοιμος γενέσθαι καὶ
ὑπομεῖναι ὑπὲρ τῆς εἰς αὐτὸν πίστεως
θλίψεις, καὶ κινδύνους, καὶ ἀγῶνας, καὶ
παθήματα, τέλος πάντων καὶ τὸν θά-
νατον, ὅταν ἡ χρεία τοῦτο ζητῇ. Παρα-
τηρῶ δὲ, ὅτι τὴν ἑρμηνείαν ταύτην ἐπι-
βεβαιοῖ οὐ μόνον ὁ ὀρθὸς λόγος, ἀλλὰ
καὶ τὰ ἑξῆς τοῦ Ἰησοῦ Χριστοῦ λόγια·
Ὃς γὰρ ἂν θέλῃ τὴν ψυχὴν αὐτοῦ Μάρκ. η. 35.
(ἤγουν τὴν ἰδίαν ζωὴν) σῶσαι, ἀπο-
λέσῃ αὐτήν· ὃς δ᾽ ἂν ἀπωλέσῃ τὴν
ψυχὴν αὐτοῦ ἕνεκεν ἐμοῦ καὶ τοῦ
Εὐαγγελίου, οὗτος σώσει αὐτήν.
Πιστεύω δὲ καὶ πείθομαι, ὅτι οὐδὲν ἄλ-
λο ἐμποδίζει ἡμᾶς ἀπὸ τῆς τοιαύτης ἑ-
τοιμασίας, καὶ τῆς καταφρονήσεως καὶ
ἀρνήσεως τῆς ἰδίας ζωῆς, εἰ μὴ ἡ φιλαυ-
τία, ἥτις ἀφορμὴν ἔδωκεν εἰς τὸν Ἰησοῦν
Χριστὸν, ἵνα ἐκφωνήσῃ ταύτην τὴν οὐρά-
νιον διδασκαλίαν· πείθομαι, λέγω, ὅτι
ὅστις νικήσῃ τῆς φιλαυτίας τὸ πάθος,
ἐκεῖνος αἴρει τὸν σταυρὸν αὐτοῦ, καὶ ἀ-

κα-

κολουθεῖ ὀπίσω τοῦ Ἰησοῦ Χριστοῦ. Περὶ τούτου δὲ πληροφορίαν λαμβάνομεν, ὅταν καταλάβωμεν πόθεν γεννᾶται, καὶ τί ἐστιν ἡ φιλαυτία.

Ὁ Θεὸς, ὅστις ἐφύτευσε τὴν ἀγάπην εἰς τὴν φύσιν τῶν ἀνθρώπων, ὡς ἀναγκαίαν πρὸς διατήρησιν καὶ ἑνὸς ἑκάστου, καὶ παντὸς τοῦ ἀνθρωπίνου γένους, ἔθηκεν ἐν αὐτῇ δύω ὅρους· ἐν ὅσῳ ἡ ἀγάπη ἵσταται ἔνδον τούτων τῶν ὅρων, γίνεται καὶ εἰς τὸν καθένα, καὶ εἰς πάντας ὠφελιμωτάτη καὶ σωτήριος· ὅταν δὲ ὑπερπηδήσῃ τὰ ὅρια αὐτῆς, τότε γίνεται βλαβερὰ καὶ ὀλέθριος. Πρῶτος ἀγάπης ὅρος ἐστὶν, ἵνα ἀγαπᾷς τὸν Θεὸν περισσότερον οὐ μόνον πάντων τῶν ἐπιγείων καὶ ἐπουρανίων πραγμάτων, ἀλλὰ καὶ τοῦ ἑαυτοῦ σου, ἤγουν τῆς ἰδίας σου, ζωῆς. Δεύτερος δὲ ὅρος ἀγάπης ἐστὶν, ἵνα τόσον ἀγαπᾷς τὸν πλησίον σου, ὅσον, καὶ τὸν ἑαυτόν σου. Οἱ ἄνθρωποι πολλὰ εὔκολα, καὶ σχεδὸν ἀνεπαισθήτως καταφρονοῦσιν ἢ τὸν ἕνα, ἢ τὸν ἄλλον τούτων τῶν ὅρων, ἢ καὶ τοὺς δύω ὁμοῦ· ἐκ ταύτης δὲ τῆς καταφρονήσεως γεννᾶται ἡ φιλαυτία, ἥτις οὐδὲν ἄλλο ἐστὶν, εἰ μὴ ἀγάπη τοῦ ἑαυτοῦ ἡμῶν ὑπερβολικὴ, περισσοτέρα δηλαδὴ οὐ μόνον τῆς ἀγάπης, τὴν ὁποίαν χρεωστοῦμεν εἰς τὸν πλησίον, ἀλλὰ καὶ αὐτῆς τῆς ἀγάπης τῆς χρεωστουμένης εἰς τὸν Θεόν. Ὅστις οὐ μόνον τὸν πλησίον, ἀλλ' οὐδὲ τὸν Θεὸν ἀγαπᾷ τόσον, ὅσον ἀγαπᾷ ἑαυτὸν, ἐκεῖνος ἐστιν ὁ φίλαυτος.

Ἐκ τούτου βλέπομεν φανερὰ, ὅτι οὐδεὶς φίλαυτος γίνεται ἀληθινὸς μαθητὴς τοῦ Ἰησοῦ Χριστοῦ. Ἡ διδασκαλία τοῦ Χριστοῦ, καὶ ἡ φιλαυτία εἰσὶ δύω πράγματα ἀντιμαχόμενα· ὁ μαθητὴς τοῦ Χριστοῦ οὐδὲν προτιμᾷ τῆς ἀγάπης τοῦ Θεοῦ, ὁ φίλαυτος οὐδὲν προτιμᾷ τῆς ἀγάπης τοῦ ἰδίου προσώπου αὐτοῦ· ὁ μαθητὴς τοῦ Χριστοῦ ἀγαπᾷ διαπαντὸς τὸν πλησίον αὐτοῦ, καὶ σπουδάζει παντὶ τρόπῳ, ἵνα ὠφελήσῃ αὐτὸν, ὁ φίλαυτος τότε μόνον ἀγαπᾷ τὸν πλησίον αὐτοῦ, ὅταν βλέπῃ, ὅτι κερδαίνει τί ἐξ αὐτοῦ· ὁ Μαθητὴς τοῦ Χριστοῦ ὑπωπιάζει τὸ σῶμα αὐτοῦ καὶ δουλαγωγεῖ, ἵνα, νεκρώσας τὰς σαρκικὰς ἐπιθυμίας, ἄρῃ τὸν σταυρὸν αὐτοῦ, καὶ μιμηθῇ τὸν διδάσκαλον αὐτοῦ τὸν ὑπὲρ ἡμῶν σταυρωθέντα, ὁ φίλαυτος θεοποιεῖ τὴν γαστέρα, ἐκπληροῖ τὰς ἐπιθυμίας αὐτοῦ, ἵνα εὐαρεστήσῃ ἑαυτῷ, καὶ ἀκολουθήσῃ τοὺς ἐχθροὺς τοῦ σταυροῦ τοῦ Χριστοῦ, ὧν τὸ τέλος ἀπώλεια, ὧν ὁ Θεὸς ἡ κοιλία, καὶ ἡ δόξα ἐν τῇ αἰσχύνῃ αὐτῶν. Φιλιπ. γ'. 18, 19.

Ὅταν οἱ διῶκται τοῦ Χριστοῦ, ἡ οἱ Αἱρεσιάρχαι προβάλλωσι στάδιον καὶ παλαίστραν, τότε διακρίνεις ἀκριβῶς τίνες εἰσὶν οἱ μαθηταὶ τοῦ Χριστοῦ, καὶ τίνες οἱ φίλαυτοι. Οἱ μὲν Μαθηταὶ τοῦ Χριστοῦ καταβαίνουσιν ἐκεῖ προθύμως, ὁμολογοῦσι παῤῥησίᾳ τὸν Χριστὸν Υἱὸν Θεοῦ, κηρύττουσι θαρσαλέως τὴν ἀλήθειαν τῶν δογμάτων τῆς πίστεως, παλαίουσι ταῖς ποικίλαις βασάνοις ἀνδρειότατα, ἐκχέουσι τὸ αἷμα αὐτῶν, δέχονται μετὰ χαρᾶς τὸν θάνατον διὰ τὴν ἀγάπην τοῦ Ἰησοῦ Χριστοῦ· οἱ δὲ φίλαυτοι ὅπου ἂν ἴδωσιν, ἢ ἀκούσωσιν ἀγῶνα θανάτου, ἢ βασάνου, ἢ μικρᾶς θλίψεως, φεύγουσιν ἐκεῖθεν, καὶ κατακρύπτονται· ἐὰν δὲ ἢ μὴ θέλοντες εὑρεθῶσιν, ἢ ἀπερισκέπτως ἐμπέσωσιν εἰς τῶν ἀγώνων τὸ στάδιον, οὐκ ἐπιμένουσιν εἰς τὴν καλὴν ὁμολογίαν, ἀλλ' ὑπὸ τῆς φιλαυτίας αὐτῶν νικώμενοι, ἀρνοῦνται τὸν Χριστὸν, καὶ τὴν εἰς αὐτὸν πίστιν· ἔπαθε τοῦτο ὁ Πέτρος εἰς τὴν αὐλὴν τοῦ Ἀρχιερέως.

Ἡ φιλαυτία οὐ μόνον ἀπέχει ἀπὸ τῆς τελειότητος τῶν μαθητῶν τοῦ Χριστοῦ, ἀλλὰ καὶ αἴτιον γίνεται πάσης

ἁμαρ-

ἁμαρτίας, καὶ ἐμπόδιον πάσης ἀρετῆς. Ἀναβιβάσατε τὸν νοῦν ὑμῶν εἰς τὴν μακαρίαν γῆν τῆς Ἐδὲμ, ὅπου ἦν ὁ παράδεισος· ἐκεῖ βλέπετε, ὅτι ὅσον καιρὸν ἡ ἀγάπη τῶν πρωτοπλάστων ἔμενεν εἰς τὸν πρῶτον ὅρον τῆς ἀγάπης, ἤγουν ὅσον καιρὸν αὐτοὶ ἠγάπων τὸν Θεὸν πολὺ περισσότερον ἢ ἑαυτοὺς, ἦσαν ἐργάται πάσης ἀρετῆς· ὅταν δὲ, ἀκούσαντες, ὅτι γίνονται Θεοὶ, κατεφρόνησαν τὸν ὅρον τῆς ἀγάπης, καὶ, προτιμήσαντες ἑαυτοὺς τοῦ Θεοῦ, ἠθέλησαν ἁρπάσαι τὴν μοναρχικὴν ἐξουσίαν, καὶ γενέσθαι Θεοὶ, τότε εὐθὺς, παραβάντες τοῦ Θεοῦ τὴν ἐντολὴν, ἥμαρτον ἁμαρτίαν, ἥτις κατέστησε καὶ αὐτοὺς, καὶ ὅλον τὸ ἀνθρώπινον γένος κατάκριτον καὶ ἁμαρτωλόν· ὅταν ἡ φιλαυτία εἰσέβη εἰς τὴν καρδίαν αὐτῶν, τότε ἥμαρτον τὴν ἁμαρτίαν, τὴν ὁποίαν φέρει ἐν ἑαυτῷ πᾶς ἄνθρωπος μὴ εἰς Χριστὸν βαπτισθείς. Ἐπειδὴ δὲ ἡ ἁμαρτία αὐτῶν κατέστησεν ἐπιῤῥεπῆ εἰς τὰ πονηρὰ πᾶσαν τὴν ἀνθρωπίνην
Γεν. η΄. 21. φύσιν, ἔκτοτε δὲ ἔγκειται ἡ διάνοια τοῦ ἀνθρώπου ἐπιμελῶς ἐπὶ τὰ πονηρὰ ἐκ νεότητος αὐτοῦ, διὰ τοῦτο οὐδόλως σφάλλει, ὅστις νομίζει, ὅτι ἡ φιλαυτία ἐστὶ τὸ πρῶτον αἴτιον πάσης ἁμαρτίας.

Ἐπιστρέψατε νῦν τὰ ὄμματα εἰς τὴν γῆν, εἰς τὴν ὁποίαν οἱ πρωτόπλαστοι, σὺν αὐτοῖς δὲ καὶ ἡμεῖς ἐξωρίσθημεν. Βλέπετε; πρῶτος ὁ Κάϊν ἐφθόνησε, καὶ φθονήσας ἐφόνευσε τὸν ἀδελφὸν αὐτοῦ τὸν Ἄβελ· πόθεν δὲ ὁ φθόνος; ἐκ τῆς περιφρονήσεως τοῦ δευτέρου ὅρου τῆς ἀγάπης· αὐτὸς οὐκ ἠγάπησε τὸν ἀδελφὸν αὐτοῦ ὡς ἑαυτόν· ἐὰν ἠγάπα ἐκεῖνον ὡς ἑαυτὸν, οὐκ ἐφθόνει τὴν εὐτυχίαν αὐτοῦ, διότι ἡ ἀγάπη καὶ ὁ φθόνος εἰσὶ πράγματα ἐναντία, καὶ οὐδέ ποτε συνέρχονται ὁμοῦ, καθὼς οὐδὲ τὸ φῶς καὶ τὸ σκότος· ὅπου φῶς, ἐκεῖθεν φεύγει τὸ σκότος, ὅπου ἀγάπη, ἐκεῖθεν φυγαδεύεται ὁ φθόνος· παρέβη ὁ Κάϊν τὸν ὅρον τῆς ἀγάπης, ὅθεν εὐθὺς εἰσῆλθεν εἰς τὴν καρδίαν αὐτοῦ ἡ φιλαυτία, καὶ αὐτὴ μὲν ἐγέννησε τὸν φθόνον, ὁ δὲ φθόνος ἐγέννησε τὸν φόνον.

Ὅτε τὸ πρῶτον ἐπληθύνθησαν οἱ ἄνθρωποι ἐπὶ τῆς γῆς, τότε ἐπλήθυνεν ἡ ἁμαρτία, καὶ ἐπλήρωσε πᾶσαν τὴν
γῆν· Ἐπλήσθη ἡ γῆ ἀδικίας ἀπ' Γεν. ς΄.
αὐτῶν. Πόθεν δὲ τόσος πληθυσμὸς 13.
κακίας; πόθεν τόση ἀνομία καὶ ἁμαρτία, ὥστε, πλὴν τοῦ Νῶε καὶ τῶν ἐν τῇ οἰκίᾳ αὐτοῦ, οὐδεὶς τότε εὑρέθη δίκαιος; ἀκούσατε. Δύω γένη ἀνθρώπων τότε ἦσαν εἰς τὸν κόσμον, τὸ μὲν ἐκ τοῦ Κάϊν καταγόμενον, καὶ αὐτοὶ ἦσαν φιλόσαρκοι, τὸ δὲ ἐκ τοῦ Σὴθ, καὶ αὐτοὶ ἦσαν φιλόθεοι· ὅθεν ἡ θεία Γραφὴ τοὺς μὲν ἐκ τοῦ Κάϊν καταγομένους ὠνόμασεν υἱοὺς ἀνθρώπων, τοὺς δὲ ἐκ τοῦ Σὴθ, υἱοὺς Θεοῦ. Οἱ φιλόθεοι, ἰδόντες τὰς θυγατέρας τῶν φιλοσάρκων, ὅτι εἰσὶν ὡραῖαι, ἠγάπησαν αὐτὰς μᾶλλον ἢ τὸν Θεὸν, ἔλαβε δὲ ἐξ αὐτῶν καθεὶς γυναῖκας κατὰ τὴν ἐπιθυμίαν καὶ
ἀρέσκειαν αὐτοῦ· Ἰδόντες δὲ οἱ υἱοὶ Αὐτόθ. 2.
τοῦ Θεοῦ τὰς θυγατέρας τῶν ἀνθρώπων, ὅτι καλαί εἰσιν, ἔλαβον ἑαυτοῖς γυναῖκας ἀπὸ πασῶν, ὧν ἐξελέξαντο· αὐτὴ δὲ ἡ μίξις ἔφθειρε παντελῶς καὶ τὴν πρὸς τὸν Θεὸν καὶ τὴν πρὸς τὸν πλησίον ἀγάπην· διὸ καθεὶς αὐτῶν οὐδὲν ἄλλο ἠγάπα, εἰ μὴ ἑαυτὸν, τουτέστι, κατακυριευθέντες πάντες ὑπὸ τῆς φιλαυτίας, καὶ τέλειοι φίλαυτοι γενόμενοι, ἐπολιτεύοντο ὥσπερ μὴ ἔχοντες ψυχὴν, ἀλλὰ μόνον σῶμα· τοῦτο δὲ σημαίνουσι ταῦτα τοῦ
Θεοῦ τὰ λόγια· Διὰ τὸ εἶναι αὐ- Αὐτ. 3.
τοὺς σάρκας. Ἡ τοιαύτη δὲ ὑπερβολικὴ φιλαυτία προεξένησε τοσαῦτα καὶ

τοιαῦ-

τοιαῦτα ἁμαρτήματα, ὥστε ἔκρινεν ὁ Θεὸς ἄξιον καταποντισμοῦ, καὶ τῷ ὄντι κατεπόντισε, πλὴν τοῦ Νῶε καὶ τῶν τέκνων αὐτοῦ, ὅλον τὸ ἀνθρώπινον γένος.

Θέλετε καὶ ἄλλα παραδείγματα εἰδικώτερα; ἴδατε τὸν Σαούλ. Διατί αὐτὸς ζητεῖ, ἵνα θανατώσῃ τὸν εὐεργέτην αὐτοῦ τὸν Δαβίδ; διότι ἀγαπᾷ ἑαυτὸν περισσότερον ἢ τὸν Δαβίδ, τουτέστι, διότι ἐστὶ φίλαυτος. Διατί ὁ Ἀμνὼν ἔφθειρε βιαίως τὴν Θημὰρ τὴν ἀδελφὴν αὐτοῦ; διότι προέκρινε τὴν ἐκπλήρωσιν τῆς σαρκικῆς αὐτοῦ ἐπιθυμίας μᾶλλον ἢ τὴν τιμὴν τῆς ἀδελφῆς αὐτοῦ· τοῦτο δὲ τί ἄλλο ἐστὶν, εἰμὴ φιλαυτία; Διατί ὁ Ἀβεσσαλὼμ ζητεῖ παντὶ τρόπῳ, ἵνα ἐκθρονίσῃ τὸν πατέρα αὐτοῦ τὸν Δαβίδ; διότι θέλει αὐτὸς τὸν βασιλικὸν θρόνον· τοῦτο δὲ τί ἄλλο ἐστὶν, εἰμὴ φιλαυτία;

Βλέπε δὲ πῶς ἡ φιλαυτία οὐ μόνον γεννᾷ τὴν ἁμαρτίαν, ἀλλὰ καὶ ἐμποδίζει τὴν ἀρετήν. Οἱ Ἀρχιερεῖς καὶ οἱ Φαρισαῖοι, συνέδριον συναγαγόντες, βουλεύονται, ἵνα ἐμποδίσωσι τὰ θαύ-
Ἰωάν. ια. 47. ματα τοῦ Κυρίου Ἰησοῦ· Τί ποιοῦμεν; λέγουσιν, ὅτι οὗτος ὁ ἄνθρωπος πολλὰ σημεῖα ποιεῖ· ἀλλὰ διατί σπουδάζουσιν ἀναχαιτίσαι τῆς εὐεργεσίας τὰ νάματα, διὰ τῶν ὁποίων εὐεργετεῖται τόσον πλῆθος ἀνθρώπων; διότι φοβοῦνται, μήπως πάντες πιστεύσωσιν εἰς τὸν Χριστὸν, καὶ ἀκολουθήσωσιν αὐτῷ· ὑποπτεύονται δὲ, μήπως, τοῦτο ἀκούσαντες οἱ Ῥωμαῖοι, καὶ νομίσαντες, ὅτι τῶν Ἑβραίων τὸ γένος ἀπεστάτησεν ἀπὸ τῆς ἐξουσίας αὐτῶν, ἐλθόντες ὑστερήσωσιν αὐτοὺς καὶ τοῦ τό-
Αὐτόθι. 48. που καὶ τοῦ ἔθνους· Ἐὰν ἀφῶμεν, λέγουσιν, αὐτὸν οὕτω, πάντες πιστεύσουσιν εἰς αὐτόν· καὶ ἐλεύσονται οἱ Ῥωμαῖοι, καὶ ἀροῦσιν ἡμῶν καὶ τὸν τόπον καὶ τὸ ἔθνος. Ἀκούεις, ποίας ὑποψίας γεννᾷ ἡ φιλαυτία; ἀκούεις, πῶς διὰ μίαν παράλογον ὑποψίαν ἐμποδίζει τὴν βεβαίαν καὶ κοινὴν ἀγαθοεργίαν;

Τῶν Ἰουδαίων τὸ Συνέδριον, καὶ πᾶσα ἡ τούτων Γερουσία, γνωρίζοντες, ὅτι ἀδίκως κατέκριναν εἰς θάνατον τὸν Κύριον ἡμῶν Ἰησοῦν, ἐφοβοῦντο, μήπως, κηρυττομένου τοῦ Εὐαγγελίου, ἐρευνηθῇ ἡ ἄδικος αὐτῶν κρίσις, καὶ ἑπομένως λάβωσι τὴν πρέπουσαν τιμωρίαν· προσκαλέσαντες οὖν τοὺς Ἀποστόλους, εἶπον πρὸς αὐτούς· Ἡμεῖς μὲν παρηγγείλαμεν εἰς ὑμᾶς, ἵνα μὴ διδάσκητε ἐπὶ τῷ ὀνόματι τοῦ Ἰησοῦ Χριστοῦ, καὶ ὅμως, ἰδοὺ ἐπληρώσατε τὴν Ἱερουσαλὴμ τῆς διδαχῆς ὑμῶν· ὑμεῖς βέβαια θέλετε, ἵνα ἐκδικηθῇ τὸ αἷμα τοῦ Ἰησοῦ Χριστοῦ ἐπάνω εἰς τὰς κεφαλὰς ἡμῶν·
Καὶ βούλεσθε ἐπαγαγεῖν ἐφ' ἡ- Πράξ. ε. 28.
μᾶς τὸ αἷμα τοῦ ἀνθρώπου τούτου. Ἡ φιλαυτία διὰ ἕνα ὑποθετικὸν φόβον ἐμποδίζει τὴν κοινὴν τοῦ κόσμου σωτηρίαν.

Παῦλος Σέργιος ὁ Ἀνθύπατος προσκαλεῖ τὸν Βαρνάβαν καὶ τὸν Παῦλον, Αὐτ. ιγ'. 7.
ἵνα ἀκούσῃ παρ' αὐτῶν τὸν λόγον τοῦ Θεοῦ· ὁ Ἐλύμας ὁ μάγος, φίλος ὢν καὶ οἰκεῖος τοῦ Ἀνθυπάτου, ἐναντιοῦται εἰς τοὺς Ἀποστόλους, καὶ σπουδάζει, ἵνα διαστρέψῃ τὸν Ἀνθύπατον ἀπὸ τῆς πίστεως· ἀλλὰ διατί ὁ μάγος ταῦτα ποιεῖ; διότι, ἐὰν ὁ Ἀνθύπατος πιστεύσῃ, ὁ μάγος ὑστερεῖται καὶ τῆς φιλίας τοῦ Ἀνθυπάτου, καὶ τοῦ κέρδους, τὸ ὁποῖον ἐκέρδαινε, πλανῶν αὐτὸν καὶ ὑποσκελίζων. Τίς ζητεῖ τὸ κέρδος αὐτοῦ ἐπὶ τῇ ἀπωλείᾳ τῆς ψυχῆς τοῦ φίλου αὐτοῦ; οὐδεὶς ἄλλος, εἰμὴ ὁ φίλαυτος, ὅστις οὐδένα ἀγαπᾷ περισσότερον τῆς ἰδίας αὐτοῦ ὠφελείας.

Μείζων πασῶν τῶν ἀρετῶν ἐστὶν ἡ διάκρισις· αὐτή ἐστι τὸ ἅλας, περὶ τοῦ

τοῦ ὁποίου εἰς μὲν τὸν μωσαϊκὸν νόμον
Λευϊτ. β'. 13. εἶπεν ὁ Θεός· Καὶ πᾶν δῶρον θυσίας ὑμῶν ἁλὶ ἁλισθήσεται· οὐ διαπαύσετε ἅλας Διαθήκης Κυρίου ἀπὸ θυσιασμάτων ὑμῶν· ἐπὶ παντὸς δώρου ὑμῶν προσοίσετε Κυρίῳ τῷ Θεῷ ὑμῶν ἅλας· εἰς δὲ τὸν εὐαγγελικὸν ἐκήρυξε, λέγων·
Μάρκ. θ'. 50. Ἔχετε ἐν ἑαυτοῖς ἅλας. Ἡ φιλαυτία καὶ αὐτὴν τὴν μεγάλην ἀρετὴν ἁρπάζει ἀπὸ τοῦ νοὸς τῶν ἀνθρώπων· ὁ Ἰσαὰκ ἠγάπησε τὸν Ἡσαῦ μᾶλλον ἢ
Γεν. κζ'. 27. τὸν Ἰακώβ, κἂν ὁ μὲν Ἡσαῦ ἦν ἄγροικος καὶ δύστροπος, ὁ δὲ Ἰακὼβ ἄπλαστος καὶ ἀγαθοπροαίρετος· ἀλλὰ διατί τοῦτο; διότι ὁ Ἡσαῦ ἦν κυνηγός, καὶ ἔφερε τὰ θηρευόμενα εἰς τὸν
Αυτ. 28. Ἰσαάκ, καὶ ἔτρεφεν αὐτόν· Ἠγάπησε δέ, λέγει τὸ ἱερὸν λόγιον, Ἰσαὰκ τὸν Ἡσαῦ, ὅτι ἡ θήρα αὐτοῦ βρῶσις αὐτῷ. Βλέπετε πῶς ἡ φιλαυτία ἀφείλετο ἀπὸ τούτου τοῦ ἁγίου ἀνθρώπου τὴν ὀρθὴν καὶ δικαίαν κρίσιν τῆς ἀγάπης;

Ἐάν, ἀναγινώσκων τὰς ἐκκλησιαστικὰς καὶ πολιτικὰς ἱστορίας, συναντῶν ἐν αὐταῖς τὰς ἀνομίας καὶ ἀδικίας τῶν ἀνθρώπων, προσηλώσῃς τὸν νοῦν, ἵνα καταλάβῃς, ποῖόν ἐστι τὸ πρῶτον αὐτῶν αἴτιον, βλέπεις φανερά, ὅτι οὐδὲν ἄλλο ἐστίν, εἰμὴ ἡ φιλαυτία. Ἀλλὰ τίς ἡ χρεία τοιαύτης ἐρεύνης; ἀρκεῖ πρὸς πληροφορίαν, ἵνα ὁ καθεὶς στρέψῃ τὰ ὄμματα εἰς ἑαυτόν, καὶ ἐρευνήσῃ τῆς καρδίας αὐτοῦ τὸ βάθος. Ἐσυλλογίσθητέ ποτε, ποῖόν ἐστι πρῶτον καὶ ἐσωτερικὸν αἴτιον τῶν ἁμαρτημάτων ἡμῶν; ἐσυλλογίσθητε, διατί προκρίνομεν τὴν ἡδονὴν τῆς σαρκὸς ἡμῶν, καὶ αὐτῶν τῶν ἐντολῶν καὶ προσταγμάτων τοῦ Θεοῦ, ὅθεν καὶ γινόμεθα παραβάται τοῦ θείου νόμου; διατί ὅσον δύσκολα γνωρίζομεν τὰ μεγάλα σφάλματα ἡμῶν, τόσον εὔκολα διακρίνομεν καὶ αὐτὰ τὰ μικρὰ ἐλαττώματα τῶν ἄλλων, ὅθεν οὐδέποτε σχεδὸν λείπει ἐκ τοῦ στόματος ἡμῶν ἡ κατηγορία καὶ ἡ κατάκρισις; διατί σχεδὸν πάντες νομίζομεν, ὅτι ἐσμὲν ἀνώτεροι κατά τι τῶν ἄλλων, καὶ ἑπομένως σχεδὸν πάντες ἔχομεν ἓν εἶδος ὑπερηφανείας; διατί σφετεριζόμεθα τὰ ἐκκλησιαστικὰ πράγματα, καὶ ἁρπάζομεν τὰ ἀλλότρια, καὶ ἐπιβουλεύομεν τὴν ξένην κλίνην, καὶ κινοῦμεν τὴν γλῶσσαν εἰς τὴν ψευδομαρτυρίαν καὶ προδοσίαν καὶ συκοφαντίαν, καὶ ἐκτείνομεν τὰς χεῖρας εἰς πληγὰς καὶ φόνους; διατί ταῦτα καὶ τὰ ὅμοια τούτοις πράττομεν; διότι ἀγαπῶμεν ἑαυτοὺς περισσότερον καὶ τοῦ Θεοῦ καὶ τοῦ πλησίον, ὅπερ ἐστί, διότι ἐσμὲν φίλαυτοι. Ἐὰν ἠγάπας τὸν Θεὸν ἐξ ὅλης ψυχῆς καὶ καρδίας, καὶ ἰσχύος, καὶ διανοίας, ἐὰν ἠγάπας τὸν πλησίον σου ὡς σεαυτόν, οὐδὲν τούτων ἔπραττες, διότι τίς ἀγαπᾷ, καὶ καταφρονεῖ; τίς ἀγαπᾷ, καὶ ἐπιβουλεύει; τίς ἀγαπᾷ, καὶ βλάπτει τὸν ἀγαπώμενον; βλέπετε λοιπὸν πῶς ἡ φιλαυτία ἐστὶν ἡ πρώτη αἰτία πάσης ἁμαρτίας; Ἐὰν ἀκολουθήσωμεν ταύτην τὴν ἔρευναν, βλέπομεν, ὅτι ἡ αὐτὴ γίνεται καὶ τῆς ἀρετῆς ἐμπόδιον.

Διατί βλέπεις τὸν πτωχόν, καὶ οὐκ ἐλεεῖς αὐτὸν πλουσιοπαρόχως; διότι φοβεῖσαι, μὴ πτωχεύσῃς, ὥσπερ καὶ ἐκεῖνος. Διατί οὐ νηστεύεις εἰς τὰς ἡμέρας τῶν νηστειῶν; διότι φοβεῖσαι, μήπως καὶ ἀσθενήσῃς. Διατί οὐκ ἀγρυπνεῖς τὴν νύκτα εἰς τὴν προσευχήν; διότι οὐ στέργεις τὴν ἐνόχλησιν. Διατί οὐ φυλάττεις σωφροσύνην καὶ καθαρότητα; διότι ζητεῖς τὰς ἡδονὰς τῆς σαρκός σου. Ἐὰν ἀκολουθήσῃς τοιουτοτρόπως ἐρευνῶν σεαυτόν, βλέπεις, ὅτι ὑπάρχεις γυμνὸς πάσης ἀρετῆς, καὶ πίπτεις

πίπτεις

πτεις εἰς πᾶν εἶδος ἁμαρτίας, ἐπειδὴ οὐδὲν ἄλλο μελετᾷς, καὶ εἰς οὐδὲν ἄλλο ἐπιβλέπεις, εἰμὴ εἰς τὴν ἡδονὴν καὶ εἰς τὴν ἀνάπαυσίν σου, τουτέστιν, ἐπειδὴ κατακυριεύει καὶ κατατυραννεῖ σε ἡ φιλαυτία σου. Ἐκ τούτων εὐλόγως συμπεραίνομεν, ὅτι, ἐὰν μὴ ἐκβάλωμεν ἐκ τῆς καρδίας ἡμῶν τὴν φιλαυτίαν, σωθῆναι οὐ δυνάμεθα.

Πάντες οἱ ἅγιοι μακρὰν ἐξ αὐτῶν ἐδίωξαν τῆς φιλαυτίας τὸ πάθος· δύω δὲ ἐξόχως βλέπομεν τοιούτους, ἵνα μὲν μετὰ τὸν νόμον, ἄλλον δὲ μετὰ τὴν εὐαγγελικὴν χάριν, τὸν προφήτην δηλαδὴ Μωϋσῆν, καὶ τὸν Ἀπόστολον Παῦλον. Ὁ Μωϋσῆς τόσον μακρὰν ἐξώρισεν ἀπὸ τῆς καρδίας αὐτοῦ τὴν φιλαυτίαν, ὥστε, ὅταν ἥμαρτεν ὁ λαὸς θεοποιήσας τὸν μόσχον, τότε, δεόμενος τοῦ Θεοῦ, ἵνα συγχωρήσῃ τοῦ λαοῦ τὴν ἁμαρτίαν, ἐξεφώνησε ταῦτα τὰ λόγια·
Ἐξόδ. λβ΄. 32. Καὶ νῦν εἰ μὲν ἀφῇς αὐτοῖς τὴν ἁμαρτίαν αὐτῶν, ἄφες· εἰ δὲ μή, ἐξάλειψόν με ἐκ τῆς βίβλου σου, ἧς ἔγραψας· τοῦτο δὲ σημαίνει, ὅτι αὐτὸς τόσον ἠγάπα τὸν παρὰ Θεοῦ ἐμπιστευθέντα αὐτῷ λαόν, ὅσον καὶ ἑαυτόν· διὸ καὶ αὐτοθελήτως ἔστεργεν, ἵνα, εἴτι πάθῃ ὁ λαός, τοῦτο πάθῃ καὶ αὐτός· ἐὰν μὲν σωθῇ ὁ λαός, ἵνα σωθῇ καὶ αὐτός· ἐὰν δὲ κολασθῇ ὁ λαός, κολασθῇ καὶ αὐτός. Ὁ δὲ Παῦλος, ὑπερβὰς καὶ αὐτὸν τὸν ὅρον τῆς ἀγάπης, ἠγάπησε τὸν λαὸν τοῦ Ἰσραὴλ περισσότερον ἢ ἑαυτόν, διότι, προσευχόμενος πρὸς τὸν Θεόν, ἔλεγεν· Εὔχομαι καὶ παρακαλῶ, ἵνα τὸ γένος τοῦ Ἰσραὴλ πιστεύσῃ καὶ σωθῇ, ἐγὼ δὲ χωρισθῶ
Ρωμ. θ΄. 3. ἀπὸ τῆς δόξης τοῦ Ἰησοῦ Χριστοῦ· Ηὐχόμην γὰρ αὐτὸς ἐγὼ ἀνάθεμα εἶναι ἀπὸ τοῦ Χριστοῦ ὑπὲρ τῶν ἀδελφῶν μου, τῶν συγγενῶν μου κατὰ σάρκα. Ἐκ τούτου ὁ μὲν Μωϋσῆς τόσας ἀρετὰς κατώρθωσε, καὶ εἰς τόσην καθαρότητα καὶ ἁγιωσύνην ἔφθασεν, ὥστε ὁ Θεὸς ἐλάλει μετ' αὐτοῦ ἐ- Ἐξόδ. λγ΄. 11.
νώπιος ἐνωπίῳ, ὡς εἴτις λαλήσαι πρὸς τὸν ἑαυτοῦ φίλον· ὁ δὲ Παῦλος εἰς τοσοῦτον ὕψος ἀρετῆς καὶ τελειότητος ὕψωσε τὴν ψυχὴν αὐτοῦ, ὥστε κατηξιώθη ἔτι ζῶν, ἵνα ἀναβῇ ἕως τρίτου οὐρανοῦ, καὶ ἀκούσῃ ἄρ- Β΄. Κορ. ιβ΄. 4.
ρητα ῥήματα, ἃ οὐκ ἐξὸν ἀνθρώπῳ λαλῆσαι.

Ἀλλὰ πῶς ἄραγε δύναται, λέγεις, ὁ ἄνθρωπος ἐλευθερωθῆναι ἀπὸ τοιούτου πάθους ἐσωτερικοῦ, ἰσχυροῦ καὶ δραστηρίου, καὶ τεθεμελιωμένου ἐπάνω εἰς τὸν φυσικὸν νόμον, ὃν ὁ Θεὸς ἐφύτευσεν εἰς τὴν φύσιν παντὸς ζώου, πρὸς διατήρησιν αὐτοῦ καὶ ὑπεράσπισιν; πῶς δύναται ὁ ἄνθρωπος νὰ μισήσῃ ἑαυτόν; Οὐδεὶς γάρ ποτε τὴν ἑαυτοῦ σάρ- Ἐφεσ. ε΄. 29.
κα ἐμίσησεν, ἀλλ' ἐκτρέφει καὶ θάλπει αὐτήν. Ἀλλὰ τίς νόμος κελεύει, ἵνα μὴ ἀγαπῶμεν ἑαυτούς; αὐτὸς ὁ περὶ ἀγάπης νόμος τοῦ Θεοῦ στηρίζεται ἐπάνω εἰς τὸν φυσικὸν νόμον τῆς ἀγάπης· Ἀγαπήσεις, λέγει ὁ Θεός, Ματ. κβ΄. 39.
τὸν πλησίον σου ὡς σεαυτόν· ἐὰν οὖν μὴ ἀγαπᾷς σεαυτόν, πῶς δύνασαι νὰ ἀγαπήσῃς τὸν πλησίον σου ὡς σεαυτόν; ἐὰν τὸν ὅρον τῆς ἀγάπης φυλάττῃς, ὅσον περισσότερον ἀγαπᾷς σεαυτόν, τοσοῦτον περισσότερον ἀγαπᾷς καὶ τὸν πλησίον σου· ἀγάπα λοιπὸν σεαυτὸν ὅσον θέλεις, πλὴν μὴ καταφρονῇς τοὺς ὅρους τῆς ἀγάπης· διότι, ἐὰν τούτους καταφρονῇς, τότε οὐκ ἀγαπᾷς, ἀλλὰ μισεῖς σεαυτόν· ὅταν, παραβαίνων τοὺς ὅρους τῆς ἀγάπης, ἀθετῇς τὴν πίστιν σου, ἢ καταφρονῇς τοῦ Θεοῦ τὸν νόμον, ἢ βλάπτῃς τὸν πλησίον σου, ἵνα εὐχαριστήσῃς καὶ εὐαρεστήσῃς σεαυτῷ, καὶ λάβῃς κέρδος καὶ δόξαν πρόσκαιρον, τότε οὐκ ἀγαπᾷς, ἀλλὰ μισεῖς σεαυτόν·

τόν· τότε ἡ μὲν ἀγάπη τοῦ ἑαυτοῦ σου ἐστὶ μῖσος, καθότι διὰ τῆς τοιαύτης ἀγάπης παραδίδεις τὴν ψυχήν σου εἰς τὴν αἰώνιον κόλασιν, τὸ δὲ μῖσός ἐστιν ἀγάπη, καθότι διὰ τοῦ τοιούτου μίσους κληρονομεῖς τὴν αἰώνιον σωτηρίαν.

Ὅταν τὸ μικρὸν παιδίον ζητῇ παρὰ τοῦ πατρὸς αὐτοῦ μάχαιραν, ἢ δηλητήριον φάρμακον, αὐτὸς δὲ, ὑπὸ τῆς ὑπερβολικῆς ἀγάπης νικώμενος, ἵνα μὴ λυπήσῃ αὐτὸ, ἐγχειρίζῃ αὐτὰ εἰς τὰς χεῖρας αὐτοῦ, ἐκεῖνο δὲ, λαβὸν αὐτὰ, ἀποκτείνει ἑαυτὸ, τότε τοῦτο τὸ ἔργον τί ἐστιν, ἀγάπη, ἢ μῖσος; ἀγάπη, ἢ ἀνοησία; τοῦτο αὐτὸ συμβαίνει σοι, ὅταν κατακυριεύῃ σου ἡ φιλαυτία· ὅτε ὁ μὲν ἑαυτός σου, ἤγουν ἡ διεστραμμένη ἐπιθυμία τῆς καρδίας σου, ζητῇ τὴν παράβασιν τῶν ἐντολῶν τοῦ Θεοῦ καὶ τὴν βλάβην τοῦ πλησίον, αὐτὸς δὲ, ὑπὸ τῆς φιλαυτίας τυφλούμενος, ἵνα εὐαρεστήσῃς σεαυτῷ, παραδίδως αὐτὰ εἰς τὴν ἐξουσίαν τῶν σαρκικῶν σου ἐπιθυμιῶν, αἵ τινες διὰ τούτων φονεύουσι τὴν ψυχήν σου, τότε ἡ ἀγάπη τοῦ ἑαυτοῦ σου οὐκ ἔστιν ἀγάπη φυσικὴ καὶ λογικὴ, ἀλλ' ἐστὶ μῖσος ἄλογον, καὶ ἄνοια ἐπιβλαβεστάτη.

Ἀγάπα λοιπὸν σεαυτὸν ὅσον θέλῃς, πλὴν μένε εἰς τοὺς ὅρους τῆς ἀγάπης· ἐὰν δὲ μένῃς εἰς αὐτοὺς, φεύγεις παντελῶς τὴν φιλαυτίαν, ἀγαπᾷς δὲ σεαυτὸν πράγματι καὶ ἀληθείᾳ. Δύω δέ εἰσιν οἱ ὅροι τῆς ἀγάπης· Ἀγαπή- Ματ. κβ.
σεις Κύριον τὸν Θεόν σου ἐν ὅλῃ 37.
τῇ καρδίᾳ σου, καὶ ἐν ὅλῃ τῇ ψυχῇ σου, καὶ ἐν ὅλῃ τῇ διανοίᾳ σου· οὗτός ἐστιν ὁ ὅρος ὁ πρῶτος· ὁ δὲ δεύτερος, ὁ ὅμοιος αὐτῷ, ἐστὶν οὗτος· Ἀ- Αὐτ. 39.
γαπήσεις τὸν πλησίον σου ὡς σεαυτόν· ἐκ τούτων δὲ τῶν δύω ὅρων κρέμαται ὅλος ὁ νόμος καὶ οἱ Προφῆται· Ἐν ταύταις ταῖς δυσὶν ἐντο- Αὐτ. 40.
λαῖς ὅλος ὁ νόμος καὶ οἱ Προφῆται κρέμανται.

# ΕΡΜΗΝΕΙΑ

ΕΙΣ ΤΟ ΚΑΤΑ

# ΜΑΤΘΑΙΟΝ

## ΕΥΑΓΓΕΛ. ΤΗΣ ΚΥΡ. ΤΩΝ ΠΑΤΕΡΩΝ ΤΗΣ Ζ'. ΣΥΝΟΔΟΥ.

Τῶν θεοφόρων Πατέρων τῆς ἁγίας οἰκουμενικῆς ἑβδόμης Συνόδου τὴν ἑορτὴν ἑορτάζει σήμερον ἡ ἁγία τῶν ὀρθοδόξων Ἐκκλησία. Οὗτοι οἱ ἁγιώτατοι ἄνδρες, τριακόσιοι καὶ ἑξήκοντα πέντε τὸν ἀριθμὸν, εὐδοκίᾳ τῶν εὐσεβεστάτων καὶ φιλοχρίστων Βασιλέων Κωνσταντίνου καὶ τῆς μητρὸς αὐτοῦ Εἰρήνης, Θεοῦ ζήλῳ κινούμενοι, συνηθροίσθησαν εἰς τὴν λαμπρὰν πόλιν Νικαέων, καθὼς καὶ ἐπὶ Κωνσταντίνου, τοῦ πρώτου τῶν Χριστιανῶν Βασιλέως καὶ ἰσαποστόλου, οἱ τὴν πρώτην οἰκουμενικὴν συγκροτήσαντες Σύνοδον. Καὶ ἐκεῖνοι μὲν, ἐλέγξαντες τὸ βλάσφημον τοῦ Ἀρείου δόγμα, ὁμοούσιον τῷ Πατρὶ ἐκήρυξαν τὸν σεσαρκωμένον Λόγον, τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν· οὗτοι δὲ, ἐξουδενώσαντες τὰς συκοφαντίας καὶ τὰ παράλογα φρονήματα τῶν εἰκονομάχων, ὥρισαν, ἵνα σεβώμεθα,

θα, καὶ τιμητικῶς, οὐχὶ δὲ λατρευτῶς, προσκυνῶμεν καὶ ἀσπαζώμεθα τὰς ἁγίας εἰκόνας, διὰ τῆς τοιαύτης τιμῆς καὶ προσκυνήσεως ἀναβιβάζοντες τὸν νοῦν ἡμῶν ἐπ' αὐτὰ τὰ πρωτότυπα τῶν εἰκόνων· ἅμα δὲ καὶ ἀναθέματι καθυπέβαλον πάντας τοὺς ἄχρι τότε ἀναφανέντας αἱρετικοὺς, καὶ τοὺς μετὰ ταῦτα τολμήσοντας διδάξαι ἢ φρονῆσαι ἀλλόκοτα καὶ ξένα καὶ ἐναντία τῶν ὀρθῶν τῆς πίστεως δογμάτων. Ἡ ἁγία αὕτη ἑβδόμη Σύνοδος ἐπλήρωσε τὸν ἕβδομον ἀριθμὸν τῶν οἰκουμενικῶν Συνόδων· ὅθεν πρεπόντως ἁρμόζει εἰς αὐτὰς τὸ ὑπὸ τοῦ παναγίου Πνεύματος διὰ στόματος
Παροιμ. τοῦ Σολομῶντος προειρημένον· Ἡ σοφία
θ΄. 1. ᾠκοδόμησεν ἑαυτῇ οἶκον, καὶ ὑπήρεισε στύλους ἑπτά· διότι αὐταὶ αἱ ἑπτὰ οἰκουμενικαὶ Σύνοδοι εἰσὶν ἀληθῶς ἑπτὰ στύλοι, βαστάζουσαι διὰ τῶν ὑπ' αὐτῶν ἐκτεθέντων ὅρων τὰ ὀρθὰ δόγματα, τὰ ἐν τῷ οἴκῳ τοῦ Θεοῦ, ἤγουν τὰ ἐν τῇ τοῦ Χριστοῦ Ἐκκλησίᾳ διδασκόμενα, καὶ στηρίζουσαι διὰ τῶν ὑπ' αὐτῶν ἐκδοθέντων κανόνων τὸ θεοφιλὲς καὶ ἅγιον τῶν ἀνθρώπων ἦθος. Καὶ τούτους οὖν τῆς ἑβδόμης Συνόδου τοὺς θείους Πατέρας ἡμεῖς μὲν τιμῶμεν, ὡς τῆς ὀρθοδοξίας ζηλωτὰς, ὡς διδασκάλους τῆς πίστεως, ὡς εὐεργέτας κοινοὺς τῆς ἀνθρωπότητος, ὡς ἄνδρας ἁγίους, καὶ ὡς διὰ τοῦ φωτὸς τῆς ἀρετῆς καὶ τῆς ὀρθῆς αὐτῶν διδασκαλίας φωτίσαντας ἡμᾶς εἰς πᾶσαν τὴν ἀλήθειαν· ἡ δὲ τοῦ Θεοῦ Ἐκκλησία εἰς τιμὴν αὐτῶν καὶ ἔπαινον ἀναγινώσκει σήμερον τὰ εὐαγγελικὰ λόγια, τὰ ἁρμόζοντα καὶ εἰς τούτους τοὺς θεοφόρους Πατέρας, ὡς περιέχοντα τοὺς λαμπροὺς αὐτῶν χαρακτῆρας, καὶ μεγάλην προξενοῦντα εἰς ἡμᾶς τὴν ψυχικὴν ὠφέλειαν, ὅταν αὐτὰ καὶ τὴν τούτων ἑρμηνείαν μετ' εὐλαβείας ἀκούωμεν.

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ Ματ. ε΄.
Μαθηταῖς· Ὑμεῖς ἐστὲ τὸ 14.
φῶς τοῦ κόσμου· οὐ δύναται
πόλις κρυβῆναι ἐπάνω ὄρους
κειμένη· Οὐδὲ καίουσι λύχνον, 15.
καὶ τιθέασιν αὐτὸν ὑπὸ τὸν
μόδιον, ἀλλ' ἐπὶ τὴν λυχνίαν,
καὶ λάμπει πᾶσι τοῖς ἐν τῇ
οἰκίᾳ.

Φῶς τοῦ κόσμου ὠνόμασεν ὁ Θεάνθρωπος τοὺς ἰδίους Μαθητὰς, ἐπειδὴ, καθὼς τὸ αἰσθητὸν τοῦ ἡλίου φῶς διὰ τῶν ἑαυτοῦ ἀκτίνων φωτίζει τὰ σωματικὰ ὄμματα, ὅθεν οἱ ἄνθρωποι βλέπουσι καὶ διακρίνουσι πάντα τὰ ἐν τῷ κόσμῳ, οὕτως οἱ θεοκήρυκες Ἀπόστολοι διὰ τοῦ εὐαγγελικοῦ κηρύγματος ἐφώτισαν τοὺς ὀφθαλμοὺς τῆς ψυχῆς, ὅθεν οἱ φωτισθέντες ἐγνώρισαν καὶ ἐπίστευσαν εἰς τὴν τῶν ἐπουρανίων πραγμάτων ἀλήθειαν· Ὑμεῖς ἐστὲ τὸ φῶς τοῦ κόσμου, ἤγουν τὸ φῶς τῆς ψυχῆς πάντων τῶν ἐπὶ γῆς ἀνθρώπων. Ἡ πόλις, λέγει, ἐκείνη, ἥτις ᾠκοδομημένη ἐστὶν ἐπάνω εἰς τὴν κορυφὴν τοῦ ὄρους, οὐ δύναταί ποτε κρυβῆναι ἀπὸ τῶν ὀμμάτων τῶν ἀνθρώπων, ἐπειδὴ πάντες αὐτὴν βλέπουσιν· οὐδὲ ἀνάπτουσί ποτε λύχνον, ἔπειτα κρύπτουσιν ὑπὸ τὸν μόδιον, (σκεῦος ἐστὶν ὁ μόδιος, δι' οὗ μετρεῖ- Ὅρα τὸν
ται ὁ σῖτος, ἡ κριθὴ, καὶ ἄλλα ὅμοια) Σουΐδ. εἰς
ἀλλὰ βάλλουσιν αὐτὸν ἐπὶ τὴν λυχνίαν, τὸ μόδιμν.
ἵνα λάμπῃ καὶ φωτίζῃ πάντας τοὺς ἐν τῇ οἰκίᾳ. Ποῖον δὲ σκοπὸν ἔχουσι ταῦτα τὰ λόγια, καὶ τί διὰ τούτων διδάσκει ὁ Κύριος ἡμῶν Ἰησοῦς; Πρὸς τοὺς Ἀποστόλους λαλεῖ, λέγων· Ἐπειδὴ κατέστησεν ὑμᾶς ὁ Θεὸς κήρυκας τῆς πίστεως, φανεροί ἐστε, καὶ ὑπὸ πάντων

τῶν

τῶν ἀνθρώπων βλεπόμενοι, καθὼς καὶ ἡ πόλις, ἡ ἐπ' ὄρους κειμένη· διὸ καταστήσατε ἑαυτοὺς ἀνεπιλήπτους καὶ ἁγίους, ἵνα, λάμποντες ἑκατέρωθεν, καὶ διὰ τοῦ φωτὸς τῆς χάριτος, καὶ διὰ τοῦ φωτὸς τῶν καλῶν ἔργων, φωτίζητε τὸν κόσμον ὅλον· ἐπειδὴ ἐχειροτόνησεν ὑμᾶς ὁ Θεὸς κήρυκας τῆς πίστεως, μὴ κρύψητε ὑποκάτω τῆς ἀμελείας ἢ τοῦ φόβου τὸ τοῦ Εὐαγγελίου κήρυγμα, ἀλλ' ὑψώσατε αὐτὸ ἐπὶ τῆς λυχνίας, ἤγουν κηρύξατε αὐτὸ προθύμως εἰς πᾶσαν τὴν οἰκουμένην, καὶ φωτίσατε δαψιλῶς πάντας τοὺς εἰς ταῦτον τὸν κόσμον, ὡς ἐν οἰκίᾳ τινὶ κατοικοῦντας ἀνθρώπους. Ἐπιβεβαιοῖ δὲ ταῦτα καὶ διὰ τῶν ἑξῆς λόγων.

Ματ. ε. 16. **Οὕτω λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως ἴδωσιν ὑμῶν τὰ καλὰ ἔργα, καὶ δοξάσωσι τὸν Πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς.**

Διδάσκει ἄρά γε διὰ τούτων τῶν λόγων ὁ Κύριος τοὺς Ἀποστόλους, ἵνα ποιῶσι τὰ καλὰ ἔργα πρὸς ἐπίδειξιν καὶ φιλοτιμίαν; μὴ γένοιτο! οὐκ εἶπε, Σπουδάζετε, ἵνα φανερώσητε εἰς τοὺς ἀνθρώπους τὰ κατορθώματα ὑμῶν· οὐκ εἶπε, Δείξατε τοῖς ἀνθρώποις τὰ καλὰ ὑμῶν ἔργα· ἀλλ' οὕτω λαμψάτω, εἶπε, τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων· τοῦτο δὲ σημαίνει τὸ, πολλὴ ἔστω καὶ μεγάλη καὶ πλουσία ἡ ἀρετὴ ὑμῶν· ὅταν δὲ τοιαύτη ὑπάρχῃ ἡ ἀρετὴ, τότε οὐ κρύπτεται, κἂν ὁ ἐργάτης αὐτῆς παντοιοτρόπως σπουδάζῃ κρύψαι αὐτὴν, ἀλλὰ φανερὰ γίνεται εἰς τοὺς ἀνθρώπους, καὶ λάμπει ὡς καθαρὸν φῶς, καὶ φεγγοβολεῖ. Εἶπε ἐνώπιον τῶν ἀνθρώπων, καὶ οὐχὶ ἐνώπιον τοῦ Θεοῦ, ἐπειδὴ εἰς τὸν Θεὸν γνωστὰ εἰσι καὶ αὐτὰ τὰ ἀπόκρυφα ἔργα τῆς ἀρετῆς· ὅτι δὲ τοῦτό ἐστι τὸ νόημα τῶν προκειμένων λόγων, πληροφορεῖ τὸ, Καὶ δοξάσωσι τὸν Πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς. Ὁ φιλόδοξος καὶ ἐπιδεικτικὸς ἄνθρωπος, ὅταν ποιῇ τὰ καλὰ ἔργα, σκοπὸν ἔχει, ἵνα δοξάσῃ ἑαυτὸν, οὐχὶ δὲ τὸν Θεόν· ὁ οὖν Θεάνθρωπος, διορίσας καὶ εἰπὼν, ὅτι ὁ σκοπὸς τοῦ ἐργαζομένου τὴν ἀρετὴν ἐστὶν ἡ δόξα τοῦ Θεοῦ· Ὅπως ἴδωσιν ὑμῶν τὰ καλὰ ἔργα, καὶ δοξάσωσι τὸν Πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς· ἀπέκλεισεν ἀπὸ τῆς διδασκαλίας αὐτοῦ τὸν σκοπὸν πάσης ἐπιδείξεως καὶ φιλοδοξίας. Δοξάζουσι δὲ οἱ ἄνθρωποι τὸν Θεὸν, ὅταν βλέπωσι τῆς ἀρετῆς τὰ ἔργα, ἄλλοι μὲν κατανυγόμενοι τὴν καρδίαν, καὶ πρὸς τὸν Θεὸν ἐπιστρέφοντες, ἄλλοι δὲ στηριζόμενοι εἰς τὴν ἀρετὴν, καὶ πολυπλασιάζοντες τὰ ἔνδοξα αὐτῆς ἔργα, ἄλλοι δὲ πάλιν ἀναβιβάζοντες τὸν νοῦν αὐτῶν εἰς τὸν Θεὸν, τὸν δοτῆρα καὶ χορηγὸν τῆς ἀρετῆς, καὶ τὴν δοξολογίαν καὶ αἶνεσιν αὐτῷ προσφέροντες. Ταῦτα δὲ εἰπὼν ὁ Κύριος, μεταβαίνει εἰς ἄλλην ὑπόθεσιν, λέγων.

**Μὴ νομίσητε, ὅτι ἦλθον καταλῦσαι τὸν νόμον ἢ τοὺς Προφήτας· οὐκ ἦλθον καταλῦσαι, ἀλλὰ πληρῶσαι.** Ματ. ε. 17.

Ἐπειδὴ μετὰ ταῦτα εὐθὺς ἐδίδαξε τὸ, Ἠκούσατε, ὅτι ἐρρέθη τοῖς ἀρχαίοις· Ὃς δ' ἂν φονεύσῃ, ἔνοχος ἔσται τῇ κρίσει. Ἐγὼ δὲ λέγω ὑμῖν, ὅτι πᾶς ὁ ὀργιζόμενος τῷ ἀδελφῷ αὐτοῦ εἰκῇ, ἔνοχος ἔσται Αὐτόθι. 21, 22.

σται τῇ κρίσει· ἵνα μὴ ταῦτα ἀκούσαντες νομίσωσιν, ὅτι καταργεῖ τὸν μωσαϊκὸν νόμον, καὶ νομοθετεῖ ἄλλα ἐναντία, διὰ τοῦτο προκαταλαμβάνει τοὺς ἀκροατὰς διὰ τούτων τῶν λόγων· Μὴ νομίσητε, λέγει, ὅτι ἐγὼ ἦλθον εἰς τὸν κόσμον, ἵνα καταλύσω τὸν νόμον ἢ τοὺς Προφήτας, διότι ἐγὼ οὐκ ἦλθον καταλῦσαι αὐτὰ, ἀλλὰ πληρῶσαι. Καὶ νόμον μὲν λέγει τοὺς νόμους τοῦ Θεοῦ, τοὺς ἐν τῇ Πενταβίβλῳ τοῦ Μωϋσέως, Προφήτας δὲ, τὰ ὑπὸ τῶν Προφητῶν περὶ αὐτοῦ προειρημένα. Ταῦτα δὲ οὐδὲ κατήργησεν, οὐδὲ ἠκύρωσεν ὁ Θεάνθρωπος, ἀλλ' ἐπλήρωσε καὶ ἐτελείωσε· καὶ ὅσα μὲν οἱ Προφῆται προφητικῶς προεῖπον περὶ τῆς συλλήψεως, καὶ τῆς γεννήσεως, καὶ τῶν θαυμάτων, καὶ τοῦ κηρύγματος, καὶ τοῦ πάθους, καὶ τοῦ σταυροῦ καὶ τοῦ θανάτου, καὶ τῆς ταφῆς, καὶ τῆς ἀναστάσεως, καὶ τῆς εἰς οὐρανοὺς ἀναβάσεως, καὶ τῆς ἐκ δεξιῶν τοῦ Θεοῦ καθέδρας αὐτοῦ, πάντα ἐπ' ἀκριβὲς ἐπληρώθησαν ὑπ' αὐτοῦ, καὶ ἐν αὐτῷ· τίνι δὲ τρόπῳ οὐ κατέλυσεν, ἀλλ' ἐπλήρωσε τὸν μωσαϊκὸν νόμον, ἄκουσον. Καθὼς ὁ ζωγράφος, ὅστις ἐπάνω τῆς μετὰ τῆς προσηκούσης συμμετρίας σχεδιασθείσης σκιαγραφίας τοῦ εἰκονιζομένου ἐπιθεὶς τὰ κατάλληλα χρώματα, οὐ καταλύει, οὐδὲ διαφθείρει τὴν σκιαγραφίαν, ἀλλ' ἀπαρτίζων καὶ λαμπρύνων αὐτὴν, πληροῖ καὶ τελείαν δείκνυσι τὴν εἰκόνα· οὕτως ὁ Θεάνθρωπος, ἐπιβαλὼν τὰ μαθήματα τῆς τελειότητος ἐπάνω εἰς τὸ ἀτελὲς τοῦ νόμου, ἀπήρτισε καὶ κατελάμπρυνε, καὶ ἀνέδειξεν αὐτὸν πανυπέρλαμπρον εἰκόνα τῆς τοῦ Θεοῦ τελειότητος, νόμον, λέγω, τέλειον καὶ ἄξιον τοῦ πανυπερτελείου Θεοῦ. Ἔχεις ἀπόδειξιν τούτου, μεταξὺ τῶν ἄλλων, τὸ ἑξῆς παράδειγμα. Ὁ μωσαϊκὸς νόμος ἀπηγόρευσε τὸν φόνον· Οὐ φονεύσεις· ἄλλον τελειότερον νόμον οὐκ ἐδέχοντο οἱ τότε ἐξελθόντες Ἰσραηλῖται ἐκ τῆς παχυλῆς καὶ φαύλου καὶ εἰδωλολάτριδος Αἰγύπτου· οὗτος ὅμως ὁ νόμος, ὅστις ἦν ἡ σκιαγραφία τῆς τελειότητος, καὶ ὁ παιδαγωγὸς εἰς Χριστὸν, προδιέθετο καὶ προητοίμασε τὰς καρδίας τῶν ἀνθρώπων εἰς τὴν ὑποδοχὴν τῆς τελειότητος· ταύτην δὲ ἐπέθηκεν ὁ Ἰησοῦς, τιμωρίαν ὁρίσας καὶ κατ' ἐκείνων, οἵτινες ἢ ματαίως ὀργίζονται, ἢ περιφρονοῦσιν, ἢ ὑβρίζουσι τὸν πλησίον αὐτῶν· Ἐγὼ δὲ λέγω ὑμῖν, ὅτι πᾶς ὁ ὀργιζόμενος τῷ ἀδελφῷ αὐτοῦ εἰκῆ, ἔνοχος ἔσται τῇ κρίσει· ὃς δ' ἂν εἴπῃ τῷ ἀδελφῷ αὐτοῦ, Ῥακὰ, ἔνοχος ἔσται τῷ συνεδρίῳ· ὃς δ' ἂν εἴπῃ, Μωρὲ, ἔνοχος ἔσται εἰς τὴν γέενναν τοῦ πυρός· ταῦτα δὲ τί ἄλλο εἰσὶν, εἰμὴ πλήρωμα, καὶ ἀπαρτισμὸς τοῦ νόμου καὶ τελειότης; Τοιουτοτρόπως δὲ ἀνεπλήρωσεν ὁ Χριστὸς καὶ ὅσα συμβολικὰ καὶ τυπικὰ περιεῖχεν ὁ νόμος, ἀντεισάξας, ἀντὶ τῶν συμβόλων καὶ τῶν τύπων, τὰ πράγματα καὶ τὴν σωτηρίαν· ἀντὶ μὲν τῆς σαρκικῆς περιτομῆς, τὴν περιτομὴν τῆς καρδίας ἀπὸ τῶν πονηρῶν πράξεων· ἀντὶ δὲ τῆς προσκαίρου Ἱερωσύνης, τὸ κατὰ τὴν τάξιν Μελχισεδὲκ αἰώνιον Ἱερατεῖον· ἀντὶ δὲ τῆς ᾑματωμένης τῶν ζώων θυσίας, τὴν ἀναίμακτον τοῦ παναγίου αὐτοῦ σώματος ἱερουργίαν. Ἐπιβεβαιοῖ δὲ τὸ αὐτὸ, ἤγουν τὸ, ὅτι αὐτὸς οὐκ ἦλθεν, ἵνα καταλύσῃ, ἀλλ' ἵνα πληρώσῃ τὸν νόμον, λέγων·

Ὅρα τὸν Χρυσ. εἰς τὴν Σειρ.

Ἐξ. κ'. 15.

Ἑβρ. ί. 1.

Γαλ. γ'. 24.

Ματ. έ. 22.

Ἀμὴν γὰρ λέγω ὑμῖν, ἕως ἂν παρέλθῃ ὁ οὐρανὸς καὶ ἡ γῆ, ἰῶτα ἓν ἢ μία κεραία οὐ μὴ παρέλθῃ ἀπὸ τοῦ νόμου, ἕως ἂν πάντα γένηται. Αὐτ. έ. 18.

Τὸ

Ὅρα τὸν Χρυσ. εἰς τὴν κατὰ Ματθ. Σειράν.

Τὸ Ἀμὴν, ὅταν μὲν δὶς λέγεται, ἤγουν Ἀμὴν, Ἀμὴν, ἐπιβεβαιωτικόν ἐστιν· ὅταν δὲ ἅπαξ, τότε σημαίνει ἢ εὐχὴν, ἤγουν γένοιτο, ἢ ἀληθῶς οὕτως ἔχει· τοῦτο δὲ τὸ Ἀμὴν, τὸ ἀληθῶς σημαίνει, καὶ οὐχὶ τὸ εὐκτικὸν, γένοιτο. Καὶ τὸ μὲν Ἕως ἂν παρέλθῃ ὁ οὐρανὸς καὶ ἡ γῆ, ἐκλαμβάνουσι τινὲς ἀντὶ τοῦ πρότερον, ἤγουν πρότερον παρελεύσεται ὁ οὐρανὸς καὶ ἡ γῆ, ὅθεν λέγουσιν, ὅτι διὰ τούτου ἐφανέρωσεν ὁ Κύριος, ὅτι καὶ ὁ οὐρανὸς καὶ ἡ γῆ μετασχηματισθήσονται. Περὶ δὲ καινῶν οὐρανῶν καὶ ὁ μακάριος Πέτρος, ἐκ τοῦ προφήτου Ἡσαΐου παραλαβὼν, εἶπε·
Β'. Πέτρ. γ'. 12, 13. Προσδοκῶντες καὶ σπεύδοντες τὴν παρουσίαν τῆς τοῦ Θεοῦ ἡμέρας, δι' ἣν οὐρανοὶ πυρούμενοι λυθήσονται, καὶ στοιχεῖα καυσούμενα τήκεται·
Ἡσ. ξε'. 17. καὶ ξς'. 22. Καινοὺς δὲ οὐρανοὺς καὶ γῆν καινὴν κατὰ τὸ ἐπάγγελμα αὐτοῦ προσδοκῶμεν, ἐν οἷς δικαιοσύνη κατοικεῖ.
Παρὰ Χρυσ. Αὐτ. Τὸ δὲ ἰῶτα ἕν, ἢ μία κεραία κατὰ μέν τινας σημαίνει στίχον ἕνα τοῦ νόμου, κατὰ δὲ ἄλλους τὰς δέκα ἐντολὰς, κατὰ δὲ τὸν ἀληθέστερον καὶ ἐντελέστερον λόγον, τὸ ἰῶτα καὶ ἡ κεραία, ἤγουν ἡ καλουμένη ὑποδιαστολὴ, τὰ ἐλάχιστα καὶ μικρότατα ἐν τοῖς γράμμασι καὶ ταῖς προσῳδίαις, σημαίνουσι τὸ ἐλάχιστον καὶ μικρότατον τοῦ νόμου παράγγελμα. Ὁ θεηγόρος ὅμως Λουκᾶς, ὅστις, λαλῶν περὶ τῆς κεραίας καὶ τοῦ νόμου, εἶπεν·
Λουκ. ις'. 17. Εὐκοπώτερον δέ ἐστι τὸν οὐρανὸν καὶ τὴν γῆν παρελθεῖν, ἢ τοῦ νόμου μίαν κεραίαν πεσεῖν, ἐλεύκανε καὶ ἐσαφήνισεν ὅλον τῶν προκειμένων λόγων τὸ νόημα· ὥστε οὐδὲν ἄλλο ταῦτα σημαίνουσιν, εἰμὴ τὸ, ὅτι εὐκολώτερόν ἐστιν, ἵνα ἐκλείψῃ ὁ οὐρανὸς καὶ ἡ γῆ, ἢ ἵνα μεταβληθῇ τὸ μικρότατον τοῦ νόμου παράγγελμα. Διὰ τούτων οὖν τῶν λόγων ἐξαλείψας ὁ Θεάνθρωπος τὴν ὑπόληψιν περὶ τοῦ, ὅτι αὐτὸς καταλύει τὸν Μωσαϊκὸν νόμον, καὶ διδάσκει ἐναντία τῶν διὰ τοῦ Μωϋσέως ὑπὸ Θεοῦ νομοθετηθέντων, ἐπιφέρει τὰ ἑξῆς.

Ὃς ἐὰν οὖν λύσῃ μίαν τῶν ἐντολῶν τούτων τῶν ἐλαχίστων, καὶ διδάξῃ οὕτω τοὺς ἀνθρώπους, ἐλάχιστος κληθήσεται ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν· ὃς δ' ἂν ποιήσῃ καὶ διδάξῃ, οὗτος μέγας κληθήσεται ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν. Ματ. ε'. 19.

Ὅρα τὸν Φωτ. ἐν τῇ εἰς τὸ κατὰ Ματθ. Σειρᾷ.

Τίνες εἰσὶν αἱ ἐντολαὶ αἱ ἐλάχιστοι; Τινὲς μὲν λέγουσιν, ὅτι καθὼς οὐκ εἰσὶν ἴσαι πᾶσαι αἱ ἁμαρτίαι, ἀλλ' εἰσὶν ἁμαρτίαι μεγάλαι καὶ μικραὶ, οὕτω καὶ αἱ ἐντολαὶ οὐκ εἰσὶν ἴσαι ἀλλήλαις, ἀλλὰ διαφέρει ἐντολὴ ἐντολῆς, κατὰ τὴν διαφορὰν τῶν ἐντελλομένων· ὅπου δὲ μέγα καὶ μικρὸν, ἐκεῖ κατὰ σύγκρισιν ἐστὶ καὶ ἐλάχιστον. Σημείωσαι ὅμως, ὅτι ὁ Κύριος Ἰησοῦς ἐνταῦθα οὐ λαλεῖ περὶ τῶν ἐντολῶν τοῦ μωσαϊκοῦ νόμου, ἀλλὰ περὶ τῶν ἰδίων αὐτοῦ ἐντολῶν, δι' ὧν ἀπήρτισε καὶ ἔδωκε τὴν τελειότητα εἰς τὸν διὰ τοῦ Μωϋσέως δοθέντα νόμον· ἐὰν ἐλάλει περὶ τῶν μωσαϊκῶν ἐντολῶν, οὐκ ἔλεγε, μίαν τῶν ἐντολῶν τούτων, ἀλλὰ μίαν τῶν ἐντολῶν ἐκείνων· εἰπὼν δὲ, μίαν τῶν ἐντολῶν τούτων, ἐφανέρωσεν, ὅτι λαλεῖ περὶ τῶν ἐντολῶν τῶν ἰδίων, ἃς τότε ἐξεφώνησε, λέγων· Ἐγὼ δὲ λέγω Ματ. ε'. 22.
ὑμῖν, ὅτι πᾶς ὁ ὀργιζόμενος τῷ ἀδελφῷ αὐτοῦ εἰκῆ, ἔνοχος ἔσται τῇ κρίσει, καὶ τὰς ἑξῆς ὁμοίας. Ἐ-

λα-

λαχίστους δὲ ὠνόμασεν αὐτὰς, ἢ ταπεινούμενος κατὰ τὴν αὐτοῦ συνήθειαν, ἢ ἐπειδὴ αὐταὶ διελάμβανον περὶ πραγμάτων, ἅτινα εἰς τοὺς τότε ἀνθρώπους, τοὺς μήπω καταξιωθέντας τῆς τοῦ παναγίου Πνεύματος χάριτος, ἐφαίνοντο μικρότατα καὶ ἀξιοκαταφρόνητα. Βλέπε δὲ, ὅτι τὸ, ἐλάχιστος, ἄλλο μὲν σημαίνει λεγόμενον διὰ τὰς ἐντολὰς, ἄλλο δὲ διὰ τοὺς παραβάτας τῶν ἐντολῶν· διότι τὸ μὲν, ἐλαχίστων ἐντολῶν, σημαίνει, ὡς εἴπομεν, τὰς περὶ τῶν μικροτάτων πραγμάτων διαλαμβανούσας ἐντολάς, τὸ δὲ, ἐλάχιστος κληθήσεται, τὸ ἀποβεβλημένος ἔσται καὶ ἀπεῤῥιμένος ἀπὸ τῆς οὐρανίου βασιλείας· ὁμοία δὲ φράσις ἐστὶ καὶ τὸ,
Ματ. η΄. Ἄφες τοὺς νεκροὺς θάψαι τοὺς
22. ἑαυτῶν νεκρούς, ὅπου τὸ, νεκροὺς, δύω ἔχει σημασίας. Ὅτι δὲ τοῦτό ἐστι τὸ ἀληθὲς νόημα, πείθουσι τοῦ λόγου τὰ ἀκόλουθα· διότι κατωτέρω εἶπεν ὁ Θεάνθρωπος, ὅτι, ὅστις, ὑβρίζων τὸν ἀδελφὸν αὐτοῦ, ὀνομάσῃ αὐτὸν μωρὸν, καταδικάζεται εἰς τὸ πῦρ τὸ αἰώνιον·
Αὐτ. ε΄. Ὃς δ᾽ ἂν εἴπῃ Μωρὲ, ἔνοχος ἔσται
22. εἰς τὴν γέενναν τοῦ πυρός· ἐὰν οὖν ὁ τοῦτον μόνον τὸν λόγον εἰπὼν κατὰ τοῦ ἀδελφοῦ αὐτοῦ, λαμβάνῃ τοιαύτην καταδίκην, ἀποβάλλεται ἀναμφιβόλως καὶ ἀποῤῥίπτεται τῆς οὐρανῶν βασιλείας ὁ μίαν τῶν τοιούτων ἐντολῶν παραβάς. Ἄκουε δὲ καὶ τὸ, τίς ἐστιν ὁ μέγας ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν· Μέγας ἐστὶ, λέγει, ὃς ἂν ποιήσῃ καὶ διδάξῃ· πρῶτον ἔθηκε τὸ, ποιήσῃ, ἔπειτα τὸ, διδάξῃ, ἵνα φανερώσῃ, ὅτι πρέπον ἐστὶν, ἵνα πρῶτον φυλάξωμεν τὰς ἐντολὰς τοῦ Θεοῦ, ἔπειτα, ἐὰν ἐσμὲν ἱκανοὶ, διδάξωμεν καὶ τοὺς ἄλλους περὶ τῆς τούτων φυλακῆς. Ὅστις οὖν ἔχει τὸ διδασκαλικὸν χάρισμα, ἐὰν μὲν φυλάττῃ τὰς ἐντολὰς, ἀλλ᾽ οὐ διδάσκῃ καὶ τοὺς ἄλλους, ἵνα τὰ αὐτὰ ποιῶσι, κρύπτει τὸ τάλαντον· ἐὰν δὲ διδάσκῃ τοὺς ἄλλους, αὐτὸς δὲ οὐ φυλάττῃ τὰς ἐντολὰς, ἐστὶν ὑποκριτὴς, ὅμοιος τοῖς Φαρισαίοις· ὅστις δὲ καὶ ποιεῖ καὶ διδάσκει τὰς ἐντολὰς τοῦ Θεοῦ, ἐκεῖνος ἐστὶν ὁ μέγας ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν, ἤγουν ὁ λαμπρὸς καὶ ἔνδοξος ὑπὲρ τοὺς ἄλλους, διὰ τὸ φῶς τῶν ἀρετῶν αὐτοῦ, καὶ τὴν δόξαν, δι᾽ ἧς δοξάζεται ὑπὸ τῆς τρισηλίου Θεότητος.

# ΟΜΙΛΙΑ

## ΜΕΤΑ ΤΟ ΚΑΤΑ

# ΜΑΤΘΑΙΟΝ

## ΕΥΑΓΓΕΛΙΟΝ ΤΗΣ ΚΥΡ. ΤΩΝ ΠΑΤΕΡΩΝ ΤΗΣ Ζ'. ΣΥΝΟΔΟΥ.

Ὅταν λάβω κατὰ νοῦν τὰ ὕστερα λόγια τοῦ σημερινοῦ Εὐαγγελίου, καὶ στοχασθῶ, ποῖαί εἰσιν αἱ ἐλάχισται ἐντολαί, ἔπειτα ἐνατενίσω εἰς τὴν ζωὴν καὶ τὸ πολίτευμα ἡμῶν, τότε τοσοῦτος φόβος περιλαμβάνει τὴν ψυχήν μου, ὥστε σχεδὸν ὁλοτελῶς ἀπελπίζω τὴν αἰώνιον ἡμῶν σωτηρίαν. Ἀκούσατε ποῖαί εἰσιν αἱ ἐντολαί, τὰς ὁποίας ὁ Δεσπότης τῶν ἁπάντων ὠνόμασεν ἐλαχίστους. Ὅστις, λέγει, ὀργισθῇ ματαίως, ἤγουν διὰ σωματικὰς καὶ κοσμικὰς ὑποθέσεις, κατὰ τοῦ ἀδελφοῦ αὐτοῦ, ἐκεῖνος ἁμαρτάνει, (Ματ. ε'. 22.) καὶ γίνεται ἀξιοκατάκριτος· Πᾶς ὁ ὀργιζόμενος τῷ ἀδελφῷ αὐτοῦ εἰκῇ, ἔνοχος ἔσται τῇ κρίσει. Ὅστις μέν, περιφρονῶν τὴν σωματικὴν κατάστασιν τοῦ ἀδελφοῦ αὐτοῦ, ὀνομάσῃ αὐτὸν ῥακένδυτον, καὶ πολύῤῥαφα ἱμάτια ἐνδεδυμένον, ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως ἔνοχος γίνεται ἐνώπιον τοῦ χοροῦ τῶν ἁγίων· (Αὐτόθι.) Ὃς δ' ἂν εἴπῃ τῷ ἀδελφῷ αὐτοῦ Ῥακά, ἔνοχος ἔσται τῷ συνεδρίῳ· ὅστις δέ, ὑβρίζων τὴν ψυχικὴν αὐτοῦ διάθεσιν, καλέσει αὐτὸν μωρόν, ἐκεῖνος καταδικάζεται εἰς τὴν γέενναν τοῦ πυρός· (Αὐτόθι.) Ὃς δ' ἂν εἴπῃ Μωρέ, ἔνοχος ἔσται εἰς τὴν γέενναν τοῦ πυρός. Ποσάκις δὲ ἡμεῖς καὶ διὰ μικρὰ καὶ εὐτελέστατα πρόσκαιρα πράγματα καὶ ὀργιζόμεθα καὶ ἀγανακτοῦμεν κατὰ τοῦ πλησίον ἡμῶν; ποσάκις σχεδὸν ἀνεπαισθήτως φεύγουσιν ἐκ τοῦ στόματος ἡμῶν λόγια καταφρονητικὰ καὶ ὑβριστικὰ καὶ τῆς σωματικῆς καταστάσεως καὶ τῆς ψυχικῆς διαθέσεως τοῦ πλησίον ἡμῶν, πολλῷ καταφρονητικώτερα καὶ ὑβριστικώτερα τοῦ ῥακά, καὶ τοῦ μωρέ;

Ἐάν, λέγει, ὅταν προσφέρῃς τὸ δῶρόν σου εἰς τὸ θυσιαστήριον, ἤγουν ἐάν, ὅταν προσφέρῃς εἰς τὴν Ἐκκλησίαν ἄρτον, ἢ οἶνον, ἢ κηρούς, ἢ ἔλαιον, ἢ θυμίαμα, ἢ ἄλλο τι, ἐνθυμηθῇς, ὅτι ἐζημίωσας, κἂν μεγάλην κἂν μικρὰν ζημίαν, τὸν πλησίον σου, μὴ τολμήσῃς νὰ προσφέρῃς τὸ δῶρόν σου, ἀλλ' ἄφες αὐτὸ ἐκεῖ ἔμπροσθεν τοῦ θυσιαστηρίου, καὶ ὕπαγε πρῶτον διαλλάγηθι, καὶ εἰρήνην ποίησον μετὰ τοῦ ἀδελφοῦ σου, ἔπειτα πρόσφερέ μοι τὸ δῶρόν σου· (Ματ. ε'. 23, 24.) Ἐὰν δὲ προσφέρῃς τὸ δῶρόν σου ἐπὶ τὸ θυσιαστήριον, κἀκεῖ μνησθῇς, ὅτι ὁ ἀδελφός σου ἔχει τι κατὰ σοῦ, ἄφες τὸ δῶρόν σου ἔμπροσθεν τοῦ θυσιαστηρίου, καὶ ὕπαγε πρῶτον διαλλάγηθι τῷ ἀδελφῷ σου, καὶ τότε ἐλθὼν πρόσφερε τὸ δῶρόν σου. Διατί δὲ τοῦτο; διότι οὐ δέχεται ὁ Θεὸς τὰ δῶρα τῶν μὴ ἀγαπώντων αὐτόν· ὅστις δὲ οὐκ ἀγαπᾷ, ἀλλὰ βλάπτει τὸν πλησίον αὐτοῦ, ἐκεῖνος οὐδὲ τὸν Θεὸν ἀγαπᾷ· (Α'. Ἰωάν. δ'. 20.) Ἐάν τις εἴπῃ· Ὅτι ἀγαπῶ τὸν Θεόν, καὶ τὸν ἀδελφὸν αὐτοῦ μισεῖ, ψεύστης ἐστίν· ὁ γὰρ μὴ ἀγα

πῶν

πῶν τὸν ἀδελφὸν αὐτοῦ, ὃν ἑώρακε, τὸν Θεὸν, ὃν οὐχ ἑώρακε, πῶς δύναται ἀγαπᾷν; Ποσάκις δὲ αἱ μὲν χεῖρες ἡμῶν βαστάζουσι τὰ πρὸς τὸν Θεὸν προσφερόμενα δῶρα, ἡ δὲ καρδία ἡμῶν πλήρης ἐστὶ τῆς ἔχθρας τοῦ πλησίον; ποσάκις δῶρα προσφέρομεν εἰς τὸ θυσιαστήριον ἐξ ἐκείνων, τὰ ὁποῖα ἐκερδήσαμεν, βλάψαντες τὸν πλησίον; πλανῶντες δὲ ἑαυτοὺς, χαιρόμεθα, πιστεύοντες καὶ ἐλπίζοντες, ὅτι τὰ τοιαῦτα δῶρά εἰσιν εὐπρόσδεκτα καὶ ἀρεστὰ εἰς τὸν Θεόν.

Ἐὰν ὁ ἀντίδικός σου σύρῃ σε εἰς τὸ κριτήριον, ἀγαπήθητι, λέγει, μετ' αὐτοῦ εὐθὺς εἰς τὴν ὁδὸν τὴν φέρουσαν εἰς τὸ κριτήριον, ἵνα μὴ παραδώσῃ σε εἰς τὸν κριτὴν, ὁ δὲ κριτὴς προστάξῃ τὸν δοῦλον αὐτοῦ, ἵνα κλείσῃ σε εἰς τὴν φυλακὴν, μείνῃς δὲ ἐκεῖ ἕως ἂν ἀποδώσῃς τὰ
Ματ. ε. ὑπὸ τοῦ ἀντιδίκου σου ζητούμενα· Ἴσθι
25, 26. εὐνοῶν τῷ ἀντιδίκῳ σου ταχὺ, ἕως ὅτου εἶ ἐν τῇ ὁδῷ μετ' αὐτοῦ· μήποτέ σε παραδῷ ὁ ἀντίδικος τῷ κριτῇ, καὶ ὁ κριτής σε παραδῷ τῷ ὑπηρέτῃ, καὶ εἰς φυλακὴν βληθήσῃ. Ἀμὴν λέγω σοι, οὐ μὴ ἐξέλθῃς ἐκεῖθεν ἕως ἂν ἀποδῷς τὸν ἔσχατον κοδράντην. Ἀκούεις πῶς καὶ διὰ τῶν εἰς τὴν παροῦσαν ζωὴν ἀνηκόντων πραγμάτων πείθει ἡμᾶς ὁ Θεάνθρωπος, ἵνα, φεύγοντες τὰς κρισολογίας, αἵτινες προξενοῦσι θυμὸν καὶ μάχην καὶ μῖσος, μένωμεν στερεοὶ ἐν τῇ ἀγάπῃ, ἀγαπῶντες ὡς ἑαυτοὺς τὸν πλησίον ἡμῶν; Ἀλλὰ πόσοι εἰσὶν οἱ ταύτην τὴν ὠφελιμωτάτην νομοθεσίαν φυλάττοντες; πόσοι οἱ σπεύδοντες ἀγαπηθῆναι μετὰ τοῦ ἀντιδίκου ἑαυτῶν, πρὶν ἢ παρασταθῶσιν εἰς τὰ κριτήρια; Σπάνιοι, καὶ πολλὰ ὀλίγοι.

Ὅστις βλέπει γυναῖκα, σκοπὸν ἔχων, ἵνα ἐξεγείρῃ εἰς τὴν καρδίαν αὐτοῦ τὴν κακὴν ἐπιθυμίαν, ἐκείνου, λέγει, ἡ ψυχὴ μολύνεται ὑπὸ τοῦ ἁμαρ-
τήματος τῆς μοιχείας· Πᾶς ὁ βλέπων Ματ. ε.
γυναῖκα πρὸς τὸ ἐπιθυμῆσαι αὐ- 28.
τῆς, ἤδη ἐμοίχευσεν αὐτὴν ἐν τῇ καρδίᾳ αὐτοῦ. Ταῦτα δὲ εἰπὼν ὁ Κύριος, ἐνομοθέτησε καὶ τὸν τρόπον, διὰ τοῦ ὁποίου φεύγομεν, ἐὰν θέλωμεν, τὴν τοιαύτην βλάβην· Φεῦγε, λέγει, καὶ ἀπόκοψαι τὴν συναναστροφὴν τοῦ σκανδαλίζοντός σε προσώπου, κἂν συγγενές σοι ὑπάρχῃ καὶ οἰκεῖον, κἂν ἀναγκαῖον ὅσον ὁ δεξιός σου ὀφθαλμὸς, καὶ ἡ χεὶρ
σου ἡ δεξιά· Εἰ δὲ ὁ ὀφθαλμός σου Αὐτόθι.
ὁ δεξιὸς σκανδαλίζει σε, ἔξελε 29, 30.
αὐτὸν, καὶ βάλε ἀπὸ σοῦ· Καὶ εἰ ἡ δεξιά σου χεὶρ σκανδαλίζει σε, ἔκκοψον αὐτὴν, καὶ βάλε ἀπὸ σοῦ. Οὐαὶ ἡμῖν! καὶ τίς φυλάττει ταύτην τὴν δεσποτικὴν ἐντολὴν, ἥτις οὐ μόνον ἐμποδίζει τὴν πρᾶξιν τῆς ἁμαρτίας, ἀλλ' ἀνασπᾷ ῥιζόθεν καὶ τὴν αἰτίαν τῆς ῥυπαρᾶς ἐπιθυμίας; Ἡμεῖς οἱ τάλανες, ἢ νομίζοντες, ὅτι ἡ τοιαύτη σαρκικὴ καὶ ἡδονικὴ ἐπιθυμία οὐκ ἔστιν ἁμαρτία, ἢ θαῤῥοῦντες, ὅτι καθηδυνόμεθα μὲν διὰ τῆς σαρκικῆς ἐπιθυμίας, οὐ κατακρημνιζόμεθα δὲ εἰς τὴν πρᾶξιν τῆς ἁμαρτίας, πλανῶντες ἑαυτοὺς, ἢ ἀμελοῦμεν τὴν φυγὴν τῶν σκανδαλιζόντων προσώπων, ἢ πολλάκις ἐπίτηδες μετὰ πολλῆς ἐπιμελείας ζητοῦμεν τὴν τούτων συναναστροφήν.

Ὁ μὲν μωσαϊκὸς νόμος διέταξεν, Δευτ. κδ.
ὅτι ὅστις οὐκ ἀρέσκεται εἰς τὴν γυναῖ- 1, 2.
κα αὐτοῦ, ἀλλὰ μισεῖ αὐτὴν διὰ ὁποιανδήποτε αἰτίαν, ἔχει ἐξουσίαν, ἵνα ἐκβάλῃ αὐτὴν ἐκ τῆς οἰκίας αὐτοῦ, καὶ λάβῃ ἄλλην γυναῖκα, ὁμοίως καὶ ἡ ἐκβληθεῖσα γυνὴ ἄλλον ἄνδρα· ὁ δὲ Ἰη-
σοῦς Χριστὸς ἐφανέρωσεν, ὅτι τοῦτο οὐχ Ματ. ιθ.
ἐγένετο οὕτως ἀπ' ἀρχῆς, ἀλλ' ὁ Μωϋ- 8.
σῆς, γνωρίζων τὸ ἀπάνθρωπον τῆς καρδίας

δίας τῶν Ἰουδαίων, ἐπέτρεψε τοῦτο, φοβούμενος, μήπως, ὅταν μισήσωσι τὰς γυναῖκας αὐτῶν, μὴ ἔχοντες ἐξουσίαν, ἵνα ἐκβάλλωσιν αὐτὰς ἔξω τῆς οἰκίας αὐτῶν, σφάζωσιν αὐτὰς ἔνδον. Ταῦτα δὲ φανερώσας ὁ Θεάνθρωπος, καὶ εἰ-
Ματ. ιθ'. 6. πών· Ὃ οὖν ὁ Θεὸς συνέζευξεν, ἄνθρωπος μὴ χωριζέτω, ἐνομοθέτησε, καὶ εἶπεν· Ὅστις, ἐκτὸς τοῦ λόγου τῆς πορνείας, ἀπολύσῃ τὴν γυναῖκα αὐτοῦ δι' ἄλλην αἰτίαν, ἐκεῖνος ποιεῖ αὐτὴν μὲν μοιχαλίδα, μοιχὸν δὲ τὸν ἄνδρα, ὅστις λάβῃ αὐτὴν ὡς γυναῖκα αὐτοῦ. Καὶ ὅμως εὑρίσκονται ἄχρι τῆς σήμερον Χριστιανοὶ, οἵτινες, καὶ ταύτην τὴν ἐντολὴν καταφρονοῦντες, δι' ἄλλας αἰτίας καὶ ἀφορμὰς ἀπολύοντες τὰς ἰδίας γυναῖκας, συζῶσι μετὰ παρανόμων γυναικῶν.

Τόσον φανερὰ ἀπηγόρευσεν ὁ Ἰησοῦς Χριστὸς καὶ τὰς ἐπιορκίας καὶ τὰς εὐορκησίας, ἤγουν καὶ τοὺς ἀθετουμένους καὶ τοὺς φυλαττομένους ὅρκους, καὶ τοὺς διὰ τὸ ψεῦδος, καὶ τοὺς διὰ τὴν ἀλήθειαν, καὶ τοὺς ἀναφέροντας τοῦ Θεοῦ τὸ ὄνομα, καὶ τοὺς ἐπ' ἄλλοις ὀνόμασι γινομένους ὅρκους, ὥστε ἀπροφάσιστος φαίνεται ὅστις ποιεῖ ὅρ-
Ἀυτ. ἑ. 34, 36. κους· Ἐγὼ δὲ λέγω ὑμῖν, μὴ ὀμόσαι ὅλως, μήτε ἐν τῷ οὐρανῷ, ὅτι θρόνος ἐστὶ τοῦ Θεοῦ· μήτε ἐν τῇ γῇ, ὅτι ὑποπόδιόν ἐστι τῶν ποδῶν αὐτοῦ· μήτε εἰς Ἱεροσόλυμα, ὅτι πόλις ἐστὶ τοῦ μεγάλου Βασιλέως. Μήτε ἐν τῇ κεφαλῇ σου ὀμόσῃς, ὅτι οὐ δύνασαι μίαν τρίχα λευκὴν ἢ μέλαιναν ποιῆσαι. Ἡμεῖς δὲ ἐκ κακῆς συνηθείας καὶ ἀπροσεξίας οὐ μόνον ὅταν ἀνάγκη βιάζῃ, ἀλλὰ καὶ χωρίς τινος χρείας, διὰ μικρότατα καὶ εὐτελέστατα πράγματα, πᾶν εἶδος ὅρκου ποιοῦμεν, ὀμνύοντες καὶ τὰ τέκνα, καὶ τὰ ὄμματα, καὶ τὴν ζωὴν, καὶ τὴν ψυχὴν, καὶ τοὺς ἐν οὐρανῷ ἁγίους, καὶ αὐτὸ τὸ φοβερὸν ὄνομα τοῦ παντοκράτορος Θεοῦ.

Ὅστις ῥαπίσῃ σε ἐπὶ τὴν δε- Ματ. ἑ. 39. 40.
ξιάν σου σιαγόνα, στρέψον αὐτῷ καὶ τὴν ἄλλην· ὅστις ἀνάγει σε εἰς τὰ κριτήρια, ἵνα λάβῃ τὸν χιτῶνά σου, ἄφες αὐτῷ καὶ τὸ ἱμάτιόν σου· ὅστις ἀγγαρεύσῃ σε, ἵνα περιπατήσῃς μίλιον ἓν μετ' αὐτοῦ, ὕπαγε δύω· ὅστις ζητεῖ παρὰ σοῦ δάνειον, μὴ ἀποστραφῇς αὐτὸν, ἀλλὰ δάνεισον αὐτῷ· ἀγάπα τὸν ἐχθρόν σου, εὐλόγει ἐκεῖνον, ὅστις σὲ καταρᾶται, εὐεργέτει ἐκεῖνον, ὅστις σε μισεῖ, προσεύχου δι' ἐκείνους, οἵτινες βλάπτουσι καὶ κατα-
διώκουσί σε. Τίς σοφὸς καὶ φυλά- Ψαλ. ρς'. 43.
ξει ταῦτα, καὶ συνήσει τὰ ἐλέη τοῦ Κυρίου; πόσον ὀλίγοι εἰσὶν οἱ φρόνιμοι καὶ σοφοὶ, οἱ ταῦτα φυλάττοντες! καὶ ἑπομένως πόσον ὀλίγοι εἰσὶν οἱ σωζόμενοι! Τινὲς αὐθάδεις λέγουσιν, ὅτι ταῦτά εἰσι τοσοῦτον δύσκολα, ὥστε, ἐὰν ἐξ αὐτῶν κρέμαται τοῦ ἀνθρώπου ἡ σωτηρία, οὐδεὶς δύναται σωθῆναι. Ἄλλοι δὲ πάλιν ἀναπαύουσι τὴν συνείδησιν αὐτῶν, συλλογιζόμενοι, ὅτι ταῦτά εἰσι συμβουλαὶ καλαὶ καὶ ὠφέλιμοι, τὰς ὁποίας ὅστις μὲν φυλάξῃ, γίνεται τέλειος καὶ ἅγιος, ὅστις δὲ ἀθετήσῃ μὲν αὐτὰς, φυλάξῃ δὲ τὰς ἐν τῷ Δεκαλόγῳ ἐντολὰς, κἂν μὴ φθάσῃ εἰς τὴν τελειότητα καὶ ἁγιωσύνην, ὅμως οὐ κολάζεται, ἀλλ' ἀπολαμβάνει τῆς σωτηρίας. Ἄλλοι δὲ πείθονται, ὅτι αἱ τούτων παραβάσεις εἰσὶν ἁμαρτήματα, πλὴν πολλὰ μικρὰ, τὰ ὁποῖα διὰ τῆς μετανοίας εὔκολα ἐξαλείφονται.

Καὶ πρὸς μὲν τοὺς πρώτους ἀποκρινόμενοι λέγομεν, ὅτι ὅστις φρονεῖ καθὼς αὐτοὶ, ἐκεῖνος λογίζεται τὸν Θεὸν ἐπίβουλον τῆς σωτηρίας τῶν ἀνθρώπων, καθότι ἔδωκε προστάγματα δυσκολώ-

τα-

τατα, ἵνα ἢ μηδεὶς, ἢ πολλὰ ὀλίγοι σωθῶσι· τοῦτο δὲ τὸ φρόνημα ἐστὶ βλάσφημον. Ποῖα δέ εἰσι τὰ δυσκολώτατα; ἡ πρᾳότης; ἀλλὰ ποῖον δυσκολώτερον, ἡ πρᾳότης, ἥτις ἡσυχάζει τὴν καρδίαν, καὶ εἰρηνεύει τὴν ψυχὴν, καὶ διαφυλάττει τοῦ σώματος τὴν ὑγείαν, ἢ ὁ θυμὸς, ὅστις καὶ τὸ αἷμα ἐκταράττει, καὶ τὸν νοῦν σκοτίζει, καὶ τοῦ σώματος τὴν ὑγείαν διαφθείρει; ὅστις ἐστὶ φρόνιμος, ἐκεῖνος βλέπει καὶ διακρίνει, ὅτι ὁ θυμός ἐστι πρᾶγμα δυσκολώτερον τῆς πρᾳότητος· τοῦτο δὲ παραγγέλλει ἡ ἐντολὴ, ἵνα διώξῃς τὸν θυμὸν, καὶ φέρῃς εἰς τὴν καρδίαν σου τὴν πρᾳότητα· Μὴ ὀργίζεσαι, λέγει, κατὰ τοῦ ἀδελφοῦ σου διὰ πρόσκαιρα καὶ μάταια καὶ εὐτελῆ πράγματα, ἀλλὰ γίνου πρᾶος καὶ ἥσυχος, τουτέστι φύλαττε τὸν νοῦν σου εἰς τὴν φυσικὴν αὐτοῦ κατάστασιν, καὶ τὴν ὑγείαν τοῦ σώματός σου στερεὰν καὶ ἀνεπιβούλευτον· τοῦτο δὲ λέγεις, ὅτι ἐστὶ δυσκολώτατον; ἐπειδὴ δὲ τοῦτο οὐκ ἔστι τόσον δύσκολον, ὅσον σὺ νομίζεις, πολλῷ μᾶλλον οὐκ ἔστι δύσκολον, ἵνα ἀπέχῃς ἀπὸ τῆς καταφρονήσεως καὶ τῶν ὕβρεων τοῦ πλησίον σου· αἱ καταφρονήσεις καὶ αἱ ὕβρεις εἰσὶ τέκνα τοῦ θυμοῦ· ἀπέρριψας τὸν θυμόν; ἔφυγεν εὐθὺς ἐκ τοῦ στόματός σου πᾶσα περιφρόνησις καὶ ὕβρις τοῦ πλησίον σου.

Ποῖον σκοπὸν ἔχεις, ὅταν προσφέρῃς εἰς τὸν Θεὸν τὸ δῶρόν σου; ἵνα δεχθῇ, ἢ ἵνα ἀποστραφῇ αὐτὸ ὁ Θεός; σκοπὸν ἔχεις ἀναμφιβόλως, ἵνα ὑποδεχθῇ αὐτὸ ὁ Θεὸς ὡς εὐπρόσδεκτον θυμίαμα, καὶ ἀνταμείψῃ σε διὰ τῆς θείας αὐτοῦ εὐλογίας· ἀλλ' ὅταν ὁ πλησίον σου ἔχῃ τι κατὰ σοῦ, καθότι αὐτὸν ἠδίκησας, τότε ὁ Θεὸς ἀποστρέφει τὸ πρόσωπον αὐτοῦ ἀπὸ τοῦ δώρου σου· ὅταν λοιπὸν προσφέρῃς αὐτὸ, πρὶν ἢ διαλλαγῇς μετὰ τοῦ πλησίον σου, τότε γίνεσαι ἀνόητος· ἡ ἀνοησία ἐστὶ παρὰ φύσιν, ἡ καταλλαγὴ καὶ ἡ ἀγάπη τοῦ πλησίον ἐστὶ κατὰ φύσιν· ποῖον οὖν τὸ δυσκολώτερον, τὸ πρῶτον ἢ τὸ δεύτερον; γίνου αὐτὸς κριτής.

Ἐὰν στοχασθῆτε ὅσα πάσχουσιν οἱ συχνάζοντες εἰς τὰ κριτήρια, καὶ ὅσα ἐκεῖνοι, οἵτινες συμβιβάζονται μετὰ τοῦ ἀντιδίκου αὐτῶν, πρὶν ἢ παρασταθῶσιν εἰς τοὺς κριτὰς, βλέπετε φανερὰ, ὅτι ἡ δυσκολία τῶν κριτηρίων ὑπερβαίνει ἀσυγκρίτως τὴν δυσκολίαν τῆς καταλλαγῆς, κἂν ἄδικα ὑπάρχωσι τοῦ ἀντιδίκου τὰ ζητήματα.

Διατί φεύγεις τὴν συναναστροφὴν τῶν λεπρῶν, τῶν ψωραλέων, τῶν φθισιόντων, τῶν λοιμικῶν, καὶ οὐδόλως συλλογίζεσαι, ὅτι ἡ φυγή ἐστι δύσκολος; ἵνα μὴ μεταδοθῇ ἡ ἀσθένεια αὐτῶν εἰς τὸ σῶμά σου, καὶ βλαφθῇ ἡ ὑγεία σου· ἔπειτα λέγεις, ὅτι ἐστὶ δύσκολον, ἵνα φύγῃς τὴν συναναστροφὴν τῶν προσώπων, τῶν βλαπτόντων τὴν ψυχήν σου; ἐκεῖνο πράττεις προθύμως, μηδεμίαν δυσκολίαν συλλογιζόμενος, τοῦτο δὲ ἀμελεῖς ὁλοτελῶς, νομίζων, ὅτι ἐστὶ δύσκολον; καὶ τίς οὐ βλέπει, ὅτι παραλογεῖς, προτιμῶν τῆς ἀθανάτου ψυχῆς σου τὸ θνητὸν σῶμα;

Ἡ γυνὴ τοῦ καθενὸς ἐστὶν ὁ ἀληθινὸς βοηθὸς αὐτοῦ· αὐτὴ καὶ εἰς τὰ μυστικὰ καὶ εἰς τὰ φανερὰ τοῦ ἀνδρὸς σύμβουλος, καὶ τῶν τέκνων ἠγαπημένη μήτηρ καὶ τροφὸς, καὶ εἰς τὴν οἰκίαν πιστὸς ἐπιστάτης, καὶ εἰς τὰς εὐτυχίας καὶ εἰς τὰς δυστυχίας, καὶ εἰς τὴν χαρὰν καὶ εἰς τὴν θλίψιν, καὶ εἰς τὴν τιμὴν καὶ εἰς τὴν ἀτιμίαν τοῦ ἀνδρὸς συγκοινωνός· αὐτὴ καὶ συμπάσχει, καὶ συγχαίρει καὶ συλλυπεῖται, καὶ συντιμᾶται καὶ συνατιμάζεται τῷ ἀνδρὶ αὐτῆς· ἐὰν δὲ ἔχῃ καίτινα ἐλαττώματα,

ἐπει-

ἐπειδὴ οὐδὲ ὁ ἀνήρ ἐστι καθαρὸς ἐλατ- Γεν. β΄. τωμάτων καὶ ἄμωμος, βαστάζουσιν ἀλ- 23, 24, λήλων τὰ βάρη· αὐτὴ, ἐπειδὴ ἀπ᾽ ἀρχῆς ἐλήφθη ἐκ τοῦ ἀνδρὸς, μία σάρξ ἐστι μετὰ τοῦ ἀνδρὸς αὐτῆς· τίς δὲ ἄλλος δεσμὸς ἢ φυσικώτερος, ἢ οἰκειότερος, ἢ ἰσχυρότερος τούτου τοῦ δεσμοῦ; δύσκολον λοιπὸν ἐστὶν οὐχὶ ἡ ἐκπλήρωσις τῆς ἐντολῆς, ἤγουν ἡ ἀγάπη τοῦ ἀνδρὸς πρὸς τὴν γυναῖκα, ἀλλ᾽ ἡ παράβασις τῆς ἐντολῆς, τουτέστιν ὁ χωρισμὸς τοῦ ἀνδρὸς ἀπὸ τῆς γυναικὸς αὐτοῦ.

Ποίαν δὲ δυσκολίαν ἔχεις, ἵνα θῇς φυλακὴν τῷ στόματί σου, καὶ θύραν περιοχῆς περὶ τὰ χείλη σου, ὅπως μὴ κινῆται ἡ γλῶσσά σου πρὸς τοὺς ὅρκους; τοῦτο οὐδὲν ἄλλο ζητεῖ, εἰμὴ προσοχὴν, ἵνα ἀποκόψῃς τὴν κακὴν συνήθειαν· ἐὰν μὲν οὐδέποτε λαλῇς τὸ ψεῦδος, οὐδεὶς ζητεῖ παρὰ σοῦ ὅρκους· ἐὰν δὲ πολλάκις ψεύδεσαι, οὐδεὶς πιστεύει σοι, κἂν μυρίους ποιῇς ὅρκους.

Ἀλλὰ πῶς οὐκ ἔστι δύσκολον, λέγεις, ἵνα στρέψω καὶ τὴν ἀριστεράν μου σιαγόνα εἰς ἐκεῖνον, ὅστις ἐῤῥάπισε τὴν δεξιάν μου; ποῖον δὲ νομίζεις δυσκολώτερον, ἵνα στρέψῃς καὶ τὴν ἀριστεράν σου, ἢ ἵνα ἀντιῤῥαπίσῃς τὸν ῥαπίσαντά σε; ἐξέτασον πρῶτον τὰ ἀποτελέσματα, ἔπειτα κρίνον δικαίως· ἐὰν ἀντιῤῥαπίσῃς, ἀνάπτεις τοῦ θυμοῦ τὴν φλόγα, ὅθεν σὺ μὲν ἀντιῤῥαπίζεις, ἐκεῖνος δὲ δέῤῥει· σὺ ἀντιπλήττεις, ἐκεῖνος δὲ ἐξάγει τὴν μάχαιραν, καὶ σὺ δὲ ποιεῖς ὁμοίως, ἐκ τούτου δὲ ἀκολουθοῦσι πληγαὶ, πολλάκις δὲ καὶ φόνοι· ἐὰν δὲ στρέψῃς καὶ τὴν ἀριστεράν σου, σβέννυς τοῦ θυμοῦ τὸ πῦρ, καταισχύνεις τὸν ῥαπίσαντα, φέρεις ἔλεγχον εἰς τὴν τούτου συνείδησιν, καὶ ἀποναρκοῖς τὴν χεῖρα αὐτοῦ, ὥστε οὐ μόνον οὐ ῥαπίζει καὶ τὴν ἀριστεράν σου, ἀλλ᾽ εὐλαβεῖται τὸ πρόσωπόν σου, βλέπων τὴν μεγάλην σου πρᾳότητα· ἐὰν ἀντιῤῥαπίσῃς, οὐδεὶς οὐδὲ θαυμάζει, οὐδὲ ἐπαινεῖ σε· ἐὰν δὲ στρέψῃς καὶ τὴν ἀριστεράν σου, πάντες πληροῦνται θάμβους, καὶ πλέκουσί σοι ἐγκώμια διὰ τὸ ἡρωϊκόν σου κατόρθωμα, καταισχύνεται δὲ καὶ αὐτὸς ὁ ῥαπίσας σε· ἐκ τούτων δὲ φανερόν ἐστιν, ὅτι περισσότερον ἐκδικεῖσαι τὸν ῥαπίσαντά σε, ἐὰν στρέψῃς καὶ τὴν ἀριστεράν σου, ἤπερ ἐὰν αὐτὸν ἀντιῤῥαπίσῃς· κρίνον νῦν δικαίως, ποῖον τὸ δυσκολώτερον, καὶ ποῖον τὸ ὠφελιμώτερον.

Ἐὰν τοιουτοτρόπως ἐξετάσῃς πάντα τὰ λοιπὰ τοῦ Κυρίου Ἰησοῦ παραγγέλματα, βλέπεις, ὅτι οὐκ εἰσὶ τοσοῦτον δύσκολα, ὅσον σὺ νομίζεις· δύσκολα φαίνονται εἰς τοὺς ἐμπαθεῖς, δύσκολα φαίνονται εἰς τοὺς ἀδιακρίτους, φαίνονται δύσκολα εἰς ἐκείνους, οἵτινες οὐκ ἐξετάζουσι τὰ πράγματα καθὼς πρέπει. Ἔστω δὲ, ὅτι εἰσὶ δύσκολα· ἀλλὰ τόση ἐστὶν ἡ δυσκολία αὐτῶν, ὥστε ἐνίκησαν αὐτὴν μυριάδες μυριάδων, πάντες δηλαδὴ οἱ δίκαιοι καὶ ἅγιοι ἄνθρωποι. Ἔστω, εἰσὶ δύσκολα· ἀλλ᾽ ὁ Θεὸς ὁ πλάστης ἡμῶν ἔχει δικαίωμα, ἵνα ζητῇ παρ᾽ ἡμῶν καὶ τὰ δύσκολα· ὁ Θεὸς, ὅστις γνωρίζει πόσον εἰσὶ δύσκολα, πέμπει τὴν χάριν αὐτοῦ ἀνάλογον εἰς τὴν δυσκολίαν, καὶ ἔχει ἕτοιμον διὰ τὸν κόπον τῆς δυσκολίας ἀνταπόδοσιν ἀγαθῶν, ἃ ὀφθαλμὸς οὐκ οἶδε, καὶ οὖς οὐκ Α΄.Κορ.β΄. ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώ- 9. που οὐκ ἀνέβη.

Ἀποκρινόμενοι δὲ πρὸς τοὺς δευτέρους, λέγομεν· Ὅτι ὁ Θεάνθρωπος οὐ συμβουλευτικῶς, ἀλλὰ προστακτικῶς ταῦτα παρήγγειλεν· ἐπειδὴ, ὅτε ἔδωκε τὰς σωτηρίους αὐτοῦ συμβουλὰς, τότε εἶπεν· Ὁ δυνάμενος χωρεῖν, χωρείτω· Ματ. ιθ. καὶ, Εἰ θέλεις τέλειος εἶναι, ὕπα- 12, 21. γε, πώλησόν σου τὰ ὑπάρχοντα, καὶ δὸς πτωχοῖς· ὅτε δὲ ταῦτα παρήγ-

Ματ. ί. 22, 28. ρήγγειλε, τότε προστατικῶς εἶπεν· Ἐγὼ δὲ λέγω ὑμῖν. Διὰ τοὺς μὴ πειθομένους εἰς τὰς ἁγίας αὐτοῦ συμβουλὰς οὐδεμίαν τιμωρίαν ἐδιώρισε· διὰ δὲ τοὺς παραβαίνοντας ταῦτα τὰ παραγγέλματα, ἐνοχὴν κρίσεως διέταξε, καὶ πυρὸς γέενναν. Πῶς δὲ ἡμεῖς λέγομεν, ὅτι οὐκ εἰσὶν ἐντολαὶ, ὅταν αὐτὸς καθαρῶς καὶ ἐκπεφασμένως ὠνόμασε ταῦτα ἐντολάς,
Αὐτ. ί. 19. εἰπών· Ὃς ἐὰν οὖν λύσῃ μίαν τῶν ἐντολῶν τούτων τῶν ἐλαχίστων, καὶ διδάξῃ οὕτω τοὺς ἀνθρώπους, ἐλάχιστος κληθήσεται ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν; Ταῦτα πάντα εἰσὶν ἐντολαὶ, ἐκεῖναι δηλαδὴ αἱ δύω
Αὐτ. κβ'. 40. μεγάλαι ἐντολαὶ, ἐκ τῶν ὁποίων ὅλος ὁ νόμος καὶ οἱ Προφῆται κρέμανται. Ἐὰν δὲ τὸ καθὲν τούτων ἐρευνήσῃς, οὐδὲν ἄλλο βλέπεις ἐν αὐτοῖς, εἰμὴ τὴν ἐκπλήρωσιν τῆς ἀγάπης τοῦ Θεοῦ καὶ τοῦ πλησίον· αὐτά εἰσιν αἱ ἐντολαὶ τοῦ μωσαϊκοῦ νόμου, ἀπηρτισμέναι καὶ τετελειωμέναι διὰ τῆς τελειότητος καὶ ἐκπληρώσεως, τὴν ὁποίαν ἐπέθηκεν ἐπ' αὐτὰς ὁ μονογενὴς Υἱὸς τοῦ Θεοῦ, ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς, καθὼς αὐτὸς
Αὐτ. ί. 17. ἐβεβαίωσεν, εἰπών· Μὴ νομίσητε, ὅτι ἦλθον καταλῦσαι τὸν νόμον ἢ τοὺς Προφήτας, οὐκ ἦλθον καταλῦσαι, ἀλλὰ πληρῶσαι. Ὅσοι λοιπὸν ἀθετοῦσιν αὐτὰ, νομίζοντες, ὅτι εἰσὶ συμβουλαὶ, ἐκεῖνοι πλανῶνται, καὶ ματαίως ἡσυχάζουσι τὴν ἰδίαν συνείδησιν.

Ἰδοὺ δὲ καὶ ἡ πρὸς τοὺς τρίτους ἀπόκρισις. Ἀληθῶς ἡ μετάνοια ἐξαλείφει πάσας τὰς ἁμαρτίας, οὐδεμία δὲ ἁμαρτία νικᾷ τὴν ἄπειρον τοῦ Θεοῦ εὐ-
Ἡσ. ά. 18. σπλαγχνίαν· Καὶ ἐὰν ὦσιν αἱ ἁμαρτίαι ὑμῶν ὡς φοινικοῦν, ὡς χιόνα λευκανῶ· ἐὰν δὲ ὦσιν ὡς κόκκινον, ὡς ἔριον λευκανῶ· πλὴν μετάνοια, χωρὶς ταπεινοφροσύνης καὶ συντριβῆς καρδίας, οὐκ ἔστι μετάνοια· ὅστις δὲ στοχάζεται μικρὰ τὰ ἁμαρτήματα αὐτοῦ, ἐκεῖνος οὐδὲ ταπεινοῦται, οὐδὲ κατανύγεται· ἔστω, εἰσὶ μικρὰ, εἰσὶ δηλονότι ἐκεῖνα τὰ ἁμαρτήματα, περὶ τῶν ὁποίων ὁ ἐπιστήθιος Ἰωάννης εἶπε· Καὶ Α'. Ἰωάν. ί. 17.
ἔστιν ἁμαρτία οὐ πρὸς θάνατον· τί διὰ τοῦτο; ἄραγε οὐ μέλλομεν ἀπολογίαν δοῦναι τῷ Θεῷ καὶ περὶ τῶν μὴ πρὸς θάνατον ἁμαρτημάτων; ποία ἁμαρτία μικροτέρα τῆς ἀργολογίας; καὶ ὅμως ὑπὲρ αὐτῆς εἶπεν ὁ Κύριος· Λέγω Ματ. ιβ'. 36.
δὲ ὑμῖν, ὅτι πᾶν ῥῆμα ἀργὸν, ὃ ἐὰν λαλήσωσιν οἱ ἄνθρωποι, ἀποδώσουσι περὶ αὐτοῦ λόγον ἐν ἡμέρᾳ κρίσεως. Τί λόγον λοιπὸν ἔχεις, ἵνα ἀποκριθῇς εἰς τὴν ἡμέραν τῆς κρίσεως, ὅταν ἐρωτηθῇς, διατί ὠργίσθης ματαίως κατὰ τοῦ πλησίον σου; διατί ὕβρισας τὸν ἀδελφόν σου; διατί προσέφερες δῶρα εἰς τὸν Θεὸν, πρὶν ἢ καταλλαγῇς μετ' ἐκείνου, τὸν ὁποῖον ἠδίκησας; διατί ἐμίανας τὴν ψυχήν σου διὰ τῶν ῥυπαρῶν ἐπιθυμιῶν; διατί ἀπέλυσας τὴν γυναῖκά σου παρανόμως; διατί ἐποίεις ὅρκους καθ' ἑκάστην ἡμέραν; διατί παρέβης μίαν τῶν ἐντολῶν τῶν ἐλαχίστων; ἐνώπιον ἐκείνου τοῦ φοβεροῦ Κριτοῦ ἡ πρόφασις οὐκ ἔχει τόπον, ἡ μεσιτεία ἐστὶν ἀργὴ, τὰ δῶρα οὐδὲ φαίνονται, οὐδὲ ἀκούονται, ἡ εὐσπλαγχνία παύει, μόνη ἡ δικαιοσύνη τότε πράττει καὶ ἐνεργεῖ. Ἀλλ' ἡ μετάνοια, Ναί, ἡ ἀληθὴς μετάνοια, καὶ ἡ κατανυκτικὴ ἐξομολόγησις ἐξαλείφει πάσας τὰς ἁμαρτίας· ἀλλ' ὅταν μετανοῇς, μὴ συλλογίζεσαι, ὅτι ἔπραξας ἁμαρτήματα μικρὰ ἢ ὀλίγα, ἀλλὰ τύπτε τὸ στῆθος ὡς ὁ Τελώνης, καὶ κατάνυγε τὴν καρδίαν σου ὡς ἡ Πόρνη, καὶ κλαῖε πικρῶς ὡς ὁ Πέτρος, καὶ λέγε εἰς τὴν ἐξομολόγησίν σου
ὡς ὁ Μανασσῆς, Ἥμαρτον ὑπὲρ ἀ- Προσευχ. Μαν. 9.
ριθμὸν ψάμμου θαλάσσης, ἐπλήθυναν αἱ ἀνομίαι μου, Κύριε, ἐ-

πλή-

πλήθυναν αἱ ἀνομίαι μου, καὶ τὰ λοιπά· ὁ δὲ ἀπειροεύσπλαγχνος Θεὸς, δεχόμενος τὴν θυσίαν τῆς μετανοίας σου, καὶ τὴν κατάνυξιν τῆς ψυχῆς σου, καὶ τὴν συντριβὴν καὶ ταπείνωσιν τῆς καρδίας σου, συγχωρεῖ πάσας τὰς ἁμαρτίας σου· Θυσία τῷ Θεῷ πνεῦμα συντετριμμένον, καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει. Ψαλ. ν'. 18.

# ΕΡΜΗΝΕΙΑ

ΕΙΣ ΤΟ ΚΑΤΑ

# ΜΑΤΘΑΙΟΝ

## ΕΥΑΓΓΕΛΙΟΝ ΤΗΣ ΚΥΡ. ΠΡΟ ΤΗΣ ΧΡΙΣΤΟΥ ΓΕΝΝΗΣΕΩΣ.

Οὐδείς ποτε ἱστορικὸς, περιγράψας τὴν γενεαλογίαν ἀνθρώπου τινὸς, ἀνέβη τόσον ὑψηλὰ, ὅσον ἀνέβησαν οἱ δύω Εὐαγγελισταὶ, ὁ Ματθαῖος καὶ ὁ Λουκᾶς, ὅταν καθιστόρησαν τὴν τοῦ Ἰησοῦ Χριστοῦ γενεαλογίαν. Ὁ Ματθαῖος ἄρχεται τῆς γενεαλογίας ἀπὸ Ἀβραὰμ, καὶ καταβιβάζει αὐτὴν ἕως τοῦ Ἰησοῦ Χριστοῦ. Ὁ δὲ Λουκᾶς, ἀρξάμενος ἀπὸ τοῦ Ἰησοῦ Χριστοῦ, ἀνεβίβασεν αὐτὴν ἕως τοῦ Θεοῦ· διὰ τοῦτο, ὅταν ἀναγινώσκῃς αὐτὴν, φαίνεταί σοι, ὅτι βλέπεις τὴν κλίμακα τοῦ Πατριάρχου Ἰακώβ. Εἰς τὴν πατριαρχικὴν κλίμακα οἱ Ἄγγελοι τοῦ Θεοῦ ἀνέβαινον ἕως τοῦ οὐρανοῦ, καὶ κατέβαινον ἕως τῆς γῆς· εἰς τὴν εὐαγγελικὴν γενεαλογίαν οἱ προπάτορες τοῦ Χριστοῦ ἀναβαίνουσιν ἕως τοῦ Θεοῦ, καὶ καταβαίνουσιν ἕως αὐτοῦ τοῦ ἐπὶ γῆς ἐνανθρωπήσαντος Ἰησοῦ Χριστοῦ. Δύω εἰσὶν αἱ τοῦ Ἰησοῦ Χριστοῦ γεννήσεις, ἡ μὲν θεία ἐκ Πατρὸς ἄνευ μητρὸς, ἡ δὲ ἀνθρώπινος ἐκ μητρὸς ἄνευ πατρός. Βλέπε δὲ πῶς τὴν μὲν θείαν ἐτύπωσεν ὁ Λουκᾶς, Υἱὸν Θεοῦ ἀνακηρύξας τὸν Ἰησοῦν Χριστὸν, καὶ εἰπών·
Λουκ. γ'. 38. Υἱὸς τοῦ Ἐνὼς, τοῦ Σὴθ, τοῦ Ἀδὰμ, τοῦ Θεοῦ· τὴν δὲ ἀνθρώπινον ὁ Ματθαῖος, διδάξας τὰ περὶ τῆς ἐκ Παρθένου γεννήσεως αὐτοῦ, καὶ εἰπών· Τοῦ δὲ Ἰησοῦ Χριστοῦ ἡ γέννησις οὕτως ἦν, καὶ τὰ ἑξῆς. Ματ. ά. 18.
Ἐν ταύτῃ δὲ τῇ ἡμέρᾳ, ἥτις ἐστὶν ἡ Κυριακὴ πρὸ τῆς Χριστοῦ γεννήσεως, ἀνεγνώσθη ἡ τοῦ Ἰησοῦ Χριστοῦ γενεαλογία, ἵνα ἡμεῖς, ταύτην ἀκούσαντες, ἑτοιμασθῶμεν ἑορτάσαι θεοπρεπῶς τοῦ Σωτῆρος ἡμῶν τὰ σωτηριώδη γενέθλια. Ἡ ἑρμηνεία ταύτης τῆς γενεαλογίας, λύουσα πᾶσαν φαινομένην ἐν αὐτῇ δυσκολίαν, καὶ ποιοῦσα καταληπτὰ τὰ ἐν αὐτῇ ἅγια καὶ μυστηριώδη νοήματα, εὐφραίνει τῶν ἀκουόντων τὰς καρδίας, καὶ ἐγείρει εἰς αὐτὰς τὸν θεῖον ἔρωτα, καὶ τῆς ἀρετῆς τὴν ἐπιθυμίαν. Μακάριος, ὅστις ταύτην ἀκούσῃ μετὰ τῆς προσηκούσης προσοχῆς καὶ εὐλαβείας.

**Βίβλος γενέσεως Ἰησοῦ Χριστοῦ, υἱοῦ Δαβὶδ, υἱοῦ Ἀβραάμ.** Αὐτόθι. 1.

Ἀκούεις τίτλον ὑπερένδοξον, καὶ ἐπιγραφὴν θαυμασίαν; Βίβλος γενέσεως Ἰησοῦ Χριστοῦ, υἱοῦ Δαβὶδ, υἱοῦ

υἱοῦ Ἀβραάμ. Ὅστις οὖν ἐρωτήσῃ,
πῶς ὀνομάζεται τὸ βιβλίον τοῦ κατὰ
Ματθαῖον Εὐαγγελίου, ἀποκρινόμεθα,
ὅτι ὀνομάζεται, Βίβλος γενέσεως
Ἰησοῦ Χριστοῦ, υἱοῦ Δαβὶδ, υἱοῦ
Ἀβραάμ. Διατί δὲ εἶπε, γενέσεως,
καὶ οὐχὶ γεννήσεως; Διότι τὸ ὄνομα,
γενέσεως, ἐστὶ καθολικώτερον καὶ γε-
νικώτερον τοῦ ὀνόματος, γεννήσεως· Γέ-
νεσις σημαίνει οὐ μόνον τὴν γέννησιν,
ἀλλὰ καὶ τὰς πράξεις, καὶ τὸ πολί-
τευμα, καὶ τὴν ζωὴν, καὶ τὸν θάνατον.
Καθὼς δὲ ὁ προφήτης Μωϋσῆς, εἰπὼν,
Γεν. ά. Αὕτη ἡ βίβλος γενέσεως ἀνθρώ-
1. πων, ἐφανέρωσε διὰ τούτου, ὅτι ἡ ὑπ'
αὐτοῦ συγγραφεῖσα βίβλος τῆς Πεν-
τατεύχου περιέχει καὶ τὰς γεννήσεις,
καὶ τὰς πράξεις, καὶ τὴν ζωὴν, καὶ
τὸν θάνατον τῶν τότε ἀνθρώπων, οὕτω
καὶ ὁ Εὐαγγελιστὴς Ματθαῖος, εἰπὼν,
Βίβλος γενέσεως Ἰησοῦ Χριστοῦ,
ἐφανέρωσε διὰ τούτου, ὅτι τὸ ὑπ' αὐτοῦ
συντεθὲν Εὐαγγέλιον περιέχει καὶ τὴν
γέννησιν, καὶ τὸν βίον, καὶ τὰ θαύμα-
τα, καὶ τὴν διδασκαλίαν, καὶ τὰ πά-
θη, καὶ τὸν θάνατον, καὶ ὅσα ἀναφέ-
ρονται εἰς τὸν Ἰησοῦν Χριστόν. Καὶ τὸ
μὲν Ἰησοῦς σημαίνει Σωτὴρ κατὰ τὴν
Ἑβραϊκὴν διάλεκτον· ἐπειδὴ δὲ αὐτός ἐ-
στιν ὁ Σωτὴρ τοῦ κόσμου, διὰ τοῦτο ὠ-
νομάσθη Ἰησοῦς· τὸ δὲ Χριστὸς, κε-
χρισμένος· διότι ὁ Ἰησοῦς ὡς ἄνθρωπος
ἐχρίσθη οὐχὶ ἐλαίῳ ὑλικῷ, καθὼς ἐ-
χρίοντο οἱ ἱερεῖς καὶ οἱ Βασιλεῖς, ἀλλὰ
Πνεύματι ἁγίῳ, καθὼς περὶ αὐτοῦ προε-
Ἡσ. ξά. φήτευσεν ὁ Ἡσαΐας, λέγων· Πνεῦμα Κυ-
1. ρίου ἐπ' ἐμὲ, οὗ εἵνεκεν ἔχρισέ με.
Υἱὸν δὲ, ἤγουν ἀπόγονον, τοῦ Δαβὶδ καὶ
τοῦ Ἀβραὰμ ὠνόμασε τὸν Ἰησοῦν Χρι-
στὸν, ἐπειδὴ ἀληθῶς ἐξ αὐτῶν κατήγε-
το ἡ ὑπεραγία Θεοτόκος, ἐξ ἧς ὁ Χρι-
στὸς σάρκα λαβὼν, ἐγένετο ἄνθρωπος.
Προέταξε δὲ τὸν Δαβὶδ τοῦ Ἀβραὰμ,
ἐπειδὴ ὁ Δαβὶδ πλησιέστερος ἦν εἰς τὸν
Ἰησοῦν Χριστὸν, καὶ ἐνδοξότερος τοῦ
Ἀβραὰμ, καὶ ἐπειδὴ, ἐκ τοῦ σπέρματος
Δαβὶδ, προεῖπον οἱ Προφῆται, ὅτι μέλ-
λει σαρκωθῆναι, μάλιστα δὲ αὐτὸς ὁ
Δαβὶδ, φανερώσας, ὅτι μεθ' ὅρκου ἐβε-
βαίωσεν αὐτὸν ὁ Θεὸς, ὅτι τὸν ἐκ τοῦ
καρποῦ τῆς κοιλίας αὐτοῦ ἀναβιβάσει
εἰς τὸν θρόνον τῆς μεγαλωσύνης ἐν τοῖς Ψαλ. ρλά.
οὐρανοῖς· Ὤμοσε Κύριος τῷ Δαβὶδ 11.
ἀλήθειαν, καὶ οὐ μὴ ἀθετήσει αὐ-
τὴν, ἐκ καρποῦ τῆς κοιλίας σου
θήσομαι ἐπὶ τοῦ θρόνου σου. Ἐ-
πειδὴ δὲ τοιαύτην ἐπιγραφὴν ἔθηκεν ὁ
Εὐαγγελιστὴς εἰς τὸ ἅγιον αὐτοῦ Εὐαγ-
γέλιον, πάντες δὲ, ὅσοι ἀκριβῶς καθι-
στοροῦσι τὰ περί τινος ἀνθρώπου, ἄρ-
χονται πρῶτον ἀπὸ τῶν προγόνων αὐ-
τοῦ, ἔπειτα διηγηθέντες τὰ περὶ τῆς
γεννήσεως αὐτοῦ, περιγράφουσι καὶ τὰ
λοιπὰ πάντα· διὰ τοῦτο γράφει πρῶτον
κατὰ σειρὰν τοὺς προγόνους τοῦ Ἰησοῦ
Χριστοῦ, ἀρχόμενος ἀπὸ τοῦ Ἀβραὰμ,
καὶ λέγων·

Ἀβραὰμ ἐγέννησε τὸν Ἰσαάκ· Ματ. ά.
2.
Ἰσαὰκ δὲ ἐγέννησε τὸν Ἰα- Γεν. κά.
3.
κώβ· Ἰακὼβ δὲ ἐγέννησε τὸν Αὐτ. κέ.
26.
Ἰούδαν, καὶ τοὺς ἀδελφοὺς Αὐτ. κθ'.
αὐτοῦ. 35.

Ἄρχεται τῆς γενεαλογίας τοῦ Ἰη-
σοῦ Χριστοῦ ἀπὸ Ἀβραὰμ, ἐπειδὴ αὐ-
τός ἐστιν ὁ πρῶτος τοῦ τῶν Ἑβραίων
γένους, ἐξ οὗ ὁ Χριστὸς ἐγεννήθη, καὶ
αὐτοῦ πρώτου ἡ πίστις ἐλογίσθη Ῥωμ. δ'.
εἰς δικαιοσύνην, καὶ εἰς αὐτὸν πρῶ- 9.
τον ἔδωκεν ὁ Θεὸς τὰς ὑποσχέσεις, ἐ-
παγγειλάμενος, ὅτι ἐν αὐτῷ, ἤγουν διὰ
τοῦ ἐκ τοῦ σπέρματος αὐτοῦ τεχθησο-
μένου Σωτῆρος Χριστοῦ, εὐλογηθήσονται
πάν-

Γεν. ιβ'. 3. πάντα τῆς γῆς τὰ ἔθνη, *Καὶ εὐλογήσω*, εἶπε πρὸς αὐτὸν ὁ Θεὸς, *τοὺς εὐλογοῦντάς σε, καὶ τοὺς καταρωμένους σε καταράσομαι· καὶ ἐνευλογηθήσονται ἐν σοὶ πᾶσαι αἱ φυλαὶ τῆς γῆς.* Μόνον δὲ τὸ τοῦ Ἰούδα ὄνομα ἀνέφερε, σιωπήσας τῶν ἀδελφῶν αὐτοῦ τὰ ὀνόματα, ἐπειδὴ ἐκ τῆς φυλῆς αὐτοῦ ἐσαρκώθη καὶ ἐγεννήθη ὁ Χριστὸς, καθὼς ὁ πατριάρχης Ἰακὼβ
Αὐτ. μθ'. 9. προφητεύσας εἶπε· *Σκύμνος λέοντος Ἰούδα· ἐκ βλαστοῦ, υἱέ μου, ἀνέβης· ἀναπεσὼν ἐκοιμήθης ὡς σκύμνος· τίς ἐγερεῖ αὐτόν;* καὶ ὁ Ἀπόστολος Παῦλος ἐβεβαίωσε, λέγων·
Ἑβρ. ζ'. 14. *Πρόδηλον γὰρ, ὅτι ἐξ Ἰούδα ἀνατέταλκεν ὁ Κύριος ἡμῶν.* Ἀκολουθῶν οὖν ὁ Εὐαγγελιστὴς τῇ σειρᾷ τῶν τοῦ Ἰούδα ἀπογόνων, λέγει.

Ματ. α'. 3, 4. Ἰούδας δὲ ἐγέννησε τὸν Φαρὲς, καὶ τὸν Ζαρὰ ἐκ τῆς
Γεν. λή. 29. Θάμαρ· Φαρὲς δὲ ἐγέννησε
Α'. Παραλ. β'. 5. τὸν Ἐσρώμ· Ἐσρὼμ δὲ ἐγέννησε τὸν Ἀράμ· Ἀρὰμ δὲ ἐγέννησε τὸν Ἀμιναδάβ· Ἀ-
Ῥούθ. δ'. 19. μιναδὰβ δὲ ἐγέννησε τὸν Ναασών·
Α'. Παραλ. β'. 10. Ναασὼν δὲ ἐγέννησε τὸν Σαλμών.

*Διατί προβάλλει οὐ μόνον τὸν Φαρὲς τὸν πατέρα τοῦ Ἐσρὼμ, καὶ πρόγονον τῶν ἑξῆς, ἀλλὰ καὶ τὸν ἀδελφὸν αὐτοῦ τὸν Ζαρά; διότι αὐτοὶ ἦσαν δίδυμοι, τὸ δὲ συμβὰν ἐν τῇ γεννήσει αὐτῶν τύπος ἦν πράγματος θείου.* Ὅταν ἦλθεν ἡ ὥρα τῆς γεννήσεως αὐτῶν, πρῶτον μὲν ἐξήγαγε τὴν χεῖρα αὐτοῦ ὁ Ζαρὰ, ταύτην δὲ ἰδοῦσα ἡ παρεστῶσα μαῖα, ἔδησεν εὐθὺς διὰ κοκκίνου νήματος, ἐκεῖνος δὲ ἐφέλκυσεν αὐτὴν σὺν τῷ κοκκίνῳ νήματι εἰς τὰ ὀπίσω, καὶ τότε ἐξελθὼν ὁ Φαρὲς, ἐγεννήθη πρῶτος. Τοῦτο δὲ ἐσήμαινεν, ὅτι καθὼς ἐφάνη ἡ χεὶρ (Χρυσ. εἰς τὴν Σειρ.) τοῦ Ζαρὰ πρὸ τῆς γεννήσεως τοῦ Φαρὲς, οὕτω πρὸ τοῦ νόμου ἐφάνη ἡ εὐαγγελικὴ πίστις· διότι πάντες οἱ πρὸ τοῦ νόμου ἅγιοι διὰ τῆς εἰς Χριστὸν πίστεως καὶ οὐχὶ διὰ νόμου ἐδικαιώθησαν· εὐαγγελικῶς δὲ ἐπολιτεύθησαν ὁ Ἀβραὰμ, καὶ ὁ Ἰσαὰκ, καὶ ὁ Ἰακὼβ, καὶ οἱ πρὸ τοῦ νόμου δίκαιοι· ὅταν δὲ ἐδόθη ὁ νόμος, τότε συνεστάλη ἡ εὐαγγελικὴ πολιτεία, καθὼς ἡ χεὶρ τοῦ Ζαρά· γεννηθέντος δὲ τοῦ Φαρὲς, ἐξῆλθεν ὁ Ζαρὰ διὰ τοῦ κοκκίνου νήματος σεσημειωμένος, ἤγουν ἐξέλαμψεν ἡ πίστις, ἡ τῷ αἵματι τοῦ Ἰησοῦ Χριστοῦ σφραγισθεῖσα. Ἐμνημόνευσε δὲ ὁ Εὐαγγελιστὴς καὶ τῆς μητρὸς αὐτῶν Θάμαρ, κἂν ἐκ παρανομίας ἐγέννησεν αὐτοὺς, ἵνα διδάξῃ, ὅτι οὐδὲν ἐμποδίζει πρὸς τὴν εὐαρέστησιν τοῦ Θεοῦ ἡ τῶν προγόνων κακία.

Σαλμὼν δὲ ἐγέννησε τὸν Βοὸζ Ματ. α'. 5, 6, 7.
ἐκ τῆς Ῥαχάβ· Βοὸζ δὲ ἐγέννησε τὸν Ὠβὴδ ἐκ τῆς Ῥούθ· Ὠβὴδ δὲ ἐγέννησε τὸν Ἰεσσαί· Ἰεσσαὶ δὲ ἐγέννησε
τὸν Δαβὶδ τὸν Βασιλέα· Δα- Ῥούθ. δ'. 21.
βὶδ δὲ ὁ Βασιλεὺς ἐγέννησε Α'. Παραλ. β'. 21.
τὸν Σολομῶντα ἐκ τῆς τοῦ Β'. Βασ. ιβ'. 24.
Οὐρίου· Σολομὼν δὲ ἐγέννησε τὸν Ῥοβοάμ· Ῥοβοὰμ δὲ Γ'. Βασ. ιά. 43.
ἐγέννησε τὸν Ἀβιά· Ἀβιὰ δὲ Αὐτ. ιδ'. 31.
ἐγέννησε τὸν Ἀσά. Αὐτ. ιέ. 8.

Τριῶν γυναικῶν, τῆς Ῥαχάβ, τῆς

Ῥούθ,

Ῥοὺθ, καὶ τῆς τοῦ Οὐρίου, ἤγουν τῆς Βηρσαβεὲ ἐμνημόνευσε. Καὶ ἡ μὲν Ῥαχὰβ ἐστὶν αὐτὴ ἡ Ῥαὰβ ἡ ἀλλογενὴς καὶ πόρνη, ἡ δεξαμένη τοὺς ἐν τῇ Ἰεριχῷ ἀποσταλέντας κατασκόπους, ἥτις, διασωθεῖσα ὑπὸ τῶν Ἑβραίων, συνέζησε μετ' αὐτῶν· ἐμνημόνευσε δὲ αὐτῆς καὶ ὁ προφητάναξ Δαβὶδ, λέγων· Μνησθήσομαι Ῥαὰβ καὶ Βαβυλῶνος τοῖς γινώσκουσί με. Ἡ δὲ Ῥοὺθ, ἀλλόφυλος καὶ αὐτὴ ἦν, Μωαβῖτις τὸ γένος· καταλιποῦσα δὲ καὶ θρησκείαν, καὶ πατρίδα, καὶ συγγένειαν, ἐπίστευσεν εἰς τὸν ἀληθινὸν Θεὸν, καὶ συνήφθη τοῖς Ἰουδαίοις, ὅθεν ἔλαβεν αὐτὴν εἰς γυναῖκα ὁ Βοὸζ. Ἡ δὲ Βηρσαβεὲ ἐκείνη ἐστὶ, δι' ἣν ὁ Δαβὶδ μοιχείαν καὶ φόνον ποιήσας, ἔδειξεν ἔπειτα εἰς τοὺς ἁμαρτωλοὺς τῆς μετανοίας τὸ παράδειγμα. Ἀνέφερε δὲ ὁ Εὐαγγελιστὴς τὴν Ῥαὰβ καὶ τὴν Ῥοὺθ, ἵνα δείξῃ, ὅτι παρὰ τῷ Θεῷ οὐκ ἔνι Ἰουδαῖος, οὐδὲ Ἕλλην, οὐκ ἔνι δοῦλος, οὐδὲ ἐλεύθερος, οὐκ ἔνι ἄρσεν καὶ θῆλυ, ἀλλὰ πάντες οἱ πρὸς αὐτὸν προσερχόμενοι ἓν καὶ τὸ αὐτὸ λογίζονται. Καθὼς δὲ ἡ μὲν Ῥαὰβ, ὑποδεχθεῖσα τοὺς κατασκόπους, ἐσώθη, ἡ δὲ Ῥοὺθ, καταλιποῦσα τὴν πατρῴαν θρησκείαν, καὶ πιστεύσασα εἰς τὸν Θεὸν, ἠξιώθη γενέσθαι Χριστοῦ πρόγονος· οὕτως ἡ τῶν ἐθνῶν Ἐκκλησία, ὑποδεξαμένη τοὺς Ἀποστόλους, καὶ καταλιποῦσα τὴν εἰδωλολατρείαν, ἠξιώθη τῆς σωτηρίας. Τὴν δὲ Βηρσαβεὲ ἀνέφερεν, ἵνα διδάξῃ τῆς μετανοίας τὴν δύναμιν, καὶ παραστήσῃ, ὅτι αὐτὴ τοσοῦτον ἐξαλείφει τὴν ἁμαρτίαν, ὥστε ὁ μετανοήσας ἁμαρτωλὸς οὐ λογίζεται ἁμαρτωλὸς, ἀλλὰ δίκαιος.

(Χρυσ. εἰς τὴν Σειρ.) (Ψαλ. πϛ΄. 3.) (Γαλ. γ΄. 28.)

Ματ. α΄. 8, 9, 10. Α΄.Παραλ. γ΄. 10.

## Ἀσὰ δὲ ἐγέννησε τὸν Ἰωσαφάτ· Ἰωσαφὰτ δὲ ἐγέννησε τὸν Ἰωράμ· Ἰωρὰμ δὲ ἐγέννησε τὸν Ὀζίαν· Ὀζίας δὲ ἐγέννησε τὸν Ἰωάθαμ· Ἰωάθαμ δὲ ἐγέννησε τὸν Ἄχαζ· Ἄχαζ δὲ ἐγέννησε τὸν Ἐζεκίαν· Ἐζεκίας δὲ ἐγέννησε τὸν Μανασσῆ· Μανασσῆς δὲ ἐγέννησε τὸν Ἀμών· Ἀμὼν δὲ ἐγέννησε τὸν Ἰωσίαν.

(Α΄.Παραλ. γ΄. 13.)

Ὁ Ὀζίας ἐστὶν ὁ Βασιλεὺς, ὅστις τολμήσας ἐθυμίασεν εἰς τὸν ναὸν, καὶ διὰ τοῦτο ἐλεπρώθη· αὐτὸς δὲ ἦν διώνυμος, διότι καὶ Ἀζαρίας ὠνομάζετο. Σημείωσαι δὲ, ὅτι ὁ Ὀζίας, εἴτε Ἀζαρίας, οὐκ ἦν υἱὸς τοῦ Ἰωράμ, ἀλλὰ τρισέγγονος· διότι ὁ Ὀζίας, ἢ Ἀζαρίας ἦν υἱὸς τοῦ Ἀμασίου, ὁ δὲ Ἀμασίας, υἱὸς τοῦ Ἰωὰς, ὁ δὲ Ἰωὰς, υἱὸς τοῦ Ὀχοζίου, ὁ δὲ Ὀχοζίας, υἱὸς τοῦ Ἰωράμ. Ἐκ τούτου φανερόν ἐστιν, ὅτι ὁ Εὐαγγελιστὴς Ματθαῖος ἐσιώπησε τρία ὀνόματα, τὸ τοῦ Ὀχοζίου, τὸ τοῦ Ἰωὰς, καὶ τὸ τοῦ Ἀμασίου· ἐσιώπησε δὲ αὐτὰ, εἴτε ἐπειδὴ αὐτοὶ ἦσαν ἐπίσημοι εἰς τὴν ἀπιστίαν καὶ εἰς τὴν κακίαν, ὡς μαρτυρεῖ ἡ θεία Γραφὴ, εἴτε ἐπειδὴ, διὰ τὴν ἀπιστίαν καὶ κακίαν αὐτῶν, ἐξηλειμμένα ἦσαν τὰ τούτων ὀνόματα ἀπὸ τῶν ἑβραϊκῶν καταλόγων· εἴτε ἐπειδὴ ἠθέλησεν ὁ Εὐαγγελιστὴς ἐπίτηδες συστῆσαι τὰς τρεῖς τετραδεκάδας ἀπὸ Ἀβραὰμ ἕως Χριστοῦ.

(Β΄.Παραλ. κϛ΄. 19.) (Δ΄. Βασ. ιε΄. 1.) (Α΄.Παραλ. γ΄. 11, 12.) (Δ΄. Βασ. ιη΄. 27. Β΄.Παραλ. λδ΄. 18, καὶ κε΄. 14.)

## Ἰωσίας δὲ ἐγέννησε τὸν Ἰεχονίαν καὶ τοὺς ἀδελφοὺς αὐτοῦ, ἐπὶ τῆς μετοικεσίας Βαβυλῶνος.

(Ματ. α΄. 11. Α΄.Παραλ. γ΄. 15, 16.)

Καὶ ὧδε πάλιν ἐγκαταλείπει ὁ ἱερὸς Ματθαῖος τοῦ Ἰωακὶμ τὸ ὄνομα, διό-

διότι ὁ Ἰεχονίας οὐκ ἦν υἱός, ἀλλ' ἔγ-
γονος τοῦ Ἰωσίου, ὡς μαρτυρεῖ τὸ βι-
Α΄.Παραλ. γ΄. 15,16. βλίον τῶν Παραλειπομένων, λέγων· Καὶ
υἱοὶ Ἰωσία, πρωτότοκος Ἰωανάν,
ὁ δεύτερος Ἰωακίμ, ὁ τρίτος Σε-
δεκίας, ὁ τέταρτος Σαλούμ· (ὁ
αὐτὸς καὶ Ἰωάχαζ·) Καὶ υἱοὶ Ἰωα-
κίμ, Ἰεχονίας υἱὸς αὐτοῦ, Σεδε-
κίας υἱὸς αὐτοῦ. Ἐσιώπησε δὲ τοῦ
Ἰωακὶμ τὸ ὄνομα, ἐπειδὴ αὐτὸς οὐδὲ
κατὰ τὸν νόμον, οὐδὲ κατὰ τὸ ἔθος
Β΄.Παραλ. λϛ΄. 2, 3. ἐβασίλευσε· διότι ὁ Φαραὼ Νεχαὼ
τὸν μὲν ἀδελφὸν αὐτοῦ τὸν Ἰωάχαζ, τὸν
νόμιμον Βασιλέα τῆς Ἱερουσαλήμ, με-
τέστησεν εἰς Αἴγυπτον, ὅπου καὶ ἀ-
πέθανεν· αὐτὸν δὲ τὸν Ἰωακὶμ κατέ-
στησε Βασιλέα, μεταβαλὼν τὸ ὄνομα
αὐτοῦ, τὸ λεγόμενον πρότερον Ἐλιακίμ·
Δ΄. Βασ. κγ΄. 34. Καὶ ἐβασίλευσε, λέγει τὸ τέταρτον
βιβλίον τῶν Βασιλειῶν, Φαραὼ Νεχαὼ
ἐπ' αὐτοὺς τὸν Ἐλιακίμ, υἱὸν Ἰω-
σίου Βασιλέως Ἰούδα, ἀντὶ Ἰω-
σίου τοῦ πατρὸς αὐτοῦ· καὶ ἐπέ-
στρεψε τὸ ὄνομα αὐτοῦ Ἰωακίμ·
καὶ τὸν Ἰωάχαζ ἔλαβε, καὶ εἰσή-
νεγκεν εἰς Αἴγυπτον, καὶ ἀπέ-
θανεν ἐκεῖ. Δύω δέ εἰσιν αἱ μετοικε-
Δ΄. Βασ. κδ΄. 1. σίαι τῶν Ἑβραίων εἰς τὴν Βαβυλῶνα,
κ. τ. λ. ἡ πρώτη ἐπὶ Ἰωακὶμ τοῦ υἱοῦ Ἰωσίου,
Ἀυτ. 16. καὶ ἡ δευτέρα μετ' ὀλίγον καιροῦ διάστη-
μα ἐπὶ Ἰεχονίου· αὕτη δέ ἐστιν ἡ ἐπί-
Β΄.Παραλ. λϛ΄.6,10. σημος μετοικεσία, διότι τότε ὁ Ναβου-
χοδονόσορ μετεκόμισεν ἐκ τῆς Ἱερουσα-
λὴμ εἰς τὴν Βαβυλῶνα σὺν τῷ Βασιλεῖ
Ἰεχονίᾳ, τῷ καὶ Ἰωαχεὶμ λεγομένῳ,
πολλὰς χιλιάδας Ἑβραίων.

Ματ. ά. 12. Μετὰ δὲ τὴν μετοικεσίαν Βα-
Α΄.Παραλ. γ΄. 17. βυλῶνος, Ἰεχονίας ἐγέννησε
Ἐσδρ. γ΄. 2, 8. καὶ ε΄. 2. τὸν Σαλαθιήλ· Σαλαθιὴλ δὲ
ἐγέννησε τὸν Ζοροβάβελ.

Ἐπειδὴ ὁ Ἰεχονίας ὀκταέτης ἀνέβη
εἰς τὸν βασιλικὸν θρόνον, τρίμηνον δὲ Δ΄. Βασ. κδ΄. 3.
μόνον ἐβασίλευσεν, ἔπειτα μετὰ πλή- Α΄.Παραλ. γ΄. 17.
θους λαοῦ μετεκομίσθη ὑπὸ τοῦ Να-
βουχοδονόσορ εἰς τὴν Βαβυλῶνα, ὅπου
καὶ ἀπέθανε, φανερόν ἐστιν, ὅτι μετὰ
τὴν μετοικεσίαν, ἐκεῖ εἰς τὴν Βαβυλῶνα
ἐγέννησε τὸν Σαλαθιήλ, ὁμοίως καὶ ὁ
Σαλαθιὴλ τὸν Ζοροβάβελ· ὁ δὲ Ζο-
ροβάβελ ἐπέστρεψεν εἰς τὴν Ἱερουσα- Ἐσδρ. γ΄. 2, 8, καὶ ε΄. 2.
λήμ, καὶ ᾠκοδόμησε τὸ θυσιαστήριον τοῦ
Θεοῦ.

Ζοροβάβελ δὲ ἐγέννησε τὸν Α- Ματ. ά. 13.
βιούδ· Ἀβιοὺδ δὲ ἐγέννησε
τὸν Ἐλιακείμ· Ἐλιακεὶμ δὲ
ἐγέννησε τὸν Ἀζώρ· Ἀζὼρ
δὲ ἐγέννησε τὸν Σαδώκ· Σα- 14.
δὼκ δὲ ἐγέννησε τὸν Ἀχείμ·
Ἀχεὶμ δὲ ἐγέννησε τὸν Ἐ-
λιούδ· Ἐλιοὺδ δὲ ἐγέννησε 15.
τὸν Ἐλεάζαρ· Ἐλεάζαρ δὲ
ἐγέννησε τὸν Ματθάν· Ματ-
θὰν δὲ ἐγέννησε τὸν Ἰακώβ.

Εἶχον οἱ Ἑβραῖοι ἀκριβεῖς κατα-
λόγους τῶν Ἱερέων καὶ Βασιλέων αὐ-
τῶν, ὡς μαρτυρεῖ Ἰώσηπος ὁ Φλάβιος· Ἰώσ. ά. λόγ. κατὰ Ἀπίων.
βεβαιοῖ δὲ τοῦτο καὶ τὸ βιβλίον τοῦ
Ἔσδρα, ἐν ᾧ φαίνεται, ὅτι, μετὰ τὴν ἐ-
πιστροφὴν τῶν Ἑβραίων ἀπὸ τῆς Βαβυ-
λῶνος, ἐπειδὴ τινὲς τῶν ἱερατευόντων οὐχ
εὑρέθησαν γεγραμμένοι ἐν τοῖς τοιούτοις
καταλόγοις, ἐστέρησαν αὐτοὺς τῆς ἱερα-
τικῆς ὑπηρεσίας· Καὶ τούτων, λέγει Α΄.Ἐσδρ. ε΄. 39.
ὁ Ἔσδρας, ζητηθείσης τῆς γενικῆς
γραφῆς ἐν τῷ καταλοχισμῷ, καὶ
μὴ εὑρεθείσης, ἐχωρίσθησαν τοῦ
ἱερατεύειν. Ὁ Ἱερὸς οὖν Ματθαῖος
τὰ

τὰ μὲν πρὸ τοῦ Ἀβιοὺδ ὀνόματα παρέλαβε παρὰ τῆς Θείας Γραφῆς, τὰ δὲ ἀπὸ τοῦ Ἀβιοὺδ καὶ ἑξῆς ἢ παρὰ τῶν τοιούτων καταλόγων παρέλαβεν, ἢ ἐκ παραδόσεως ἦσαν αὐτῷ γνωστά, ἤ, ἐκ Πνεύματος ἁγίου διδαχθείς, ἐξέθετο αὐτὰ εἰς ἀναπλήρωσιν τῆς ἀπὸ Ἀβραάμ, ἄχρι τοῦ Ἰησοῦ Χριστοῦ γενεαλογίας.

Ματ. ά. 16. Ἰακὼβ δὲ ἐγέννησε τὸν Ἰωσὴφ τὸν ἄνδρα Μαρίας, ἐξ ἧς ἐγεννήθη Ἰησοῦς, ὁ λεγόμενος Χριστός.

Ἐκ τούτων τῶν λόγων τρεῖς ἀπορίαι γεννῶνται. Πρώτη, διατί ὁ μὲν Ματθαῖος ὠνόμασεν Ἰακὼβ τὸν πατέρα τοῦ Ἰωσήφ, ὁ δὲ Λουκᾶς, Ἡλί. Δευτέρα, διατί καὶ οἱ δύω οὗτοι Εὐαγγελισταί, γενεαλογοῦντες τὸν Ἰησοῦν Χριστόν, ἐγενεαλόγησαν τὸν Ἰωσήφ, ὥσπερ ἂν εἰ ὁ Ἰωσὴφ ἦν ἀληθῶς κατὰ σάρκα πατὴρ αὐτοῦ. Τρίτη, διατί μεταξὺ τῶν δύω γενεαλογιῶν, δηλονότι τῆς ὑπὸ τοῦ Ματθαίου, καὶ τῆς ὑπὸ τοῦ Λουκᾶ γραφείσης, τόση διαφορὰ οὐ μόνον ὀνομάτων, ἀλλὰ καὶ τοῦ ἀριθμοῦ αὐτῶν; Τῆς μὲν πρώτης ἀπορίας ἔχεις τὴν λύσιν, ἐὰν στοχασθῇς, ὅτι ὁ πατὴρ τοῦ Ἰωσήφ, καθὼς καὶ ἄλλοι πολλοί, ἦν διώνυμος, ἤγουν ὠνομάζετο καὶ Ἰακώβ, καὶ Ἡλί· ἢ ὅτι εἶχε δύω πατέρας, τὸν μὲν κατὰ
Δευτ. κέ. 5, 6. φύσιν, τὸν δὲ κατὰ νόμον, διότι ὁ μωσαϊκὸς νόμος ὥριζεν, ἵνα ὁ ἀδελφὸς ἐκείνου, ὅστις ἀποθάνῃ ἄτεκνος, λαμβάνῃ τὴν γυναῖκα αὐτοῦ, τὸ δὲ γεννηθὲν παιδίον λογίζηται τέκνον τοῦ ἀποθανόντος. Τῆς δὲ δευτέρας, ἐὰν παρατηρήσῃς πρῶτον, ὅτι οὐ μόνον οἱ Ἑβραῖοι, ἀλλὰ καὶ τὰ ἔθνη κατὰ συνήθειαν οὐδέποτε γενεαλογοῦσι τὰς γυναῖκας· δεύτερον, ὅτι οἱ Ἑβραῖοι, οἵτινες μεμερισμένοι ἦσαν εἰς δώδεκα φυλάς, οὐκ ἐξ ἄλλης, ἀλλ᾽ ἐκ τῆς ἰδίας φυλῆς ἐλάμβανον γυναῖκας· τρίτον, ὅτι ἡ μνηστεία ἐλογίζετο γάμος, κἂν τὰ μνηστευθέντα πρόσωπα οὐ συνήρχοντο εἰς γάμου κοινωνίαν, ὅθεν καὶ ὁ Εὐαγγελιστὴς ὠνόμασε τὸν Ἰωσὴφ ἄνδρα τῆς ἀειπαρθένου Μαρίας· τέταρτον, ὅτι καὶ οἱ δύω Εὐαγγελισταί, σκοπὸν ἔχοντες, ἵνα παραστήσωσι τὸν Ἰησοῦν Χριστὸν ἐκ τοῦ Ἀβραὰμ καταγόμενον, καὶ ἐκ τῆς φυλῆς τοῦ Ἰούδα σάρκα λαβόντα, τοῦτο καὶ ἐποίησαν· διότι, γενεαλογήσαντες τὸν Ἰωσήφ, καὶ τὴν συνήθειαν ἐφύλαξαν, καὶ τὸν σκοπὸν αὐτῶν ἐπλήρωσαν, καθότι ἡ ὑπεραγία Θεοτόκος, ἐξ ἧς σάρκα ἔλαβεν ὁ Χριστός, ὡς μεμνηστευμένη τῷ Ἰωσήφ, οὐκ ἐξ ἄλλης, ἀλλ᾽ ἐκ τῆς ἰδίας φυλῆς τοῦ Ἰωσήφ, ἤγουν ἐκ τῆς φυλῆς τοῦ Ἰούδα κατήγετο· ὅθεν, γενεαλογήσαντες τὸν Ἰωσήφ, ἐγενεαλόγησαν αὐτὴν τὴν ἀειπάρθενον Μαριάμ. Διὰ δὲ τὴν λύσιν τῆς τρίτης ἀπορίας, σημείωσον τὰ ἑξῆς· πρῶτον, ὅτι τότε τινὲς μὲν ἦσαν διώνυμοι, τινὲς εἶχον δύω πατέρας, ὡς εἴπομεν, ἐξ οὗ καὶ εἰς αὐτοὺς τοὺς ἐν τῇ ἁγίᾳ Γραφῇ καταλόγους βλέπομεν ὀνομάτων διαφοράς· δεύτερον, ὅτι ὁ μὲν Ματθαῖος οὐκ ἠκολούθησε πάντοτε τὴν ἀπὸ πατρὸς εἰς υἱὸν σειράν, ἀλλ᾽ ἐπήδησεν ἐνίοτε ἀπὸ τοῦ πατρὸς εἰς τὸν ἔγγονον, καὶ εἰς τὸν τρισέγγονον, καταλιπὼν τὰ μεταξὺ ὀνόματα, ὡς ἀνωτέρω ἴδομεν· πρὸς τούτοις δὲ ἐπέβλεψε μᾶλλον ἐπὶ τοὺς κατὰ διαδοχὴν βασιλεύσαντας, ἢ ἐπὶ τοὺς κατὰ φυσικὴν σειρὰν γεννηθέντας υἱούς· ὁ δὲ Λουκᾶς ἠκολούθησε τὴν ἀπὸ πατρὸς εἰς υἱὸν φυσικὴν τῆς γενεαλογίας σειράν· τρίτον δέ, ὅτι ὁ μὲν Ματθαῖος κατάγει τὸν Ἰωσὴφ ἀπὸ τοῦ Σολομῶντος· ὁ δὲ Λουκᾶς ἀπὸ ἄλλου υἱοῦ τοῦ Δαβίδ, ἤγουν τοῦ Νάθαν· ἐπιβεβαιοῦσι δὲ τοῦτο καὶ ὁ Ναζιανζηνὸς Γρη- Ματ. ά. 7. Λουκ. γ΄. 31. Ναζ. ἐν τῷ ποιήμ. εἰς τὴν

Χριστοῦ γενεαλ. Γρηγόριος, καὶ ὁ Καισαρείας Εὐσέβιος.
Εὐσ. εἰς τὴν Σειρ.

Ματ. α'. 17. Πᾶσαι οὖν αἱ γενεαὶ ἀπὸ Ἀβραὰμ ἕως Δαβὶδ, γενεαὶ δεκατέσσαρες· καὶ ἀπὸ Δαβὶδ ἕως τῆς μετοικεσίας Βαβυλῶνος, γενεαὶ δεκατέσσαρες· καὶ ἀπὸ τῆς μετοικεσίας Βαβυλῶνος ἕως τοῦ Χριστοῦ, γενεαὶ δεκατέσσαρες.

Φαίνεται, ὅτι ἐπίτηδες ἠθέλησεν ὁ θεῖος Εὐαγγελιστὴς, ἵνα τρὶς κατασκευάσῃ, καὶ τρὶς ἐπαναλάβῃ τὸν δεκατέσσαρα ἀριθμόν· διότι εἰς τὴν δευτέραν τετραδεκάδα, ἤγουν τὴν ἀπὸ Δαβὶδ ἕως τῆς μετοικεσίας Βαβυλῶνος, κἂν ἐσιώπησε τρία ὀνόματα, τὸ τοῦ Ὀχοζίου, τὸ τοῦ Ἰωὰς, καὶ τὸ τοῦ Ἀμασίου, κἂν καὶ τὸ τοῦ Ἰωακὶμ ὄνομα ἐσιώπησε, καὶ ἑπομένως δεκατρία μόνον ὀνόματα ἔμειναν, καθότι τὸ τοῦ Ἰεχονίου ἀναφέρεται εἰς τὴν τρίτην τετραδεκάδα, ὅμως πάλιν ἀμεταθέτως εἶπεν· Ἀπὸ Δαβὶδ ἕως τῆς μετοικεσίας Βαβυλῶνος, γενεαὶ δεκατέσσαρες. Ἐπειδὴ δὲ οὐ δυνάμεθα πιστεῦσαι, ὅτι ὁ Εὐαγγελιστὴς ματαίως, καὶ χωρίς τινος σκοποῦ καὶ λόγου, ἐπιτηδεύθη γράψαι τὰς τρεῖς τετραδεκάδας, πολλὰ πιθανὸν φαίνεται, ὅτι καὶ ὁ δεκατέσσαρα ἀριθμὸς, καὶ ὁ τρὶς δεκατέσσαρα μυστηριώδης ἐστὶ καὶ σημαντικὸς θείων πραγμάτων. Ὁ Θεολόγος Γρηγόριος, παρατηρήσας εἰς τὴν ἐν τῷ κατὰ Λουκᾶν Εὐαγγελίῳ γενεαλογίαν τοῦ Ἰησοῦ Χριστοῦ, ὅτι ὁ Χριστός ἐστιν ἑβδομηκοστὸς ἕβδομος ἀπὸ Ἀδὰμ, ἔταξεν εἰς τὸν περὶ Πεντηκοστῆς αὐτοῦ λόγον, ὅπου ἐφανέρωσε πάντα τὰ περὶ τοῦ ἑπτὰ ἀριθμοῦ, καὶ τὸν ἑβδομηκοστὸν ἕβδομον, τὸν ἀπὸ Ἀδὰμ ἕως Χριστοῦ· καὶ οὐδὲν μὲν εἶπε περὶ τῶν τοῦ Ματθαίου τριῶν τετραδεκάδων, ἔδωκε δὲ ἀφορμὴν, ἵνα τὰ ἑξῆς νοήσωμεν. Ὁ ἑπτὰ ἀριθμὸς σημαίνει πρὸς τοῖς ἄλλοις τὴν
κατάπαυσιν τῶν ἔργων τοῦ Κυρίου· Καὶ Γεν. β'.
κατέπαυσε, λέγει, τῇ ἡμέρᾳ τῇ ἑ- 2.
βδόμῃ ἀπὸ πάντων τῶν ἔργων αὐτοῦ, ὧν ἐποίησε. Καθὼς δὲ ἔργον Θεοῦ ἡ πλάσις τοῦ κόσμου, οὕτω καὶ ἡ ἀνάπλασις αὐτοῦ· ἡ ἀνάπλασις δὲ διὰ τῆς ἐνσάρκου οἰκονομίας ἐγένετο· διὸ καὶ
ὁ Σωτὴρ ἡμῶν ἔλεγε· Τὸ ἔργον ἐτε- Ἰωάν. ιζ'.
λείωσα, ὃ δέδωκάς μοι, ἵνα ποιή- 4.
σω· καὶ ὅταν δὲ ἐκρέματο εἰς τὸν σταυ-
ρὸν, εἶπε· Τετέλεσται· τί δὲ τετέ- Αὐτ. ιθ'.
λεσται; φανερὸν, ὅτι τῆς σωτηρίας τὸ 30.
ἔργον· δύω λοιπὸν εἰσὶ τοῦ Θεοῦ τὰ ἔργα, ἡ κοσμογένεσις, καὶ ἡ κοσμοαναγένεσις· ἑπομένως δὲ δύω καὶ αἱ καταπαύσεις ἀπὸ τούτων τῶν ἔργων. Ἐπειδὴ δὲ τὸ δὶς ἑπτὰ ποιεῖ τὸν δεκατέσσαρα, διὰ τοῦτο ὁ δεκατέσσαρα ἀριθμὸς σημαίνει ταύτας τὰς δύω καταπαύσεις. Ἐπαναλαμβάνει δὲ ὁ Εὐαγγελιστὴς τὸν δεκατέσσαρα τρὶς, ἵνα τὴν τῆς παναγίας Τριάδος κατάπαυσιν ἀπὸ τούτων τῶν δύω ἔργων δηλοποιήσῃ. Τοσοῦτον δὲ μυστηριωδῶς τὴν τοῦ Χριστοῦ γενεαλογίαν ἐκθέμενος, διηγεῖται ἔπειτα καὶ τὰ περὶ τῆς ἀσπόρου γεννήσεως τοῦ Σωτῆρος, λέγων·

Τοῦ δὲ Ἰησοῦ Χριστοῦ ἡ γέν- Ματ. α'.
νησις οὕτως ἦν. Μνηστευθεί- 18.
σης γὰρ τῆς μητρὸς αὐτοῦ Μαρίας τῷ Ἰωσὴφ, πρὶν ἢ συνελθεῖν αὐτοὺς, εὑρέθη ἐν γαστρὶ ἔχουσα ἐκ Πνεύματος ἁγίου.

Διὰ

Διὰ τρία αἴτια εὐδόκησεν ὁ Θεός, ἵνα ἡ ἀειπάρθενος Μαρία μνηστευθῇ τῷ Ἰωσήφ. Πρῶτον, ἵνα φύγῃ τοῦ θανάτου τὸν κίνδυνον· διότι θάνατος ἦν ἡ τιμω-
Δευτ. κβ΄. ρία ἐκείνης τῆς παρθένου, ἥτις, μὴ ἔ-
23, 24. χουσα ἄνδρα, εὑρίσκετο ἔγκυος· ἡ δὲ μνηστεία, διδοῦσα ἀφορμὴν εἰς τὸν καθένα, ἵνα νομίζῃ, ὅτι ἐκ τοῦ μνηστῆρος αὐτῆς συνέλαβεν, ἐδίωκε τὸν κίνδυνον. Δεύτερον, ἵνα, γενεαλογηθεὶς ὁ Χριστὸς, δειχθῇ καταγόμενος ἐκ τοῦ γένους Ἀβραὰμ καὶ τῆς φυλῆς Ἰούδα· τοῦτο δὲ οὐκ ἠδύνατο γενέσθαι διὰ τὴν συνήθειαν, ἐὰν μὴ ἡ παρθένος μεμνηστευμένη ἦν ἀνδρὶ ἐκ τῆς φυλῆς τοῦ Ἰούδα. Τρίτον, ἵνα ὁ Ἰωσὴφ ὁ μνήστωρ χωρίς τινος κακῆς ὑποψίας ὑπηρετῇ εἰς τὰς τοῦ γεννηθέντος Χριστοῦ χρείας, μάλιστα ὅταν ὁ Ἡρώδης ἐδίωκεν αὐτόν· ὁ Ἰωσὴφ δὲ πάντων τῶν ἄλλων προεκρίθη διὰ τὴν ὑπηρεσίαν ταύτην, ἐπειδὴ πάντας τοὺς ἄλλους ὑπερεῖχεν εἰς τὴν ἀρετήν. Βλέπε δὲ μετὰ πόσης ἀκριβείας ὁ Εὐαγγελιστὴς ἐφανέρωσε τὸν ἄσπορον τόκον τῆς ὑπεραγίας Μητρός· Μνηστευθείσης, εἶπε, τῆς μητρὸς αὐτοῦ Μαρίας τῷ Ἰωσήφ· ἡ δὲ μνηστεία οὐκ ἔστι γάμος, κἂν ὡς γάμος λογίζηται· ἔπειτα, ἵνα μή τις νομίσῃ, ὅτι κἂν μὴ γάμος ἡ μνηστεία, συνήφθη ὅμως ὁ Ἰωσὴφ τῇ Παρθένῳ, προσέθηκε τό, Πρὶν ἢ συνελθεῖν αὐτούς, εὑρέθη ἐν γαστρὶ ἔχουσα· ἀλλὰ μηδὲ ἐπὶ τούτῳ ἀρκεσθεὶς διὰ τὴν ὑποψίαν τῆς κλεψιγαμίας, ἣν καὶ αὐτὸς ὁ Ἰωσὴφ ὑπώπτευσεν, ἐξήλειψε πᾶσαν ὑποψίαν, εἰπών, ὅτι συνέλαβεν ἐκ Πνεύματος ἁγίου· Εὑρέθη ἐν γαστρὶ ἔχουσα ἐκ Πνεύματος ἁγίου, ἤγουν συνέλαβε τῇ δυνάμει καὶ ἐνεργείᾳ τοῦ παναγίου καὶ παντοδυνάμου Πνεύματος.

Ματ. α΄. Ἰωσὴφ δὲ ὁ ἀνὴρ αὐτῆς, δί-
19. καιος ὤν, καὶ μὴ θέλων αὐτὴν παραδειγματίσαι, ἐβουλήθη λάθρα ἀπολῦσαι αὐτήν.

Τὸ δίκαιος σημαίνει μὲν τὸν ἄνθρωπον τὸν μηδένα ἀδικοῦντα, σημαίνει δὲ ἐπίσης καὶ τὸν πάσης ἀρετῆς πε-
πληρωμένον· διὸ καθὼς ἐῤῥέθη ὁ Νῶε, Γεν. ς΄.
καὶ ὁ Ἰὼβ δίκαιος, οὕτω καὶ ὁ Ἰωσήφ. 9.
Βλέπε δὲ τὰς ἀρετὰς αὐτοῦ, τὴν πραό- Ἰώβ. α΄.
τητα, τὴν ἀνεξικακίαν, τὴν ἀγάπην τοῦ 1.
πλησίον, τὸν ζῆλον ὑπὲρ τοῦ νόμου τοῦ Θεοῦ, τὴν φρόνησιν. Ὑποπτεύεται μοιχείαν, καὶ ὅμως μετὰ πραότητος καὶ ἀνεξικακίας ὑπομένει τὸ ὑποπτευόμενον ὄνειδος· ἐὰν παρέδιδε τὴν ἁγίαν Παρθένον εἰς τὰ κριτήρια, ἐγίνετο ἀτιμίας καὶ τιμωρίας παράδειγμα, ἐπειδὴ ἡ ποινὴ
αὐτῆς ἦν θάνατος· ἡ πρὸς τὸν πλησίον Δευτ. κβ΄.
ἀγάπη ἐμποδίζει αὐτὸν τοῦ τοιούτου ἔρ- 22.
γου. Ὁ ζῆλος τοῦ νόμου τοῦ Θεοῦ ἀναγκάζει αὐτόν, ἵνα ἀπολύσῃ αὐτὴν ὡς μοιχαλίδα· ἐὰν δὲ ἀπέλυεν αὐτὴν φανερά, τοῦτο ἀρκετὸν ἦν πρὸς κατάκρισιν αὐτῆς· ἡ ἐν αὐτῷ φρόνησις ἐδίδαξεν αὐτὸν τρόπον εὐσεβῆ καὶ ἐπαινετόν· οὐκ ἠθέλησεν οὐδὲ παραδειγματίσαι αὐτήν, οὐδὲ δημοσιεῦσαι τὸ νομιζόμενον αὐτῆς ἁμάρτημα, ἀλλ᾽ οὐδὲ συζῆσαι μετ᾽ αὐτῆς, ἐβουλήθη οὖν ἀπολῦσαι αὐτὴν κρυφίως· Ἐβουλήθη λάθρα ἀπολῦσαι αὐτήν. Καὶ ταῦτα μὲν βουλεύεται ὁ δίκαιος Ἰωσήφ· ἄκουε δὲ τί οἰκονομεῖ τοῦ Θεοῦ ἡ πρόνοια, ἥτις ἐδιώρισεν αὐτὸν φύλακα τῆς Παρθένου, καὶ ὑπηρέτην τοῦ ἐξ αὐτῆς γεννηθέντος Χριστοῦ.

Ταῦτα δὲ αὐτοῦ ἐνθυμηθέν- Ματ. α΄.
τος, ἰδού, Ἄγγελος Κυρίου 20.
κατ᾽ ὄναρ ἐφάνη αὐτῷ, λέγων·

Ἰω-

Ἰωσὴφ υἱὸς Δαβὶδ, μὴ φοβηθῇς παραλαβεῖν Μαριὰμ τὴν γυναῖκά σου, τὸ γὰρ ἐν αὐτῇ γεννηθὲν ἐκ Πνεύματός ἐστιν ἁγίου.

Διατί ὁ Ἄγγελος ὠνόμασε τὸν Ἰωσὴφ υἱὸν Δαβίδ; Ἵνα μάθωμεν, ὅτι καὶ ἡ μνηστευθεῖσα αὐτῷ Παρθένος ἐκ τῆς φυλῆς ἦν τοῦ Δαβὶδ, καὶ ἑπομένως πληροφορηθῶμεν, ὅτι ἐκ σπέρματος Δαβὶδ σάρκα ἔλαβεν ὁ μονογενὴς Υἱὸς τοῦ Θεοῦ, κατὰ τὰς προῤῥήσεις τῶν ἁγίων Προφητῶν. Διατί δὲ εἶπε πρὸς τὸν Ἰωσὴφ, Μὴ φοβηθῇς; Διότι, τὴν παράβασιν τοῦ νόμου φοβούμενος, ἐμελέτα ἀπολῦσαι τὴν ἁγίαν Παρθένον· ὅθεν θαρσοποιεῖ αὐτὸν, λέγων· Μὴ φοβηθῇς νόμου παράβασιν, ἐὰν παραλάβῃς τὴν γυναῖκά σου· ἐπίτηδες δὲ ὀνομάζει αὐτὴν γυναῖκα αὐτοῦ, ἵνα πληροφορήσῃ αὐτὸν, ὅτι καθαρά ἐστι καὶ ἀμίαντος· Μὴ φοβηθῇς παράβασιν νόμου, διότι αὐτὴ συνέλαβεν οὐκ ἐξ ἀνδρὸς, ἀλλ' ἐκ δυνάμεως τοῦ ἁγίου Πνεύματος.

Ματ. ά. 21. Τέξεται δὲ υἱὸν, καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ ἸΗΣΟΥΝ· αὐτὸς γὰρ σώσει τὸν λαὸν αὐτοῦ ἀπὸ τῶν ἁμαρτιῶν αὐτῶν.

Ἰδοὺ ἡ ἀληθὴς σημασία τοῦ ὀνόματος Ἰησοῦ· αὐτὴν δὲ ἐφανέρωσεν οὐκ ἄνθρωπος, ἀλλ' ὁ Ἄγγελος τοῦ Κυρίου· Ἡ Μαρία, λέγει ὁ Ἄγγελος πρὸς τὸν Ἰωσὴφ, γεννήσει Υἱὸν, σὺ δὲ ὀνομάσεις αὐτὸν Ἰησοῦν, ἐπειδὴ αὐτός ἐστιν ὁ Σωτὴρ τοῦ λαοῦ αὐτοῦ, ἤγουν ὁ Σωτὴρ παντὸς τοῦ γένους τῶν ἀνθρώπων, καθότι σώσει πάντας τοὺς εἰς αὐτὸν πιστεύσοντας ἀπὸ τῶν ἁμαρτιῶν αὐτῶν.

(Τοῦτο δὲ ὅλον γέγονεν, ἵνα πληρωθῇ τὸ ῥηθὲν ὑπὸ τοῦ Κυρίου διὰ τοῦ Προφήτου, λέγοντος· Ἰδοὺ ἡ Παρθένος ἐν γαστρὶ ἕξει, καὶ τέξεται υἱὸν, καὶ καλέσουσι τὸ ὄνομα αὐτοῦ ἘΜΜΑΝΟΥΗΛ· ὅ ἐστι μεθερμηνευόμενον, μεθ' ἡμῶν ὁ Θεός.) Ματ. ά. 22. 23.

Κἂν τινὲς λέγωσιν, ὅτι τὰ λόγια ταῦτα οὐκ εἰσὶ τοῦ Ἀγγέλου, ἀλλὰ τοῦ Εὐαγγελιστοῦ, τοῦτο ὅμως οὐκ ἔστι πιθανὸν, διὰ τὴν σειρὰν τοῦ λόγου· διότι, ἐὰν ταῦτα εἶπεν ὁ Εὐαγγελιστὴς, ἐπειδὴ ὁ αὐτὸς λέγει, τοῦτο δὲ ὅλον γέγονεν, ἀνάγκη ἐστὶν, ἵνα νοήσωμεν, ὅτι καὶ ἡ φανεῖσα εἰς τὸν Ἰωσὴφ ὀπτασία τοῦ Ἀγγέλου προεφητεύθη ὑπὸ τοῦ Προφήτου· τοιαύτην δὲ προφητείαν, οὐδὲ εἰς τὰ προκείμενα προφητικὰ λόγια βλέπομεν, οὐδὲ ἀλλαχοῦ εὑρίσκομεν· τοῦ Ἀγγέλου οὖν εἰσὶ καὶ ταῦτα τὰ λόγια, καθὼς καὶ τὰ προλαβόντα. Ὁ Ἄγγελος, ἀκολουθῶν τῇ σειρᾷ τοῦ λόγου αὐτοῦ, λέγει· Γίνωσκε, ὦ Ἰωσὴφ, ὅτι τοῦτο ὅλον, ἤγουν ὁ τόκος ἄνευ σπορᾶς, καὶ ἡ ἐκ Πνεύματος ἁγίου σύλληψις, καὶ τὸ ὄνομα τοῦ υἱοῦ τῆς Μαριὰμ, ἐγένοντο, ἵνα πληρωθῇ ὁ λόγος τοῦ Θεοῦ, ὃν ἐλάλησε διὰ στόματος τοῦ Προφήτου. Καὶ ὁ μὲν Προφήτης ἐστὶν ὁ Ἡσαΐας, ὁ δὲ λόγος τοῦ Θεοῦ, ὃν αὐτὸς ἐλάλησεν, ἐστὶν οὗτος· Διὰ τοῦτο δώσει Κύριος αὐτὸς ἡμῖν σημεῖον· ἰδοὺ ἡ Παρθένος ἐν γαστρὶ λήψεται, καὶ τέξεται υἱὸν, καὶ καλέσεις τὸ

Φώτ. εἰς τὴν Σειρ.

Ἡσ. ζ'. 14.

τὸ ὄνομα αὐτοῦ Ἐμμανουήλ. Καὶ ὁ μὲν Ἡσαΐας τοιουτοτρόπως ἐξεφώνησε τοῦ Θεοῦ τὸν λόγον, ὁ δὲ Ἄγγελος διηρμήνευσε τὸ ὄνομα Ἐμμανουήλ, εἰπών, ὅτι σημαίνει τό, Μεθ' ἡμῶν ὁ Θεός. Ἐὰν οὖν ὁ Ἑβραῖος, δολιευόμενος, λέγῃ, ὅτι ὁ Ἡσαΐας οὐκ εἶπεν ἡ Παρθένος, ἀλλ' ἡ νεᾶνις, καὶ ὅτι ὁ Χριστὸς οὐκ ὠνομάσθη Ἐμμανουήλ, ἀλλ' Ἰησοῦς, ἀποκρίθητι πρὸς αὐτόν, ὅτι οἱ ἑβδομήκοντα μεταφρασταί, οἱ μεταφράσαντες τὴν ἑβραϊκὴν λέξιν τοῦ Ἡσαΐου εἰς τὸ Παρθένος, ἦσαν πολλῷ σοφώτεροι αὐτοῦ τοῦ δολερῶς ταῦτα λέγοντος· καὶ ὅτι ὁ Ἡσαΐας, ἵνα φανερώσῃ, ὅτι παρθένος γεννήσει τὸν Χριστόν, εἶπε· Διὰ τοῦτο δώσει Κύριος αὐτὸς ὑμῖν σημεῖον, ἤγουν τέρας, θαῦμα· θαῦμα δέ ἐστι καὶ τεράστιον οὐχ ὅταν γεννήσῃ γυνή, διότι τοῦτό ἐστι κατὰ φύσιν, ἀλλ' ὅταν γεννήσῃ παρθένος, διότι τοῦτό ἐστιν ὑπὲρ φύσιν, οὐδέ ποτε δὲ ἄλλοτε συνέβη, εἰμὴ εἰς τὴν Χριστοῦ γέννησιν. Περὶ δὲ τοῦ ὀνόματος Ἰησοῦ, ἀποκρίθητι πρὸς αὐτόν, ὅτι τὸ Ἐμμανουὴλ ὄνομα σημαίνει τὸ αὐτό, ὅπερ καὶ τὸ Ἰησοῦς· διότι, ὅταν ὁ Θεὸς ὑπάρχῃ μεθ' ἡμῶν, τότε αὐτὸς μὲν ἐστι Σωτὴρ ἡμῶν, ἡμεῖς δὲ ἐσμὲν σεσωσμένοι. Σὺ δὲ παρατήρησον τὴν σοφίαν τῶν λόγων τοῦ Ἀγγέλου· αὐτὸς βαθμηδὸν ὡδήγησε τὸν Ἰωσήφ, καὶ ἡτοίμασεν αὐτὸν πρὸς τὴν ὑποδοχὴν τῆς πίστεως τοῦ ἀπορρήτου μυστηρίου· οὐκ εἶπεν αὐτῷ ἐξ ἀρχῆς, ὅτι ἡ Μαριὰμ παρθένος ἐστί, καὶ παρθένος γεννήσει, ἵνα μὴ ταῦτα ἀκούσας ταραχθῇ, ἀλλὰ πρῶτον μὲν εἶπεν αὐτῷ, ὅτι τῇ δυνάμει τοῦ ἁγίου Πνεύματος συνέλαβεν, ἔπειτα ἐφανέρωσεν εἰς αὐτόν, ὅτι τὸ γεννησόμενον ἐξ αὐτῆς ἐστιν ὁ Σωτὴρ τοῦ κόσμου, μετὰ δὲ τοῦτο ἐδίδαξεν αὐτὸν τὰ περὶ τῆς παρθενίας, καὶ τοῦ παρθενίου τόκου, βεβαιώσας τὰ ὑπ' αὐτοῦ λεγόμενα διὰ τοῦ λόγου τοῦ Θεοῦ, ὃν προεκήρυξεν ὁ προφήτης Ἡσαΐας. Τί δὲ ἔπραξεν ὁ Ἰωσήφ, ἀκούσας ταῦτα τοῦ Ἀγγέλου τὰ λόγια;

Διεγερθεὶς δὲ ὁ Ἰωσὴφ ἀπὸ Ματ. α'.
τοῦ ὕπνου, ἐποίησεν ὡς προσέ- 24.
ταξεν αὐτῷ ὁ Ἄγγελος Κυ-
ρίου, καὶ παρέλαβε τὴν γυ-
ναῖκα αὐτοῦ. Καὶ οὐκ ἐγί- 25.
νωσκεν αὐτήν, ἕως οὗ ἔτεκε
τὸν υἱὸν αὐτῆς τὸν πρωτότο-
κον, καὶ ἐκάλεσε τὸ ὄνομα
αὐτοῦ ἸΗΣΟΥΝ.

Πῶς οὐκ ἐδίστασεν ὁ Ἰωσήφ, τοιαῦτα παράδοξα πράγματα ἀκούσας κοιμώμενος, καὶ κατ' ὄναρ ἰδὼν τὸν Ἄγγελον; Τοῦ Θεοῦ ἡ χάρις τοσαύτην πληροφορίαν ἔσταξεν εἰς τὴν καρδίαν αὐτοῦ, ὥστε, διεγερθεὶς ἀπὸ τοῦ ὕπνου, οὐδὲ ἐδίστασεν, οὐδὲ ἀμφιβολίαν ἔλαβεν, ὅτι Ἄγγελος Θεοῦ ἐλάλησε πρὸς αὐτόν, ἀλλά, πιστεύσας καὶ πληροφορηθείς, ἐποίησεν ὅσα προστακτικῶς παρήγγειλεν αὐτῷ, ἤγουν παρέλαβε τὴν ἁγίαν Παρθένον, μετὰ πάσης ἐπιμελείας τε καὶ εὐλαβείας περιποιούμενος καὶ ὑπηρετῶν αὐτήν· ὅτε δὲ ἔτεκε τὸν Σωτῆρα τοῦ κόσμου, τότε, κατὰ τὴν παραγγελίαν τοῦ Ἀγγέλου, ὠνόμασεν αὐτὸν Ἰησοῦν.
Σημείωσαι δέ, ὅτι καθὼς τό, Οὐκ ἀ- Γεν. η'.
νέστρεψεν ὁ κόραξ εἰς τὴν Κιβω- 7.
τόν, ἕως τοῦ ξηρανθῆναι τὸ ὕδωρ
ἀπὸ τῆς γῆς· καὶ τό, Ἰδού, ἐγὼ Ματ. κη'.
μεθ' ὑμῶν εἰμὶ πάσας τὰς ἡμέ- 20.
ρας, ἕως τῆς συντελείας τοῦ αἰῶ-
νος· καὶ τό, Κάθου ἐκ δεξιῶν μου, Ψαλ. ρθ'.
ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑ- 1.
ποπόδιον τῶν ποδῶν σου· σημαί-
νου-

νουσι τὸ διαπαντός· καθότι οὐδέ ποτε οὐδὲ ὁ κόραξ ἐπέστρεψεν εἰς τὴν Κιβωτὸν, οὐδὲ ὁ Ἰησοῦς ἐχωρίσθη ἀπὸ τῶν Ἀποστόλων, οὐδὲ ἐξέπεσεν ἀπὸ τῆς ἐκ δεξιῶν καθέδρας τοῦ Θεοῦ καὶ Πατρὸς αὐτοῦ· οὕτω καὶ τὸ, Οὐκ ἐγίνωσκεν αὐτὴν, ἕως οὗ ἔτεκε τὸν Υἱὸν αὐτῆς τὸν πρωτότοκον, σημαίνει, ὅτι οὐδέ ποτε ὁ Ἰωσὴφ συνεμίγη τῇ ἁγίᾳ Παρθένῳ· ἀλλ' αὐτὴ παρθένος ἦν καὶ πρὸ τόκου, καὶ ἐν τόκῳ, καὶ μετὰ τόκον, καὶ διαπαντός. Ἀκούων δὲ τὸ πρωτότοκος, μὴ νομίσῃς, ὅτι καὶ ἄλλα τέκνα ἐγέννησεν ἡ ὑπεραγία Θεοτόκος, διότι τὸ πρωτότοκος ὧδε οὐδὲν ἄλλο σημαίνει, εἰμὴ τὸ πρῶτος καὶ μονογενὴς καθὼς καὶ τὸ, Πρωτότοκος πάσης Κολασ. α. κτίσεως. 15.

# ΟΜΙΛΙΑ

### ΜΕΤΑ ΤΟ ΚΑΤΑ

# ΜΑΤΘΑΙΟΝ

## ΕΥΑΓΓΕΛΙΟΝ ΤΗΣ ΚΥΡ. ΠΡΟ ΤΗΣ ΧΡΙΣΤΟΥ ΓΕΝΝΗΣΕΩΣ.

Λαμπροὶ μὲν οἱ χαρακτῆρες τοῦ Ἰησοῦ Χριστοῦ, ὅσους ὁ Ἄγγελος ἐφανέρωσεν εἰς τὸν Ἰωσὴφ, πολλῷ δὲ λαμπρότεροι ἐκεῖνοι, ὅσους ὁ Ἀρχάγγελος Γαβριὴλ ἀνήγγειλεν εἰς τὴν ἁγίαν παρθένον Μαρίαν. Ἐὰν παραβάλῃς ὅσα εἶπεν ὁ Ἄγγελος πρὸς τὸν Ἰωσὴφ, μετ' ἐκείνων ὅσα ἐδηλοποίησεν ὁ Ἀρχάγγελος πρὸς τὴν Παρθένον, βλέπεις, ὅτι τὰ εὐαγγέλια τοῦ Ἀρχαγγέλου καθαρώτερα ἐφανέρωσαν τοῦ Ἰησοῦ Χριστοῦ τὴν Θεότητα· τοῦτο δὲ οὐκ ἔστι παράδοξον, διότι ὅσον ὑπερεῖχεν ἡ ἁγιότης τῆς Θεοτόκου τὴν ἀρετὴν τοῦ Ἰωσὴφ, τόσον καὶ τὰ πρὸς αὐτὴν εὐαγγέλια ὑπερέβησαν τὰ εἰς ἐκεῖνον εὐαγγελισθέντα.

Ὁ Ἄγγελος, φανεὶς κατ' ὄναρ εἰς τὸν Ἰωσὴφ, διώκει τῆς ἁμαρτίας τὸν φό-
Ματ. α. βον, εἰπών· Ἰωσὴφ, υἱὸς Δαβὶδ, μὴ
20. φοβηθῇς παραλαβεῖν Μαριὰμ τὴν γυναῖκά σου· ὁ Ἀρχάγγελος, παρασταθεὶς ἐνώπιον τῆς Παρθένου, ὅτε αὐτὴ ἦν ἔξυπνος, ἐξορίζει μὲν ἀπὸ τῆς ψυχῆς αὐτῆς τὸν φόβον τῆς ἀπάτης, διὰ
τοῦ λόγου· Μὴ φοβοῦ Μαριάμ· Λουκ. α.
πλὴν ἀναγγέλλει καὶ τὴν χάριν, τὴν ὁ- 30.
ποίαν αὐτὴ εὗρεν ἐνώπιον τοῦ Θεοῦ· Εὗρες γὰρ χάριν παρὰ τῷ Θεῷ· διώκει τὸν φόβον, πλὴν διώκει καὶ τὴν
λύπην, καὶ φέρει τὴν χαράν· Χαῖρε Αὐτ. 28.
Κεχαριτωμένη· κηρύττει τὴν ἕνωσιν τοῦ Θεοῦ μετὰ τοῦ ἀνθρώπου· Ὁ Κύριος μετὰ σοῦ, καὶ εὐαγγελίζει τὴν εὐλογίαν· Εὐλογημένη σὺ ἐν γυναιξί. Βλέπε δὲ πῶς ἡ μὲν σαρκικὴ προμήτωρ, ἡ Εὔα, διὰ τὴν ἁμαρτίαν αὐ-
τῆς, ἤκουσε τὸ, Πληθύνων πληθυνῶ Γεν. γ.
τὰς λύπας σου καὶ τὸν στεναγ- 16, 17.
μόν σου· ἐν λύπαις τέξῃ τέκνα· ἤκουσε τὸ, ἐπικατάρατος ἡ γῆ ἐν τοῖς ἔργοις σου· ἡ δὲ πνευματικὴ μήτηρ, ἡ Μαριὰμ, διὰ τὴν ὑπερβάλλουσαν αὐτῆς ἀρετὴν, ἐδέχθη τὸ ἀντίδοτον τῆς λύπης, ἤγουν τὴν χαρὰν, καὶ τῆς κατάρας τὸ βάλσαμον, ἤγουν τὴν εὐλογίαν· Χαῖρε Κεχαριτωμένη· ὁ Κύ-

ριος

ριος μετὰ σοῦ· εὐλογημένη σὺ ἐν
γυναιξίν.
Ὁ Ἄγγελος εἶπε συντόμως εἰς τὸν
Ἰωσὴφ, ὅτι τῇ δυνάμει τοῦ ἁγίου Πνεύ-
ματος ὁ Χριστὸς συνελήφθη εἰς τὴν κοι-
Ματ. ά. 20. λίαν τῆς μητρὸς αὐτοῦ· *Τὸ γὰρ ἐν αὐ-
τῇ γεννηθὲν ἐκ Πνεύματος ἐστὶν
ἁγίου*· ὁ Ἀρχάγγελος ἐφανέρωσε πλα-
τύτερον εἰς τὴν Παρθένον τῆς θείας ἐ-
νανθρωπήσεως τὸ ἔργον, εἰπὼν, ὅτι οὐ
μόνον τῇ ἐπελεύσει τοῦ ἁγίου Πνεύμα-
τος, ἀλλὰ καὶ τῇ δυνάμει τοῦ Θεοῦ καὶ
Πατρὸς ἐτελεσιουργήθη τῆς σαρκώσεως
Λουκ. ά. 35. τοῦ Λόγου τὸ μέγα μυστήριον· *Πνεῦ-
μα ἅγιον ἐπελεύσεται ἐπὶ σὲ, καὶ
δύναμις Ὑψίστου ἐπισκιάσει σοι.*
Ὁ Ἄγγελος ἐξεφώνησε τοῦ Χριστοῦ τὸ
Ματ. ά. 21. ὄνομα· *Τέξεται δὲ υἱὸν, καὶ καλέ-
σεις τὸ ὄνομα αὐτοῦ ΙΗΣΟΥΝ*· τὸ
αὐτὸ εἶπε καὶ ὁ Ἀρχάγγελος, πλὴν
προσέθηκεν, ὅτι ὁ Ἰησοῦς ἐστὶ μέγας
καὶ Υἱὸς Ὑψίστου, καὶ ὅτι ἡ βασιλεία
αὐτοῦ ἐστὶν αἰώνιος καὶ ἀτελεύτητος·
Λουκ. ά. 32, 33, *Οὗτος ἔσται μέγας, καὶ Υἱὸς Ὑ-
ψίστου κληθήσεται· καὶ δώσει
αὐτῷ Κύριος ὁ Θεὸς τὸν θρόνον
Δαβὶδ τοῦ πατρὸς αὐτοῦ· καὶ
βασιλεύσει ἐπὶ τὸν οἶκον Ἰακὼβ
εἰς τοὺς αἰῶνας, καὶ τῆς βασι-
λείας αὐτοῦ οὐκ ἔσται τέλος*· εἶ-
πε τέλος πάντων, ὅτι αὐτός ἐστιν ὁ Ἅ-
γιος, αὐτός ἐστιν ὁ Υἱὸς τοῦ Θεοῦ· *Διὸ
Αυτ. 35. καὶ τὸ γεννώμενον ἅγιον, κληθή-
σεται Υἱὸς Θεοῦ.*

Ὁ γεννηθεὶς λοιπὸν ἐκ τῆς Παρθένου ἐστὶν ὁ καθαιρέτης τῆς ἁμαρτίας, ὁ διώκτης τῆς λύπης, ὁ χορηγὸς τῆς χαρᾶς, ὁ διανομεὺς τῆς εὐλογίας, ὁ δοτὴρ τῆς χάριτος, ὁ Ἰησοῦς ὁ Σωτὴρ τοῦ κόσμου. Αὐτὸς ἐπελεύσει Πνεύματος ἁγίου, καὶ δυνάμει τοῦ Θεοῦ καὶ Πατρὸς ἐσυλλήφθη εἰς τὴν κοιλίαν τῆς μητρὸς, καὶ σάρκα ἐξ αὐτῆς λαβὼν ἐγεννήθη. Αὐτός ἐστιν ὁ μέγας, ὁ Υἱὸς τοῦ Ὑψίστου, ὁ Βασιλεὺς τῶν αἰώνων, ὁ ἔχων βασιλείαν ἀτελεύτητον. Αὐτός ἐστιν ὁ Ἅγιος, αὐτός ἐστιν ὁ Υἱὸς τοῦ Θεοῦ, αὐτός ἐστιν ὁ Θεὸς καὶ ἄνθρωπος. Οὗτοί εἰσιν οἱ λαμπροὶ χαρακτῆρες τοῦ Ἰησοῦ Χριστοῦ, τοὺς ὁποίους ἐζωγράφησαν οἱ ἅγιοι Ἄγγελοι· αὗται εἰσὶν αἱ μαρτυρίαι τῶν ἐπουρανίων Δυνάμεων, διὰ τῶν ὁποίων ἐμαρτυρήθη τοῦ Ἰησοῦ Χριστοῦ ἡ Θεότης πρὶν ἢ γεννηθῇ· μαρτυρίαι, αἵ τινες εὐφραίνουσι τὴν καρδίαν, καὶ πληροῦσι τὴν ψυχὴν τῶν ἀνθρώπων τῆς ἐλπίδος τῆς σωτηρίας. Ἐὰν ὁ μονογενὴς Υἱὸς τοῦ Θεοῦ κατῆλθεν ἀπὸ τοῦ ὕψους τῆς θείας αὐτοῦ δόξης εἰς τὸ βάθος τῆς ἀνθρωπίνης ταπεινώσεως, καὶ Θεὸς ὢν ἀληθινὸς,
*ἐκένωσεν ἑαυτὸν μορφὴν δούλου* Φιλιπ. β'. 7, 9.
*λαβών*· ἐὰν ἀνέλαβε *τὸ ὄνομα τὸ ὑ-
πὲρ πᾶν ὄνομα*, ἤγουν τὸ ΙΗΣΟΥΣ,
τουτέστι τὸ Σωτήρ· ἐὰν ἦλθεν *εἰς τὸν* Ἰωάν. γ'. 17.
*κόσμον, οὐχ ἵνα κρίνῃ τὸν κόσμον,* Α'. Τιμ. ά. 15.
*ἀλλ' ἵνα σωθῇ ὁ κόσμος δι' αὐτοῦ*·
ἐὰν *ἦλθεν εἰς τὸν κόσμον, ἁμαρ-
τωλοὺς σῶσαι*, χαίρετε λαοὶ καὶ ἀ-
γαλλιᾶσθε· χαρὰ ἐπέλαμψε καὶ ἀγαλλίασις καὶ σωτηρία εἰς πάντας τοὺς ἐν κόσμῳ ἀνθρώπους· ἐξηλείφθη ἡ ἁμαρτία, ἔπαυσεν ἡ λύπη, ἐλύθη ἡ κατάρα, ἐξήνθησεν ἡ εὐλογία, ἐκλείσθη ἡ θύρα τῆς κολάσεως, καὶ ἤνοιξεν ἐκείνη τοῦ παραδείσου· πάντες ἐσμὲν σεσωσμένοι, πάντες κληρονόμοι τῆς ἐπουρανίου βασιλείας·

Ἀλλ' ἐν τῷ μέσῳ ταύτης τῆς χα-
ρᾶς εὑρισκόμενος, ἀκούω τὴν φωνὴν ἑνὸς
δικαίου καὶ πνευματοφόρου ἀνδρὸς, τοῦ
Συμεὼν λέγω, ὅστις ἔλαβεν ἀποκάλυψιν
Πνεύματος ἁγίου, *μὴ ἰδεῖν θάνατον* Λουκ. β'. 26.
*πρὶν ἢ ἴδῃ τὸν Χριστὸν Κυρίου.*
Αὐτὸς, ὅτε ἴδεν αὐτὸν ὡς βρέφος, καὶ
ἐδέξατο αὐτὸν εἰς τὰς ἀγκάλας αὐτοῦ,
καὶ εἶπε τὸ, *Νῦν ἀπολύεις τὸν δοῦ-* Αυτ. 29.
*λόν σου, Δέσποτα, κατὰ τὸ ῥῆμά*

σου ἐν εἰρήνῃ, τότε, στραφεὶς πρὸς Μαριὰμ τὴν μητέρα αὐτοῦ, εἶπε ταῦτα
Λουκ. β΄. 34. τὰ ἀξιοσημείωτα λόγια· Ἰδοὺ οὗτος κεῖται εἰς πτῶσιν καὶ ἀνάστασιν πολλῶν ἐν τῷ Ἰσραὴλ, καὶ εἰς σημεῖον ἀντιλεγόμενον.

Σημεῖον ἀντιλεγόμενον· φανερὰ δὲ ἡ ἀντιλογία τούτου τοῦ σημείου. Ὁ Ἰησοῦς, ἐν οὐρανῷ ὑπὸ τῶν Ἀγγέλων ὡς παντοκράτωρ λατρευόμενος, ὁ αὐτὸς ἐπὶ γῆς ὑπὸ τῆς Παρθένου ὡς βρέφος σπαργανούμενος· πανταχοῦ παρὼν ὡς ἀπεριόριστος, ἐν τῷ Ἱερῷ ὡς περιοριστὸς ὑπὸ τοῦ Συμεὼν ἐναγκαλιζόμενος· ἐν τοῖς κόλποις τοῦ Πατρὸς ἄνω, ἐν ταῖς ἀγκάλαις τῆς Μητρὸς κάτω· ἄναρχος, καὶ ἐν χρόνῳ· ἄναρχος ὡς συνάναρχος τῷ ἀνάρχῳ Πατρί, ἐν χρόνῳ, ὡς γεννη-
Γαλ. δ΄. 4. θεὶς ἐκ μητρὸς, Ὅτε ἦλθε τὸ πλήρωμα τοῦ χρόνου· ἀόρατος, καὶ ὁρατός· ἀόρατος ὡς πνεῦμα, ὁρατὸς ὡς σάρξ· ἀψηλάφητος καὶ ψηλαφητὸς, ἀπρόσιτος καὶ προσιτὸς, ὁ αὐτὸς Θεὸς ὁμοῦ καὶ ἄνθρωπος. Ἰδοὺ τὸ ἀντιλεγόμενον σημεῖον, ἀντιλεγόμενον εἰς τὴν δύναμιν καὶ γνῶσιν καὶ διάθεσιν τοῦ ἀνθρώπου, μηδεμίαν ἀντιλογίαν ἔχον εἰς τὴν παντοδυναμίαν καὶ σοφίαν τοῦ Θεοῦ καὶ τὴν ἀγαθότητα.

Ἀλλὰ πῶς ὁ αὐτὸς κεῖται εἰς πτῶσιν, κεῖται καὶ εἰς ἀνάστασιν πολλῶν; ἤγουν πῶς ὁ αὐτὸς πτώσεως γίνεται αἴτιος καὶ ἀναστάσεως; Αὐτὸς μὲν οὐκ ἔστιν αἴτιος προσκόμματος, αὐτὸς οὐδένα κατακρημνίζει, ἀλλὰ, φῶς ὢν τοῦ κόσμου, φωτίζει πάντας, ἵνα ἀναστηθῶσιν ἀπὸ τοῦ σκότους τῆς ἀπιστίας, καὶ τοῦ βυθοῦ τῆς ἁμαρτίας. Ὁ ἥλιος, ἀνατέλλων, ἐφαπλοῖ τὰς ἀκτίνας αὐτοῦ πανταχοῦ· ὅσοι κλείουσι τὰ ὄμματα, ἐκεῖνοι οὐ βλέπουσι τὸ φῶς, ἀλλὰ διαμένουσιν ἐσκοτισμένοι· τίς δὲ ὁ αἴτιος τοῦ σκότους αὐτῶν; ὁ ἥλιος, ὅστις λάμπει, καὶ ἐπίσης φωτίζει πάντας, ἢ αὐτοὶ οἱ κλείοντες τὰ ὄμματα, καὶ μὴ θέλοντες ἰδεῖν τὸ φῶς; φανερὸν, ὅτι, οὐχὶ ὁ ἥλιος, ἀλλ᾽ αὐτοὶ, οἱ μὴ θέλοντες ἰδεῖν τὰς ἀκτίνας τοῦ φωτός. Ὁ ἥλιος ἀνατέλλων πέμπει πανταχοῦ τὸ φῶς· ἀλλ᾽ ὅσοι ἔχουσιν ἀσθένειαν εἰς τὰ ὄμματα, ἀτενίζοντες εἰς τὸ φῶς, βλάπτονται· τί δὲ τὸ αἴτιον τῆς βλάβης; τὸ φῶς, ἢ ἡ ἀσθένεια τῶν ὀμμάτων; φανερόν ἐστιν, ὅτι ἡ ἀσθένεια τῶν ὀμμάτων, καὶ οὐχὶ τὸ φῶς.

Ἀνέτειλεν ἐν Βηθλεὲμ τὸ φῶς τῆς χάριτος τοῦ Ἰησοῦ Χριστοῦ· ἡ ἐκ παρθένου μητρὸς γέννησις, ὁ λαμπρότατος καὶ ἀσυνήθης ἀστὴρ ὁ ἐπιφανεὶς ἐπάνω τοῦ σπηλαίου, ἡ δόξα τοῦ Κυρίου, ἥτις περιέλαμψε τοὺς ποιμένας, ὁ Ἄγγελος, ὅστις εὐηγγελίσατο αὐτοῖς χαρὰν μεγάλην, καὶ ἐφανέρωσεν εἰς αὐτοὺς τὸ σημεῖον τοῦ γεννηθέντος, εἰπών· Καὶ Λουκ. β΄. 12.
τοῦτο ὑμῖν τὸ σημεῖον· Εὑρήσετε βρέφος ἐσπαργανωμένον, κείμενον ἐν τῇ φάτνῃ· τὸ πλῆθος τῆς ἐπουρανίου στρατιᾶς τῶν ἁγίων Ἀγγέλων, τῶν αἰνούντων τὸν Θεὸν, καὶ λεγόντων· Δόξα ἐν ὑψίστοις Θεῷ, Αὐτ. 14.
καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία· οἱ ἀπὸ Ἀνατολῶν Βασιλεῖς, οἱ ἐλθόντες καὶ προσκυνήσαντες αὐτὸν, καὶ προσενέγκαντες αὐτῷ τὰ τίμια δῶρα, τὸν χρυσὸν ὡς εἰς Βασιλέα τοῦ παντὸς, τὸν λίβανον ὡς εἰς θνητὸν ἄνθρωπον, καὶ τὴν σμύρναν ὡς εἰς Θεὸν ἀθάνατον· ταῦτα πάντα ἦσαν φῶτα τοῦ ἡλιακοῦ φωτὸς ἀσυγκρίτως λαμπρότερα. Ὅταν δὲ αὐτὸς ἀνέτειλεν εἰς τὴν Ἱερουσαλὴμ, τότε τόσον ἔλαμψε τὸ φῶς τῆς ἐπουρανίου αὐτοῦ διδασκαλίας, ὥστε καὶ αὐτοὶ οἱ ἀποσταλέντες πιάσαι αὐτὸν, θαυμάσαντες, εἶπον· Οὐδέποτε οὕ- Ἰωάν. ζ΄. 46.
τως ἐλάλησεν ἄνθρωπος, ὡς οὗτος ὁ ἄνθρωπος· τότε τόσον ἐφωτοβόλησε τὸ πλῆθος τῶν ἐξαισίων αὐτοῦ θαυ-

θαυμάτων, ὥστε ἐθαύμαζον οἱ ὄχλοι,
Ματ. θ'. 33. λέγοντες· Ὅτι οὐδέ ποτε ἐφάνη οὕτως ἐν τῷ Ἰσραήλ. Ὅσοι ὅμως, διὰ τὴν ἀμέλειαν καὶ δυστροπίαν αὐτῶν, κλείσαντες τὰ ὄμματα, οὐκ ἠθέλησαν ἰδεῖν ταῦτα τὰ θεῖα φῶτα, ἐκεῖνοι οὐκ ἐπίστευσαν, ἀλλ' ἔμειναν εἰς τῆς ἀπιστίας τὸ σκότος, διὸ καὶ κατεκρίθη-
Ἰωάν. γ'. 18. σαν ἐπειδὴ ὁ μὴ πιστεύων, ἤδη κέκριται· ὅσοι δὲ ἐνητένισαν μὲν καὶ εἶδον τὸ φῶς, εἶχον δὲ τῆς ψυχῆς τὰ ὄμματα ἐσκοτισμένα ὑπὸ τῆς ὑπερηφανείας καὶ τοῦ φθόνου καὶ τῶν ἄλλων παθῶν, ἔβλαψαν ἑαυτοὺς βλάβην ὑπερβολικὴν καὶ αἰώνιον· διότι οὐ μόνον οὐκ ἐπίστευσαν, ἀλλὰ καὶ κατεδίωξαν, καὶ εἰς θάνατον κατεδίκασαν τὸν φωτοδότην Ἰη-
Αὐτ. ιθ'. 37. σοῦν· διὸ ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως ὄψονται εἰς ὃν ἐξεκέντησαν. Φανερὸν δὲ, ὅτι ἡ κακὴ προαίρεσις, καὶ τὰ ὀλέθρια πάθη, οὐχὶ δὲ τὸ ὑπέρλαμπρον φῶς τῆς θείας ἐνανθρωπήσεως, ἔβλαψεν αὐτούς.

Ἐκ τούτου καταλαμβάνομεν, ποῖοι, βλέποντες τοῦτο τὸ οὐράνιον φῶς, ἀνίστανται, καὶ ποῖοι πίπτουσιν· εἰς ποίους γίνεται ἀνάστασις, καὶ εἰς ποίους πτῶσις· ἀνάστασις εἰς τοὺς πιστεύοντας, πτῶσις εἰς τοὺς ἀπίστους· ἀνάστασις εἰς τοὺς φύλακας τῶν ἐντολῶν τοῦ ὑπὲρ ἡμῶν γεννηθέντος Χριστοῦ, πτῶσις εἰς τοὺς καταφρονητὰς τῶν θείων αὐτοῦ προσταγμάτων· ἀνάστασις εἰς τοὺς μετανοοῦντας, πτῶσις εἰς τοὺς ἀμετανοήτους.

Ἡμεῖς πιστεύομεν καὶ ὁμολογοῦμεν τῆς θείας ἐνανθρωπήσεως τὸ μυστήριον, τί ἄρά γε ἔσται ἡμῖν; πτῶσις, ἢ ἀνάστασις; πίπτομεν ἄρά γε, ἢ ἀνιστάμεθα; ἄρά γε μέλλει νὰ κολασθῶμεν καὶ ἡμεῖς, καθὼς καὶ οἱ ἄπιστοι, οἱ μὴ πιστεύοντες καὶ περιφρονοῦντες τοῦ θείου Λόγου τὴν σάρκωσιν; Τοῦτο κρέμαται ἀπὸ τῆς χάριτος τοῦ Θεοῦ, καὶ ἀπὸ τῆς θελήσεως ἡμῶν· ἐπειδὴ δὲ ἡ χάρις πάντοτε καὶ εἰς πάντας τοὺς θέλοντας τὴν σωτηρίαν αὐτῶν δίδοται πλουσία, ἐὰν θέλωμεν, ἡ χάρις συνεργεῖ, καὶ ἡμεῖς ἀνιστάμεθα καὶ σωζόμεθα. Ὅταν ἡμεῖς οἱ οὐτιδανοὶ καὶ εὐτελέστατοι, ἡμεῖς ὁ πηλὸς καὶ τὸ χῶμα, τῶν σκωλήκων τὸ βρῶμα, καὶ τοῦ ἀέρος ἡ δυσωδία, ἀνοίγωμεν τὰ ὄμματα, καὶ βλέποντες τὸν Δημιουργὸν τῆς κτίσεως, καὶ Δεσπότην πάντων τῶν ὁρατῶν καὶ ἀοράτων, ἐν εὐτελεῖ σπηλαίῳ κείμενον, καὶ ἐν φάτνῃ τῶν ἀλόγων ἀνακεκλιμένον, καὶ ὡς βρέφος ἐσπαργανωμένον, καὶ διακρίνοντες τὴν θείαν αὐτοῦ κένωσιν, καὶ τὴν ὑπερβάλλουσαν ταπείνωσιν, ἀποστρεφώμεθα τῆς ὑπερηφανείας τὴν ἁμαρτίαν, καὶ φρονοῦμεν πάντοτε μετὰ πάντων τὰ ταπεινά· ὅταν ἡμεῖς, ἐνατενίζοντες εἰς αὐτὸν, καὶ βλέποντες, ὅτι, διὰ τὴν ἀγάπην ἡμῶν τῶν ἁμαρτωλῶν καὶ ἐχθρῶν αὐτοῦ, γέγονεν ἄνθρωπος, καὶ ὑπέμεινε σταυρὸν καὶ θάνατον, ἀγαπῶμεν καὶ ἡμεῖς ἀλλήλους, καθὼς αὐτὸς ἠγάπησεν ἡμᾶς· ὅταν, λέγω, ἐνατενίζοντες εἰς αὐτὸν, καὶ βλέποντες τὸ φῶς τῶν ἐν αὐτῷ θείων ἀρετῶν, σπουδάζωμεν παντὶ τρόπῳ, ἵνα ἀκολουθῶμεν τοῖς ἴχνεσιν αὐτοῦ, τότε ἡ ἔνσαρκος αὐτοῦ οἰκονομία γίνεται ἀνάστασις τῶν ψυχῶν ἡμῶν.

Κύριε, Σωτὴρ φιλανθρωπότατε, καὶ Θεὲ τοῦ ἐλέους, πάντες θέλουσι τὴν ἀρετὴν, πάντες οἱ εἰς σὲ πιστεύοντες θέλουσι γενέσθαι φύλακες τῶν θείων σου προσταγμάτων· διότι τίς ἐστιν ἐκεῖνος ὁ ἄνθρωπος, ὅστις οὐ θέλει τὴν τιμὴν, τὴν δόξαν, τὴν βασιλείαν, τὴν ὁποίαν προξενεῖ ἡ ἀρετή; ἀλλ' ἡ θέλησις ἡμῶν ἐστιν ἀσθενὴς, νικᾶται ὑπὸ τῶν παθῶν τῆς σαρκὸς, φθείρεται ὑπὸ τῆς ματαιότητος τοῦ κόσμου, πλανᾶται ὑπὸ τῶν

πει-

πειρασμῶν τοῦ Διαβόλου. Σὺ εἶ Κύριε
Φιλιπ. β΄. 13. ὁ ἐνεργῶν ἐν ἡμῖν καὶ τὸ θέλειν·
Σὺ λοιπὸν, ὅστις, τοσοῦτον ἀγαπήσας ἡμᾶς, τοσοῦτον ἐταπεινώθης ὑπὲρ ἡμῶν, ἐνίσχυσον τὸ ἀσθενὲς τῆς θελήσεως ἡμῶν, καὶ ἐνδυνάμωσον αὐτὴν εἰς τὴν ἐργασίαν καὶ ἐκπλήρωσιν τῶν θείων ἐντολῶν σου· μὴ συγχωρήσῃς, ἵνα ἡ ἔνσαρκος οἰκονομία σου γένηται ἡμῖν τοῖς πιστεύουσιν εἰς σὲ εἰς πτῶσιν κολάσεως, ἀλλ' εὐδόκησον γενέσθαι αὐτὴν εἰς ἡμᾶς ἀνάστασιν ζωῆς αἰωνίου. Ἀμήν.

# ΕΡΜΗΝΕΙΑ

ΕΙΣ ΤΟ ΚΑΤΑ

# ΜΑΤΘΑΙΟΝ

## ΕΥΑΓΓΕΛΙΟΝ ΤΗΣ ΚΥΡ. ΜΕΤΑ ΤΗΝ ΧΡΙΣΤΟΥ ΓΕΝΝΗΣΙΝ.

Ὅταν ὁ Θεὸς ἔβαλεν εἰς τὸ στόμα τοῦ μάντεως Βαλαὰμ τὰς περὶ τοῦ μονογενοῦς Υἱοῦ αὐτοῦ Προφητείας, τότε αὐτὸς, μεταξὺ τῶν ἄλλων προφητικῶν λόγων, ἐξεφώνησε καὶ τὴν προφητείαν περὶ τοῦ ἀστέρος, ὅστις ἔμελλεν ὀφθῆναι εἰς τὸν καιρὸν, ἐν ᾧ ἐγεννήθη ὁ Κύριος ἡμῶν
Ἀριθ. κδ΄. 17. Ἰησοῦς Χριστός· Ἀνατελεῖ, εἶπεν, ἄστρον ἐξ Ἰακὼβ, ἀναστήσεται ἄνθρωπος ἐξ Ἰσραήλ. Ὁ Βασιλεὺς Βαλὰκ, ὅστις προσεκάλεσε τὸν Βαλαὰμ, ἵνα καταρασθῇ τὸν Ἰσραὴλ, πρὸς τοῖς ἄλλοις εἶπε παῤῥησίᾳ καὶ ταῦτα τὰ ἀ-
Αυτ. κβ΄. 6. ξιοσημείωτα λόγια· Ὅτι οἶδα οὓς ἂν εὐλογήσῃς σὺ, εὐλόγηνται, καὶ οὓς ἂν καταράσσῃ, κεκατήρανται. Ἐκ τῶν λόγων τούτων φαίνεται φανερὰ, ὅτι μεγάλην ὑπόληψιν εἶχον εἰς τοῦτον τὸν μάντιν πάντες οἱ κατοικοῦντες τὰ ἀνατολικὰ μέρη, οὐ μόνον δὲ οἱ πλησίον κατοικοῦντες, ἀλλὰ καὶ οἱ πολλὰ μακράν· διὸ ἐξάκουστον καὶ περιβόητον ἐγένετο εἰς πάντα τὰ μέρη ἐκεῖνα, ὅτι ὁ Βαλαὰμ ἀντὶ κατάρας εὐλογίαν ἔδωκεν εἰς τὸν λαὸν τοῦ Ἰσραήλ. Αἱ προφητεῖαι τοῦ Βαλαὰμ Θεοῦ συνεργείᾳ διεσώθησαν κατὰ παράδοσιν ἀλληλοδιάδοχον εἰς τὴν μνήμην τῶν ἐν τῇ Ἀνατολῇ Μάγων· ὅτε οὖν ἐφάνη ὁ ἀστὴρ ἐν τῇ Ἀνατολῇ, καὶ εἶδον αὐτὸν οἱ Μάγοι, τότε, ἑτοιμάσαντες δῶρα, ἦλθον εἰς προσκύνησιν τοῦ ὑπὸ τοῦ ἀστέρος καταγγελλομένου Ἰησοῦ Χριστοῦ· φθάσαντες δὲ εἰς τὰ Ἱεροσόλυμα, καὶ φανερώσαντες τὸν σκοπὸν αὐτῶν εἰς τὸν Ἡρώδην, ἔλαβον παρ' αὐτοῦ παραγγελίαν, ἵνα ἐξετάσωσι περὶ τοῦ Παιδίου, καὶ φανερώσωσιν εἰς αὐτὸν τὰ περὶ αὐτοῦ. Ἀνεχώρησαν οὖν ἐκεῖθεν, καὶ ὑπὸ τοῦ ἀστέρος ὁδηγούμενοι, ἔφθασαν εἰς τὴν οἰκίαν, ὅπου ἦν τὸ Ματ. β΄. 11.
παιδίον μετὰ Μαρίας τῆς μητρὸς αὐτοῦ· καὶ πεσόντες προσεκύνησαν αὐτῷ, ἀνοίξαντες δὲ τοὺς θησαυροὺς αὐτῶν, προσήνεγκαν αὐτῷ δῶρα, χρυσὸν, καὶ λίβανον, καὶ σμύρναν. Μετὰ δὲ ταῦτα Ἄγ- Αυτ. 12.
γελος Κυρίου, φανεὶς εἰς αὐτοὺς κατ' ὄναρ, προσέταξεν, ἵνα μὴ ἐπιστρέψωσι πρὸς τὸν Ἡρώδην, διὰ τοῦτο δι' ἄλλης ὁδοῦ ἀνεχώρησαν εἰς τὴν χώραν αὐτῶν. Καὶ ταῦτα μὲν συνέβησαν, πρὶν ἢ ἀναχωρήσωσιν οἱ Μάγοι ἀπὸ τῆς Βηθλεέμ, τὰ δὲ συμβάντα μετὰ τὴν ἀναχώρησιν τῶν Μάγων διηγεῖται τὸ σημε-

μερινὸν Εὐαγγέλιον, ἀρχόμενον οὕτως·

Ματ. β'. 13. Ἀναχωρησάντων τῶν Μάγων, ἰδοὺ, Ἄγγελος Κυρίου φαίνεται κατ' ὄναρ τῷ Ἰωσὴφ, λέγων· Ἐγερθεὶς, παράλαβε τὸ παιδίον, καὶ τὴν μητέρα αὐτοῦ, καὶ φεῦγε εἰς Αἴγυπτον· καὶ ἴσθι ἐκεῖ, ἕως ἂν εἴπω σοι· μέλλει γὰρ Ἡρώδης ζητεῖν τὸ παιδίον, τοῦ ἀπολέσαι αὐτό.

Μὴ νομίσῃς, ὅτι Μάγους λέγει τοὺς ποιοῦντας τὰς μαγείας καὶ γοητείας, διότι Μάγους οἱ Χαλδαῖοι ὠνόμαζον τοὺς σοφοὺς καὶ ἐπιστήμονας τοῦ τότε καιροῦ ἀνθρώπους· διὸ καὶ ὁ ἱερὸς Ματθαῖος, τοὺς ἄνδρας τοὺς ἐλθόντας εἰς προσκύνησιν τοῦ Χριστοῦ, Μάγους ὠνόμασε, κατὰ τὴν τοῦ τόπου αὐτῶν συνήθειαν. Ἀφ' οὗ δὲ οὗτοι, προσκυνήσαντες τὸν γεννηθέντα, καὶ προσαγαγόντες αὐτῷ τὰ δῶρα, ἀνεχώρησαν ἐκεῖθεν, τότε ἐφάνη ὁ Ἄγγελος εἰς τὸν Ἰωσὴφ, καὶ παρήγγειλεν αὐτῷ, ἵνα παραλάβῃ τὸ Παιδίον καὶ τὴν μητέρα αὐτοῦ, καὶ φυγὼν ἐκεῖθεν, ἔλθῃ εἰς τὴν Αἴγυπτον. Ἡ ὀπτασία καὶ ἡ παραγγελία τοῦ Ἀγγέλου πρὸς τὸν Ἰωσὴφ, ἔτι δὲ καὶ ἡ φανέρωσις τῆς θανατηφόρου ἐπιβουλῆς, τῆς ὑπὸ τοῦ Ἡρώδου μελετωμένης, διδάσκουσι τὴν ἰδιάζουσαν πρόνοιαν τοῦ Θεοῦ ὑπὲρ τῆς ἀνεπηρεάστου διατηρήσεως τοῦ γεννηθέντος Ἰησοῦ Χριστοῦ. Ἀλλὰ διατί ἡ τοσοῦτον σκληρὰ καὶ κοπιαστικὴ φυγὴ εἰς τὴν Αἴγυπτον, καὶ ἡ ἐκεῖθεν ἐπιστροφή; μήπως ὁ Θεὸς, παντοδύναμος ὢν, οὐκ ἠδύνατο κρύψαι τὸ παιδίον ἐκεῖ, ὅπου εὑρίσκετο, ἤγουν εἰς τὴν Βηθλεὲμ, καὶ διαφυλάξαι αὐτὸ ἐκεῖ ἀπὸ τῆς καταδρομῆς τοῦ Ἡρώδου; Ὁ Θεὸς ποιεῖ ὅσα βούλεται, ὅταν δὲ αὐτὸς θέλῃ, καὶ ἡ τάξις τῆς φύσεως νικᾶται καὶ παραχωρεῖ· τοῦτο δὲ ἐγένετο, ἵνα ἡμεῖς μάθωμεν, ὅτι θέλημα τοῦ Θεοῦ ἐστιν, ἵνα, ὅπου βλέπωμεν κίνδυνον, φεύγωμεν ἐκεῖθεν, καὶ δίδοντες τόπον τῇ ὀργῇ, μὴ γινώμεθα ῥιψοκίνδυνοι. Τοῦτο δὲ, ὅπερ ὁ Θεὸς ἐφανέρωσε διὰ τοῦ ἐμπράκτου παραδείγματος τοῦ μονογενοῦς Υἱοῦ αὐτοῦ, τοῦτο αὐτὸ διὰ λόγου ὁ προφήτης Ἡσαΐας ἐκήρυξεν, εἰπών· Βάδιζε λαός μου, εἴσελθε εἰς τὸ ταμεῖόν σου, ἀπόκλεισον τὴν θύραν σου, ἀποκρύβηθι μικρὸν ὅσον ὅσον, ἕως ἂν παρέλθῃ ἡ ὀργὴ Κυρίου. Τί δὲ ἐποίησεν ὁ Ἰωσὴφ, ἀφ' οὗ ἤκουσε τοῦτο τὸ πρόσταγμα τοῦ Ἀγγέλου;

Ἱερών. εἰς τὸν Δαν.

Ἡσ. κς'. 20.

Ματ. β'. 14. Ὁ δὲ, ἐγερθεὶς, παρέλαβε τὸ Παιδίον καὶ τὴν μητέρα αὐτοῦ νυκτὸς, καὶ ἀνεχώρησεν εἰς Αἴγυπτον· καὶ ἦν ἐκεῖ ἕως τῆς τελευτῆς Ἡρώδου· 15. Ἵνα πληρωθῇ τὸ ῥηθὲν ὑπὸ τοῦ Κυρίου διὰ τοῦ Προφήτου, λέγοντος· Ἐξ Αἰγύπτου ἐκάλεσα τὸν Υἱόν μου.

Βλέπε προθυμίαν ὑπακοῆς, καὶ ὑποταγὴν τελείαν. Οὐδὲ διάστημα τόπου, οὐδὲ ὁδοιπορίας κόπον, οὐδὲ τὴν πικρίαν τῆς ξενιτείας ἐστοχάσθη ὅλως ὁ μακάριος Ἰωσὴφ, ἀλλὰ χωρίς τινος ἀναβολῆς, εὐθὺς τὴν νύκτα ἐκείνην, καθ' ἣν ἐφάνη εἰς αὐτὸν ὁ Ἄγγελος, ἐγερθεὶς τοῦ ὕπνου, παραλαβὼν τὸ Παιδίον καὶ

τὴν

τὴν μητέρα αὐτοῦ, ἀνεχώρησεν εἰς τὴν Αἴγυπτον, καὶ ἔμεινεν ἐκεῖ ἕως οὗ ἀπέθανεν ὁ Ἡρώδης. Τοῦτο δὲ γέγονεν, ἵνα πληρωθῇ, λέγει, ὁ λόγος τοῦ Κυρίου, ὃν ἐλάλησεν ὁ Προφήτης· τίς δὲ ἐστιν οὗτος ὁ Προφήτης; καὶ τί προεφήτευσε; καὶ πῶς ἐπληρώθη ἡ προφητεία αὐτοῦ; Ὁ προφήτης ἐστὶν ὁ Ὠσηέ· αὐτὸς προεφήτευσε ταῦτα· Ὅτι νήπιος Ἰσραὴλ,

Ὠσ. ιά. 1. καὶ ἐγὼ ἠγάπησα αὐτὸν, καὶ ἐξ Αἰγύπτου μετεκάλεσα τὰ τέκνα

Ματ. β'. 19, 20. αὐτοῦ· ἐπληρώθη δὲ ἡ προφητεία αὕτη, ὅταν ὁ Θεὸς, διὰ τοῦ Ἀγγέλου τοῦ φανέντος τῷ Ἰωσὴφ εἰς τὴν Αἴγυπτον, καὶ παραγγείλαντος αὐτῷ, ἵνα παραλάβῃ τὸ Παιδίον καὶ τὴν μητέρα αὐτοῦ, καὶ ἐπιστρέψῃ εἰς τὴν γῆν Ἰσραὴλ, διότι τότε ὁ Θεὸς ἐκάλεσεν ἐξ Αἰγύπτου τὸν μονογενῆ αὐτοῦ Υἱόν. Σημείωσαι δὲ, ὅτι καθὼς ἡ μὲν νεφέλη, ἡ σκεπάζουσα τὸν λαὸν τοῦ Ἰσραὴλ, ὅτε ἐξῆλθεν ἐκ τῆς Αἰγύπτου, ἦν τύπος τοῦ ἁγίου Πνεύματος· ἡ δὲ ἐρυθρὰ θάλασσα, τοῦ ἁγίου

Α'. Κορ. ί. 4. Βαπτίσματος· ἡ δὲ ἀκολουθοῦσα πέτρα ἐσήμαινε τὸν Ἰησοῦν Χριστόν· οὕτω καὶ ἡ ἐκ τῆς Αἰγύπτου ἔξοδος τῶν υἱῶν Ἰσραὴλ διετύπωσε τὴν ἐκ τῆς Αἰγύπτου ἐξέλευσιν τοῦ Ἰησοῦ Χριστοῦ, καὶ τὴν ἐπιστροφὴν αὐτοῦ εἰς τὴν γῆν Ἰσραήλ· διὰ τοῦτο ὁ μὲν προφήτης Ὠσηὲ, προβλέπων ταύτην τοῦ Χριστοῦ τὴν ἐξέλευσιν ἐκ τῆς Αἰγύπτου, προεφήτευσεν αὐτὴν διὰ τοῦ προτυπώσαντος αὐτὴν τύπου· ὁ δὲ Εὐαγγελιστὴς Ματθαῖος, τὰ τυπικὰ τοῦ Ὠσηὲ λόγια διερμηνεύσας, ἀνέφερεν αὐτὰ εἰς τὸ σημαινόμενον αὐτῶν, καὶ εἰς τὸ ὑπ' αὐτῶν προτυπωθὲν ἔργον, διὸ καὶ εἶπεν, Ἐξ Αἰγύπτου ἐκάλεσα τὸν Υἱόν μου· τοῦτο δὲ ἐστι τὸ νόημα καὶ τὸ σημαινόμενον τῶν προφητικῶν τοῦ Ὠσηὲ λόγων. Ταῦτα δὲ εἰπὼν ὁ Εὐαγγελιστὴς, ἱστορεῖ ἔπειτα τὰ ὅσα συνέβησαν, ἀφ' οὗ ὁ Ἰωσὴφ μετὰ τοῦ Παιδίου καὶ τῆς μητρὸς αὐτοῦ ἦλθεν εἰς τὴν Αἴγυπτον.

Τότε Ἡρώδης, ἰδὼν, ὅτι ἐνεπαίχθη ὑπὸ τῶν Μάγων, ἐθυμώθη λίαν· καὶ ἀποστείλας, ἀνεῖλε πάντας τοὺς παῖδας τοὺς ἐν Βηθλεὲμ, καὶ ἐν πᾶσι τοῖς ὁρίοις αὐτῆς, ἀπὸ διετοῦς καὶ κατωτέρω, κατὰ τὸν χρόνον ὃν ἠκρίβωσε παρὰ τῶν Μάγων. Ματ. β'. 16.

Ὅταν οἱ Μάγοι ἦλθον εἰς τὴν Ἱερουσαλὴμ, ὡς ἀνωτέρω εἴπομεν, ζητοῦντες, Ποῦ ἐστὶν ὁ γεννηθεὶς Βασιλεὺς τῶν Ἰουδαίων· ὁ δὲ Ἡρώδης, Ματ. β'. 2.
προσκαλέσας τοὺς Ἀρχιερεῖς καὶ Γραμματεῖς τοῦ λαοῦ, καὶ ἐρευνήσας περὶ τούτου, καὶ εὑρὼν εἰς τὰ βιβλία τῶν Μιχ. έ. 2.
Προφητῶν, ὅτι ὁ Χριστὸς γεννᾶται ἐν Βηθλεὲμ, παρήγγειλεν εἰς τοὺς Μάγους, ἵνα, ἀκριβῶς ἐξετάσαντες περὶ τοῦ Παιδίου, ἀναγγείλωσιν αὐτῷ τὰ περὶ αὐτοῦ· τότε, ὡς φαίνεται, ὑπεσχέθησαν αὐτῷ οἱ Μάγοι, ὅτι μετὰ τὴν ἔρευναν ἐπιστρέψουσι πρὸς αὐτὸν, καὶ διηγηθήσονται τὰ περὶ τοῦ Παιδίου· καὶ εἶχον μὲν κατὰ νοῦν οἱ Μάγοι ἐκπληρῶσαι τὴν ὑπόσχεσιν αὐτῶν, λαβόντες δὲ πρόσταγμα ὑπὸ Θεοῦ, ἵνα μὴ ἐπιστρέψωσι πρὸς αὐτὸν, ἀνεχώρησαν δι' ἄλλης ὁδοῦ εἰς τὴν πατρίδα αὐτῶν· ὁ δὲ Ἡρώδης, ὅστις ἐνόμιζεν, ὅτι ὁ γεννηθεὶς Χριστὸς ἐστὶν ἐπίγειος Βασιλεὺς, καὶ ἐφοβεῖτο, μήπως ἐκθρονίσῃ αὐτὸν ἐκ τοῦ θρόνου αὐτοῦ, ὑποπτευθεὶς, ὅτι ἐνέπαιξαν αὐτὸν οἱ Μάγοι, τοσοῦτον ἐθυμώθη, ὥστε ἀπέστειλεν εὐθὺς πρόσταγμα, ἵνα φονεύσωσι πάντας τοὺς παῖδας, οὐ μόνον τοὺς ἐν

Βη-

Βηθλεέμ, ἀλλὰ καὶ τοὺς εἰς τὰ σύνορα αὐτῆς, τοὺς ἀπὸ δύω ἐτῶν καὶ κατωτέρω, κατὰ τὸν χρόνον, λέγει ὁ Εὐαγγελιστὴς, ὃν ἠκρίβωσε παρὰ τῶν Μάγων. Ἐκ τούτου φανερόν ἐστιν, ὅτι οἱ Μάγοι εἶπον πρὸς αὐτὸν, ὅτι ὁ ἀστὴρ πρὸ δύω ἐτῶν ἐφάνη εἰς τὴν Ἀνατολήν· τοῦτο δὲ ἐγένετο, ἵνα οἱ Μάγοι ἔχωσι καιρὸν καὶ συλλογισθῆναι περὶ τοῦ ἀστέρος, καὶ ἀποφασίσαι τὸ τί σημαίνει, καὶ ἑτοιμασθῆναι πρὸς τὴν τοιαύτην μακρὰν καὶ ἀγνώριστον ὁδοιπορίαν. Καὶ ποίαν μὲν ἡμέραν μετὰ τὴν Χριστοῦ γέννησιν ἔφθασαν οἱ Μάγοι εἰς τὴν Βηθλεέμ, καὶ προσκυνήσαντες αὐτὸν προσέφερον αὐτῷ τὰ δῶρα, ποίαν δὲ ἡμέραν ἀνεχώρησαν ἐκεῖθεν· ὁμοίως, μετὰ πόσας ἡμέρας μετὰ τὴν γέννησιν αὐτοῦ, ἀνεχώρησεν εἰς τὴν Αἴγυπτον ὁ Ἰωσὴφ μετὰ τοῦ Παιδίου καὶ τῆς μητρὸς αὐτοῦ, καὶ μετὰ πόσας πάλιν ἐπέστρεψεν ἐκεῖθεν, καὶ μετὰ πόσας ἐγένετο ἡ παιδοκτονία, οὐκ ἐφανέρωσαν οἱ ἅγιοι Εὐαγγελισταὶ, οἵτινες, ταῦτα σιωπήσαντες, εἶπον, ὅτι πρῶτον ἦλθον οἱ Μάγοι εἰς τὴν Βηθλεέμ, ἔπειτα, μετὰ τὴν τούτων ἀναχώρησιν, ὁ Ἰωσὴφ, παραλαβὼν τὸ Παιδίον καὶ τὴν μητέρα αὐτοῦ, ἦλθεν εἰς τὴν Αἴγυπτον, καὶ ἔμεινεν ἐκεῖ ἕως οὗ ἀπέθανεν ὁ Ἡρώδης, μετὰ δὲ τὸν ἐκείνου θάνατον, ἐπέστρεψεν εἰς τὴν γῆν Ἰσραήλ. Ἐπειδὴ δὲ ὁ Εὐαγγελιστὴς Λουκᾶς ἱστορεῖ, ὅτι τεσσαράκοντα ἡμέρας μετὰ τὴν Χριστοῦ γέννησιν παρέστησαν αὐτὸν οἱ γονεῖς αὐτοῦ εἰς τὸ ἐν Ἱερουσαλὴμ Ἱερὸν, καθὼς
Λουκ. β΄. 23. γέγραπται ἐν νόμῳ Κυρίου, φανερόν ἐστιν, ὅτι μετὰ τὰς τεσσαράκοντα ἡμέρας ἀπὸ τῆς γεννήσεως αὐτοῦ, ἤγουν ἀφ' οὗ παρέστησαν αὐτὸν εἰς τὸν Ναὸν, τότε κατέβησαν σὺν αὐτῷ εἰς τὴν Αἴγυπτον. Ὁ συγγραφεὺς τοῦ ἐκκλησιαστικοῦ Μηνολογίου διέταξε τὴν μὲν προσκύνησιν τῶν Μάγων κατ' αὐτὴν τὴν ἡμέραν, ἐν ᾗ ἐγεννήθη ὁ Χριστὸς, τὴν δὲ φυγὴν εἰς τὴν Αἴγυπτον τῇ ἐφεξῆς ἡμέρᾳ, τὴν δὲ παιδοκτονίαν τῇ τετάρτῃ ἡμέρᾳ μετὰ τὴν Χριστοῦ γέννησιν· πάντα δὲ ταῦτα πιθανά εἰσι, τοῦτο μόνον φαίνεται δύσκολον, πῶς δηλονότι ὁ Ἰωσὴφ σὺν τῷ Παιδίῳ καὶ τῇ μητρὶ αὐτοῦ ἐπέστρεψεν ἀπὸ τῆς Αἰγύπτου εἰς τὴν Ἱερουσαλὴμ πρὶν τῶν τεσσαράκοντα ἡμερῶν διὰ τὴν εἰς τὸ Ἱερὸν παράστασιν· μάλιστα, ἐπειδὴ κατωτέρω λέγει ὁ ἱερὸς Ματθαῖος, ὅτι, ἐπιστρέψαντες εἰς τὴν γῆν Ἰσραὴλ, καὶ φοβηθέντες ἀπελθεῖν εἰς τὴν Ἰουδαίαν διὰ τὸν ἐκεῖ βασιλεύοντα Ἀρχέλαον, ἀνεχώρησαν εἰς τὰ Ματ. β΄. 22, 23.
μέρη τῆς Γαλιλαίας, καὶ ἐλθόντες κατῴκησαν εἰς τὴν Ναζαρέτ. Ἄκουσον νῦν καὶ τὰ προφητευθέντα περὶ τῆς τῶν βρεφῶν σφαγῆς.

Τότε ἐπληρώθη τὸ ῥηθὲν ὑπὸ Αὐτ. β΄. 17.
Ἱερεμίου τοῦ προφήτου, λέ-
γοντος· Φωνὴ ἐν Ῥαμᾷ ἠ- 18.
κούσθη, θρῆνος καὶ κλαυθμὸς καὶ ὀδυρμὸς πολὺς, Ῥαχὴλ κλαίουσα τὰ τέκνα αὐτῆς· καὶ οὐκ ἤθελε παρακληθῆναι, ὅτι οὐκ εἰσί.

Τὸ Ῥαμὰ τόπος ἐστὶν ὑψηλὸς ἐν Χρυσ. εἰς τὴν Σειρ.
τῇ Παλαιστίνῃ, ὅστις ἐδόθη εἰς κλῆρον τῷ Βενιαμίν· ὁ δὲ Βενιαμὶν υἱὸς ἦν τῆς Γεν. λγ΄. 18, 19.
Ῥαχὴλ, ἥτις καὶ κατ' αὐτὴν τὴν ἡμέραν, καθ' ἣν ἐγέννησεν αὐτὸν, ἀπέθανεν ἐν τῇ Βηθλεέμ, καὶ ἐτάφη ἐκεῖ. Ἐπειδὴ δὲ τὰ νήπια, τὰ ὑπὸ τοῦ Ἡρώδου σφαγέντα, τέκνα ἦσαν τῶν ἐκ τῆς φυλῆς τοῦ Βενιαμὶν, διὰ τοῦτο ὁ Προφήτης Ἱερεμίας, προφητεύων περὶ τῆς σφαγῆς αὐτῶν, παρέστησε τὴν Ῥαχὴλ, τὴν πρώτην μητέρα ταύ-

ταύτης τῆς φυλῆς, ἀντὶ τῶν μητέρων, αἵτινες εἰς τὸν καιρὸν τῆς φονοκτονίας ἔκλαιον, καὶ ἐθρήνουν, καὶ ὠδύροντο ὑπὲρ τῶν τέκνων αὐτῶν. Ἐν Ῥαμᾷ δὲ εἶπεν, ἵνα παραστήσῃ, ὅτι τοσοῦτον μεγάλαι ἦσαν αἱ κλαυθμηραὶ φωναὶ τῶν μητέρων, ὥστε ἠκούσθησαν εἰς τὸν ὑψηλὸν τόπον Ῥαμά. Διατί δὲ ἀπαρηγόρητοι ἦσαν αἱ μητέρες, αἱ θρηνολογοῦσαι τὰ τέκνα αὐτῶν; Ὅτι οὐκ εἰσὶ, λέγει, ἤγουν διότι, ἀσθενεῖς καὶ ὀλιγόπιστοι οὖσαι, ἐνόμιζον, ὅτι ἀπώλοντο παντελῶς τὰ τέκνα αὐτῶν, καὶ οὐκ ἐπίστευον, ὅτι, κᾂν οὐκ ἔβλεπον αὐτὰ ἐν τῷ κόσμῳ τούτῳ, ἔζων ὅμως ἐκεῖνα ἐν τοῖς κόλποις τοῦ Ἀβραὰμ, καὶ ἐν τῇ δόξῃ τοῦ Θεοῦ. Σημείωσαι δὲ, ὅτι οὐδὲ κατ' εὐδοκίαν, οὐδὲ κατὰ συγχώρησιν, ἀλλὰ κατὰ παραχώρησιν καὶ ἐγκατάλειψιν Θεοῦ ὁ Ἡρώδης ἔπραξε ταύτην τὴν νηπιοκτονίαν· ἐγκατέλιπεν αὐτὸν ὁ Θεὸς, δείξας δὲ ἐκεῖνος τὴν ὠμότητα τῆς αὐτοπροαιρέτου αὐτοῦ γνώμης, ἔλαβε τὴν πρέπουσαν αὐτῷ τιμωρίαν.

Ματ. β'. Τελευτήσαντος δὲ τοῦ Ἡρώ-
19. δου, ἰδοὺ, Ἄγγελος Κυρίου
κατ' ὄναρ φαίνεται τῷ Ἰωσήφ,
20. λέγων· Ἐγερθεὶς, παράλαβε
τὸ Παιδίον καὶ τὴν μητέρα
αὐτοῦ, καὶ πορεύου εἰς γῆν
Ἰσραήλ· τεθνήκασι γὰρ οἱ
ζητοῦντες τὴν ψυχὴν τοῦ Παιδίου.

Ὁ Ἡρώδης, ὀλίγον διάστημα καιροῦ μετὰ τὴν ἄδικον καὶ ὠμοτάτην παιδοφονίαν, διὰ πυρετοῦ, καὶ δυσεντερίας, καὶ κνησμοῦ, καὶ ὄγκου ποδῶν, καὶ σήψεως τῶν ἀποκρύφων αὐτοῦ μελῶν, ἥτις προεξένει σκώληκας, καὶ διὰ δυσπνοίας καὶ σπασμοῦ τῶν μελῶν αὐτοῦ, καὶ δι' ἄλλων μυρίων ἀσθενειῶν βασανισθεὶς, ἀπέρρηξε τὴν ἐπάρατον αὐτοῦ ψυχὴν, ὡς
ἱστορεῖ ὁ Ἰώσηπος ὁ Φλάβιος. Τότε δὲ Ἰώσ. β.
ὁ Ἄγγελος Κυρίου, φανεὶς πάλιν κατ' ὄ- ά. κ. 21.
ναρ εἰς τὸν Ἰωσήφ, Ἀνάστα, εἶπε περὶ Ἰουδ. πολ.
πρὸς αὐτὸν, παράλαβε τὸ Παιδίον καὶ τὴν μητέρα αὐτοῦ, καὶ πορεύου εἰς γῆν Ἰσραήλ, διότι οἱ ζητοῦντες τὴν ψυχὴν τοῦ Παιδίου τεθνήκασιν, ἤγουν ἀπέθανεν ὁ Ἡρώδης, ὅστις ἐζήτει θανατῶσαι τὸ Παιδίον. Καὶ ὅτε μὲν ὁ Ἄγγελος ἀπέστελλε τὸν Ἰωσὴφ
ἀπὸ Βηθλεὲμ εἰς τὴν Αἴγυπτον, τότε
εἶπε πρὸς αὐτὸν, Φεῦγε εἰς Αἴγυπ- Ματ. β'. 13.
τον, ἤγουν σπεῦσον, τρέχε, ἵνα φύγῃς τὸν κίνδυνον· ὅτε δὲ ἀνεκάλεσεν αὐτὸν ἀπὸ τῆς Αἰγύπτου εἰς τὴν γῆν Ἰσραὴλ, τότε εἶπε πρὸς αὐτὸν, Πορεύου εἰς γῆν Ἰσραὴλ, τουτέστι μετὰ ἀνέσεως καὶ ἀφοβίας ἐλθὲ εἰς τῶν Ἰσραηλιτῶν τὴν γῆν, ἐπειδὴ ὁ διώκτης ἀπέθανεν.

Ὁ δὲ, ἐγερθεὶς, παρέλαβε τὸ Αὐτ. 21.
Παιδίον καὶ τὴν μητέρα αὐ-
τοῦ, καὶ ἦλθεν εἰς γῆν Ἰ-
σραήλ. Ἀκούσας δὲ, ὅτι Ἀρ- 22.
χέλαος βασιλεύει ἐπὶ τῆς Ἰου-
δαίας, ἀντὶ Ἡρώδου τοῦ πα-
τρὸς αὐτοῦ, ἐφοβήθη ἐκεῖ ἀπελθεῖν· χρηματισθεὶς δὲ κατ' ὄναρ, ἀνεχώρησεν εἰς τὰ μέρη τῆς Γαλιλαίας.

Ὁ Ἰωσήφ, κατὰ τὴν συνήθη ὑπακοὴν αὐτοῦ, παραλαβὼν τὸ Παιδίον καὶ τὴν μητέρα αὐτοῦ, ἀνεχώρησε μὲν ἀπὸ τῆς Αἰγύπτου, ἦλθε δὲ εἰς τὴν γῆν Ἰσρα-

σραὴλ, καθὼς παρήγγειλεν αὐτῷ ὁ Ἄγγελος Κυρίου· ἐπειδὴ δὲ ἤκουσεν, ὅτι ὁ Ἀρχέλαος, ὁ υἱὸς τοῦ Ἡρώδου, βασιλεύει εἰς τὴν Ἰουδαίαν ἀντὶ τοῦ πατρὸς αὐτοῦ, ἐφοβήθη ἐκεῖ ἐλθεῖν. Ὁ δὲ πανοικτίρμων Θεὸς, ἵνα ἡσυχάσῃ τὸν φόβον τῆς καρδίας αὐτοῦ, ἐξαπέστειλε πάλιν τὸν Ἄγγελον αὐτοῦ πρὸς αὐτὸν, ὅστις προσέταξεν αὐτῷ, ἵνα ὑπάγῃ εἰς τὴν Γαλιλαίαν. Ἦν δὲ τότε κύριος τῆς Γαλιλαίας ὁ Ἀντίπας ὁ Τετράρχης, υἱὸς καὶ αὐτὸς τοῦ Ἡρώδου, ὅστις, ἐν τῇ ἐσχάτῃ Διαθήκῃ αὐτοῦ, ἐμέρισε τὸ κράτος αὐτοῦ
Ἰωσ. β. εἰς τοὺς υἱοὺς αὐτοῦ τοιουτοτρόπως· τὸν
ιϛ´. κ. 10. μὲν Ἀρχέλαον κατέστησε Βασιλέα, τὸν
Ἀρχ. δὲ Ἀντίπαν, Τετράρχην τῆς Γαλιλαίας καὶ Περαίας, τὸν δὲ Φίλιππον, Τετράρχην τῆς Γαυλωνίτιδος, καὶ Τραχωνίτιδος, καὶ Πανιάδος, ἐδωρήσατο δὲ καὶ τῇ ἀδελφῇ αὐτοῦ Σαλώμῃ ἄλλους διαφόρους τόπους. Εἰς τὴν Γαλιλαίαν δὲ ἀπέστειλεν ὁ Ἄγγελος τὸν Ἰωσὴφ, καθότι εἰς μὲν τὴν Βηθλεὲμ καὶ τὰ περίχωρα αὐτῆς, ὁμοίως καὶ εἰς τὴν Ἰουδαίαν ὅλην γνωστὰ ἦσαν καὶ περιθρυλλούμενα καὶ τὰ περὶ τοῦ γεννηθέντος Παιδίου, καὶ ἡ ἔλευσις τῶν Μάγων ἐκεῖ, καὶ ὁ φόβος καὶ ὁ θυμὸς τοῦ Ἡρώδου, καὶ ἡ παιδοκτονία· εἰς δὲ τὴν Γαλιλαίαν, μακρὰν ἀπέχουσαν, μόλις φθάσασα ἡ φήμη τῶν τοιούτων πραγμάτων, ἔπαυσεν εὐθὺς μετὰ τὸν θάνατον τοῦ Ἡρώδου· διὸ καὶ οὐδεμία ἔρευνα ἐγίνετο ἐκεῖ περὶ τοῦ γεννηθέντος Παιδίου· πρὸς τούτοις ὁ Ἀντίπας, ὁ Ἡγεμὼν τῆς Γαλιλαίας, καὶ ἡμερώτερος καὶ ἐπιεικέστερος ἦν καὶ τοῦ πατρὸς καὶ τοῦ ἀδελφοῦ αὐτοῦ τοῦ Ἀρχελάου. Σημείωσαι δὲ, ὅτι εἰς τὴν Γαλιλαίαν ἐπέμφθη ὁ Ἰωσὴφ καὶ δι᾽ ἄλλον ὑψηλότερον λόγον, ἤγουν διὰ τὴν ἐκπλήρωσιν τῶν προφητικῶν λόγων, διότι ὁ Ἰωσὴφ, ἐλθὼν εἰς τὴν Γαλιλαίαν, κατῴκησεν εἰς μίαν τῶν ἐν αὐτῇ πόλεων, ἤγουν τὴν Ναζαρέτ.

Καὶ ἐλθὼν, κατῴκησεν εἰς πό- Ματ. β´. 23.
λιν λεγομένην Ναζαρέτ· ὅπως πληρωθῇ τὸ ῥηθὲν διὰ τῶν Προφητῶν, ὅτι Ναζωραῖος κληθήσεται.

Ἐὰν ταῦτα παραβάλῃς μετὰ τῶν λόγων τοῦ Εὐαγγελιστοῦ Λουκᾶ, συμπεραίνεις, ὅτι ὁ Ἰωσὴφ μετὰ τοῦ Παιδίου καὶ τῆς μητρὸς αὐτοῦ δὶς ἦλθον
εἰς τὴν Ναζαρέτ· πρῶτον μὲν πρὶν ἢ Χρυσ. εἰς
ἔλθωσιν εἰς τὴν Αἴγυπτον, ἤγουν εὐ- τὴν Σειρ.
θὺς μετὰ τὴν εἰς τὸ Ἱερὸν παράστασιν τοῦ Παιδίου· Καὶ ὡς ἐτέλεσαν, Λουκ. β´.
λέγει ὁ Λουκᾶς, ἅπαντα τὰ κατὰ 39.
τὸν νόμον Κυρίου, ὑπέστρεψαν εἰς τὴν Γαλιλαίαν εἰς τὴν πόλιν αὐτῶν ἀπὸ τῆς Αἰγύπτου· καὶ τὸ μὲν πρῶτον, ὀλίγον καιρὸν ἐκεῖ διέτριψαν, τὸ δὲ δεύτερον, κατῴκησαν ἐκεῖ, ὡς λέγει ὁ ἱερὸς Ματθαῖος· Καὶ ἐλθὼν, ἤγουν ὁ Ἰωσὴφ σὺν τῷ Παιδίῳ καὶ τῇ μητρὶ αὐτοῦ, κατῴκησεν εἰς πόλιν Ναζαρέτ. Τὴν δὲ προφητείαν ταύτην, Ὅτι Ναζωραῖος κληθήσεται, αὐταῖς λέξεσιν εἰς οὐδὲν τῶν σωζομένων προφητικῶν βιβλίων εὑρίσκεις, εἴτε ἐπειδὴ διὰ τοὺς συνεχεῖς πολέμους καὶ τὰς μετοικεσίας τῶν Ἰουδαίων ἀπωλέσθησάν τινα τῶν προφητικῶν βιβλίων· εἴτε ἐπειδὴ οἱ θεόπνευστοι Προφῆται ἀγράφως ἐκήρυξαν αὐτὰ, οἱ δὲ Ἑβραῖοι μόνον κατὰ ἀλληλοδιάδοχον παράδοσιν περιέφερον αὐτὰ ἐν τῷ στόματι αὐτῶν. Τοῦτο φαίνεται ἐκ τῆς δευτέρας πρὸς Τιμόθεον ἐπιστολῆς τοῦ Ἀποστόλου Παύλου, ὅστις ἐφανέρωσε τὰ ὀνόματα τῶν ἐπαναστάντων κατὰ τοῦ Μωϋσέως,
εἰπὼν, ὅτι οὗτοι ὠνομάζοντο Ἰαννῆς Β´. Τιμ. γ´.
καὶ Ἰαμβρῆς· ὁμοίως καὶ ἐκ τῆς ἐ- 8.
πιστολῆς τοῦ Ἀποστόλου Ἰούδα, ὅστις



ἱστά-

Ἰοὺδ. 9. 14. ἱστόρησε τὴν ἐπιτίμησιν τοῦ Ἀρχαγγέλου Μιχαὴλ κατὰ τοῦ Διαβόλου, ἔτι δὲ καὶ τὴν προφητείαν τοῦ Ἐνώχ· ἐπειδὴ δὲ ταῦτα οὐ περιέχονται ἐν ταῖς θείαις Γραφαῖς, φανερόν ἐστιν, ὅτι ἐκ παραδόσεως γινώσκοντες αὐτὰ ἔγραψαν. Καθὼς οὖν οὗτοι οἱ δύω Ἀπόστολοι ἐφανέρωσαν ταῦτα τὰ ἄγραφα, οὕτω καὶ ὁ Εὐαγγελιστὴς Ματθαῖος ἐδηλοποίησε ταύτην τὴν μὴ γραφεῖσαν προφητείαν. Ἐὰν δὲ, καταλιπὼν τὸ γράμμα, εἰσέλθῃς εἰς τὸ νόημα, ἤγουν εἰς τὴν σημασίαν τοῦ Ναζωραῖος, βλέπεις τὴν προφητείαν ταύτην εἰς τὸν Ἡσαΐαν, καὶ εἰς τὸν Δανιήλ. Δύω σημαινόμενα ἔχει τὸ Ναζωραῖος, σημαίνει Ἄνθος, σημαίνει καὶ Ἅγιος· καὶ τὸ μὲν Ἄνθος προεῖπε περὶ τοῦ Χριστοῦ ὁ Ἡσαΐας· Ἡσ. ια. 1. Καὶ ἐξελεύσεται ῥάβδος ἐκ τῆς ῥίζης Ἰεσσαὶ, καὶ ἄνθος ἐκ τῆς ῥίζης ἀναβήσεται· ἀληθῶς δὲ ἐκ τῆς ῥίζης τοῦ Ἰεσσαὶ ὁ Χριστὸς ἐβλάστησεν, ἐπειδὴ ἡ μήτηρ αὐτοῦ, ἡ ἁγία Παρθένος, ἐκ τῆς φυλῆς κατήγετο τοῦ Δαβὶδ, τοῦ υἱοῦ τοῦ Ἰεσσαὶ, καὶ ἄνθος δὲ ὑπῆρχεν, ὅπερ τῇ εὐωδίᾳ τῆς ἀρετῆς αὐτοῦ εὐώδιασε πᾶσαν τὴν οἰκουμένην· τὸ δὲ Ἅγιος προηγόρευσεν ὁ Προφήτης Δανιὴλ, εἰπών· Καὶ τοῦ Δαν. θ. 24. χρῖσαι Ἅγιον ἁγίων· τίς δὲ ἄλλος ὁ Ἅγιος τῶν ἁγίων, εἰμὴ αὐτὸς ὁ Ἰησοῦς Χριστὸς, ὁ τοῦ Θεοῦ μονογενὴς Υἱὸς καὶ Λόγος, ἡ πηγὴ τῆς ἁγιωσύνης, ὁ δι' ἡμᾶς σαρκωθεὶς, καὶ χρισθεὶς κατὰ τὴν σάρκα Πνεύματι ἁγίῳ, καὶ Χριστὸς ὀνομασθείς; Ἡ ἀνωτάτη οὖν καὶ πάνσοφος τοῦ Θεοῦ πρόνοια ᾠκονόμησεν, ἵνα ὁ Ἰησοῦς Χριστὸς, κατοικήσας εἰς τὴν Ναζαρὲτ, ὀνομασθῇ Ναζωραῖος, καθὼς προεφητεύθη ὑπὸ τῶν Προφητῶν· ὄνομα δὲ τοῦτό ἐστι, σημαῖνον καὶ τὸ ἄνθος τῶν χαρίτων αὐτοῦ, καὶ τὴν ἐκλάμψασαν ἐν τῷ κόσμῳ ἁγιωσύνην τῶν ἔργων αὐτοῦ.

# ΟΜΙΛΙΑ

ΜΕΤΑ ΤΟ ΚΑΤΑ

# ΜΑΤΘΑΙΟΝ

## ΕΥΑΓΓΕΛ. ΤΗΣ ΚΥΡ. ΜΕΤΑ ΤΗΝ ΧΡΙΣΤΟΥ ΓΕΝΝΗΣΙΝ.

Μεταξὺ τῶν ἄλλων ἀρετῶν, ὅσαι κατεστόλιζον τὴν ἁγίαν ψυχὴν τοῦ τρισμακαρίου Ἰωσὴφ, ἐξόχως ὑπερέλαμψεν ἐν τοῖς ἔργοις αὐτοῦ τῆς ὑπακοῆς ἡ ἀρετή. Κατ' ὄναρ ἐφάνη εἰς αὐτὸν ὁ Ἄγγελος, καὶ ὅταν, ταραχθεὶς, ἐζήτησεν ἀπολῦσαι ἀπὸ τῆς οἰκίας αὐτοῦ τὴν μνηστευθεῖσαν αὐτῷ ἀειπάρθενον Μαριὰμ, καὶ ὅταν ἐκέλευσεν αὐτῷ, ἵνα φύγῃ εἰς τὴν Αἴγυπτον· τὰ ἐν τῷ ὀνείρῳ ὁράματα ἐφανέρωσαν εἰς αὐτὸν πράγματα ἀσυνήθη, παράδοξα, καὶ ἀνήκουστα· Ματ. α. 20. Τὸ γὰρ ἐν αὐτῇ γεννηθὲν, ἔλεγεν αὐτῷ ὁ Ἄγγελος, ἐκ Πνεύματός ἐστιν ἁγίου· πράγματα κοπιαστικὰ καὶ κινδυνώδη καὶ δύσκολα· φυγὴ ἀπὸ τῆς πατρίδος εἰς τὴν ξένην γῆν, τὴν Αἴγυπτον, καὶ φυγὴ μετὰ φόβου καὶ τρόμου, διὰ τὸν διωγμὸν τοῦ Βασιλέως Ἡρώδου, ὅστις ἐζήτει τὴν ψυχὴν τοῦ Παιδίου·

δίου. Ἄλλος ἄνθρωπος δυσκολοϋπότακτος ὑπώπτευεν, ὅτι ἐκεῖνα τὰ ὁράματα ἦσαν ψιλὰ ὄνειρα, ἐδίσταζε περὶ τῆς τούτων ἐκβάσεως, ἀντέλεγε προφασιζόμενος τὴν δυσκολίαν, οὐκ ἐπείθετο, οὐδὲ ὑπήκουε τόσον ἐπιμελῶς καὶ προθύμως. Ὁ δὲ δίκαιος ἄνθρωπος, ὁ Ἰωσήφ, οὐδὲ ὑποψίαν ἔλαβεν, οὐδὲ λόγον ἐναντίον εἶπεν, οὐδὲ δισταγμὸς εἰσέβη εἰς τὴν ψυχὴν αὐτοῦ, ἀλλ' ἔχων ἐν τῇ καρδίᾳ αὐτοῦ τῆς ὑπακοῆς τὸν θησαυρόν, ἀνυπόπτως, καὶ εὐπειθῶς, καὶ ἀδιστάκτως ἐτέλεσεν εὐθὺς ὅσα ὁ Ἄγγελος προσέταξεν αὐτῷ. Διὰ ταύτην δὲ τὴν ἀρετὴν ἐκλέχθη ἐκ παντὸς τοῦ κόσμου, ὡς ἄξιος καὶ ἐπιτήδειος, ἵνα χρηματίσῃ καὶ φύλαξ τῆς ἁγίας Παρθένου, καὶ ὑπηρέτης τοῦ μεγάλου μυστηρίου τῆς ἐνανθρωπήσεως τοῦ Ἰησοῦ Χριστοῦ.

Πολλοὶ νομίζουσιν, ὅτι ἡ ὑπακοὴ ἐστιν ἀρετὴ μικρά, καὶ ὅτι οὐκ ἔστιν οὐδὲ ἀναγκαία πρὸς τὴν σωτηρίαν παντὸς ἀνθρώπου, οὐδὲ πρόξενος μεγάλων ἀνταποδόσεων καὶ βραβείων· καὶ ὅμως ἡ ὑπακοὴ ὑπερβαίνει πᾶσαν προσφορὰν καὶ θυσίαν, καὶ πᾶσαν ὁλοκαύτωσιν· καὶ ὅμως ἡ ὑπακοὴ μόνη ἐδυνήθη νὰ ἐξιλεώσῃ τὸν Θεόν, καὶ νὰ ἀναβιβάσῃ τὴν ἀνθρώπινον φύσιν εἰς τὸ ὑπερβάλλον τῆς θείας δόξης. Ἀκούσατε πόσον φανερὰ παρέστησεν ἐκεῖνο, ὅπερ λέγω, αὐτὸ τὸ Πνεῦμα τὸ ἅγιον διὰ στόματος τοῦ προφήτου Δαβίδ· Θυσίαν νομικήν, λέγει ὁ σεσαρκωμένος Λόγος πρὸς τὸν
Ψαλ. λθ'. 9. Θεὸν καὶ Πατέρα αὐτοῦ, Θυσίαν καὶ προσφορὰν οὐκ ἠθέλησας, ἀλλ' εὐδόκησας, ἵνα ἐγὼ σαρκωθῶ ὑπὲρ τῆς ἁμαρτίας τοῦ κόσμου· Σῶμα δὲ κατηρτίσω μοι· Σύ, λέγει, ὑπὲρ τῆς ἁμαρτίας τοῦ κόσμου ὁλοκαυτώματα οὐκ ἐζήτησας, ἀλλ' ἠθέλησας τὴν ὑπακοήν μου· ἰδοὺ λοιπὸν ἐγὼ ὑποτάσσομαι εἰς τὸ θέλημά σου, καθὼς διαλαμβάνει περὶ ἐμοῦ ἡ περίληψις παντὸς προφητικοῦ βι-
βλίου· Τότε εἶπον, Ἰδοὺ ἥκω· Ἐν Ψαλ. λθ'. 10, 11.
κεφαλίδι βιβλίου γέγραπται περὶ ἐμοῦ, τοῦ ποιῆσαι τὸ θέλημά σου ὁ Θεός μου ἠβουλήθην. Ἐπλήρωσε δὲ ἀληθῶς ὁ Θεάνθρωπος τοῦ Θεοῦ καὶ
Πατρὸς αὐτοῦ τὸ θέλημα, γενόμενος Φιλιπ. β'. 8, 9.
ὑπήκοος μέχρι θανάτου, θανάτου δὲ σταυροῦ. Δι' αὐτὴν δὲ τὴν ὑπακοὴν ὑπερυψώθη καὶ ὑπερεδοξάσθη ἡ ἀνθρώπινος αὐτοῦ φύσις· Διὸ καὶ ὁ Θεὸς αὐτὸν ὑπερύψωσε, καὶ ἐχαρίσατο αὐτῷ ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα. Ἔδειξε δὲ τὴν τελειότητα τῆς ὑπακοῆς ὁ Θεάνθρωπος, ὑποταχθεὶς οὐ μόνον εἰς τὸ θέλημα τοῦ Θεοῦ, ἀλλὰ καὶ εἰς τὴν βουλὴν τῶν ἀνθρώπων, διότι καὶ εἰς τὴν μητέρα αὐτοῦ, καὶ εἰς τὸν Ἰωσὴφ ἔδειξε πᾶσαν εὐπείθειαν καὶ ὑπα-
κοήν· Καὶ κατέβη, λέγει ὁ θεηγόρος Λουκ. β'. 51.
Λουκᾶς, μετ' αὐτῶν, καὶ ἦλθεν εἰς Ναζαρέτ· καὶ ἦν ὑποτασσόμενος αὐτοῖς. Οὐχὶ ἡμῖν! ὁ πανυπερτέλειος καὶ παντοδύναμος καὶ παντεξούσιος Θεὸς ὑπετάγη καὶ εἰς αὐτὸ τὸ πλάσμα αὐτοῦ· ἡμεῖς δὲ οἱ ἐμπαθεῖς, καὶ εὐτελεῖς, καὶ ἀδύνατοι οὐδὲ εἰς τὰς συμβουλὰς τῶν φρονιμωτέρων συναδελφῶν, οὐδὲ εἰς τὰς ἐπιταγὰς τῶν ἀρχόντων καὶ προεστώτων ὑποτασσόμεθα.

Ἀναβιβάσατε νῦν τὸν νοῦν ἡμῶν εἰς τὸν οὐρανόν, καὶ ἴδετε ποία ἦν ἡ ἐκεῖ κατάστασις εἰς τὴν ἀρχὴν τῆς δημιουργίας τοῦ κόσμου· ἐκεῖ ἦσαν πᾶσαι αἱ ἐπουράνιαι ταξιαρχίαι, ὅσας ὁ Θεὸς ἀπ' ἀρχῆς ἐποίησε, πνεύματα νοερά, οὐσίαι ἄϋλοι, φῶτα δεύτερα τῆς πρώτης λαμπρότητος· ἐκεῖ ἔλαμπεν ἡ ἡσυχία, ἐκεῖ ἐβασίλευεν ἡ εἰρήνη, ἐκεῖ περιήστραπτεν ἡ δόξα, καὶ ἡ χαρά, καὶ ἡ θεία μακαριότης, ἐπειδὴ ἐκεῖνα τὰ ἅγια πνεύματα εἶχον ἀφιερωμένον ὅλον τὸν νοῦν εἰς τὸν Θεόν, καὶ οὐδὲν ἄλλο ἐμε-

ἐμελέτων, εἰμὴ τὴν εὐπειθῆ καὶ ὑπήκοον λατρείαν τοῦ Δημιουργοῦ αὐτῶν καὶ Δεσπότου· ἀλλ' ἰδοὺ καὶ ἐκεῖ, φεῦ τῆς συμφορᾶς! Θόρυβος, ταραχὴ, καὶ σύγχυσις· πόθεν δὲ τοῦτο; ἐκ τῆς ἀνυποταξίας τοῦ Ἑωσφόρου· αὐτὸς, ἀποῤῥίψας τὸν γλυκύτατον τῆς ὑποταγῆς ζυγὸν, ἠθέλησεν, ἵνα ἀνέβῃ ἐπάνω πάντων τῶν Ἀγγελικῶν ταγμάτων, καὶ κατασταθῇ
Ἡσ. ιδ'. ὅμοιος τῷ Θεῷ· Ἀναβήσομαι, εἶπεν,
14. ἐπάνω τῶν νεφῶν, ἔσομαι ὅμοιος
Λουκ. ι'. τῷ Ὑψίστῳ· καὶ αὐτὸς μὲν, Σατα-
18. νᾶς γενόμενος, ἔπεσεν ἐκ τοῦ οὐρανοῦ,
τὸ δὲ τρίτον μέρος τῶν ἀστέρων, ἤγουν τῶν Ἀγγέλων, πλανηθὲν ὑπ' αὐτοῦ, ἔπεσε μετ' αὐτοῦ ἐκ τοῦ οὐρανοῦ, καὶ κα-
Ἀποκ. ιβ'. τεκρημνίσθη εἰς τὴν γῆν· Καὶ ἡ οὐ-
4. ρὰ αὐτοῦ σύρει τὸ τρίτον τῶν ἀστέρων, καὶ ἔβαλεν αὐτοὺς εἰς τὴν γῆν.

Εἰσέλθετε νῦν διὰ τοῦ νοὸς ἡμῶν εἰς τὸν παράδεισον· ἐκεῖ ὡραιότητες καὶ κάλλη πάντερπνα, ἐκεῖ τρυφὴ καὶ χαρὰ διηνεκὴς, ἐκεῖ ἡσυχία πάντων τῶν παθῶν βαθυτάτη, καὶ πνευματικὴ ἐργασία τῶν θείων ἐννοιῶν, ἐκεῖ ἡ συναναστροφὴ τῶν Ἀγγέλων, ἡ συνομιλία μετὰ τοῦ Θεοῦ, ἡ μακαρία ζωὴ, καὶ ἡ θεία χάρις, καὶ ἡ ἀληθὴς ἀνάπαυσις. Ταῦτα πάντα ἔδωκεν ὁ Θεὸς εἰς τοὺς δύω προπάτορας ἡμῶν, πλὴν ἔδωκεν αὐτοῖς καὶ ἐντολὴν, ἵνα δοκιμάσῃ τὴν ὑπακοὴν τῆς αὐτοπροαιρέτου γνώμης αὐτῶν. Καὶ ἐν ὅσῳ μὲν αὐτοὶ ὑπήκουον εἰς τὴν ἐντολὴν, ἀπελάμβανον πάντων τῶν ἐν τῷ παραδείσῳ ἀγαθῶν· ὅταν δὲ, ἁπλώσαντες τὰς χεῖρας εἰς τὸ ξύλον τῆς παρακοῆς, ἔφαγον ἐκ τοῦ καρποῦ αὐτοῦ, τότε, ὢ πόσον πλῆθος συμφορῶν περιεκύκλωσεν αὐτούς· τότε εὐθὺς ἦλθεν ὁ θάνατος τῆς ψυχῆς, ἤγουν ὁ χωρισμὸς τῆς χάριτος τοῦ Θεοῦ· τότε εὐθὺς ἠκολούθησεν ἡ ἐξορία ἐξ ἐκείνου τοῦ μακαρίου τόπου εἰς ταύτην τὴν κοιλάδα τοῦ κλαυθμῶνος, εἰς τὴν ὁποίαν καὶ ἡμεῖς οἱ ἀπόγονοι αὐτῶν κατοικοῦμεν· ἐξορία, λέγω, εἰς ταύτην τὴν γῆν, ἥτις βλαστάνει ἀκάνθας καὶ τριβόλους, ἤγουν πάσης θλίψεως καὶ στενοχωρίας καὶ ἀνάγκης εἶδος· εἰς αὐτὴν ἐν ἱδρῶτι τοῦ προσώπου ἐσθίομεν τὸν ἄρτον, εἰς αὐτὴν ὡς ἄγρια θηρία ἐξηγέρθησαν καθ' ἡμῶν τὰ πάθη τῆς ψυχῆς, τὰ πάθη τοῦ σώματος, τὰ πάθη τοῦ κόσμου, τὰ πάθη τοῦ Διαβόλου, τὰ ὁποῖα καταπικρὰν καὶ ὀδυνηρὰν ποιοῦσι τὴν ἀθλίαν ἡμῶν ζωήν· ἐν λύπαις γεννώμεθα, καὶ ἐν λύπαις τελευταῖον ἀποθνήσκομεν. Μία ἀρετὴ, ἡ ὑπακοὴ, ἔφερεν εἰς τὸν ἄνθρωπον πᾶσαν εὐτυχίαν, καὶ πάντα τὰ ἀγαθά· μία ἁμαρτία, ἡ παρακοὴ, ἐπεσώρευσεν εἰς τὸν ἄνθρωπον πᾶσαν δυστυχίαν, καὶ πάντα τὰ κακά.

Βλέπομεν τοῦτο ὀφθαλμοφανῶς, καὶ αἰσθανόμεθα διὰ πασῶν τῶν αἰσθήσεων. Εἴσελθε εἰς μίαν πολυάνθρωπον οἰκίαν· ἐὰν ὁ μὲν οἰκοδεσπότης ὑποτάσσηται εἰς τοῦ Θεοῦ τὰ προστάγματα, οἱ δὲ συγγενεῖς καὶ οἱ δοῦλοι εἰς τὸν οἰκοδεσπότην, βλέπεις εἰς τὴν οἰκίαν ἐκείνην ἀγάπην καὶ συμφωνίαν μεταξὺ ἀνδρὸς καὶ γυναικὸς, ἀνατροφὴν καὶ παιδαγωγίαν τῶν τέκνων ἐπαινετὴν καὶ καλὴν, προθυμίαν εἰς τοὺς δούλους καὶ ἐπιμέλειαν, τάξιν καὶ εὐπρέπειαν εἰς πᾶσαν τὴν οἰκονομίαν. Ἐὰν δὲ ὁ μὲν οἰκοδεσπότης παραβαίνῃ τοῦ Θεοῦ τὰς ἐντολὰς, οἱ δὲ συγκάτοικοι οὐδεμίαν ὑπακοὴν δεικνύουσιν εἰς αὐτὸν, ἐκεῖ βλέπεις καὶ τοὺς συζύγους ἀσυμφώνους καὶ μαχομένους, καὶ τὰ τέκνα ἀπαίδευτα καὶ ἄτακτα, καὶ τοὺς δούλους ἐλαττωμάτων καὶ ἀμελείας πλήρεις, καὶ πᾶσαν τὴν τοῦ οἴκου οἰκονομίαν ἠμελημένην καὶ ἐφθαρμένην. Εἴσελθε εἰς τὴν Ἐκκλησίαν· ἐὰν ὁ προεστὼς καταστα-

θῇ

θῇ παράδειγμα τῆς πρὸς Θεὸν ὑπακοῆς, οἱ δὲ λοιποὶ ἐκκλησιαστικοὶ προσφέρουσιν εἰς αὐτὸν τὴν πρέπουσαν εὐπείθειαν, βλέπεις εἰς τὴν Ἐκκλησίαν ἐκείνην τὴν διατήρησιν τῶν θείων νόμων καὶ τῶν κανόνων, τὴν εὐταξίαν εἰς πάσας τὰς ἐκκλησιαστικὰς τελετάς, τὴν ἐπιμέλειαν ὑπὲρ τῆς τῶν ἀνθρώπων σωτηρίας, τὸ φῶς πάσης ἀγαθοεργίας καὶ ἀρετῆς. Ἐὰν δὲ ὁ μὲν προεστὼς τρέχῃ τὸν δρόμον τῆς παρακοῆς τῶν νόμων τοῦ Θεοῦ, οἱ δὲ ἐκκλησιαστικοὶ ἀποστρέφονται τὴν πρὸς αὐτὸν ὑποταγήν, τότε ἐκεῖ κυριεύει ἡ περιφρόνησις καὶ τοῦ νόμου τοῦ Θεοῦ καὶ τῶν ἐκκλησιαστικῶν κανόνων, καὶ ἡ ἀταξία εἰς πάσας τὰς ἐκκλησιαστικὰς ἀκολουθίας, καὶ ἡ ἀμέλεια τῆς σωτηρίας τῶν ψυχῶν, καὶ τὸ σκότος πάσης πονηρᾶς πράξεως καὶ ἁμαρτίας. Εἴσελθε εἰς μίαν πόλιν· ἐὰν ὁ μὲν Βασιλεὺς ὑπακούῃ εἰς τὸν Θεόν, τὸ δὲ ὑπήκοον εἰς τὸν Βασιλέα, εἰς τὴν πόλιν ἐκείνην παύει πᾶσα καταδυναστεία, πολιτεύεται ἡ δικαιοσύνη, λάμπει ἡ μεταξὺ ἀλλήλων ἀγάπη, ἐνεργοῦνται πάντες οἱ νόμοι· ἡ ἐμπορία, ὁ στρατός, ὁ στόλος, αἱ τέχναι, αἱ ἐπιστῆμαι, πάντα τὰ ἀγαθά, καὶ πᾶσα εὐτυχία ἐκεῖ ἀκμάζει. Ἐὰν δὲ ὁ μὲν Βασιλεὺς παρακούῃ τοῦ Θεοῦ, τὸ δὲ ὑπήκοον τοῦ Βασιλέως, τίς δύναται νὰ παραστήσῃ τὰς καταδυναστείας, τὰς ἀδικίας, τὰς ἀλληλομαχίας, τὰ σκάνδαλα, καὶ τὴν ἀνομίαν τῆς πόλεως ἐκείνης; ἐκεῖ τὰ ἐμπόρια ἄπιστα, οἱ στρατιῶται ὅμοιοι τοῖς λῃσταῖς, οἱ ναῦται σύντροφοι τῶν πειρατῶν· ἐκεῖ αἱ τέχναι μαραίνονται, καὶ αἱ ἐπιστῆμαι φεύγουσιν, ἐκεῖ ὑπερπλεονάζουσι πάντα τὰ ἁμαρτήματα καὶ αἱ συμφοραί.

Ὑπακοὴ λοιπόν, σὺ ὑπάρχεις ἀρετὴ μεγάλη καὶ θαυμασία· ὅταν σὺ ἔλειψες, ἐσάλευσεν ὁ οὐρανός, ὅταν σὺ ἔφυγες, ἐκλείσθη ὁ παράδεισος, ὅταν σὺ ἐκρύβης, κατεποντίσθη ὁ ἄνθρωπος εἰς τὴν ἄβυσσον τῶν δυστυχιῶν· ὅταν σὺ βασιλεύῃς, τότε εὐτυχοῦσιν αἱ βασιλεῖαι, καὶ αἱ πόλεις, καὶ αἱ οἰκίαι, καὶ τῶν ἀνθρώπων αἱ ὁμηγύρεις, τότε ἐνεργεῖται τῶν Ἐκκλησιῶν ἡ ἀρετὴ καὶ ἁγιωσύνη, τότε, φυλάττοντες οἱ ἄνθρωποι τοὺς νόμους τοῦ Θεοῦ, γίνονται φίλοι καὶ υἱοὶ αὐτοῦ, καὶ ἀναβαίνουσιν εἰς ἐκείνην τὴν δόξαν, ἐκ τῆς ὁποίας ἐξέπεσον. Ἡ παρακοὴ τοῦ Ἀδὰμ κατέστησε πάντας τοὺς ἀνθρώπους ἁμαρτωλούς, ἡ ὑπακοὴ τοῦ Χριστοῦ κατέστησε πάντας τοὺς εἰς αὐτὸν πιστεύοντας καὶ ὑπακούοντας δικαίους καὶ ἁγίους· Ὥσπερ γὰρ διὰ Ῥωμ. ε'. 19.
τῆς παρακοῆς τοῦ ἑνὸς ἀνθρώπου ἁμαρτωλοὶ κατεστάθησαν οἱ πολλοί, οὕτω καὶ διὰ τῆς ὑπακοῆς τοῦ ἑνὸς δίκαιοι κατασταθήσονται οἱ πολλοί.

Πόθεν οὖν οἱ ἄνθρωποι καταφρονοῦσι τόσον εὔκολα μίαν ἀρετήν, τόσον ἀναγκαίαν καὶ ὠφέλιμον; πόθεν ἐγὼ παρακινούμενος οὐχ ὑποτάσσομαι εἰς τοὺς προεστῶτας; Ἐγὼ φαντάζομαι, ὅτι εἰμὶ σοφώτερος, καὶ ἔχω νοῦν διακριτικώτερον, ἢ ὅτι εἰμὶ ἀγαθώτερος καὶ εὐσπλαγχνικώτερος τοῦ προεστῶτος, ἢ ὅτι ἐγώ εἰμι μέγας καὶ ἔνδοξος, ἐκεῖνος δέ ἐστι μικρὸς καὶ εὐτελέστατος· ὅθεν καταφρονῶ τὰ προστάγματα αὐτοῦ ὡς ἀδιάκριτα καὶ παράλογα, ἢ ὡς βλαβερὰ καὶ ἀπάνθρωπα, ἢ ὡς εὐτελῆ καὶ ἀχρεῖα· τοῦτο δὲ τί ἄλλο ἐστίν, εἰμὴ ὑπερηφάνεια γυμνή; αὐτὴ οὖν ἐξωθεῖ με ἐκ τῆς καταστάσεώς μου, ἐκ τῆς τάξεως δηλαδὴ τοῦ ὑποτακτικοῦ, καὶ χειροτονεῖ με κριτὴν τοῦ προέδρου μου· ἐκ τούτου, ἀντὶ νὰ ὑπακούω κατὰ τὸ χρέος μου εἰς τὸν προεστῶτά μου, ἀνακρίνω αὐτόν, καὶ κατακρίνω ὡς ἀμαθῆ καὶ ἀδιάκριτον, ὡς ἐστερημένον τῆς ἀρετῆς, καὶ ὡς εὐτελῆ καὶ οὐτιδανόν. Ἡ ὑπερηφάνεια ἐστὶν ἡ

μήτηρ τῆς ἀνυποταξίας, ἡ δὲ ταπείνωσις ἐστὶ τῆς ὑπακοῆς ἡ πηγή· διὰ τοῦτο ὁ τρισμακάριος Παῦλος, λαλῶν περὶ τῆς ὑπακοῆς τοῦ Χριστοῦ, προέταξε τὴν ταπείνωσιν τῆς ὑπακοῆς αὐτοῦ·
Φιλιπ. β'. 8.
Ἐταπείνωσεν ἑαυτὸν, λέγει, γενόμενος ὑπήκοος μέχρι θανάτου, θανάτου δὲ σταυροῦ. Ἀναβαίνει δὲ ἡ τοιαύτη ὑπερηφάνεια ἕως ἐκεῖ, ὅπου καὶ οἱ Ἄγγελοι φρίττουσιν ἐνατενίσαι. Τινὲς ἄφρονες καὶ μωροὶ, ἀποτολμῶντες, γίνονται κριταὶ καὶ αὐτοῦ τοῦ ὑψίστου Θεοῦ· ὅθεν κάθηται ὁ ἄνθρωπος, ὁ σκώληξ τῆς γῆς, ἐπὶ θρόνου κρίσεως, καὶ ἀνακρίνων τὴν ἄπειρον σοφίαν καὶ τὴν πρόνοιαν καὶ φιλανθρωπίαν τοῦ Δημιουργοῦ τῆς κτίσεως, κατακρίνει καὶ καταδικάζει τὰ προστάγματα αὐτοῦ ὡς βαρέα καὶ δύσκολα· ὑπὸ τούτων δὲ τῶν διαβολικῶν φαντασιῶν νικώμενος, γίνεται παρήκοος, σχεδὸν χωρὶς ἐλέγχου συνειδήσεως, ἐπειδὴ, φρονῶν, ὅτι οἱ θεῖοι νόμοι εἰσὶ βαρεῖς καὶ δύσκολοι, ἀποφασίζει, ὅτι οὐδὲν ἢ πολλὰ ὀλίγον ἁμαρτάνει, ὅστις αὐτοὺς παραβαίνει.

Ὁ ἄνθρωπος ὁ ταπεινόφρων, ἀπέχων ἀπὸ τῶν τοιούτων ὑπερηφάνων λογισμῶν, καὶ σατανικῶν φαντασιῶν, ὅσον ἀπέχει ὁ οὐρανὸς ἀπὸ τῆς γῆς, καὶ ἐνθυμούμενος, ὅτι πᾶσα ψυχὴ χρέος ἔχει, ἵνα ὑποτάσσηται εἰς τοὺς ἐξουσιαστὰς, καὶ ὅτι οἱ προεστῶτες εἰσὶν ὑπὸ τοῦ
Ῥωμ. ιγ'. 1, 2,
Θεοῦ διατεταγμένοι, καὶ ὅτι ὁ ἀντιτασσόμενος τῇ ἐξουσίᾳ, τῇ τοῦ Θεοῦ διαταγῇ ἀνθέστηκεν· οἱ δὲ ἀνθεστηκότες, ἑαυτοῖς κρῖμα λήψονται· λογιζόμενος δὲ ἑαυτὸν ἔσχατον πάντων τῶν ἄλλων, οὐκ ἀνακρίνει τοὺς προεστῶτας, ἀλλὰ μετὰ χαρᾶς καὶ εὐπειθείας ὑποτάσσεται εἰς αὐτούς· πεπεισμένος δὲ ὢν, ὅτι καὶ ὑπερτέλεια καὶ σωτηριωδέστατα εἰσι πάντα τὰ προστάγματα τοῦ πανυπερτελείου καὶ πανυπεραγάθου Θεοῦ, μετὰ πολλῆς εὐλαβείας ὑπακούει εἰς αὐτά· ἐὰν δέποτε παρακούσῃ, οὐ συλλογίζεται, ὅτι παρήκουσεν, ἐπειδὴ ἐκεῖνά εἰσι βαρέα καὶ δύσκολα, ἀλλ' ἐπειδὴ αὐτός ἐστι κακοπροαίρετος καὶ δύστροπος· ὅστις λοιπὸν ἔχει τὴν ταπείνωσιν, ἐκεῖνος ἔχει καὶ τὴν ὑπακοήν.

Σημειώσατε δὲ, ὅτι ἄλλη μὲν ὑπακοή ἐστιν ἀναγκαστικὴ, ἄλλη δὲ προαιρετική. Ἡ πρώτη οὐκ ἔστιν ἀρετὴ, ἐπειδὴ οὐκ ἔστιν ἔργον τῆς προαιρέσεως, ἀλλὰ τοῦ φόβου, οὐκ ἔστι καρπὸς τῆς ἀγαθότητος καὶ ταπεινοφροσύνης, ἀλλὰ τῆς βίας καὶ τῆς ἀνάγκης· ὑπακούεις εἰς τὸν δυνάστην, ἵνα φύγῃς τὰς πληγὰς, καὶ ἐλευθερωθῇς ἀπὸ τῆς δυναστείας, διὰ τοῦτο ἡ τοιαύτη ὑπακοὴ οὐδένα ἔχει μισθόν. Ἡ δευτέρα, ἤγουν ἡ ὑπακοὴ ἡ προαιρετικὴ, ἐστὶν ἔργον οὐχὶ τῆς βίας, ἀλλὰ τῆς συγκαταθέσεως τῆς ψυχῆς, οὐχὶ τῆς δυναστείας, ἀλλὰ τῆς ταπεινοφροσύνης· ὅθεν αὐτή ἐστιν ἡ ἀληθινὴ ὑπακοὴ, αὐτὴ πρέπει εἰς τοὺς Χριστιανοὺς, αὐτὴ ἔχει τὰς ἐπουρανίους καὶ τὰς ἐπιγείους μισθαποδοσίας. Ὅσοι οὖν θέλετε τὴν σωτηρίαν τῆς ψυχῆς ὑμῶν, καὶ τὴν ἐν τῷ κόσμῳ τούτῳ εὐτυχίαν, ἐκδιώξατε μακρὰν ἀπὸ τοῦ νοὸς τὴν ὑψηλοφροσύνην, ἵνα ἔλθῃ εἰς τὴν καρδίαν ὑμῶν ἡ μεγάλη καὶ σωτήριος ἀρετὴ τῆς ὑπακοῆς. Πάντες, πάντοτε, καὶ ἐν πᾶσιν ὑποτάγητε εἰς τοῦ Θεοῦ τὸ θέλημα·
Πάντες ὑποτάγητε ἀλλήλοις ἐν Ἐφεσ. ε'. 21.
φόβῳ Θεοῦ· αἱ γυναῖκες ὑποτάγητε εἰς τοὺς ἰδίους ἄνδρας, τὰ τέκνα εἰς τοὺς γονεῖς, οἱ νέοι εἰς τοὺς γέροντας, οἱ δοῦλοι εἰς τοὺς δεσπότας, οἱ ὑπήκοοι εἰς
τοὺς Ἡγεμόνας καὶ προέδρους· Ὑπο- Α'. Πέτρ. β'. 13, 14.
τάγητε πάσῃ ἀνθρωπίνῃ κτίσει διὰ τὸν Κύριον· εἴτε Βασιλεῖ ὡς ὑπερέχοντι· εἴτε Ἡγεμόσιν ὡς δι' αὐτοῦ πεμπομένοις εἰς ἐκδί-

κη-

κησιν μὲν κακοποιῶν, ἔπαινον δὲ ἀγαθοποιῶν· ὑποτάγητε εἰς τοὺς ἐξουσιαστὰς καὶ προεστῶτας, ὅτι οὕτως ἐστὶ τὸ θέλημα τοῦ Θεοῦ· μὴ προφασίζεσθε τὴν ἐλευθερίαν, λέγοντες, ὅτι ἐσμὲν ἐλεύθεροι, καὶ οὐκ ἔχομεν χρέος ὑπακοῆς· ὡς ἐλεύθεροι ὑποτάγητε, καὶ μὴ ἀνυποτακτῆτε, ἔχοντες τὴν ἐλευθερίαν ὡς ἐπικάλυμμα τῆς κακίας· ὑποτάγητε δὲ, κᾂν πονηροὶ ὦσιν οἱ προεδρεύοντες, κᾂν πολλὰ παθήματα ἀδίκως ὑπ' αὐτῶν πάσχητε· Τοῦτο γὰρ χάρις, εἰ διὰ συνείδησιν Θεοῦ ὑποφέρει τὶς λύπας πάσχων ἀδίκως. Α'. Πέτ. β'. 19.

# ΕΡΜΗΝΕΙΑ

ΕΙΣ ΤΟ ΚΑΤΑ

# ΜΑΡΚΟΝ

## ΕΥΑΓΓΕΛΙΟΝ ΤΗΣ ΚΥΡΙΑΚΗΣ ΠΡΟ ΤΩΝ ΦΩΤΩΝ.

Ἔχει ἡ θεία Γραφὴ, καὶ ἡ παλαιὰ καὶ ἡ νέα, χαρακτῆρας, οἵτινες εἰς ὅσους ἔχουσιν ὄμματα τοῦ βλέπειν, καὶ ὦτα τοῦ ἀκούειν, ἀποδεικνύουσι φανερὰ, ὅτι ὁ τούτων ποιητὴς ἐστὶν αὐτὸς ὁ ὑπερτέλειος Θεὸς, ὅστις διὰ τὴν τούτων συγγραφὴν ὥρισεν ἄνδρας ἁγίους, ὡς σκεύη ἁρμόδια τῶν φωτισμῶν αὐτοῦ, καὶ ὡς ὄργανα ἐπιτήδεια τούτου τοῦ θείου καὶ μεγάλου ἔργου. Ὅσα ὀνόματα ἀναζωγραφοῦσι τοῦ Θεοῦ τὰς τελειότητας ἔχουσιν ὕψος ἀληθινὸν, ἐξαίσιον, καὶ πρέπον εἰς μόνον τὸ Ὂν τὸ ὑπερτέλειον· τὸ Δημιουργὸς, τὸ Παντοκράτωρ, τὸ Παντοδύναμος, τὸ πανταχοῦ παρὼν, τὸ ἐτάζων καρδίας καὶ νεφροὺς, τὸ Κριτὴς ζώντων καὶ νεκρῶν, καὶ τὰ παρόμοια, ἀπονέμουσιν αἱ θεῖαι Γραφαὶ εἰς τὸν Θεόν· τοιαῦτα δὲ περὶ Θεοῦ οὐδεὶς τῶν ἀνθρώπων οὐδὲ ἐνόησέ ποτε, οὐδὲ ἐδίδαξε. Τὸ αἰώνιον, τὸ καθολικὸν, τὸ εὐθὲς, τὸ δίκαιον, τὸ συμπαθὲς εἰς πάντας τοὺς νόμους, εἰσὶ τόσον στερεὰ καὶ βέβαια, ὥστε οὐδεὶς ποτε φρόνιμος εὕρηκεν ἐν αὐτοῖς δικαίαν κατηγορίαν, ἢ ἀληθινὴν μέμψιν. Νόμοι πολλοὶ καὶ διάφοροι, πάντες ὅμως κρέμανται ἀπὸ ἑνὸς εὐκολωτάτου νόμου, τῆς ἀγάπης. Τίς ποτε, ἢ Νουμᾶς, ἢ Σόλων, ἢ Λυκοῦργος, ἢ νομοθέτης Ῥωμαίων, ἢ νομοθέτης τῶν ἄλλων Ἐθνῶν· τίς ποτε ἐκ πάντων καὶ αὐτῶν τῶν σοφωτάτων ἀνθρώπων ἔπλασε τοιοῦτον ὕψος δογμάτων, ἢ τοιαύτην τελειότητα, ἅμα δὲ καὶ εὐκολίαν νομοθεσίας; Οὐδὲ σκοπὸν ἔχω, οὐδὲ καιρὸν, οὐδὲ δύναμιν, ἵνα παραστήσω τὴν ὑψηλὴν καὶ ἀνέκφραστον λαμπρότητα πάντων τῶν τῆς θείας Γραφῆς χαρακτήρων· λέγω δὲ μόνον, ὅτι μεταξὺ τῶν ἄλλων, ὅσοι ἐμφαίνουσιν ἔργον Θεοῦ τὰς θείας Γραφὰς, εἷς ἐστὶν ἡ θαυμασία τῆς φράσεως ἁπλότης. Αὐτὴ ἔχει κάλλος μέγα καὶ θαυμάσιον, ἀλλὰ φυσικὸν, ἄτεχνον, καὶ ἀνεπιτήδευτον· ἔχει εὐπρέπειαν καὶ σεμνότητα, ὑπερβαίνουσαν πᾶσαν ὡραιότητα καὶ σεμνοπρέπειαν· ἔχει δύναμιν καὶ χάριν, ἥτις εἰσέρχεται εἰς τῆς καρδίας τὸ κέντρον. Παντὸς ἀνθρώπου τὸ σύγγραμμα μετὰ πρώτην καὶ δευτέραν ἀνάγνωσιν χορτάζει, ἐνίοτε δὲ καὶ ἀηδίαν φέρει· ἡ ἀνάγνωσις τῆς θείας Γραφῆς

οὐδέ ποτε φέρει χορτασμὸν, ὅσον δὲ ἀναγινώσκεις αὐτὴν, τοσοῦτον ἐπιποθεῖ ἡ ψυχή σου τὴν ταύτης ἀνάγνωσιν. Ἀμίμητός ἐστιν ἡ τοιαύτη ἁπλότης, κἂν δὲ ἔχῃ τις ἔμπροσθεν τῶν ὀφθαλμῶν αὐτοῦ τῆς Γραφῆς τὸ βιβλίον, οὐδόλως δύναται συγγράψαι τοιαῦτα ὑψηλὰ νοήματα μετὰ τοσαύτης ἁπλότητος καὶ χάριτος· βλέπομεν ἐκεῖνο, ὅπερ λέγω, καὶ εἰς αὐτὸ τὸ σήμερον ἀναγνωσθὲν Εὐαγγέλιον. Ἀκούσατε τὰ λόγια αὐτοῦ, καὶ στοχασθῆτε τὰ νοήματα, καὶ κρίνατε εὐσεβῶς καὶ δικαίως.

Μάρκ. ά. 1. Ἀρχὴ τοῦ Εὐαγγελίου Ἰησοῦ Χριστοῦ, Υἱοῦ τοῦ Θεοῦ· ὡς γέγραπται ἐν τοῖς Προ-
2. φήταις· Ἰδοὺ ἐγὼ ἀποστέλλω τὸν Ἄγγελόν μου πρὸ προσώπου σου, ὃς κατασκευάσει τὴν ὁδόν σου ἔμπροσθέν σου·
3. Φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ· Ἑτοιμάσατε τὴν ὁδὸν Κυρίου, εὐθείας ποιεῖτε τὰς τρίβους αὐτοῦ.

Ὁ μὲν Εὐαγγελιστὴς Ἰωάννης ἄρχεται τοῦ Εὐαγγελίου αὐτοῦ ἀπὸ τῆς ἀνάρχου γεννήσεως τοῦ Υἱοῦ καὶ Λόγου τοῦ Θεοῦ· ὁ δὲ Ματθαῖος, ἀπὸ τῆς γενεαλογίας τῆς κατὰ σάρκα μητρὸς αὐτοῦ· ὁ δὲ Λουκᾶς ἀπὸ τῆς συλλήψεως τοῦ Προδρόμου καὶ Βαπτιστοῦ· ὁ δὲ Μάρκος ἀπὸ τῶν περὶ τοῦ αὐτοῦ Προδρόμου προφητευθέντων. Βλέπε δὲ μετὰ πόσης ἁπλότητος καὶ συντομίας ἄρχεται τῆς ὑποθέσεως τοῦ Εὐαγγελίου, τοῦ ὑπ' αὐτοῦ συγγραφέντος, ἀνακηρύττων εὐθὺς κατ' ἀρχὰς τὸν Ἰησοῦν Χριστὸν Υἱὸν τοῦ Θεοῦ. Ἡ ἀρχὴ, λέγει, τοῦ Εὐαγγελίου τοῦ Ἰησοῦ Χριστοῦ, τοῦ Υἱοῦ τοῦ Θεοῦ, εἰσὶ ταῦτα τὰ λόγια τὰ γεγραμμένα ὑπὸ τῶν Προφητῶν· Ἰδοὺ ἐγὼ ἀποστέλλω τὸν Ἄγγελόν μου, καὶ τὰ ἑξῆς. Ἀλλὰ διατί ταῦτα τὰ προφητικὰ λόγια εἰσὶν ἀρχὴ τοῦ Εὐαγγελίου; Διότι ὁ Ἰησοῦς Χριστὸς εὐθὺς μετὰ τὸ βάπτισμα ἤρξατο τὸ εὐαγγελικὸν κήρυγμα, καὶ τὰς θαυματουργίας, καὶ τὰ λοιπὰ ἔργα αὐτοῦ· ὅθεν ἄρχεται ἐκ τῶν λόγων τούτων, καθότι αὐτὰ ἀναγγέλλουσι τὰ περὶ τοῦ Βαπτιστοῦ, καὶ τοῦ βαπτίσματος τοῦ Ἰησοῦ Χριστοῦ. Οἱ δὲ Προφῆται, οἱ προφητεύσαντες τὰ λόγια ταῦτα, εἰσὶν ὁ Μαλαχίας καὶ ὁ Ἡσαΐας· τούτων ὁ μὲν πρῶτος, λαλῶν ὡς ἐκ προσώπου
τοῦ Θεοῦ, εἶπεν· Ἰδοὺ ἐξαποστέλλω τὸν Ἄγγελόν μου, καὶ ἐπιβλέψεται ὁδὸν πρὸ προσώπου μου· ὁ Μαλ. γ. 1.
δὲ δεύτερος, ὁμοίως ὡς ἐκ προσώπου τοῦ Θεοῦ παρηγορῶν τὸ γένος τῶν ἀνθρώπων, προεφήτευσε τὰ περὶ τοῦ Προδρόμου τοῦ Χριστοῦ, λέγων· Φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ, Ἑτοιμάσατε τὴν Ἡσ. μ. 3.
ὁδὸν Κυρίου, εὐθείας ποιεῖτε τὰς τρίβους τοῦ Θεοῦ ἡμῶν. Τοῦτο δὲ ἐμαρτύρησε περὶ ἑαυτοῦ καὶ αὐτὸς ὁ Πρόδρομος, ὅτε ἀπέστειλαν οἱ Ἰουδαῖοι ἐξ Ἱεροσολύμων Ἱερεῖς καὶ Λευΐτας, ἵνα ἐρωτήσωσιν αὐτὸν, τίς ἐστίν· ἐμαρτύρησε δηλαδὴ, καὶ εἶπεν· Ἐγὼ φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ· Εὐθύνατε τὴν ὁ- Ἰωάν. ά. 23.
δὸν Κυρίου· καθὼς εἶπεν Ἡσαΐας ὁ προφήτης. Ταῦτα δὲ τὰ προφητικὰ λόγια γράψας ὁ Εὐαγγελιστὴς, ἔδειξεν ἔπειτα αὐτὰ πεπληρωμένα καὶ τετελειωμένα πραγματικῶς εἰς τὸν Πρόδρομον Ἰωάννην, εἰπών·

Ἐγένετο Ἰωάννης βαπτίζων ἐν τῇ ἐρήμῳ καὶ κηρύσσων Μάρκ. ά. 4.

βά-

**βάπτισμα μετανοίας εἰς ἄφεσιν ἁμαρτιῶν.**

Ὁ Ἰωάννης, ἐλθὼν εἰς τὴν ἔρημον,
ἐβάπτιζε, καὶ ἐκήρυττε βάπτισμα με-
τανοίας εἰς ἄφεσιν ἁμαρτιῶν. Ὁποῖον
δὲ τοῦτο τὸ βάπτισμα τοῦ Ἰωάννου, κα-
θαρὰ ἐφανέρωσεν ὁ θεηγόρος Παῦλος·
Πράξ. ιθ'. 4. Εἶπε δὲ Παῦλος· Ἰωάννης μὲν ἐ-
βάπτισε βάπτισμα μετανοίας τῷ
λαῷ, λέγων, εἰς τὸν ἐρχόμενον μετ'
αὐτὸν ἵνα πιστεύσωσι, τουτέστιν
εἰς τὸν Χριστὸν Ἰησοῦν. Τὸ βά-
πτισμα οὖν τοῦ Ἰωάννου κήρυγμα ἦν
τῆς εἰς Χριστὸν πίστεως, καὶ τοῦ βα-
πτίσματος τοῦ Ἰησοῦ Χριστοῦ· αὐτὸς
ἐκήρυττε μετάνοιαν καὶ ἐπιστροφὴν πρὸς
τὸν Χριστόν, καὶ ἄφεσιν ἁμαρτιῶν, ἣν
λαβεῖν ἔμελλον διὰ τοῦ βαπτίσματος
τοῦ Ἰησοῦ Χριστοῦ οἱ εἰς αὐτὸν πι-
στεύοντες· καὶ ἐβάπτιζε μὲν διὰ τοῦ
ὕδατος τοὺς πρὸς αὐτὸν προσερχομέ-
νους, ἵνα καὶ αἰσθητὴν πληροφορίαν ἔ-
χωσι περὶ τοῦ βαπτίσματος τοῦ Ἰησοῦ
Χριστοῦ· ἔλεγεν ὅμως εἰς τοὺς ὑπ' αὐ-
Μάρκ. ά. 8. τοῦ βαπτιζομένους· Ἐγὼ μὲν ἐβά-
πτισα ὑμᾶς ἐν ὕδατι, αὐτὸς δὲ
βαπτίσει ὑμᾶς ἐν Πνεύματι ἁ-
γίῳ. Ἰδοὺ οὖν πῶς ὁ πρόδρομος Ἰωάν-
νης ἐφάνη πρακτικῶς φωνὴ βοῶντος ἐν
τῇ ἐρήμῳ. Αὐτός, ἐλθὼν εἰς τὴν ἔρη-
μον τοῦ Ἰορδάνου, ἐκήρυττεν εἰς τοὺς ἐκεῖ
ἐλθόντας λαοὺς τὸν Ἰησοῦν Χριστόν,
τὸν μετ' αὐτὸν ἐρχόμενον, ἤγουν τὸν μετ'
αὐτὸν ἐκ τῆς ἁγίας Παρθένου γεννηθέν-
τα· διὰ τούτου δὲ τοῦ κηρύγματος προη-
τοίμαζε τὴν ὁδὸν τοῦ Κυρίου, ἤγουν τὰς
καρδίας τῶν ἀνθρώπων, καὶ ἐποίει εὐ-
θείας τὰς τρίβους αὐτοῦ, ἤγουν διεύθυ-
νε καὶ ἔπειθεν αὐτοὺς πρὸς τὴν ὑποδο-
χὴν τῶν εὐαγγελικῶν τοῦ Χριστοῦ δογ-
μάτων. Τίνες δὲ ἦσαν οἱ ἐρχόμενοι βα-
πτισθῆναι ὑπὸ τοῦ Ἰωάννου;

**Καὶ ἐξεπορεύοντο πρὸς αὐτὸν** Μάρκ. ά. 5.
**πᾶσα ἡ Ἰουδαία χώρα, καὶ οἱ Ἱεροσολυμῖται· καὶ ἐβαπτίζοντο πάντες ἐν τῷ Ἰορδάνῃ ποταμῷ ὑπ' αὐτοῦ, ἐξομολογούμενοι τὰς ἁμαρτίας αὐτῶν.**

Διατί διέστειλεν ὁ Εὐαγγελιστὴς
τοὺς Ἱεροσολυμίτας ἀπὸ τῶν κατοικούν-
των εἰς τὴν χώραν τῆς Ἰουδαίας; Οἱ
Ἱεροσολυμῖται ἐνομίζοντο καὶ σοφώτεροι
καὶ ἁγιώτεροι τῶν ἐν τῇ λοιπῇ Ἰουδαίᾳ
κατοικούντων, καθότι κατῴκουν εἰς τὴν
βασιλεύουσαν πόλιν Ἱερουσαλήμ, ὅπου
ἦν ὁ ναός, καὶ ὅπου ὅλον τὸ γένος τῶν
Ἰουδαίων συνήρχετο, ἵνα καὶ τὰς θυσίας
προσφέρῃ, καὶ τὰς ἑορτὰς ἐπιτελῇ, καὶ
ὅπου ὡς ἐπὶ τὸ πλεῖστον ἐγίνοντο τὰ
θαύματα, καὶ ἐκηρύττοντο αἱ Προφη-
τεῖαι· διέστειλεν οὖν τοὺς Ἱεροσολυμί-
τας τῶν ἄλλων Ἰουδαίων, ἵνα δείξῃ, ὅτι
οὐ μόνον πάντες οἱ ἐν τῇ Ἰουδαίᾳ, ἀλ-
λὰ καὶ αὐτοὶ οἱ ἐκλεκτοὶ τῶν Ἰουδαίων
ἤρχοντο ἐν τῇ ἐρήμῳ πρὸς τὸν Ἰωάννην,
καὶ ἐξομολογούμενοι τὰς ἁμαρτίας αὐ-
τῶν, ἐβαπτίζοντο ὑπ' αὐτοῦ ἐν τῷ Ἰορ-
δάνῃ ποταμῷ· ὅσοι δὲ ἐξ αὐτῶν μετὰ
ἀληθινῆς πίστεως καὶ εὐλαβείας ἐβα-
πτίσθησαν τὸ βάπτισμα τοῦ Ἰωάννου,
ἐκεῖνοι μετὰ ταῦτα, πιστεύσαντες εἰς
τὸν Χριστόν, ἐβαπτίσθησαν εἰς τὸ βά-
πτισμα αὐτοῦ· Ἀκούσαντες δέ, λέ- Πραξ. ιθ'. 5.
γει ὁ ἱερὸς Λουκᾶς, ἐκεῖνοι, ὅσοι ἐβαπτί-
σθησαν εἰς τὸ Ἰωάννου βάπτισμα, τὴν
περὶ τούτου τοῦ βαπτίσματος διδαχὴν
τοῦ Παύλου, ἐβαπτίσθησαν εἰς τὸ
ὄνομα τοῦ Κυρίου Ἰησοῦ. Καὶ ταῦ-
τα μὲν εἰπὼν ὁ Εὐαγγελιστής, ἀπέδει-
ξε διὰ τούτων, ὅτι ὁ Ἰωάννης ἐπλήρωσε
τὰ προφητευθέντα περὶ αὐτοῦ, καὶ ἐφά-

Μάρκ. ά. τη φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ· Ἑ-
3. τοιμάσατε τὴν ὁδὸν Κυρίου, εὐ-
θείας ποιεῖτε τὰς τρίβους αὐ-
τοῦ· διὰ δὲ τῶν ἑξῆς ἔδειξεν, ὅτι ἀλη-
θῶς ὁ Ἰωάννης ἔζησεν ἐπὶ τῆς γῆς ὡς
οὐράνιος Ἄγγελος, καὶ διὰ λόγου, καὶ
διὰ τῶν ἔργων προητοίμασε τὰς ψυχὰς
τῶν ἀνθρώπων εἰς τὴν εἰς Χριστὸν πί-
στιν καὶ ὑπακοήν.

Αὐτόθι. Ἦν δὲ Ἰωάννης ἐνδεδυμένος
6. τρίχας καμήλου, καὶ ζώνην
δερματίνην περὶ τὴν ὀσφὺν
αὐτοῦ· καὶ ἐσθίων ἀκρίδας
καὶ μέλι ἄγριον.

Τό, Ἐνδεδυμένος τρίχας κα-
μήλου, σαφέστερα ἔγραψεν ὁ εὐαγγε-
Ματ. γ'. λιστὴς Ματθαῖος, λέγων· Αὐτὸς δὲ ὁ
4. Ἰωάννης εἶχε τὸ ἔνδυμα αὐτοῦ ἀ-
πὸ τριχῶν καμήλου. Περὶ δὲ τῶν
ἀκρίδων τινὲς μὲν λέγουσιν, ὅτι εἰσὶν
Ἐν τῇ εἰς αὐτὰ τὰ ζωΰφια, τὰ ὀνομαζόμενα ἀκρί-
τὸ κατὰ δες· ἔτρωγε δὲ ταύτας ὁ Ἰωάννης, κα-
Μάρ. Σειρ. θότι ὁ νόμος ὁ Μωσαϊκὸς τοῦτο ἐσυγ-
Λευϊτ. ιά. 22. χώρει· τινὲς δέ, τῶν ἀκροδρύων τὰ ἀ-
κρίσματα, ἤγουν αἱ κορυφαὶ τῶν βλα-
Ἰσιδ. Πηλ. στῶν τῶν δένδρων· τινὲς δέ, οἱ ἀκρέμο-
ἐπιστ. 1. νες, ἤγουν αἱ κορυφαὶ τῶν βοτανῶν ἢ
καὶ 132. φυτῶν. Λέγουσι δὲ οἱ τῆς Παλαιστίνης
τοῦ ά. β. περιηγηταί, ὅτι ἄχρι τῆς σήμερον εἰς
τὴν ἔρημον τοῦ Ἰορδάνου βλαστάνουσι
φυτὰ θρεπτικὰ καὶ γλυκύτατα· πιθα-
νώτατον οὖν ἐστίν, ὅτι ἐκ τούτων τῶν
φυτῶν ἔτρωγεν ὁ Πρόδρομος. Μέλι δὲ ἄ-
γριον τινὲς μὲν νομίζουσι τὸ ἐν τοῖς ἀ-
γρίοις τόποις εὑρισκόμενον, τινὲς δὲ τὸ
ὑπὸ τῶν ἀγρίων μελισσῶν ἐν τοῖς βου-
νοῖς συλλεγόμενον, ὅπερ ἐστὶ πικρότα-
τον. Ἐκ τῶν εὐτελῶν καμηλιαίων ἐνδυ-
μάτων, καὶ ἐκ τῆς δερματίνης ζώνης,
καὶ ἐκ τῆς ἁπλῆς καὶ ἀκατασκευάστου
τροφῆς συμπεραίνομεν τὴν νέκρωσιν πά-
σης σαρκικῆς ἐπιθυμίας, καὶ τὸν ἅγιον
καὶ ἀγγελικὸν βίον τοῦ Προδρόμου καὶ
Βαπτιστοῦ Ἰωάννου, ἐξ οὗ καὶ ὁ Κύριος
Ἰησοῦς ὑπερύψωσεν αὐτὸν πάντων τῶν
ἄλλων ἀνθρώπων, εἰπών· Ἀμὴν λέγω Ματ. ιά.
ὑμῖν, οὐκ ἐγήγερται ἐν γεννητοῖς 11.
γυναικῶν μείζων Ἰωάννου τοῦ Βα-
πτιστοῦ. Καὶ τοιοῦτος μὲν ἦν ὁ βίος
αὐτοῦ, ἀκούσωμεν δὲ καὶ ποῖα ἦσαν τὰ
ὑπ' αὐτοῦ κηρυττόμενα.

Καὶ ἐκήρυσσε, λέγων· Ἔρ- Μάρκ. ά.
χεται ὁ ἰσχυρότερός μου ὀπί- 7.
σω μου, οὗ οὐκ εἰμὶ ἱκανός,
κύψας, λῦσαι τὸν ἱμάντα
τῶν ὑποδημάτων αὐτοῦ.

Βλέπε τὴν τελειότητα τῆς ψυχῆς
τοῦ Προδρόμου. Ἐπειδὴ ὅλος ὁ λαὸς διε-
λογίζετο, ὅτι αὐτός ἐστιν ὁ Χριστός, Λουκ. γ'.
πρῶτον μὲν μετὰ καθαρᾶς καὶ εἰλικρι- 15.
νοῦς καρδίας ἐφανέρωσε πᾶσαν τὴν ἀλή-
θειαν· Καὶ ὡμολόγησε, καὶ οὐκ Ἰωάν. ά.
ἠρνήσατο· καὶ ὡμολόγησεν, ὅτι 20.
οὐκ εἰμὶ ἐγὼ ὁ Χριστός· ἔπει-
τα, ταπεινώσας ἑαυτὸν τὴν ἐσχάτην τα-
πείνωσιν, ὑπερύψωσε τὸν Σωτῆρα Χρι-
στόν, παραστήσας διὰ τῶν λόγων αὐτοῦ
τὸ ἐξαίσιον τῆς Θεότητος αὐτοῦ ὕψος.
Ὁ δοῦλος λύει τὸν ἱμάντα, ἤγουν τὸν
σφαιρωτῆρα, ἢ τὸν δεσμὸν τῶν ὑποδη-
μάτων τοῦ δεσπότου αὐτοῦ, κἂν Βασι-
λεὺς ὑπάρχῃ ὁ δεσπότης, κἂν ἅγιος,
κρίνεται δὲ ὑπὸ πάντων ἄξιος τῆς τοιαύ-
της εὐτελοῦς ὑπηρεσίας· ὁ δὲ Πρόδρομος
Ἰωάννης εἶπεν, ὅτι οὐκ ἔστιν ἄξιος οὐ-
δὲ βαστάσαι τὰ ὑποδήματα τοῦ Ματ. γ'.
Χριστοῦ, ὡς εἶπεν ὁ Ματθαῖος, οὐδὲ 11.
λῦσαι τὸν ἱμάντα τῶν ὑποδημά-
των

των αυτοῦ, ὡς λέγει ὁ Μάρκος· φανερὸν οὖν ἐστὶν, ὅτι ὁ Ἰωάννης ἐκήρυξεν ἑαυτὸν ἀνάξιον καὶ αὐτῆς τῆς εὐτελοῦς ὑπηρεσίας, τῆς ὑπὸ παντὸς δούλου πρὸς τὸν ἑαυτοῦ δεσπότην τελουμένης. Τίς δέ ἐστιν ὁ Ἰωάννης; Προφήτης καὶ περισσότερον Προφήτου, ἡγιασμένος ἐκ κοιλίας μητρὸς αὐτοῦ, Ἄγγελος Κυρίου ἐπίγειος, Βαπτιστὴς αὐτοῦ τοῦ Ἰησοῦ Χριστοῦ, κήρυξ τῆς εἰς Χριστὸν πίστεως καὶ Ἀπόστολος, μείζων τῶν ἐν γεννητοῖς γυναικῶν· διὰ ποίαν οὖν ἄλλην αἰτίαν εἶπε τὸ, Οὐκ εἰμὶ ἱκανὸς κύψας λῦσαι τὸν ἱμάντα τῶν ὑποδημάτων αὐτοῦ, εἰμὴ καθότι ὁ δεσπότης, περὶ οὗ αὐτὸς ἐλάλει, ἤγουν ὁ Χριστὸς, οὐκ ἦν οὐδὲ Βασιλεὺς ἐπίγειος, οὐδὲ ἅγιος ἄνθρωπος, ἀλλ' ὁ Βασιλεὺς τῶν βασιλευόντων, καὶ ὁ Ἅγιος τῶν ἁγίων, καὶ ὁ Δημιουργὸς πάσης τῆς κτίσεως, τουτέστιν ὁ Θεός; Ἔρχεται, λέγει, ὀπίσω μου, ἤγουν ἔρχεται ἐκεῖνος, ὅστις ἐγεννήθη μετὰ τὴν γέννησίν μου· αὐτός ἐστιν ὁ ἰσχυρότερός μου, αὐτός ἐστιν ἐκεῖνος, ὅστις ἔχει τὴν ἰσχὺν καὶ τὸ κράτος ὡς παντοδύναμος· τούτου δὲ ἐγὼ οὐκ εἰμὶ ἄξιος, ἵνα κύψω κάτω εἰς τὴν γῆν, καὶ λύσω τὸν ἱμάντα τῶν ὑποδημάτων αὐτοῦ. Πρὸς τούτοις δὲ καὶ διὰ τῶν ἑξῆς λόγων ἐφανέρωσε τῆς Θεότητος τοῦ Χριστοῦ τὴν δύναμιν.

Ἐγὼ μὲν ἐβάπτισα ὑμᾶς ἐν ὕδατι· αὐτὸς δὲ βαπτίσει ὑμᾶς ἐν Πνεύματι ἁγίῳ. Μάρκ. α'. 8.

Διὰ τούτων τῶν λόγων ἐδίδαξεν ὁ τρισμακάριος Βαπτιστὴς, ὅτι ὁ Ἰησοῦς Χριστός ἐστι Θεὸς ἀληθινός· διότι τίς, ἢ ἄνθρωπος, ἢ Ἄγγελος, τίς, εἰμὴ εἷς ὁ Θεός ἐστιν ὁ δοτὴρ καὶ χορηγὸς τοῦ παναγίου Πνεύματος; Ἐγὼ, λέγει, ἄνθρωπος ὢν, ἐβάπτισα ὑμᾶς δι' ὕδατος, καὶ προητοίμασα ὑμᾶς εἰς τὴν ὑποδοχὴν τοῦ ἁγίου ἐκείνου βαπτίσματος· αὐτὸς δὲ, Θεὸς ὢν ἀληθινὸς, βαπτίσει ὑμᾶς ἐν Πνεύματι ἁγίῳ, καὶ χορηγήσει ὑμῖν τῆς υἱοθεσίας τὸ χάρισμα, καὶ τὴν κληρονομίαν τῆς ἑαυτοῦ βασιλείας.

# ΟΜΙΛΙΑ

ΜΕΤΑ ΤΟ ΚΑΤΑ

# ΜΑΡΚΟΝ

## ΕΥΑΓΓΕΛΙΟΝ ΤΗΣ ΚΥΡΙΑΚΗΣ ΠΡΟ ΤΩΝ ΦΩΤΩΝ.

Διατί ἄρά γε ἀνεγνώσθη σήμερον ἐν τῇ Ἐκκλησίᾳ ἡ ἀρχὴ τοῦ κατὰ Μάρκον Εὐαγγελίου; Διότι σήμερόν ἐστιν ἡ Κυριακὴ πρὸ τῆς ἑορτῆς τῶν Φώτων, ἤγουν τοῦ ἐν Ἰορδάνῃ βαπτίσματος τοῦ Ἰησοῦ Χριστοῦ, δι' οὗ ὁ κόσμος ἐφωτίσθη. Ἡ δὲ ἀρχὴ τοῦ κατὰ Μάρκον Εὐαγγελίου διαλαμβάνει περὶ τοῦ τιμίου Προδρόμου, τοῦ βαπτίσαντος τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, καὶ περὶ τῆς διαφορᾶς τῶν δύω βαπτισμάτων, ἤγουν τοῦ βαπτίσματος τοῦ Ἰωάννου, καὶ τοῦ βαπτίσματος τοῦ Ἰησοῦ Χριστοῦ. Ἐπειδὴ οὖν πλησιάζει ἡ πανένδοξος καὶ σωτήριος ἑορτὴ τοῦ βαπτίσματος τοῦ Ἰησοῦ Χριστοῦ, καλὸν καὶ ὠφέλιμόν ἐστιν, ἵνα,

λα-

λαλήσαντες περὶ τούτου τοῦ βαπτίσματος, φανερώσωμεν πρῶτον, διατί ὁ Θεὸς ἠθέλησεν, ἵνα βαπτιζώμεθα οὐ μόνον διὰ Πνεύματος, ἀλλὰ καὶ δι' ὕδατος· δεύτερον, τί σημαίνουσιν ὅσα ποιοῦμεν εἰς τὴν τελετὴν τοῦ ἁγίου βαπτίσματος· τρίτον, ποῖα χαρίσματα λαμβάνομεν βαπτιζόμενοι· καὶ τέταρτον, πόσα εἰσὶ τοῦ Ἰησοῦ Χριστοῦ τὰ βαπτίσματα.

Ἐπειδὴ σύνθετοι ἐσμὲν ἐκ ψυχῆς ἀΰλου καὶ σώματος ὑλικοῦ, εὐδόκησεν ὁ πανάγαθος Θεὸς, ἵνα πάντα τὰ πνευματικὰ χαρίσματα, καὶ αὐτὰ τὰ διὰ τῶν ἁγίων Μυστηρίων διδόμενα, ἔχωσι καὶ ὑλικὰ σημεῖα, προσβάλλοντα εἰς τὰς αἰσθήσεις ἡμῶν, ἵνα οὐ μόνον διὰ τῆς πίστεως, ἀλλὰ καὶ διὰ τῶν αἰσθήσεων αἰσθάνηται ἡ ψυχὴ τῶν πιστευόντων, πότε, καὶ διὰ τίνος ἔρχεται εἰς αὐτὴν τοῦ ἁγίου Πνεύματος ἡ χάρις· αὐτὰ τὰ ὑλικὰ σημεῖα ἐξεγείρουσι τὴν ψυχὴν, καὶ ποιοῦσιν αὐτὴν προσεκτικὴν εἰς τὴν ὑποδοχὴν τῆς ἀοράτου θείας χάριτος· ἐὰν αὐτὰ ἔλειπον, ἡμεῖς, μὴ γινώσκοντες μηδὲ τὸ διὰ τίνος, μηδὲ τὸ πότε δίδοται ἡμῖν ἡ χάρις, ἤμεθα ἀμφίβολοι, καὶ ἀνέτοιμοι, καὶ ἑπομένως ἀνάξιοι τῶν θείων χαρισμάτων.

Ὁ πανυπερτέλειος Θεὸς, ὅστις ὡς παρόντα βλέπει τὰ πάντα καὶ πρὸ τοῦ γενέσθαι, ἰδὼν καὶ πρὸ τῆς κτίσεως τοῦ κόσμου καὶ τὴν πλάσιν καὶ τὴν πτῶσιν τοῦ γένους τῶν ἀνθρώπων, ἐδιώρισε καὶ προκατήγγειλε τὸν τρόπον τῆς ἀναπλάσεως καὶ ἀνορθώσεως αὐτῶν, τῆς μελλούσης γενέσθαι διὰ τῆς ἐνανθρωπήσεως τοῦ μονογενοῦς Υἱοῦ αὐτοῦ. Ἐκ τούτου εὐθὺς εἰς τὸν καιρὸν τῆς δημιουργίας τοῦ κόσμου *πνεῦμα Θεοῦ ἐπεφέρετο ἐπάνω τοῦ ὕδατος*, σύμβολον τοῦτο σαφέστατον τοῦ Πνεύματος καὶ τοῦ ὕδατος, διὰ τῶν ὁποίων τὸ βαπτι- (Γεν. α΄. 2.)

ζόμενον γένος τῶν ἀνθρώπων ἀνορθοῦται ἀπὸ τοῦ πτώματος τῆς ἁμαρτίας, καὶ ἀναπλάττεται τὴν πνευματικὴν ἀνάπλασιν καὶ ἀναγέννησιν. Ὅτε δὲ ὁ Θεὸς, ὀργισθεὶς διὰ τὰς ἁμαρτίας τῶν ἀνθρώπων, κατέκλυσε δι' ὕδατος τὸν σύμπαντα κόσμον, τότε ἐδιώρισε σημεῖον τῆς καταπαύσεως τῆς ὀργῆς αὐτοῦ, καὶ βεβαίωσιν τῆς εἰρηνικῆς αὐτοῦ διαθήκης μετὰ τῶν ἀνθρώπων, τὸ τόξον ἐν τῇ νεφέλῃ· *Τὸ τόξον μου*, εἶπε, *τίθημι ἐν τῇ νεφέλῃ, καὶ ἔσται εἰς σημεῖον διαθήκης ἀνὰ μέσον ἐμοῦ καὶ τῆς γῆς*· τὸ δὲ τόξον, ἤγουν ἡ ἶρις, οὐδὲν ἄλλο ἐστὶν, εἰμὴ ὕδωρ, καὶ ἀτμὸς τῆς γῆς· ἄλλο τοῦτο σύμβολον τοῦ θείου βαπτίσματος, δι' οὗ ὁ ἄνθρωπος, εἰρηνοποιούμενος μετὰ τοῦ Θεοῦ, γίνεται φίλος αὐτοῦ· καὶ τὸ μὲν ὕδωρ, σύμβολον φανερὸν τοῦ ἁγίου ὕδατος, ὁ δὲ ἀτμὸς, τύπος τοῦ παναγίου Πνεύματος. Τὴν ἐλευθερίαν τοῦ Ἰσραηλιτικοῦ γένους ἀπὸ τῆς αἰχμαλωσίας τοῦ Φαραὼ, ἥτις ἐσήμαινε τὴν ἀπολύτρωσιν τοῦ ἀνθρωπίνου γένους ἀπὸ τῆς δουλείας τοῦ Διαβόλου, ἔπραξεν ὁ Θεὸς, διαπεράσας τοὺς Ἰσραηλίτας διὰ τῆς ἐρυθρᾶς θαλάσσης, καὶ σκεπάσας αὐτοὺς διὰ τῆς νεφέλης, τὸν δὲ Φαραὼ σὺν τοῖς ἅρμασιν αὐτοῦ καταποντίσας· καὶ ἡ μὲν θάλασσα ἐσήμαινε τὸ ὕδωρ τοῦ βαπτίσματος, ἡ δὲ νεφέλη τὴν χάριν τοῦ Πνεύματος, ὁ δὲ Φαραὼ τὸν Σατανᾶν, τὸν ἐν τοῖς ὕδασι τοῦ βαπτίσματος συντριβόμενον. Μετὰ ταῦτα οὐδὲ τὴν Ἱερωσύνην δίδωσιν εἰς τὸν Ἀαρὼν, ἐὰν μὴ πρῶτον λούσῃ τὸ σῶμα αὐτοῦ διὰ τοῦ ὕδατος· οὐδὲ δέχεται τοὺς Ἱερεῖς, εἰσερχομένους εἰς τὴν σκηνὴν τοῦ Μαρτυρίου λειτουργῆσαι, ἐὰν μὴ πρῶτον νιφθῶσι διὰ τοῦ ὕδατος τοῦ ἐν τῷ ἡγιασμένῳ λουτῆρι, *τῷ ἀνὰ μέσον τῆς σκηνῆς τοῦ μαρτυρίου, καὶ ἀνὰ μέσον τοῦ θυσιαστη-*

(Γεν. θ΄. 13.) (Ἐξ. ιδ΄. 19.) (Αὐτ. κθ΄. 4.) (Αὐτ. λ΄. 18.)

Γ'.Βασ. ιη'. 33, 34. στηρίου· οὐδὲ τὴν θυσίαν τοῦ Ἡλιοῦ συγχωρεῖ γενέσθαι, ἐὰν μὴ πρῶτον ἐκχέῃ τρὶς περὶ αὐτὴν ὕδωρ· οὐδὲ αὐτὸν
Δ'.Βασ.β'. 2, 8. τὸν Ἡλίαν ἀναλαμβάνει ἕως εἰς τὸν οὐρανὸν, ἐὰν μὴ πρότερον διαβῇ τὸν Ἰορδάνην. Ἔπειτα διὰ τοῦ μεγαλοφωνοτάτου τῶν Προφητῶν Ἡσαΐου ἐξαποστέλλει πάντας τοὺς ἐπιθυμοῦντας τὴν σωτηρίαν εἰς τὰς πηγὰς τοῦ σωτηρίου·
Ἡσ. ιβ'. 3. Ἀντλήσατε, λέγει, ὕδωρ μετ' εὐφροσύνης ἐκ τῶν πηγῶν τοῦ σωτηρίου.
Αὐτ. νε'. 1. Οἱ διψῶντες πορεύεσθε ἐφ' ὕδωρ. Τελευταῖον ἀποστέλλει τὸν Πρόδρομον τοῦ μονογενοῦς Υἱοῦ αὐτοῦ, βαπτίζοντα εἰς τὸν Ἰορδάνην ποταμὸν πάντας τοὺς εἰς αὐτὸν προσερχομένους, καὶ παῤῥησίᾳ διδάσκοντα, ὅτι αὐτὸς βαπτίζει βά-
Πράξ. ιθ'. 4. πτισμα μετανοίας, ἵνα πιστεύσωσιν εἰς τὸν ἐρχόμενον μετ' αὐτὸν, τουτέστιν εἰς τὸν Χριστὸν Ἰησοῦν· καὶ κηρύττοντα, ὅτι αὐτὸς βαπτίζει ἐν ὕδα-
Μάρκ. α'. 8. τι, ὁ δὲ Ἰησοῦς Χριστὸς ἐν Πνεύματι ἁγίῳ. Ὅτε δὲ αὐτὸς ὁ Υἱὸς καὶ Λόγος τοῦ Θεοῦ, σάρκα λαβὼν, καὶ ἐνανθρωπήσας, ἦλθεν εἰς τὸν Ἰορδάνην ποταμὸν, καὶ ἐβαπτίσθη ὑπὸ Ἰωάννου, τότε τὸ μὲν ὕδωρ ἡγιάσθη, πλὴν ἔμεινεν ὕδωρ, οἱ δὲ τύποι τοῦ Πνεύματος ἔπαυσαν, καὶ ἔδωκαν τόπον τὰ σύμβολα εἰς τὰ πράγματα· διότι, ὅταν ἀνέβη ὁ Ἰησοῦς ἀπὸ τοῦ ὕδατος, ἀνεῴχθησαν οἱ
Ματ. γ'. 16. οὐρανοὶ, καὶ αὐτὸ τὸ πανάγιον Πνεῦμα, οὐρανόθεν κατελθὸν ὁρατῶς ἐν εἴδει περιστερᾶς, ἦλθεν ἐπὶ τὸν Ἰησοῦν Χριστὸν,
Ἰωάν. α'. 32. καὶ ἔμεινεν ἐπ' αὐτόν. Εἰς τὰ Ἰορδάνεια ῥεῖθρα, ἐν οἷς ἡμεῖς βαπτιζόμεθα, τὸ μὲν ὕδωρ ἁγιάζεται διὰ τῆς ἐπικλήσεως τοῦ ὀνόματος τοῦ Θεοῦ, πλὴν μένει ὕδωρ, ἵνα διεγείρῃ, ὡς εἴπομεν, τὴν ψυχὴν ἡμῶν εἰς αἴσθησιν τοῦ ἐπουρανίου χαρίσματος· ἡ δὲ χάρις τοῦ ἁγίου Πνεύματος, ἡ διδομένη ἡμῖν δι' ἐκείνου τοῦ ἁγιασθέντος ὕδατος, ἐστὶν ἀόρατος καὶ ἀνεπαίσθητος εἰς τὰς σωματικὰς αἰσθήσεις, κἂν ὁρατὴ ὑπάρχῃ καὶ αἰσθητὴ εἰς τὸν ὀφθαλμὸν καὶ τὴν αἴσθησιν τῆς πιστευούσης ψυχῆς.

Ἀλλὰ διατί ὁ Θεὸς τὸ ὕδωρ ὥρισεν ὑλικὸν σημεῖον τῆς τοιαύτης μεγάλης καὶ ἐπουρανίου χάριτος; Ἵνα τὸ ὑλικὸν σημεῖον ἔχῃ ἀναλογίαν μετὰ τοῦ ἀΰλου δώρου, τοῦ ὑπ' αὐτοῦ σημειουμένου, καὶ δηλοποιῇ τὰς τούτου ἐνεργείας καὶ τὰ ἀποτελέσματα. Τὸ ὕδωρ πλύνει πάσας τὰς ἀκαθαρσίας· τὸ βάπτισμα καθαρίζει ἀπὸ πασῶν τῶν ἁμαρτιῶν. Τὸ ὕδωρ ἀνακαινίζει τὰς δυνάμεις τοῦ σώματος, τοῦ ὑπὸ τῆς δίψης ἐκτακέντος· τὸ βάπτισμα ἀναζωοποιεῖ τῆς ψυχῆς τὰ ἰδιώματα, τὰ ὑπὸ τῆς ἁμαρτίας νεκρωθέντα. Τὸ ὕδωρ συστατικόν ἐστι τῆς ζωῆς, τὸ βάπτισμα, χορηγὸν τῆς σωτηρίας. Πρὸς τούτοις, ἐπειδὴ ὅσοι ἐβα- Ῥωμ. ϛ'. 5.
πτίσθημεν εἰς Χριστὸν Ἰησοῦν, εἰς τὸν θάνατον αὐτοῦ ἐβαπτίσθημεν, ἀνάγκη ἐστὶν, ἵνα συνταφῶμεν αὐτῷ διὰ τοῦ βαπτίσματος εἰς τὸν θάνατον· ποῦ δὲ δυνάμεθα ταφῆναι, καθὼς ἐτάφη ὁ Χριστός; εἰς τὸν ἀέρα; ἀλλ' ἐν αὐτῷ ἐσμὲν διαπαντὸς βεβυθισμένοι· εἰς τὸ πῦρ; ἀλλὰ τοῦτο προξενεῖ ἀναμφιβόλως θάνατον· εἰς τὴν γῆν ἔπρεπε, καθὼς ὁ Χριστὸς, ἀλλὰ τοῦτο φέρει προφανέστατον θανάτου κίνδυνον· ὁ Χριστὸς νεκρὸς ἐτάφη εἰς τὴν γῆν, ἡμεῖς, ζῶντες, ἀκινδύνως θαπτόμεθα εἰς τὸ ὕδωρ· μόνον οὖν τὸ ὕδωρ ἐστὶ τὸ στοιχεῖον, δι' οὗ ἡμεῖς δυνάμεθα ταφῆναι ὁμοίως τῷ Ἰησοῦ Χριστῷ, καθὼς λέγει ὁ θεοκήρυξ Ἀπόστολος· Εἰ γὰρ Αὐτόθι. 5.
σύμφυτοι γεγόναμεν τῷ ὁμοιώματι τοῦ θανάτου αὐτοῦ, ἀλλὰ καὶ τῆς ἀναστάσεως ἐσόμεθα· Ἀκούεις; Σύμφυτοι τῷ ὁμοιώματι τοῦ θανάτου αὐτοῦ· ἐτάφη αὐτὸς, θαπτόμεθα καὶ ἡμεῖς· ἀλλ' αὐτὸς μὲν

ἐτά-

ἐτάφη εἰς τὴν γῆν, ἡμεῖς δὲ εἰς τὸ ὕδωρ· διὰ τοῦτο οὐκ εἶπεν, ὅτι θαπτόμεθα κατὰ τὸν αὐτὸν τρόπον, ἀλλὰ καθ' ὅμοιον τρόπον, Ἐν ὁμοιώματι τοῦ θανάτου αὐτοῦ.

Βλέπε δὲ τοῦτο τὸ ὁμοίωμα εἰς αὐτὴν τὴν τελετὴν τοῦ μυστηρίου τοῦ ἁγίου βαπτίσματος. Ὁ παράδεισος, ἡ πρώτη πατρὶς τοῦ ἀνθρωπίνου γένους,
Γεν. β'. 3. ἐφυτεύθη κατὰ ἀνατολάς· μετὰ τὸ σκότος τῆς νυκτὸς ἀπὸ ἀνατολῶν φαίνεται τὸ ἡλιακὸν φῶς, ὅθεν καὶ ὁ νοητὸς τῆς δικαιοσύνης Ἥλιος, ὁ Χριστὸς, ὁ μετὰ τὸ σκότος τῆς ἁμαρτίας ἀνατείλας, καὶ τὴν κεκλεισμένην τοῦ παραδείσου
Ζαχ. ς'. 12. Λουκ. α'. 78. θύραν ἀνοίξας, Ἀνατολὴ ὠνομάσθη ὑπὸ τῶν ἁγίων Προφητῶν. Διὰ ταῦτα οὖν ὁ βαπτιζόμενος πρῶτον μὲν ἵσταται βλέπων πρὸς δυσμάς, ὅπου τὸ σκότος, καὶ ἀποτάσσεται τῇ δουλείᾳ τοῦ Ἄρχοντος τοῦ σκότους, ἤγουν τοῦ Σατανᾶ, καὶ ἀρνεῖται πάντα τὰ ἔργα αὐτοῦ, τουτέστι πάντα τὰ ἁμαρτήματα, καὶ πᾶσαν τὴν πομπὴν αὐτοῦ, ὅπερ ἐστὶ πάντα ὅσα αὐτὸς ἐπιτηδεύεται πρὸς δόξαν αὐτοῦ, καὶ βλάβην ἡμῶν· καὶ ἐμφυσᾷ μὲν, ἵνα δείξῃ, ὅτι ἀποδιώκει αὐτὸν μακρὰν ἀφ' ἑαυτοῦ, ἐμπτύει δὲ, ἵνα φανερώσῃ, ὅτι βδελύττεται αὐτόν τε καὶ τὰ ἔργα αὐτοῦ. Βλέπε δὲ τὸ ὁμοίωμα· ὁ μὲν Ἰησοῦς Χριστὸς, ὑπ' αὐτοῦ πειραζό-
Αὐτ. δ'. 8. μενος, εἶπεν· Ὕπαγε ὀπίσω μου Σατανᾶ· ὁμοίως καὶ ὅτε αὐτὸς διὰ τοῦ Πέτρου ἐπεχείρησεν ἐμποδίσαι τὸ πάθος καὶ τὸν θάνατον αὐτοῦ, Ὕπαγε,
Ματ. ις'. 23. εἶπεν, ὀπίσω μου Σατανᾶ, σκάνδαλόν μου εἶ· ὁ δὲ βαπτιζόμενος, θέλων λυτρωθῆναι ἀπὸ τῆς δουλείας τῶν πειρασμῶν αὐτοῦ, Ἀποτάσσομαί σοι λέγει, τῷ Σατανᾷ, καὶ πᾶσι τοῖς ἔργοις σου, καὶ πάσῃ τῇ πομπῇ σου.

Μετὰ δὲ τὴν τοιαύτην ἀποταγὴν, στρέψας τὸ πρόσωπον αὐτοῦ πρὸς ἀνατολὰς, ὅπου τὸ φῶς, συντάσσεται τῷ Ἰησοῦ Χριστῷ, ἤγουν ὑπόσχεται μαθητὴς καὶ ἀκόλουθος αὐτοῦ γενέσθαι, καὶ φυλάξαι τὰς ἐντολὰς αὐτοῦ, καθὼς αὐτὸς τὸ θέλημα τοῦ Θεοῦ καὶ Πατρὸς αὐτοῦ· ἔπειτα ὁμολογεῖ ἐνώπιον τῆς Ἐκκλησίας τὴν ἀλήθειαν τῆς πίστεως αὐτοῦ, καθὼς ὁ Ἰησοῦς ἔμπροσθεν τοῦ Πιλάτου τὴν καλὴν ὁμολογίαν· καθὼς δὲ ὁ Ἰησοῦς, ὅταν ἐπλησίασε πρὸς τὸν θάνατον, ἐξεδύθη τὰ ἱμάτια αὐτοῦ, καὶ ἐνεδύθη χλαμύδα κοκκίνην, οὕτω καὶ ὁ βα- Ματ. κζ'. 48.
πτιζόμενος, πλησιάσας πρὸς τὰ ὕδατα, ἐκδύεται τὰ ἱμάτια αὐτοῦ, ἵνα ἐνδυθῇ ἔπειτα τὸν χιτῶνα τῆς εὐφροσύνης· ἐκδύεται καὶ ἐνδύεται, ἵνα δείξῃ, ὅτι ἀπορρίπτει τὸν παλαιὸν ἄνθρωπον, Ἐφεσ. δ'.
τὸν φθειρόμενον κατὰ τὰς ἐπιθυμίας τῆς ἀπάτης, καὶ ἐνδύεται 22, 24.
τὸν καινὸν ἄνθρωπον, τὸν κατὰ Θεὸν κτισθέντα ἐν δικαιοσύνῃ καὶ ὁσιότητι τῆς ἀληθείας. Ἐπειδὴ δὲ καὶ ἡ γυνὴ, ἡ ἀλείψασα τὸν Κύριον μύρῳ πρὸς τὸ ἐνταφιάσαι αὐτὸν ἐποίησε, καὶ διὰ τῶν ἀρωμάτων τοῦ Ἰωσὴφ, καὶ τοῦ μίγματος τῆς σμύρνης Ἰωάν. ιθ'.
καὶ ἀλόης τοῦ Νικοδήμου πρῶτον ἀλείφ- 39, 41.
θη τὸ σῶμα αὐτοῦ, ἔπειτα ἐτάφη ἐν τῷ καινῷ μνημείῳ, διὰ τοῦτο καὶ ὁ βαπτιζόμενος, ἐν ὁμοιώματι τοῦ θανάτου τοῦ Ἰησοῦ, ἐλαίῳ ἀλείφεται τὸ σῶμα αὐτοῦ, πρὶν ἢ ἐνταφιασθῇ εἰς τὸ ὕδωρ τῆς κολυμβήθρας, ἥτις σημαίνει τὸ καινὸν μνημεῖον τοῦ Κυρίου Ἰησοῦ. Τοῦτο δὲ τὸ ἔλαιον δηλοῖ τὴν ἐκκέντρησιν ἡμῶν ἀπὸ Κύριλλ. ἱερ. Κατηχ. Μυσ. 2.
τῆς ἀγριελαίου, ἤγουν τὸν χωρισμὸν ἀπὸ τῆς ἀπιστίας καὶ ἁμαρτίας, καὶ τὸν ἐγκεντρισμὸν εἰς τὴν καλλιέλαιον, τουτέστι τὴν ἕνωσιν μετὰ τῆς πίστεως καὶ ἁγιωσύνης, καὶ ἔχει, διὰ τὴν ἐν αὐτῷ ἐπίκλησιν τοῦ Θεοῦ, δύναμιν διωκτικὴν πασῶν τῶν ἀοράτων τοῦ πονηροῦ δυνάμεων, καὶ καθαρτικὴν τῶν ἁμαρτημάτων.

Τοιου-

Τοιουτοτρόπως δὲ προετοιμασθεὶς ὁ
βαπτιζόμενος, τρὶς καταδύεται εἰς τὸ
ὕδωρ διὰ τὰς τρεῖς νύκτας, καὶ τρὶς
ἀναδύεται διὰ τὰς τρεῖς ἡμέρας, ἐν αἷς
ὁ Χριστὸς ἔμεινεν εἰς τὸν τάφον· ἐπιλέ-
γεται δὲ εἰς μὲν τὴν πρώτην κατάδυσιν
καὶ ἀνάδυσιν τὸ ὄνομα τοῦ Πατρὸς, εἰς
δὲ τὴν δευτέραν τὸ τοῦ Υἱοῦ, εἰς δὲ τὴν
τρίτην τὸ τοῦ ἁγίου Πνεύματος, κατὰ
τὴν παραγγελίαν τοῦ Θεανθρώπου, τὴν
Ματ. κή. λέγουσαν· Πορευθέντες οὖν μαθη-
19. τεύσατε πάντα τὰ ἔθνη, βαπτί-
ζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ
Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁ-
γίου Πνεύματος. Ἐπειδὴ δὲ, ἐν τρι-
σὶ καταδύσεσι, καὶ ἰσαρίθμοις
ταῖς ἐπικλήσεσι τὸ μέγα μυστή-
ριον τοῦ βαπτίσματος τελειοῦ-
Βασ. ἐν λ. περὶ τοῦ ἁγ. Πνεύμ. ται, ὡς μαρτυρεῖ ὁ οὐρανοφάντωρ Βασί-
λειος, διὰ τοῦτο ἐξέρχεται ἐκ τῆς κο-
λυμβήθρας, καθὼς ὁ Χριστὸς ἀνέστη ἐκ
τοῦ τάφου. Τοῦ Χριστοῦ ἡ σὰρξ, με-
τὰ τὴν ἀνάστασιν, πάθους ἀνεπίδεκτος,
καὶ ἄφθαρτος· ὁ βαπτιζόμενος, μετὰ
τὸ βάπτισμα, ὡς σύμφυτος καὶ αὐτῆς
τῆς ἀναστάσεως τοῦ Χριστοῦ, καθα-
ρὸς γίνεται πάσης ἁμαρτίας καὶ ἅ-
γιος.

Ὅτε ἀνέβη ὁ Κύριος ἀπὸ τοῦ ὕδα-
τος τοῦ Ἰορδάνου, ἐν ᾧ ἐβαπτίσθη, εὐ-
θὺς κατῆλθε τὸ Πνεῦμα τὸ ἅγιον ἐπ'
Μάρκ. ά. αὐτόν· Καὶ εὐθέως ἀναβαίνων ἀπὸ
10. τοῦ ὕδατος, εἶδε σχιζομένους τοὺς
οὐρανοὺς, καὶ τὸ Πνεῦμα ὡσεὶ πε-
ριστερὰν καταβαῖνον ἐπ' αὐτόν·
διὰ τοῦτο οὖν, ὅταν καὶ ὁ βαπτιζόμενος
ἐξέλθῃ ἐκ τῆς κολυμβήθρας, χρίεται εὐ-
θὺς διὰ τοῦ ἁγίου Μύρου. Τοῦτο δὲ τὸ
Μύρον, διὰ τὰς ἐπ' αὐτῷ εὐχὰς καὶ ἐ-
πικλήσεις τοῦ Θεοῦ, καὶ τὰς ἐν αὐτῷ
εὐλογίας, ἔχει τὴν χάριν καὶ δύναμιν
τοῦ παναγίου Πνεύματος, ἥτις διὰ τῆς
ἐπὶ τὸν βαπτισθέντα χρίσεως σφραγί-
ζει τὴν δωρεὰν καὶ τὴν ἁγιωσύνην, ἣν ἔ-
λαβε διὰ τοῦ βαπτίσματος.

Ποίαν δὲ δωρεὰν, ἢ ὀρθότερον εἰ-
πεῖν, ποίας δωρεὰς καὶ χαρίσματα ἔλα-
βεν ὁ βαπτισθεὶς ἄνθρωπος; Ἔλαβε
τὴν ἄφεσιν καὶ τὴν τελείαν ἐξάλειψιν οὐ
μόνον πασῶν τῶν προαιρετικῶν αὐτοῦ ἁ-
μαρτιῶν, ἀλλὰ καὶ ἐκείνης τῆς ἁμαρ-
τίας, μεθ' ἧς συνελήφθη, καὶ μεθ' ἧς ἐ-
κίσσησεν αὐτὸν ἡ μήτηρ αὐτοῦ· ἐκείνης Ψαλ. ν.
τῆς ἁμαρτίας, διὰ τὴν ὁποίαν ἁμαρτω- 6.
λοὶ γεγόνασιν οὐ μόνον οἱ δύω πρωτό-
πλαστοι, οἱ ταύτην τελέσαντες, ἀλλὰ δι'
αὐτῶν καὶ ὅλον τὸ ἀνθρώπινον γένος·
ἐκείνης τῆς ἁμαρτίας, διὰ τὴν ὁποίαν ἐ-
ξωρίσθημεν τοῦ παραδείσου, γεγόναμεν
θνητοὶ καὶ φθαρτοὶ, ἀπηλλοτριώθημεν
τοῦ Θεοῦ, καὶ κατεστάθημεν δοῦλοι τοῦ
Διαβόλου· ἐκείνης τῆς ἁμαρτίας, διὰ τὴν
ὁποίαν τοσοῦτον ὠργίσθη ὁ Θεὸς, ὥστε
δι' οὐδενὸς ἄλλου τρόπου ἐξιλεώθη, εἰμὴ
διὰ τοῦ σταυρικοῦ θανάτου, καὶ τῆς ἐκ-
χύσεως τοῦ αἵματος τοῦ μονογενοῦς Υἱοῦ
αὐτοῦ· ἐκείνης τῆς ἁμαρτίας, τὴν ὁποίαν
ὁ Θεὸς δι' οὐδενὸς ἄλλου τρόπου συγχω-
ρεῖ, εἰμὴ διὰ τοῦ ἐν ὕδατι καὶ Πνεύμα-
τι βαπτίσματος· Ἐὰν μή τις γεννη- Ἰωάν. γ'.
θῇ ἐξ ὕδατος καὶ Πνεύματος, οὐ 5.
δύναται εἰσελθεῖν εἰς τὴν βασι-
λείαν τοῦ Θεοῦ.

Ἐκ τούτων τῶν δεσποτικῶν λόγων,
φανερόν ἐστιν, ὅτι τὸ βάπτισμά ἐστι
γέννησις. Καὶ ὁ μὲν Νικόδημος, ὅταν ἤ-
κουσε γέννησιν, ἐξηπόρησεν, ἐπειδὴ οὐκ
ἠδυνήθη νὰ καταλάβῃ περὶ ποίας γεννή-
σεως ἐλάλει ὁ Σωτήρ· ἡμεῖς δὲ, διδαχ-
θέντες ὑπὸ τῆς πρὸς τὸν Νικόδημον ἀ-
ποκρίσεως τοῦ Σωτῆρος, ὅτι οὐκ ἔστι
γέννησις σαρκικὴ, ἀλλὰ πνευματική· Τὸ Αὐτόθι.
γεγεννημένον ἐκ τῆς σαρκὸς, σάρξ 6.
ἐστι, καὶ τὸ γεγεννημένον ἐκ τοῦ
Πνεύματος, πνεῦμά ἐστιν· οὐκ ἀ-
πορούμεν, ἀλλὰ πεπληροφορημένοι ἐσμὲν,
ὅτι

ὅτι ὁ δι᾽ ὕδατος καὶ Πνεύματος βαπτισθεὶς, ἀναγεννᾶται τὴν πνευματικὴν ἀναγέννησιν, γίνεται ἠγαπημένος ἀντὶ μεμισημένου, φίλος ἀντὶ ἐχθροῦ, υἱὸς καὶ κληρονόμος τῆς βασιλείας τοῦ Θεοῦ ἀντὶ ξένου καὶ ἀπηλλοτριωμένου· ἐνοικίζει αὐτὸν τὸν Ἰησοῦν Χριστὸν εἰς τὴν ψυχὴν αὐτοῦ· Ὅσοι γὰρ εἰς Χριστὸν ἐβαπτίσθητε, λέγει ὁ θεσπέσιος Παῦλος, Χριστὸν ἐνεδύσασθε· ἐντεῦθεν λαμβάνει τὸν θεῖον φωτισμὸν καὶ τὴν χάριν, λαμβάνει τὰ χαρίσματα τοῦ παναγίου Πνεύματος, γίνεται σκεῦος ἐπιτήδειον τῶν λοιπῶν μυστηρίων, τοῦ προορατικοῦ χαρίσματος, τῶν θείων ὀπτασιῶν, τῆς δυνάμεως τῶν θαυμάτων. Καὶ ὅστις μὲν φυλάξῃ τὸ μέγα τοῦ βαπτίσματος χάρισμα ἀμίαντον καὶ ἀμόλυντον, ἐκεῖνος μετὰ θάνατον εὑρίσκει ἀνεωγμένην τὴν θύραν τῆς ἐπουρανίου βασιλείας, ἐνδεδυμένος δὲ τοῦ γάμου τὸ ἔνδυμα, εἰσέρχεται εἰς τὸν νυμφῶνα τὸν θεῖον, καὶ εἰς τὰς λαμπρότητας τῶν ἁγίων, ἵνα χαίρῃ τὴν χαρὰν τὴν ἀνεκλάλητον, καὶ ἀπολαμβάνῃ, τότε μὲν ἐν μέρει, μετὰ δὲ τὴν τῶν νεκρῶν ἀνάστασιν καὶ τὴν παγκόσμιον κρίσιν, καθολικῶς τῆς τοῦ Θεοῦ δόξης καὶ μακαριότητος. Τί δὲ ἄραγε ἔσται δι᾽ ἐκεῖνον τὸν πανάθλιον ἄνθρωπον, ὅστις, καταφρονήσας ταύτην τοῦ Θεοῦ τὴν δωρεὰν, μολύνει διὰ τῶν ἁμαρτιῶν αὐτοῦ τὸν ἐπουράνιον χιτῶνα τοῦ θείου βαπτίσματος; σώζεται ἄρά γε αὐτός; ἄρά γε ἔχει σωτηρίας ἐλπίδα ὁ τοιοῦτος ἄνθρωπος; Ἀκούσατε.

Γαλ. γ΄. 27.

Ἡμεῖς ὁμολογοῦμεν ἓν βάπτισμα, ἐξαλειπτικὸν τῶν ἁμαρτημάτων· Ὁμολογῶ, λέγει καθεὶς, ἓν βάπτισμα εἰς ἄφεσιν ἁμαρτιῶν· τοῦτο δέ ἐστι τὸ δι᾽ ὕδατος καὶ Πνεύματος βάπτισμα, τὸ μὴ δευτερούμενον, εἰς ὃ καὶ αὐτὸς ἐβαπτίσθη ὁ Χριστός· πλὴν ἐκτὸς τούτου τοῦ βαπτίσματος εἰσὶ καὶ ἄλλα δύω, τὸ μὲν, κατὰ πάντα ἰσοδύναμον τῷ δι᾽ ὕδατος καὶ Πνεύματος βαπτίσματι, τὸ δὲ, ἐξαλειπτικὸν πασῶν τῶν ἁμαρτιῶν, πλὴν τῆς προπατορικῆς ἁμαρτίας· τὸ μὲν πρῶτον ἐστὶ τὸ διὰ τοῦ μαρτυρικοῦ αἵματος βάπτισμα, τὸ δὲ δεύτερον, τὸ διὰ τῶν δακρύων τῆς μετανοίας.

Εἰς τὸ διὰ μαρτυρίου καὶ αὐτὸς ὁ Ἰησοῦς Χριστὸς ἐβαπτίσθη, τὸ ἴδιον αἷμα ἐκχέας εἰς μαρτύριον τῆς τοῦ Θεοῦ ἀληθείας· διὸ καὶ ἠρώτα τὸν Ἰάκωβον καὶ τὸν Ἰωάννην, λέγων· Δύνασθε πιεῖν τὸ ποτήριον, ὃ ἐγὼ μέλλω πίνειν, καὶ τὸ βάπτισμα, ὃ ἐγὼ βαπτίζομαι, βαπτισθῆναι; Τοῦτο δὲ τὸ βάπτισμα ἀναγκαῖον ἦν ἐξόχως εἰς τὸν παλαιὸν καιρὸν, διότι τότε οἱ τύραννοι ἥρπαζον ἐξαίφνης τοὺς πιστοὺς, πολλάκις ἔτι ἀβαπτίστους, ἢ ἐπειδὴ οὐκ ἔλαβον καιρὸν βαπτισθῆναι, καθότι κατ᾽ ἐκείνην τὴν ὥραν ἐπίστευσαν, καὶ τὸν Χριστὸν ὡμολόγησαν, ἢ ἐπειδὴ διὰ τοὺς φόβους καὶ διωγμοὺς βαπτιστὴν οὐχ εὕρισκον· ἁρπάζοντες δὲ αὐτοὺς, μετὰ τὰ πολλὰ βασανιστήρια, κατέσφαττον αὐτοὺς ὡς πρόβατα ἐν μακέλλῳ, καὶ οὕτως ἐκεῖνοι ἐβαπτίζοντο ἐν τῷ ἰδίῳ αἵματι· τοῦτο δὲ τὸ βάπτισμα, λέγει ὁ μέγας Θεολόγος Γρηγόριος, ἐστὶ πολὺ σεβασμιώτερον τῶν ἄλλων, καθότι μένει ἀμόλυντον πάσης ἁμαρτίας· Οἶδα τὸ διὰ μαρτυρίου βάπτισμα, ὃ καὶ αὐτὸς ὁ Χριστὸς ἐβαπτίσατο, καὶ πολύ γε τῶν ἄλλων αἰδεσιμώτερον, ὅσῳ δευτέροις ῥύποις οὐ μολύνεται.

Ματ. κ΄. 22.

Γρηγ. ἐν Λ. λθ΄.

Τὸ δὲ διὰ τῶν δακρύων βάπτισμα ἄχρι τῆς σήμερον ἀναγκαιότατόν ἐστιν εἰς πάντας τοὺς ἀνθρώπους· διέταξε δὲ τοῦτο ὁ Θεάνθρωπος Ἰησοῦς, ὅτε ἔδωκε τὴν ἐξουσίαν εἰς τοὺς αὐτοῦ μαθητὰς τοῦ λύειν καὶ δεσμεῖν τὰς ἁμαρτίας, εἰπών·

Ἰωάν. κ'. 23. πῶν· Ἄν τινων ἀφῆτε τὰς ἁμαρτίας, ἀφίενται αὐτοῖς· ἄν τινων κρατῆτε, κεκράτηνται. Βαπτίζεται δὲ εἰς τοῦτο τὸ βάπτισμα, ὅστις, καθὼς ὁ προφήτης Δαβὶδ, κοπιάζει ἐν τῷ στεναγμῷ αὐτοῦ, καὶ καθ' ἑκάστην λούει τὴν κλίνην, καὶ βρέχει τὴν στρωμνὴν αὐτοῦ ἐν δάκρυσιν· ὅστις μιμεῖται τὴν τοῦ Μανασσῆ ἐπιστροφὴν, καὶ τὴν τῶν Νινευϊτῶν ἠλεημένην ταπείνωσιν· ὅστις, τύπτων τὸ στῆθος, λέγει τὰς φωνὰς τοῦ Τελώνου, καὶ κλαίει πικρῶς διὰ τὴν ἁμαρτίαν αὐτοῦ, καθὼς ὁ Πέτρος· τοῦτο δὲ τὸ βάπτισμα ἀποδεικνύει τὴν ἄπειρον τοῦ Θεοῦ εὐσπλαγχνίαν ὑπὲρ πᾶσαν ἄλλην ἀπόδειξιν. Ἐστέναξας; μετενόησας; ἐπέστρεψας; ἔχυσας διὰ τὰς ἁμαρτίας σου δάκρυον; ἔλαβες εὐθὺς τὴν συγχώρησιν τῶν ἁμαρτημάτων σου, καὶ ἐβαπτίσθης διὰ τῶν δακρύων σου· Καὶ δάκρυον στάξαν, εἶπεν ὁ ἐν ἁγίοις Γρηγόριος ὁ Νύσσης, ἰσοδυναμεῖ τῷ λουτρῷ· ὅστις καταφρονεῖ τούτου τοῦ βαπτίσματος, ἐκεῖνος οὐδεμίαν ἔχει ἐλπίδα σωτηρίας, ἐπειδὴ οὐδείς ἐστι ἀναμάρτητος, εἰμὴ εἷς μόνος ὁ Θεός· Αὐτῷ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Γρηγ. ὁ Νύσ. εἰς τὸν περὶ Μετάν. Λ.

# ΕΡΜΗΝΕΙΑ

ΕΙΣ ΤΟ ΚΑΤΑ

# ΜΑΤΘΑΙΟΝ

## ΕΥΑΓΓΕΛΙΟΝ ΤΗΣ ΚΥΡΙΑΚΗΣ ΜΕΤΑ ΤΑ ΦΩΤΑ.

Καὶ προεόρτια καὶ μεθέορτα ἐδιώρισεν ἡ Ἐκκλησία τοῦ Θεοῦ εἰς πᾶσαν μεγάλην ἑορτὴν, ἵνα πρὸ τῆς ἑορτῆς ἑτοιμαζώμεθα διὰ τῆς μετανοίας καὶ τῶν καλῶν ἔργων, καὶ μετὰ τὴν ἑορτὴν τὰς δοξολογίας καὶ εὐχαριστίας προσφέρωμεν εἰς τὸν Θεὸν, τὸν καταξιώσαντα ἡμᾶς ἑορτάσαι θεοπρεπῶς. Διὰ τοῦτο οὖν οἱ παλαιοὶ ἐκεῖνοι καὶ σεβάσμιοι ἄνδρες, οἱ τὰς περικοπὰς διατάξαντες τῶν καθ' ἑκάστην ἡμέραν ἀναγινωσκομένων ἐν τῇ Ἐκκλησίᾳ Εὐαγγελίων, ἀφιέρωσαν τὴν προσοχὴν αὐτῶν, ἵνα, οὐ μόνον τὰ εἰς τὴν ἑορτὴν, ἀλλὰ καὶ τὰ εἰς τὴν προεόρτιον, καὶ τὰ εἰς τὴν μεθέορτον ἡμέραν ἀναγινωσκόμενα εὐαγγελικὰ λόγια, ἔχωσι σχέσιν καὶ ἀναφορὰν εἰς τῆς ἑορτῆς τὴν ὑπόθεσιν. Βλέπε τοῦτο εἰς τὸ ἀναγνωσθὲν Εὐαγγέλιον ἐν τῇ πρὸ τῶν Φώτων, καὶ ἐν τῇ μετὰ τὰ Φῶτα Κυριακῇ, ἥτις ἐστὶν ἡ σήμερον ἡμέρα. Εἰς τὴν πρὸ τῶν Φώτων Κυριακὴν ἀνεγνώσθησαν τὰ εὐαγγελικὰ λόγια, τὰ διαλαμβάνοντα περὶ τοῦ βίου καὶ τῆς πολιτείας τοῦ Ἰωάννου τοῦ Βαπτιστοῦ· τὴν σήμερον δὲ ἀνεγνώσθη ἡ περικοπὴ, ἡ ἱστοροῦσα, ὅτι ὁ μὲν Ἰωάννης ὁ Βαπτιστὴς παρεδόθη εἰς θάνατον, ὁ δὲ Ἰησοῦς Χριστὸς ἀνεχώρησε μὲν ἐκ τῆς Ἰουδαίας, ἐλθὼν δὲ εἰς τὴν Γαλιλαίαν, ἐκήρυττε τῆς μετανοίας τὸ βάπτισμα. Καὶ τὰ μὲν λόγια τῆς ἱστορίας ταύτης εἰσὶν ὀλίγα, τὰ δὲ ἐν αὐτοῖς νοήματα πολλά· ἡ ἱστορία ἐστὶ σύντομος, ἀλλ' ἡ ἐξ αὐτῆς ὠφέλεια μεγάλη, καθότι περιέχει διδασκαλίαν, ἥτις μετακομίζει τὸν μετ' εὐλαβείας αὐτὴν ἀκούοντα ἀπὸ τὰ κατώτατα τῆς γῆς μέρη εἰς τοῦ οὐρανοῦ τὸ μακάριον ὕψος.

Ματ. δ'. 12. **Τῷ καιρῷ ἐκείνῳ, ἀκούσας ὁ Ἰησοῦς, ὅτι Ἰωάννης παρεδόθη, ἀνεχώρησεν εἰς τὴν Γαλιλαίαν.**

Ὁ Πρόδρομος Ἰωάννης ἤλεγχε τὸν Ἡρώδην τὸν Τετράρχην, καθότι αὐτὸς, ζῶντος τοῦ ἀδελφοῦ αὐτοῦ Φιλίππου, ἐφθείρετο μετὰ τῆς Ἡρωδιάδος τῆς γυναικὸς αὐτοῦ, καὶ ἄλλας δὲ πολλὰς παρανο-
Μάρκ. ϛ'. 18. μίας ἐποίει· Οὐκ ἔξεστί σοι, ἔλεγε πρὸς αὐτὸν ὁ Ἰωάννης, ἔχειν τὴν γυναῖκα τοῦ ἀδελφοῦ σου. Θυμωθεὶς οὖν ὁ Ἡρώδης, πρὸς ταῖς ἄλλαις ἀνομίαις αὐτοῦ προσέθηκε καὶ ταύτην, ἤγουν κατέκλεισε τὸν Ἰωάννην εἰς τὴν
Λουκ. γ'. 19, 20. φυλακήν· Ὁ δὲ Ἡρώδης ὁ Τετράρχης, λέγει ὁ Εὐαγγελιστὴς Λουκᾶς, ἐλεγχόμενος ὑπ' αὐτοῦ, ἤγουν τοῦ Ἰωάννου, περὶ Ἡρωδιάδος τῆς γυναικὸς Φιλίππου τοῦ ἀδελφοῦ αὐτοῦ, προσέθηκε καὶ τοῦτο ἐπὶ πᾶσι, καὶ κατέκλεισε τὸν Ἰωάννην ἐν τῇ φυλακῇ. Μετὰ ταῦτα, ὅτε
Ματ. ιδ'. 10. ἑώρταζε τὰ γενέσια αὐτοῦ, ἀπεκεφάλισεν αὐτόν. Ὅτε οὖν ἤκουσεν ὁ Θεάνθρωπος Ἰησοῦς, ὅτι ὁ Ἡρώδης παρέδωκε τὸν Ἰωάννην εἰς τὴν φυλακὴν, τότε ἀνεχώρησεν ἀπὸ τῆς Ἰουδαίας, καὶ ἦλθεν εἰς τὴν Γαλιλαίαν, ὅπου τότε καὶ Ἰουδαῖοι κατῴκουν καὶ ἐθνικοί. Σημείωσαι δὲ ἐνταῦθα δύω τινὰ, πρῶτον μὲν, ὅτι μιμητὴς τοῦ Ἡρώδου γίνεται ἐκεῖνος, ὅστις μισεῖ καὶ κατατρέχει ἐκεῖνον τὸν ἄνθρωπον, ὅστις, ζήλῳ θείῳ κινούμενος, χωρίς τινος κολακείας νουθετῶν αὐτὸν, ἐλέγχει τὰς παρανομίας αὐτοῦ, σκοπὸν ἔχων, καὶ ἐπιθυμῶν τὴν τούτου διόρθωσιν· δεύτερον δὲ, ὅτι ὁ Ἰησοῦς Χριστὸς φεύγει ἀπὸ τῆς Ἰουδαίας, οὐχὶ φοβούμενος τὸν κίνδυνον καὶ τὴν καταδρομήν· διότι τίνα ἐφοβεῖτο ἐκεῖνος, ὃν φρίττει καὶ τρέμει τὰ ἐπουράνια, καὶ τὰ ἐπίγεια, καὶ τὰ καταχθόνια; φεύγει αὐτὸς, Θεὸς ὢν παντοδύναμος, οὐχὶ ἐπειδὴ ἐφοβήθη, μήπως οἱ φθονοῦντες αὐτὸν Ἰουδαῖοι παραδώσουσιν αὐτὸν εἰς τὰς χεῖρας τοῦ Ἡρώδου, ὁ δὲ Ἡρώδης κατακλείσῃ αὐτὸν εἰς τὴν φυλακὴν, καθὼς καὶ τὸν Ἰωάννην· διότι ὅταν αὐτὸς ἠθέλησε, τότε, αὐτεξουσίως παραδοθεὶς εἰς τὰς χεῖρας αὐτῶν, καὶ ἔπαθε, καὶ ἐσταυρώθη, καὶ ἀπέθανεν· ἀλλὰ φεύγει, ἵνα καὶ διὰ τῶν ἔργων δείξῃ ἐκεῖνο, ὅπερ
διὰ λόγου ἐδίδαξεν· Ὅταν δὲ διώκω- Ματ. ι'. 23.
σιν ὑμᾶς, εἶπεν, ἐν τῇ πόλει ταύτῃ, φεύγετε εἰς τὴν ἄλλην· φεύγει, ἵνα μάθωμεν, ὅτι πρέπον ἐστὶν, ἵνα δίδωμεν τόπον τῇ ὀργῇ, φεύγοντες ἐκεῖθεν, ὅπου ἐστὶ κίνδυνος ψυχῆς, ἢ ζωῆς.

**Καὶ καταλιπὼν τὴν Ναζαρὲτ,** Αὐτ. δ'. 13.
**ἐλθὼν κατῴκησεν εἰς Καπερναοὺμ τὴν παραθαλασσίαν, ἐν ὁρίοις Ζαβουλὼν καὶ Νεφθαλείμ.**

Εἰς τὴν Ναζαρὲτ ὁ Ἰησοῦς Χριστὸς Λουκ. δ'. 16.
ἀνετράφη, καὶ ἐκεῖ πολὺν καιρὸν ἔζησεν· ἐκ τούτου πολλοὶ ἐνόμιζον, ὅτι ἡ Ναζαρέτ ἐστιν ἡ πατρὶς αὐτοῦ, καὶ ἐκάλουν
αὐτὸν Ναζωραῖον· Ἐκ Ναζαρὲτ δύ- Ἰωάν. α'. 47.
ναταί τι ἀγαθὸν εἶναι; ἔλεγεν ὁ Ναθαναήλ· καὶ ὁ Ἄγγελος δὲ, ὁ φανεὶς ταῖς Μυροφόροις, Ναζαρηνὸν αὐτὸν ὠνόμασε, κατὰ τὴν τῶν πολλῶν ὑπόληψιν·
Ἰησοῦν, εἶπε, ζητεῖτε τὸν Ναζαρη- Μάρκ. ιϛ'. 6.
νὸν τὸν ἐσταυρωμένον· ἠγέρθη, οὐκ ἔστιν ὧδε. Κατέλιπεν ὅμως τὴν Ναζαρὲτ ὁ Ἰησοῦς, ὅταν ἤκουσεν, ὅτι ὁ Ἰωάννης παρεδόθη εἰς τὴν φυλακὴν, καὶ ἐλθὼν κατῴκησεν εἰς τὴν Καπερναοὺμ, ἥτις ἦν πόλις τῆς Γαλιλαίας παραθαλάσσιος, κειμένη εἰς τὰ σύνορα τῆς

γῆς

γῆς τῶν φυλῶν Ζαβουλὼν καὶ Νεφθαλείμ. Περιέγραψε δὲ ὁ Εὐαγγελιστὴς μετὰ ἀκριβείας τὴν ἐπαρχίαν, καὶ τὴν τοποθεσίαν, καὶ τὰ ὅρια τῆς Καπερναοὺμ, ἵνα ἀποδείξῃ πεπληρωμένα τὰ περὶ ταύτης τῆς ὑποθέσεως προφητικὰ λόγια τοῦ Προφήτου Ἡσαΐου. Ἀλλ' ἐὰν ὁ Ἰησοῦς Χριστὸς ἔφυγεν ἀπὸ τῆς Ναζαρὲτ, καὶ ἦλθεν εἰς τὴν Καπερναοὺμ, ἵνα δείξῃ ἡμῖν τὸ παράδειγμα τῆς φυγῆς τῶν κινδύνων, ὡς εἴπομεν, πῶς συμβιβάζονται τὰ ἑξῆς λόγια τοῦ Εὐαγγελιστοῦ, ὅστις λέγει, ὅτι ὁ Χριστὸς ἔφυγεν, ἵνα πληρωθῇ τοῦ Ἡσαΐου ἡ προφητεία;

Ματ. δ'. 14. Ἵνα πληρωθῇ τὸ ῥηθὲν διὰ
Ἡσαΐου τοῦ προφήτου, λέ-
15. γοντος· Γῆ Ζαβουλὼν, καὶ
γῆ Νεφθαλείμ, ὁδὸν θαλάσ-
σης, πέραν τοῦ Ἰορδάνου, Γα-
16. λιλαία τῶν ἐθνῶν. Ὁ λαὸς,
ὁ καθήμενος ἐν σκότει, εἶδε
φῶς μέγα, καὶ τοῖς καθημέ-
νοις ἐν χώρᾳ καὶ σκιᾷ θα-
νάτου, φῶς ἀνέτειλεν αὐτοῖς.

Τοῦτο τὸ, ἵνα, ἐνταῦθα, καθὼς καὶ εἰς ἄλλους τόπους τῆς θείας Γραφῆς, οὐ σημαίνει τὸν σκοπὸν καὶ τὸ τέλος, ἀλλὰ τὴν ἔκβασιν καὶ ἐκπλήρωσιν τοῦ πράγματος· ἔστι δὲ τὸ νόημα τοιοῦτον. Κατοικήσας ὁ Ἰησοῦς εἰς τὴν Καπερναοὺμ, ἐπλήρωσε τὴν προφητείαν τοῦ Ἡσαΐου, ὅστις προφητικῶς εἶπεν, ὅτι ἡ γῆ Ζαβουλὼν, καὶ ἡ γῆ Νεφθαλείμ, ἡ κειμένη κατὰ τὴν ὁδὸν τῆς θαλάσσης, τουτέστι ἡ γῆ τούτων τῶν δύω φυλῶν ἡ παραθαλάσσιος, ἡ πέραν τοῦ Ἰορδάνου, ἥτις ἐστὶν ἡ Γαλιλαία, ἐν ᾗ καὶ ἐθνικοὶ κατῴκουν, ὄψεται τὸ φῶς. Βλέπε δὲ πῶς διαστέλλει τοὺς Ἰουδαίους ἀπὸ τῶν ἐθνικῶν, κἂν εἰς τὴν αὐτὴν γῆν κατῴκουν, τὴν Γαλιλαίαν· Γῆ Ζαβουλὼν, λέγει, καὶ γῆ Νεφθαλείμ, ἤγουν οἱ Ἰουδαῖοι, οἱ ἐκ τῆς φυλῆς τοῦ Ζαβουλὼν καὶ Νεφθαλείμ· Γαλιλαία τῶν ἐθνῶν, τουτέστιν ἡ Γαλιλαία, ἐν ᾗ κατοικοῦσιν οἱ ἐθνικοί. Ἔπειτα περὶ μὲν τοῦ Ἰουδαϊκοῦ λαοῦ λέγει, ὅτι ἐκάθητο ἐν τῷ σκότει, καθότι οὐκ ἐγνώριζε τὸν Ἰησοῦν Χριστὸν, κἂν οἱ Προφῆται τοῦτον προκατήγγειλαν καὶ προεκήρυξαν, ὅτε δὲ αὐτὸς ἦλθεν εἰς τὴν γῆν Ζαβουλὼν καὶ Νεφθαλείμ, καὶ ἐκάλεσεν αὐτοὺς, τότε αὐτοὶ, προδιατεθειμένοι ὄντες ὑπὸ τῆς διδασκαλίας τῶν Προφητῶν, εἶδον καὶ ἐγνώρισαν, ὅτι αὐτός ἐστι τὸ μέγα Φῶς, τὸ προάναρχον καὶ δημιουργικὸν Φῶς, τὸ φωτίζον πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον, ὁ Θεὸς δηλαδὴ ὁ ἀληθινός· τότε τῶν Ἀποστόλων οἱ πρόκριτοι, ὁ Πέτρος, ὁ Ἀνδρέας, ὁ Ἰάκωβος, ὁ Ἰωάννης, εἰς τὴν Γαλιλαίαν εὑρισκόμενοι, καὶ εἰς τὴν ἐκεῖ θάλασσαν ἁλιεύοντες, ἐπίστευσαν εἰς αὐτόν· Ὁ λαὸς, ὁ καθήμενος ἐν Ἡσ. θ'. 1, 2,
σκότει, εἶδε φῶς μέγα. Περὶ δὲ τῶν ἐθνικῶν λέγει, ὅτι ἐκάθηντο ἐν χώρᾳ, ἤγουν ἐν αὐτῇ τῇ ἀσεβείᾳ κατέκειντο, τὸν ἀληθινὸν Θεὸν μηδόλως σεβόμενοι, καὶ σκιᾷ θανάτου, τουτέστιν ἐν τῇ ἁμαρτίᾳ, ἥτις λέγεται σκιὰ θανάτου, καθότι θανατοῖ μὲν τὴν ψυχὴν, οὐ διαλύει δὲ αὐτὴν, καθὼς ὁ θάνατος διαλύει τὸ σῶμα· καὶ εἰς αὐτοὺς, λέγει, ἀνέτειλε φῶς, ἤγουν αὐτὸς ὁ Χριστὸς, ἀπροσδοκήτως δὲ καὶ ἀνελπίστως ἐφάνη, καὶ ἐφώτισεν αὐτοὺς, καθότι τὰ ἔθνη οὐδὲ ἤλπιζον, οὐδὲ περιέμενον τὸν Σωτῆρα τοῦ κόσμου καὶ Λυτρωτήν· Καὶ τοῖς καθημένοις ἐν χώρᾳ καὶ σκιᾷ θανάτου, φῶς ἀνέτειλεν αὐτοῖς.

Ὅτε

Ὅτε οὖν ἦλθεν ὁ Ἰησοῦς Χριστὸς εἰς τὴν Γαλιλαίαν, τότε ἤρξατο κηρύττειν τῆς μετανοίας τὸ κήρυγμα.

Ματ. δ'. 17. **Ἀπὸ τότε ἤρξατο ὁ Ἰησοῦς κηρύσσειν, καὶ λέγειν· Μετανοεῖτε· ἤγγικε γὰρ ἡ βασιλεία τῶν οὐρανῶν.**

Ἀπὸ τότε, λέγει· ἀλλ' ἀπὸ πότε; ἀφότου ὁ Ἰωάννης παρεδόθη εἰς τὴν φυλακήν· ἀλλὰ διατί ἀπὸ τότε; διότι ἀναγκαῖον ἦν, ἵνα πρῶτον κηρύξῃ καὶ μαρτυρήσῃ περὶ τοῦ Χριστοῦ ὁ Ἰωάννης, ὁ Προφήτης, καὶ Πρόδρομος, καὶ Βαπτιστὴς αὐτοῦ· ἐπειδή, ἐάν, καὶ μετὰ τὰς τοσαύτας μαρτυρίας τοῦ Ἰωάννου περὶ τοῦ Χριστοῦ, οἱ Φαρισαῖοι, φθόνῳ δου-
Ἰωάν. η'. 13. λεύοντες, ἤλεγχον τὸν Χριστόν, λέγοντες· Σὺ περὶ σεαυτοῦ μαρτυρεῖς· ἡ μαρτυρία σου οὐκ ἔστιν ἀληθής· τί οὐκ ἔλεγον, ἐὰν ὁ Ἰωάννης οὐκ ἐμαρτύρει παῤῥησίᾳ μεταξὺ τῶν
Αὐτ. α'. 29. πολλῶν ἄλλων μαρτυριῶν, καὶ ταύτην τὴν ἐπίσημον μαρτυρίαν· Ἴδε ὁ ἀμνὸς τοῦ Θεοῦ, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου, δι' ἧς ἀνεκήρυξεν αὐτὸν Υἱὸν Θεοῦ καὶ Σωτῆρα τοῦ ἀνθρωπίνου γένους; Ἐσιώπα οὖν ὁ Ἰησοῦς Χριστὸς τῆς μετανοίας τὸ κήρυγμα, ἐν ὅσῳ ὁ Ἰωάννης τοῦτο ἐκήρυττεν, ἵνα αὐτὸς πρῶτον, ἐκπληρώσας τὸ προφητικὸν καὶ προδρομικὸν αὐτοῦ ἐπάγγελμα, προδιαθέσῃ τὰς καρδίας τῶν ἀνθρώπων εἰς τὴν ὑποδοχὴν τοῦ εὐαγγελικοῦ κηρύγματος. Ὅταν δὲ ὁ Ἰωάννης, παραδοθεὶς εἰς φυλακὴν καὶ θάνατον, ἐτελείωσε τὸ ἔργον αὐτοῦ, ἔπαυσε δὲ παντελῶς ἡ νομικὴ προφητεία καὶ τοῦ νόμου τὸ κήρυγμα· ἐπειδὴ πάντες οἱ Προφῆται καὶ ὁ Νόμος ἕως Ἰωάννου προεφήτευσαν· τότε ἤρξατο ὁ Ἰησοῦς κηρύττειν καὶ λέγειν· Ἄνθρωποι, μετανοεῖτε, ἐπιστρέψατε ἐκ τῆς πλάνης τῆς ἀπιστίας, καὶ ἀνάστητε ἐκ τοῦ βυθοῦ τῶν ἁμαρτιῶν ἡμῶν. Διατί δὲ εἶπεν, Ἤγγικε γὰρ ἡ βασιλεία τῶν οὐρανῶν; Διότι, πρὶν τῆς ἐνανθρωπήσεως αὐτοῦ, καὶ τοῦ εὐαγγελικοῦ αὐτοῦ κηρύγματος, μακρὰν ἀπεῖχεν ἀπὸ τῶν ἀνθρώπων ἡ βασιλεία τῶν οὐρανῶν, καὶ οὐδεὶς ἐκληρονόμει αὐτήν, κἂν δίκαιος ἦν, κἂν ἅγιος· ὅθεν καὶ ἐπεθύμουν οἱ ἐν κόσμῳ ἅγιοι ἰδεῖν ὅσα εἶδον καὶ ἤκου-
σαν οἱ Ἀπόστολοι, ἵνα καὶ τῆς βα- Ματ. ιγ'. 17.
σιλείας αὐτοῦ ἀπολαύσωσι· Πολλοὶ Προφῆται καὶ δίκαιοι, εἶπεν ὁ Κύριος, ἐπεθύμησαν ἰδεῖν ἃ βλέπετε, καὶ οὐκ εἶδον, καὶ ἀκοῦσαι ἃ ἀκούετε, καὶ οὐκ ἤκουσαν· εἶδον δὲ ταῦτα μόνον ἐν ὀπτασίαις καὶ ἐν συμβόλοις, καθὼς ὁ πατριάρχης Ἀβραάμ, ὅταν, προσφέρων τῷ Θεῷ τὸν Ἰσαὰκ εἰς
ὁλοκάρπωσιν, εἶδε τὸν κριὸν κατεχόμε- Γεν. κβ'. 13.
νον τῶν κεράτων, καὶ κρεμάμενον ἐν φυτῷ Σαβέκ, ἤγουν τὸ σύμβολον τοῦ ἐν σταυρῷ κρεμασθέντος Ἰησοῦ Χριστοῦ· ἔπειτα εἶδεν, ὅτι ὁ μὲν υἱὸς αὐτοῦ διέμεινε χωρὶς πάθους, ὁ δὲ κριὸς ἐθυσιάσθη, καθὼς ἀπαθὴς διέμεινεν ἡ Θεότης τοῦ Ἰησοῦ ἐν τῷ καιρῷ τοῦ πάθους καὶ
τοῦ σταυροῦ, ἐθυσιάσθη δὲ τὸ πανά- Ἰωάν. η'. 56.
γιον αὐτοῦ σῶμα· Ἀβραὰμ ὁ πατὴρ ὑμῶν ἠγαλλιάσατο, ἵνα ἴδῃ τὴν ἡμέραν τὴν ἐμήν, καὶ εἶδε, καὶ ἐχάρη. Ὅτε δὲ ὁ μονογενὴς Υἱὸς τοῦ Θεοῦ, ἐνανθρωπήσας, ἐφάνη εἰς τὸν κόσμον, καὶ ἐκήρυξε σωτηρίαν εἰς τοὺς ἀνθρώπους, τότε ἤγγισε, καὶ ἐπλησίασε πρὸς αὐτοὺς ἡ βασιλεία τῶν οὐρανῶν, διότι πάντες οἱ εἰς αὐτὸν πιστεύσαντες, καὶ βαπτισθέντες, καὶ τὰς ἁγίας αὐτοῦ ἐντολὰς φυλάξαντες, γεγόνασι συμμέτοχοι τῆς βασι-
λείας αὐτοῦ καὶ κληρονόμοι· Ὁ πιστεύ- Μάρκ ιϛ'. 16.
σας, εἶπεν αὐτὸς ὁ Λυτρωτὴς τοῦ κόσμου, καὶ βαπτισθείς, σωθήσεται. ὁ δὲ ἀπιστήσας κατακριθήσεται.

# ΟΜΙΛΙΑ

ΜΕΤΑ ΤΟ ΚΑΤΑ

# ΜΑΤΘΑΙΟΝ

## ΕΥΑΓΓΕΛΙΟΝ ΤΗΣ ΚΥΡΙΑΚΗΣ ΜΕΤΑ ΤΑ ΦΩΤΑ.

Ὁ θεάνθρωπος Ἰησοῦς οὐ μόνον ἀνε-
χώρησεν ἀπὸ τῆς Ἰουδαίας, καὶ ἦλθεν
εἰς τὴν Γαλιλαίαν, ὅταν ὁ Ἰωάννης πα-
ρεδόθη εἰς τὴν φυλακὴν, ἀλλὰ καὶ ἀπὸ
τῆς Βηθλεὲμ ἀνεχώρησεν εἰς τὴν Αἴγυ-
Ματ. β'. 14. πτον, ὅταν ὁ Ἡρώδης ἐζήτει αὐτὸν ἀ-
ποκτεῖναι. Παρατηρῶν δὲ ταύτας τὰς
δύω ἐπισήμους ἀναχωρήσεις τοῦ Χρι-
στοῦ, βλέπω, ὅτι καὶ ῥητῶς παρήγγει-
Αὐτ. ι'. 23. λεν ἡμῖν, ἵνα φεύγωμεν, ὅταν βλέπωμεν
διωγμοὺς καὶ κινδύνους· καὶ πείθομαι
μὲν, ὅτι ταῦτα καὶ παρήγγειλε, καὶ ἐ-
ποίησεν ὁ Ἰησοῦς πρὸς ἡμετέραν διδασ-
καλίαν καὶ παράδειγμα, πλὴν ἐρευνῶν
καὶ τὸν λόγον, διὰ τὸν ὁποῖον πρέπον
ἐστὶν, ἵνα φεύγωμεν τοὺς διώκοντας, ὅ-
ταν δυνάμεθα, βλέπω, ὅτι ὁ λόγος οὗ-
τος τεθεμελιωμένος ἐστὶν ἐπάνω εἰς τὴν
βάσιν τοῦ νόμου, ἤγουν ἐπάνω εἰς τὴν
Αὐτ. κβ'. 40. ἐντολὴν τῆς ἀγάπης, ἐξ ἧς ὅλος ὁ νό-
μος καὶ οἱ Προφῆται κρέμανται.
Ὅταν δύνωμαι νὰ φύγω ἐκεῖνον τὸν ἄν-
θρωπον, ὅστις ἀγωνίζεται, ἵνα βλάψῃ
τὸ σῶμα ἢ τὴν ψυχήν μου, ἐγὼ δὲ οὐ
φεύγω, ἀλλ' ἵσταμαι στερεὸς καὶ ἀκλό-
νητος, τότε γίνομαι σκάνδαλον τοῦ ἀν-
θρώπου ἐκείνου· καὶ ἐγὼ μὲν ἴσως ὠ-
φελοῦμαι ὑπὸ τῆς βλάβης αὐτοῦ, διὰ τὴν
ἀνδρείαν μου καὶ τὴν ὑπομονήν μου, ἐκεῖ-
νος δὲ βλάπτει ἑαυτὸν, καὶ γίνεται ἄξιος
τῆς κολάσεως. Ὅταν λοιπὸν οὐ φεύγω
ἀπὸ τοῦ προκειμένου διωγμοῦ, δυνάμενος
φυγεῖν, τότε οὐκ ἀγαπῶ τὸν πλησίον
μου ὡς ἐμαυτὸν, ἀλλ' ἢ ἀγαπῶ ἐμαυτὸν
περισσότερον ἐκείνου, ἢ ἀμελῶ καὶ περι-
φρονῶ τὴν ἐκείνου σωτηρίαν ἐναντίον τῆς
ἀποστολικῆς ἐντολῆς, ἥτις κελεύει τὸ
Μηδεὶς τὸ ἑαυτοῦ ζητείτω, ἀλλὰ Α'. Κορ. ι'. 24.
καὶ τὸ τοῦ ἑτέρου ἕκαστος, καὶ ἐ-
ναντίον αὐτῆς τῆς δεσποτικῆς νομοθε-
σίας, ἥτις ὥρισε τὸ, Ἀγαπήσεις τὸν Ματ. ιθ'. 19.
πλησίον σου ὡς σεαυτόν. Φανερὸν
οὖν ἐστὶν, ὅτι ἡ μὲν φυγὴ τῶν κινδύνων
καὶ διωγμῶν στηρίζεται ἐπάνω εἰς τὴν
ἀγάπην, ἡ δὲ διαμονὴ εἰς τοὺς κινδύνους
καὶ διωγμοὺς ἐστὶν ἀθέτησις τῆς ἀγά-
πης, καθότι γίνεται ἀφορμὴ σκανδάλου
εἰς τὸν πλησίον.

Ἀλλ' ὅτε ἐγὼ, λέγεις, οὐκ εἰμὶ τὸ
αἴτιον τοῦ σκανδάλου, τότε ἀκολουθῶ
τὸν σκοπόν μου καὶ τὸ ἔργον μου, κἂν
οἱ ἄλλοι σκανδαλίζωνται, ἐπειδὴ οὐδό-
λως ἁμαρτάνω. Ἐσκανδαλίζοντο οἱ ἄ-
πιστοι, ὅταν οἱ θεηγόροι Ἀπόστολοι ἐ-
κήρυττον τὸ Εὐαγγέλιον· τί οὖν ἔπρε-
πεν ἄρα γε, ἵνα σιωπήσωσιν οἱ Ἀπό-
στολοι, ἢ ἵνα κρυφθῶσι, καὶ φύγωσιν
εἰς τὴν ἔρημον; Οὐχί· οὐδ' ἵνα σιωπή-
σωσιν, οὐδ' ἵνα κρυφθῶσι καὶ φύγωσιν
πρέπον ἦν εἰς τοὺς Ἀποστόλους, πρῶ-
τον μὲν ἐπειδὴ περὶ τοῦ κηρύγματος τῆς
πίστεως εἶχον αὐτοὶ, ἔχουσι δὲ καὶ πάν-
τες οἱ τοῦ Εὐαγγελίου κήρυκες, τὸ εἰ-
δικὸν καὶ ἐκπεφρασμένον τοῦ Θεοῦ πρό-
σταγμα, ὅστις εἶπε· Πορευθέντες Μάρκ. ιϛ'. 15.
εἰς τὸν κόσμον ἅπαντα, κηρύξα-

τε

τε τὸ Ἐυαγγέλιον πάσῃ τῇ κτί-
σει· προβλέψας δὲ καὶ περὶ τῶν μὴ
σκανδαλιζομένων καὶ τῶν σκανδαλιζομέ-
Μάρκ. ιϛ΄. 16. νων, προσέθηκε τὸ, Ὁ πιστεύσας καὶ
βαπτισθεὶς, σωθήσεται· ὁ δὲ ἀ-
πιστήσας, κατακριθήσεται· δεύτε-
ρον δὲ, ἐπειδὴ τὸ εὐαγγελικὸν κήρυγμα
οὐδὲ ἐσκανδάλισεν, οὐδὲ σκανδαλίζει πάν-
τας· ἀναρίθμητοι μυριάδες ἀνθρώπων
τοῦτο μετὰ χαρᾶς καὶ εὐφροσύνης ὑπε-
δέχθησαν, καὶ ἐπίστευσαν, καὶ ἐβαπτί-
σθησαν, καὶ ἐσώθησαν, ὅθεν μεγάλη
ἀδικία ἐγίνετο, ἐὰν, διὰ τὴν κακίαν τῶν
σκανδαλιζομένων, ἔπαυε τὸ κήρυγμα, καὶ
ἑπομένως ὑστεροῦντο τῆς σωτηρίας οἱ ἀ-
γαθοπροαίρετοι· ὅσοι ἐσκανδαλίζοντο, ἐ-
κεῖνοι οὐκ ἦσαν ἄξιοι οὐδὲ τῆς πίστεως,
οὐδὲ τῆς σωτηρίας. Περὶ τῶν σκανδαλι-
ζομένων διὰ τὰ τοιαῦτα ἔργα ἄκουσον
τί ἔπραττεν ὁ Ἀπόστολος Παῦλος. Αὐ-
τὸς, κἂν ἀκριβῶς ἐγνώριζεν, ὅτι τοῦ
σταυροῦ τὸ κήρυγμα ἐσκανδάλιζε τοὺς
Ἰουδαίους, οὐκ ἔπαυσεν ὅμως κηρύττων
Α΄. Κορ. α΄. 23. Χριστὸν ἐσταυρωμένον· Ἡμεῖς δὲ κη-
ρύσσομεν Χριστὸν ἐσταυρωμένον,
Ἰουδαίοις μὲν σκάνδαλον, Ἕλλη-
σι δὲ μωρίαν. Ἄκουσον τί εἶπεν ὁ
Ἄγγελος τοῦ Θεοῦ πρὸς τὸν ἐπιστήθιον
Αποκ. κβ΄. 11. Μαθητήν· Ὁ ἀδικῶν, ἀδικησάτω ἔ-
τι· καὶ ὁ ῥυπῶν, ῥυπωσάτω ἔτι·
καὶ ὁ δίκαιος, δικαιωθήτω ἔτι·
καὶ ὁ ἅγιος, ἁγιασθήτω ἔτι. Ἄ-
κουσον δὲ περὶ τούτου καὶ τὴν ἀπόφα-
σιν τοῦ Κυρίου Ἰησοῦ Χριστοῦ. Ὅταν
οἱ Μαθηταὶ αὐτοῦ εἶπον πρὸς αὐτὸν,
ὅτι οἱ Φαρισαῖοι, ἀκούσαντες τὴν διδασ-
καλίαν αὐτοῦ, ἐσκανδαλίσθησαν, τότε
Ματ. ιε΄. 14. ἀποκριθεὶς πρὸς αὐτοὺς, εἶπεν· Ἄφετε
αὐτούς· ὁδηγοί εἰσι τυφλοὶ τυ-
φλῶν. Σκανδαλιζέσθωσαν οἱ Ἰουδαῖοι,
ἐπειδὴ κηρύττεις Χριστὸν ἐσταυρωμένον·
ἄφες αὐτοὺς, μηδέν σοι μέλλει περὶ τοῦ
σκανδάλου αὐτῶν· Ὁδηγοί εἰσι τυ-
φλοὶ τυφλῶν. Σκανδαλιζέσθω ὁ κα-
κοπροαίρετος ἄνθρωπος, ὁρῶν σε φυλάτ-
τοντα τὰς ἐντολὰς τοῦ Θεοῦ, ἄφες αὐ-
τὸν, μηδέν σοι μέλλει περὶ τοῦ σκανδά-
λου αὐτοῦ· ἀδικησάτω ἔτι ὁ ἄδικος, ἀ-
δικῶν σε· μιαινέτω ἔτι τὴν καρδίαν αὐ-
τοῦ ὁ μεμιασμένος, σπεύδων διὰ τῆς κα-
κουργίας αὐτοῦ μολύναι τὴν ψυχήν σου·
ἄφες αὐτόν· διότι ὁ δίκαιος, ὁρῶν τὸ κα-
λόν σου παράδειγμα, γίνεται δικαιότερος,
καὶ ὁ ἅγιος γίνεται ἁγιώτερος. Σκαν-
δαλιζέσθωσαν οἱ μὲν αἱρετικοὶ καὶ οἱ
ἄπιστοι, ἀκούοντές σε κηρύττοντα τὴν ἀ-
λήθειαν τῆς πίστεως, οἱ δὲ ὑποκριταὶ
καὶ ψεῦσται, βλέποντές σε φυλάττοντα
τοῦ Θεοῦ τοὺς νόμους· ἄφες αὐτοὺς, μη-
δέν σοι μέλλει περὶ τοῦ σκανδάλου αὐ-
τῶν· Ὁδηγοί εἰσι τυφλοὶ τυφλῶν.

Ἀλλ' ἐκτὸς τούτων εἰσὶ, λέγεις, καὶ
ἄλλαι ὑποθέσεις, διὰ τὰς ὁποίας ἐγὼ
οὐδόλως πρέπει νὰ συλλογίζωμαι τὸ
σκάνδαλον· Ὅταν ἐγὼ, λέγεις, οὐδὲ νό-
μον παραβαίνω, οὐδὲ ἀταξίαν ποιῶ, τί
πταίω, ἐὰν ὁ ἄλλος παράλογος ὢν σκαν-
δαλίζεται; ἐὰν ἐγὼ οὐδὲ ἁμαρτάνω, οὐδὲ
ἀτακτῶ, σκανδαλιζέσθω ἐκεῖνος ὅσον καὶ
ἂν θέλῃ. Ὢ! εἰς τοῦτο σφάλλεις· ἡ
τοιαύτη διδασκαλία σου οὐκ ἔστιν ἀπο-
στολικὴ, καὶ ἄκουσον. Εἰς τὸν καιρὸν
τῶν Ἀποστόλων, τινὲς μὲν χωρίς τινος
ἐλέγχου συνειδήσεως ἔτρωγον τὰ εἰδω-
λόθυτα, ἤγουν μέρος τῶν κρεάτων τῶν
ζώων, τῶν σφαζομένων καὶ προσφερομέ-
νων εἰς θυσίαν τοῖς εἰδώλοις· τινὲς, ὑ-
πὸ τῆς συνειδήσεως ἐλεγχόμενοι, ἀπε-
στρέφοντο τὰ εἰδωλόθυτα, νομίζοντες,
ὅτι ὅστις τρώγει ἐξ αὐτῶν ἁμαρτάνει
βαρέως, ὡς συγκοινωνῶν τῇ λατρείᾳ τῶν
εἰδώλων· ὁ Ἀπόστολος Παῦλος, γράφων
περὶ τῆς ὑποθέσεως ταύτης πρὸς τοὺς
Κορινθίους, πρῶτον μὲν ἀποφασίζει, ὅτι
ἡ βρῶσις τοῦ εἰδωλοθύτου αὐτὴ καθ'
ἑαυτὴν οὐδέν ἐστιν, ἐπειδὴ οὐδὲ αὐτὸ τὸ

εἴ-

εἴδωλον, πρὸς τὸ ὁποῖον ἐπροσφέρθη τὸ
κρέας ἐκεῖνο, ἔχει ὕπαρξιν πραγματι-
κὴν, καθὼς ἔχουσι πάντα τὰ ἐν κόσμῳ
πράγματα, οὐδὲ δύναμιν ἔχει, οὐδὲ ἰ-
σχὺν, ἀλλὰ ξύλον ἐστὶν, ἢ λίθος, ἢ
χρυσὸς, ἢ ἄργυρος, ὄνομα ἔχον εἰδώλου·
Α'. Κορ. η'. 4. Περὶ τῆς βρώσεως οὖν, λέγει, τῶν
εἰδωλοθύτων, οἴδαμεν, ὅτι οὐδὲν
εἴδωλον ἐν κόσμῳ, καὶ ὅτι οὐδεὶς
Θεὸς ἕτερος, εἰμὴ εἷς· δεύτερον ση-
μειοῖ, ὅτι οὐκ ἔχουσι πάντες ταύτην
τὴν γνῶσιν· διὸ τινὲς, νομίζοντες, ὅτι τὸ
εἴδωλον ἔχει πραγματικὴν ὕπαρξιν, τρώ-
γοντες τὸ εἰδωλόθυτον, μολύνουσι τὴν ἀ-
σθενῆ καὶ ἀμαθῆ αὐτῶν συνείδησιν·
Αὐτ. 7. Ἀλλ' οὐκ ἐν πᾶσιν ἡ γνῶσις· τι-
νὲς δὲ τῇ συνειδήσει τοῦ εἰδώλου
ἕως ἄρτι, ὡς εἰδωλόθυτον ἐσθίου-
σι, καὶ ἡ συνείδησις αὐτῶν ἀσθε-
νὴς οὖσα μολύνεται· τρίτον, διορί-
ζει, ὅτι, κἄν τε φάγῃς, κἂν μὴ φάγῃς τὸ
εἰδωλόθυτον, ἓν καὶ τὸ αὐτό ἐστιν, οὐδὲ
αὐξάνεις δηλαδὴ, οὐδὲ ἐλαττοῖς τὴν ἀ-
ρετήν σου, καὶ τὴν πρὸς τὸν Θεὸν παρ-
Αὐτ. 8. ῥησίαν σου· Βρῶμα δὲ ἡμᾶς οὐ πα-
ρίστησι τῷ Θεῷ· οὔτε γὰρ ἐὰν
φάγωμεν, περισσεύομεν· οὔτε ἐὰν
μὴ φάγωμεν, ὑστερούμεθα· ταῦτα
δὲ εἰπὼν, προστίθησιν εὐθὺς, Προσέχε-
τε ὅμως, μήπως ἡ τοιαύτη ἐξουσία καὶ
ἐλευθερία προξενήσῃ σκάνδαλον εἰς τοὺς
μὴ ἔχοντας τὴν προειρημένην γνῶσιν,
καὶ ὄντας ἀσθενεῖς κατὰ τὴν συνείδησιν·
Αὐτ. 9. Βλέπετε δὲ, μήπως ἡ ἐξουσία ὑ-
μῶν αὕτη πρόσκομμα γένηται τοῖς
ἀσθενοῦσι· διότι, λέγει, ἐάν τις ἴδῃ
σὲ, τὸν ἔχοντα γνῶσιν, κατακείμενον ἐν
τῷ βωμῷ τῶν εἰδώλων, καὶ τρώγοντα
τὰ εἰδωλόθυτα, στηρίζεται καὶ ἀπο-
φασίζει καὶ αὐτὸς, ἵνα εἰσέρχηται εἰς
τὸ εἰδωλεῖον, καὶ ἐσθίῃ αὐτὰ, κἂν διὰ
τὴν ἀσθένειαν τῆς συνειδήσεως αὐτοῦ νο-
Αὐτ. 10. μίζῃ, ὅτι ἐστὶν ἁμαρτία· Ἐὰν γὰρ
τις ἴδῃ σὲ τὸν ἔχοντα γνῶσιν, ἐν
εἰδωλείῳ κατακείμενον, οὐχὶ ἡ
συνείδησις αὐτοῦ, ἀσθενοῦς ὄν-
τος, οἰκοδομηθήσεται εἰς τὸ τὰ
εἰδωλόθυτα ἐσθίειν; Μετὰ τοῦτο
διδάσκει εὐθὺς πόσον μεγάλη ἐστὶν ἡ
ἁμαρτία τοῦ τοιούτου σκανδάλου, λέγων·
Καὶ ἀπολεῖται ὁ ἀσθενῶν ἀδελ- Α'. Κορ. η'. 11. 12.
φὸς ἐπὶ τῇ σῇ γνώσει, δι' ὃν Χρι-
στὸς ἀπέθανεν. Οὕτω δὲ ἁμαρ-
τάνοντες εἰς τοὺς ἀδελφοὺς, καὶ
τύπτοντες αὐτῶν τὴν συνείδησιν
ἀσθενοῦσαν, εἰς Χριστὸν ἁμαρ-
τάνετε· διὰ τοῦτο, λέγει, ἐὰν ἐγὼ, ὅ-
ταν τρώγω τὸ εἰδωλόθυτον κρέας, σκαν-
δαλίζω διὰ τούτου τὸν ἀδελφόν μου, οὐ-
χὶ μόνον εἰδωλόθυτον, ἀλλ' οὐδὲ κρέας
ἁπλῶς οὐ μὴ φάγω πάσας τὰς ἡμέ-
ρας τῆς ζωῆς μου· Διόπερ εἰ βρῶμα Αὐτ. 13.
σκανδαλίζει τὸν ἀδελφόν μου, οὐ
μὴ φάγω κρέα εἰς τὸν αἰῶνα, ἵνα
μὴ τὸν ἀδελφόν μου σκανδαλίσω.
Μετὰ ταῦτα σαφηνίζει πλατύτερον ὅσα
εἶπεν· Ἐὰν, λέγει, ἄνθρωπος ἄπιστος
προσκαλέσῃ ὑμᾶς εἰς τὴν τράπεζαν αὐ-
τοῦ, καὶ θέλετε ἐλθεῖν πρὸς αὐτὸν, φά-
γετε εἴτι ἂν βάλῃ ἔμπροσθεν ὑμῶν, μὴ
ἐρωτῶντες εἰδωλόθυτόν ἐστιν, ἢ οὔ, ἵνα
μὴ δείξητε, ὅτι ἐλέγχεσθε ὑπὸ τῆς συ-
νειδήσεως, νομίζοντες, ὅτι τὰ εἴδωλα ἔ-
χουσιν ὕπαρξιν καὶ ἰσχὺν, ἐρωτᾶτε δὲ,
ἵνα ἀναπαύσητε τὴν συνείδησιν ὑμῶν·
Εἰ δέ τις καλεῖ ὑμᾶς τῶν ἀπί- Αὐτ. ι'. 27.
στων, καὶ θέλετε πορεύεσθαι, πᾶν
τὸ παρατιθέμενον ὑμῖν ἐσθίετε,
μηδὲν ἀνακρίνοντες διὰ τὴν συ-
νείδησιν. Ἐὰν ὅμως εὑρεθῇ τις ἐκεῖ,
ὅστις ἀναγγείλῃ ὑμῖν, ὅτι ἡ τροφὴ ἐκεί-
νη ἐστὶν εἰδωλόθυτος, τότε, λέγει, μὴ
φάγητε ἀπ' αὐτῆς· Ἐὰν δέ τις ὑμῖν Αὐτ. 28.
εἴπῃ· Τοῦτο εἰδωλόθυτόν ἐστι,
μὴ ἐσθίετε. Ἀλλὰ διατί τοῦτο; ἐν
ὅσῳ ἐκεῖνος ἐσιώπα, ἐγὼ, τρώγων, οὐδε-
μίαν

μίαν ἁμαρτίαν ἐποίουν, ἐπειδὴ δὲ ἐκεῖνος εἶπεν, ὅτι ἐστὶν εἰδωλόθυτον, διὰ τοῦτο ἐγένετο ἡ βρῶσις ἁμαρτία; Οὐχὶ διὰ τοῦτο, ἀλλ' ἵνα μὴ σκανδαλισθῇ ἐκεῖνος ὁ ἀναγγείλας· Μὴ ἐσθίετε, λέγει, δι' ἐκεῖνον τὸν μηνύσαντα καὶ τὴν συνείδησιν· ἀλλὰ τίνος συνείδησιν; τὴν ἐμήν; ἐμὲ οὐδόλως ἐλέγχει περὶ τούτου ἡ συνείδησις· Οὐχὶ διὰ τὴν ἐμὴν συνείδησιν, λέγει ὁ Ἀπόστολος, ἀλλὰ διὰ τὴν τοῦ ἑτέρου, ἤγουν διὰ τὴν συνείδησιν ἐκείνου, ὅστις, νομίζων, ὅτι, ἐὰν φάγω τὸ εἰδωλόθυτον, ἁμαρτάνω, ἀνήγγειλέ μοι, ὅτι ἐστὶν εἰδωλόθυτον·
Α΄.Κορ.ι. Συνείδησιν δὲ λέγω οὐχὶ τὴν ἑ-
29. αυτοῦ, ἀλλὰ τὴν τοῦ ἑτέρου.

Ἐκ ταύτης τῆς ἀποστολικῆς διδασκαλίας καθεὶς καταλαμβάνει, ὅτι εἰς πᾶν ἔργον ἀνάγκη ἐστίν, ἵνα ἐξετάζωμεν οὐ μόνον τὸ ἔργον καθ' αὐτό, καὶ κατὰ τὴν κρίσιν τῆς ἰδίας ἡμῶν συνειδήσεως, ἀλλὰ καὶ κατὰ τὰς περιστάσεις αὐτοῦ, καὶ κατὰ τὴν κρίσιν τῆς συνειδήσεως τῶν ἀδελφῶν, τῶν ἐχόντων ἀσθενῆ τὴν συνείδησιν. Ὅταν τὸ ἔργον σου, καὶ κατὰ τοὺς θείους νόμους, καὶ κατὰ τὴν κρίσιν τῆς συνειδήσεώς σου, καὶ τῆς συνειδήσεως τοῦ πλησίον σου, οὐδὲ ἁμαρτία λογίζηται, οὐδὲ ἀταξία, τότε τὸ ἔργον σου ἐστὶν ἀναμάρτητον. Ὅταν δὲ τὸ ἔργον σου κατὰ μὲν τοὺς νόμους καὶ τὴν συνείδησίν σου οὐδὲ ἁμαρτία κρίνηται, οὐδὲ ἀταξία, προξενῇ δὲ σκάνδαλον εἰς τὸν πλησίον σου, τότε, ἐὰν αὐτὸ πράξῃς, ἁμαρτάνεις, καθότι σκανδαλίζεις
Αυτ. η΄. τὸν πλησίον σου· Οὕτω δὲ ἁμαρτά-
12. νοντες εἰς τοὺς ἀδελφούς, καὶ τύπτοντες αὐτῶν τὴν συνείδησιν ἀσθενοῦσαν, εἰς Χριστὸν ἁμαρτάνετε.

Ἐβεβαίωσε τοῦτο αὐτὸς ὁ τῶν ἁπάντων Δεσπότης, ὁ θεάνθρωπος Ἰησοῦς. Αὐτός, ἐπειδὴ Υἱὸς ἦν τοῦ Θεοῦ, καὶ Βασιλεὺς τῶν βασιλευόντων, καὶ ἐξουσιαστὴς πάσης τῆς κτίσεως, οὐδὲ ἀνομίαν ἔπραττεν, οὐδὲ ἀταξίαν, ἐὰν μὴ ἔδιδε τὸ δίδραχμον, ἤγουν τὸ τοῖς Βασιλεῦσι κατ' ἔτος διδόμενον ἀργύριον· ἀλλ' ἐπειδὴ οἱ συνάγοντες τὰ δίδραχμα, μὴ γνωρίζοντες, ὅτι ἐστὶν Υἱὸς τοῦ Θεοῦ, ἐσκανδαλίζοντο, ἐὰν οὐκ ἔδιδεν αὐτοῖς τὸ διατεταγμένον ἀργύριον, διὰ τοῦτο, κἂν οὐκ ἐχρεώστει, κἂν οὐκ εἶχεν ἀργύριον, ὅμως, ἵνα μὴ σκανδαλίσῃ αὐτούς, ἀπέδωκεν αὐτοῖς αὐτὸ διὰ θαύματος· Ἵνα Ματ. ιζ΄.
δέ, εἶπε πρὸς τὸν Πέτρον, μὴ σκανδα- 27.
λίσωμεν αὐτούς, πορευθεὶς εἰς τὴν θάλασσαν, βάλε ἄγκιστρον, καὶ τὸν ἀναβάντα πρῶτον ἰχθὺν ἆρον· καὶ ἀνοίξας τὸ στόμα αὐτοῦ, εὑρήσεις στατῆρα· ἐκεῖνον λαβών, δὸς αὐτοῖς ἀντὶ ἐμοῦ καὶ σοῦ.

Ἐὰν λοιπὸν τόσον μεγάλη ἁμαρτία ὑπάρχῃ τὸ σκάνδαλον, ὅταν οὐδὲ ἐξ ἁμαρτίας, οὐδὲ ἐξ ἀταξίας γίνηται, ἀλλ' ἐκ μόνης τῆς γνώμης τοῦ σκανδαλιζομένου προέρχηται, πόση ἁμαρτία ἐστίν, ὅταν διὰ τῆς ἁμαρτίας καὶ τῆς ἀταξίας ἡμῶν σκανδαλίζωμεν τοὺς ἀδελφούς; Πόσον μεγάλην ἁμαρτίαν ποιοῦσιν ἐκεῖνοι, ὅσοι παρρησίᾳ ἢ εἰσέρχονται καὶ ἐξέρχονται εἰς τὰ πορνοστάσια καὶ καπηλεῖα, ἢ συζῶσι μετὰ παρανόμου γυναικός, ἢ ἀδικοῦσι τὸν ὀρφανὸν καὶ τὴν χήραν, ἢ δυναστεύουσι τὸν ἀδύνατον, ἢ κατατρέχουσι τὸν ἀπροστάτευτον, ἢ ἀμελοῦσι τὴν καλὴν παιδαγωγίαν τῶν ἰδίων τέκνων, ἢ καταφρονοῦσι τὰς διατεταγμένας νηστείας, κρεωφαγοῦντες ἀναισχύντως, καὶ ἑτοιμάζοντες τραπέζας παντοίων βρωμάτων ἀνυποστόλως, καὶ ἀφόβως προτρέποντες καὶ τοὺς ἄλλους εἰς τὴν ἐκτέλεσιν τοῦ σκανδαλοποιοῦ αὐτῶν ἔργου, οὐδόλως στοχαζόμενοι πόσον βάρος ἔχει ἡ ἁμαρτία τοῦ σκανδάλου; καὶ

ὁ

Α΄. Κορ. η΄. 13. ὁ μὲν Ἀπόστολος τοῦ Θεοῦ βοᾷ· Οὐ μὴ φάγω κρέα εἰς τὸν αἰῶνα, ἵνα μὴ τὸν ἀδελφόν μου σκανδαλίσω· αὐτοὶ δὲ οὐδὲ ὀλίγας ἡμέρας στέργουσι τὴν ἀποχὴν τοῦ κρέατος, ἵνα φύγωσι τοῦ σκανδάλου τὴν ἁμαρτίαν. Ἀληθῶς πᾶσα νόμου παράβασις ἐστὶν ἁμαρτία· πλὴν ἡ μὲν ἁμαρτία ἡ κρυπτὴ βλάπτει μόνον ἐκεῖνον, ὅστις αὐτὴν πράττει, ἡ δὲ ἁμαρτία ἡ φανερὴ βλάπτει τόσους, ὅσοι ἢ βλέπουσιν αὐτήν, ἢ ἀκούουσιν· ἐκ τούτου ἡ μὲν ἁμαρτία, ἡ κρυφίως γινομένη, ἐστὶ μία ἁμαρτία, ἡ δὲ φανερῶς τελουμένη γίνεται καὶ ἑκατονταπλάσιος, καὶ χιλιοπλάσιος, καὶ μυριοπλάσιος, πολυπλασιάζεται, λέγω, κατὰ ἀναλογίαν τῶν βλεπόντων, ἢ ἀκουόντων αὐτήν, καὶ βλαπτομένων ὑπ᾽ αὐτῆς.

Ἀλλὰ διατί τὸ φανερὸν ἁμάρτημα, ἤγουν τὸ ἁμάρτημα τὸ διὰ τοῦ σκανδάλου, μεταδίδοται τόσον εὔκολα εἰς τοὺς ἀνθρώπους; Διότι τὸ κακὸν παράδειγμα, μάλιστα τῶν ἀρχόντων καὶ προεστώτων, τῶν νομιζομένων σοφῶν καὶ ἐναρέτων, ἐξόχως δὲ τῶν ἐκκλησιαστικῶν ἀνθρώπων σκεπάζει ὁπωσδήποτε τὴν ἀτιμίαν τῆς ἁμαρτίας, καὶ ἐπισκιάζει τὴν αἰσχρότητα, καὶ διασκεδάζει τὴν δυσφημίαν αὐτῆς· τὸ κακὸν παράδειγμα, μάλιστα τῶν ἐπισήμων ἀνθρώπων, ἀφαιρεῖ τὴν ἐντροπήν, ἥτις ἐμποδίζει ἡμᾶς ἀπὸ τῶν αἰσχρῶν πράξεων, καὶ φέρει τὴν ἀναισχυντίαν, τὴν πηγὴν τῆς ἀσωτείας· μαραίνει τὴν δύναμιν τοῦ φόβου τοῦ Θεοῦ, ὅστις ἀναχαιτίζει ἡμᾶς ἀπὸ τῆς τόλμης τῶν πονηρῶν ἔργων, καὶ προξενεῖ τὴν ἀφοβίαν καὶ αὐθάδειαν, τὴν μητέρα πάντων τῶν ἁμαρτημάτων· παύει δὲ καὶ τὴν ἐπίπληξιν τῆς συνειδήσεως, ἥτις ἐστὶν ὁ χαλινὸς τῆς ἁμαρτίας. Ὅταν ἐγὼ στοχάζωμαι, ὅτι οὐδεὶς πράττει ἐκείνην τὴν ἀνομίαν, τὴν ὁποίαν μελετῶ νὰ πράξω, τότε συστέλλομαι, ἐντρέπομαι, φοβοῦμαι τὴν πρᾶξιν αὐτῆς· ἀλλ᾽ ὅταν βλέπω, ὅτι καὶ ἄλλοι ἐπίσημοι ἀνυποστόλως ταύτην πράττουσι, ποία μένει εἰς ἐμὲ συστολή, ἢ ἐντροπή, ἢ φόβος; ἐκ τούτου δὲ καὶ αὐτὴ ἡ συνείδησίς μου παύει τότε τοὺς σφοδροὺς αὐτῆς ἐλέγχους· ἑνὶ λόγῳ, τὸ κακὸν παράδειγμα διώκει τὰ ἐμπόδια τῆς ἁμαρτίας, καὶ φέρει εἰς ἡμᾶς ὅσα προτρέπουσι καὶ κατακρημνίζουσιν εἰς τὸν χάνδακα αὐτῆς. Ἐκ τούτων οὖν καταλαμβάνομεν τὸ διατί ἡ φανερὴ ἁμαρτία πολλὰ εὔκολα μεταδίδοται εἰς τοὺς ἄλλους· ἐπειδὴ δὲ τοσοῦτον εὔκολα μεταδίδοται καὶ πολυπλασιάζεται ἡ σκανδαλοποιὸς ἁμαρτία, διὰ τοῦτο μέγα ἁμάρτημα λογίζεται ὁ Θεὸς τὸ σκάνδαλον, κἂν οὐ τοσοῦτον μεγάλη ἡ σκανδαλίζουσα ἁμαρτία. Σιωπῶ τὰ ἄλλα τῆς Θείας Γραφῆς παραδείγματα, ὅσα τοῦτο ἀποδεικνύουσιν, ἵνα διηγηθῶ ἕν, καθότι αὐτὸ μόνον ἱκανῶς καταπείθει.

Ὁ Μωϋσῆς καὶ ὁ Ἀαρὼν ἦσαν δύω ἄνθρωποι τοῦ Θεοῦ ἐκλεκτοί, ἄνδρες ἅγιοι, κεκοσμημένοι διὰ πολλῶν καὶ μεγάλων ἀρετῶν, φίλοι καὶ ἠγαπημένοι τοῦ Θεοῦ, καὶ κεχαριτωμένοι ὑπ᾽ αὐτοῦ διὰ πολλῶν καὶ μεγάλων χαρισμάτων· Καὶ περὶ μὲν τοῦ Μωϋσέως ἐμαρτύρησεν
Ἀριθ. ιβ΄. 6, 7, 8. αὐτὸς ὁ Θεός, λέγων· Ἐὰν γένηται Προφήτης ὑμῶν Κυρίῳ, ἐν ὁράματι αὐτῷ γνωσθήσομαι, καὶ ἐν ὕπνῳ λαλήσω αὐτῷ· οὐχ οὕτως ὁ θεράπων μου Μωϋσῆς, ἐν ὅλῳ τῷ οἴκῳ μου πιστός ἐστι. Στόμα κατὰ στόμα λαλήσω αὐτῷ ἐν εἴδει, καὶ οὐ δι᾽ αἰνιγμάτων, καὶ
Ἐξ. κη΄. 38. 41. τὴν δόξαν Κυρίου εἶδε. Τὸν δὲ Ἀαρὼν ἐξελέξατο ἐκ πάντων τῶν υἱῶν Ἰσραήλ, καὶ ἔχρισεν αὐτόν, καὶ ἡγίασε, καὶ ὕψωσεν εἰς τῆς Ἀρχιερωσύνης τὸν βαθμόν, καὶ κατέστησεν αὐτὸν μεσίτην καὶ πρεσβευτὴν ὑπὲρ τῆς συγχωρήσεως τῶν ἁμαρτιῶν τοῦ λαοῦ. Τούτους ὥρι-

σεν ὁ Θεός, ἵνα ὁδηγήσωσι τὸν λαὸν αὐτοῦ εἰς τὴν γῆν τῆς ἐπαγγελίας, καὶ ἵνα, εἰσελθόντες μετ' αὐτοῦ εἰς τὴν γῆν ἐκείνην, ἀπολαύσωσι τῶν ἀγαθῶν αὐτῆς. Μετὰ δὲ τὴν τόσην ἀρετὴν αὐτῶν, καὶ τὰ τόσα χαρίσματα τοῦ Θεοῦ πρὸς αὐτούς, ἰδοὺ ὀργίζεται ὁ Θεὸς κατ' αὐτῶν, καὶ ὑστερεῖ αὐτοὺς τῆς ἀπολαύσεως τῆς ἐπιθυμητῆς ἐκείνης γῆς. Αὐτοί, ὡς πανάριστοι ἀρχηγοὶ καὶ προεστῶτες πανάγαθοι, νύκτατε καὶ ἡμέραν, τεσσαράκοντα ἔτη κοπιάζουσιν ὑπὲρ τῆς διοικήσεως τοῦ λαοῦ, προκινδυνεύουσιν εἰς τοὺς πολέμους ὑπὲρ αὐτοῦ, ὑποφέρουσι γενναίως τὰς αὐθαδείας, τὰς ὕβρεις, τὰς ἀποστασίας αὐτῶν, ἔπειτα οὐκ ἀπολαμβάνουσι τῆς ἐπηγγελμένης γῆς, ἀλλ' ἀποθνήσκουσιν, πρὶν ἢ εἰσελθεῖν ἐν αὐτῇ. Διατί τοῦτο; διατί ὠργίσθη ὁ Θεὸς κατὰ τῶν τοσούτων ἁγίων καὶ ἐκλεκτῶν καὶ ἠγαπημένων αὐτῷ ἀνδρῶν; διατί κατεπίκρανε τὴν καρδίαν αὐτῶν διὰ τῆς τοιαύτης τιμωρίας; Ἀκούσατε.

Ἐδίψησεν ὁ λαὸς εἰς τὴν ἄνυδρον γῆν τῆς ἐρήμου Σίν, μνημονεύσας δὲ τῆς Αἰγύπτου, ὕβρισε τὸν Μωϋσῆν, τὸν ἐξαγαγόντα αὐτοὺς ἐκεῖθεν· ὁ δὲ Μωϋσῆς τρέχει εὐθὺς μετὰ τοῦ Ἀαρὼν εἰς τὴν σκηνὴν τοῦ μαρτυρίου, ζητῶν τοῦ Θεοῦ τὴν βοήθειαν. Ὁ Θεὸς προστάσσει αὐτούς, ἵνα συνάξωσι τὸν λαόν, καί, λαλήσαντες πρὸς τὴν ἐκεῖ πέτραν, ἐξάξωσιν ἐξ αὐτῆς ὕδωρ· συνάγουσιν αὐτοὶ εὐθύς, κατὰ τὴν προσταγὴν τοῦ Θεοῦ, τὸν λαὸν ἐνώπιον τῆς πέτρας· ἔπειτα, ἐνατενίσας πρὸς αὐτοὺς ὁ Μωϋσῆς, εἶ-
Ἀριθ. κ΄. 10. πεν· Ἀκούσατέ μου, οἱ ἀπειθεῖς· μήπως νομίζετε, ὅτι ἐξάξομεν ὕδωρ ἐκ ταύτης τῆς πέτρας; Μὴ ἐκ τῆς πέτρας ταύτης ἐξάξωμεν ὑμῖν ὕδωρ; Τοῦτό ἐστι τὸ ἁμάρτημα τοῦ Μωϋσέως καὶ τοῦ Ἀαρών· τοῦτο δὲ οὐκ ἔστιν ἀπιστία, διότι αὐτοὶ ἐπίστευσαν εἰς τοῦ Θεοῦ τὸν λόγον, καὶ εὐθὺς μετὰ τὰ λόγια ταῦτα ὁ Μωϋσῆς ἐπάταξε τὴν Ἀριθ. κ΄. 11.
πέτραν τῇ ῥάβδῳ δίς, καὶ ἐξῆλθεν ὕδωρ πολύ, καὶ ἔπιεν ἡ Συναγωγή, καὶ τὰ κτήνη αὐτῶν. Τοῦτο τὸ ἁμάρτημα οὐκ ἔστι παρακοή, διότι αὐτοὶ ὑπήκουσαν, καὶ εὐθὺς ἐτέλεσαν ὅσα προσέταξεν αὐτοῖς ὁ Θεός. Τοῦτο τὸ ἁμάρτημα οὐδὲ ἀσπλαγχνία ἐστίν, ἐπειδὴ αὐτοί, ἰδόντες τὸν λαὸν διψῶντα, ἐσπλαγχνίσθησαν ἐπ' αὐτούς, κἂν ὑβρίζον αὐτούς, καὶ προσδραμόντες ἐζήτησαν τοῦ Θεοῦ τὴν βοήθειαν· οὐδὲ ὑπερηφάνειά ἐστιν, ἐπειδὴ αὐτοὶ μετὰ πάσης τιμῆς συνήγαγον τὸν λαόν, καὶ ἔστησαν αὐτὸν ἐνώπιον τῆς πέτρας. Ταῦτα δὲ τὰ λόγια εἰσὶ λόγια, ἢ θυμοῦ διὰ τὴν ἀπείθειαν τοῦ λαοῦ, ἢ ἐκδικήσεως διὰ τὰς ὕβρεις, ἢ παραδρομῆς, καθότι ἀντὶ τοῦ εἰπεῖν, Μὴ ἐκ τῆς πέτρας ταύτης ἐξάξῃ ὑμῖν ὁ Θεὸς ὕδωρ; εἶπον, Μὴ ἐκ τῆς πέτρας ταύτης ἐξάξωμεν ὑμῖν ὕδωρ; Νόησον ὁποῖον καὶ ἂν θέλῃς τούτων τῶν τριῶν ἁμαρτημάτων, ἡ τιμωρία οὐ φαίνεται ἀνάλογος εἰς τὸ πταῖσμα· διὰ ὀλίγα λόγια σχεδὸν οὐδενὸς βάρους, τοσαύτη τιμωρία εἰς τοιούτους ἁγίους ἄνδρας; Ναὶ τοσαύτη, μάλιστα ἐπειδὴ αὐτοί, διὰ τὴν ἀρετὴν καὶ τὴν προεδρίαν αὐτῶν, ἦσαν τὸ παράδειγμα παντὸς τοῦ λαοῦ. Ναὶ τοσαύτη, ἐπειδὴ τὰ λόγια ταῦτα ἐρρέθησαν ἐνώ-
πιον παντὸς τοῦ λαοῦ· Καὶ εἶπε Κύ- Αὐτ. 12.
ριος πρὸς Μωϋσῆν καὶ Ἀαρών, Ὅτι οὐκ ἐπιστεύσατε ἁγιάσαι με ἐναντίον τῶν υἱῶν Ἰσραήλ. Ἀκούεις; Ἐναντίον, λέγει, τῶν υἱῶν Ἰσραήλ· Ἐπειδὴ ὑμεῖς, οἵτινες ἐστὲ τὸ παράδειγμα παντὸς τοῦ λαοῦ, οὐχ ὡς πιστοὶ δοῦλοί μου ἐδείξατε, ὅτι ἐγώ εἰμι ἅγιος, ἀλλ' ἐτολμήσατε καὶ εἴπατε τοιαῦτα λόγια ἐνώπιον πάντων τῶν υἱῶν Ἰσραήλ, λόγια σκανδαλοποιά, καὶ δυνάμενα κα-

τα-

ταχρημνίσαι αὐτοὺς εἰς τὸν ἀπελπι-
σμὸν, διὰ τοῦτο οὐκ ἐστὲ ἄξιοι εἰσελ-
θεῖν μετ' αὐτῶν εἰς τὴν ἐπηγγελμένην
Ἀριθ. κ'. γῆν αὐτοῖς τε καὶ ὑμῖν· Καὶ εἶπε Κύ-
12. ριος πρὸς Μωϋσῆν καὶ Ἀαρὼν,
Ὅτι οὐκ ἐπιστεύσατε ἁγιάσαι με
ἐναντίον τῶν υἱῶν Ἰσραὴλ, διὰ
τοῦτο οὐκ εἰσάξετε ὑμεῖς τὴν συ-
ναγωγὴν ταύτην εἰς τὴν γῆν, ἣν ἔ-
δωκα αὐτοῖς.

Τοῦτο τὸ παράδειγμα ἀρκετὰ διδά-
σκει πόσον μεγαλύνει τὴν ἁμαρτίαν τὸ
σκάνδαλον· πολλῷ δὲ τούτου περισσό-
ρον τὸ οὐαὶ, τὸ ὁποῖον ἐξεφώνησεν ὁ
Θεάνθρωπος Ἰησοῦς κατὰ τῶν σκανδα-
Ματ. ιή. λοποιῶν ἀνθρώπων· Οὐαὶ, εἶπε, τῷ
7. ἀνθρώπῳ ἐκείνῳ, δι' οὗ τὸ σκάν-
δαλον ἔρχεται. Οὐαὶ λοιπὸν εἰς ἐ-
κεῖνον τὸν Ἱερωμένον, ὃν ὁ Θεὸς ἔθηκεν
ἐπὶ τὴν λυχνίαν, ἵνα διὰ τοῦ φωτὸς τῶν
ἐναρέτων αὐτοῦ πράξεων φωτίζῃ πάντας
τοὺς ἐν τῇ Ἐκκλησίᾳ αὐτοῦ, αὐτὸς δὲ
διὰ τοῦ σκότους τῶν πονηρῶν αὐτοῦ ἔρ-
γων σκανδαλίζει πάντας τοὺς ἐμπιστευ-
θέντας αὐτῷ ἀδελφούς. Οὐαὶ εἰς ἐκεῖνον
τὸν Ἡγεμόνα, τὸν ὁποῖον ὁ Θεὸς ὕψω-
σεν εἰς τῆς κοσμικῆς ἐξουσίας τὸν θρό-
νον, ἵνα διὰ τῆς ἡγεμονικῆς καὶ πατρι-
κῆς αὐτοῦ διοικήσεως, καὶ τοῦ θεαρέστου
καὶ ἐνδόξου αὐτοῦ παραδείγματος εὐτυ-
χῆ καταστήσῃ τὸν λαὸν αὐτοῦ, καὶ ὁδη-
γήσῃ αὐτὸν πρὸς τὸ θέλημα τοῦ Κυρίου·
αὐτὸς δὲ, παίγνιον τῶν παθῶν αὐτοῦ
γενόμενος, ποιεῖ αὐτοὺς δυστυχεῖς, καὶ
σκανδαλίζει τὰς ψυχὰς αὐτῶν. Οὐαὶ
εἰς ἐκείνους τοὺς γονεῖς, εἰς τοὺς ὁποίους
ὁ Θεὸς ἐνεχείρισε τὴν φροντίδα τῆς κα-
λῆς ἀνατροφῆς τῶν τέκνων αὐτῶν· αὐτοὶ
δὲ, ἀντὶ νὰ παιδαγωγῶσι τὰ τέκνα αὐ-
τῶν διὰ τοῦ καλοῦ παραδείγματος τῶν
θεοφιλῶν αὐτῶν ἔργων, κατακρημνίζου-
σιν αὐτὰ εἰς τὴν ἀπώλειαν διὰ τοῦ σκαν-
δάλου τῆς πονηρᾶς αὐτῶν πολιτείας.
Οὐαὶ εἰς ἐκεῖνον, ὅστις διὰ τῆς ὁποιασδή-
ποτε ἁμαρτίας σκανδαλίζει τοὺς ἄλλους·
Οὐαὶ τῷ ἀνθρώπῳ ἐκείνῳ, δι' οὗ
τὸ σκάνδαλον ἔρχεται· διότι ὅσοι
ὑπὸ τοῦ κακοῦ αὐτοῦ παραδείγματος βλαφ-
θέντες κολασθήσονται, ὑπὲρ τούτων παρ'
αὐτοῦ ζητήσει ὁ Θεὸς λόγον ἐν τῇ φο-
βερᾷ ἡμέρᾳ τῆς κρίσεως· Καὶ τὸ αἷ- Ἰεζ. γ'.
μα αὐτοῦ ἐκ τῆς χειρός σου ζητή- 18.
σω, εἶπεν ὁ Κύριος.

Καὶ μὴ νομίσητε, ὅτι τὸ σκάνδαλον
τότε μόνον μεγαλύνει τὴν ἁμαρτίαν, ὅ-
ταν βλάψωμεν πολλοὺς, ἢ μεγάλους καὶ
ἐπισήμους ἀνθρώπους· διότι, καὶ ἐὰν
σκανδαλίσωμεν ἕνα καὶ μόνον τῶν μι-
κρῶν καὶ εὐτελῶν ἀνθρώπων, τόσον με-
γαλύνεται ἡ ἁμαρτία, ὥστε γινόμεθα ἄ-
ξιοι θανάτου· Ὃς δ' ἂν σκανδαλίσῃ Ματ. ιή.
ἕνα τῶν μικρῶν τούτων, τῶν πι- 6.
στευόντων εἰς ἐμὲ, συμφέρει αὐ-
τῷ, ἵνα κρεμασθῇ μύλος ὀνικὸς ἐ-
πὶ τὸν τράχηλον αὐτοῦ, καὶ κα-
ταποντισθῇ ἐν τῷ πελάγει τῆς
θαλάσσης. Διατί δὲ μυλόπετρα εἰς
τὸν τράχηλον τοῦ σκανδαλοποιοῦ; Ἵνα,
χωρὶς ἀργοπορίας καταποντισθεὶς εἰς τὸ
βάθος τῆς θαλάσσης, γίνηται παντελῶς
ἀφανὴς, καὶ ἐξαλειφθῇ ὁλοτελῶς τὸ σκάν-
δαλον. Διατί δὲ συμφέρει εἰς τὸν σκαν-
δαλοποιὸν ὁ καταποντισμός; Διότι, ἐὰν
καταποντισθῇ αὐτὸς εἰς τὴν θάλασσαν,
οὐ καταποντίζει τοὺς ἄλλους εἰς τὴν κό-
λασιν. Διὰ τούτων δὲ τῶν δύω πραγ-
μάτων, ἤγουν τοῦ ὀνικοῦ μύλου, καὶ τοῦ
καταποντισμοῦ, παρέστησεν ὁ Θεάνθρω-
πος τὸ βάρος καὶ τὸ μέγεθος τῆς ἁμαρ-
τίας τοῦ σκανδάλου.

Ἀλλὰ ἄρά γε μόνος ὁ σκανδαλο-
ποιὸς κολάζεται, ὁ δὲ σκανδαλιζόμενος,
καὶ ὑπὸ τοῦ σκανδάλου ὑποσκελιζόμε-
νος, καὶ πίπτων εἰς τὴν ἁμαρτίαν, μένει
ἀθῷος καὶ ἐλεύθερος πάσης τιμωρίας;
Οὐχί· οὐ μόνον ὁ σκανδαλοποιὸς κολά-
ζε-

ζεται, ἐὰν μὴ μετανοήσῃ καὶ διορθωθῇ, ἀλλὰ καὶ αὐτοὶ οἱ ὑπ' αὐτοῦ σκανδαλιζόμενοι ὑπόδικοι κολάσεως γίνονται, ἐὰν μὴ φεύγωσι τοὺς σκανδαλίζοντας κατὰ τὴν ἐντολὴν τοῦ Κυρίου.

Ἐὰν οἱ φίλοι σου, λέγει ὁ Κύριος, οἵ τινες ὑπηρετοῦσί σε εἰς τὰς χρείας σου, καθὼς ἡ χείρ σου καὶ ὁ πούς σου· καὶ ἐὰν ὁ συγγενής σου, τὸν ὁποῖον ἀγαπᾷς καὶ προσέχεις ὥσπερ τοὺς ὀφθαλμούς σου· ἢ διὰ τὴν ἀπιστίαν αὐτῶν σκανδαλίζουσι τὸν νοῦν σου εἰς τὰ περὶ τῆς πίστεως, ἢ διὰ τὴν αἰσχρότητα τῆς ζωῆς αὐτῶν σκανδαλίζουσι τὴν θέλησίν σου εἰς τὰ περὶ τῆς φυλακῆς τῶν νόμων τοῦ Θεοῦ, κόψαι τὴν συναναστροφὴν αὐτῶν, φύγε καὶ χωρίσθητι ἀπ'
Ματ. ιη. 8, 9. αὐτῶν· Εἰ δὲ ἡ χείρ σου, ἢ ὁ πούς σου σκανδαλίζει σε, ἔκκοψον αὐτὰ, καὶ βάλε ἀπὸ σοῦ· Καὶ εἰ ὁ ὀφθαλμός σου σκανδαλίζει σε, ἔξελε αὐτὸν, καὶ βάλε ἀπὸ σοῦ. Ὠφελιμώτερόν σοι ἐστὶν, ἵνα μείνῃς εἰς τὴν πρόσκαιρον ζωὴν, χωρὶς τῆς ἀντιλήψεως καὶ παραμυθίας τῶν φίλων, καὶ χωρὶς τῆς βοηθείας τῶν συγγενῶν, καὶ οὕτω νὰ εἰσέλθῃς εἰς τὴν αἰώνιον ζωὴν, ἢ, ἀπολαμβάνων τῆς τούτων ἐπιστασίας εἰς τὸν πρόσκαιρον τοῦτον βίον, νὰ τεθῇς ἔπειτα εἰς τὸ πῦρ τὸ αἰώνιον, καὶ εἰς τὴν γέενναν τοῦ πυ-
Αὐτόθι. ρός· Καλόν σοι ἐστὶν εἰσελθεῖν εἰς τὴν ζωὴν χωλὸν ἢ κυλλὸν, ἢ δύω χεῖρας ἢ δύω πόδας ἔχοντα, βληθῆναι εἰς τὸ πῦρ τὸ αἰώνιον· Καλόν σοι ἐστὶ μονόφθαλμον εἰς τὴν ζωὴν εἰσελθεῖν, ἢ δύω ὀφθαλμοὺς ἔχοντα βληθῆναι εἰς τὴν γέενναν τοῦ πυρός. Ἀκούετε; κατὰ μὲν τοῦ σκανδαλίζοντος ἐξεφώνησεν ὁ Κύριος τὸ οὐαὶ, καὶ τὸν καταποντισμὸν, ταῦτα δὲ σημαίνουσι τὴν βαρυτάτην τιμωρίαν, καὶ τὴν ἀπώλειαν· κατὰ δὲ τοῦ μὴ φεύγοντος τοὺς σκανδαλοποιοὺς ἐφοβέρισε πῦρ αἰώνιον, καὶ γέενναν πυρός.

Οὐαὶ λοιπὸν εἰς ἡμᾶς! Ἀνένδεκτόν ἐστιν, εἶπεν ὁ Κύριος, μὴ ἐλθεῖν τὰ σκάνδαλα. Λουκ. ιζ'. 1. Καὶ ἀληθῶς τίς ἐστιν ἐκεῖνος ὁ ἄνθρωπος, ὅστις οὐδέ ποτε, οὐδένα, οὐδὲ τὸν μικρότατον ἐσκανδάλισεν; ἢ τίς ἐστιν ἐκεῖνος ὁ ἄνθρωπος, ὅστις ἀποστρέφεται τὸν χρήσιμον αὐτοῦ φίλον, ἢ φεύγει καὶ ἀρνεῖται τὸν ἠγαπημένον αὐτοῦ συγγενῆ, ὅταν βλέπῃ, ὅτι ὑπ' αὐτῶν σκανδαλίζεται; Αὐτή ἐστιν, ὡς φαίνεται, ἡ μάχαιρα, περὶ τῆς ὁποίας ὁ Κύριος εἶπε· Μὴ νομίσητε, ὅτι ἦλ- Ματ. ι. 34, 35, 36.
θον βαλεῖν εἰρήνην ἐπὶ τὴν γῆν· οὐκ ἦλθον βαλεῖν εἰρήνην, ἀλλὰ μάχαιραν. Ἦλθον γὰρ διχάσαι ἄνθρωπον κατὰ τοῦ πατρὸς αὐτοῦ, καὶ θυγατέρα κατὰ τῆς μητρὸς αὐτῆς, καὶ νύμφην κατὰ τῆς πενθερᾶς αὐτῆς. Καὶ ἐχθροὶ τοῦ ἀνθρώπου οἱ οἰκιακοὶ αὐτοῦ. Οὐαὶ ἡμῖν! καὶ τίς δύναται σωθῆναι; Ἀλλὰ διατί τοσοῦτος ἀπελπισμός; διατί οὐκ ἀπελπιζόμεθα, ὅταν ἀκούωμεν, ὅτι ὁ Θεὸς θέλει, ἵνα ἀγαπῶμεν αὐτὸν περισσότερον καὶ τῶν φίλων, καὶ τῶν συγγενῶν, καὶ τῆς ἰδίας ζωῆς ἡμῶν· καὶ ὅτι ὅστις οὐκ ἀγαπᾷ τοιουτοτρόπως τὸν Θεὸν, οὐκ ἔστιν ἄξιος τῆς βασιλείας
αὐτοῦ; Ὁ φιλῶν πατέρα ἢ μητέρα Αὐτ. 37. 38.
ὑπὲρ ἐμὲ, οὐκ ἔστι μου ἄξιος· καὶ ὁ φιλῶν υἱὸν ἢ θυγατέρα ὑπὲρ ἐμὲ, οὐκ ἔστι μου ἄξιος. Καὶ ὃς οὐ λαμβάνει τὸν σταυρὸν αὐτοῦ, καὶ ἀκολουθεῖ ὀπίσω μου, οὐκ ἔστι μου ἄξιος. Αὕτη ἡ ἐντολὴ, καὶ ὁ χωρισμὸς τῶν σκανδαλοποιῶν φίλων καὶ συγγενῶν ἕν καὶ τὸ αὐτό εἰσι· διότι, ἐὰν ἀγαπᾷς τὸν Θεὸν περισσότερον τῶν φίλων καὶ συγγενῶν καὶ τοῦ ἑαυτοῦ σου, φεύγεις καὶ αὐτοὺς, καὶ σεαυτὸν, ἤγουν

τὰ

τὰ πάθη σου, ὅταν διὰ τοῦ σκανδάλου
αὐτῶν χωρίζωσί σε ἀπὸ τοῦ Θεοῦ. Ὅτι
δὲ ἡ ἐκπλήρωσις ταύτης τῆς ἐντολῆς οὐκ
ἔστιν ἔργον ἀδύνατον, πείθει ὁ λόγος·
ἐπειδὴ, ἐὰν ὑπῆρχεν ἀδύνατον, οὐκ ἐζή-
τει τοῦτο ὁ πάνσοφος καὶ δικαιότατος
Θεός· ἀπέδειξαν δὲ δυνατὸν μάλιστα
πάντων ἀνθρώπων οἱ πανεύφημοι Μάρ-
τυρες· διότι ἐξ αὐτῶν πολλὰ τέκνα ἔ-
φυγον τοὺς ἀπίστους αὐτῶν γονεῖς, καὶ
πολλοὶ γονεῖς ἐγκατέλιπον τὰ ἄπιστα
αὐτῶν τέκνα· ἡ μήτηρ ἐχωρίσθη ἀπὸ
τῆς ἀπίστου θυγατρὸς, καὶ ἡ θυγάτηρ
ἀπὸ τῆς ἀπίστου μητρὸς, καὶ ὁ ἀδελ-
φὸς ἀπὸ τοῦ ἀπίστου ἀδελφοῦ, καὶ ἡ
νύμφη ἔφυγεν ἀπὸ τῆς παστάδος τοῦ
νυμφίου αὐτῆς, καὶ ἐγκατέλιπον αὐτοὺς,
ἵνα μὴ σκανδαλισθέντες πέσωσιν εἰς
τῆς ἀπιστίας τὸ βάραθρον.

Ἀλλὰ διατί φαίνεται ἡ ὑπόθεσις
τοῦ σκανδάλου τοσοῦτον δύσκολος; ἐὰν
φυλάττῃς τὴν πίστιν ἀμώμητον, καὶ τὰς
ἐντολὰς τοῦ Θεοῦ ἀμέμπτως, τινὲς δὲ
σκανδαλίζωνται, μηδὲν φρόντιζε περὶ τοῦ
τοιούτου σκανδάλου· ἄφες αὐτοὺς, ὁδη-
Ματ. ιε'. 14. γοί εἰσι τυφλοὶ τυφλῶν. Ἐὰν δὲ
βλέπῃς, ὅτι τὸ ἔργον σου σκανδαλίζει
τὸν ἀδελφόν σου, σὺ δὲ, ἐὰν αὐτὸ ἐγκα-
ταλείψῃς, οὐδὲ τὴν πίστιν ἀθετῇς, οὐδὲ
τὸν νόμον παραβαίνῃς, τότε ἄφες τὸ ἔρ-
γον ἐκεῖνο, ἵνα μὴ τὸν ἀδελφόν σου σκαν-
δαλίσῃς· Εἰ βρῶμα σκανδαλίζει Α'.Κορ.ή. 13.
τὸν ἀδελφόν μου, οὐ μὴ φάγω κρέα
εἰς τὸν αἰῶνα, ἵνα μὴ τὸν ἀδελ-
φόν μου σκανδαλίσω. Ὅταν δὲ συ-
ναντᾷς τὰ σκάνδαλα, καὶ αἰσθάνεσαι,
ὅτι τὸ σκάνδαλον φέρει σοι τὸν κίνδυνον
τοῦ θανάτου τῆς ἁμαρτίας, τότε φύγε,
τότε ἀναχώρησον, τότε χωρίσθητι ἀπὸ
τοῦ ποιοῦντος τὸ σκάνδαλον· πρόσεχε
ὅμως, καὶ παρατήρει ἀκριβῶς, ποῖά εἰσι
τὰ ἀληθῆ σκάνδαλα, ἵνα μὴ νομίζῃς
σκάνδαλον ἐκεῖνο, ὅπερ οὐκ ἔστι σκάνδα-
λον, καὶ σκανδαλιζόμενος παραλόγως,
σκανδαλίζεις τοὺς ἄλλους εὐλογοφανῶς·
Παρακαλῶ δὲ ὑμᾶς, ἀδελφοὶ, λέγει Ρωμ. ιϛ'. 17.
ὁ θεῖος Ἀπόστολος, σκοπεῖν τοὺς
τὰς διχοστασίας καὶ τὰ σκάνδα-
λα παρὰ τὴν διδαχὴν, ἣν ὑμεῖς
ἐμάθετε, ποιοῦντας· καὶ ἐκκλί-
νατε ἀπ' αὐτῶν. Προσοχῆς μόνης, καὶ
διακρίσεως ἀληθινῆς ἔχει χρείαν καὶ ὁ
σκανδαλίζων, ἵνα μὴ σκανδαλίζῃ, καὶ
ὁ σκανδαλιζόμενος, ἵνα μὴ σκανδαλίζη-
ται· Μὴ οὖν δὸς ὕπνον σοῖς ὄμμα- Παροιμ. ϛ'. 4, 5.
σι, μηδὲ νυστάξῃς σοῖς βλεφά-
ροις, ἵνα σώζῃ ὥσπερ δορκὰς ἐκ
βρόχων, καὶ ὥσπερ ὄρνεον ἐκ πα-
γίδος. Ἀμήν.

# ΟΜΙΛΙΑ

ΜΕΤΑ ΤΟ ΚΑΤΑ

# ΜΑΡΚΟΝ

## ΕΥΑΓΓΕΛ. ΤΗΣ ΚΥΡ. ΤΩΝ ΠΑΤΕΡΩΝ ΤΗΣ Δ'. ΣΥΝΟΔΟΥ.

Ἑξακόσιοι τριάκοντα Ἀρχιερεῖς ἅγιοι προσκαλοῦσιν ἡμᾶς σήμερον, ἵνα εὐσεβῶς ἑορτάσωμεν τὴν ἐν Χαλκηδόνι τῇ πόλει ἁγίαν καὶ ἔνδοξον συνέλευσιν αὐτῶν, ἥτις ἐστὶν ἡ ἁγία καὶ οἰκουμενικὴ τετάρτη Σύνοδος· ἀκούσατε οὖν ποῖος τῆς ἐκεῖ συνελεύσεως αὐτῶν ὁ σκοπὸς καὶ τὸ τέλος. Τετρακόσια καὶ τεσσαράκοντα ἔτη μετὰ τὴν Χριστοῦ γέννησιν, ἐμφανισθεὶς ὁ αἱρετικὸς Ἀρχιμανδρίτης, ὁ Εὐτυχὴς μὲν κατὰ τὸ ὄνομα, δυστυχὴς δὲ κατὰ τὸν νοῦν καὶ τὴν προαίρεσιν, κατετάραξε τὴν τοῦ Χριστοῦ Ἐκκλησίαν ὁ δυσσεβὴς καὶ πανάθλιος. Αὐτὸς πρῶτον μὲν ἠγωνίσθη γενναίως εἰς τὴν ἐν Ἐφέσῳ ἁγίαν οἰκουμενικὴν Σύνοδον κατὰ τοῦ μωρολόγου Νεστορίου, ὅστις, διαιρῶν τὰς δύω τοῦ Χριστοῦ φύσεις, καὶ λέγων ἄλλον τὸν ἐκ Πατρὸς γεννηθέντα Υἱὸν καὶ Λόγον, καὶ ἄλλον τὸν ἐκ μητρὸς τεχθέντα, τὸν Χριστὸν, Χριστοτόκον, καὶ οὐχὶ Θεοτόκον ὠνόμαζε τὴν μητέρα τοῦ Θεοῦ, τὴν ὑπεραγίαν Θεοτόκον Μαριάμ. Ἔπειτα, ὡς φαίνεται, διορθῶσαι βουλόμενος τὸ αἱρετικὸν τοῦ Νεστορίου φρόνημα, ἐκρημνίσθη αὐτὸς εἰς ἄλλην αἵρεσιν, ἴσην, ἢ καὶ χείρονα τῆς Νεστοριανῆς αἱρέσεως· διότι, συγχέων τὰς δύω τοῦ Χριστοῦ φύσεις, καὶ τὰς δύω ἐνεργείας αὐτοῦ, μίαν μόνην φύσιν συγκεχυμένην καὶ σύμμικτον, καὶ μίαν ἐνέργειαν, ἐξ αὐτῆς τῆς συντεθειμένης φύσεως προϊοῦσαν, ἐδίδασκεν ὁ τυφλὸς καὶ ἀσύνετος· τυφλὸς ἀληθῶς καὶ ἄνους, ἐπειδὴ οὐδὲ κατενόει, οὐδὲ ἔβλεπε τὰ ἱερὰ Εὐαγγέλια, τὰ ὁποῖα κηρύττουσι τὸν Ἰησοῦν Χριστὸν πεινῶντα, διψῶντα, κεκοπιακότα, κοιμώμενον, ὅπερ ἐστὶν ἐνεργοῦντα ὡς ἄνθρωπον τῆς ἀνθρωπίνης αὐτοῦ φύσεως τὰς ἐνεργείας· ὁμοίως δὲ κηρύττουσιν αὐτὸν, λόγῳ μόνῳ θεραπεύοντα τοὺς ἀσθενεῖς, διώκοντα τὰ Δαιμόνια, προλέγοντα τὰ μέλλοντα, γνωρίζοντα τὰς ἀποκρύφους ἐνθυμήσεις τῆς καρδίας, ἀνιστῶντα τοὺς νεκροὺς, ὅπερ ἐστὶν ἐνεργοῦντα τὰς ἐνεργείας τῆς Θεϊκῆς αὐτοῦ φύσεως. Τοῦτον πρῶτον μὲν ὁ Φλαβιανὸς ὁ Πατριάρχης μετὰ τῆς περὶ αὐτὸν Συνόδου, ὡς αἱρετικὸν κατακρίνας, καθεῖλε καὶ τῆς ἱερωσύνης καὶ τῆς προεδρίας τοῦ Μοναστηρίου αὐτοῦ. Ἐπειδὴ δὲ οὐδὲ διωρθώθη, οὐδὲ ἡσύχασεν, ἀλλὰ διὰ τῆς συνεργείας Διοσκόρου τοῦ Ἀλεξανδρείας, καὶ Χρυσάφου τινὸς, ὑπουργοῦ τῆς βασιλείας, συναγαγὼν τὸ ἐν Ἐφέσῳ λῃστρικὸν συνέδριον, ἑαυτὸν μὲν ἀπατηλῶς ἔδειξεν ἀθῶον, τὸν δὲ πατριάρχην τὸν Φλαβιανὸν ἐκάθηρε· διὰ τοῦτο ὁ εὐσεβέστατος Αὐτοκράτωρ ὁ Μαρκιανὸς ταύτην τὴν οἰκουμενικὴν ἁγίαν Σύνοδον ἐν Χαλκηδόνι συνήθροισεν. Αὐτὴ οὖν, ἐξετάσασα πάλιν ἀκριβῶς τοῦ Εὐτυχοῦς τὰ φρονήματα, καὶ ἰδοῦσα ἐν τῇ δολερᾷ ὁμολογίᾳ τῆς πίστεως αὐτοῦ, ὅτι ἔκοψεν ἐκ τοῦ τρίτου ἄρθρου τοῦ Συμβόλου

λου τῆς ἐν Νικαίᾳ Συνόδου ταῦτα τὰ λόγια· Κατελθόντα ἐκ τῶν οὐρανῶν, καὶ σαρκωθέντα ἐκ Πνεύματος ἁγίου καὶ Μαρίας τῆς Παρθένου· ἀναθέματι καθυπέβαλεν αὐτόν τε καὶ τὸν Διόσκορον, καὶ τὸν Σευῆρον, καὶ τὸν Ὀνώριον, καὶ τὸν Πύῤῥον, καὶ τὸν Ἰάκωβον, καὶ πάντας τοὺς τούτου ὁμόφρονας. Τούτων οὖν τῶν θεοφόρων Πατέρων, τῶν ἐν Χαλκηδόνι συναθροισθέντων, τὴν μνήμην ἑορτάζοντες σήμερον πάντες οἱ ὀρθόδοξοι Χριστιανοί, ὡς φῶτα τοῦ κόσμου, ὡς στύλους τῆς Ἐκκλησίας, ὡς διδασκάλους τῆς ἀληθινῆς πίστεως, καὶ ὡς εὐεργέτας τῆς ψυχῆς ἡμῶν καὶ ἀντιλήπτορας, εὐλαβῶς αὐτοὺς τιμῶμεν καὶ μακαρίζομεν. Διὰ τοῦτο δὲ ἀνεγνώσθη σήμερον τὸ Εὐαγγέλιον, τὸ περιέχον τὰς ἀρετὰς τῶν ἀληθινῶν ποιμένων καὶ διδασκάλων, τὰς ὁποίας αὐτοὶ διὰ τῶν θεαρέστων αὐτῶν ἔργων ἐτέλεσαν. Ἐπειδὴ δὲ τοῦτο τὸ Εὐαγγέλιον διερμηνεύθη ὅλον εἰς τὴν ἑορτὴν τῶν ἁγίων Πατέρων τῆς ἑβδόμης Συνόδου, διὰ τοῦτο σήμερον ἀφιεροῦμεν τὸν λόγον εἰς ταῦτα τούτου τοῦ Εὐαγγελίου τὰ λό-
Ματ. ε΄. 19. για· Ὃς δ' ἂν ποιήσῃ καὶ διδάξῃ, οὗτος μέγας κληθήσεται ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν.

Ἡ μὲν πρᾶξις τῆς ἀρετῆς ἐστὶ καρπὸς τῆς ἐλευθέρας ἡμῶν προαιρέσεως, τῆς δὲ διδασκαλίας τὸ ἐπάγγελμα οὐκ ἔστιν ἔργον μόνης τῆς προαιρέσεως, ἀλλὰ καὶ τῆς μαθήσεως. Ὑπόθες, ὅτι θέλει ὁ ἀμαθὴς ἄνθρωπος, ἵνα διδάξῃ, ἀλλὰ πῶς δύναται διδάξαι, ἐὰν μὴ ἔχῃ τῆς μαθήσεως τὸ χάρισμα; ἡμεῖς δὲ ἀκούομεν, ὅτι ὁ Κύριος συνέζευξε τὸ ποιεῖν καὶ τὸ διδάσκειν, καὶ ἀπεφάσισεν, ὅτι ἐκεῖνός ἐστι μέγας ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν, ὅστις καὶ τὰ δύω ταῦτα κατορθώσῃ· βλέπομεν δέ, ὅτι ὁ Θεὸς οὐχὶ εἰς πάντας, ἀλλ' εἰς τινὰς μόνον δίδωσι τῆς σοφίας τὸ τάλαντον· πῶς οὖν διορίζει μεγάλας ἀνταποδόσεις εἰς ἐκεῖνον, ὅστις οὐ μόνον πράττει τὴν ἀρετήν, ἀλλὰ καὶ διδάσκει αὐτήν; ἐὰν εἴπωμεν, ὅτι ὁ Θεὸς οὐ θέλει, ἵνα πᾶς ἄνθρωπος κατασταθῇ μέγας ἐν τῇ βασιλείᾳ αὐτοῦ, ἀλλὰ τινὲς μόνον, ἐκεῖνοι δηλαδή, εἰς ὅσους ἔδωκε τῆς σοφίας τὸ χάρισμα, τοῦτό ἐστιν ἄπρεπον καὶ εἰς τὴν δικαιοσύνην αὐτοῦ, καθότι πάντες ἐπίσης εἰσὶ πλάσματα αὐτοῦ, καὶ εἰς τὴν ἄπειρον αὐτοῦ ἀγαθότητα, καθότι ἐπίσης πάντας ἀγαπᾷ. Ἡ τοιαύτη ἀπορία φαίνεται μὲν μεγάλη, ἔχει ὅμως λύσεις ἀρκετάς, πρὸς ἀνάπαυσιν τοῦ νοὸς παντὸς πιστοῦ ἀνθρώπου.

Διανέμει ὁ Θεὸς τὰ τάλαντα, ἤγουν τὰ θεῖα αὐτοῦ χαρίσματα, ζυγοστατῶν τοῦ καθενὸς τὴν δύναμιν· καθὼς δὲ ἡμεῖς οὐδέποτε βάλλομεν δύω μέτρα εἰς τὸ σκεῦος, τὸ ὁποῖον χωρεῖ ἓν μόνον, οὕτως ὁ Θεὸς οὐδέποτε δίδωσι δύω τάλαντα εἰς τὸν ἄνθρωπον, τοῦ ὁποίου ἡ δύναμις βαστᾷ ἓν μόνον. Διατί δὲ τοῦτο; διότι καθὼς συντρίβεται τὸ εὔθριπτον σκεῦος, ἐὰν βιάσῃς αὐτό, βάλλων ἐν αὐτῷ περισσότερον τοῦ ὅσου χωρεῖ, οὕτω βλάπτεται ὁ ἀσθενὴς ἄνθρωπος, ἐὰν ὁ Θεὸς δώσῃ εἰς αὐτὸν τάλαντα περισσότερα τῶν ὅσων ἡ δύναμις αὐτοῦ
ἐπιδέχεται· Καὶ ᾧ μὲν ἔδωκε, λέγει, Ματ. κε΄. 15.
πέντε τάλαντα, ᾧ δὲ δύω, ᾧ δὲ ἕν· ἑκάστῳ κατὰ τὴν ἰδίαν δύναμιν. Ἐπειδὴ δὲ δίκαιός ἐστι, ζητεῖ τὸν πολυπλασιασμὸν ἐκείνων μόνων τῶν ταλάντων, τὰ ὁποῖα αὐτὸς μὲν ἔδωκε, σὺ δὲ ἔλαβες. Ὅταν δὲ ὁ καθεὶς πολυπλασιάσῃ ὅσα ἔλαβε, τότε αὐτός, πανάγαθος ὤν, ἐπίσης ἀνταμείβει καὶ τοὺς τὰ πολλά, καὶ τοὺς τὰ ὀλίγα λαβόντας
καὶ πολυπλασιάσαντας· Εὖ δοῦλε ἀ- Αὐτόθι. 21.
γαθὲ καὶ πιστέ, εἶπεν ὁ Κύριος, ἐπὶ ὀλίγα ἦς πιστός, ἐπὶ πολλῶν

σε καταστήσω· εἴσελθε εἰς τὴν χαρὰν τοῦ Κυρίου σου, ὅπερ ἐστὶ, τὸν αὐτὸν ἔπαινον ἐξεφώνησε, καὶ τὴν αὐτὴν ἀνταπόδοσιν ἀπέδωκεν ὁ Θεὸς καὶ εἰς τὸν πολυπλασιάσαντα τὰ πέντε τάλαντα, καὶ εἰς τὸν αὐξήσαντα τὰ δύω. Μὴ οὖν διστάζῃς, μηδὲ λυποῦ, ὑποπτευόμενος, ὅτι λαμβάνεις, ὀλιγώτερον μισθὸν, ἤπερ ἐκεῖνος, ὅστις ἔλαβε καὶ ἐπολυπλασίασε τὰ πολλά· πολυπλασίασον σὺ προθύμως ὅσα ἔλαβες, ὁ δὲ Θεὸς, ὁ γινώσκων καὶ πόσα παρέδωκέ σοι, καὶ πόση ἐστὶν ἡ προθυμία τῆς καρδίας σου, ἀνταμείβει σε ὥσπερ ἂν εἰ ἐπολυπλασίασας καὶ τὰ πολλά.

Μὴ νομίσῃς, ὅτι ὁ Θεὸς ζυγοστατεῖ τὴν ποσότητα τῶν καλῶν σου ἔργων, ἐπειδὴ ἔχει χρείαν τούτων· ὁ πανυπερτέλειος Δημιουργὸς καὶ Ἐξουσιαστὴς τῆς κτίσεως οὐδεμίαν χρείαν ἔχει τῶν ἀρε-
Ψαλ. ιε'. 1. τῶν σου· Εἶπα τῷ Κυρίῳ, Κύριός μου εἶ σὺ, ὅτι τῶν ἀγαθῶν μου οὐ χρείαν ἔχεις, ἔλεγεν ὁ Προφητάναξ. Μὴ στοχασθῇς, ὅτι ἡ βασιλεία, ἣν ὁ Θεὸς ἡτοίμασεν εἰς τοὺς ἀγαπῶντας τὸ θέλημα αὐτοῦ, ἔχει κἂν μικράν τινα ἀναλογίαν πρὸς τοὺς κόπους τῶν καλῶν ἡμῶν ἔργων, διότι ἐκείνη ἐστὶν αἰώνιος καὶ ἀτελεύτητος, οἱ δὲ κόποι ἡμῶν, ὁποῖοι καὶ ἂν ὦσιν, εἰσὶ πρόσκαιροι καὶ τέλος ἔχουσι· διὰ τοῦτο δὲ ὁ θεσπέσιος Παῦ-
Ῥωμ. η'. 18. λος ἔγραφε πρὸς τοὺς Ῥωμαίους· Λογίζομαι γὰρ, ὅτι οὐκ ἄξια τὰ παθήματα τοῦ νῦν καιροῦ πρὸς τὴν μέλλουσαν δόξαν ἀποκαλυφθῆναι. Θέλει τὰ καλὰ ἡμῶν ἔργα, καὶ χωρὶς αὐτῶν οὐδένα σώζει· τοῦτο ἐβε-
Ἰωάν. ε'. 29. βαίωσε μὲν αὐτὸς, εἰπών· Καὶ ἐκπορεύσονται οἱ τὰ ἀγαθὰ ποιήσαντες εἰς ἀνάστασιν ζωῆς, οἱ δὲ τὰ φαῦλα πράξαντες, εἰς ἀνάστασιν
Ῥωμ. β'. 6. κρίσεως· ἐμαρτύρησε δὲ καὶ ὁ Ἀπόστολος αὐτοῦ, κηρύξας ἡμῖν τὸ, Ὃς ἀποδώσει ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ· πλὴν ἡ ὑπὲρ τούτων ἀνταπόδοσις ἐστὶ τόσον ὑψηλὴ καὶ μεγάλη, ὥστε οὐδόλως ἀναλογεῖ τοῖς ἔργοις ἡμῶν· διὰ τοῦτο ἡ σωτηρία καὶ ἡ κληρονομία τῆς βασιλείας αὐτοῦ ἐστὶν ἔλεος, ἐστὶ δῶρον, ἐστὶ χάρις· Τῇ γὰρ χά- Ἐφεσ. β'. 8, 9.
ριτι ἐστὲ σεσωσμένοι διὰ τῆς πίστεως· καὶ τοῦτο οὐκ ἐξ ὑμῶν, Θεοῦ τὸ δῶρον· οὐκ ἐξ ἔργων, ἵνα μήτις καυχήσηται· τὰ καλὰ ἔργα ἀφορμὴν μόνον δίδουσιν εἰς τὸν Θεὸν, ἵνα ἐκχέῃ τὸ ἔλεος αὐτοῦ ἐφ' ἡμᾶς.

Τοῦτο αὐτὸ βλέπομεν καὶ εἰς τὴν τοῦ οἰκοδεσπότου Παραβολήν. Ἐμίσθωσε, λέγει, ὁ οἰκοδεσπότης ἐργάτας εἰς τὸν ἀμπελῶνα αὐτοῦ, ἄλλους μὲν τὴν τρίτην ὥραν τῆς ἡμέρας, ἄλλους δὲ τὴν ἕκτην, ἄλλους δὲ τὴν ἐννάτην· περὶ δὲ τὴν ἑνδεκάτην ὥραν ἰδὼν ἄλλους ἐργάτας ἀργοὺς, εἶπε πρὸς αὐτούς· Ὑπάγετε καὶ ὑμεῖς, δουλεύσατε εἰς τὸν ἀμπελῶνά μου, καὶ δώσω ὑμῖν ὅσον ἐστὶ δίκαιον. Ἔπειτα, ὅταν ἦλθεν ἡ ὥρα τῆς ἀνταποδόσεως τοῦ μισθοῦ, ἔδωκε καὶ εἰς τοὺς πρώτους, καὶ εἰς τοὺς δευτέρους, καὶ εἰς τοὺς τρίτους, καὶ εἰς αὐτοὺς τοὺς ἐσχάτους, ἤγουν εἰς ἐκείνους, οἵτινες ἐδούλευσαν μίαν μόνην ὥραν, τὸν αὐτὸν μισθὸν, τουτέστιν ἓν δηνάριον· τοῦτο δὲ ἰδόντες οἱ πρῶτοι ἐγόγγυσαν, λέγοντες· Κύριε, οὗτοι οἱ ἔσχατοι μίαν μόνην ὥραν ἐκοπίασαν, σὺ δὲ ἔδωκας αὐτοῖς τὸν αὐτὸν μισθὸν, ὃν καὶ ἡμεῖς ἐλάβομεν, οἵτινες ἐβαστάσαμεν τὸ βάρος καὶ τὴν καῦσιν ὅλης τῆς ἡμέρας· ὁ δὲ οἰκοδεσπότης ἀπεκρίθη πρὸς αὐτούς· Ἐγὼ οὐκ ἠδίκησα ὑμᾶς, ἓν δηνάριον ἐσυμφωνήσατε διὰ τὸν κόπον ὑμῶν, καὶ ἓν ἐλάβετε· θέλω δὲ, ἵνα δώσω εἰς τοῦτον τὸν ἔσχατον τόσον, ὅσον καὶ εἰς ὑμᾶς τοὺς πρώτους· μήπως οὐκ ἔχω ἐξουσίαν, ἵνα ποιήσω ὅ,τι θέλω εἰς τὰ

πράγ-

Ματ. κ'. πράγματά μου; Θέλω δὲ τούτῳ τῷ
14, 15. ἐσχάτῳ δοῦναι ὡς καὶ σοί· ἢ οὐκ
ἔξεστί μοι ποιῆσαι ὃ θέλω ἐν
τοῖς ἐμοῖς; Τί ἄλλο διδάσκει οὗτος
ὁ παραβολικὸς λόγος, εἰμὴ τὸ, ὅτι ὁ
Θεὸς θέλει, ἵνα ἡμεῖς κοπιάζωμεν ὑπὲρ
τῶν κατορθωμάτων τῆς ἀρετῆς, καθότι
τοῦτό ἐστιν ἀπόδειξις τῆς εὐλαβείας καὶ
τῆς προθυμίας τῆς ψυχῆς ἡμῶν, οὐδό-
λως δὲ ἐπιβλέπει εἰς τὴν ποσότητα τῶν
κόπων, ἀλλ' εἰς τὴν προθυμίαν καὶ τὴν
εὐλάβειαν τῆς καρδίας;

Ἐκάθητο ὁ Θεάνθρωπος Ἰησοῦς ἐν
μιᾷ τῶν ἡμερῶν ἀπέναντι τοῦ Γαζοφυ-
λακίου, ἤγουν κατ' ἔμπροσθεν τῆς θή-
κης, εἰς τὴν ὁποίαν καθεὶς ἔβαλεν ὅσα
χρήματα ἤθελε νὰ ἀφιερώσῃ εἰς τὸν
Θεόν· ἔβλεπε δὲ τοὺς ἐκεῖ ἐρχομένους
πλουσίους, οἵτινες ἔβαλον εἰς τὸ Γαζο-
φυλάκιον πολλά· ἐλθοῦσα δὲ καὶ μία
πτωχὴ χήρα ἔβαλεν ἐκεῖ δύω μόνα λε-
πτά. Τότε ὁ Ἰησοῦς, προσκαλέσας τοὺς
Μαθητὰς αὐτοῦ, ἐβεβαίωσεν αὐτοὺς, ὅτι
ἐκείνη ἡ πτωχὴ χήρα ἔβαλεν εἰς τὸ Γα-
ζοφυλάκιον περισσότερον πάντων τῶν
Μάρκ. ιβ'. ἄλλων· Ἀμὴν λέγω ὑμῖν, ὅτι ἡ χή-
43. ρα αὕτη ἡ πτωχὴ πλεῖον πάντων
βέβληκε τῶν βαλόντων εἰς τὸ Γα-
ζοφυλάκιον. Ὁ Ἀβραὰμ οὐκ ἐθυ-
σίασε τὸν υἱὸν αὐτοῦ, ἀλλ' ἥπλωσε μό-
νον τὴν χεῖρα αὐτοῦ, ἵνα σφάξῃ αὐτόν·
ὁ δὲ Θεὸς τετελεσμένην ἐλογίσατο τὴν
Γεν. κβ'. ὑπακοὴν καὶ τὴν θυσίαν αὐτοῦ· Νῦν
12. γὰρ ἔγνων, εἶπε πρὸς αὐτὸν, ὅτι φο-
βῇ σὺ τὸν Θεόν· καὶ οὐκ ἐφείσω
τοῦ υἱοῦ σου τοῦ ἀγαπητοῦ δι' ἐμέ.
Ὁ Ζακχαῖος ἐπεθύμησε μόνον ἰδεῖν τὸν Ἰη-
σοῦν Χριστὸν, καὶ ἀνέβη εἰς τὴν συκο-
μορέαν, ἵνα ἴδῃ αὐτόν· ὁ δὲ Ἰησοῦς Χρι-
Λουκ. ιθ'. στὸς, Ζακχαῖε, λέγει πρὸς αὐτὸν,
5. σπεύσας κατάβηθι· σήμερον γὰρ
ἐν τῷ οἴκῳ σου δεῖ με μεῖναι. Ὁ
Τελώνης μόνον τὸ στῆθος αὐτοῦ ἔτυψε,

λέγων· Ὁ Θεὸς, ἱλάσθητί μοι τῷ ἁ- Λουκ. ιη'.
μαρτωλῷ, καὶ κατέβη εἰς τὸν οἶκον 13.
αὐτοῦ δεδικαιωμένος. Μία μόνη φωνὴ τοῦ
Λῃστοῦ· Μνήσθητί μου, Κύριε, ὅ- Αὐτ. κγ'.
ταν ἔλθῃς ἐν τῇ βασιλείᾳ σου, ἤ- 42.
νοιξεν αὐτῷ τὸν παράδεισον. Ὁ δεχό- Ματ. ι'.
μενος Προφήτην, εἶπεν ὁ Κύριος, εἰς 41, 42.
ὄνομα Προφήτου, μισθὸν Προφή-
του λήψεται· καὶ ὁ δεχόμενος δί-
καιον εἰς ὄνομα δικαίου, μισθὸν
δικαίου λήψεται. Καὶ ὃς ἐὰν πο-
τίσῃ ἕνα τῶν μικρῶν τούτων πο-
τήριον ψυχροῦ μόνον, εἰς ὄνομα
μαθητοῦ, ἀμὴν λέγω ὑμῖν, οὐμὴ
ἀπολέσῃ τὸν μισθὸν αὐτοῦ· ἀ-
κούετε; διὰ ἕνα ποτήριον ψυχροῦ ὕδα-
τος, διὰ ἕνα μόνον ἀγαθὸν σκοπὸν ἀν-
ταμείβει ὁ Θεὸς, κἂν τὰ πράγματα οὐκ
ἀποκρίνωνται εἰς τὸν σκοπὸν ἡμῶν· του-
τέστιν κἄν τε ἀληθῶς Προφήτης, ἢ δί-
καιος, ἢ μαθητὴς Χριστοῦ ὑπῆρχεν ἐ-
κεῖνος, ὃν ἡμεῖς εὐεργετήσαμεν, κἂν οὐ
τοιοῦτος ἦν, ἀλλὰ πλαστὸν εἶχε τὸ ὄνο-
μα, ἡμεῖς λαμβάνομεν τὸν μισθὸν, ὥ-
σπερ ἂν εἰ ἐκεῖνος ἦν ἀληθινὸς Προφή-
της, ἢ δίκαιος, ἢ Χριστοῦ μαθητής.

Ἀλλὰ τί ὠφελοῦσι, λέγεις, ταῦτα
πρὸς τὴν λύσιν τῆς προκειμένης ἀπο-
ρίας; Διὰ τούτων λύεται ἡ ἀπορία·
ταῦτα ἀναπαύουσι τοῦ νοὸς τὴν περιέρ-
γειαν. Ἐὰν ὁ Θεὸς οὐκ ἐπιβλέπῃ εἰς
τὴν ποσότητα τῆς ἀρετῆς, ἀλλ' εἰς τὴν
προθυμίαν τῆς καρδίας· ἐὰν ὁ Θεὸς οὐκ
ἐπιβλέπῃ εἰς τὰ πράγματα, ἀλλ' εἰς τὸν
σκοπόν· ἐὰν ὁ Θεὸς οὐκ ἐπιβλέπῃ εἰς
τὸ ἔργον, ἀλλ' εἰς τὴν διάθεσιν τῆς ψυ-
χῆς, οὐδεὶς ἐνάρετος ἐστὶν, ὅστις οὐ δι-
δάσκει. Πρῶτον μὲν ἐπειδὴ ἡ διδασκα-
λία κατὰ δύω τρόπους γίνεται, ἢ διὰ
λόγου, ἢ διὰ τῶν ἔργων· ἡ δὲ διὰ τῶν
ἔργων διδασκαλία ἐστὶν ἰσχυροτέρα τῆς
διὰ λόγου γενομένης· σιωπᾷ μὲν ἡ γλῶσ-
σα τοῦ φιλαρέτου ἀνθρώπου, τοῦ μὴ ἔ-


χον-

χοντος τῆς σοφίας τὸ χάρισμα, λαλοῦσιν ὅμως τὰ ἔργα αὐτοῦ τὰ ἐνάρετα· ἡ δὲ φωνὴ αὐτῶν ἐστι πολλῷ λαμπροτέρα τῆς τοῦ στόματος λαλιᾶς· τὸ φῶς τῶν ἔργων αὐτοῦ φωτίζει πολλῷ περισσότερον τοῦ φωτὸς τῆς ῥητορικῆς τέχνης, διότι ὁ ῥητορικὸς λόγος πίπτει εἰς τὰ ὦτα, τὸ δὲ καλὸν παράδειγμα εἰσέρχεται εἰς τὴν καρδίαν. Τὰ καλὰ ἔργα καὶ ὁ ἥλιος ἔχουσι πολλὴν τὴν ὁμοιότητα· ὅταν αὐτὸς ἀνατείλῃ, φωτίζει τὴν γῆν, ὅταν ἐκεῖνα φανερωθῶσι, καταυγάζουσι τῶν ἀνθρώπων τὰς καρδίας· τοῦτο δὲ, ἤγουν τὸ παράδειγμα τῶν καλῶν ἔργων, ἐστὶ τὸ φῶς, περὶ τοῦ ὁποίου ὁ Κύριος ἡμῶν
Ματ. ε. 16. εἶπεν· Οὕτω λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως ἴδωσιν ὑμῶν τὰ καλὰ ἔργα, καὶ δοξάσωσι τὸν Πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς· ἀκούεις; τὰ καλὰ ἔργα εἰσὶν οἱ διδάσκαλοι, αὐτά εἰσιν ἡ διδασκαλία, ἡ διεγείρουσα τοὺς ἀνθρώπους πρὸς ἐπιστροφὴν καὶ μετάνοιαν, αὐτὰ ὑψοῦσι τὸν νοῦν αὐτῶν πρὸς τὴν ἀληθινὴν τοῦ Θεοῦ δοξολογίαν.

Δεύτερον· ὅστις ἀληθῶς κατορθώσῃ τῆς ἀρετῆς τὰ ἔργα, ἐκεῖνος ἀναμφιβόλως καὶ σκοπὸν ἔχει, καὶ ἐξ ὅλης καρδίας ἐπιθυμεῖ, ἵνα καὶ τοὺς ἄλλους διδάξῃ τὴν πίστιν καὶ τὴν ἀρετήν· διότι ποίαν ἀρετὴν ἔχει, ἐὰν λείπῃ αὐτῷ ὁ σκοπὸς καὶ ἡ ἐπιθυμία τῆς ὠφελείας τοῦ πλησίον, τουτέστιν ἐὰν λείπῃ αὐτῷ ἡ ἀγάπη; ἡμεῖς δὲ οἴδαμεν, ὅτι καὶ τοῦ Ζακχαίου τὴν ἐπιθυμίαν, καὶ τοῦ Ἀβραὰμ τὴν ἀπόφασιν, καὶ τὸν σκοπὸν τοῦ δεχομένου τὸν Προφήτην εἰς ὄνομα Προφήτου, ὡς ἔργα τετελεσμένα, καὶ ἀρετὰς τελείας ἐλογίσατο ὁ Θεός· τὸν σκοπὸν οὖν καὶ τὴν ἐπιθυμίαν τοῦ δικαίου ἀνθρώπου ὡς διδασκαλίαν δεχόμενος ὁ Θεὸς, ἀνταμείβει αὐτὸν ὡς διδάσκαλον τῆς πίστεως, καὶ τῆς ἀρετῆς κήρυκα.

Τρίτον· ὁ Κύριος ἡμῶν οὐκ εἶπεν, Ὅστις ἀνέβῃ ἐπ' ἄμβωνος, καὶ ἐκβοήσῃ λόγους ῥητορικῇ τέχνῃ κατεσκευασμένους, καὶ διδαχὰς εὐφραδίᾳ κοσμικῇ κεκοσμημένας, ἢ συγγράψῃ συμβουλευτικὰς ἐπιστολὰς, σοφίας πλήρεις, καὶ ἑρμηνείας τῶν θείων Γραφῶν, πολυμαθίᾳ καὶ εὐφυΐᾳ ἐναστραπτούσας, ἀλλ' εἶπεν, Ὃς ἂν ποιήσῃ καὶ διδάξῃ· διδασκαλία δέ ἐστι καὶ ὁ ἁπλοῦς καὶ σύντομος καὶ ἄτεχνος λόγος. Τίς δέ ἐστιν ἐκεῖνος ὁ ἄνθρωπος, ὁ φοβούμενος τὸν Θεὸν, καὶ φυλάττων τὰς ἐντολὰς αὐτοῦ, ὅστις, κἂν ἀμαθὴς, κἂν ἀπαίδευτος ὑπάρχῃ, οὐκ ἤνοιξέ ποτε τὸ στόμα αὐτοῦ, ἵνα εἴπῃ πρὸς τὸν πλησίον αὐτοῦ; Ἀδελφὲ, μὴ προδώσῃς τὴν πίστιν σου· Ἀδελφὲ, μὴ ἁμαρτάνῃς, καὶ παροργίζῃς τὸν Θεόν· Ἀδελφὲ, δὸς ἐλεημοσύνην εἰς τοὺς πτωχούς· ταῦτα τὰ ἁπλᾶ καὶ σύντομα λόγια εἰσὶ διδαχὴ, αὐτὰ δέ εἰσι τὰ δύω λεπτὰ τῆς χήρας, εὐπρόσδεκτα εἰς τὸν Θεὸν ὥσπερ ἐκεῖνα· διότι καθὼς ἐκείνη
ἐκ τῆς στερήσεως αὐτῆς πάντα Μάρκ. ιβ. 44.
ὅσα εἶχεν ἔβαλεν, ὅλον τὸν βίον αὐτῆς, οὕτω καὶ ὁ ἀγράμματος ἐνάρετος ἄνθρωπος, ὁ ταῦτα εἰπὼν, ἐκ τῆς στερήσεως αὐτοῦ πάντα ὅσα ἐδύνατο εἶπε, καὶ ἐξεκένωσεν ὅλον τῆς σοφίας αὐτοῦ τὸν πλοῦτον. Ἐπειδὴ δὲ δίκαιος Ψαλ. ι. 8.
Κύριος, καὶ δικαιοσύνας ἠγάπησεν, εὐθύτητας οἶδε τὸ πρόσωπον Ματ. ι. 30.
αὐτοῦ· ἀριθμεῖ δὲ τὰς τρίχας τῆς κεφαλῆς ἡμῶν, ἤγουν ζυγοστατεῖ καὶ διακρίνει πάσας καὶ αὐτὰς τὰς λεπτὰς διαφορὰς καὶ περιστάσεις τῶν ἔργων ἡμῶν, διὰ τοῦτο λογίζεται τὰ ὀλίγα πολλὰ, καὶ τὰ ἁπλᾶ καὶ ἄτεχνα, σοφὰ καὶ τεχνικά.

Ἀλλ' ἐὰν, λέγεις, διδάσκῃ καὶ ὁ ἀμαθὴς, καὶ ἀπολαμβάνῃ μισθὸν διδασκάλου, περιττὴ λοιπόν ἐστιν ἡ μάθησις· μάτην δὲ ὁ Θεὸς ἐσόφισε τὸν Σολομῶντα,

τα, μάτην πανσόφους κατέστησε τοὺς Ἀποστόλους, μάτην δὲ κοπιάζουσιν, ὅσοι ἐκχέουσιν ἱδρῶτας καὶ κόπους διὰ τὸ τάλαντον τῆς σοφίας. Τῆς σοφίας τὸ τάλαντον, ὦ ἀδελφὲ, ἐστὶ δῶρον ἐπουράνιον, τὸ ὁποῖον ἐμπιστεύει ὁ Θεὸς εἰς τὰς χεῖρας ἡμῶν, ἵνα δὶ αὐτοῦ ἐπιτηδευώμεθα πάντα ὅσα ἀναγκαῖα καὶ χρήσιμα εἰς τὴν παροῦσαν ἡμῶν ζωὴν, καὶ δὶ αὐτοῦ γνωρίσωμεν τῆς εὐσεβείας τὴν ἀλήθειαν, καὶ, ὠφελήσαντες παντοιοτρόπως τὴν Ἐκκλησίαν, τὴν ἀδελφότητα, τὴν πατρίδα, λάβωμεν τὴν ἀντιμισθίαν τῆς αἰωνίου βασιλείας. Ὁ ἅγιος ἄνθρωπος ὁ ἀμαθὴς οὐ δύναται κατορθῶσαι ὅσα ἔργα ἐκτελεῖ ὁ ἅγιος ἄνθρωπος, ὁ σοφὸς καὶ ἐπιστήμων· αὐτὸς ἐκφράζει τῶν Θείων Γραφῶν τὰ νοήματα, αὐτὸς σαφηνίζει τῆς πίστεως τὰ δόγματα, αὐτὸς κηρύττει τῶν ἁγίων Μυστηρίων τὴν δύναμιν, ἀπαντᾷ τῶν Αἱρετικῶν τὰ δολερὰ σοφίσματα, διερμηνεύει τοῦ Θεοῦ τοὺς νόμους, κατηχεῖ τοὺς ἀπίστους, συγγράφει τῆς ἠθικῆς διδασκαλίας τοῦ Ἰησοῦ Χριστοῦ τὰ μαθήματα· αὐτὸς ὠφελεῖ οὐ μόνον ἐν ὅσῳ ζῇ διὰ στόματος, ἀλλὰ καὶ μετὰ θάνατον διὰ τῶν ὑπ' αὐτοῦ συντεθέντων βιβλίων. Μάρτυρες τῶν λεγομένων εἰσὶ πρῶτοι οἱ θεοκήρυκες Ἀπόστολοι, μετὰ τούτους δὲ ὁ Ἀθηνῶν Ἱερόθεος καὶ ὁ Ἀρεοπαγίτης Διονύσιος, Ἰουστῖνος ὁ φιλόσοφος καὶ ὁ Λουγδούνων Εἰρηναῖος, Κυπριανὸς ὁ ἱερομάρτυς καὶ ὁ Ἀντιοχείας Εὐστάθιος, ὁ Ἀλεξανδρείας Ἀθανάσιος καὶ ὁ οὐρανοφάντωρ Βασίλειος, οἱ Γρηγόριοι, οἱ Κύριλλοι, ὁ Ἀμβρόσιος, ὁ Χρυσόστομος, ὁ Ἐπιφάνιος, καὶ οἱ ἐφεξῆς πάντες, ὅσοι παρὰ Θεοῦ ἔλαβον τῆς σοφίας τὸ χάρισμα· ὅσα δὲ οὗτοι διὰ τῆς σοφίας αὐτῶν κατώρθωσαν, ταῦτα οὐκ ἠδυνήθησαν κατορθῶσαι, οὐδὲ ὁ Παῦλος ὁ ἁπλοῦς, οὐδὲ ὁ Ἀντώνιος ὁ μέγας, οὐδὲ ὁ Σάββας ὁ ἡγιασμένος, οὐδὲ ὁ Εὐθύμιος ὁ Κοινοβιάρχης, οὐδὲ ὅσοι ἄλλοι ὑπερέλαμψαν διὰ μόνων τῶν ἐναρέτων αὐτῶν πράξεων· ἐστεφάνωσε δὲ ὁ Θεὸς καὶ τούτους ὥσπερ ἐκείνους, ἐπειδὴ ἡ προαίρεσις καὶ ἡ προθυμία τοῦ διδάσκειν ἴση ὑπῆρχε καὶ εἰς τούτους καὶ εἰς ἐκείνους· οὗτοι δὲ οὐ κατώρθωσαν ὅσα ἐκεῖνοι, οὐ καθότι οὐκ ἠθέλησαν, ἀλλὰ καθότι ὁ Θεὸς, κρίμασιν οἷς οἶδε μόνος αὐτὸς, οὐκ ἔδωκεν εἰς αὐτοὺς τῆς σοφίας τὸ τάλαντον· ἔδειξαν ὅμως προθυμίαν ἴσην ἐκείνοις, ἐπειδὴ καὶ αὐτοὶ ὠφέλησαν τὸν πλησίον αὐτῶν οὐ μόνον διὰ τοῦ ἁγίου αὐτῶν παραδείγματος, ἀλλὰ καὶ διὰ τοῦ ἁπλοῦ λόγου τῆς νουθεσίας αὐτῶν καὶ τῆς διδασκαλίας.

Ἀλλὰ τοῦτο, πάλιν ἀποκρίνεσαι, τὸ, Μέγας κληθήσεται ἐν τῇ Βασιλείᾳ τῶν οὐρανῶν, σημαίνει οὐχὶ ἰσότητα, ἀλλ' ἀνισότητα καὶ διαφορὰν, διότι, ἐὰν ὁ ποιήσας καὶ διδάξας κληθήσεται μέγας, ὁ ποιήσας καὶ μὴ διδάξας, κληθήσεται μικρός· ἐπειδὴ δὲ τοῦτο τὸ μέγας καὶ μικρὸς, οὐδὲν ἄλλο δηλοῖ, εἰμὴ τὴν διαφορὰν τῆς ὑπὸ τῶν δικαίων ἀπολαμβανομένης μεγάλης ἢ μικρᾶς δόξης καὶ μακαριότητος, φανερόν ἐστιν, ὅτι περισσοτέρας δόξης ἀπολαμβάνει ὁ ἐνάρετος ὁ σοφὸς, ἤπερ ὁ ἐνάρετος ὁ ἀμαθής. Ἡμεῖς, ἀκούοντες τὸν μὲν προφήτην Ἡσαΐαν κηρύττοντα· Δώσω αὐτοῖς ἐν τῷ οἴκῳ μου, καὶ ἐν τῷ τείχει μου τόπον ὀνομαστὸν, κρείττω υἱῶν καὶ θυγατέρων, ὄνομα αἰώνιον δώσω αὐτοῖς, καὶ οὐκ ἐκλείψει· τὸν δὲ Κύριον Ἰησοῦν Χριστὸν, διδάσκοντα καὶ λέγοντα· Ἐν τῇ οἰκίᾳ τοῦ Πατρός μου μοναὶ πολλαί εἰσι· πιστεύομεν καὶ ὁμολογοῦμεν, ὅτι πολλαί εἰσιν οἱ βαθμοὶ τῆς θείας δόξης, ἀπολαμβάνει δὲ ἕκαστος τῶν πιστῶν ἀνωτέρου ἢ κατωτέρου βαθμοῦ

Ἡσ. νς΄. 5.

Ἰωάν. ιδ΄. 2.

μοῦ αὐτῆς, κατὰ ἀναλογίαν τῶν ἔργων αὐτοῦ· διότι ὁ αὐτὸς εἶπε διὰ τοῦ ἀποστολικοῦ στόματος, ὅτι ἀποδώσει ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ. Πλὴν καὶ ἐκ τῶν λόγων, καὶ ἐκ τῶν παραδειγμάτων τῶν ἐν τῇ ἁγίᾳ Γραφῇ ἀδιστάκτως συμπεραίνομεν, ὅτι τὴν τοιαύτην διανομὴν τῆς θείας δόξης ποιεῖ ὁ Θεὸς οὐ μόνον ἀνάλογον εἰς τὸν πολυπλασιασμὸν μόνου τοῦ ταλάντου, ἀλλὰ κατὰ ἀναλογίαν καὶ τῆς πίστεως, καὶ τῆς προαιρέσεως, καὶ τῆς προθυμίας, καὶ τοῦ σκοποῦ, καὶ τοῦ ζήλου, καὶ πάντων τῶν ἔργων τῆς ἀρετῆς· ὅστις δὲ κατὰ ταῦτα πάντα ὑπερέχει τοὺς ἄλλους, ἐκεῖνος ἀπολαμβάνει πλείονος τῶν ἄλλων δόξης καὶ μακαριότητος. Ἐὰν, παραδείγματος χάριν, ὁ διδάσκαλος ὁ Χρυσόστομος ὑπερέβη τὸν Παῦλον τὸν ἁπλοῦν, οὐ μόνον κατὰ τὰ ἔργα τῆς σοφίας αὐτοῦ, ἀλλὰ καὶ κατὰ τὰς λοιπὰς ἀρετὰς, ὁ Χρυσόστομος ἔχει τὸν τόπον τὸν ἐκλεκτὸν, καὶ μονὴν ἐνδοξοτέραν τῆς τοῦ Παύλου, ἐν τῇ οἰκίᾳ τοῦ ἐπουρανίου Πατρός· ἐὰν δὲ τὸ ὑστέρημα τῶν κατορθωμάτων τῆς σοφίας τοῦ Χρυσοστόμου, τὸ ἐν τῷ Παύλῳ, ἀνεπλήρωσεν ὁ Παῦλος δι' ἄλλων ἀρετῶν, ὥστε καὶ οἱ δύω κατεστάθησαν ἴσοι κατὰ τῆς ἀρετῆς τὰ ἔργα, ἴσους ἔχουσι καὶ τοὺς τόπους καὶ τὰς μονάς· κατὰ τὸν αὐτὸν δὲ λόγον, ἐὰν ὁ Παῦλος ὑπερέβη τὸν Χρυσόστομον εἰς τὰς ἐναρέτους πράξεις, ὁ Παῦλός ἐστιν ὁ μέγας ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν.

Ῥωμ. β'. 6.

Τί ἄλλο ἐστὶ τὸ διδάσκειν, εἰμὴ μία τῶν ἀρετῶν; τί ἄλλο ἐστὶν, εἰμὴ ἡ ἀγάπη τοῦ Θεοῦ καὶ τοῦ πλησίον ἐνεργουμένη; ἐπειδὴ οὖν ἀρετή ἐστι, διὰ τοῦτο ὁ Θεὸς ἀναλογίζεται καὶ ζυγοστατεῖ αὐτὴν μετὰ τῶν ἄλλων ἀρετῶν, διέστειλε δὲ αὐτὴν τῶν ἄλλων ἀρετῶν, εἰπών, Ὃς δ' ἂν ποιήσῃ καὶ διδάξῃ, ἐπειδὴ ἐστὶν ἀρετὴ μεγάλη, καὶ δύσκολος· μεγάλη, ἐπειδὴ ἐπιστρέφει πολλοὺς ἀπίστους ἀπὸ τῆς ἀπιστίας εἰς τὴν πίστιν, καὶ πολλοὺς ἁμαρτωλοὺς ἀπὸ τῆς ἁμαρτίας εἰς τὴν ἀρετήν· ταῦτα δέ εἰσι τοσοῦτον εὐπρόσδεκτα εἰς τὸν Θεὸν, ὥστε διὰ μὲν τοῦ προφήτου Ἱερεμίου εἶπεν· Ἐὰν ἐξαγάγῃς τίμιον ἐξ ἀναξίου, ὡς τὸ στόμα μου ἔσῃ· διὰ δὲ τοῦ Ἀποστόλου Ἰακώβου ἐκήρυξεν· Ὁ ἐπιστρέψας ἁμαρτωλὸν ἐκ πλάνης ὁδοῦ αὐτοῦ, σώσει ψυχὴν ἐκ θανάτου, καὶ καλύψει πλῆθος ἁμαρτιῶν· δύσκολος δὲ, ἐπειδὴ κινδυνεύει ὁ διδάσκων τρεῖς κινδύνους· τὸν κίνδυνον τῆς ὑπερηφανείας, καθότι εὔκολα ἔρχεται καὶ ἐπιμένει εἰς τὸν νοῦν αὐτοῦ ὁ ὑπερήφανος λογισμὸς, πείθων αὐτὸν, ὅτι ἐστὶ σοφός· τὸν κίνδυνον τῆς κακοδιδασκαλίας, καθότι εὔκολα, εἴτε ἐκ προαιρέσεως, εἴτε ἐκ παραδρομῆς, διδάσκει δόγματα διεστραμμένα ἀντὶ τῶν ὀρθῶν, καὶ δεισιδαιμονίας ἀντὶ τῶν νόμων τοῦ Θεοῦ· τὸν κίνδυνον τοῦ θείου ἐλέγχου, διότι πολλάκις διδάσκει τοὺς ἄλλους, αὐτὸς δὲ οὐ πράττει τὰ διδασκόμενα· ἄκουε δὲ μετὰ πάσης σφοδρότητος ἐλέγχει ὁ θεορρήμων Παῦλος τοὺς τοιούτους διδασκάλους· Ὁ οὖν διδάσκων ἕτερον, σεαυτὸν οὐ διδάσκεις; ὁ κηρύσσων μὴ κλέπτειν, κλέπτεις; ὁ λέγων μὴ μοιχεύειν, μοιχεύεις; ὁ βδελυσσόμενος τὰ εἴδωλα, ἱεροσυλεῖς; ὃς ἐν νόμῳ καυχᾶσαι, διὰ τῆς παραβάσεως τοῦ νόμου τὸν Θεὸν ἀτιμάζεις; ταύτην τὴν δυσκολίαν γνωρίσας ὁ ἀδελφόθεος Ἰάκωβος, κἂν ὕψωσε τῆς διδαχῆς τὸν καρπὸν, συμβουλεύει ὅμως, ἵνα μὴ πολλοὶ ἀναλαμβάνωσι τὸ διδασκαλικὸν ἐπάγγελμα· Μὴ πολλοὶ, λέγει, διδάσκαλοι γίνεσθε, ἀδελφοί μου, εἰδότες, ὅτι μεῖζον κρῖμα ληψόμεθα· πολλὰ γὰρ πταίομεν ἅπαντες.

Ἱερ. ιε'. 19.

Ἰακ. ε'. 20.

Ῥωμ. β'. 21, 22, 23.

Ἰακ. ε'. 20.

Ἰακ. γ'. 1, 2.

Βλέ-

Βλέπε δὲ πῶς καὶ αὐτὸς ὁ Θεάνθρωπος πρῶτον ἔθηκε τὸ, Ὃς δ' ἂν ποιήσῃ, ἔπειτα καὶ τὸ, διδάξῃ, ἵνα διὰ τούτου φανερώσῃ, ὅτι πρέπον ἐστὶν, ἵνα πρῶτον κατορθώσωμεν τῆς ἀρετῆς τὰ ἔργα, ἔπειτα διδάξωμεν αὐτὰ τοὺς ἄλλους. Μηδεὶς οὖν πλανάσθω, ἢ ἀμελῶν τὰ λοιπὰ τῆς ἀρετῆς ἔργα, καὶ φροντίζων μόνον περὶ τοῦ διδάσκειν τοὺς ἄλλους, ἢ νομίζων, ὅτι μόνον τὸ διδάσκειν δύναται καταστῆσαι αὐτὸν μέγαν ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν, ἢ λυπούμενος, ὅτι οὐκ ἔχει τῆς διδασκαλίας τὸ χάρισμα· φροντιζέτω δὲ ὁ καθεὶς πρῶτον, ἵνα διδάξῃ ἑαυτὸν, καὶ ποιήσῃ πάντα ὅσα εἰσὶν ἀρεστὰ τῷ Θεῷ, ἔπειτα, ἐὰν μὲν ἔχῃ τῆς σοφίας τὸ τάλαντον, πολυπλασιαζέτω αὐτὸ διὰ τῆς ὀρθῆς αὐτοῦ διδασκαλίας, ἐὰν δὲ οὐκ ἔλαβε τοῦτο, μηδὲν λυπείσθω· ἀρκεῖ αὐτῷ ὁ σκοπὸς, ὁ ζῆλος, ἡ προθυμία ὑπὲρ τούτου· ἀρκεῖ αὐτῷ ἡ τοῦ καλοῦ αὐτοῦ παραδείγματος διδασκαλία, καὶ ἡ τοῦ ἑνὸς ἁπλοῦ καὶ συντόμου λόγου αὐτοῦ νουθεσία· ἐπειδὴ δὲ τοιουτοτρόπως καθεὶς δύναται διδάσκειν, διὰ τοῦτο εἶπεν ὁ τῶν ἁπάντων Κύριος καὶ Δεσπότης, ἡ πηγὴ τῆς σοφίας καὶ τῆς δικαιοσύνης καὶ τῆς ἀγαθότητος· Ὃς δ' ἂν ποιήσῃ καὶ διδάξῃ, οὗτος μέγας κληθήσεται ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν.

Υἱὲ Θεοῦ, Λόγε, κλέος σου τῷ κράτει,
Ὅτι πέρας τῇ δε ἔθου σου τῇ βίβλῳ.

ΠΙ-

# Π Ι Ν Α Ξ

*Τῶν τε Ἑρμηνειῶν, καὶ Ὁμιλιῶν, τῶν ἐν τῷ παρόντι τόμῳ περιεχομένων.*


Ἑρμηνεία εἰς τὸ κατὰ Λουκᾶν Εὐαγγέλιον τῆς Πρώτης Κυριακῆς. Σελ. 1

Ὁμιλία μετὰ τὸ ῥηθὲν Εὐαγγέλιον. Περὶ τοῦ ὅτι ἡ φυλακὴ τῶν θείων ἐντολῶν χορηγός ἐστι καὶ τῶν ἐπιγείων ἀγαθῶν . „ 6

Ἑρμηνεία εἰς τὸ κατὰ Λουκᾶν Εὐαγγέλιον τῆς Β'. Κυριακῆς . . „ 12

Ὁμιλία μετὰ τὸ ῥηθὲν Εὐαγγέλιον. Περὶ τῆς πρὸς τοὺς ἐχθροὺς ἀγάπης . . . . . . . . . . . . . . . . . . „ 15

Ἑρμηνεία εἰς τὸ κατὰ Λουκᾶν Εὐαγγέλιον τῆς Γ'. Κυριακῆς . . „ 22

Ὁμιλία μετὰ τὸ ῥηθὲν Εὐαγγέλιον. Παραμυθητικὴ τῶν θλιβομένων διὰ τὸν θάνατον τῶν συγγενῶν καὶ φίλων . . . . . „ 25

Ἑρμηνεία εἰς τὸ κατὰ Λουκᾶν Εὐαγγέλιον τῆς Δ'. Κυριακῆς . . „ 31

Ὁμιλία μετὰ τὸ ῥηθὲν Εὐαγγέλιον. Περὶ τῆς ὁρωμένης ἀκαρπίας τοῦ θείου λόγου . . . . . . . . . . . . . . „ 36

Ἑρμηνεία εἰς τὸ κατὰ Λουκᾶν Εὐαγγέλιον τῆς Ε'. Κυριακῆς . . „ 42

Ὁμιλία μετὰ τὸ ῥηθὲν Εὐαγγέλιον. Κατὰ τῶν λεγόντων, ὅτι ἡ ἐλεημοσύνη οὐκ ἔστι χρέος . . . . . . . . . . . „ 49

Ἑρμηνεία εἰς τὸ κατὰ Λουκᾶν Εὐαγγέλιον τῆς Ϛ'. Κυριακῆς . . „ 54

Ὁμιλία μετὰ τὸ ῥηθὲν Εὐαγγέλιον. Περὶ Ἀχαριστίας . . . . „ 58

Ἑρμηνεία εἰς τὸ κατὰ Λουκᾶν Εὐαγγέλιον τῆς Ζ'. Κυριακῆς . . „ 66

Ὁμιλία μετὰ τὸ ῥηθὲν Εὐαγγέλιον. Περὶ τοῦ ὅτι οὐδὲν τῷ Θεῷ εὐπρόσδεκτον, ἐὰν μὴ καὶ τὴν ψυχὴν αὐτῷ ἀφιερώσωμεν· καὶ περὶ τοῦ πῶς γίνεται ἡ τοιαύτη ἀφιέρωσις . . . „ 72

Ἑρμηνεία εἰς τὸ κατὰ Λουκᾶν Εὐαγγέλιον τῆς Η'. Κυριακῆς . . „ 80

Ὁμιλία μετὰ τὸ ῥηθὲν Εὐαγγέλιον. Περὶ θείας εὐσπλαγχνίας καὶ τῶν καταχρωμένων αὐτῆς . . . . . . . . . . . „ 85

Ἑρμηνεία εἰς τὸ κατὰ Λουκᾶν Εὐαγγέλιον τῆς Θ'. Κυριακῆς . . „ 92

Ὁμιλία μετὰ τὸ ῥηθὲν Εὐαγγέλιον. Περὶ αἰφνιδίου θανάτου, καὶ πῶς δυνάμεθα φυγεῖν αὐτὸν . . . . . . . . . . , 96

Ἑρμηνεία εἰς τὸ κατὰ Λουκᾶν Εὐαγγέλιον τῆς Ι'. Κυριακῆς . . „ 102

Ὁμιλία μετὰ τὸ ῥηθὲν Εὐαγγέλιον. Περὶ Ὑποκρίσεως . . . „ 105

Ἑρμηνεία εἰς τὸ κατὰ Λουκᾶν Εὐαγγέλιον τῆς ΙΑ'. Κυριακῆς . . „ 111

Ὁμιλία μετὰ τὸ ῥηθὲν Εὐαγγέλιον. Περὶ προφάσεων . . . . „ 116

Ἑρμηνεία εἰς τὸ κατὰ Λουκᾶν Εὐαγγέλιον τῆς ΙΒʹ. Κυριακῆς . . Σελ. 121

Ὁμιλία μετὰ τὸ ῥηθὲν Εὐαγγέλιον. Περὶ τῆς τῷ Θεῷ χρεωστουμένης εὐγνωμοσύνης . . . . . . . . . . . . . . „ 125

Ὁμιλία μετὰ τὸ κατὰ Λουκᾶν Εὐαγγέλιον τῆς ΙΓʹ. Κυριακῆς. Περὶ τῆς χριστιανικῆς τελειότητος . . . . . . . . . . . „ 130

Ἑρμηνεία εἰς τὸ κατὰ Λουκᾶν Εὐαγγέλιον τῆς ΙΔʹ. Κυριακῆς . . „ 137

Ὁμιλία μετὰ τὸ ῥηθὲν Εὐαγγέλιον. Κατὰ τῶν ἐμποδιζόντων τοὺς ἐργαζομένους τὴν ἀρετὴν . . . . . . . . , . . „ 140

Ἑρμηνεία εἰς τὸ κατὰ Λουκᾶν Εὐαγγέλιον τῆς ΙΕʹ. Κυριακῆς . . „ 147

Ὁμιλία μετὰ τὸ ῥηθὲν Εὐαγγέλιον. Περὶ ὠφελίμου καὶ ἀνωφελοῦς μετανοίας . . . . . . . . . . . . . . . „ 151

Ἑρμηνεία εἰς τὸ κατὰ Λουκᾶν Εὐαγγέλιον τῆς Ιςʹ. Κυριακῆς τοῦ Τελώνου καὶ Φαρισαίου . . . . . . . . . . . „ 157

Ὁμιλία μετὰ τὸ ῥηθὲν Εὐαγγέλιον. Περὶ Ταπεινοφροσύνης. . . „ 161

Ἑρμηνεία εἰς τὸ κατὰ Λουκᾶν Εὐαγγέλιον τῆς Κυριακῆς τοῦ Ἀσώτου . . . . . . . . . . . . . . . . . . „ 167

Ὁμιλία μετὰ τὸ ῥηθὲν Εὐαγγέλιον. Περὶ τοῦ κανόνος τῆς Μετανοίας καὶ Ἐξομολογήσεως . . . . . . . . . . „ 176

Ἑρμηνεία εἰς τὸ κατὰ Ματθαῖον Εὐαγγέλιον τῆς Κυριακῆς τῆς Ἀποκρέω . . . , . . . . . . . . . . . . „ 180

Ὁμιλία μετὰ τὸ ῥηθὲν Εὐαγγέλιον. Περὶ τοῦ διατί ἡ ἐλεημοσύνη μόνη μνημονεύεται ἐν τῇ ἡμέρᾳ τῆς Κρίσεως . . . „ 185

Ἑρμηνεία εἰς τὸ κατὰ Ματθαῖον Εὐαγγέλιον τῆς Κυριακῆς τῆς Τυροφάγου . . . . . . . . . . . . . . . . „ 190

Ὁμιλία μετὰ τὸ ῥηθὲν Εὐαγγέλιον. Περὶ Νηστείας . . . . . „ 194

Ἑρμηνεία εἰς τὸ κατὰ Ἰωάννην Εὐαγγέλιον τῆς Αʹ. Κυριακῆς τῶν Νηστειῶν . . . . . . . . . . . . . . . . . „ 201

Ὁμιλία μετὰ τὸ ῥηθὲν Εὐαγγέλιον. Περὶ ἧς λαμβάνει ὠφελείας ὁ διαπαντὸς συλλογιζόμενος, ὅτι ὁ Θεὸς ἐνώπιον αὐτοῦ παρίσταται . . . . . . . . . . . . . . . . . „ 206

Ἑρμηνεία εἰς τὸ κατὰ Μάρκον Εὐάγγελιον τῆς Βʹ. Κυριακῆς τῶν Νηστειῶν . . . . . . . . . . . . . . . . „ 213

Ὁμιλία μετὰ τὸ ῥηθὲν Εὐαγγέλιον. Περὶ τοῦ ὅτι ὁ Θεὸς βοηθεῖ ἡμῖν, ὅτε ἡμεῖς ποιῶμεν πάντα ὅσα δυνάμεθα . . . . „ 214

Ἑρμηνεία εἰς τὸ κατὰ Μάρκον Εὐαγγέλιον τῆς Γʹ. Κυριακῆς τῶν Νηστειῶν . . . . . . . . . . . . . . . . „ 222

Ὁμιλία μετὰ τὸ ῥηθὲν Εὐαγγέλιον. Περὶ Ψυχῆς . . . . . . „ 226

Ὁμι-

Ὁμιλία μετὰ τὸ κατὰ Μάρκον Ἐυαγγέλιον τῆς Δʹ. Κυριακῆς τῶν Νηστειῶν. Περὶ Καιροῦ . . . . . . . . . . . . Σελ. 232
Ἑρμηνεία εἰς τὸ κατὰ Μάρκον Ἐυαγγέλιον τῆς Εʹ. Κυριακῆς τῶν Νηστειῶν . . . . . . . . . . . . . . . . . „ 239
Ὁμιλία μετὰ τὸ ῥηθὲν Ἐυαγγέλιον. Περὶ τοῦ, ὅτι ἡ ἀγάπη ἀχώριστος τῆς ταπεινοφροσύνης . . . . . . . . . . . „ 245
Ἑρμηνεία εἰς τὸ κατὰ Ἰωάννην Ἐυαγγέλιον τῆς Κυριακῆς τῶν Βαΐων. „ 250
Ὁμιλία μετὰ τὸ ῥηθὲν Ἐυαγγέλιον. Περὶ τῆς ἑτοιμασίας τῆς πρὸς ὑποδοχὴν τῆς Θείας Μεταλήψεως. . . . . . . . „ 256
Ἑρμηνεία εἰς τὸ κατὰ Ἰωάννην Ἐυαγγέλιον τῆς Κυριακῆς πρὸ τῆς Ὑψώσεως . . . . . . . . . . . . . . . . „ 260
Ὁμιλία μετὰ τὸ ῥηθὲν Ἐυαγγέλιον. Περὶ τοῦ, τίνες οἱ καρποὶ τῆς τῶν θείων πραγμάτων μελέτης . . . . . . . „ 264
Ὁμιλία μετὰ τὸ κατὰ Μάρκον Ἐυαγγέλιον τῆς Κυριακῆς μετὰ τὴν Ὕψωσιν. Περὶ Φιλαυτίας . . . . . . . . . „ 270
Ἑρμηνεία εἰς τὸ κατὰ Ματθαῖον Ἐυαγγέλιον τῆς Κυριακῆς τῶν Πατέρων τῆς Ζʹ. Συνόδου . . . . . . . . . . „ 276
Ὁμιλία μετὰ τὸ ῥηθὲν Ἐυαγγέλιον. Περὶ τῶν ἐλαχίστων ἐντολῶν. „ 282
Ἑρμηνεία εἰς τὸ κατὰ Ματθαῖον Ἐυαγγέλιον τῆς Κυριακῆς πρὸ τῆς Χριστοῦ Γεννήσεως . . . . . . . . . . „ 288
Ὁμιλία μετὰ τὸ ῥηθὲν Ἐυαγγέλιον. Περὶ τοῦ, πῶς ἡ ἔνσαρκος οἰκονομία καὶ πτῶσις καὶ ἀνάστασις . . . . . . . „ 298
Ἑρμηνεία εἰς τὸ κατὰ Ματθαῖον Ἐυαγγέλιον τῆς Κυριακῆς μετὰ τὴν Χριστοῦ Γέννησιν . . . . . . . . . . . . „ 302
Ὁμιλία μετὰ τὸ ῥηθὲν Ἐυαγγέλιον. Περὶ Ὑπακοῆς . . . . . „ 308
Ἑρμηνεία εἰς τὸ κατὰ Ματθαῖον Ἐυαγγέλιον τῆς Κυριακῆς πρὸ τῶν Φώτων. . . . . . . . . . . . . . . . . „ 313
Ὁμιλία μετὰ τὸ ῥηθὲν Ἐυαγγέλιον. Περὶ τοῦ ἁγίου Βαπτίσματος. „ 317
Ἑρμηνεία εἰς τὸ κατὰ Ματθαῖον Ἐυαγγέλιον τῆς Κυριακῆς μετὰ τὰ Φῶτα . . . . . . . . . . . . . . . . „ 323
Ὁμιλία μετὰ τὸ ῥηθὲν Ἐυαγγέλιον. Περὶ Σκανδάλου . . . . . „ 327
Ὁμιλία μετὰ τὸ κατὰ Ματθαῖον Ἐυαγγέλιον τῆς Κυριακῆς τῶν Πατέρων τῆς Δʹ. Συνόδου· εἰς τὸ ῥητὸν, Ὃς δ' ἂν ποιήσῃ καὶ διδάξῃ, οὗτος μέγας κληθήσεται ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν . . . . . . . . . . . . . . . . . „ 336

ΤΕΛΟΣ ΤΟΥ Βʹ. ΤΟΜΟΥ.



